IOANNOU GRAMMATIKOU YPOMNEMA EIS TA PERI PHYSIKES...

Ioannes : Philoponus, Vittore Trincavelli

πηχυαίοις ξύλοις, οὕτως οὖν ἀνάγκη καὶ τὸν χρόνον μέτρον ὄντα κινήσεως, συνεχεῖ τινι μετρεῖσθαι καὶ ἐλαχίστῳ· ἐπεὶ οὖν ἡ κυκλοφορία, ἐλάχιστόν τι μέτρον κινήσεως, μετρεῖται δὲ οὐ μόνον ἡ κίνησις ὑπὸ τοῦ χρόνου, ἀλλὰ καὶ ὁ χρόνος ὑπὸ τῆς κινήσεως, δῆλον ὅτι ὁ ὑπὸ τῆς ἐλαχίστης κινήσεως μετρούμενος χρόνος, οὗτος ἂν εἴη συγγενὲς μέτρον τοῦ ὅλου χρόνου. ἔστι δὲ οὗτος, τὸ ἡμερονύκτιον. τούτῳ γὰρ μετρεῖται καὶ ἑβδομὰς, καὶ μὴν, καὶ ἐνιαυτὸς, καὶ πᾶς χρόνος. μετρεῖται δὲ ἕκαστον, ἑνί τινι συγγενεῖ. εἰ γὰρ πάντως καὶ ὑπὸ ἀνομογενοῦς πρώτως ἕκαστον μετρεῖται, ἀλλ' οὖν καὶ ὑπὸ ὁμογενοῦς πρώτως μετρεῖται, ὃ πρώτως ὑπὸ τοῦ ἀνομογενοῦς μετρεῖται.

» ΤΟΥΤΟ δ' ἐστὶν, ὅτι ὑπὸ τῆς ὡρισμένης κινήσεως χρόνῳ, μετρεῖται τῆς τε κινήσεως τὸ ποσὸν, καὶ
» τοῦ χρόνου.

Πῶς ἀντιμετροῦσιν ἄλληλα ἡ κίνησις καὶ ὁ χρόνος λέγει, διότι φησὶν ἡ ὑπὸ τοῦ χρόνου πρώτως ὁρισθεῖσα κίνησις, αὕτη καὶ τῆς πάσης ἐστὶ κινήσεως μέτρον, καὶ τοῦ χρόνου. ὁ γὰρ ὑπὸ ταύτης ὁριζόμενος χρόνος, μέτρον ἐστὶ τοῦ παντὸς χρόνου. εἰ τοίνυν ἡ ὑπὸ τοῦ χρόνου ὁρισθεῖσα κίνησις, αὕτη καὶ τῆς κινήσεώς ἐστι μέτρον, καὶ τοῦ χρόνου, δῆλον ὅτι ἀντιμετροῦνται ὑπ' ἀλλήλων ὅ, τε χρόνος, καὶ ἡ κίνησις.

» ΕΙ οὖν τὸ πρῶτον μέτρον πάντων τῶν συγγενῶν, ἡ κυκλοφορία ἡ ὁμαλὴς μέτρον μάλιστα.

Εἰ ἐν ἑκάστῳ φησὶ τὸ πρῶτον, τοῦτο μέτρον ἐστὶ τῶν συγγενῶν, ἔστι δὲ καὶ τῆς κινήσεως ἡ πρωτίστη, ἡ κυκλοφορία ἡ ὁμαλὴς αὕτη ἂν εἴη μάλιστα τοῦ χρόνου μέτρον. ὑπὸ ταύτης γὰρ ὁρίζεται ὁ πρῶτος χρόνος, ὃς μέτρον ἐστὶ τοῦ παντὸς χρόνου.

» ΟΤΙ ὁ ἀριθμὸς ταύτης γνωριμώτατος. ἀλλοίωσις μὲν οὖν οὐδὲ αὔξησις, οὐδὲ γένεσις, οὐκ ἔστιν ὁμα-
» λῆς. φορὰ δ' ἐστί.

Δύο αἰτίας φησὶν εἶναι, δι' ὧν δείκνυται ἡ τῆς ἀπλανοῦς περιφορὰ, μέτρον οὖσα τῶν ἄλλων πασῶν. δεῖ γὰρ τὸ μέτρον, καὶ ἐλάχιστον εἶναι, καὶ γνωριμώτατον. ἀμφότερα δὲ ἔστιν ἰδεῖν τῆς κυκλοφορίας τῆς ἀπλανοῦς. καὶ γὰρ, ἐλαχίστη πασῶν, καὶ γνωριμωτάτη μάλιστα. ἡ γὰρ ταύτης περιφορὰ, τὸ ἡμερονύκτιόν ἐστιν, ὅπερ πᾶσιν ἐστὶ γνωριμώτατον. εἰ δὲ καὶ τὸ ὁμαλὸν ἔχει, ἀλλ' οὐ μόνη. τοῦτο γὰρ ἴδιόν ἐστι πάσης περιφορᾶς. τὸ δὲ ἐλάχιστον καὶ τὸ γνωριμώτατον, ταύτης μάλιστα.

» ΔΙΟ καὶ δοκεῖ ὁ χρόνος εἶναι, ἡ τῆς σφαίρας κίνησις, ὅτι ταύτῃ μετροῦνται αἱ ἄλλαι κινήσεις,
» καὶ ὁ χρόνος, ταύτῃ τῇ κινήσει.

Διὰ τοῦτό φησι, διότι τῇ κυκλοφορίᾳ τῆς ἀπλανοῦς μετροῦνται αἱ ἄλλαι πᾶσαι κινήσεις, κατὰ τὸν εἰρημένον τρόπον, διὰ τοῦτο καὶ ἔδοξε τοῖς παλαιοῖς, αὐτὸ τοῦτο εἶναι ὁ χρόνος, ἡ κυκλοφορία τῆς σφαίρας. ἐπεὶ γὰρ ταύτῃ μετρεῖται ὁ χρόνος, αὐτὸ τοῦτο εἶναι τὸν χρόνον ὑπενόησαν.

» ΔΙΑ δὲ τοῦτο, καὶ τὸ εἰωθὸς λέγεσθαι συμβαίνει. φασὶ γὰρ κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα.

Ὅτι καὶ ἡ κοινὴ τῶν ἀνθρώπων συνήθεια τοῦτο πιστοῦται, ὅτι μέτρον ἐστὶ καὶ τοῦ χρόνου καὶ πάσης κινήσεως ἡ κυκλοφορία. διὰ τοῦτο γάρ φασι τὰ ἀνθρώπινα κύκλον, διότι ὑπὸ τοῦ χρόνου μετρεῖται. τὸν δὲ χρόνον κύκλον εἶναι, διότι μέτρον ἐστὶ τῆς κύκλῳ κινήσεως.

» ΚΑΙ τῶν ἄλλων τῶν κίνησιν ἐχόντων φυσικὴν καὶ γένεσιν καὶ φθοράν.

Τουτέστι καὶ ἐπὶ τῶν ἄλλων τῶν γινομένων καὶ φθειρομένων, κύκλον εἶναί φασι, φυτῶν, ζώων, μετάλλων, καὶ τῶν λοιπῶν.

» ΤΟΥΤΟ δὲ ὅτι ταῦτα πάντα, τῷ χρόνῳ κρίνεται καὶ λαμβάνει τελευτὴν καὶ ἀρχὴν, ὥσπερ ἂν
» εἰ κατά τινα περίοδον. καὶ γὰρ ὁ χρόνος αὐτὸς, εἶναι δοκεῖ κύκλος τις. τοῦτο δὲ πάλιν δοκεῖ, διότι τοιαύτης
» φορᾶς ἐστὶ μέτρον, καὶ μετρεῖται αὐτὸς ὑπὸ τοιαύτης. ὥστε τὸ λέγειν εἶναι τὰ γινόμενα τῶν πραγμά-
» των κύκλον, τὸ λέγειν ἐστὶ τοῦ χρόνου εἶναί τινα κύκλον. τοῦτο δὲ, ὅτι μετρεῖται τῇ κυκλοφορίᾳ.

Διὰ τοῦτό φησι τὰ ἀνθρώπινα πράγματα κύκλον λέγουσι, διότι πάντα χρόνῳ κρίνεται, τουτέστιν ἐν χρόνῳ ἐστὶ, καὶ μετρεῖται ὑπὸ τοῦ χρόνου, ἀρχὴν ὑπ' αὐτοῦ λαμβάνοντα καὶ τέλος. ὁ δὲ χρόνος φησὶ, κύκλος δοκεῖ εἶναι. ὥστε εἰ τὰ ἀνθρώπινα ἐν χρόνῳ, ὁ δὲ χρόνος κύκλος τις, καὶ τὰ ἀνθρώπινα ἄρα κύκλος τις ἂν εἴη. ὁ δὲ χρόνος κύκλος τις δοκεῖ εἶναι, διότι κύκλου τινὸς καὶ περιφορᾶς μέτρον ἐστί. καὶ αὐτὸς δὲ ὑπ' αὐτῆς μετρεῖται. ἐπεὶ τὸ μετροῦν τὸν χρόνον, κύκλος ἐστὶ, καὶ ὁ χρόνος τις κύκλος εἶναι νομίζεται.

» ΠΑΡΑ γὰρ τὸ μέτρον, οὐδὲν ἄλλο παρεμφαίνεται τὸ μετρούμενον, ἀλλ' ἢ πλείω μέτρα, τὸ ὅλον.

Ὅτι εὐλόγως, τῆς κυκλοφορίας μέτρον οὔσης τοῦ χρόνου, καὶ ὁ χρόνος κύκλος τις εἶναι δοκεῖ, διὰ τούτων κατασκευάζει. οὐδὲν γὰρ ἄλλο φησὶ δοκεῖ εἶναι τὸ μετρούμενον, ἢ πολλάκις τὸ αὐτὸ μέτρον. τὸ γὰρ ἑκατοντάπηχυ ξύλον, οὐδὲν ἄλλο ἐστὶν, ἢ πολλάκις ὁ πῆχυς. καὶ τὰ δέκα, οὐδὲν ἄλλο ἐστὶν, ἢ πολλάκις τὸ ἕν. μέτρον δὲ τοῦ ἀριθμοῦ ἡ μονάς. οὕτως οὖν καὶ εἰ τοῦ χρόνου μέτρον ἡ κυκλοφορία, οὐδὲν ἄλλο ἂν εἴη ὁ χρόνος, ἢ πολλαὶ κυκλοφορίαι. εἰ δὲ τοῦτο, καλῶς ἄρα κύκλον εἶναι τὸν χρόνον φασί.

» ΛΕΓΕΤΑΙ δὲ ὀρθῶς καὶ ὅτι ὁ ἀριθμὸς μὲν ὁ αὐτὸς ὁ τῶν προβάτων καὶ τῶν κυνῶν, εἰ ἴσος
» ἑκάτερος. δεκὰς δὲ, οὐχ ἡ αὐτὴ, οὐδὲ δέκα τὰ αὐτά.

Ἐπειδὴ ἐν τῷ δεικνύναι, ὅτι ὁ χρόνος ἅμα πανταχοῦ εἷς ἐστὶ καὶ ὁ αὐτὸς ὁ πάσης κινήσεως μετρητικὸς, ἐχρήσατο παραδείγματι τῷ ἐπὶ τῶν ἀριθμῶν ὅτι καὶ ὁ ἀριθμὸς εἷς ὢν καὶ ὁ αὐτὸς, οἷον ὁ ζʹ, μετρεῖ τοὺς ζʹ

ἵππους,

σιν, καὶ ἐν ἑκάστῳ τῶν καθ᾽ ἕκαστα ὅλης ὑφεστηκυίας. ὅτι ὅσα μὲν τῶν ὑποκειμένων διαφέρει ἀλλήλων διαφορᾷ τινι τοῦ κοινοῦ αὐτῶν κατηγορουμένου, ἥτις διαφορὰ ὡς γένει αὐτῷ ὑπάρχει, ταῦτα οὐκ ἔστι τὰ αὐτὰ κατὰ τὸ κατηγορούμενον. ὅσα δὲ μὴ διαφέρει ἀλλήλων ταύτῃ τῇ διαφορᾷ, ἐν τούτοις τὸ κατηγορούμενον, ἕν τι ἐστί, καὶ τὸ αὐτὸ κατ᾽ οὐσίαν. οὕτως οὖν καὶ ἐπὶ τῶν δέκα ἵππων, καὶ δέκα ὄνων, καὶ λίθων, ἐπειδὴ μὴ διαφέρουσιν ἀλλήλων τῇ τοῦ κατηγορουμένου διαφορᾷ, οὐ γάρ ἐστιν ἕτερον εἶδος δεκάδος τὸ ἐν ἵπποις τοῦ ἐν ἀνθρώποις, διὰ τοῦτο τὸ κοινῶς αὐτοῖς ὑπάρχον, καὶ μετροῦν αὐτά, ἡ δεκάς, ἕν τι ἐστὶ καὶ τὸ αὐτό. καὶ οὐδὲν ταύτῃ διαφέρουσιν ἀλλήλων, κατὰ τὸ τῆς δεκάδος εἶδος. ὥστε ἃ καὶ μετροῦνται ὑπὸ τῆς δεκάδος, μία δὲ καὶ ἡ αὐτὴ αὕτη ἐν πᾶσιν, ὑφ᾽ ἑνὸς ἄρα καὶ τοῦ αὐτοῦ τὰ διάφορα μετροῦνται. εἰ δέκα ἵπποι λέγω, καὶ οἱ δέκα ἄνθρωποι, καὶ οἱ δέκα λίθοι, καὶ τὰ λοιπά. ὑπὸ γὰρ τοῦ τῆς δεκάδος εἴδους, ἥτις ἐν ψυχῇ πρώτως τὸ εἶναι ἔχει. διὸ καὶ ὡς ἀριθμῷ μία λαμβάνεται, τοῦ ὑποκειμένου, λέγω δὴ τῆς ψυχῆς, ἑνὸς ἀεὶ καὶ τοῦ αὐτοῦ ὄντος.

» Ἢ ὁποιασοῦν. καὶ γὰρ γίνεται ἐν χρόνῳ καὶ φθείρεται καὶ αὐξάνεται καὶ ἀλλοιοῦται ἐν χρόνῳ
» καὶ φέρεται. ᾗ οὖν κίνησίς ἐστι, ταύτῃ ἐστὶν ἑκάστης κινήσεως ἀριθμός.

Ἡ λύσις τῆς προτέρας ἀπορίας. ὅτι κινήσεως ἁπλῶς ἀριθμός ἐστιν ὁ χρόνος, οὐ τῆσδε ἢ τῆσδε, ἀλλ᾽ ἁπλῶς πάσης κινήσεως, ᾗ κίνησίς ἐστι.

» ΔΙΟ κινήσεως ἁπλῶς ἀριθμός ἐστι συνεχοῦς, ἀλλ᾽ οὐ τινός.

Καλῶς προστέθεικε, τὸ συνεχοῦς. τῆς γὰρ συνεχοῦς κινήσεως μέτρον ἐστὶν ὁ χρόνος. εἰ μέντοι διῃρημέναι εἶεν αἱ κινήσεις, καὶ πλείους, οἷον ἀλλοίωσις καὶ αὔξησις καὶ φθορά, ἢ φοραὶ πλείους, τούτων τοῦ πλήθους οὐκ ἔστι μετρητικὸς ὁ χρόνος, ἀλλ᾽ ἡ ἐν τῷ ἀριθμῷ μονάς. ὡς γὰρ τοὺς δέκα ἵππους, καὶ τοὺς δέκα λίθους οὐ μετρεῖ ὁ χρόνος, ἀλλ᾽ ἡ μονάς, οὕτω καὶ τὰς πλείους κινήσεις ὡς πλείους, οὐχ ὁ χρόνος μετρεῖ, ἀλλ᾽ ὁ ἀριθμός, ἤγουν ἡ μονάς. ἑκάστην μέντοι καθ᾽ αὑτήν, ὡς μίαν καὶ συνεχῆ ὁ χρόνος μετρεῖ, τὸ πρότερον αὐτῆς καὶ τὸ ὕστερον μετρῶν.

» ΑΛΛ᾽ ἔστι νῦν κεκινῆσθαι καὶ ἄλλο, ὧν ἑκατέρας τῆς κινήσεως εἴη ἂν ἀριθμός. ἕτερος οὖν ὁ χρό-
» νος ἔσται καὶ ἅμα δύο ἴσοι χρόνοι ἂν εἶεν. ἢ οὔ; ὁ αὐτὸς γὰρ χρόνος ὡς ὁμοίως καὶ ἅμα. εἴδει δὲ καὶ
» οἱ μὴ ἅμα.

Ἐντεῦθεν οὖν ἡ ἀπορία. ὅτι ἐν τῷ αὐτῷ χρόνῳ ἄλλου τινὸς κινουμένου, ἐνδέχεται καὶ ἄλλο τι κινεῖσθαι. ἑκατέρας οὖν κινήσεως ἀριθμὸς ὁ χρόνος. ἆρα οὖν φησὶν ἑκατέρας κινήσεως ἕτερος ὁ χρόνος ἐστί, καὶ τῶν δύο κινήσεων δύο καὶ ἴσοι ἅμα χρόνοι ἔσονται, ἢ οὔ. καὶ ἐπιλύεται, ὅτι εἷς ἐστι χρόνος, τῶν ἴσων καὶ ἅμα γινομένων κινήσεων μετρητικός.

» ΕΙ γὰρ εἶεν κύνες, οἱ δὲ ἵπποι, ἑκάτεροι δὲ ἑπτά, ὁ αὐτὸς ἀριθμός. οὕτω καὶ τῶν κινήσεων τῶν ἅ-
» μα περαινομένων, ὁ αὐτὸς χρόνος.

Τοῦτο παράδειγμά ἐστι, πῶς τὸ αὐτὸ μέτρον, πλειόνων ἐστὶν ἅμα μετρητικόν, ἴσων ὄντων. ὥσπερ οὖν τῶν ζ ἵππων, καὶ τῶν ζ κυνῶν, εἷς καὶ ὁ αὐτὸς ἀριθμὸς μετρητικός, ἡ ἑπτάς, οὕτω καὶ τῶν ἴσων κινήσεων, εἷς καὶ ὁ αὐτὸς χρόνος μετρητικός.

» ΑΛΛ᾽ ἡ μὲν ταχεῖα ἴσως, ἡ δ᾽ οὔ. καὶ ἡ μὲν φορά, ἡ δ᾽ ἀλλοίωσις. ὁ μέντοι χρόνος, ὁ αὐτός. εἴπερ καὶ ὁ
» ἀριθμὸς ἴσος καὶ ἅμα, τῆς τε ἀλλοιώσεως, καὶ τῆς φορᾶς.

Ὥσπερ κἀκεῖνα τὰ μετρούμενα, οὐ τὰ αὐτὰ ἦν, ἀλλ᾽ οἱ μὲν ἵπποι, οἱ δὲ κύνες, τοῦ μετροῦντος ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος, οὕτω καὶ ἐπὶ τοῦ χρόνου, διάφοροι αἱ κινήσεις αἱ ὑπὸ τοῦ αὐτοῦ χρόνου μετρούμεναι, καὶ τῷ εἴδει τῆς κινήσεως, καὶ τῷ τὴν μὲν θάττονα αὐτῶν εἶναι, τὴν δὲ βραδυτέραν. ὥσπερ εἰ νοήσαις ἐν τῷ αὐτῷ χρόνῳ ἵππον τε ὀξύτατα κινούμενον, καὶ πρόβατον ἐν μιᾷ ἡμέρᾳ. καὶ διὰ τοῦτο, ἀνισοταχῶν οὐσῶν, ὁ μετρητικὸς αὐτῶν χρόνος εἷς ἐστι καὶ ὁ αὐτός, ἡ μία ἡμέρα.

» ΚΑΙ διὰ τοῦτο αἱ μὲν κινήσεις ἕτεραι καὶ χωρίς. ὁ δὲ χρόνος, πανταχοῦ ὁ αὐτός. ὅτι καὶ ὁ ἀριθ-
» μός, εἷς καὶ πανταχοῦ ὁ αὐτὸς ὁ τῶν ἴσων καὶ ἅμα.

Ὅτι καὶ ὁ ἀριθμὸς εἷς καὶ ὁ αὐτὸς πανταχοῦ, ὁ τῶν ἴσων, καὶ ἅμα. ἐπειδὴ τῶν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον γινομένων κινήσεων, μετρητικός ἐστιν ὁ χρόνος. ἐνδέχεται δὲ ἐν παντί, καὶ ἐν γῇ καὶ ἐν οὐρανῷ καὶ πανταχοῦ κινεῖσθαί τι. διὰ τοῦτο συμβαίνει πανταχοῦ μὲν εἶναι τὸν χρόνον, ἕνα ὄντα καὶ τὸν αὐτόν. τὰ δὲ μετρούμενα ὑπ᾽ αὐτοῦ, κεχωρισμένα ἀλλήλων εἶναι. ἐπειδὴ καὶ τῶν πανταχοῦ ἴσων κατ᾽ ἀριθμόν, εἷς καὶ ὁ αὐτὸς ἀριθμὸς μετρητικός ἐστιν.

» ΕΠΕΙ δ᾽ ἐστὶ φορά, καὶ ταύτης ἡ κύκλῳ, ἀριθμεῖται δὲ ἕκαστον ἑνί τινι συγγενεῖ, μονάδες μονάδι,
» ἵπποι δ᾽ ἵππῳ, οὕτως ὁ χρόνος χρόνῳ τινὶ ὡρισμένῳ. μετρεῖται δὲ ὥσπερ εἴπομεν, ὅ, τε χρόνος κινή-
» σει, καὶ ἡ κίνησις χρόνῳ.

Ἑτέρα ἀπορία, ὅτι εἰ ἕκαστον ὑπό τινος συγγενοῦς μέτρου μετρεῖται, τίνι ὁ χρόνος συγγενεῖ χρόνῳ μετρεῖται. ἔστι δὲ ἡ συνέχεια τοῦ λόγου τοιαύτη, ἐπεὶ δὲ ἐστὶν ἡ φορά, καὶ ταύτης ἡ κύκλῳ, μετρεῖται δὲ ἕκαστον ὑπὸ ἑνός τινος συγγενοῦς τοῦ ἐλαχίστου, οἷον οἱ δέκα ἵπποι, τῷ ἑνὶ ἵππῳ, τὸ ἑκατοντάπηχυ ξύλον, τῷ

ζεται ὁ χρόνος. τὸ γὰρ τοῦ χρόνου μέτρον, ταύτῃ ἀφορίζεται. καὶ πᾶσαι δὲ αἱ ἄλλαι κινήσεις, ὑπὸ ταύτης μετροῦνται, ὥσπερ καὶ τὸν μετρητικὸν πάσης κινήσεως χρόνον αὕτη μετρεῖ καὶ ὁρίζει. τὸν οὖν ὁρισμὸν τοῦ χρόνου, χρόνον εἰδόμεσαν. ἐφεξῆς λοιπὸν τίθησι καὶ τὰ ἐν τῇ κοινῇ συνηθείᾳ περὶ τοῦ χρόνου λεγόμενα, ἀκόλουθα τῇ παρ' αὐτοῦ εἰρημένῃ περὶ τοῦ χρόνου θεωρίᾳ. φασὶ γὰρ οἱ πολλοί, κύκλον εἶναι τὰ ἀνθρώπινα πράγματα διότι χρόνῳ μετροῦνται, καὶ ὁρίζονται, ἀρχὴν καὶ τελευτὴν ἔχοντα. οἷον ὑγεῖαι, νόσοι. εὐδαιμονίαι, ἀτυχίαι. πλοῦτοι, πενίαι, πόλεμος, εἰρήνη. ὥσπερ γὰρ κατά τινα κύκλον ταῦτα πάντα ἐφ' ἑαυτὰ ἀναστρέφονται, καὶ διαδέχονται ἄλληλα. ἐπεὶ οὖν τῷ χρόνῳ ταῦτα κρίνεται, ὁ δὲ χρόνος, κύκλος τις εἶναι δοκεῖ, διὰ τοῦτο καὶ αὐτὰ κύκλον φασὶν εἶναι. αὐτὸν δὲ τὸν χρόνον, κύκλον φασὶν εἶναι, διότι μέτρον ἐστὶ κυκλοφορίας, καὶ μετρεῖται ὑπὸ τῆς κυκλοφορίας. ὥστε φησὶ τὸ λέγειν τὰ ἀνθρώπινα πράγματα εἶναι κύκλον, οὐδὲν ἄλλο ἐστὶν, ἢ λέγειν ὅτι ὁ χρόνος κύκλος τίς ἐστι. τὸ δὲ λέγειν, ὅτι ὁ χρόνος κύκλος τίς ἐστιν, οὐδὲν ἄλλο ἐστὶν, ἢ λέγειν, ὅτι μετρεῖται τῇ κυκλοφορίᾳ ὁ χρόνος. εἶτα ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν, ἐν τῷ λέγειν, ὅτι τῶν διαφόρων κινήσεων, εἷς καὶ ὁ αὐτὸς χρόνος ἐστὶ μετρητικὸς, ὥσπερ οὖν τοῦτο τὸ ἐκ τοῦ καὶ αὐτῶν τῶν ἀριθμῶν, ἕνα εἶναι καὶ τὸν αὐτὸν ἀριθμὸν, οἷον τὴν δεκάδα, τῶν διαφόρων ἀριθμῶν μετρητικὸν, οἷον τῶν δέκα ἵππων, καὶ τῶν δέκα ἀνθρώπων, νῦν βούλεται δεῖξαι, πῶς εἷς καὶ ὁ αὐτὸς ἀριθμὸς μετρεῖ τὰ τὴν οὐσίαν διάφορα. ἅμα δὲ καὶ κανόνα ἡμῖν παραδίδωσι διακριτικὸν, δι' οὗ γνωσόμεθα, πότε μὲν τὰ κοινῶς ἔχοντά τι κατηγορούμενον, κοινωνεῖ ἀλλήλοις κατ' αὐτὸ ἐκεῖνο τὸ κατηγορούμενον, καὶ ἀδιάφορά ἐστι κατ' ἐκεῖνο. πότε δὲ οὐκ εἰσὶν ἀδιάφορα κατὰ τὸ κοινῶς αὐτῶν κατηγορούμενον. καί φησιν, ὅτι ὅταν μὲν τὰ ἔχοντα ἕν τι κατηγορούμενον, ταύτῃ τῇ διαφορᾷ διαφέρωσιν ἀλλήλων, ἣν ἔχει πρὸς ἑαυτὸ καὶ τὸ κατηγορούμενον, τότε τὸ κοινῶς αὐτῶν κατηγορούμενον, οὐκ ἔστιν ἓν καὶ τὸ αὐτό. ὅταν δὲ μὴ διαφέρωσιν ἀλλήλων, τὰ κοινόν τι κατηγορούμενον ἔχοντα, τῇ τοῦ κατηγορουμένου διαφορᾷ, ἕν τι καὶ τὸ αὐτό ἐστι, τὸ κοινῶς αὐτῶν κατηγορούμενον. οἷόν φησι, τοῦ τριγώνου καὶ τοῦ κύκλου κατηγορεῖται τὸ σχῆμα. ἀλλ' ἐπειδὴ διαφέρουσιν ἀλλήλων τὸ τρίγωνον καὶ ὁ κύκλος, ταύτῃ τῇ διαφορᾷ, καθ' ἣν διαιρεῖται καὶ τὸ κατηγορούμενον, τοῦ γὰρ σχήματος διαφοραὶ τὸ εὐθύγραμμον καὶ τὸ περιφερόγραμμον, ταύτῃ δὲ καὶ τὸ τρίγωνον τοῦ κύκλου διαφέρει, διὰ τοῦτο τὸ κοινῶς αὐτῶν κατηγορούμενον, οὐκ ἔστι τὸ αὐτό. εἰ γὰρ λέγεται καὶ τὸ τρίγωνον σχῆμα, καὶ ὁ κύκλος, ἀλλ' ἕτερον καὶ ἕτερον ἐπ' ἀμφοτέρων τὸ σχῆμα. τῷ γὰρ τοῦ κύκλου κατηγορουμένῳ σχήματι προστιθὲν τὸ περιφερόγραμμον, καὶ τῷ τοῦ τριγώνου τὸ εὐθύγραμμον, τὸ μὲν εὐθύγραμμον σχῆμα, τὸ δὲ περιφερόγραμμον ἐποίησε. ταῦτα δὲ ἕτερα ἀλλήλων. εἰ μέντοι δύο τρίγωνα λάβοις, τὸ ἰσόπλευρον, καὶ τὸ σκαληνὸν, τούτων τὸ μὲν σχῆμα κοινῶς κατηγορούμενον, ἕν ἐστι καὶ τὸ αὐτὸ ἐπ' ἀμφοτέρων, διότι οὐ διαφέρουσιν ἀλλήλων ταῦτα τῇ τοῦ κατηγορουμένου διαφορᾷ. διαφοραὶ μὲν γὰρ τοῦ σχήματος ὡς σχήματος, τὸ εὐθύγραμμον καὶ τὸ περιφερόγραμμον. οὐ διαφέρουσι δὲ ταύτῃ ἀλλήλων, τὸ ἰσόπλευρον καὶ τὸ σκαληνόν. εὐθύγραμμα γὰρ ἄμφω. τὸ μὲν οὖν σχῆμα ὡς εἶπον, ἓν καὶ τὸ αὐτὸ ἐπ' ἀμφοτέρων κατηγορεῖται. τὸ μέντοι τρίγωνον, οὐκέτι ἓν καὶ τὸ αὐτὸ ἐπ' ἀμφοτέρων κατηγορεῖται. διαφέρουσι γὰρ ἀλλήλων, τῇ τοῦ κατηγορουμένου διαφορᾷ. διαφορὰ δὲ τριγώνου, τὸ ἰσόπλευρον, καὶ τὸ σκαληνόν. ταύταις δὲ, καὶ τὰ δύο τρίγωνα διαφέρουσιν ἀλλήλων. οὐκ ἄρα ἓν καὶ ταυτὸν τὸ τρίγωνον ἐπ' ἀμφοτέρων κατηγορεῖται. ὁ μὲν οὖν κανὼν οὗτος.

Ἀπορήσειε δ' ἄν τις πρὸς τοῦτον, τὰ παρ' αὐτοῦ τοῦ Ἀριστοτέλους πανταχοῦ λεγόμενα, ὅτι πῶς οὖν τὰ γένη τῶν εἰδῶν συνωνύμως κατηγορεῖται. καίτοι τὰ εἴδη διαφέρουσιν ἀλλήλων, τῇ τοῦ κατηγορουμένου διαφορᾷ. τοῦ γὰρ ζῴου, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον. ἀλλ' ὅμως αὐτοῦ ἀνθρώπου καὶ ἵππου, συνωνύμως κατηγορεῖται τὸ ζῷον. ὥστε ἓν καὶ τὸ αὐτὸ ζῷον ἐπ' ἀμφοτέρων κατηγορεῖται. ὅσον δὲ αὐτοῖς νῦν λεγομένοις, οὐ μὴ τὸ αὐτὸ ζῷον ἀνθρώπου καὶ ἵππου κατηγορεῖται, διότι διαφέρουσιν ἀλλήλων τῇ τοῦ κατηγορουμένου διαφορᾷ, οὐδ' ἂν συνωνύμως αὐτῶν κατηγορεῖτο. Ἴσως οὖν ἐνταῦθα, τὰ κατηγορούμενα, οὐχ ὡς γένη ἔλαβεν, οὐδὲ ὡς ἁπλῶς καθολικώτερα καὶ ἐξῃρημένα τῷ λόγῳ ἑνὸς ἑκάστου τῶν ὑποκειμένων, ἀλλ' ἔστι τὰ κοινῶς λεγόμενα ἐνυπάρχειν πᾶσι, καὶ ἐν τοῖς πολλοῖς ἔχειν τὸ εἶναι. ἀλλὰ τὰ κοινὴν οὐσίαν ἔχοντα, ἰδίᾳ δὲ ἐν ἑκάστῳ ὑπάρχοντα, καὶ ἐν ὑποστάσει ὄντα ἐν τοῖς καθ' ἕκαστα, τὸ ἐν τῷ ἐμοὶ ζῴου, καὶ τοῦ ἐν τῷδε τῷ ἵππῳ. ταῦτα γὰρ τῷ ὄντι, οὐ τὰ αὐτά. τὰ μέντοι ὡς γένη λεγόμενα κατηγορεῖσθαι, οὐκ ἔχει τινὰ ἰδίαν ὕπαρξιν. ἀλλ' ἡ αὐτὴ ἔννοια, κοινόν τι θεωρήσασα ἐν πᾶσιν, ὡς ἕν τι τοῦτο σκοπεῖ, μὴ ὄν γε τῷ ὄντι ὅλως καθ' αὑτό, ὡς καὶ αὐτὸς εἶπε. τὸ γὰρ καθόλου φησὶν, ἢ οὐδέν ἐστιν ἢ ὕστερον. ἐπεὶ οὖν τὴν κοινωνίαν ταύτην, οἷον χωρίσασα τῶν λοιπῶν τῶν συνυπαρχόντων ἡ διάνοια, οἷον τὸ ζῷον, τοῦ λογικοῦ καὶ ἀλόγου, θνητοῦ καὶ ἀθανάτου, κατ' ἐπίνοιαν αὐτὴν καθ' αὑτὴν ἐθεώρησε, μὴ ὑπάρχουσάν γε καθ' αὑτὴν, καθόλου τε αὐτὴν ὀνόμασε, καὶ ὡς μίαν τινὰ φύσιν ἐθεώρησε, ταύτῃ καὶ συνωνύμως κατηγορεῖ τῶν λοιπῶν. εἰ μέντοι τὸ ἐνυπάρχον ἑκάστῳ ζῷον θεωρήσαιμεν, καὶ ἐν ὑποστάσει ὄν, ἐπειδὴ τοῦτο, ἢ λογικόν ἐστιν ἢ ἄλογον, οὐκ ἂν εἴη τὸ αὐτὸ κατ' οὐσίαν τὸ ἐν ἐμοὶ, τῷ ἐν ἵππῳ. τὸ μέντοι ἀνθρώπειον εἶδος, τὸ αὐτό ἐστι κατ' οὐσίαν τῷ Σωκράτει καὶ Πλάτωνι. διότι οὐδέτερον αὐτῶν συμπλέκεται διαφορᾷ τινι, χωριζούσῃ αὐτὸ τοῦ λοιποῦ. ἐνταῦθα οὖν, περὶ τῆς κοινῆς οὐσίας φησὶ, τῆς ἐν ὑποστάσει, καὶ

ὁ μὲν, ὡς ἀριθμῶν· ὁ δὲ, ὡς ἀριθμούμενος· καὶ ἑκάτερος δηλονότι, ἢ δυνάμει, ἢ ἐνεργείᾳ. ἐνταῦθα οὖν περὶ τοῦ ἀριθμοῦ μὲν οὐκ ἀριθμοῦ φησιν, ὅτι ἢ δυνάμει ἐστὶν, ἢ ἐνεργείᾳ. ὥστε τοῦ ἀριθμητοῦ ἀναιρεθέντος, ἀνῄρηται καὶ ὁ ἀριθμός. ἀναιρεῖται δὲ τὸ ἀριθμητὸν, τοῦ ἀριθμοῦντος ἀνῃρημένου. τοῦτο δέ ἐστιν ἡ ψυχή. ψυχῆς γὰρ φησιν ἀναιρεθείσης, συναναιρεῖται ὁ χρόνος. οὐ γὰρ οἷόν τε χρόνον εἶναι ἄνευ ψυχῆς, εἰ μὴ ἄρα τὸ τῷ χρόνῳ ὑποκείμενον. τοῦτο δέ ἐστιν ἡ κίνησις. ἐπεὶ δὲ, τὸ οὐκ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς, ἐνδείκνυται ὅτι καὶ ἡ κίνησις ἀναιρεῖται τῆς ψυχῆς ἀναιρουμένης.

ΤΟ δὲ πρότερον καὶ ὕστερον ἐν κινήσει ἐστί, χρόνος δὲ ταῦτά ἐστιν ᾗ ἀριθμητά ἐστιν.

προειπὼν ὅτι ἀδύνατον χρόνον εἶναι ψυχῆς μὴ οὔσης, ἀλλ᾽ ἢ τοῦτο ὅ ποτε ὂν ἐστὶν ὁ χρόνος, τουτέστι τὸ ὑποκείμενον τῷ χρόνῳ. τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ ὅ, ποτε ὄν. ὑπόκειται δὲ τῷ χρόνῳ ἡ κίνησις, τοῦτο αὐτὸ πάλιν καὶ ἐνταῦθα ἠβουλήθη κατασκευάσαι, ὅτι τὸ ὑποκείμενον τῷ χρόνῳ ἡ κίνησίς ἐστι. τὸ γὰρ πρότερον καὶ ὕστερόν φησιν, ἐν κινήσει ἐστίν. ὁ δὲ χρόνος οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ πρότερον καὶ ὕστερον τὸ ἐν τῇ κινήσει, ᾗ ἀριθμητά ἐστιν. ὥστε εἰ ὁ χρόνος, τὸ πρότερον καὶ τὸ ὕστερόν ἐστι τὸ ἐν τῇ κινήσει, τοῦ προτέρου καὶ ὑστέρου ἐν κινήσει ὄντος ὡς ἐν ὑποκειμένῳ, καὶ ὁ χρόνος οὕτως ἂν εἴη ἐν τῇ κινήσει.

ΑΠΟΡΗΣΕΙΕ δ᾽ ἄν τις καὶ ποίας κινήσεως ὁ χρόνος ἀριθμός.

ἑτέρας τοῖς προτέραις ἐπισυνάπτει περὶ τοῦ χρόνου ἀπορίας. καὶ πρῶτον μὲν ὅτι εἰ κινήσεώς ἐστιν ἀριθμὸς ὁ χρόνος, κινήσεως δὲ πολλὰ εἴδη, αὔξησις, μείωσις, ἀλλοίωσις, γένεσις, καὶ φθορὰ, ποίας ἐστὶ κινήσεως ἀριθμὸς ὁ χρόνος. καὶ φησὶν, ὅτι πάσης κινήσεώς ἐστιν ἀριθμὸς, ᾗ κινήσεις εἰσίν. οὐ γὰρ ᾗ αὔξησις ἡ αὔξησις, μετρητικόν ἐστιν αὐτῆς ὁ χρόνος. οὐδὲ ᾗ ἀλλοίωσις ἡ ἀλλοίωσις. ἀλλ᾽ ᾗ κίνησίς ἐστιν ἑκάστη τούτων, ταύτῃ μετρεῖται ὑπὸ τοῦ χρόνου. ὥστε πάσης ἐστὶ κινήσεως μετρητικός. ὡς γὰρ διάστασιν ἁπλῶς ἑκάστης αὐτῶν μετρεῖ. ὥστε κατὰ τὸ κοινὸν τὸ ἐν αὐταῖς μετροῦνται ὑπὸ τοῦ χρόνου, οὐ κατὰ τὸ ἴδιον ὑπάρχον. ταύτῃ ἐφεξῆς ἐπισυνάπτει ἑτέραν ἀπορίαν τοιαύτην. ἐπειδή ἐστιν ἅμα δύο κινήσεις κινεῖσθαι, ἐν ταυτῷ γὰρ ἐν ᾧ τόδε τι κατὰ τόπον κινεῖται, ἐνδέχεται ἄλλο τι ἀλλοιοῦσθαι, ἢ τὸ μὲν κύκλῳ κινεῖσθαι, τὸ δὲ κατ᾽ εὐθεῖαν. πότερον οὖν δύο χρόνοι, ἑκάστης κινήσεως ὑπό τινος ἰδίου μετρουμένης χρόνου, ἢ εἷς καὶ ὁ αὐτὸς χρόνος τῶν πλειόνων μετρητικὸς κινήσεων. φησὶν οὖν ὅτι εἷς καὶ ὁ αὐτὸς χρόνος, τῶν πλειόνων ἅμα γινομένων κινήσεων μετρητικός. καὶ οὐδέν γε ἄτοπον. ὥσπερ γὰρ ὁ ἐν τῇ ψυχῇ ἀριθμὸς, εἷς ὢν καὶ ὁ αὐτὸς, οἷον ἡ δεκὰς, μετρεῖ τὰς ἔξω δεκάδας, οἷον ἵππων, καὶ ἀνθρώπων, καὶ λίθων, καὶ τῶν ἄλλων, καὶ ὥσπερ ὁ ξέστης εἷς ὢν καὶ ὁ αὐτὸς, μετρεῖ τὸν οἶνον καὶ τὸ ὕδωρ, καὶ πάντα τὰ ὑγρὰ, διότι οὐχ ᾗ τοιοῦτον ἕκαστον αὐτῶν ἐστι, ταύτῃ μετρεῖται, ἀλλ᾽ ᾗ ποσόν τί ἐστιν, οὕτω καὶ ὁ χρόνος. εἷς ὢν καὶ ὁ αὐτὸς πλειόνων κινήσεων ἴσων τε καὶ ἅμα οὐσῶν, μετρητικός ἐστι. κἄν τε γὰρ μὴ ἴσαι ὦσιν αἱ κινήσεις. ἀλλ᾽ ἡ μὲν μείζων, ἡ δὲ ἐλάττων, καθὸ μείζων ἐστὶν ὁ ἕτερος τῶν χρόνων, ταύτῃ οὐχ ὁ αὐτός ἐστι τῷ ἐλάττονι. κἂν ἴσοι δὲ ὦσι, μὴ ἅμα δὲ, οὐδ᾽ οὕτως οἱ αὐτοί εἰσι κατ᾽ ἀριθμόν. ἄλλοι μέντοι οἱ αὐτοί εἰσι τῶν χρόνων καὶ οἱ μὴ ἅμα ὄντες. οἷον ἡ νῦν ἡμέρα, τῇ αὔριον ἄλλη ἢ αὐτή. μετὰ ταῦτα ζητεῖ, ὅτι εἰ μέτρον ἐστὶ τῆς κύκλῳ κινήσεως ὁ χρόνος, ἕκαστον δὲ τῶν μετρουμένων, συγγενεῖ τινι μέτρῳ μετρεῖται, οἱ γὰρ δέκα ἵπποι, ἐν ἑνὶ ἵππῳ μετροῦνται, καὶ οἱ δέκα ἄνθρωποι, ἑνὶ ἀνθρώπῳ, ὁμοίως καὶ τὸ δεκάπηχυ ξύλον, τῷ πηχυαίῳ αὐτοῦ μετρεῖται μορίῳ, ἀνάγκη καὶ τὸν χρόνον, ἀριθμητὸν ὄντα, χρόνῳ τινὶ ἀριθμεῖσθαι. τίς οὖν οὗτος ὁ χρόνος, ᾧ ὁ πᾶς ἀριθμεῖται χρόνος. τῆς οὖν λύσεως τούτων προλαμβάνει, πρῶτον μὲν ἐκεῖνο, ὅπερ ἤδη ἐν τοῖς ἔμπροσθεν εἶπεν. ὅτι οὐ μόνον ὁ χρόνος τὴν κίνησιν μετρεῖ, ἀλλὰ καὶ ἡ κίνησις τὸν χρόνον μετρεῖ. καὶ ὅτι τῶν κινήσεων, αἱ μέν εἰσιν ἀνώμαλοι. οἷαί εἰσιν, αἱ τῶν ἐν γενέσει καὶ φθορᾷ. αἱ δὲ ὁμαλαί. οἷαί εἰσιν αἱ τῶν σφαιρῶν. καὶ τούτων, αἱ μὲν ταχυκίνητοι. αἱ δὲ βραδυκίνητοι. ἡ μὲν γάρ τις αὐτῶν περιάγεται ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ, διὰ τριάκοντα ἐτῶν. ἡ δὲ διὰ ιβ΄. ἡ δὲ δι᾽ ἐνιαυτοῦ. καὶ ἄλλη ἄλλως. ἡ δέ τίς ἐστι πασῶν τῶν ἄλλων, θάττων τε καὶ γνωριμωτέρα. ἥτις ἐστὶν ἡ τῆς ἀπλανοῦς. δι᾽ εἴκοσι καὶ τεσσάρων ὡρῶν, λέγω δὴ τοῦ ἡμερονυκτίου, περιαγομένη εἰς τὸ αὐτό. ἐπεὶ οὖν τὸ μέτρον, καὶ ἐλάχιστόν ἐστι καὶ γνώριμον, εἰκότως καὶ ὁ ὑπὸ ταύτης τῆς κινήσεως ὁριζόμενος χρόνος, λέγω δὴ ἡ μία ἡμέρα, τοῦτο δέ ἐστι τὸ ἡμερονύκτιον τοῦτό ἐστι τὸ συνεχὲς τοῦ χρόνου μέτρον, ᾧ ὁ πᾶς χρόνος ἀριθμεῖται. μῆνα γὰρ φαμὲν, τὰς λ΄ περιφορὰς τῆς ἀπλανοῦς. ἐνιαυτὸν δὲ τὰς τξε΄. καὶ ἁπλῶς πᾶς ὁ χρόνος, τῷ πολλαπλασιασμῷ τῆς ἡμέρας, ἴσχει τὴν γένεσιν. ὥστε πρώτως μὲν ὁρίζει ἡ κίνησις τὸ ἐλάχιστον τοῦ χρόνου μέτρον, ᾧ ὁ πᾶς χρόνος ἀριθμεῖται. εἶτα τούτῳ ὁ πᾶς ἀριθμεῖται χρόνος. καὶ ὥσπερ τὸν πῆχυν ἐμερίσαμεν εἰς δακτυλιαῖα μεγέθη, ἄλλος ἄλλως, ὁ μὲν εἰς κβ΄. ὁ δὲ εἰς κδ΄, ὁ δὲ εἰς κη΄. οὕτω δὴ καὶ τὸ ἡμερονύκτιον, εἰς μόρια πλείω κατέτεμον. οἷον ἡμεῖς, εἰς κδ΄. ἅπερ ὥρας ἐκαλέσαμεν. εἰ δὲ καὶ ταύτας ἐστὶ διελεῖν ἐπ᾽ ἄπειρον, ἀλλὰ τῇ πρὸς ταύτας ἀναφορᾷ. ὥσπερ καὶ τὸ ἡμιδακτυλιαῖον, ἢ τρίτον, ἢ δέκατον δακτύλου, τῇ πρὸς τὸν δάκτυλον κρίνεται ἀναφορᾷ. οὕτως οὖν καὶ τὸ ἡμιωριαῖον, καὶ τὰ λοιπὰ μόρια, τῇ πρὸς τὴν ὥραν κρίνεται ἀναφορᾷ. κινήσεως μέντοι ὅλης ἡ ἐλαχίστη καὶ γνώριμος, ἡ τῆς ἀπλανοῦς ἐστι περιφορὰ, ἧς τὸ μέτρον, ἡμέρα ἐστίν, ᾗ τινι καὶ ὁ ἄλλος μετρεῖται χρόνος, καὶ ἑβδομὰς, καὶ μὴν, καὶ ἐνιαυτὸς, καὶ τὰ λοιπὰ τοῦ χρόνου μόρια. καὶ διὰ τοῦτό φησιν ἔδοξέ τισι τῶν παλαιῶν, ἡ κυκλοφορία τοῦ οὐρανοῦ, χρόνος εἶναι, διότι ταύτῃ ὁρί-

» τὸ βραδύτερον, αὕτη ἐστὶν ἡ ἐλάττων πρότασις. Λέγω δὲ θᾶττον κινεῖσθαι. αὕτη ἡ μείζων. ὃ δὲ θᾶττόν ἐστι τὸ πρότερον μεταβάλλον, βραδύτερόν ἐστι δηλονότι τὸ ὕστερον μεταβάλλον.

» Ἀλλὰ μὴν τό γε πρότερον. Ὅτι δὲ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ, διὰ τούτων κατασκευάζει. πρότερον γὰρ καὶ ὕστερον λέγομεν φησι, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν, ὃ ὅρος ἐστὶ τῶν τοῦ χρόνου μερῶν τὸ νῦν. ἐν χρόνῳ ἄρα τὸ νῦν. τὸ γὰρ νῦν φησιν, ὅρος τοῦ παρήκοντος καὶ τοῦ μέλλοντος εἶτα ἐπάγει, ὥστε ἐπεὶ τὰ νῦν ἐν χρόνῳ, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν χρόνῳ ἔσται. τοῦτο δὲ ἐστὶν ἡ μείζων πρότασις τοῦ ὅλου συλλογισμοῦ, δι' οὗ κατασκευάζεται, ὅτι πᾶσα κίνησις ἐν χρόνῳ. ὅτι δὲ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν χρόνῳ, τοῦ νῦν ὄντος ἐν χρόνῳ, ἐφεξῆς κατασκευάζει.

» ΕΝ ᾧ γὰρ τὸ νῦν, καὶ ἡ τοῦ νῦν ἀπόστασις.

F ὡς τοῦ νῦν ἐν χρόνῳ ὄντος, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν χρόνῳ ἐστὶ, διὰ τούτων κατασκευάζει. ἐπειδή φησιν ἐν ᾧ ἐστι τὸ νῦν, καὶ ἡ διάστασις ἡ ἀπὸ τοῦ νῦν ἂν εἴη. τὸ γὰρ διεστηκὸς τοῦ νῦν, χρόνῳ αὐτοῦ διέστηκεν. ὥστε ὃ τὸ μὲν πρότερον καὶ ὕστερον, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν κρίνεται, ἡ δὲ τοῦ νῦν ἀπόστασις ἐν χρόνῳ, διότι καὶ τὸ νῦν, καὶ τὸ πρότερον ἄρα καὶ τὸ ὕστερον ἐν χρόνῳ ἂν εἴη.

» ΕΝΑΝΤΙΩΣ δὲ λέγεται, τὸ πρότερον, κατά τε τὸν παρεληλυθότα χρόνον, καὶ τὸν μέλλοντα. ἐν μὲν γὰρ τῷ παρεληλυθότι, πρότερον λέγομεν, τὸ πορρώτερον τοῦ νῦν. ὕστερον δὲ, τὸ ἐγγύτερον. ἐν δὲ τῷ μέλλοντι, πρότερον μὲν, τὸ ἐγγύτερον. ὕστερον δὲ τὸ πορρώτερον.

E ἐπειδὴ εἶπεν, ὅτι τὸ πρότερον καὶ τὸ ὕστερον, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν κρίνεται, ἀόριστον δὲ τοῦτο ἦν, οὐδὲ γὰρ ἁπλῶς ἐστι τὸ ἀφεστηκὸς τοῦ νῦν εἰπεῖν ἢ ἐγγυτέρω ἢ πορρωτέρω. ἄλλως γὰρ τοῦτό ἐστιν ἐπί τε τοῦ παρελθόντος καὶ τοῦ μέλλοντος χρόνου, διὰ τοῦτο αὐτὸ διορίζεται τοῦτο.

» ΩΣΤΕ ἐπεὶ τὸ μὲν πρότερον ἐν χρόνῳ, πάσῃ δ' ἀκολουθεῖ κινήσει τὸ πρότερον, φανερὸν ὅτι πᾶσα μεταβολὴ καὶ πᾶσα κίνησις ἐν χρόνῳ ἐστίν. ἄξιον δὲ ἐπισκέψεως, καὶ πῶς ποτε ἔχει ὁ χρόνος πρὸς τὴν ψυχήν. καὶ διατί ἐν παντὶ εἶναι δοκεῖ ὁ χρόνος, καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ. ἢ ὅτι κινήσεώς τι πάθος, ἢ ἕξις, ἀριθμός γε ὤν. ταῦτα δὲ κινητὰ πάντα ἐν τόπῳ γὰρ πάντα. ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἅμα, κατά τε τὴν δύναμιν καὶ κατ' ἐνέργειαν. πότερον δὲ μὴ οὔσης τῆς ψυχῆς εἴη ἂν ὁ χρόνος, ἢ οὔ, ἀπορήσειεν ἄν τις. ἀδυνάτου γὰρ ὄντος τοῦ ἀριθμήσοντος, ἀδύνατον καὶ ἀριθμητόν τι εἶναι ἀριθμητόν τι. ὥστε δῆλον ὅτι οὐδ' ἀριθμός.

Ζ συνάγει νῦν τὰς κυριωτάτας τοῦ συλλογισμοῦ προτάσεις ἐν συντόμῳ. ἐν πάσῃ κινήσει φησὶ, τὸ πρότερόν ἐστι καὶ τὸ ὕστερον. τὸ πρότερον καὶ τὸ ὕστερον, ἐν χρόνῳ ἐστί. πᾶσα ἄρα κίνησις ἐν χρόνῳ ἐστί. Ἄξιον δὲ ἐπισκέψεως καὶ πῶς ποτε ἔχει ὁ χρόνος πρὸς τὴν ψυχήν. ἐντεῦθεν τὰς εἰρημένας ἀπορίας ἄρχεται. ἡ δευτέρα ἀπορία αὕτη. ἢ ὅτι κινήσεώς τι πάθος. ἡ λύσις τῆς δευτέρας ἀπορίας, ὃ γὰρ τῆς κινήσεώς φησιν ἕξις τις ἢ πάθος ἐστὶν ὁ χρόνος, ἀριθμός γε ὢν αὐτῆς, πάντα δὲ ταῦτα κινητά ἐστιν, λέγω δὴ οὐρανὸς γῆ θάλασσα καὶ τὰ λοιπὰ, εἰκότως καὶ ὁ χρόνος, ἐν πᾶσίν ἐστι τούτοις. Ὅτι δὲ κινητά ἐστι ταῦτα πάντα, οὐρανός φημι, γῆ, θάλασσα, καὶ τὰ λοιπὰ, δῆλόν φησιν, ὅτι καὶ ἐν τόπῳ ἐστίν. ὡς δὴ πάντως τῶν ἐν τόπῳ ὄντων, εὐθὺς καὶ κινητῶν ὄντων. ἀμέλει φησὶν, ὡς ἔχει ἕκαστον τούτων, τὸ ἐν τόπῳ εἶναι, οὕτως ἔχει, καὶ τὸ κινητὸν εἶναι. τὸ μὲν γὰρ δυνάμει ἐν τόπῳ, καὶ δυνάμει ἐστὶ κινητόν. τὸ δὲ ἐνεργείᾳ ἐν τόπῳ, ἐνεργείᾳ ἐστὶ κινητόν. ὁμοίως τὸ καθ' ὅλον αὐτὸ ἐν τόπῳ, καὶ καθ' ὅλον ἐστὶ κινητόν. καὶ τὸ κατὰ μέρη ἐν τόπῳ, κατὰ μέρη ἐστὶ κινητόν. τοῦτο δὲ, παντελῶς ἐστι ψεῦδος, καὶ ἐξ αὐτῶν τῶν δοκούντων τῷ ἀριστοτέλει. αἱ γοῦν σφαῖραι, αἱ ἐντὸς τῆς ἀπλανοῦς, καθ' ὅλας ἑαυτὰς οὖσαι ἐν τόπῳ ὅμως οὐ κινοῦνται καθ' ὅλας ἑαυτάς. καὶ ἡ γῆ, καθ' ὅλην ἑαυτὴν οὖσα ἐν τόπῳ, ὅμως οὐ κινεῖται καθ' ὅλην ἑαυτήν. κατὰ μόρια γὰρ ἀλλοιοῦται. ὃ καὶ συμβαίνει περὶ πᾶσαν ἀλλοίωσιν. ὥσπερ γὰρ καίτοι πάντων τῶν μορίων αὐτῆς γινομένων καὶ φθειρομένων, οὐ λέγεται αὐτὴ καθ' ὅλην αὐτὴν φθείρεσθαι ἀλλὰ κατὰ μόρια, οὕτω καὶ πάντων ἀλλοιουμένων, οὐκ ἂν λεχθείη καθ' ὅλην ἀλλοιοῦσθαι, ἀλλὰ κατὰ μόρια. ὁ μὲν οὖν ἀριστοτέλης εἰπὼν, ὅτι ὁ τόπος καὶ ἡ κίνησις ἅμα, κατά τε δύναμιν καὶ ἐνέργειαν, τουτέστιν ὃ δυνάμει ὁ τόπος, καὶ ἡ κίνησις δυνάμει, καὶ ὃ ἐνεργείᾳ, καὶ ἡ κίνησις ἐνεργείᾳ, οὐκέτι προσέθηκεν, ὃ καὶ καθ' ὅλον ὁ τόπος ἢ κατὰ μέρος, οὕτω καὶ ἡ κίνησις. ἀλλ' οἱ ἐξηγούμενοι αὐτόν φασιν, ἐπεὶ καὶ τὸ ἐν τόπῳ εἶναι, ἢ καθ' ὅλον ἐστὶν ἢ κατὰ μέρος. ὥστε ὡς ἂν ἔχῃ τὸ ἐν τόπῳ εἶναι, οὕτως ἔχει καὶ τὸ κινητὰ εἶναι. τοῦτο μὲν οὖν ἐν τούτοις. τὸ δὲ ὅλως τῷ ἐν τόπῳ εἶναι, εὐθὺς καὶ κινητὸν εἶναι λέγειν, οὐχ οὕτως ἀκουστέον, ὡς τοῦ τόπου πάντως κινήσεως αἰτίου γινομένου, ἀλλ' ὡς ἑπομένου πάντως τῷ ὄντι ἐν τόπῳ, καὶ τοῦ κινητοῦ. ἐφεξῆς δὲ τὴν προτέραν ἀπορίαν τιθεὶς ἐπιλύεται.

» ΑΡΙΘΜΟΣ γὰρ ἢ τὸ ἠριθμημένον, ἢ τὸ ἀριθμητόν. εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἢ ψυχὴ ἀριθμεῖν καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον, ψυχῆς μὴ οὔσης. ἀλλ' ἢ τοῦτο ὅ ποτε ὂν ἐστὶν ὁ χρόνος, οἷον εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς εἶναι.

Θ ἀριθμός φησιν, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ ἀριθμητὸν δυνάμει, ἢ ἐνεργείᾳ. καὶ γὰρ εἴρηται, ὅτι ὁ ἀριθμὸς διττός.

ὁ μὲν

ἔτι ἠρεμεῖ, μετρεῖται ὑπὸ τοῦ χρόνου πάντως, καὶ ἡ κίνησις αὐτῶν, καὶ ἡ ἠρεμία. ὥσπερ οὖν λέγω τὴν ἡμέραν πανταχοῦ εἶναι, οὐ τῷ τῇ τούτων κινήσει τὴν ἡμέραν παρακολουθεῖν ἢ τῇ ἠρεμίᾳ, ἀλλὰ τῷ πάντως τῆς κινήσεως καὶ τῆς ἠρεμίας μέτρον εἶναι τὴν ἡμέραν, οὕτω καὶ τὸν χρόνον πανταχοῦ φαμὲν εἶναι. ἡ γὰρ ἡμέρα, χρόνος τίς. ὁρίζεται δὲ καὶ τὸ εἶναι ἔχει ὁ χρόνος ἐκ τῆς πρώτης τῶν κινήσεων, ὡς πολλάκις εἴρηται. πρὸς δὲ τὴν προτέραν ἀπορίαν, ἥτις ἐζήτει, πῶς ἔχει ἡ ψυχὴ πρὸς τὸν χρόνον, πότερον καὶ μὴ οὔσης ψυχῆς τῆς ἀριθμούσης, ἔστιν ὁ χρόνος, ἢ οὔ, λύεται τῷ τοιούτῳ τρόπῳ. ὅτι ὁ ἀριθμὸς κινήσεως ὁ χρόνος, ἀριθμὸς δὲ οὐχ ὁ ἀριθμῶν, ἀλλ' ὁ ἀριθμούμενος, ἀνάγκη δὲ πᾶσα, μὴ ὄντος τοῦ ἀριθμοῦντος, μηδὲ τὸ ἀριθμούμενον εἶναι, τῶν γὰρ πρός τι τὰ τοιαῦτα, λέγω δὴ τὸ ἀριθμοῦν καὶ τὸ ἀριθμούμενον, μὴ ὄντος δὲ τοῦ ἀριθμουμένου, οὐδὲ ὁ ἀριθμὸς ἔσται, ἀνάγκη ἄρα πᾶσα, μὴ οὔσης ψυχῆς, μηδὲ ἀριθμὸν εἶναι. οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ ἀριθμοῦν, ἢ ψυχή. καὶ ψυχὴ οὐ πᾶσα, ἀλλ' ἡ λογική. ὥστε ἀναιρεθείσης τῆς ψυχῆς, ἀναιρεῖται καὶ τὸ ἀριθμοῦν. ἀνῃρημένου δὲ τοῦ ἀριθμοῦντος, ἀνῄρηται καὶ τὸ ἀριθμητόν. ἀνῃρημένου δὲ τοῦ ἀριθμητοῦ, ἀνῄρηται καὶ ὁ ἀριθμός. ἀνῃρημένου δὲ τοῦ ἀριθμοῦ, ἀνῄρηται καὶ ὁ χρόνος. ἀνῃρημένης ἄρα τῆς ψυχῆς, ἀνῄρηται καὶ ὁ χρόνος. ἀλλὰ πρὸς ταῦτα ἐρεῖ τις, ὅτι εἰ μὲν ταὐτὸν ἦν ἀριθμητὸν εἰπεῖν καὶ ἀριθμόν, ἀνάγκη ἦν πᾶσα τῷ ὄντι, ψυχῆς ἀναιρεθείσης, ἀναιρεῖσθαι τὸ ἀριθμητόν. καὶ τούτου ἀναιρεθέντος, ἀναιρεῖσθαι καὶ τὸν ἀριθμόν. καὶ διὰ τοῦτον, τὸν χρόνον. νῦν δὲ, οὐ ταὐτόν ἐστιν εἰπεῖν ἀριθμὸν καὶ ἀριθμητόν. τί οὖν κωλύει, τὸν χρόνον, ὡς μὲν ἀριθμητὸν ἀναιρεῖσθαι, τῆς ψυχῆς ἀναιρεθείσης. ὡς μέντοι ἀριθμόν, μὴ ἀναιρεῖσθαι. ἐπεὶ καὶ ἡ δεκὰς τῶν λίθων, ψυχῆς ἀναιρεθείσης, ὡς μὲν ἀριθμητόν, ἀνῄρηται. ὡς μέντοι ἀριθμός, οὐκέτι. ἔστι γὰρ ἡ δεκὰς τῶν λίθων καὶ μὴ οὔσης τῆς ψυχῆς. ἀλλ' εἰ ὅλως φησὶν ἀναιρουμένης ψυχῆς πάσης, ἀνῄρηται καὶ πᾶσα κίνησις, πάσης δὲ κινήσεως ἀναιρουμένης, ἀνῄρηται καὶ ὁ χρόνος, εἴγε πάθος τι κινήσεως ὁ χρόνος, ἀνάγκη ἄρα πᾶσα, καθόλου τῆς ψυχῆς ἀναιρεθείσης, ἀναιρεῖσθαι καὶ τὸν χρόνον. ψυχῆς γὰρ ἀναιρεθείσης, οὐ μόνον αἱ ἀπὸ ψυχῆς γινόμεναι κινήσεις συναναιροῦνται, ἀλλὰ καὶ αἱ φυσικαί. οἷον αἱ τῶν βαρέων καὶ αἱ τῶν κούφων, οὐδὲ γὰρ κόσμος ἔτι ὁ κόσμος, τῆς κύκλῳ κινήσεως ἀναιρεθείσης. ἀναιρεῖται δὲ αὕτη, ψυχῆς ἀναιρεθείσης. καλῶς ἄρα εἴρηται, ὅτι ψυχῆς ἀναιρεθείσης, ἀναιρεῖται καὶ ὁ χρόνος. καὶ οὐ μόνον πάσης ἁπλῶς, ἀλλὰ καὶ τῆς λογικῆς. μὴ οὔσης γὰρ τῆς λογικῆς, οὐδὲ ἡ ἄλογος ἔσται. εἴγε φύσει πρότερον, τὸ λογικὸν τοῦ ἀλόγου. καὶ ἄλλως. εἰ δέδεικται ὅτι πρὸ τῶν ἑτεροκινήτων, ταῦτα δέ ἐστι τὰ σώματα, ἀνάγκη πᾶσα εἶναι τὰ αὐτοκίνητα, καὶ τῶν ἐν χρόνῳ κινουμένων τὰ ἀκίνητα, καὶ πάντων ἁπλῶς τῶν κινουμένων τὰ ἀκίνητα αἴτια, ταῦτα δέ ἐστιν αἱ ψυχαί, ἀνάγκη πᾶσα δηλονότι τούτων ἀναιρεθεισῶν πᾶσαν ἀναιρεῖσθαι κίνησιν.

» ΤΟ γὰρ θᾶττον καὶ βραδύτερον, κατὰ πᾶσάν ἐστι μεταβολήν. ἐν πᾶσι γὰρ οὕτω φαίνεται. λέγω δὲ
» θᾶττον κινεῖσθαι τὸ πρότερον μεταβάλλον εἰς τὸ ὑποκείμενον κατὰ τὸ αὐτὸ διάστημα, καὶ ὁμαλὴν κί-
» νησιν κινούμενον. οἷον ἐπὶ τῆς φορᾶς, εἰ ἄμφω κατὰ τὴν περιφερῆ κινεῖται, ἢ ἄμφω κατὰ τὴν εὐθεῖαν. ὁ-
» μοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἀλλὰ μὴν τό γε πρότερον ἐν χρόνῳ ἐστί. πρότερον γὰρ καὶ ὕστερον λέγο-
» μεν, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν. τὸ δὲ νῦν ὅρος τοῦ παρήκοντος, καὶ τοῦ μέλλοντος. ὥστε ἐπεὶ τὰ νῦν
» ἐν χρόνῳ, καὶ τὸ πρότερον καὶ ὕστερον ἐν χρόνῳ ἔσται.

Εἰπὼν πῶς λέγει κατὰ πᾶσαν μεταβολὴν τὸ θᾶττον καὶ τὸ βραδύτερον, ὅτι οὐ καθ' ἑκάστην καὶ μίαν τῷ ἀριθμῷ, ἀλλὰ κατὰ πᾶσαν τῷ γένει μεταβολήν, οἷον ἐν τῇ κατὰ τόπον, καὶ ταύτης ἐν τῇ κυκλοφορίᾳ, ἐπὶ μέντοι τῶν γεννητῶν καὶ φθαρτῶν, τὸ θᾶττον καὶ τὸ βραδύτερον, καὶ ἐν τοῖς καθέκαστα ἰδεῖν ἐστιν, ἐκεῖνό φησι λέγω θᾶττον κινεῖσθαι, τὸ πρότερον μεταβάλλον εἰς τὸ ὑποκείμενον. ὑποκείμενον λέγων τὸ τέλος, ἐφ' ὃ ἐπείγεται ἡ κίνησις. τὸ οὖν πρότερον εἰς τὸ τέλος ἀφικνούμενον, καὶ ὁμαλὴν κίνησιν κινούμενον, τοῦτό ἐστι τὸ θᾶττον κινούμενον τοῦ αὐτοῦ διαστήματος ὄντος. καλῶς δὲ προσέθηκε, τὸ ὁμαλὴν κίνησιν κινούμενον. εἰ γὰρ ἀνωμάλως κινεῖται, νῦν μὲν ὀξύτερον κινούμενον νῦν δὲ βραδύτερον, οὐδ' ἂν διακριθῆναι δύναιτ' ἄν. οἷον ἐπὶ τῆς φορᾶς, εἰ ἄμφω κατὰ τὴν περιφέρειαν κινεῖται, ἢ ἄμφω κατὰ τὴν εὐθεῖαν. δεῖ γὰρ τὸ αὐτὸ εἶναι διάστημα, μὴ μόνον κατὰ τὸ ποσόν, ἀλλὰ καὶ κατὰ τὸ ποιόν. εἰ γὰρ τὸ μὲν κινεῖται ἐπὶ εὐθείας, τὸ δὲ ἐπὶ περιφερείας, ἴσων τῷ μεγέθει, δύναται τὸ ἐπὶ τῆς περιφερείας κινούμενον ὀξυκινητότερον ὑπάρχον, ὕστερον ἀφικνεῖσθαι εἰς τὸ τέλος. ἐμποδίζεται γὰρ τὸ κινούμενον, διὰ τὴν καμπήν, ἐπὶ τῆς περιφερείας. καὶ σαφὲς τοῦτο, καὶ ἐκ τῶν ἀγωνιζομένων ἵππων. ὁρῶνται γὰρ ἐν τῇ καμπῇ βραδύτερον κινούμενοι. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. ὡς ἐπὶ τῆς ἕλικος. οὐ γὰρ ὡσαύτως τῷ τάχει ἐπὶ ἕλικος κινεῖταί τι, καὶ ἐπ' εὐθείας. Ἰστέον δὲ, ὅτι τὸ συμπέρασμα θεὶς, ὅπερ βούλεται κατασκευάσαι, τὰς προτάσεις δι' ὧν τοῦτο συνάγεται οὐ πρότερον τίθησιν. ἀλλ' ἑκάστην πρότερον κατασκευάζει. εἶτα κατασκευάσας αὐτάς, οὕτω συνάγει τὸν ὅλον συλλογισμόν. πρότερον δὲ τὴν ἐλάττονα κατασκευάζει πρότασιν. αὕτη δέ ἐστιν ἡ λέγουσα, ἐν πάσῃ κινήσει, τὸ πρότερόν ἐστι καὶ τὸ ὕστερον. κατασκευάζει δὲ τοιούτῳ συλλογισμῷ. ἐν πάσῃ κινήσει, τὸ θᾶττόν ἐστι καὶ βραδύτερον. τὸ θᾶττον καὶ τὸ βραδύτερον, πρότερόν ἐστι καὶ ὕστερον. ἐν πάσῃ ἄρα κινήσει, τὸ πρότερόν ἐστι καὶ ὕστερον. Τὸ γὰρ θᾶττον καὶ

» ΣΗΜΕΙΟΝ δὲ ἱκανὸν, ὅτι γίνεται μὲν οὐδὲν ἄνευ τοῦ κινεῖσθαί πως αὐτὸ καὶ πράττειν. φθείρεται δὲ καὶ μηδὲν κινούμενον. καὶ ταύτην μάλιστα λέγειν εἰώθαμεν ὑπὸ τοῦ χρόνου φθοράν. οὐ μὴν ἀλλ' οὐδὲ ταύτην ὁ χρόνος ποιεῖ. ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίνεσθαι καὶ ταύτην τὴν μεταβολήν. ὅτι μὲν οὖν ἔστιν ὁ χρόνος, καὶ τί, καὶ ποσαχῶς λέγομεν τὸ νῦν, καὶ τί τὸ ποτὲ, καὶ τὸ ἄρτι, καὶ τὸ ἤδη, καὶ τὸ πάλαι, καὶ τὸ ἐξαίφνης, εἴρηται.

Σημεῖον δέ φησιν ἱκανὸν, τοῦ τὸν χρόνον φθορᾶς μᾶλλον καθ' αὑτὸ αἴτιον εἶναι, γενέσεως δὲ κατὰ συμβεβηκὸς, ὅτι πάσης μὲν γενέσεώς ἐστι ποιητικὸν αἴτιον ὡρισμένον· οἷον αὐτοῦ μὲν αὐτός· οἰκίας δὲ οἰκοδόμος· καὶ τῶν ἄλλων ὡσαύτως. ἀδύνατον γὰρ γενέσθαι τι, ἄνευ τοῦ κινηθῆναι αὐτὸ καὶ μεταβαλεῖν. πᾶν δὲ τὸ κινούμενον, ὑπό τινος κινητικοῦ αἰτίου κινεῖται. ὥστε πᾶν τὸ γινόμενον ὑπό τινος αἰτίου γίνεται, ὑπὸ τοῦ κινοῦντός φημι καὶ μεταβάλλοντος. τῷ δὲ τὸ γινόμενον κινεῖσθαι, πᾶσαν δὲ κίνησιν χρόνῳ μετρεῖσθαι, κατὰ συμβεβηκὸς ὁ χρόνος αἴτιος γενέσεως λέγεται. οὕτω μὲν οὖν γενέσεως πάσης τὸ αἴτιον ἔστιν ἰδεῖν, ἐπειδὴ καὶ κινηθῆναι πάντως ἀνάγκη τὸ γινόμενον. φθορᾶς δὲ οὐ πάσης ἔστιν ἰδεῖν τὸ ποιητικὸν αἴτιον, ἀλλ' ἢ τὸν χρόνον μόνον. πᾶσαι γὰρ αἱ οἰκίαι ὑπὸ μόνου τοῦ χρόνου κάμνουσι. ὡς δὲ καὶ ἱμάτιον φθαρήσεται, καὶ τὰ τοιαῦτα, καὶ μηδεμιᾶς κινήσεως προφανοῦς περὶ αὐτὰ γινομένης, ἀλλ' ἑστηκότων καὶ ἠρεμούντων, ὡς μηδὲν ἄλλο ἔχειν τῆς φθορᾶς προφανὲς αἰτιάσασθαι αἴτιον, ἢ τὸν χρόνον, καὶ ταῦτα μὲν, ὡς πρὸς τὴν κοινὴν χρῆσιν, καὶ τὸ μὴ ἔχειν πρόδηλόν τι τῆς φθορᾶς αἰτιάσασθαι αἴτιον, ὁ Ἀριστοτέλης φησίν. ὅτι δὲ οὐδὲ οὗτός ἐστιν ὁ χρόνος πρώτως φθορᾶς αἴτιος, καὶ αὐτὸς εὐθὺς ἐπήγαγεν, οὐ μὴν λέγων ἀλλ' οὐδὲ ταύτην ὁ χρόνος ποιεῖ. ἀλλὰ συμβαίνει ἐν χρόνῳ γίνεσθαι καὶ ταύτην τὴν μεταβολήν. τί οὖν τὸ ποιητικὸν τῆς φθορᾶς αἴτιον; φαμὲν ὅτι ἡ ὕλη, μὴ πεφυκυῖα διόλου στέγειν τὰ εἴδη. οὐ πέφυκε δὲ διόλου στέγειν, διότι πάντων ἔχει τὰς δυνάμεις, καὶ δεῖ κατὰ πᾶσαν δύναμιν τὴν ἐν αὐτῇ ἐνεργῆσαι, ἅμα μὴ μέλλει ματαίας ἔχειν τὰς δυνάμεις. διὰ τοῦτο οὖν τοιαύτη ἐστὶν, ὡς μὴ δύνασθαι διόλου ἓν καὶ τὸ αὐτὸ στέγειν εἶδος, ὥστε καὶ κατὰ τὰς ἄλλας δυνάμεις ἐνεργῆσαι. πρῶτον μὲν οὖν τοῦτο τῆς φθορᾶς αἴτιον. καὶ ἄλλο δὲ, τὸ πεπερασμένην εἶναι τῶν γινομένων τὴν δύναμιν. ὥσπερ γὰρ ὥρισται τὸ τῆς αὐξήσεως μέτρον, εἰς ὃ ἀφικνουμένη ἡ φύσις ἵσταται, οὕτω καὶ τὸ τῆς ὑπάρξεως ἑκάστου μέτρον ὡρισμένον ἐστὶν, εἰς ὃ ἀφικνούμενα τὰ πράγματα, φθείρεται. ὥστε ποιητικὸν αἴτιον τῆς φθορᾶς, τὸ μηδὲν τῶν πραγμάτων ἀπειροδύναμον εἶναι.

» ΤΟΥΤΩΝ δὲ ἡμῖν οὕτω διηριθμημένων, φανερὸν ὅτι ἅπασα μεταβολὴ, καὶ ἅπαν τὸ κινούμενον ἀνάγκη κινεῖσθαι ἐν χρόνῳ.

Διαλεχθεὶς περὶ τῶν χρονικῶν προσρημάτων, νῦν ἀποδείξεις τινὰς ἐκτίθεται, προσηκούσας τῷ περὶ χρόνου λόγῳ. πρότερον δὲ ὅπερ εἶπεν ἤδη, νῦν κατασκευάζει, ὅτι πᾶσα κίνησις ἐν χρόνῳ ἐστί. κατασκευάζει δὲ συλλογισμῷ τοιούτῳ. πᾶσα κίνησις τὸ πρότερον ἔχει καὶ τὸ ὕστερον. τὸ πρότερον καὶ τὸ ὕστερον ἐν χρόνῳ ἐστί. πᾶσα ἄρα κίνησις ἐν χρόνῳ ἐστίν. ἢ καὶ ἐν δευτέρῳ σχήματι οὕτω. τὸ πρότερον καὶ τὸ ὕστερον, ἐν κινήσει ἐστί. τὸ πρότερον καὶ τὸ ὕστερον ἐν χρόνῳ ἐστίν. ἡ κίνησις ἄρα ἐν χρόνῳ ἐστί. κατασκευάζει δὲ ἑκατέραν τῶν προτάσεων. καὶ τὴν μὲν ἐλάττονα, τοῦτον τὸν τρόπον. πᾶσα κίνησις, τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον. τὸ θᾶττον καὶ τὸ βραδύτερον, τὸ πρότερον ἔχει καὶ τὸ ὕστερον. τὸ γὰρ θᾶττον ἀφικνούμενον εἰς τὸ τέλος, πρότερον φαμὲν εἶναι. τὸ δὲ βραδύτερον, ὕστερον. πᾶσα ἄρα κίνησις τὸ πρότερον ἔχει καὶ τὸ ὕστερον. ὅταν δὲ λέγωμεν, πᾶσαν κίνησιν τὸ θᾶττον ἔχειν καὶ τὸ βραδύτερον, οὐ περὶ τῆς καθ' ἕκαστα φαμὲν κινήσεως, ἀλλὰ περὶ τοῦ εἴδους αὐτοῦ τῆς κινήσεως. οἷον ἐν ὅλῃ τῇ κατὰ τόπον κινήσει ὡς ὅλῃ ἐστὶ τὸ θᾶττον καὶ τὸ βραδύτερον. καὶ τῇ κατὰ τόπον ἐν τῇ κυκλοφορίᾳ ὅλῃ ὡς ὅλῃ. τῶν γὰρ κυκλοφοριῶν, αἱ μέν εἰσι ταχυκίνητοι, αἱ δὲ βραδυκίνητοι. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὕτω μὲν οὖν τὴν ἐλάττονα κατασκευάζει πρότασιν. καὶ τὴν μείζονα δὲ οὕτω. τὸ πρότερον καὶ τὸ ὕστερον, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν κρίνεται. τῷ γὰρ ἐγγυτέρω μᾶλλον εἶναι τοῦ νῦν, ἢ ἀφεστάναι, τὸ πρότερον λέγεται καὶ τὸ ὕστερον. ἡ δὲ πρὸς τὸ νῦν ἀπόστασις ἐν χρόνῳ ἐστίν. εἰ γὰρ τὸ νῦν ἐν χρόνῳ, καὶ ἡ ἀπόστασις τοῦ νῦν ἐν χρόνῳ ἂν εἴη. τὸ γὰρ ἀφεστάναι τοῦ νῦν, τί ἄλλο ἐστὶν, ἢ χρόνῳ αὐτοῦ διεστηκέναι. ὥστε εἰ τὸ μὲν πρότερον καὶ ὕστερον, κατὰ τὴν πρὸς τὸ νῦν ἀπόστασιν κρίνεται, ἡ δὲ τοῦ νῦν ἀπόστασις ἐν χρόνῳ, καὶ τὸ πρότερον ἄρα καὶ ὕστερον ἐν χρόνῳ. τὸ δὲ πρότερον φησὶ καὶ ὕστερον, ἐναντίως λέγεται κατά τε τὸν παρεληλυθότα χρόνον, καὶ τὸν μέλλοντα. ἐπὶ μὲν γὰρ τοῦ παρεληλυθότος χρόνου πρότερον λέγομεν τὸ μᾶλλον ἀφεστηκὸς τοῦ νῦν. ὕστερον δὲ τὸ ἐγγυτέρω τοῦ νῦν. πρότερα γὰρ λέγομεν τὰ Ἰλιακὰ τῶν Πελοποννησιακῶν. ἐπὶ δὲ τοῦ μέλλοντος ἀνάπαλιν, πρότερον λέγομεν τὸ ἐγγυτέρω τοῦ νῦν, ὕστερον δὲ, τὸ πορρωτέρω. προτέραν γὰρ φαμὲν τὴν ἐν τῇ γαστρὶ πέψιν τῆς ἐν τῷ ἥπατι. ταῦτα εἰπὼν, ἐφεξῆς δύο ἀπορίας τίθησι προσηκούσας τῷ περὶ τοῦ χρόνου λόγῳ. μίαν μὲν, πῶς ἔχει ὁ χρόνος πρὸς τὴν ψυχήν. πότερον ἐνδέχεται ἀναιρεθείσης τῆς ψυχῆς, τὸν χρόνον εἶναι. δευτέραν, πῶς πανταχοῦ ἐστιν ὁ χρόνος. καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ καὶ ἐν οὐρανῷ. καὶ ἐπιλύεται πρότερον τὴν δευτέραν ἀπορίαν. λέγων, διότι ὁ χρόνος μέτρον ἐστὶ κινήσεως, πάντα δὲ ταῦτα κινητά ἐστιν. οὐρανός. γῆ. θάλασσα. ἐπεὶ οὖν ταῦτα κινητά ἐστι, κινήσεως δὲ ἀριθμὸς ὁ χρόνος, μετρεῖται δηλονότι καὶ ταῦτα ὑπὸ τοῦ χρόνου. εἰκότως οὖν ἐν πᾶσι τούτοις λέγεται εἶναι ὁ χρόνος. εἴ τι γὰρ κινεῖται,

Εἰ γὰρ δεῖ τὸ ποτὲ πεπεράνθαι πρὸς τὸ νῦν, τὸ ἐνεστηκὸς λέγω, ἔστιν ἄρα ὡρισμένον τι ποσὸν τοῦ χρόνου τούτου, ἀπὸ τοῦ ἐνεστῶτος μετρούμενον εἰς ἐκεῖνο. καλῶς ἄρα εἴρηται, ὅτι ὡρισμένος χρόνος ἐστὶ τὸ ποτέ. εἰ δὲ μηδεὶς χρόνος ὃς οὐ ποτέ, πᾶς ἂν εἴη χρόνος πεπερασμένος. εἰ γὰρ τὸ ποτὲ ἐπὶ παντὸς λέγεται χρόνου, ἐν τῷ παρεληλυθότι γὰρ καὶ τῷ μέλλοντι πᾶς χρόνος, ἐν τούτοις δὲ τὸ ποτέ, τὸ δὲ ποτὲ πεπέρασται· καὶ πᾶς ἄρα χρόνος πεπέρασται. ὅθεν καὶ ἀπορεῖ, εἰ πᾶς χρόνος πεπέρασται, ἆρα καὶ ἐπιλείψει ὁ χρόνος, ἢ οὔ. δόξει γὰρ διὰ τὸ πάντα εἶναι πεπερασμένον καὶ ὑπολείπειν. ἀλλ᾽ εἰ καὶ πᾶς ὁ λαμβανόμενος πεπερασμένος ἐστίν, ἀλλ᾽ οὖν εἴπερ ἀΐδιος ἡ κίνησις ἧς ἀριθμὸς ὁ χρόνος, ἀνάγκη καὶ αὐτὸν ἀΐδιον εἶναι. τί οὖν φησιν, ὡς καὶ ὁ αὐτὸς ὁ χρόνος κατ᾽ ἀριθμόν, ἢ τῷ εἴδει εἷς μόνον. καὶ φησίν, ὅτι ὡς ἂν ἔχῃ ἡ κίνησις, οὕτως ἔχει καὶ ὁ χρόνος. εἰ μὲν γὰρ μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ, καὶ ὁ χρόνος ὡσαύτως. εἰ δὲ τῷ εἴδει μόνον μία, καὶ ὁ χρόνος τῷ εἴδει μόνον εἷς. ὡς ἐν ὑποθέσει δὲ τὸν λόγον προήγαγε. τὸ δὲ ἀληθὲς πρόδηλον, ὅτι τῷ εἴδει μόνον εἷς ὁ χρόνος, οὐ μέντοι ἀριθμῷ, διότι καὶ ἡ κίνησις.

» ΕΠΕΙ δὲ τὸ νῦν, τελευτὴ καὶ ἀρχὴ τοῦ χρόνου, ἀλλ᾽ οὐ τοῦ αὐτοῦ, ἀλλὰ τοῦ μὲν παρήκοντος τελευτή, ἀρχὴ δὲ τοῦ μέλλοντος, ἔχοι ἂν ὥσπερ ὁ κύκλος ἐν τῷ αὐτῷ πως τὸ κυρτὸν καὶ τὸ κοῖλον, οὕτω καὶ ὁ χρόνος ἀεὶ ἐν ἀρχῇ καὶ τελευτῇ. καὶ διὰ τοῦτο δοκεῖ ἀεὶ ἕτερος. οὐ γὰρ τοῦ αὐτοῦ ἀρχὴ καὶ τελευτή, τὸ νῦν. ἅμα γὰρ ἂν καὶ κατὰ τὸ αὐτό, τὰ ἀντικείμενα εἴη. καὶ οὐχ ὑπολείψει δή. ἀεὶ γὰρ ἐν ἀρχῇ.

Εἰ τὸ νῦν φησι, τελευτὴ μέν ἐστι τοῦ παρελθόντος χρόνου, ἀρχὴ δὲ τοῦ μέλλοντος, τὸν αὐτὸν ἂν ἔχει λόγον, ὃν ἔχει ὁ κύκλος πρὸς τὸ κυρτόν, καὶ τὸ κοῖλον. καθ᾽ ἓν γὰρ καὶ τὸ αὐτὸ ὑποκείμενον, ἡ γραμμή, κατ᾽ ἄλλην καὶ ἄλλην σχέσιν, καὶ κυρτή ἐστι καὶ κοίλη. εἰ τοίνυν τοιοῦτόν ἐστι τὸ νῦν, καὶ ἓν καὶ τὸ αὐτό, καὶ ἀρχή ἐστι καὶ τελευτή, ἄλλου μὲν τελευτή, ἄλλου δὲ ἀρχή, οὐδέποτε ὑπολείψει ὁ χρόνος. ἀεὶ γὰρ τὸ ληφθὲν τοῦ χρόνου πέρας, ἀλλ᾽ ἔστι χρόνου ἀρχή. ἀδύνατον γὰρ ἓν καὶ τὸ αὐτὸ νῦν, τοῦ αὐτοῦ χρόνου καὶ ἀρχὴν εἶναι καὶ τέλος. οὕτω γὰρ ἂν ἅμα καὶ κατὰ ταὐτόν, τὰ ἐναντία ὑπῆρξεν. εἰ τοίνυν τοιοῦτον τὸ νῦν, ἀεὶ ἐν ἀρχῇ ἔσται ὁ χρόνος. ὥστε οὔποτε λείψει.

» ΤΟ δ᾽ ἤδη, τὸ ἐγγύς ἐστι τοῦ παρόντος νῦν ἀτόμου μέρος τοῦ μέλλοντος χρόνου. πότε βαδίζεις, ἤδη. ὅτι ἐγγὺς ὁ χρόνος ἐν ᾧ μέλλει. καὶ τοῦ παρελθόντος χρόνου τὸ μὴ πόρρω τοῦ νῦν. πότε βαδίζεις, ἤδη βεβάδικα. τὸ δ᾽ Ἴλιον φάναι ἤδη ἑαλωκέναι, οὐ λέγομεν, ὅτι πόρρω λίαν τοῦ νῦν.

Ὅτι τὸ ἤδη, μόριόν τι ἐστίν, ἤτοι τοῦ παρελθόντος χρόνου, ἢ τοῦ μέλλοντος, ἐγγὺς ὑπάρχον τοῦ ἀκαριαίου νῦν. ἂν δὲ ᾖ πόρρω αὐτοῦ, οὐκέτι ἤδη λέγεται.

» ΚΑΙ τὸ ἄρτι, τὸ ἐγγὺς τοῦ παρόντος νῦν, καὶ μόριον τοῦ παρελθόντος. πότε ἦλθες, ἄρτι. ἐὰν ᾖ ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν. πάλαι δέ, τὸ πόρρω.

Τίς ἡ διαφορὰ αὐτῶν πρὸς ἄλληλα, τοῦ τε πλατικοῦ νῦν, καὶ τοῦ ἤδη, καὶ τοῦ ἄρτι, ἔφθημεν εἰπόντες. τὸ δὲ πάλαι, καὶ αὐτὸ μὲν τοῦ παρεληλυθότος χρόνου μόριον, οὐκέτι μέντοι τὸ ἐγγὺς τοῦ ἀκαριαίου νῦν, ἀλλὰ τοῦ πόρρω.

» ΤΟ δ᾽ ἐξαίφνης, τὸ ἐν ἀναισθήτῳ χρόνῳ διὰ μικρότητα ἐκστάν.

Ὅταν γὰρ μεταβολή τις ἔκ τινος εἴς τι γένηται, εἶτα διὰ τὴν βραχύτητα τοῦ χρόνου μὴ συναισθώμεθα αὐτοῦ, ἐξαίφνης φαμὲν τὸ τοιοῦτον μεταβαλεῖν. ὥσπερ εἰ σπινθὴρ ἀνεπαισθήτως ὑποσμύχων ἐν φρυγάνοις, ἀθρόον ἐκπυρώσει τὴν ὕλην. διὰ γὰρ τὸ μὴ συναισθέσθαι τῆς ἐν τῷ βάθει μεταβολῆς, ἐξαίφνης ἐξῆφθαι φαμὲν τὴν ὕλην.

» ΜΕΤΑΒΟΛΗ δὲ πᾶσα φύσει ἐκστατικόν.

Ἐπειδὴ εἶπεν ἐκστάν, δῆλον ἐπὶ πᾶν μεταβαλόν, διὰ τοῦτο προστίθησι τοῦτο. ὅτι διὰ τοῦτο εἶπεν ἐκστάν, διότι πᾶσα μεταβολὴ ἐκστατικόν.

» ΕΝ δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται. διὸ καὶ οἱ μὲν σοφώτατον ἔλεγον. ὁ δὲ Πυθαγόρειος Πάρων, ἀμαθέστατον, ὅτι καὶ ἐπιλανθάνονται ἐν τούτῳ, λέγων ὀρθότερον. δῆλον οὖν ὅτι φθορᾶς μᾶλλον ἔσται καθ᾽ αὑτὸν αἴτιος, ἢ γενέσεως, καθάπερ ἐλέχθη καὶ πρότερον. ἐκστατικὸν γὰρ ἡ μεταβολὴ καθ᾽ αὑτήν. γενέσεως δὲ καὶ τοῦ εἶναι, κατὰ συμβεβηκός.

Ὅπερ ἤδη εἶπεν ἐν τοῖς ἔμπροσθεν, τοῦτο νῦν μᾶλλον διηρθρωμένως λέγει. πῶς πάντα λέγεται ὑπὸ τοῦ χρόνου φθείρεσθαι. καὶ ἱστορεῖ, ὅτι τῶν παλαιῶν, οἱ μὲν σοφώτατον ἐκάλουν τὸν χρόνον. Πάρων δέ φησιν ὁ Πυθαγόρειος, ὀρθότερον περὶ αὐτοῦ ἀποφαινόμενος, ἀμαθέστατον ἔλεγεν εἶναι τὸν χρόνον. διότι λήθης γεννητικὸς ὁ χρόνος. εἰ γὰρ ὁ χρόνος, ἢ μεταβολή τίς ἐστιν, ἢ πάντως μεταβολῆς τι πάθος, πᾶσα δὲ μεταβολὴ φύσει ἐκστατικόν ἐστιν, δῆλον ὅπως ἐκστάσεως μᾶλλον αἴτιος ἂν εἴη ὁ χρόνος, ἢ γενέσεως. εἰ δὲ πάντως τῇ ἐκστάσει τινὸς εἴδους, ἑτέρου εἴδους γένεσις παρακολουθεῖ, τοῦτο κατὰ συμβεβηκός. ἐπεὶ ἡ μεταβολὴ ὡς μεταβολή, ἁπλῶς ἐξίστησι τινός. συμβαίνει δὲ τῇ ἐκστάσει τινὸς εἴδους, ἕτερον εἶδος παρακολουθεῖν, διὰ τὸ ποιητικὸν αἴτιον, ὃ τῇ μεταβολῇ ὡς ὀργάνῳ χρῆται. πλὴν αὐτὴ καθ᾽ αὑτὴν ἡ μεταβολὴ θεωρουμένη, οὐδὲν ἄλλο, ἢ ἔκστασιν ἐργάζεται τοῦ ὑποκειμένου εἴδους. καθ᾽ αὑτὸ οὖν φθορᾶς αἴτιον ἡ μεταβολή. κατὰ συμβεβηκὸς δὲ γενέσεως.

λυφθῶσι. τὸ μέν τοι νῦν, οὐχ ἕστηκεν, ἀλλ' ἐν ῥύσει ἐστί.

» ΔΙΑΙΡΕΙ δὲ καὶ δυνάμει.

Δ υνάμει φησὶν, ἀντὶ τοῦ κατ' ἐπίνοιαν. διὰ τοῦτο καὶ ἡ διαίρεσις τοῦ χρόνου, κατ' ἐπίνοιαν. οὐ γὰρ δυνάμει διαιρεῖ τὸν χρόνον τὸ νῦν, ἐπεὶ καὶ ἐνεργείᾳ διεῖλεν ἄν. νῦν δὲ ὡς καὶ συνεχής ἐστιν ὁ χρόνος, ἐπινοίᾳ μόνον τὸ διαιρετὸν ἔχων.

» ΚΑΙ ᾗ μὲν τοιοῦτον, ἀεὶ ἕτερον τὸ νῦν. ᾗ δὲ συνδεῖ, ἀεὶ τὸ αὐτό.

Η τοιοῦτον, τουτέστιν ᾗ διαιρεῖ. καθὸ γὰρ διαιρεῖ, δύο σχέσεις ἀναδέχεται. καὶ τὴν τοῦ τέλους, καὶ τὴν τῆς ἀρχῆς. ἄλλο γὰρ αὐτῷ τὸ εἶναι τέλει τῷ τοῦ παρελθόντος χρόνου, καὶ ἄλλο τὸ εἶναι ἀρχῇ τοῦ μέλλοντος. ᾗ δὲ συνέχει τὸν παρεληλυθότα καὶ τὸν μέλλοντα, ταύτῃ ἕν ἐστι καὶ ταυτὸν, οὐ μόνον τῷ ὑποκειμένῳ, ἀλλὰ καὶ τῷ λόγῳ. ὡς γὰρ κοινὸν πέρας ἀμφοῖν λαμβάνεται. ὥσπερ ἂν εἰ νοήσεις μοι δύο μύρμηκας ἀπὸ τῶν δύο τῆς γραμμῆς ἄκρων κινηθέντας, καὶ εἰς ἕν τι καὶ τὸ αὐτὸ σημεῖον ἀμφοτέροις ἀποπερατώσαντας τὴν κίνησιν. τὸ οὖν σημεῖον εἰς ὃ ἀπεπερατώθησαν αἱ κινήσεις, κοινόν τι πέρας ἐστὶ, καὶ τέλος ἀμφοτέρων τῶν κινήσεων. οὕτως οὖν καὶ τὸ νῦν, εἰ μὴ ἁπλῶς ὡς δύο σχέσεις ἔχον λάβοιμεν, ἀλλ' ὡς ἕν τινα τὴν τοῦ πέρατος, τότε συνεχειά ἐστι τοῦ χρόνου.

» ΩΣΠΕΡ ἐπὶ τῶν μαθηματικῶν γραμμῶν. οὐ γὰρ ἡ αὐτὴ ἀεὶ μία στιγμὴ τῇ νοήσει. διαιρούντων
» γὰρ ἄλλη.

Τ ουτέστιν, ὥσπερ ἐπὶ τῶν μαθηματικῶν λαμβάνομεν στιγμήν τινα κατ' ἐπίνοιαν ἐν τῇ γραμμῇ, καὶ ταύτην ἀεὶ μίαν οὖσαν. μία δὲ ἐστὶ τῷ κατ' ἐπίνοιαν λαμβάνεσθαι, καὶ μὴ κατ' ἐνέργειαν. ὅταν μὲν ὡς διαιροῦσαν αὐτὴν λαμβάνωμεν, τὴν γραμμὴν, τότε ἄλλην καὶ ἄλλην τῷ λόγῳ λαμβάνομεν. ὅταν δὲ μὴ ὡς διαιροῦσαν αὐτὴν λάβωμεν, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν ἔχουσαν λόγον πρὸς ἀμφότερα τὰ μόρια τῆς γραμμῆς, τότε οὐ μόνον τῷ ὑποκειμένῳ μία γίνεται, ἀλλὰ καὶ τῷ λόγῳ. οὕτως οὖν καὶ τὸ νῦν κατ' ἐπίνοιαν λαμβανόμενον, εἰ μὲν ὡς δύο σχέσεις ἔχον αὐτὸ δεξόμεθα, διαίρεσις γίνεται τῷ χρόνῳ. εἰ δὲ ὡς ἕνα λόγον ἔχον, συνέχεια. ἔχει δὲ ἡ λέξις ἐν τισι καὶ οὕτως. ᾗ μὲν ἕν, ταύτῃ ἀεὶ μία ἡ στιγμή. τουτέστι καθὸ ἕν ἐστι τὸ σημεῖον, οὐ μόνον τῷ ὑποκειμένῳ, ἀλλὰ καὶ τῷ λόγῳ, ταύτῃ μία οὖσα ἡ στιγμὴ συνέχεια γίνεται τῆς γραμμῆς. τῇ νοήσει δὲ διαιρούντων ἀεὶ ἄλλη καὶ ἄλλη. τουτέστι ταύτην τὴν μίαν στιγμὴν, ἄλλην καὶ ἄλλην ποιοῦμεν τῷ λόγῳ, τῇ νοήσει διαιροῦντες τὴν γραμμήν.

» Η δὲ μία ἡ αὐτὴ πάντῃ. οὕτω καὶ τὸ νῦν, τὸ μὲν τοῦ χρόνου διαίρεσις κατὰ δύναμιν, τὸ δὲ πέρας ἀμ
» φοῖν καὶ ἑνότης. ἔστι δὲ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἡ διαίρεσις καὶ ἡ ἕνωσις. τὸ δ' εἶναι οὐ ταυτό.

Τ οῦτο ἀνάληψίς ἐστι τοῦ προτέρου. ὅτι ὅταν ὡς μίαν πάντῃ λάβωμεν, τὸν αὐτὸν ἔχει λόγον, καὶ συνέχει τὴν γραμμήν. ἔστι δέ φησι τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ, ἡ διαίρεσις καὶ ἡ σύνθεσις. ἐπὶ γὰρ τοῦ κατ' ἐπίνοιαν λαμβανομένου σημείου ταυτόν ἐστι τῷ ὑποκειμένῳ ἡ διαίρεσις καὶ ἡ σύνθεσις. τὸ γὰρ αὐτὸ κατ' ἄλλην καὶ ἄλλην ἐπίνοιαν, ἢ διῃρημένον νοεῖται, ἢ ἡνωμένον. καὶ κατὰ τὸ αὐτό. τουτέστι καθ' ἓν καὶ τὸ αὐτὸ σημεῖον. τοῦτο γάρ ἐστι, τὸ δι' ἑαυτοῦ ἢ ἑνοῦν, ἢ διαιροῦν τὴν γραμμὴν, ἄλλως καὶ ἄλλως λαμβανόμενον.

» ΤΟ μὲν οὖν οὕτω λέγεται τῶν νῦν. ἄλλο δὲ ὅταν ὁ χρόνος ὁ τούτου ἐγγὺς ᾖ. ἥξει νῦν. ὅτι τήμε
» ρον ἥξει, ἥκει νῦν, ὅτι ἦλθε τήμερον. τὰ δ' ἐν Ἰλίῳ γέγονεν οὐ νῦν. οὐδ' ὁ κατακλυσμὸς γέγονε νῦν. καί
» τοι συνεχὴς χρόνος εἰς αὐτά. ἀλλ' ὅτι οὐκ ἐγγύς.

Ο τι ἔστι καὶ τὸ πλατικὸν νῦν, χρόνος τις ἐγγὺς τοῦ ἀκαριαίου νῦν, καὶ κατὰ τὸν παρεληλυθότα χρόνον, καὶ κατὰ τὸν μέλλοντα. οὔτε δὲ τὰ πάλαι γενόμενα, οἷον τὰ ἐν Ἰλίῳ, οὔτε τὰ μετὰ πολὺ ἐσόμενα, οἷον εἰ ἔσται κατακλυσμὸς, νῦν λέγεται γεγονέναι, ἢ γενέσθαι. καί τοι συνεχοῦς ὄντος εἰς αὐτὰ τοῦ χρόνου, διότι μὴ σύνεγγύς ἐστι τοῦ ἀκαριαίου νῦν.

» ΤΟ δὲ ποτὲ, χρόνος ὡρισμένος πρὸς τὸ πρότερον νῦν. οἷον, ποτὲ ἐλήφθη ἡ Τροία. καὶ ποτὲ ἔσται κα
» τακλυσμός. δεῖ γὰρ πεπεράνθαι πρὸς τὸ νῦν.

Τ ὸ ποτέ φησι, χρόνος ὁριζόμενος ὑπὸ δύο νῦν, τοῦ τε ἐνεστῶτος, κἀκείνου, ἐν ᾧ ἢ γέγονεν, ἢ ἔσται τὸ πρᾶγμα. οἷον ποτὲ ἐλήφθη ἡ Τροία, φαμὲν πρὸ χιλίων ἐτῶν, περιορίζοντες τὸν χρόνον τοῦτον τῷ τε πάλαι νῦν, ἐν ᾧ ἐλήφθη ἡ Τροία, καὶ τῷ ἐνεστῶτι. ὁμοίως φαμὲν, ὅτι ἔσται ποτὲ ἔκλειψις μετὰ τοσόνδε χρόνον, περιορίζοντες πάλιν τὸν χρόνον τῷ τε ἐνεστῶτι νῦν, καὶ τῷ ἐσομένῳ, ἐν ᾧ ἔσται ἡ ἔκλειψις. εἰπὼν δὲ ὡρισμένος πρὸς τὸ πρότερον νῦν, ἔδωκε προσυπακούειν καὶ πρὸς τὸ ὕστερον. τὸ γὰρ πρότερον, ὑστέρου ἐστὶ πρότερον. τὸ δὲ πρότερον καὶ ὕστερον, οὐ τὸ αὐτὸ λαμβάνεται. ἀλλ' ἐπὶ μὲν τοῦ παρεληλυθότος ποτὲ, πρότερον μέν ἐστι τὸ νῦν ἐν ᾧ γέγονε τὸ πρᾶγμα, ὕστερον δὲ τὸ ἐνεστηκός. ἐπὶ δὲ τοῦ μέλλοντος ἀνάπαλιν, πρότερον μὲν τὸ ἐνεστηκὸς νῦν, ὕστερον δὲ τὸ μέλλον ἐν ᾧ ἔσται τὸ πρᾶγμα.

» ΕΣΤΑΙ ἄρα ποσός τις ἀπὸ τοῦδε χρόνος καὶ εἰς ἐκεῖνο. καὶ ἦν εἰς τὸ παρελθόν. εἰ δὲ μηδεὶς χρό
» νος ὃς οὔποτε, πᾶς ἂν εἴη χρόνος πεπερασμένος. ἆρ' οὖν ὑπολείψει; ἢ οὔ, εἴπερ ἀεί ἐστι κίνησις. ἄλλος οὖν
» ἢ ὁ αὐτὸς πολλάκις. δῆλον ὅτι ὡς ἂν ἡ κίνησις, οὕτω καὶ ὁ χρόνος. εἰ μὲν γὰρ ἡ αὐτὴ καὶ μία γίνεταί ποτε,
» ἔσται χρόνος εἷς καὶ ὁ αὐτός. εἰ δὲ μὴ, οὐκ ἔσται.

φησὶ, διττὸν εἶναι τὸ νῦν. τὸ μὲν ἀναγκαῖον, τὸ δὲ πλατικόν. πρῶτον δὲ περὶ τοῦ ἀναγκαίου νῦν διαλέγεται. καὶ φησὶ ταῦτα, ἅπερ καὶ πρότερον εἶπεν. ὅτι τὸ νῦν, ἓν ὂν καὶ τὸ αὐτὸ, καὶ τῆς συνεχείας ἐστὶν αἴτιον τῷ χρόνῳ καὶ τῆς διαιρέσεως. ὅταν μὲν γὰρ ὡς κοινὸν πέρας ληφθῇ ἀμφοτέρων τῶν χρόνων, τοῦ τε παρεληλυθότος καὶ τοῦ μέλλοντος, τότε συνέχει δι' ἑαυτοῦ τὰ διάφορα τοῦ χρόνου μέρη. αὐτὸς γὰρ ἐν τῷ πέμπτῳ βιβλίῳ ὁριζόμενος τὸ συνεχὲς οὕτω φησὶν, ὅτι συνεχές ἐστιν, οὗ τὰ μέρη πρός τινα κοινὸν ὅρον συνάπτει. εἰ τοίνυν κοινὸς ὅρος τῶν μερῶν τοῦ χρόνου τὸ νῦν, συνέχεια ἂν εἴη τοῦ χρόνου. ὅταν μὲν οὖν ὡς ἓν ληφθῇ καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ, λέγω δὴ ὡς ἔν τι κοινὸν πέρας, τότε συνέχεια γίνεται τοῦ χρόνου. ὅταν δὲ ἓν μὲν ᾖ τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ μὴ ἓν λαμβάνηται, ἀλλὰ τοῦ μὲν τελευτὴ, τοῦ δὲ ἀρχὴ, τότε διαίρεσις γίνεται τοῦ χρόνου. ὥσπερ καὶ ἐπὶ τῶν γραμμῶν τὰ σημεῖα. ὅταν μὲν γὰρ λάβω ἐν τῇ γραμμῇ σημεῖόν τι κατ' ἐπίνοιαν, εἰ μὲν ἁπλῶς ὡς πέρας ἀμφοτέρων τῶν γραμμῶν αὐτὸ λάβω, οἷόν ἐστι καὶ τὸ τοῦ κύκλου κέντρον, κοινόν τι πέρας ὂν πασῶν τῶν ἐξ αὐτοῦ ἐπὶ τὴν περιφέρειαν ἀγομένων εὐθειῶν, τότε συνέχειά ἐστι τῆς γραμμῆς τὸ σημεῖον. ὅταν δὲ τὸ ληφθὲν σημεῖον δύο σχέσεις ἀναδέξηται, οἷον διαιρουμένην ἡμῶν ἐπινοούντων τὴν γραμμὴν, καὶ τοῦ μὲν πέρας ᾖ, τοῦ δὲ ἀρχὴ, τότε διαίρεσίς ἐστι τῆς γραμμῆς τὸ σημεῖον. οὕτως οὖν καὶ ἐπὶ τοῦ νῦν. εἰ μὲν ὡς μίαν σχέσιν ἔχον λαμβάνεται τὴν τοῦ κοινοῦ πέρατος, συνέχεια γίνεται τοῦ χρόνου. ὅταν δὲ δύο σχέσεις ἔχον λαμβάνηται, διαίρεσις τοῦ χρόνου γίνεται. διαφέρει δὲ τὸ νῦν τοῦ σημείου, τῷ τὸ μὲν σημεῖον δύνασθαι καὶ ἐνεργείᾳ λαμβάνεσθαι, τὸ δὲ νῦν οὔ. οὐ γὰρ μένει τὸ νῦν, ἀλλ' ἀεὶ ἐν ῥύσει ἐστί. τὸ δὲ πλατικὸν νῦν ἐστι, τὸ ἐγγὺς τοῦ ἀναγκαίου νῦν. οἷον πότε ἦλθεν, ὁμοίως φαμὲν νῦν, διότι ἐγγὺς ὁ χρόνος τοῦ ἀναγκαίου νῦν. καὶ ἐπὶ τοῦ μέλλοντος ὁμοίως φαμὲν ἥξειν νῦν, διότι σήμερον ἥξει. τὰ δὲ πρὸ πολλοῦ γενόμενα χρόνου, ἢ μετὰ πολὺ ἐσόμενα, οὔ φαμεν νῦν γενέσθαι ἢ ἔσεσθαι. τὰ μὲν γὰρ ἐν Ἰλίῳ γενόμενα οὔ φαμεν γενέσθαι νῦν, διότι πολὺς ὁ χρόνος ὁ μεταξύ. οὐδὲ τὰ μετὰ πολὺν ἐσόμενα χρόνον, φαμὲν νῦν ἔσεσθαι. Τὸ δὲ ποτὲ φησὶ, χρόνον ὡρισμένον σημαίνει συνάπτοντα πρὸς τὸ ἀναγκαῖον νῦν τὸ ἐνεστηκός. λέγεται δὲ ἐπί τε τοῦ παρεληλυθότος, καὶ ἐπὶ τοῦ μέλλοντος. καὶ ἀμφοτέρως, ἔν τι ἔχει τὸ ἐνεστηκὸς νῦν. οἷον πότε γεγόνασι τὰ Τρωϊκά, φαμὲν πρὸ χιλίων εἰ τύχοι ἐτῶν. καὶ πότε ἔκλειψις γενήσεται, φαμὲν μετὰ τοσούτους μῆνας. ἔστιν οὖν τὸ ποτὲ, ὡρισμένος τις χρόνος, συνάπτων πρὸς τὸ ἐνεστὼς νῦν, καὶ τὸ ὅτε γέγονε τὸ πρᾶγμα. εἰ δὲ τοῦτό ἐστι τὸ ποτὲ, χρόνος τις ὡρισμένος, ἤτοι παρεληλυθὼς ἢ μέλλων, συνάπτων πρὸς τὸ ἀναγκαῖον νῦν τὸ ἐνεστὼς, οὐδεὶς δέ ἐστι χρόνος ἐνεργείᾳ λαμβανόμενος, ὃς μὴ ἔστι ποτὲ, εἴτε ἐπὶ τοῦ παρελθόντος λάβοιμεν εἴτε ἐπὶ τοῦ μέλλοντος, ἔοικε πᾶς εἶναι χρόνος πεπερασμένος. ἆρ' οὖν φησιν ὑπολείψει ὁ χρόνος ἢ οὔ. καὶ φησὶν ὅτι οὐχ ὑπολείψει. εἰ γὰρ τὸ ποτὲ ὑπὸ δύο νῦν περατοῦται, πᾶν δὲ νῦν, καὶ ἀρχή ἐστι καὶ τελευτὴ, οὐδέποτε ὑπολείψει ὁ χρόνος. ἀλλ' ἀεὶ ἔσται λαμβάνειν τὸ ποτέ. ὥστε οὐδέποτε ὑπολείψει. ἀλλὰ τοῦτο μὲν οὐκ ἂν συγχωρήσειέ τις, μὴ βουλόμενος τὸν χρόνον ἀΐδιον εἶναι, ὅτι πᾶν νῦν τὰς δύο σχέσεις ἀναδέχεται, τὴν τῆς ἀρχῆς, καὶ τοῦ τέλους. ἀλλ' ἔσται τι νῦν, ὃ τέλος μὲν ἔσται, οὐκέτι δὲ ἀρχή. κατασκευάζει οὖν, τὸ μὴ ὑπολείψειν τὸν χρόνον, ἐκ τῆς κινήσεως. εἰ γὰρ ἀεί ἐστι κίνησίς φησιν, ἀνάγκη καὶ χρόνον ἀεὶ εἶναι. ὅτι δὲ ἡ κίνησις ἀεί ἐστιν, ἐν τῷ η, ταύτης τῆς πραγματείας, πειρᾶται μὲν δεικνύειν, πῶς δὲ μᾶλλον δείκνυσιν ἢ τοῦτο, ὡς ἐν ταῖς σχολαῖς ἐκείνου τοῦ βιβλίου ἐδείξαμεν. Τὸ δὲ ἤδη φησίν ἐστι, τὸ ἐγγὺς τοῦ παρόντος ἀναγκαίου νῦν, ὅπερ ἤτοι τοῦ παρελθόντος χρόνου μέρος ἐστὶν, ἢ τοῦ μέλλοντος. λέγεται δὲ ἐπ' ἀμφοτέρων. λεγόντων γὰρ πότε βαδίζεις, φημὶ ὅτι ἤδη. διότι οὐ πολὺ ἀφέστηκε τοῦ ἐνεστῶτος νῦν. ἀλλὰ καὶ ἐπὶ τοῦ παρελθόντος φαμὲν, ὅτι ἤδη βεβάδικα. οὐδεὶς μέντοι ἐπὶ τῶν πολὺ ἀφεστηκότων χρόνων λέγει τὸ ἤδη. οὐ γὰρ ἄν τις εἴποι τὸ Ἴλιον ἤδη ἑαλωκέναι. οὐδὲ μετὰ πολὺν χρόνον ἐσόμενα ἤδη ἔσεσθαι. τί οὖν διοίσει τὸ ἤδη, τοῦ πλατικοῦ νῦν; φημὶ οὖν, ὅτι ἤτοι τὸ αὐτὸ δι' ἑκατέρου δηλοῦται ὀνόματος, ἢ εἰ μὴ τὸ αὐτὸ δηλοῦται, ἀλλ' ἔχουσί τινα πραγματειώδη διαφορὰν, καὶ κατὰ τὸ ποσὸν διάσσουσιν, ὅτι τὸ πλατικὸν νῦν ἴσως ἔγγιον μᾶλλόν ἐστι τοῦ ἀναγκαίου νῦν, ἤπερ τὸ ἤδη. Τὸ δὲ ἄρτι καὶ αὐτὸ μὲν ἐστι τὸ ἐγγὺς τοῦ νῦν, ἀλλὰ μόνου τοῦ παρεληλυθότος ἐστὶ μέρος. οὐκέτι δὲ καὶ τοῦ μέλλοντος. πότε ἦλθε φαμὲν ὅτι ἄρτι. διότι ἐγγὺς ὁ χρόνος τοῦ ἐνεστῶτος νῦν, ἐπὶ μέντοι τοῦ μέλλοντος, οὐδεὶς τῶν Ἑλλήνων ἐχρήσατο τῷ ἄρτι. οὐδεὶς γάρ φησιν, ἄρτι λούσομαι, ἄρτι βαδίσω. ἀλλ' ἐπὶ μόνου τοῦ παρεληλυθότος. Τὸ δὲ πάλαι ἐστί φησι, τὸ πόρρω τοῦ ἐνεστῶτος. πάλαι γέγονεν τὰ Τρωϊκά. ὅτι πολὺν ἀπὸ τοῦ ἐνεστηκότος διεστήκασι χρόνον. Τὸ δὲ ἐξαίφνης φησὶ λέγεται, τὸ ἀναισθήτῳ χρόνῳ διὰ μικρότητα μεταβάλλον. οἷον λέγομεν, ἐξαίφνης χειμῶνα γενέσθαι, ὅταν ἐν βραχεῖ μεταβάλλῃ τὸ περιέχον, καὶ διὰ τὴν βραχύτητα μὴ συναισθανώμεθα τῆς μεταβολῆς. ἐξαίφνης τέθνηκεν, ὅτι διὰ τὴν σμικρότητα τοῦ καιροῦ, οὐ συνῃσθόμεθα τῆς μεταβολῆς, τῆς ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἀλλ' οἷον ἀμέσως ἐκ τοῦ εἶναι τὸ μὴ εἶναι εἴδομεν.

ΑΛΛΑ ταῦτ' οὐχ ὥσπερ ἐπὶ τῆς στιγμῆς μενούσης φανερόν.

Οὐχ οὕτως ἐστὶ φανερὸν τὸ νῦν, τὸ διαιροῦν καὶ συνέχον τὸν χρόνον, ὥσπερ ἡ στιγμὴ φανερὰ, συνέχουσα καὶ διαιροῦσα τὴν γραμμήν. ἡ δὲ αἰτία, διότι τὸ μὲν σημεῖον δύναται μένειν, τουτέστιν ὡς ἐνεργείᾳ

τε ὅσα μὴ κινεῖται μήτε ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ, τῶν δύο προτάσεων τὴν μὲν μείζονα τὴν καταφατικὴν τέθεικε τὴν λέγουσαν, ὅτι τὰ ἐν χρόνῳ μετρεῖται ὑπὸ τοῦ χρόνου. τὴν δὲ ἐλάττονα τὴν ἀποφατικὴν, τὴν λέγουσαν, τὰ μήτε κινούμενα, μήτε ἠρεμοῦντα, οὐκ ἔστιν ἐν χρόνῳ, ἀλλ' αὐτὴν μὲν οὐ τέθεικε, δι' ἣν δὲ ἀληθής ἐστιν αὕτη καὶ ἐξ ἧς συνάγεται, τέθεικεν. ὁ δὲ χρόνος, κινήσεως καὶ ἠρεμίας μέτρον. ᾧ δεῖ προσυπακοῦσαι μόνον. ὅτι δὲ κινήσεως καὶ ἠρεμίας μέτρον ὁ χρόνος, ἔδειξεν ἐν τοῖς ἔμπροσθεν. εἰ δὲ κινήσεως καὶ ἠρεμίας μέτρον μόνον ὁ χρόνος ἐστὶν, ἀληθὲς ὅτι ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ, οὐ μετρεῖται ὑπὸ τοῦ χρόνου. συνάγεται γὰρ τοῦτο τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ, κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν. εἰ τὰ μετρούμενα ὑπὸ τοῦ χρόνου, ταῦτα ἢ κινεῖται ἢ ἠρεμεῖ, ὅσα ἄρα μήτε κινεῖται μήτε ἠρεμεῖ, ταῦτα οὐ μετρεῖται ὑπὸ τοῦ χρόνου. ἥτις ἐλάττων τε καὶ ἀποφατικὴ τοῦ συλλογισμοῦ πρότασις. ἐξ ἧς συνάγεται, τὰ μήτε κινούμενα μήτε ἠρεμοῦντα, μὴ εἶναι ἐν χρόνῳ,

» ΦΑΝΕΡΟΝ οὖν, ὅτι οὐδὲ τὸ μὴ ὂν ἔσται πᾶν ἐν χρόνῳ. οἷον, ὅσα μὴ ἐνδέχεται ἄλλως. ὥσπερ τὸ
» τὴν διάμετρον εἶναι τῇ πλευρᾷ σύμμετρον.

Ε ἰπὼν, τίνα μὲν τῶν ὄντων ἐστὶν ἐν χρόνῳ ὅτι ὅσα κινεῖται καὶ ἠρεμεῖ, τίνα δὲ οὐκ ἔστιν, ὅτι τὰ ἀντικείμενα τούτοις, βούλεται νῦν αὐτὸ τοῦτο δεῖξαι, καὶ ἐπὶ τῶν μὴ ὄντων. ὅτι ὅσα μὲν ἀδύνατά ἐστι τῶν μὴ ὄντων, ταῦτα οὐκ ἔστιν ἐν χρόνῳ. ὅσα δὲ ἐνδεχομένως οὐκ ἔστι, ταῦτά ἐστιν ἐν χρόνῳ

» ΟΛΩΣ γὰρ εἰ μέτρον μέν ἐστι κινήσεως ὁ χρόνος καθ' αὑτὸ, τῶν δὲ ἄλλων κατὰ συμβεβηκὸς, δῆλον
» ὅτι ὧν τὸ εἶναι μετρεῖ, τούτοις ἅπασιν ἔσται τὸ εἶναι ἐν τῷ ἠρεμεῖν ἢ κινεῖσθαι. ὅσα μὲν οὖν φθαρτὰ καὶ γε-
» νητὰ, καὶ ὅλως ὁτὲ μὲν ὄντα, ὁτὲ δὲ μὴ, ἀνάγκη ἐν χρόνῳ εἶναι. ἔστι γὰρ χρόνος τις πλείων ὃς ὑπερέξει
» τοῦ εἶναι αὐτῶν καὶ τοῦ μετροῦντος τὴν οὐσίαν.

Ο τι τὰ ἀδύνατα οὐκ ἔστιν ἐν χρόνῳ, καὶ διὰ τούτων κατασκευάζει. εἰ ὁ χρόνος καθ' αὑτὸ κινήσεώς ἐστιν ἀριθμὸς, τῶν δὲ ἄλλων κατὰ συμβεβηκὸς, τουτέστι τῶν ὑποκειμένων τῇ κινήσει ἢ τῇ ἠρεμίᾳ πραγμάτων, τὸ δὲ ἐν χρόνῳ εἶναί ἐστι τὸ μετρεῖσθαι ὑπὸ τοῦ χρόνου, ὅσα ἄρα μήτε κινεῖται, μήτε ἠρεμεῖ, οὐ μετρεῖται ὑπὸ τοῦ χρόνου, τοιαῦτα δέ ἐστι καὶ τὰ ἀδύνατα. ἀκινήτως γὰρ ἔχει ἐν τῷ μὴ εἶναι. οὐκ ἄρα ὑπὸ τοῦ χρόνου μετρεῖται. ὥστε οὐδὲ κατὰ συμβεβηκὸς ἐν χρόνῳ ἐστί. κατὰ συμβεβηκὸς δὲ μετροῦνται αἱ οὐσίαι ὑπὸ τοῦ χρόνου, ὅσαι ἢ κινοῦνται, ἢ ἠρεμοῦσιν. ὥστε ὅσων κίνησις οὐκ ἔστιν οὔτε ἠρεμία, ταῦτα οὐδὲ κατὰ συμβεβηκὸς μετρηθείη ἂν ὑπὸ χρόνου. ὥστε οὐδὲ κατὰ συμβεβηκὸς ἐν χρόνῳ ἂν εἴη.

» ΤΩΝ δὲ μὴ ὄντων, ὅσα μὲν περιέχει ὁ χρόνος, τὰ μὲν ἦν. οἷον Ὅμηρός ποτε ἦν. τὰ δὲ ἔσται, οἷον,
» τῶν μελλόντων τι. ἐφ' ὁπότερα περιέχει. καὶ εἰ ἐπ' ἄμφω, ἀμφότερα καὶ ἦν καὶ ἔσται.

Ο τι τῶν μὴ ὄντων, ὅσα ἐστὶν ἐν χρόνῳ, ἃ καὶ ὑπὸ τοῦ χρόνου περιέχεται, ταῦτα δέ ἐστιν ὧν τοῦ μὴ εἶναι πλείων ἔσται ὁ χρόνος, τὰ μὲν ἦν, καὶ οὐκ ἔτι ἔσται. τὰ δὲ ἔσται, καὶ οὔπω ἐστί. τὰ δὲ ἦν, καὶ πάλιν ἔσται. τὰ μὲν οὖν παρῳχημένα περιέχει ὁ χρόνος τὸ μὴ εἶναι αὐτῶν κατὰ τὸν παρεληλυθότα χρόνον, καθ' ὃν ὑπῆρχε. τὰ δὲ μέλλοντα περιέχει ὁ μέλλων χρόνος, καθ' ὃν ἔσται. ὥστε πλείων ὁ χρόνος τοῦ μὴ εἶναι αὐτῶν, ἐπὶ μὲν τῶν ἤδη γενομένων, ὁ παρεληλυθὼς, καθ' ὃν ὑπῆρχε πλείων τοῦ ἀεὶ γινομένου χρόνος, καθ' ὃν οὐκ ἔστιν. ἐπὶ δὲ τῶν μελλόντων, πλείων τοῦ χρόνου, καθ' ὃν οὐκ ἔστιν, ὁ μέλλων χρόνος καθ' ὃν ἔσται. ἔτι δὲ τῶν γεγενημένων καὶ πάλιν ἐσομένων, πλείων ὁ χρόνος τοῦ μὴ εἶναι αὐτῶν καθ' ὁπότερον αὖ περιέχει αὐτά. τὰ μὲν ἤδη γενόμενα, κατὰ τὸν παρεληλυθότα καθ' ὃν ἦν. τὰ δὲ ἐσόμενα κατὰ τὸν μέλλοντα, καθ' ὃν ἔσται. καὶ εἰ ἐπ' ἄμφω φησὶν, ἀμφότερα. τουτέστιν εἰ ἐπ' ἄμφω περιέχει ὁ χρόνος τὸ μὴ εἶναι αὐτῶν, καὶ κατὰ παρεληλυθὸς, καὶ κατὰ τὸ μέλλον, ἀμφότερα καὶ ἦν πρότερον, καὶ πάλιν ἔσται.

» ΟΣΑ δὲ μὴ περιέχει μηδαμῇ, οὔτ' ἦν, οὔτ' ἔσται. ἔσται δὲ τὰ τοιαῦτα τῶν μὴ ὄντων, ὅσων τὰ ἀντι-
» κείμενα ἀεί ἐστιν. οἷον τὸ, ἀσύμμετρον εἶναι τὴν διάμετρον, ἀεί ἐστι καὶ οὐκ ἔσται τοῦτο ἐν χρόνῳ. οὐ τοί-
» νυν οὐδὲ τὸ σύμμετρον. διὸ ἀεὶ οὐκ ἔστιν, ὅτι ἐναντίον τῷ ἀεὶ ὄντι. ὅσων δὲ τὸ ἐναντίον μὴ ἀεὶ, ταῦτα δύ-
» ναται καὶ εἶναι καὶ μή. καὶ ἔστι γένεσις καὶ φθορὰ αὐτῶν.

Τ ουτέστιν ἐφ' ὧν μὴ ὄντων, κατὰ μηδὲν περιέχει ὁ χρόνος τὸ μὴ εἶναι αὐτῶν, μήτε κατὰ τὸ παρεληλυθὸς, μήτε κατὰ τὸ μέλλον, ταῦτα οὔτε ἦν πρότερον, οὔτε ἔστι νῦν, οὔτε ἔσται μετὰ ταῦτα. τίνα δέ ἐστι ταῦτα, ἐσήμανεν εἰπὼν, ὧν τὰ ἀντικείμενα ἀεί ἐστιν. οἷον τὸ ἀσύμμετρον εἶναι τὴν διάμετρον τῇ πλευρᾷ. τούτου γὰρ ἀεὶ ὄντος, καὶ ἐξ ἀνάγκης ὄντος, τὸ ἀντικείμενον τούτῳ, τοῦτο δέ ἐστι τὸ σύμμετρον εἶναι τὴν διάμετρον τῇ πλευρᾷ, οὐδέποτέ ἐστι, καὶ ἀδύνατον αὐτὸ εἶναι. ὥσπερ οὖν τὸ εἶναι ἀσύμμετρον τὴν διάμετρον τῇ πλευρᾷ διὰ τὸ μηδαμόθεν ὑπὸ τοῦ χρόνου περιέχεσθαι, ἀλλ' εἶναι ἀεὶ τὸν πάντα χρόνον, οὐκ ἔστιν ἐν χρόνῳ, οὕτω καὶ τὸ τούτῳ ἀντικείμενον, μηδέποτε ὑπάρχον, οὐκ ἔχει τὸ μὴ εἶναι αὐτοῦ ἐν χρόνῳ, διὰ τὸ συμπαρεκτείνεσθαι τῷ παντὶ χρόνῳ τὴν ἀνυπαρξίαν αὐτοῦ.

» ΤΟ δὲ νῦν ἐστι συνέχεια χρόνου. ὥσπερ ἐλέχθη. συνέχει γὰρ τὸν χρόνον τὸν παρελθόντα καὶ τὸν ἐσό-
» μενον. καὶ ὅλως, χρόνου ἐστίν. ἔστι γὰρ τοῦ μὲν ἀρχή. τοῦ δὲ τελευτή.

Π ρόκειται νῦν αὐτῷ, περὶ τῶν χρονικῶν προσρημάτων διαλαβεῖν, τί ἕκαστον σημαίνει. οἷον, τί ἐστι τὸ νῦν. τί τὸ ποτέ. τί τὸ ἤδη. τί τὸ ἄρτι. τί τὸ πάλαι. τί τὸ ἐξαίφνης. πρῶτον δὲ περὶ τοῦ νῦν διαλέγεται. καὶ

καὶ οὐκ ἔστιν· οἷον Ὅμηρος. τὰ δὲ μέλλει, καὶ οὔπω ἐστίν· οἷον τὸ γενήσεσθαι ἔκλειψιν, ἢ ἄλλό τι τῶν μελλόντων. τὰ δὲ καὶ ἤδη γέγονε, καὶ πάλιν ἔσται· οἷον τὸ ἀνατεῖλαι τὸν ἥλιον, καὶ ἤδη γέγονε, καὶ πάλιν ἔσται. πάντα οὖν τὰ οὕτω μὴ ὄντα, ἐν χρόνῳ ἐστίν, ἐπειδὴ ἔστι μείζονα χρόνον λαβεῖν τοῦ μὴ εἶναι αὐτὰ τὸν χρόνον καθ᾽ ὃν ἦσαν. φημὶ οὖν καθόλου ἐπί τε τῶν ὄντων καὶ τῶν μὴ ὄντων, ὅτι ὅσα μὲν ἀναγκαῖά ἐστιν ἢ ἀδύνατα, ταῦτα οὐκ ἔστιν ἐν χρόνῳ. τὰ μὲν γάρ, ἀεί ἐστι. τὰ δὲ ἀεὶ οὐκ ἔστιν. ὅσα δὲ ἐνδεχομένως ἔχει τῶν ὄντων καὶ μὴ ὄντων, ταῦτα ἐν χρόνῳ ἢ ἔστιν, ἢ οὐκ ἔστιν. τὰ μὲν ὄντα, διότι ἔστι τις χρόνος πλείων τοῦ εἶναι αὐτῶν, καθ᾽ ὃν οὐκ ἔστι. τὰ δὲ μὴ ὄντα, διότι ἔστι τις πλείων χρόνος τοῦ μὴ εἶναι αὐτῶν καθ᾽ ὃν ἔστιν. Ἰστέον δὲ, ὅτι τὰ πολλὰ τῶν βιβλίων, οὐκ ἔχει τὸ κατὰ συμβεβηκός. ἀλλ᾽ οὐδὲ ὁ Ἀλέξανδρος αὐτοῦ μέμνηται.

» ΟΥ γὰρ ὥσπερ τὸ ἐν κινήσει ὂν ἀνάγκη κινεῖσθαι, οὕτω καὶ τὸ ἐν χρόνῳ. οὐ γὰρ ἡ κίνησις ὁ χρόνος
» ἀλλ᾽ ἀριθμὸς κινήσεως. ἐν ἀριθμῷ δὲ κινήσεως ἐνδέχεται εἶναι καὶ τὸ ἠρεμοῦν.

Ἐπειδὴ ἠπόρησεν αὖτις, πῶς ἐστιν ὁ χρόνος μέτρον ἠρεμίας. εἰ γὰρ καὶ κινήσεως ἀριθμὸς ὁ χρόνος, οὐ μόνον δὲ ἡ κίνησις ἐν χρόνῳ ἐστίν, ἀλλὰ καὶ ἡ ἠρεμία, δόξειεν ἂν καὶ ἡ ἠρεμία ἐν κινήσει εἶναι, εἴπερ ἡ ἠρεμία μὲν ἐν χρόνῳ, ὁ δὲ χρόνος ἐν κινήσει ἐστί, φησὶν ὅτι οὐχ ὥσπερ τὸ ἐν κινήσει ὂν ἀνάγκη κινεῖσθαι, οὕτω καὶ τὸ ἐν χρόνῳ ὂν ἀνάγκη κινεῖσθαι. εἰ μὲν γὰρ ταυτὸν ἦν ὁ χρόνος τῇ κινήσει, ἀνάγκη ἦν, τὸ ἐν χρόνῳ ὂν, εὐθὺς καὶ κινεῖσθαι. νῦν δὲ οὐκ ἀνάγκη τὸ ἔν τινι ὑπάρχον, ἤδη καὶ ἐκεῖνο εἶναι, ᾧ ἐκεῖνο συμβέβηκεν. οὐ γὰρ τὸ ἐν γλυκεῖ ὑπάρχον, ἀνάγκη καὶ ἐν μέλιτι ὑπάρχειν, ἐπειδὴ συμβέβηκε τῷ μέλιτι τὸ γλυκύ. οὐδὲ τὸ ἐν λευκῷ ὑπάρχον, ἀνάγκη καὶ ἐν ψιμμυθίῳ εἶναι. οὕτως οὐδὲ τὸ ἐν χρόνῳ ὄν, ἀνάγκη καὶ ἐν κινήσει εἶναι, ἐπειδὴ συμβέβηκε τῇ κινήσει ὁ χρόνος. τὸ γὰρ ἐν ἡμέρᾳ ὄν, οὐκ ἀνάγκη καὶ ἐν τῇ κυκλοφορίᾳ τοῦ οὐρανοῦ εἶναι, ἐπειδὴ μέτρον ἐστὶ τῆς περιφορᾶς τοῦ οὐρανοῦ. ἔστι γὰρ ἐν ἡμέρᾳ ἠρεμεῖν. καὶ οὐ δήπου τὸ ἠρεμοῦν, ἐν κινήσει ἐστίν. οὕτως οὖν οὐδὲν ἄτοπον ἢ ἀδύνατον, ἐν τῷ χρόνῳ καὶ κίνησιν εἶναι καὶ ἠρεμίαν.

» ΟΥ γὰρ πᾶν τὸ ἀκίνητον ἠρεμεῖ. ἀλλὰ τὸ ἐστερημένον κινήσεως, πεφυκὸς δὲ κινεῖσθαι, καθάπερ
» εἴρηται ἐν τοῖς πρότερον.

Ἐπειδὴ εἶπεν ἐνδέχεσθαι ἐν ἀριθμῷ κινήσεως εἶναι καὶ τὸ ἠρεμοῦν, ἵνα μήτις εἴπῃ, τί οὖν, ἐπειδὴ καὶ τὸ κέντρον τοῦ παντὸς ἠρεμεῖ, καὶ οἱ πόλοι, ἤδη καὶ ταῦτα ἐν χρόνῳ εἰσί, διὰ τοῦτό φησιν, ὅτι οὐ τοῦτο εἶπον, ὅτι εἴ τι ἐστὶν ἀκίνητον, τοῦτο ἐνδέχεται ἐν χρόνῳ εἶναι. ἠρεμοῦν γάρ ἐστιν, οὐ τὸ ἀκινητίζον. ἀλλὰ τὸ πεφυκὸς μὲν κινεῖσθαι, μὴ κινούμενον δέ. οἱ δὲ πόλοι καὶ τὸ κέντρον, ἀκίνητά ἐστιν. οὐ μέντοι ἠρεμεῖ. οὐδὲ γὰρ πέφυκε κινεῖσθαι. ὥστε οὐδὲ ἐν χρόνῳ εἰσί. τὸ δὲ ἠρεμοῦν ἐν χρόνῳ, οὐ τὸ ἀκίνητον. ἠρεμοῦν δέ ἐστι, τὸ πεφυκὸς κινεῖσθαι, μὴ κινούμενον δέ.

» ΤΟ δὲ εἶναι ἀριθμῷ ἐστι τὸ εἶναί τινα ἀριθμὸν τοῦ πράγματος, καὶ μετρεῖσθαι τὸ εἶναι αὐτοῦ, τῷ
» ἀριθμῷ ἐν ᾧ ἐστι. ὥστ᾽ εἰ ἐν χρόνῳ, ὑπὸ χρόνου.

Ἐπειδὴ εἶπεν, ὅτι ἐνδέχεται καὶ τὸ ἠρεμοῦν ἐν ἀριθμῷ εἶναι κινήσεως, πῶς λέγεταί τινα ἐν ἀριθμῷ εἶναι κινήσεως, πάλιν λέγει, ὅτι ἀριθμόν τινα αὐτῶν εἶναι. λέγω δὴ τὸ ἀριθμεῖσθαι αὐτά, ἢ κατὰ τὸ πλῆθος τῶν ὑποκειμένων, ὡς λέγομεν τοὺς δέκα ἵππους ἐν ἀριθμῷ εἶναι, ἢ τὸ εἶναι αὐτὸ ἠριθμημένον ἔχειν. ὡς λέγομεν τὸν φοινικὸν πόλεμον ἐν ἀριθμῷ τινι χρόνου γεγενῆσθαι, ἐν δέκα γὰρ ἔτεσι. ἐπεὶ οὖν τοῦτό ἐστι τὸ ἐν ἀριθμῷ εἶναι, ἀριθμὸς δέ τις καὶ ὁ χρόνος, τοῦτο ἂν εἴη τὸ ἐν χρόνῳ εἶναι, τὸ ἔχειν τινὰ χρόνον ἀριθμοῦντα τὸ εἶναι τοῦ πράγματος. ὥσπερ φαμέν, ἐν χρόνῳ γεγενῆσθαι τινὶ τὰ φοινικά, καὶ Ὅμηρον, ὃ γεγονέναι μόριόν τι τοῦ χρόνου, ἐν ᾧ ὑπῆρχεν. οὕτως οὖν καὶ ἡ ἠρεμία ἐν χρόνῳ λέγεται εἶναι, τῷ εἶναί τινα χρόνον, ἐν ᾧ τὸ εἶναι ἔχει ἡ ἠρεμία.

» ΜΕΤΡΗΣΕΙ δ᾽ ὁ χρόνος τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν, ᾗ τὸ μὲν κινούμενον, τὸ δὲ ἠρεμοῦν.
» τὴν γὰρ κίνησιν αὐτῶν μετρήσει καὶ τὴν ἠρεμίαν πόση τις. ὥστε τὸ κινούμενον οὐχ ἁπλῶς ἔσται μετρητὸν
» ὑπὸ χρόνου, ᾗ ποσόν τί ἐστιν, ἀλλ᾽ ᾗ κίνησις αὐτοῦ ποσή. ὥστε ὅσα μήτε κινεῖται μήτε ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ.

Ὅτι καὶ τὰ πράγματα μετρεῖ ὁ χρόνος. οἷον τοὺς ἀνθρώπους, ἢ τοὺς ἵππους. καὶ πάντα ἁπλῶς, οὐ καθ᾽ αὑτό. οὐ γὰρ ᾗ ἄνθρωπος ὁ ἄνθρωπος μετρεῖται ὑπὸ τοῦ χρόνου, ἀλλ᾽ ᾗ ἔχει παράτασίν τινα κατὰ τὸ εἶναι. ὥστε καθ᾽ αὑτὸ τὴν κίνησιν τῶν πραγμάτων μετρεῖ, ἢ τὴν ἠρεμίαν. κατὰ συμβεβηκὸς δέ, καὶ αὐτὰς τὰς οὐσίας τῶν πραγμάτων, τῷ τὸ κινούμενον ἢ τὸ ἠρεμοῦν, ἢ ἄνθρωπον εἶναι, ἢ λευκόν, ἢ ὁτιοῦν ἄλλο. ὥστε ὅσα μὴ κινεῖται μήτε ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ.

» ΤΟ μὲν γὰρ ἐν χρόνῳ εἶναι, ἐστὶ τὸ μετρεῖσθαι χρόνῳ. ὁ δὲ χρόνος, κινήσεως καὶ ἠρεμίας μέτρον.

Ὅτι τὰ μήτε κινούμενα, μήτε ἠρεμοῦντα, οὐκ ἔστιν ἐν χρόνῳ, κατασκευάζει συλλογισμῷ χρώμενος τοιούτῳ ἐν δευτέρῳ σχήματι. τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαί ἐστιν ὑπὸ τοῦ χρόνου. τὰ μήτε κινούμενα μήτε ἠρεμοῦντα, οὐ μετροῦνται ὑπὸ τοῦ χρόνου. τὰ ἄρα μήτε κινούμενα, μήτε ἠρεμοῦντα, οὐκ ἔστιν ἐν χρόνῳ. ὅπερ ἔδειξε. τούτου δὲ τοῦ συλλογισμοῦ θεὶς ὁ Ἀριστοτέλης πρότερον τὸ συμπέρασμα, τῷ εἰπεῖν, ὥστε

κινήσεως γὰρ τοῦ ἐν ἀριθμῷ ὄντος, ἔστι τὶς πλείων ἀριθμός· ὥστε καὶ τοῦ ἐν χρόνῳ ὄντος ἔσται τὶς πλείων χρόνος.

» ΚΑΙ πάσχει δή τι ὑπὸ τοῦ χρόνου, καθάπερ καὶ λέγειν εἰώθαμεν, ὅτι κατατήκει ὁ χρόνος· καὶ γηράσκει πάνθ' ὑπὸ τοῦ χρόνου· καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον· ἀλλ' οὐ μεμάθηκεν, οὐδὲ νέον γέγονεν, οὐδὲ καλόν.

Ε εἰ γὰρ παντὸς τοῦ ἐν χρόνῳ ὄντος, ἔστι λαβεῖν μείζονα χρόνον, δηλονότι πάσχει ὑπὸ τοῦ χρόνου πάντα, καὶ καταγηράσκει ὑπ' αὐτοῦ· παραφέρει γὰρ πάντα καὶ παρέρχεται.

» ΦΘΟΡΑΣ γὰρ αἴτιος καθ' αὑτὸν μᾶλλον ὁ χρόνος· ἀριθμὸς γὰρ κινήσεως· ἡ δὲ κίνησις, ἐξίστησι τὸ ὑπάρχον· ὥστε φανερὸν ὅτι τὰ ἀεὶ ὄντα, ᾗ ἀεὶ ὄντα, οὐκ ἔστιν ἐν χρόνῳ· οὐ γὰρ περιέχεται ὑπὸ τοῦ χρόνου· οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου.

Ε ἐπειδὴ κινήσεως ἀριθμὸς ὁ χρόνος, πᾶσα δὲ κίνησις ἐξίστησι τινός, δηλονότι καὶ φθορᾶς μᾶλλον ὁ χρόνος αἴτιος, ἢ γενέσεως.

» ΣΗΜΕΙΟΝ δὲ τούτου, ὅτι οὐ πάσχει οὐδὲν ὑπὸ τοῦ χρόνου, ὡς οὐκ ὄντα ἐν τῷ χρόνῳ.

Ε σημεῖόν φησι τούτου, τοῦ μὴ εἶναι ἐν χρόνῳ τὰ ἀΐδια, ὅτι οὐδὲν γηράσκει ὑπὸ τοῦ χρόνου· εἰ γὰρ τὰ ἐν χρόνῳ ὄντα γηράσκει ὑπὸ τοῦ χρόνου· τὰ δὲ ἀΐδια οὐ γηράσκει ὑπὸ τοῦ χρόνου· τὰ ἄρα ἀΐδια οὐκ ἐν χρόνῳ.

» ΕΠΕΙ δ' ἐστὶν ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον κατὰ συμβεβηκός· πᾶσα γὰρ ἠρεμία ἐν χρόνῳ.

Ε εἴπομεν ἔμπροσθεν, ὅτι πρόκειται αὐτῷ δεῖξαι, ὡς οὐ μόνον ἐστὶ κινήσεως μέτρον ὁ χρόνος, ἀλλὰ καὶ ἠρεμίας· καὶ τοῦτο δηλονότι· ἐπεὶ καὶ πᾶσα γνῶσις, οὐ μόνον τῶν εἰδῶν ἐστὶν ἀντιληπτική, ἀλλὰ καὶ τῶν στερήσεων· καὶ γὰρ ὁ ὀφθαλμὸς γινώσκει οὐ μόνον τὸ φῶς, ἀλλὰ καὶ τὸ σκότος· ἀλλὰ τὸ μὲν φῶς, καθ' αὑτὸ γινώσκει, τὸ δὲ σκότος τῇ ἀποφάσει τῇ πρὸς τὸ φῶς· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· καὶ ὁ κανὼν δὲ κρίνει τὸ εὐθύ, καὶ τὸ καμπύλον· ἀλλὰ τὸ μὲν εὐθύ, καθ' αὑτὸ κρίνει, τῷ ἐφαρμόζειν αὐτῷ· τὸ δὲ καμπύλον, τῇ ἀποφάσει τοῦ εὐθέος· ὡς γὰρ μὴ ἐφαρμόζον κρίνει, οὐκ ἐπιβλητικῶς, οὐδὲ καταφατικῶς, ἀλλ' ἀρνητικῶς, καὶ ἀποφατικῶς· οὕτως οὖν καὶ ὁ χρόνος, οὐ μόνον κινήσεώς ἐστιν ἀριθμός, ἀλλὰ καὶ ἠρεμίας· ἀλλὰ κινήσεως μὲν καθ' αὑτό, μετρῶν τὴν παράτασιν αὐτῆς, καὶ οἷον συμπαρεκτείνεσθαι αὐτῇ· τῆς δὲ ἠρεμίας φησί, κατὰ συμβεβηκός· μᾶλλον δὲ κυριώτερον εἰπεῖν, κατ' ἄλλο· τῷ γὰρ τὴν κίνησιν μετρεῖν, ἐπειδὴ ἐν ὅσῳ ἄλλο τι κινεῖται, ἄλλο τι ἐνδέχεται ἠρεμεῖν, τὴν κίνησιν μετρῶν ὁ χρόνος, τῷ μετρεῖν τὴν κίνησιν, ταύτῃ μετρεῖ καὶ τὴν ἠρεμίαν· φαμὲν γὰρ ἡμερησίαν εἶναι τὴν ἠρεμίαν, ἢ ἐνιαυσιαίαν διότι ἐπὶ τοσοῦτον χρόνον ἠρέμησεν, ἐφ' ὅσον ἄλλο ἐκινήθη· οὐ καθ' αὑτὸ θεωρουμένης τῆς παρατάσεως ἐν τῇ ἠρεμίᾳ, ἀλλὰ κατ' ἄλλο· τῷ γὰρ ἄλλο τι ἐν παρατάσει γενέσθαι, ταύτῃ παράτασιν ἔχειν ἡ ἠρεμία λέγεται· καλῶς δὲ ἡμῖν εἴρηται, ὅτι οὐ κατὰ συμβεβηκὸς μετρεῖ τὴν ἠρεμίαν ὁ χρόνος, ἀλλὰ κατ' ἄλλο, τῷ τὴν κίνησιν μετρεῖν· εἰ γὰρ κατὰ συμβεβηκὸς ἐμέτρει τὴν ἠρεμίαν καθ' αὑτὸ μετρῶν τὴν κίνησιν, ἔδει συμβεβηκέναι τῇ κινήσει τὴν ἠρεμίαν· τοιαῦτα γὰρ ἐδείκνυτο ἐν τοῖς ἔμπροσθεν ὄντα, εἰς κατὰ συμβεβηκὸς ὑπάρχει τι· νῦν δὲ οὐ συμβέβηκε τῇ κινήσει ἡ ἠρεμία· οὐκ ἄρα κατὰ συμβεβηκὸς μετρεῖ τὴν ἠρεμίαν· ἀλλὰ μὴν οὐδὲ καθ' αὑτό· λείπεται ἄρα κατ' ἄλλο· τῷ γὰρ μετρεῖν τὴν κίνησιν, ταύτῃ μετρεῖ καὶ τὴν ἠρεμίαν· οὐ μόνον δέ φησι μετρεῖ τὴν κίνησιν καὶ τὴν ἠρεμίαν ὁ χρόνος, ἀλλὰ καὶ αὐτὰ τὰ κινούμενα καὶ τὰ ἠρεμοῦντα, κατὰ συμβεβηκὸς μετρεῖ· λέγω δὴ αὐτὰς τὰς οὐσίας· τῷ γὰρ μετρεῖν τὴν κίνησιν αὐτῶν, καὶ τὴν ἠρεμίαν, ταύτῃ λέγοιτο ἂν καὶ αὐτὰ μετρεῖν κατὰ συμβεβηκός· διότι τῷ κινουμένῳ συμβέβηκεν ἀνθρώπῳ εἶναι, ἢ οὐρανῷ, ἢ ἄλλῳ ὁτῳοῦν· καὶ εἰ ὁ χρόνος, κινήσεως καὶ ἠρεμίας μέτρον ἐστίν, ὅσα ἄρα τῶν ὄντων μήτε κινεῖται, μήτε ἠρεμεῖ, ταῦτα οὐ μετρεῖται ὑπὸ χρόνου· οἷον τὰ κέντρα, καὶ οἱ πόλοι· καὶ προσέτι ψυχαί, καὶ ἄγγελοι, καὶ τὰ τοιαῦτα· ἐξῄρηται γὰρ ταῦτα κινήσεως καὶ ἠρεμίας· ὥστε οὐδ' ἂν ὑπὸ χρόνου μετροῖτο· οὐκοῦν οὐδὲ ἐν χρόνῳ ἂν εἶεν ταῦτα, εἴ γε ἐν χρόνῳ ταῦτα λέγεται, τὰ μετρούμενα ὑπὸ τοῦ χρόνου, καθὸ κινεῖται καὶ ἠρεμεῖ· οὐ μετρεῖται δὲ τὰ τοιαῦτα ὑπὸ τοῦ χρόνου, ἐπεὶ μηδὲ κινεῖται, μηδὲ ἠρεμεῖ· οὐδ' ἄρα ἐν χρόνῳ ἂν εἶεν· τίνα μὲν οὖν τῶν ὄντων ἐν χρόνῳ ἐστί, τίνα δ' οὐκ ἔστιν ἐν χρόνῳ εἰπών, ἐφεξῆς δείκνυσι, καὶ τῶν μὴ ὄντων, τίνα μὲν ἂν εἴη ἐν χρόνῳ, τίνα δὲ οὐκ ἂν εἴη· ὅσα μὲν οὖν φησι τῶν μὴ ὄντων, κατὰ τὸ ἀδύνατον θεωρεῖται, ταῦτά τε, καὶ τὰ ἀντικείμενα αὐτοῖς οὐ λέγονται εἶναι ἐν χρόνῳ, ἀλλ' ἀΐδια ἢ ἔστιν, ἢ οὐκ ἔστιν· οἷον τὸ τὴν τοῦ τετραγώνου διάμετρον τῇ πλευρᾷ σύμμετρον εἶναι, τῶν ἀδυνάτων ἐστί· διὰ τοῦτο οὖν λέγεται ἐν χρόνῳ τοῦτο μὴ εἶναι, ἐπειδὴ οὐκ ἔστι τῆς ἀνυπαρξίας αὐτοῦ πλείονα λαβεῖν χρόνον· ἐπειδὴ οὖν τὸ μὴ εἶναι τοῦτον οὐκ ἔστιν ἐν χρόνῳ, ἐξ ἀνάγκης οὐδὲ τὸ ἀντικείμενον αὐτῷ ὄν, ἐν χρόνῳ ἂν εἴη· λέγω δὴ τὸ εἶναι τὴν διάμετρον τῇ πλευρᾷ ἀσύμμετρον· οὐκ ἔστι γὰρ τῆς ὑπάρξεως αὐτοῦ μείζονα λαβεῖν χρόνον· ἀεὶ γὰρ τοῦτο οὕτως ἔχει· τὸ μὲν οὖν ἀδύνατον τῶν μὴ ὄντων, οὐκ ἔστιν ἐν χρόνῳ, ἐπειδὴ οὐδὲ τὸ ἀντικείμενον αὐτῷ, λέγω δὴ τὸ ἐξ ἀνάγκης ὄν, οὐκ ἔστιν ἐν χρόνῳ· ἀλλὰ τοῦ μὲν ἡ ὕπαρξις, ἀΐδιος· τοῦ δέ, ἡ ἀνυπαρξία· τῶν δὲ μὴ ὄντων, ὅσα ποτὲ μὲν εἶναι, ποτὲ δὲ μὴ εἶναι δύναται, ταῦτα δὲ ἐν χρόνῳ ἂν εἴη· τούτων δὲ διττή τίς ἐστιν ἡ διαφορά· τῶν γὰρ ἐνδεχομένως μὴ ὄντων, τὰ μὲν ἤδη γέγονε,

ἐν ὑποκειμένῳ, τὸ πρότερον καὶ τὸ ὕστερον. καλῶς ἄρα ἔλεγον, ὅτι οὐ πᾶν τὸ συνυφεστηκὸς τῷ χρόνῳ οὔ φησιν ἐν χρόνῳ εἶναι, ἀλλ᾽ ὅτι οὐκ ἔστι τοῦτο τὸ ἐν χρόνῳ εἶναι τὸ συνυφεστάναι τῷ χρόνῳ. τὶ γὰρ τῶν συνυφεστηκότων τῷ χρόνῳ, ἐν χρόνῳ ἐστίν. ὥσπερ εἶπον τὸ μέρος αὐτοῦ, καὶ τὸ πάθος. καὶ αὐτὸς γοῦν τὴν κίνησιν, ἧς μέτρον ἐστὶν ὁ χρόνος, λέγω δὴ τὴν τῆς ἀπλανοῦς, ἐν χρόνῳ φησὶν εἶναι. καὶ ἔστι γάρ φησι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι χρόνῳ καὶ αὐτὴν καὶ τὸ εἶναι αὐτῇ. καὶ ὅτι τὴν τῆς ἀπλανοῦς κίνησιν ἐνταῦθα ἐν χρόνῳ λέγει εἶναι, δῆλον ἐκ τοῦ ἡγουμένου. ἐπεὶ γάρ ἐστιν ὁ χρόνος φησὶ μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, ἔστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτὴν τῷ χρόνῳ. μέτρον δὲ κινήσεως ὁ χρόνος οὐδεμιᾶς ἄλλης ἐστίν, ἢ τῆς ἀπλανοῦς. ὥστε καὶ τὴν τῆς ἀπλανοῦς κίνησιν, καίτοι συνυφεστηκυῖάν γε τῷ χρόνῳ, ἐν χρόνῳ φησὶν εἶναι. οὐχ ὡς οὐ πᾶν τὸ συνυφεστηκὸς τῷ χρόνῳ, οὐκ ἔστιν ἐν χρόνῳ. ἀλλ᾽ ὅτι οὐ πᾶν ἁπλῶς τὸ συνυφεστηκὸς τῷ χρόνῳ, ἐν χρόνῳ ἐστίν. ἐπείτοι γε καὶ τὸ σημεῖον τῇ γραμμῇ συνυφέστηκε, καὶ ἡ ἐπιφάνεια τῷ σώματι, πεπερασμέναις οὔσι δηλονότι. ἀλλ᾽ ὅμως ἐν γραμμῇ τὸ σημεῖον, καὶ ἐν σώματι ἡ ἐπιφάνεια. οὕτως οὖν δυνατόν, καίτοι συνυφεστηκότων ἀλλήλοις τοῦ τε χρόνου καὶ τῆς κινήσεως, καὶ τὸν χρόνον ἐν κινήσει λέγειν εἶναι ὡς ἐν ὑποκειμένῳ, καὶ τὴν κίνησιν ἐν χρόνῳ, ὡς τὰ ἀριθμητὰ ἐν τῷ ἀριθμῷ. ἀριθμητὸν γὰρ ἡ κίνησις, ἀριθμὸς δὲ ὁ χρόνος. ἐπεὶ καὶ πολλὰ συνυφεστηκότα τῷ τόπῳ, ἐν τόπῳ λέγεται εἶναι. ἑκάστη γὰρ τῶν σφαιρῶν, καὶ τῶν ὁλοτήτων τῶν στοιχείων, συνυφεστηκυῖα τῷ ἑαυτῆς τόπῳ, ὅμως ἐν τόπῳ ἐστί. καὶ ἕκαστον τῶν κινουμένων σωμάτων, λέγω δὴ τῶν οὐρανίων, συνυφέστηκε τῇ ἑαυτοῦ κινήσει, ὅμως ἐν κινήσει ἐστίν. οὕτως ἄρα καὶ ἡ τοῦ παντὸς κίνησις, συνυφεστηκυῖα τῷ χρόνῳ, ἐν χρόνῳ ἂν εἴη, ὥσπερ τὰ ἀριθμούμενα ἐν ἀριθμῷ.

ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι οὐκ ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ εἶναι ὅτε ὁ χρόνος ἐστίν. ὥσπερ οὐδὲ τὸ ἐν κινήσει εἶναι, οὐδὲ τὸ ἐν τόπῳ, ὅτε ἡ κίνησις καὶ ὁ τόπος ἐστίν.

Σημείωσαι, ὅτι οὐκ εἶπεν, ὅτι τὸ ὂν ὅτε ὁ χρόνος ἐστίν, οὐκ ἔστιν ἐν χρόνῳ. ἀλλ᾽ ὅτι οὐκ ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ εἶναι τότε, ὅτε καὶ ὁ χρόνος ἐστίν. ἐπεὶ οὐδὲ τὸ ἐν κινήσει εἶναι ταυτόν, τῷ ἅμα τῇ κινήσει εἶναι.

ΕΙ γὰρ ἔσται τὸ ἔν τινι οὕτω, πάντα τὰ πράγματα ἐν ὁτῳοῦν ἔσται. καὶ ὁ οὐρανὸς ἐν τῇ κέγχρῳ. ὅτε γὰρ ἡ κέγχρος ἐστί, καὶ ὁ οὐρανός ἐστιν. ἀλλὰ τοῦτο μὲν συμβέβηκεν,

Ὅτι τὸ ἐν χρόνῳ εἶναι, οὐκ ἔστι τὸ εἶναι τότε, ὅτε καὶ ὁ χρόνος ἐστί, δείκνυσι. τὸ γὰρ ἐν χρόνῳ, ἔν τινι ἐστί. ἀλλὰ τὸ ἐν χρόνῳ ἐστὶ τὸ εἶναι τότε, ὅτε καὶ αὐτός ἐστι. τὸ ἔν τινι ἄρα ἐστὶ τὸ εἶναι τότε, ὅτε καὶ αὐτό ἐστιν. εἰ δὲ τοῦτό ἐστι τὸ ἔν τινι, καὶ τοῦτο χαρακτηριστικόν ἐστι τοῦ ἔν τινι, τὸ εἶναι τότε, ὅτε καὶ αὐτό ἐστι, τουτέστι τὸ συνυπάρχειν καὶ ἅμα εἶναι, δῆλον ὅτι καὶ ἀντιστρέψει ὁ λόγος. καὶ ὅπερ συνυφέστηκέ τινι, καὶ ἔστι τότε, ὅτε κἀκεῖνο ἐστιν, ἐν ἐκείνῳ ἂν εἴη. ἐπεὶ οὖν ὅτε ἐστὶν ἡ κέγχρος, τότε καὶ ὁ οὐρανός ἐστιν, ἐν τῇ κέγχρῳ ἂν εἴη ὁ οὐρανός. καὶ ἐπειδὴ τότε ἐστὶν ὁ ἀμφορεύς, ὅτε καὶ ἡ θάλασσα, ἐν τῷ ἀμφορεῖ ἂν εἴη ἡ θάλασσα. ὥστε εἰ ταῦτα ἀδύνατα, οὐκ ἂν εἴη τὸ ἔν τινι τοῦτο, τὸ συνυπάρχειν αὐτῷ. καὶ μή τις τῇ ἀντιστροφῇ μεμφέσθω, διότι τὴν καθόλου καταφατικὴν πρὸς ἑαυτὴν ἀντεστρέψαμεν. πρῶτον μὲν γὰρ τοῦτο ἴσμεν, ὅτι εἰ μὴ χρησόμεθα τῇ ἀντιστροφῇ, οὐκ ἂν συνάξαιμεν τὸ ἄτοπον, τὸ ἐν τῇ κέγχρῳ τὸν οὐρανὸν εἶναι. οὐδὲ γὰρ δώσει τις τοῦτο. ἀλλ᾽ ὅτι πᾶν μὲν τὸ ἔν τινι, καὶ εἶναι ἀνάγκη τότε, ὅτε κἀκεῖνό ἐστιν. οὐ μέντοι τὸ συνυφεστηκός τινι, ἤδη καὶ ἐν ἐκείνῳ ἐστίν. ὁ οὐρανὸς οὖν ὢν ὅτε καὶ ἡ κέγχρος ἐστίν, οὐ κατασκευάζεται ἐκ τοῦ λόγου ἐν τῇ κέγχρῳ εἶναι. τῆς δὲ ἀντιστροφῆς γινομένης, συνάγεται. εἰ γὰρ τοῦτό ἐστι τὸ ἔν τινι, τὸ εἶναι τότε, ὅτε κἀκεῖνό ἐστι, καὶ τὸ τότε ὂν δηλονότι, ὅτε ἄλλο τι ἐστίν, ἐν ἐκείνῳ ἂν εἴη. τούτου δὲ ὄντος, ἀνάγκη τὸν οὐρανόν, ἐν τῇ κέγχρῳ εἶναι. ἀναγκαίως δὲ πρὸς ἑαυτὴν ἀντεστρέψαμεν τὴν καθόλου, ἐπεὶ καὶ τὸ ὁριστικὸν τοῦ εἶναι ἑκάστου, ἀντιστρέφει πρὸς αὐτὸ ἐκεῖνο. εἰ γὰρ τῷ ἀνθρώπῳ εἶναι τό, ζῴῳ λογικῷ θνητῷ εἶναι. τὸ γὰρ ζῴῳ λογικῷ θνητῷ εἶναι, ἀνθρώπῳ ἐστὶν εἶναι. καὶ ἀνάπαλιν. οὕτως οὖν ἐπειδὴ καὶ τοῦ ἔν τινι ὡσεὶ χαρακτηριστικὸν καὶ ὁριστικὸν ὑποτίθεται εἶναι, τὸ εἶναι τότε ὅτε κἀκεῖνό ἐστιν, ἐν ᾧ λέγεται εἶναι, οὗτος καὶ ἀντιστρέψει. καὶ τὸ συνὸν τινι, ἐν αὐτῷ ἂν εἴη ἐκείνῳ.

ΕΚΕΙΝΟ δ᾽ ἀνάγκη παρακολουθεῖν, καὶ τῷ ὄντι ἐν χρόνῳ εἶναί τινα χρόνον, ὅτε κἀκεῖνό ἐστι. καὶ τὸ ἐν κινήσει ὄντι, εἶναι τότε κίνησιν.

Τὸ μὲν εἶναι τὸν οὐρανόν, ὅτε καὶ ἡ κέγχρος ἐστί, συμβέβηκε. τουτέστι τὸ συνυπάρχειν αὐτὰ ἀλλήλοις. δυνατὸν γάρ, καὶ τοῦ ἑνὸς ὄντος, οἷον τοῦ οὐρανοῦ, τὸ ἕτερον μὴ εἶναι τὴν κέγχρον. τούτοις μὲν οὖν κατὰ συμβεβηκὸς ὑπάρχει τὸ συνεῖναι ἀλλήλοις, τῷ οὐρανῷ φημι καὶ τῇ κέγχρῳ. τῷ μέντοι ἐν χρόνῳ ὄντι, ἐξ ἀνάγκης παρακολουθεῖ τὸ εἶναί τινα χρόνον, ὅτε κἀκεῖνό ἐστιν. εἰ τοίνυν τὰ μὲν ἔν τινι ἐξ ἀνάγκης συνυπάρχει, τινὰ δὲ τῶν συνυπαρχόντων, οὐκ ἐξ ἀνάγκης συνυπάρχει, οὐ πᾶν ἄρα τὸ συνυπάρχον τινί, ἐν αὐτῷ ἐκείνῳ ἐστίν. οὐδ᾽ ἄρα τὸ ἔν τινι τοῦτό ἐστι, τὸ εἶναι τότε, ὅτε κἀκεῖνό ἐστι, λέγω δὴ τὸ συνυπάρχειν αὐτῷ.

ΕΠΕΙ δ᾽ ἐστὶν ὡς ἐν ἀριθμῷ τὸ ἐν χρόνῳ, ληφθήσεταί τις πλείων χρόνος, παντὸς τοῦ ἐν χρόνῳ ὄντος. διὸ ἀνάγκη πάντα τὰ ἐν χρόνῳ ὄντα περιέχεσθαι ὑπὸ τοῦ χρόνου, ὥσπερ καὶ τἆλλα ὅσα ἔν τινί ἐστιν, οἷον, τὰ ἐν τῷ τόπῳ, ὑπὸ τοῦ τόπου.

τῆς φθορᾶς, οὐ τὸν χρόνον, καὶ τὸ ναυάγιον, τοῦ θανάτου· καὶ νόσον δὲ πολλάκις, αἰτίαν τῆς λήθης φαμὲν καὶ κάματον τοῦ γήρως αἴτιον. οὕτως ἄρα καὶ ἐπὶ τῆς φθορᾶς, ὅπου ὡρισμένον τι αἴτιον ᾖ, τοῦτο αἰτιώμεθα, καὶ οὐ τὸν χρόνον. δῆλον οὖν ἐντεῦθεν τὸ αἴτιον, διατί τῶν φθειρομένων μᾶλλον τὸν χρόνον αἰτιώμεθα, ἢ τῶν γινομένων. εἰ δὲ τὰ ἐν χρόνῳ ταῦτά ἐστι, τὰ ἔχοντα μείζονα ἑαυτῶν τὸν χρόνον, ὡσαύτως τὰ ἀΐδια, καὶ τὰ ἀεὶ πάντα ὄντα τὸν χρόνον, ἐν χρόνῳ οὐκ ἔστιν. οὐ γὰρ ἔχει μείζονα ἑαυτῶν χρόνον. καὶ τούτου φησὶ σημεῖον, τὸ μηδὲ πάσχειν αὐτὰ ὑπὸ χρόνου. εἰ γὰρ τὰ ἐν χρόνῳ πάσχει ὑπὸ χρόνου, τὰ ἄρα μὴ πάσχοντα ὑπὸ χρόνου, οὐκ ἂν εἴη ἐν χρόνῳ. οὐ πάσχει δὲ ὑπὸ χρόνου τὰ ἀεὶ πάντα τὸν χρόνον ὄντα. οὐδ᾽ ἄρα ἐν χρόνῳ τὰ τοιαῦτά ἐστιν. Ἐπεὶ δ᾽ ἐστὶν ὁ χρόνος μέτρον. εἰπὼν τῆς κινήσεως, ἐπήγαγε καὶ τοῦ κινεῖσθαι. τὸ κινεῖσθαι ἤτοι τοῦτο λέγων, ὅπερ παρακατιών φησι τὴν κίνησιν, καὶ τὸ εἶναι αὐτῇ, ἵνα τὸ κινεῖσθαι λέγῃ τὸ εἶναι τῇ κινήσει. ἢ γοῦν διὰ τοῦτο τὴν κίνησιν εἰπὼν, ἐπήγαγε καὶ τοῦ κινεῖσθαι, ἵνα εἰς ἄλλην τὴν ἔννοιαν τῆς παρατάσεως ἡμᾶς ἀγάγῃ. ἡ μὲν γὰρ κίνησις, σημαίνει καὶ αὐτὸ τὸ εἶδος τῆς κινήσεως. τὸ δὲ κινεῖσθαι, ἄλλην τὴν παράτασιν σημαίνει, ἧς καὶ ἔστιν ὁ χρόνος μέτρον. ἐξηγητικὸν οὖν τῆς κινήσεως τὸ κινεῖσθαι.

ΚΑΙ ἔστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι τῷ χρόνῳ καὶ αὐτὴν, καὶ τὸ εἶναι αὐτῆς. ἅμα γὰρ τὴν κίνησιν καὶ τὸ εἶναι τῇ κινήσει, μετρεῖ. καὶ τοῦτ᾽ ἔστιν αὐτῇ τῷ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῆς τὸ εἶναι. δῆλον δ᾽ ὅτι καὶ τοῖς ἄλλοις τοῦτ᾽ ἔστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτῶν τὸ εἶναι ὑπὸ τοῦ χρόνου.

Περιττεύειν φασὶ τὸν καὶ σύνδεσμον. εἶναι γὰρ τὴν ἀπόδοσιν τῆς συντάξεως, οὕτως. ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, ἔστι τῇ κινήσει, τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι τῷ χρόνῳ, καὶ αὐτὴν καὶ τὸ εἶναι αὐτῆς. οἱ δὲ ἀποδίδοσθαι τὸν λόγον φασὶν, ἐν τῷ χρόνῳ δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι. ἐπειδὴ γάρ φησιν ὁ χρόνος μέτρον ἐστὶ κινήσεως, καὶ ἔστι καὶ τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαι ὑπὸ τοῦ χρόνου, δῆλον ὅτι καὶ τοῖς ἄλλοις τοῦτό ἐστι, τὸ ἐν χρόνῳ εἶναι. πρὸς τοῦτο δὲ, περιττεύοι ἂν ὁ δὴ σύνδεσμος τοῦ, δῆλον δ᾽ ὅτι. οἱ δὲ μὴ πάνυ πολλὰ ἀποδίδοσθαι τὸν λόγον φασίν. ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως, ἔστι καὶ ἠρεμίας μέτρον. διό φασι καὶ ἀνέλαβε, τὸ ἐπεὶ δέ ἐστιν, ἵνα σώσῃ τὴν συνέχειαν, ἐπειδὴ πολλὰ ἦν τὰ μεταξὺ εἰρημένα. ἡμεῖς δὲ φαμὲν, ὅτι πρὸς ταῦτα πάντα ἀποδέδωκε. καὶ ἔστιν ἡ συνέχεια οὕτως. ἐπεὶ δέ ἐστιν ὁ χρόνος μέτρον κινήσεως καὶ τοῦ κινεῖσθαι, ἔστι τῇ κινήσει τὸ ἐν χρόνῳ εἶναι τὸ μετρεῖσθαι αὐτὴν ὑπὸ τοῦ χρόνου. καὶ τοῖς ἄλλοις δὲ τοῦτό ἐστι τὸ ἐν χρόνῳ εἶναι, τὸ μετρεῖσθαι αὐτὰ ὑπὸ τοῦ χρόνου. καὶ εἰ ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον. πῶς δὲ ἐστὶν ἠρεμίας μέτρον, ἐν ᾧ τόπῳ γενόμενοι, δωσόμεθα. Τὸ μετρεῖσθαι τῷ χρόνῳ καὶ αὐτὴν καὶ τὸ εἶναι αὐτῆς. Ἐπὶ μὲν τῶν συνθέτων, ἄλλο ἐστὶ τὸ τόδε εἶναι, καὶ τὸ τῷδε εἶναι. ἄλλο γὰρ τὸ ζῷον καὶ τὸ ζῴῳ εἶναι. τὸ μὲν γὰρ ζῷον, τὸ σύνθετον σημαίνει. τὸ δὲ ζῴῳ εἶναι, τὸ εἶδος. ἐπὶ δὲ τῶν ἁπλῶν, ταυτόν ἐστι τὸ τόδε εἶναι καὶ τὸ τῷδε εἶναι. ψυχὴν γοῦν καὶ ψυχῇ εἶναι τὸ αὐτό. καὶ ἄγγελον καὶ ἀγγέλῳ εἶναι. οὕτως οὖν καὶ κίνησιν, καὶ κινήσει εἶναι. ἁπλοῦν γάρ ἐστιν ἡ κίνησις.

ΤΟ γὰρ ἐν χρόνῳ εἶναι δυοῖν ἐστι θάτερον· ἓν μὲν, τὸ εἶναι τότε, ὅτε ὁ χρόνος ἐστίν· ἓν δὲ, τὸ, ὥσπερ ἔνια λέγομεν ὅτι ἐν ἀριθμῷ ἐστι. τοῦτο δὲ σημαίνει, ἤτοι ὡς μέρος ἀριθμοῦ, καὶ πάθος, καὶ ὅλως ὅτι τοῦ ἀριθμοῦ τι, ἢ ὅτι ἐστὶν αὐτοῦ ἀριθμός. ἐπεὶ δ᾽ ἀριθμὸς ὁ χρόνος, τὸ μὲν νῦν καὶ τὸ πρότερον καὶ ὅσα τοιαῦτα, οὕτως ἐν χρόνῳ, ὡς ἐν ἀριθμῷ μονὰς καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον. τὰ μὲν γὰρ τοῦ ἀριθμοῦ τι. τὰ δὲ τοῦ χρόνου τί ἐστι. τὰ δὲ πράγματα ὡς ἐν ἀριθμῷ, τῷ χρόνῳ τί ἐστιν. εἰ δὲ τοῦτο, περιέχεται ὑπ᾽ ἀριθμοῦ, ὥσπερ καὶ τὰ ἐν τόπῳ ὑπὸ τοῦ τόπου.

Ητοι τοῦτό φησιν, ὅτι διττὸν τὸ ἐν χρόνῳ. ἢ ὅτι διχῶς τοῦ ἐν χρόνῳ λεγομένου, θάτερον μόνον κυρίως αὐτόν ἐστιν ἐν χρόνῳ. δύο γὰρ σημαινόμενα θεὶς τοῦ ἐν χρόνῳ, τὸ ἓν μόνον ἐγκρίνει ὡς ἀληθὲς, τὸ δὲ ἕτερον ἐλέγχει. ἐν χρόνῳ γάρ φησιν, ἢ τὸ ἅμα τῷ χρόνῳ ὑπάρχον, ὅπερ καὶ ἐλέγξει, οὐχ ὅτι οὐδὲν τῶν ἐν χρόνῳ ὄντων ἅμα ἐστὶ τῷ χρόνῳ, ἀλλ᾽ ὅτι οὐ τὸ ἅμα τῷ χρόνῳ ὂν, τοῦτο πάντως ἐν χρόνῳ ἐστὶν, ὡς δείξομεν ἐπιόντες. ἐν χρόνῳ οὖν ἐστι φησὶν, ἢ τὸ συνυπάρχον τῷ χρόνῳ, ἢ τὸ ὑπὸ τοῦ χρόνου περιεχόμενον. ὥσπερ καὶ ἔνια λέγομεν ἐν ἀριθμῷ εἶναι, ἃ ὑπὸ τοῦ ἀριθμοῦ περιέχεται. ὅπερ καὶ κυρίως ἐστὶν ἐν χρόνῳ. τοῦτο δὲ, τὸ κυρίως ἐν χρόνῳ, διχῶς πάλιν διαιρεῖ. ἢ ὡς πάθος ἢ μέρος τοῦ χρόνου, ἢ ὡς ὑπὸ τοῦ χρόνου μετρούμενον, ὡς λέγομεν τὰ Τρωϊκὰ ἐν χρόνῳ γενέσθαι. ἐν δέκα γὰρ ἔτεσιν. ἐπεὶ καὶ τὸ ἐν ἀριθμῷ, ᾧπερ ἀπεικάζει τὸ κυρίως ἐν χρόνῳ, καὶ αὐτὸ διττόν ἐστιν. ἤτοι ὡς μέρος ἀριθμοῦ καὶ πάθος, ὡς ἡ μονὰς, καὶ τὸ περιττὸν καὶ ἄρτιον, ἢ ὡς ἠριθμημένον ὑπὸ τοῦ ἀριθμοῦ. ὡς λέγομεν τοὺς δέκα ἵππους ἐν ἀριθμῷ εἶναι. καὶ σημειῶσαι, ὅτι τὸ ἓν σημαινόμενον τοῦ κυρίως ἐν χρόνῳ, τῶν συνυφεστηκότων τῷ χρόνῳ. ἔστι γὰρ τὸ μέρος τοῦ χρόνου ἢ τὸ πάθος. λέγω δὲ τὸ νῦν, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον, συνυφέστηκε τῷ χρόνῳ. οὐκ ἔστι γὰρ χρόνος, ἐν ᾧ οὐκ ἦν πάντως τὸ νῦν, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον. ὥσπερ καὶ τῷ ἀριθμῷ συνυφέστηκε πάντως ἡ μονάς. καὶ ἤτοι τὸ περιττὸν, ἢ τὸ ἄρτιον. καὶ ἔστι τῶν κυρίως ἔν τινι ὄντων, καὶ τὸ ὡς μέρος ἐν ὅλῳ, καὶ τὸ ὡς ἐν ὑποκειμένῳ, τοιοῦτον δέ ἐστι τὸ πάθος. ἐν τούτῳ δὲ οὕτως ἐστὶ πάθος. ὡς ἐν ὑποκειμένῳ γὰρ τῷ ἀριθμῷ, τὸ περιττὸν, καὶ τὸ ἄρτιον. ὥσπερ καὶ ἐν τῷ χρόνῳ ὡς

μος, ὡρισμένον ἀεὶ ἂν μέτρον. πολλῷ δὲ τούτου πρότερος, ὁ ἐν τῇ ψυχῇ, ὁ ὁρίζων καὶ τὸν ἔξω ξέστην. αὐτὸς μέν τοι ὁ μεμετρημένος ξέστης τοῦ οἴνου, μετρῶν τὸν λοιπὸν πάντα, συγκατατεταγμένον ἂν εἴη μέτρον. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ χρόνου. καὶ ἔστιν ὁ μὲν χρόνος, ὡρισμένον μέτρον, τὸ μόριον δὲ τῆς κινήσεως ᾧ μετρεῖται ἡ λοιπή, συγκατατεταγμένον ἐστὶ μέτρον. Τί οὖν τὸ μόριον τῆς κινήσεως ὃ πρώτως ὁρίζεται ὑπὸ τοῦ χρόνου, ὥστε εἶναι μέτρον πάσης τῆς κινήσεως, ἣν οὐχ ὁ χρόνος μετρεῖ πρώτως. εἰ οὖν ὅλως μετρεῖ τινα κίνησιν πρώτως, διατί μὴ πᾶσαν. πῶς δὲ καὶ ὅλως ὁρίζει τινὰ κίνησιν, ἢ μετρεῖ τὴν λοιπήν, μιᾶς καὶ συνεχοῦς οὔσης πάσης τῆς κινήσεως. Φημὶ οὖν, ὅτι ὥσπερ εἰ τῇ χειρί τις τὸ μόριον χοίνικος μετρήσει καὶ ἀφορίσεται, εἶτα ἐκείνῳ τὴν λοιπὴν χοίνικα μετρήσει, οὕτω δὴ καὶ ἐπὶ τοῦ χρόνου ἔχει. οὐκ ἔστι γὰρ, οὐ φύσει τὸ μόριον τὸ ἀφορισθέν. διὸ ἄλλοι ἄλλα μέτρα λαμβάνουσι, καὶ ὡρῶν, καὶ μηνῶν, καὶ ἐνιαυτῶν. ἀφορισθέντος οὖν μορίου τινὸς τῆς κινήσεως, καὶ τούτου πρῶτον ὑπὸ τοῦ χρόνου ὁρισθέντος, λέγω δὴ τοῦ ἀριθμοῦ τοῦ κατὰ τὸ πρότερον μορίου τῆς κινήσεως καὶ τὸ ὕστερον, οὕτω ταύτῃ ἡ λοιπὴ πᾶσα μετρεῖται, ὡς ὑπὸ προσεχεστέρου μέτρου. ταύτην οὖν πρώτως ὁ χρόνος μετρεῖ καὶ ὁρίζει. δι' αὐτῆς δὲ καὶ τὴν λοιπὴν πᾶσαν. οὕτω μὲν οὖν ὑπὸ τοῦ χρόνου μετρεῖται ἡ κίνησις. ταύτῃ δέ φησι καὶ ἐν χρόνῳ εἶναι ἡ κίνησις λέγεται τῷ μετρεῖσθαι τὸ εἶναι αὐτῆς ὑπὸ τοῦ χρόνου. ἀλλὰ μετρεῖται ὑπὸ τοῦ χρόνου ἡ κίνησις, οὐχ ᾗ ἀΐδιός ἐστιν, ἀλλὰ τῷ ἀεὶ τὸ λαμβανόμενον αὐτῆς μόριον, πεπερασμένον εἶναι. ὡς μέντοι ἀΐδιος, οὐ μετρεῖται ὑπ' αὐτοῦ. καὶ γὰρ ὅλως φησὶ, τὸ ἐν χρόνῳ διττόν ἐστι. τὸ μὲν συνυπάρχον τῷ χρόνῳ. καὶ ὂν τότε, ὅτε ὁ χρόνος ἐστί. τὸ δὲ ἐν χρόνῳ λέγεται εἶναι, τὸ ἔχον τινὰ χρόνον μετρητικὸν τοῦ εἶναι αὐτοῦ. ὥσπερ φησὶ καὶ τὸ ἐν ἀριθμῷ, διττόν. τὸ μὲν ἤτοι μέρος ὂν τοῦ ἀριθμοῦ, ἢ πάθος. οἷον λέγομεν τὴν μονάδα ἐν ἀριθμῷ εἶναι, ὡς μέρος οὖσαν τοῦ ἀριθμοῦ. λέγομεν δὲ καὶ τὸ περιττὸν καὶ ἄρτιον ἐν ἀριθμῷ εἶναι. ἀλλ' ὡς πάθη ἀριθμοῦ. καὶ ἔστι ταῦτα ἅμα τῷ ἀριθμῷ. ἔστ' ἂν γὰρ ἀριθμὸς ᾖ, καὶ ταῦτα. καθ' ἓν μὲν οὖν οὕτω λεγόμενόν τι ἐν ἀριθμῷ εἶναι. καθ' ἕτερον δὲ λέγεταί τι ἐν ἀριθμῷ εἶναι, τὸ ἔχον ἀριθμόν τινα. ὥσπερ λέγομεν τοὺς δέκα ἵππους, ἐν ἀριθμῷ εἶναι, τουτέστιν ἀριθμόν τινα αὐτῶν εἶναι. ὥσπερ οὖν διττὸν τὸ ἐν ἀριθμῷ, οὕτω καὶ τὸ ἐν χρόνῳ διττόν. καὶ γὰρ ἀριθμός τις ὁ χρόνος ἐστίν. ὅταν μὲν γὰρ τὸ νῦν ἐν χρόνῳ λέγωμεν εἶναι, ὡς μέρος ἐν ὅλῳ φαμὲν εἶναι. ὥσπερ καὶ τὴν μονάδα ἐν ἀριθμῷ. ὅταν δὲ λέγωμεν τὸ πρότερον καὶ ὕστερον ἐν τῷ χρόνῳ εἶναι, ὡς πάθη λέγομεν εἶναι. ἃ καὶ ἅμα τῷ χρόνῳ ἐστίν. ἅμα γὰρ τῷ χρόνῳ ἐστὶ πάντως, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον. λέγομεν δὲ πάλιν ἐν χρόνῳ εἶναι τὰ πράγματα, τῷ εἶναί τι χρόνου μετρητικὸν τῆς οὐσίας αὐτῶν ὥσπερ ἐλέγομεν καὶ τὸ δεύτερον σημαινόμενον τοῦ ἐν ἀριθμῷ, τὸ ἔχειν τινὰ ἀριθμόν. οἷον τοὺς δέκα ἵππους, τὸν δέκα ἀριθμόν. καὶ τοῦτό γε ἐστὶ τὸ κυρίως ἐν χρόνῳ. ἐπεί τοι γε οὐ κυρίως, τὸ ἅμα τῷ χρόνῳ ὂν, ἐν χρόνῳ. εἰ γὰρ τὸ ἅμα τῷ χρόνῳ ὂν ἐν χρόνῳ ἐστίν, ἐπεὶ ἅμα τῷ χρόνῳ καὶ ἡ ψυχὴ, καὶ τὰ θεῖα πάντα. εἰ γὰρ ὅτε ὁ χρόνος ἐστὶ, καὶ ταῦτά ἐστιν, ἐν χρόνῳ ἂν εἴη καὶ ταῦτα. ὥσπερ οὖν οὐ τὸ ἅμα τῇ κινήσει ὂν, ἐν κινήσει ἐστίν, οὐδὲ τὸ ἅμα τῷ τόπῳ ὂν, ἐν τόπῳ ἐστίν. ὥσπερ τὰ ἀσώματα πάντα, ἄγγελοι φημὶ καὶ θεός. οὐκ ἦν γὰρ κίνησις ἢ τόπος ὅτε οὐκ ἦν ταῦτα, ἀλλ' ὅμως οὔτε ἐν κινήσει ταῦτα, οὔτε ἐν τόπῳ. οὕτως οὐδὲ τὸ ἅμα τῷ χρόνῳ ὂν, ἐν χρόνῳ ἐστίν. εἰ γὰρ τὸ ἅμα τινὶ ὂν, ἐν ἐκείνῳ ἐστίν, ἐπειδή φησιν ὅτε ἡ κέγχρος ἐστὶ καὶ ὁ οὐρανός ἐστιν, ἐν τῇ κέγχρῳ ἂν εἴη ὁ οὐρανός. οὐκ ἄρα οὐδὲ τὸ ὂν ὅτε καὶ ὁ χρόνος ἐστίν, ἐν χρόνῳ ἐστίν. ὥσπερ οὐδὲ τὸ ὂν ὅτε ἡ κέγχρος ἐστίν, ἐν τῇ κέγχρῳ ἐστί. τοῦτο μὲν οὖν οὐ πάντως ἐν χρόνῳ, τὸ ὂν τότε, ὅτε καὶ ὁ χρόνος ἐστί. τὸ γὰρ ἔν τινι ὂν κυρίως, ὑπ' ἐκείνου θέλει περιέχεσθαι. κυρίως οὖν ἐν χρόνῳ ἐστὶ, τὸ ἔχον τινὰ χρόνον μετρητικὸν αὐτοῦ, οἷον τὸν δέκα ἢ ἄλλον τινά. εἰ δὲ τοῦτό ἐστιν ἐν χρόνῳ, ἀνάγκη παντὸς τοῦ ἐν χρόνῳ μείζονά τινα λαμβάνεσθαι χρόνον, ὥσπερ καὶ τοῦ οὕτως ἐν ἀριθμῷ ὄντος μείζονά τινα λαμβάνεσθαι ἀριθμόν. καὶ διὰ τοῦτό φησιν, ἐπειδὴ τοῦτό ἐστι κυρίως τὸ ἐν χρόνῳ, τὸ ἔχον μείζονα ἑαυτοῦ χρόνον, πάντα φαμὲν καταγηράσκειν ὑπὸ τοῦ χρόνου. καὶ πάντα φθείρειν τὸν χρόνον. οὐ μέντοι φαμὲν γίνεσθαί τι ὑπὸ χρόνου.

Καὶ ζητήσειεν ἄν τις εἰκότως, πῶς φησιν, ὅτι φθορᾶς μὲν αἴτιον λέγομεν εἶναι τὸν χρόνον, γενέσεως δὲ οὔ. καίτοι φαμὲν ἐν χρόνῳ τὰ πράγματα γίνεσθαι. ἅπαντα γάρ φησιν ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα. καὶ, ὁ χρόνος τί με οὐδένα ποιεῖ. πῶς δὲ ὅλως ὑπὸ τοῦ χρόνου φησὶ φθείρεσθαι πάντα. καίτοι αὐτὸς εἶπεν ἐν τῷ πρώτῳ λόγῳ, πᾶν τὸ φθειρόμενον ὑπὸ τοῦ ἐναντίου φθείρεσθαι. ὁ δὲ χρόνος οὐδενί ἐστιν ἐναντίος. ποσὸν γάρ τι ὁ χρόνος. οὐδὲν δὲ τῷ ποσῷ ἐναντίον. καὶ σύνεστι δὲ πᾶσι τοῖς οὖσιν. οὐδὲν δὲ ἅμα σύνεστι τῷ ἐναντίῳ. Φημὶ οὖν πρὸς ταῦτα, ὅτι πρῶτον μὲν οὐδὲ αὐτὸς εἶπεν, οὐδαμῶς λέγομεν ὑπὸ τοῦ χρόνου τὰ πράγματα γίνεσθαι. ἀλλ' ὅτι μᾶλλον φθείρεσθαι φαμὲν ἢ γίνεσθαι. φθορᾶς γάρ φησι καθ' αὑτὸ μᾶλλον αἴτιος ὁ χρόνος. ἐπειδὴ τῆς μὲν γενέσεως ἑκάστου, ὡρισμένον καὶ δῆλον τὸ αἴτιον. οἷον τοῦ ζώου μὲν ὁ γεννήσας, καὶ τῆς ἐπιστήμης τοῦ μαθητοῦ ὁ διδάσκαλος. ἐπεὶ οὖν ἔχομεν ὡς ὡρισμένον τι αἴτιον τὴν γένεσιν ἀναφέρειν, διατοῦτο οὐδείς φησιν ὅτι ὁ χρόνος ἐγέννησεν, ἀλλ' ὅτι ὁ πατὴρ ἐγέννησεν. οὐδ' ὅτι ὁ χρόνος ἐδίδαξεν, ἀλλ' ὅτι ὁ διδάσκαλος. ἐπὶ δὲ τῆς φθορᾶς καὶ τῆς λήθης, ἐπειδὴ μὴ ἔχομεν ὡρισμένον τι αἴτιον ἀποδιδόναι, διατοῦτο ἐπὶ τὸν χρόνον ἀνάγομεν τὴν αἰτίαν. ἐπεί τοι γε ὅταν καὶ ἔχωμεν πρόδηλον τῆς φθορᾶς τὸ αἴτιον, οἷον εἰ ὑπὸ πυρὸς φθαρείη ἡ οἰκία, τὸ πῦρ αἴτιον φαμέν.

» Ὁ δὲ χρόνος ἀριθμός ἐστιν, οὐχ ᾧ ἀριθμοῦμεν, ἀλλ' ὁ ἀριθμούμενος. οὗτος δὲ καὶ συμβαίνει κατὰ
» πρότερον καὶ ὕστερον, ἀεὶ ἕτερος. τὰ γὰρ νῦν, ἕτερα. ἔστι δὲ ὁ ἀριθμὸς εἷς μὲν καὶ ὁ αὐτὸς ὁ τῶν ἑκατὸν
» ἵππων, καὶ τῶν ἑκατὸν ἀνδρῶν. ὧν δ' ἀριθμὸς, ἕτερα, οἱ ἵπποι τῶν ἀνθρώπων.

Εἰ γὰρ ἦν ὁ χρόνος ἀριθμὸς ᾧ ἀριθμοῦμεν, εἷς ἂν ἦν ὁ παρεληλυθὼς καὶ ὁ μέλλων. εἷς γὰρ ὁ ἐν τῇ ψυχῇ ἀριθμός. νῦν δὲ οὐκ ἔστιν ὁ ἀριθμῶν, ἀλλ' ὁ ἀριθμούμενος. ὥστε ἕτερος καὶ ἕτερος, ὁ παρεληλυθὼς καὶ ὁ μέλλων. ὁ μὲν γὰρ ἀριθμῶν, ὁ αὐτός. τὰ δὲ ἀριθμούμενα, οὐ τὰ αὐτά.

» ΕΤΙ ὡς ἐνδέχεται κίνησιν εἶναι τὴν αὐτὴν καὶ μίαν πάλιν καὶ πάλιν, οὕτω καὶ χρόνον ἐνδέχεται·
» οἷον ἐνιαυτὸν, ἢ ἔαρ, ἢ μετόπωρον.

Ὅτι ἐνδέχεται πάντα χρόνον τὸν αὐτὸν καὶ ἕνα λέγειν, τῷ εἴδει δηλονότι, ὥσπερ καὶ τὰς πολλὰς κινήσεις μίαν εἶναι τῷ εἴδει.

» ΟΥ μόνον δὲ τὴν κίνησιν τῷ χρόνῳ μετροῦμεν, ἀλλὰ καὶ τῇ κινήσει τὸν χρόνον, διὰ τὸ ὁρίζεσθαι
» ὑπ' ἀλλήλων. ὁ μὲν γὰρ χρόνος ὁρίζει τὴν κίνησιν ἀριθμὸς ὢν αὐτῆς. ἡ δὲ κίνησις, τὸν χρόνον. καὶ λέγομεν
» πολὺν ἢ ὀλίγον χρόνον, τῇ κινήσει μετροῦντες.

Ὅτι οὐ μόνον τὴν κίνησιν ὁ χρόνος μετρεῖ, ἀλλὰ καὶ τὸν χρόνον ἡ κίνησις. καὶ εἴπομεν πῶς.

» ΚΑΘΑΠΕΡ καὶ τῷ ἀριθμητῷ τὸν ἀριθμόν. οἷον, τῷ ἑνὶ ἵππῳ, τὸν τῶν ἵππων ἀριθμόν. τῷ
» μὲν γὰρ ἀριθμῷ τὸ τῶν ἵππων πλῆθος γνωρίζομεν. πάλιν δὲ τῷ ἑνὶ ἵππῳ, τὸν τῶν ἵππων ἀριθμὸν αὐ-
» τόν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ χρόνου καὶ τῆς κινήσεως. τῷ μὲν γὰρ χρόνῳ τὴν κίνησιν, τῇ δὲ κινήσει τὸν
» χρόνον μετροῦμεν. καὶ τοῦτ' εὐλόγως συμβέβηκεν.

Ὥσπερ φησὶ τὸν τῶν ἵππων ἀριθμὸν, οἷον τοὺς δέκα ἵππους, τῇ ἐν αὐτοῖς δεκάδι γνωρίζομεν, καὶ ταύτην αὖθις τῷ ἀριθμῷ τῶν ἵππων, οὕτω δὴ καὶ ἐπὶ τοῦ χρόνου καὶ τῆς κινήσεως, μετρητικά ἐστι ταῦτα ἀλλήλων. καὶ τοῦτο εὐλόγως συμβέβηκεν.

» ΑΚΟΛΟΥΘΕΙ γὰρ τῷ μὲν μεγέθει ἡ κίνησις. τῇ δὲ κινήσει ὁ χρόνος, τῷ καὶ ποσὰ καὶ συνεχῆ
» καὶ διαιρετὰ εἶναι. διὰ μὲν γὰρ τὸ μέγεθος εἶναι τοιοῦτον, ἡ κίνησις ταῦτα πέπονθε. διὰ δὲ τὴν κίνησιν,
» ὁ χρόνος. καὶ μετροῦμεν καὶ τὸ μέγεθος τῇ κινήσει, καὶ τὴν κίνησιν τῷ μεγέθει. πολλὴν γὰρ φαμὲν εἶναι
» τὴν ὁδὸν, ἂν ᾖ ἡ πορεία πολλή. καὶ ταύτην πολλὴν, ἂν ᾖ ἡ ὁδὸς πολλή. καὶ τὸν χρόνον, ἂν ἡ κίνησις. καὶ
» τὴν κίνησιν, ἂν ὁ χρόνος.

Ῥᾴστην τοῦ ἀντιμετρεῖσθαι ὑπ' ἀλλήλων τὸν χρόνον καὶ τὴν κίνησιν τίθησι, τὸ ἀκολουθεῖν, τῷ μὲν μεγέθει τὴν κίνησιν, τῇ δὲ κινήσει τὸν χρόνον. εἰ γὰρ ὡς ἂν ἔχῃ τὸ μέγεθος, οὕτως ἔχει καὶ ἡ κίνησις, καὶ ὡς ἂν ἔχῃ ἡ κίνησις, οὕτως ἔχει καὶ ὁ χρόνος, δῆλον ὅτι τῆς κινήσεως πολλῆς οὔσης, ἀνάγκη πολὺν εἶναι καὶ τὸν χρόνον. καὶ ἔμπαλιν, πολλοῦ ὄντος τοῦ χρόνου, πολλὴν εἶναι καὶ τὴν κίνησιν. ὡς γὰρ καὶ κατὰ τὸ συνεχὲς καὶ διαιρετὸν καὶ τὰ ἄλλα ἀκολουθοῦσιν ἀλλήλαις ἥτε κίνησις καὶ ὁ χρόνος, οὕτω δὴ καὶ κατὰ τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ τὸ μακρὸν, καὶ τὸ βραχύ. ὥστε ἑκάτερον τοῦ ἑτέρου μέτρον ἐστί. τοῦ γὰρ ἑτέρου πολλοῦ ὄντος ἢ ὀλίγου, ἢ μακροῦ ἢ βραχέος, καὶ τὸ λοιπὸν ἀνάγκη τοιοῦτον εἶναι.

» ΕΠΕΙ δ' ὁ χρόνος μέτρον κινήσεώς ἐστι, καὶ τοῦ κινεῖσθαι, μετρεῖ δ' οὕτω τὴν κίνησιν, τῷ ὁρίσαι τινὰ
» κίνησιν, ἣ καταμετρήσει τὴν ὅλην, ὥσπερ καὶ τὸ μῆκος ὁ πῆχυς τῷ ὁρίσαι τι μέγεθος ὃ ἀναμε-
» τρήσει τὸ ὅλον.

Τὸν σκοπὸν τῶν προκειμένων ἄλλοι ἄλλον ἀφορίζουσι. καὶ ὁ μὲν Ἀλέξανδρος φησὶν, ὅτι πρόκειται αὐτῷ δεῖξαι, ὅπως λέγεται τὴν κίνησιν ὁ χρόνος μετρεῖν. καὶ ὅπως ὅλως ἐν χρόνῳ λέγεται εἶναι ἡ κίνησις. καὶ ἁπλῶς τὰ ἄλλα πάντα πῶς λέγονται εἶναι ἐν χρόνῳ. ἄλλοι δέ φασι, σκοπὸν εἶναι τῶν προκειμένων, δεῖξαι ὅτι οὐ μόνον τὴν κίνησιν μετρεῖ ὁ χρόνος, ἀλλὰ καὶ ἠρεμίαν. καὶ πιστοῦνται τοῦτο, ἐκ τοῦ συμπεραινόμενον τὸν Ἀριστοτέλην λέγειν, ἐπεὶ δ' ἐστὶν ὁ χρόνος μέτρον κινήσεως, ἔσται καὶ ἠρεμίας μέτρον. ἔστι δὲ τὸ ἀληθέστερον εἰπεῖν, ὅτι οὐ περὶ ἑνὸς τούτων ἐστὶν ὁ σκοπὸς τῷ Ἀριστοτέλει, ἀλλὰ περὶ πάντων. καὶ πῶς μετρεῖται ὑπὸ τοῦ χρόνου ἡ κίνησις. καὶ πῶς ἐν χρόνῳ λέγονται εἶναι τὰ πράγματα. καὶ ὅτι οὐ μόνον κινήσεώς ἐστι μέτρον ὁ χρόνος, ἀλλὰ καὶ ἠρεμίας. ὁ μὲν οὖν σκοπὸς τῶν προκειμένων οὗτος. ζητεῖ δὲ πρῶτον, πῶς ἐστι μέτρον κινήσεως ὁ χρόνος. καὶ γὰρ ἔχει τινὰ εὔλογον ἀπορίαν. τὸ γὰρ μέτρον, ὁμογενὲς θέλει εἶναι τῷ μετρουμένῳ. τῇ γὰρ μονάδι μετροῦμεν τὸν ἀριθμόν. τὴν γὰρ δεκάδα τῶν ἵππων, τῷ ἑνὶ ἵππῳ μετροῦμεν, καὶ τῷ μέρει τοῦ ξύλου τὸ ξύλον. εἰ τοίνυν οὐκ ἔστιν ὁμογενὴς τῇ κινήσει ὁ χρόνος, δέδεικται γὰρ ὅτι οὐκ ἔστιν ἡ κίνησις ὁ χρόνος, πῶς λέγομεν τὴν κίνησιν μετρεῖσθαι ὑπὸ τοῦ χρόνου. φησὶν οὖν ὅτι μετρεῖ ὁ χρόνος τὴν κίνησιν, τῷ μετρεῖν τινα κίνησιν ἣ καταμετρεῖ τὴν λοιπήν. ὁρίζει γὰρ ὡραίαν τυχὸν κίνησιν. καὶ ταύτῃ τὴν ἡμέραν μετρεῖ. καὶ τῇ ἡμέρᾳ τὸν ἐνιαυτόν. τὰς γὰρ τοσάσδε περιφορὰς, ἐνιαυτὸν καλοῦμεν. καὶ γὰρ διττὸν τὸ μέτρον. τὸ μὲν, ἐξηρημένον. τὸ δὲ συγκατατεταγμένον, καὶ ὁμοειδές. δυνατὸν γὰρ τὸ ξύλον καὶ τῷ πήχει μετρῆσαι. δυνατὸν δὲ, καὶ ἕν τι μέρος ἀφελόντα, τούτῳ τὸ λοιπὸν καταμετρῆσαι. ὁ μὲν οὖν πῆχυς, ἐξηρημένον ἂν εἴη μέτρον. τὸ δὲ μόριον, ὁμοειδὲς, καὶ συγκατατεταγμένον. καὶ ἐπὶ παντὸς μέτρου ὡσαύτως. οἷον ὁ ξέστης, ὁ μὲν κεράμιος

ὑπεροχῆς ὑπὸ τοῦ ἄνω καὶ τοῦ σίτου μετρεῖται, ἀλλ' ὁ ἐριθμέτων ἤδη τούτων καὶ μετρηθέντων ὑπὸ τῶν μέτρων. ὥστε τὸ κυρίως καὶ πρώτως μετροῦν, τὸ μέτρον ἐστίν. ἀλλὰ φημὶ, ὅτι εἰ καὶ ὅδε ὁ μέδιμνος ὑπὸ τοῦ μεμετρημένου σίτου, ὑπ' ἄλλου μεδίμνου μετρεῖται, ἀλλ' οὐκ ἁπλῶς καὶ οἷον κατὰ τὴν πρώτην θέσιν, καὶ ὁ μέδιμνος τῷ τοσῶδε ἀριθμεῖσθαι. καὶ ὁ ποσὸς δὲ σῖτος ὑπὸ τοῦ μεδίμνου μεμέτρηται. ἐπὶ δὲ τοῦ χρόνου μή ποτε οὐδὲ τοῦτό ἐστιν εἰπεῖν. οὐδὲ γὰρ πρῶτον μεμέτρηται ὑπὸ τοῦ χρόνου ἡ κίνησις, εἶτα αὐτὴ μετρήσει τὸν χρόνον. ἀλλ' ἅμα συνεπινοοῦνται ἀλλήλοις, ὥσπερ τὰ πρός τι. ὥσπερ οὖν ἅμα καὶ κατὰ ταυτὸν, καὶ ὁ πατὴρ τὸ εἶναι πατὴρ ὑπὸ τοῦ υἱοῦ ἔχει, καὶ ὁ υἱὸς τὸ εἶναι υἱὸς ὑπὸ τοῦ πατρὸς, ὁμοίως καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν, οὕτω δὴ καὶ ὁ χρόνος καὶ ἡ κίνησις ὑπ' ἀλλήλων ὁρίζονται. εἰ γὰρ ἀριθμός ἐστιν ὁ χρόνος, τῶν πρός τι δηλονότι. τοῦ γὰρ ἀριθμητοῦ ἀριθμός. ἀριθμητὸν δὲ ὑπὸ τοῦ χρόνου ἡ κίνησις. ὥστε καὶ τὸ εἶναι τοσήνδε ἡ κίνησις ὑπὸ τοῦ χρόνου ἔχει. ἀριθμὸς γὰρ αὐτῆς ὁ χρόνος. καὶ τὸ εἶναι τὸν χρόνον τοσόνδε, οὐκ ἄλλοθεν ἢ ἐκ τῆς κινήσεως. μὴ οὔσης γὰρ ταύτης, οὐδ' ἂν ὁ χρόνος εἴη. ὥσπερ καὶ τοῦ χρόνου μὴ ὄντος, λέγω δὴ τοῦ τῆς κινήσεως ἀριθμοῦ, οὐδ' ἂν κίνησις εἴη. ἀριθμητὸν γὰρ ἡ κίνησις. ἀριθμὸν δὲ λέγω, οὐχ ἁπλῶς τὸν ὑφ' ἡμῶν μετρούμενον, ἀλλὰ τὸν ἐν τοῖς πράγμασιν ἐνυπάρχοντα. ὥσπερ γὰρ οἱ δέκα λίθοι, κἂν μηδεὶς ᾖ ὁ ἀριθμῶν καὶ λέγων αὐτοὺς δέκα εἶναι, ὅμως οὐδὲν ἧττον ὑπάρχει αὐτοῖς τὸ δέκα εἶναι, οὕτω φημὶ καὶ τὸν χρόνον, λέγω δὴ τὸν τῆς κινήσεως ἀριθμὸν, κἂν μηδεὶς ᾖ ὁ μετρῶν τὰς κινήσεις, ὅμως ὑπάρχει αὐταῖς, τὸ τοσαῖσδε εἶναι. ἡ γὰρ περιφορὰ τοῦ ἡλίου, ἡ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ δεκάκις γινομένη κἂν μηδεὶς ᾖ ὁ ἀριθμῶν, οὐδὲν ἧττον δεκάκις γέγονε. καὶ ἔστιν ὁ τοιοῦτος ἀριθμὸς τῆς κινήσεως, ὁ χρόνος.

ΤΙΣ δὲ ἀριθμὸς, ἔστι μὲν ὡς ἔστιν. ἔστι δὲ ὡς οὐκ ἔστιν. οἷον, γραμμῆς ἐλάχιστος ἀριθμὸς, πλήθει μέν ἐστιν, αἱ δύο, ἢ ἡ μία, μεγέθει δ' οὐκ ἔστιν ἐλάχιστος. ἀεὶ γὰρ διαιρεῖται πᾶσα γραμμή. ὥστε ὁμοίως καὶ ὁ χρόνος. ἐλάχιστος μὲν κατὰ ἀριθμόν ἐστιν, ὁ εἷς, ἢ οἱ δύο. κατὰ μέγεθος δ' οὐκ ἔστι.

Τῆς ἀποδείξεως προωμολογημένης, οὕτως ἐπάγει τὴν λύσιν, μὴ θεὶς τὴν ἀπορίαν. ὁ δὲ νοῦς τῶν προκειμένων, τοιοῦτός ἐστιν. ἐπειδὴ συνεχὴς ὁ χρόνος, εἶπε δὲ τὸν χρόνον ἀριθμὸν εἶναι κινήσεως, τὸ δὲ ἐλάχιστον ἐν μὲν τῷ συνεχεῖ οὐκ ἔστιν, ἐπ' ἄπειρον γὰρ διαιρετὸν, ἐν δὲ τῷ ἀριθμῷ ἐστιν, οἷον ἡ δυὰς, δοκεῖ δὲ ταῦτα ἐναντία ὄντα ἐν ἑνὶ καὶ τῷ αὐτῷ εἶναι χρόνῳ, διότι καὶ συνεχής ἐστι, καὶ ἀριθμός ἐστιν ὁ χρόνος, πῶς ταῦτα ὑπάρχει ἐν αὐτῷ λέγει. φησὶν οὖν, ὅτι ὁ ἀριθμὸς, κατά τι μὲν ἔχει τὸ ἐλάχιστον, κατά τι δὲ οὐκ ἔχει. κατὰ μὲν γὰρ τὸ ὑποκείμενον οὐκ ἔχει τὸ ἐλάχιστον ὁ ἀριθμός. συνεχῶν γάρ ἐστιν ὁ ἀριθμός. οἷον γραμμῶν ἢ κινήσεων. κατὰ μέντοι τὸν λόγον, καὶ καθὸ ἀριθμός ἐστι, ταύτῃ ἔχει τὸ ἐλάχιστον. ἐλάχιστος γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν ὁ εἷς, ἢ δύο. οὐχ ὅτι μονὰς ἀριθμὸς, ἀλλ' ὡς ἐν ὑποθέσει εἴρηται, ὅτι εἴ τις τὴν μονάδα ἀριθμὸν εἴποιτο, ἐλάχιστος ἂν εἴη ἀριθμὸς ἡ μονάς. κατὰ πάντα γοῦν λόγον, οὐδὲ ἡ δυὰς ἀριθμός. εἰ μὲν γὰρ ἐκ μονάδος εἴη, τὸ δὲ ἐκ μονάδων συγκείμενον πλῆθος, καὶ ἡ δυὰς ἀριθμός. ἀλλ' ἀναιρεῖται τὸ τὴν δυάδα εἶναι ἀριθμὸν, λόγῳ τοιούτῳ. πᾶς ἀριθμὸς πολλαπλασιαζόμενος ἐφ' ἑαυτὸν, μείζων γίνεται, ἢ συντιθέμενος. οἷον ὁ γʹ πολλαπλασιαζόμενος ἐφ' ἑαυτὸν, ποιεῖ τὸν θʹ, συντιθέμενος δὲ ποιεῖ τὸν ϛʹ. καὶ οὕτως ἐπὶ πάντων. ὁ δὲ δύο, καὶ συντιθέμενος ἐφ' ἑαυτὸν καὶ πολλαπλασιαζόμενος, τὸ αὐτὸ ποιεῖ. δὶς γὰρ δύο δʹ. καὶ δύο καὶ δύο, δʹ. ταύτῃ οὖν οὐκ ἀριθμὸς ἡ δυάς. ἀλλ' ἐλάχιστος ἀριθμὸς ὁ γʹ.

ΦΑΝΕΡΟΝ δὲ δὴ καὶ διότι ταχὺς μὲν καὶ βραδὺς οὐ λέγεται, πολὺς δὲ καὶ ὀλίγος. καὶ μακρὸς, καὶ βραχύς. ᾗ μὲν γὰρ συνεχὴς, μακρὸς καὶ βραχύς· ᾗ δὲ ἀριθμὸς, πολὺς καὶ ὀλίγος. ταχὺς δὲ καὶ βραδὺς, οὐκ ἔστιν. οὐδὲ γὰρ ὁ ἀριθμὸς ᾧ ἀριθμοῦμεν, ταχὺς καὶ βραδὺς οὐδείς.

Δοκεῖ μὲν λέγειν, ὅτι διὰ τοῦτο οὐκ ἔχει ὁ χρόνος τὸ ταχὺ καὶ βραδὺ, διότι οὐδὲ ὁ ἀριθμὸς ᾧ ἀριθμοῦμεν τὸν χρόνον. τουτέστιν ὁ ἐν τῇ ψυχῇ. οὐ τοῦτο δέ φησιν. οὐδὲ γὰρ τῇ ἡμετέρᾳ διανοίᾳ ἕπεται τὰ πράγματα. ἀλλὰ τὸν ἀριθμὸν ᾧ ἀριθμοῦμεν φησὶ τὸν ἠριθμημένον ἀριθμὸν, ὅσπερ καὶ ὁ χρόνος ἐστὶ, λέγω δὴ τὴν ἠριθμημένην κίνησιν. ταύτῃ γὰρ ἀριθμοῦμεν τὸν χρόνον. ὅση γὰρ ἂν εἴη ἡ κίνησις, τοσοῦτον φαμὲν εἶναι καὶ τὸν χρόνον. ἐπεὶ οὖν αὕτη τὸ ταχὺ καὶ βραδὺ οὐκ ἔχει, οὐδὲ ὁ χρόνος ἕξει τὸ ταχὺ καὶ βραδύ. δυνατὸν δὲ καὶ τὸ, οὐδὲ γὰρ ἀριθμὸς ᾧ ἀριθμοῦμεν, τὸν ἐν τῇ ψυχῇ λαβεῖν. ἐπειδὴ γὰρ ὁρίζομεν τὸν χρόνον τῷ ἐν τῇ ψυχῇ ἀριθμῷ, τούτου μὴ ἔχοντος τὸ ταχὺ καὶ τὸ βραδὺ, δηλονότι οὐδὲ ὁ ὁρίζομεν ὑπ' αὐτοῦ, ἕξει. τὸ γὰρ πολὺ καὶ τὸ ὀλίγον ἔχοντος τοῦ ἐν τῇ ψυχῇ ἀριθμοῦ, καὶ ὁ χρόνος ἔχει καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον. πῶς οὖν τοῦ ἐν τῇ ψυχῇ ἀριθμοῦ μὴ ἔχοντος τὸ μακρὸν καὶ τὸ βραχὺ ὁ χρόνος ἔχει τὸ μακρὸν καὶ τὸ βραχύ. φημὶ, ὅτι διὰ τὸ ὑποκείμενον ἔχει ὁ χρόνος τὸ μακρὸν, καὶ τὸ βραχὺ, ἐπεὶ γὰρ συνεχοῦς ἐστιν ἀριθμὸς, κινήσεως γὰρ, ἡ δὲ κίνησις διὰ τὸ μέγεθος συνεχὴς, οὗ ἐστι κίνησις, ἐν δὲ τῷ μεγέθει τὸ μακρὸν καὶ τὸ βραχὺ, δηλονότι καὶ ἐν τῇ κινήσει καὶ ἐν τῷ χρόνῳ τὸ μακρὸν καὶ τὸ βραχύ. διὰ τὸ ὑποκείμενον ἄρα ὑπάρχει τῷ χρόνῳ τὸ μακρὸν καὶ τὸ βραχὺ, καὶ οὐχ ᾗ ἀριθμός ἐστι.

ΚΑΙ ὁ αὐτὸς δὲ πανταχοῦ ἅμα. πρότερον δὲ καὶ ὕστερον, οὐχ ὁ αὐτός. ὅτι καὶ ἡ μεταβολὴ, ἡ μὲν παροῦσα, μία. ἡ δὲ γεγενημένη καὶ ἡ μέλλουσα ἑτέρα.

Ὁ αὐτὸς πανταχοῦ ὁ ἐνεστώς. μία γὰρ ἡ περίστασις ἡ κατὰ τὸν ἐνεστῶτα χρόνον, οὐκέτι μέντοι ἡ προτέρα περίστασις τῇ ὑστέρᾳ ἡ αὐτή. ἑτέρα γὰρ ἑκάστης τὰ πέρατα.

ὥσπερ καὶ τὸν ἵππον, ἢ κύνα. ὁ δὲ τοιοῦτος ἀριθμός, κινήσεων ἀριθμός. οὐ μέντοι χρόνος. ἐπεὶ μὴ τοῦ προτέρου καὶ ὑστέρου τοῦ ἐν ταῖς κινήσεσιν ἀριθμός, ἀλλ' αὐτῶν τῶν κινήσεων. προστίθησι δὲ ὅτι καὶ συνεχής. συνεχοῦς γὰρ τῆς κινήσεως ἀριθμός· καὶ οὐ διωρισμένης. τῷ γὰρ ἀριθμεῖσθαι τὴν κίνησιν, κατὰ τὸ πρότερον καὶ ὕστερον οὖσαν, συνεχὴς ἡ τοῦ χρόνου οὐσία ὑφέστηκε, συμπαρεκτεινομένη τῇ συνεχείᾳ τῆς κινήσεως. τὸ γὰρ τὴν κίνησιν μὴ διαλιπεῖν, οὐδὲ τὸ πρότερον καὶ ὕστερον ἐν αὐτῇ διαλείπει. τούτου δὲ μὴ διαλείποντος, οὐδὲ ὁ χρόνος. τοῦτο γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς τοῦ προτέρου καὶ ὑστέρου, τοῦ ἐν κινήσει. συνεχὴς ἄρα καὶ ὁ χρόνος.

ΕΛΑΧΙΣΤΟΣ δὲ ἀριθμός, ὁ μὲν ἁπλῶς ἐστὶν ἡ δυάς.

Εἰπὼν ὅτι ὁ χρόνος, ἀριθμός ἐστι κινήσεως, εἰπὼν δὲ καὶ ὅτι ἀκολουθεῖ τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, ὥστε συνεχοῦς ὄντος τοῦ μεγέθους ἀνάγκη καὶ τὴν κίνησιν συνεχῆ εἶναι, καὶ διὰ ταύτην τὸν χρόνον, ἐπειδὴ πρὸς ταῦτα ἠπόρησεν ἄν τις, πῶς οἷόν τε τὸν χρόνον, καὶ συνεχῆ εἶναι καὶ ἀριθμόν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις. ὁ μὲν γὰρ χρόνος, συνεχής, ὁ δὲ ἀριθμὸς οὐ συνεχής. οὐκ ἄρα ἀριθμὸς ὁ χρόνος. εἰ γὰρ ὁ χρόνος ἀριθμός, τὸ δὲ συνεχὲς οὐκ ἀριθμός, ὁ χρόνος ἄρα οὐ συνεχής. δυοῖν οὖν ἀνάγκη θάτερον, ἢ μὴ συνεχῆ εἶναι τὸν χρόνον, ἢ μὴ ἀριθμόν. ἀλλὰ μὴν ἀνάγκη συνεχῆ εἶναι τὸν χρόνον, οὐκ ἄρα ἀριθμὸς ὁ χρόνος. ταύτην οὖν τὴν ἀπορίαν διαλύεται ἐν τούτοις. διττοῦ γὰρ ὄντος τοῦ ἀριθμοῦ, τοῦ μὲν ᾧ ἀριθμοῦμεν, ὅς ἐστιν ὁ ἐν τῇ ψυχῇ, τοῦ δὲ αὐτοῦ τοῦ ἀριθμουμένου, ὁ μὲν ἀριθμῶν ἀριθμός, οὐδαμῶς ἐστι συνεχής. ἐν τῇ ψυχῇ γὰρ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχει. εἰ τοίνυν μή ἐστι μέγεθος ἡ ψυχή, δῆλον ὅτι οὐδ' ἂν συνεχὴς εἴη. πᾶν γὰρ μέγεθος συνεχές. ὥστε οὐδὲ ὁ ἀριθμὸς ὁ ἐν αὐτῇ, συνεχής. ὁ μέντοι ἀριθμούμενος ἀριθμός, ὅσπερ καὶ ἔστιν ὁ χρόνος, πῇ μὲν συνεχής ἐστι, πῇ δὲ ἀριθμός. ᾗ μὲν ἔχει τὸ πρότερον καὶ ὕστερον, ταύτῃ ἀριθμός ἐστιν. ᾗ δὲ ἐν ὑποκειμένῳ ἐστὶ συνεχεῖ, ταύτῃ καὶ αὐτός ἐστι συνεχής. ὥσπερ φησί, γραμμῶν μὲν ἐλάχιστος ἀριθμός, ἡ δυάς. καὶ ᾗ μὲν μετέχουσιν αἱ δύο γραμμαὶ ἀριθμοῦ, ταύτῃ καὶ ἀριθμοῦνται. καὶ τὸ ἐλάχιστον ἐν ἀριθμοῖς ἔχουσι τὴν δυάδα. ᾗ δὲ γραμμαί εἰσιν, οὐκέτι τὸ ἐλάχιστον ἔχουσιν. ἐπ' ἄπειρον γὰρ διαιρετὴ πᾶσα γραμμή. οὕτω δὴ καὶ ἐπὶ τοῦ χρόνου. ᾗ μὲν ἀριθμεῖται ἡμέραις καὶ νυξί, καὶ τοῖς λοιποῖς τοῦ χρόνου τμήμασι, ταύτῃ ἀριθμός ἐστιν. ᾗ δὲ ἀριθμὸς οὗτος, ἐν κινήσει τὸ εἶναι ἔχων, συνεχοῦς οὔσης τῆς κινήσεως, καὶ αὐτὸν ἀνάγκη εἶναι συνεχῆ. οὐδὲν οὖν ἀδύνατον, τὸν αὐτὸν καὶ συνεχῆ εἶναι, καὶ ἀριθμόν. ἔχοντος δὲ τοῦ μὲν ἀριθμοῦ, τὸ πολὺ καὶ τὸ ὀλίγον, τοῦ δὲ συνεχοῦς, γραμμῆς μὲν τὸ μακρὸν καὶ τὸ βραχύ, ἐπιφανείας δὲ, τὸ πλατὺ καὶ τὸ στενόν, ὁ μὲν ἐν τῇ ψυχῇ ἀριθμός, μὴ ὢν συνεχής, μόνως τὸ πολὺ καὶ τὸ ὀλίγον ἔχει. οὐκέτι δὲ τὸ μακρὸν καὶ βραχύ. ὁ δὲ ἀριθμούμενος ἀριθμός, ὡς μὲν ἀριθμός, ἔχει τὸ πολὺ καὶ τὸ ὀλίγον. πολλὰς γὰρ ἡμέρας φαμέν, καὶ πολὺν χρόνον. ὡς δὲ συνεχὴς ὤν, ἔχει πάλιν τὸ μακρὸν καὶ τὸ βραχύ. ἐν βραχεῖ γὰρ χρόνῳ φαμέν, καὶ ἐν μακρῷ. οὐκ ἔστι δέ φησιν ἐν τῷ χρόνῳ τὸ ταχὺ καὶ τὸ βραδύ. ἐν μὲν γὰρ κινήσει ἁπλῶς, ἔστι τὸ ταχὺ καὶ τὸ βραδύ. ἔστι γὰρ τῶν κινήσεων, ἡ μέν τις θάττων, ἡ δὲ βραδυτέρα. ἀλλ' ἐπειδὴ ὁ πάσης κινήσεως ἀριθμός ἐστιν ὁ χρόνος, εἰκότως οὐκ ἔχει τὸ θᾶττον καὶ τὸ βραδύτερον. μετὰ τοῦτό φησιν, ὅτι ὁ μὲν ἐνεστώς, εἷς ἐστι καὶ ὁ αὐτός. ὁ μέντοι παρεληλυθώς, ἕτερός ἐστι τοῦ μέλλοντος. ἐνεστῶτα δὲ, τὸν παρόντα λέγει. οἷον ἡ μὲν ἡμέρα ἡ παροῦσα, μία καὶ ἡ αὐτή. ἡ μέντοι παρεληλυθυῖα, ἑτέρα ἐστὶ παρὰ τὴν μέλλουσαν. καὶ γὰρ τὰ νῦν αὐτῶν ἕτερα. ἕτερον γὰρ τὸ νῦν, ὅθεν ἤρξατο ἡ παρελθοῦσα, καὶ ἕτερον ὅθεν ἄρξεται ἡ μέλλουσα. ὁμοίως καὶ ἐπὶ τοῦ νῦν, ἕως οὗ λέγεται ἑκατέρα. τῶν δὲ νῦν ἑτέρων ὄντων, καὶ οἱ περιεχόμενοι ὑπὸ τῶν νῦν χρόνοι ἕτεροι. εἰ μὲν γὰρ ὁ ἀριθμῶν ἀριθμὸς ἦν ὁ χρόνος, εἷς ἂν ἦν καὶ ὁ αὐτός. εἷς γὰρ καὶ ὁ αὐτὸς ὢν ὁ ἐν τῇ ψυχῇ ἀριθμός. οἷον ἡ δεκάς, ἀριθμεῖ τοὺς δέκα ἵππους, καὶ τὰς δέκα αἶγας. καὶ τὰ ἄλλα πάντα. ἡ μέντοι ἐν τοῖς ἵπποις δεκάς, ἑτέρα ἐστί, παρὰ τὴν ἐν αἰξίν, ἢ ἐν λίθοις. ἕτερα γὰρ τὰ ὑποκείμενα. ἐπειδὴ δὲ ὁ χρόνος, ὁ ἀριθμούμενός ἐστι καὶ οὐχ ὁ ἀριθμῶν ἀριθμός, οὐχ ὁ αὐτός ἐστιν ὁ παρεληλυθὼς τῷ μέλλοντι, οὐδὲ οὗτοι τῷ ἐνεστῶτι, ἀλλ' ἕτεροι οὗτοι ἀλλήλων ὡς εἴρηται. τί οὖν; οὐδαμῶς εἰσὶν οἱ αὐτοὶ ἀλλήλοις; φησὶν οὖν ὅπερ καὶ ἤδη εἶπεν, ὅτι τῷ μὲν εἴδει οἱ αὐτοί εἰσι, τῇ δὲ σχέσει καὶ τῷ λόγῳ οὐκέτι. ὥσπερ καὶ κίνησιν τὴν αὐτὴν ἐνδέχεται πάλιν καὶ πάλιν γίνεσθαι, καὶ πολλάκις ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτό τι ἀποκαταστῆναι. καὶ αὗται μὲν αἱ κινήσεις, εἴδει μὲν αἱ αὐταί εἰσιν, ἀριθμῷ δὲ οὐχ αἱ αὐταί. οὕτω καὶ τοὺς χρόνους ἐνδέχεται τοὺς αὐτοὺς εἶναι. ἔαρ γάρ, καὶ πάλιν ἔαρ. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. καὶ εἰσὶ ταῦτα ἀριθμῷ μὲν οὐ τὰ αὐτά, εἴδει δὲ τὰ αὐτά. ἐφεξῆς δέ φησιν, ὅτι οὐ μόνον ὁ χρόνος μετρεῖ τὴν κίνησιν, ἀλλὰ καὶ ἀντιμετρεῖται ὁ χρόνος ὑπὸ τῆς κινήσεως. πολλὴν γὰρ λέγομεν γεγενῆσθαι τὴν κίνησιν, τῷ χρόνῳ μετροῦντες αὐτήν, διότι πολὺς ὁ χρόνος. καὶ ἔμπαλιν πολὺν τὸν χρόνον, τῇ κινήσει μετροῦντες αὐτόν, διότι πολλὴ γέγονεν ἡ κίνησις. ὥσπερ οὐ μόνον ὁ ἀμφορεὺς τῷ οἴνῳ μετρεῖται, ἀλλὰ καὶ ὁ οἶνος τῷ ἀμφορεῖ. λέγομεν γὰρ μέγαν εἶναι τὸν ἀμφορέα, τῷ τοσῷδε οἴνῳ μετρήσαντες αὐτόν. καὶ πάλιν τὸν οἶνον τοσόνδε εἶναι, μετρήσαντες αὐτὸν τῷ ἀμφορεῖ. καὶ μέδιμνον φαμέν, τὸν τοσόνδε σῖτον, μετρηθέντα τῷ μέτρῳ. καὶ τὸ μέτρον ὁμοίως μέδιμνον εἶναι, ὁρίζοντες αὐτὸ καὶ μετροῦντες τῷ τοσῷδε σίτῳ. μήποτε δὲ μόνως τὸ μέτρον ἐστί, τὸ μετροῦν τὸν σῖτον καὶ τὸν οἶνον, οὐ μέντοι καὶ ἀντιμετρεῖται ὑπ' αὐτῶν. κἂν γὰρ μετρῇ ὁ οἶνος τὸν ἀμφορέα, καὶ ὁ σῖτος τὸν μέδιμνον, ἀλλὰ μετρηθέντες πρότερον ὑπ' ἄλλου μέτρου. ὥστε τὸ κυρίως μετροῦν, τὸ μέτρον ἐστίν. εἰ δὲ καὶ τῷ οἴνῳ καὶ τῷ σίτῳ μετροῦμεν τὸν ἀμφορέα ἢ τὸν μέδιμνον, ἀλλ' ὡς ἀόριστα ἔτι, καὶ μήπω ὄντα μέτρα. ὥστε καὶ ταῦτα, εἰ καὶ

γίνεται, ὡς δὴ χρώμεθα· ὡς τὸ μὲν τῆς μορίων τῆς γραμμῆς περατούσης, τῆς δὲ ἀρχῆς οὔσης. ἢ ἁπλῶς ὡς δύο γραμμὰς περατούσης ἑκάστης δὲ τὸ πέρας, ἴδιον τῷ λόγῳ συμβήσεται ἂν πάλιν διαιρεῖσθαι τὸν χρόνον ἐνεργείᾳ. διὰ τί οὖν τοῦτό φησιν, ἀδύνατον τὰ νῦν, μόρια τοῦ χρόνου εἶναι, καὶ ὅτι οὐχ οἷόν τε τὰ νῦν μόρια αὐτοῦ εἶναι, ὥσπερ οὐδὲ τὰ σημεῖα τῆς γραμμῆς· ἀδύνατον γὰρ τὰ ἀμερῆ τοῦ μεριστοῦ εἶναι μέρη. τὰ γὰρ τῆς γραμμῆς μέρη, γραμμαί. οὕτως οὖν καὶ τὰ τοῦ χρόνου μέρη, χρόνοι. δίον δὲ εἰπεῖν, καὶ ἔτι φανερὸν, ὅτι οὐδὲ μόρια τοῦ χρόνου τὰ νῦν, φησὶν, οὐδὲ μόριον ὁ χρόνος τῆς κινήσεως, χρόνοι λέγων τὰ νῦν. τὰ νῦν οὖν, οὔτε τῆς κινήσεως, ἧς ἀριθμὸς ὁ χρόνος, οὔτε αὐτοῦ μέρη τοῦ χρόνου εἶναι δύναται διὰ τὰ εἰρημένα. ἀλλ' οὐδὲ αὐτὸς ὁ χρόνος μέρος εἶναι δύναται τῆς κινήσεως. ἐπεὶ οὐδὲ ἡ δεκὰς αὐτὴ, ἡ τοὺς δέκα ἵππους ἀριθμοῦσα, μέρος ἂν εἴη τῶν δέκα ἵππων. οὐδὲ τὸ μέδιμνον, λέγω δὲ αὐτὸ τὸ μέτρον, μέρος ἐστὶ τοῦ μετρουμένου ὑπ' αὐτοῦ σίτου. δύναται δὲ καὶ κίνησιν ἀκούειν, μὴ τὴν τοῦ οὐρανοῦ κίνησιν, ἢ ἁπλῶς τοῦ μεγέθους, οὗ λέγεται μέτρον εἶναι ὁ χρόνος, ἀλλ' αὐτὴν τὴν τοῦ νῦν ῥύσιν, ἐξ ἧς ὁ χρόνος. καὶ ἐπεὶ ὁ χρόνος ἀριθμὸς εἶναι λέγεται, ὁ δὲ ἀριθμὸς τοῦ χρόνου κατὰ τὰ νῦν, αἴτιον μὲν τοῦ νῦν, τὸν χρόνον εἶπεν. αἴτιον δὲ τοῦ χρόνου, τὴν τοῦ νῦν κίνησιν.

10 Η μὲν οὖν πέρας τὸ νῦν, οὐ χρόνος, ἀλλὰ συμβέβηκεν. ᾗ δ' ἀριθμεῖ, ἀριθμός. τὰ μὲν γὰρ πέρατα ἐκείνου μόνον ἐστὶν οὗ ἐστι πέρατα. ὁ δ' ἀριθμὸς ὁ τῶνδε τῶν ἵππων ἡ δεκάς, καὶ ἄλλοθι. ὅτι μὲν τοίνυν ὁ χρόνος ἀριθμὸς κινήσεώς ἐστι κατὰ τὸ πρότερον καὶ ὕστερον, καὶ συνεχὴς, συνεχοῦς γὰρ, φανερόν.

Τὸ νῦν καὶ πέρας ἐστὶ τινὸς, καὶ νῦν. ᾗ μὲν οὖν πέρας ἐστί φησιν, οὐκ ἔστι χρόνος, ἀλλὰ συμβέβηκε τῷ χρόνῳ, ὥσπερ καὶ τὸ σημεῖον τῇ γραμμῇ. τὸ γὰρ πέρας συμβέβηκεν ἐκείνῳ, οὗ ἐστι πέρας. ὡς πέρας δὲ λαμβανόμενον, οὐδὲ νῦν ἐστιν, ἀλλὰ τὸ ὑποκείμενον τῷ νῦν. τὸ γὰρ νῦν, οὐκ ἐν τῷ πέρας εἶναι χρόνου ἐστὶν, ἀλλ' ἐν τῷ ἀριθμεῖσθαι, κατὰ τὸ πρότερον καὶ ὕστερον. διόπερ δύναται. τὸ ἀλλὰ συμβέβηκεν, οὕτω νοεῖσθαι. ἀλλὰ συμβέβηκε τούτῳ τῷ ὡς πέρατι λαμβανομένῳ, τὸ νῦν. καθὸ δὲ ἀριθμεῖται, πάλιν καὶ πάλιν λαμβανόμενον, καὶ ὡς πρότερον καὶ ὕστερον, κατὰ τοῦτο χρόνος ἐστί. τὸ γὰρ μεταξὺ τοῦ πολλάκις λαμβανομένου νῦν ὁ χρόνος ἐστίν. ὅτι δὲ ὅταν ὡς πέρας λαμβάνηται τὸ νῦν, οὐκ ἔστι χρόνος, δείκνυσιν οὕτω. τὰ πέρατα ἐν ἐκείνοις μόνοις ἐστὶν, ὧν εἰσι πέρατα. καὶ αὐτῶν μόνων, οὐχ ἑτέρων. ὁ δὲ χρόνος, κοινὸς πάντων εἷς καὶ ὁ αὐτὸς, καὶ πανταχοῦ ὁ αὐτός. οὐχ ἅμα τὰ νῦν, ᾗ πέρατα εἰσὶ, χρόνοι εἰσίν. ἐν πάσῃ δὲ κινήσει ὁ χρόνος. ἐπεὶ καὶ πάσης κινήσεως μετρητικός. ὥσπερ γὰρ καὶ ὁ ἀριθμὸς ἐν πᾶσιν ὁ αὐτὸς, οὐ μόνον ἐν τοῖς ὁμογενέσιν, ἀλλὰ καὶ ἐν τοῖς ἑτερογενέσι. μία γὰρ καὶ ἡ αὐτὴ δεκὰς ἐν τοῖς δέκα ἵπποις, καὶ ἐν τοῖς δέκα ὄνοις, καὶ ξύλοις, καὶ ὅσαι ἄλλαι ἂν εἶεν δεκάδες. καὶ ἡ μὲν δέκα, οὐ τὰ αὐτά. ἡ μέντοι δεκὰς, μία ἐπὶ πάντων. οὕτω δὲ καὶ τὰ νῦν, ὡς μὲν ἀριθμοὶ λαμβανόμενα, χρόνος τέ εἰσι, καὶ ὁ αὐτὸς πανταχοῦ. κατὰ δὲ τὸ ὑποκείμενον, κινήσεώς εἰσι πέρατα. διὸ εἰ ὡς πέρατα ληφθείη, οὐ τὰ αὐτὰ πανταχοῦ. ἄλλης γὰρ κινήσεως ἄλλο πέρας. ἔοικε δὲ καὶ διὰ τούτων ἐνδείκνυσθαι, ὅτι οὐ τινὸς ἀφωρισμένης κινήσεως, ἀριθμός ἐστιν ὁ χρόνος ἀλλὰ πάσης ἁπλῶς κινήσεως ᾗ κίνησίς ἐστι, κἂν εἴδει διαφέρωσιν. ὁμοίως γὰρ εἰσιν ἀριθμητοί. τῶν γοῦν καθ' αὐτὸ γινομένων κινήσεων, καὶ ἅμα τάς τε ἀρχὰς ἐχουσῶν καὶ τὰ πέρατα, τὸ πρότερον ἐν αὐταῖς καὶ τὸ ὕστερον, ᾗ μὲν πέρατα ἐστὶν, οὐ τὸ αὐτὸ ἐν πάσαις. ἄλλα γὰρ πέρατα αὐξήσεως, καὶ ἄλλα ἀλλοιώσεως, καὶ ἄλλα φορᾶς. ᾗ δὲ ἀριθμητόν ἐστι τὸ πρότερον ἐν αὐτῇ καὶ ὕστερον, ἓν δὲ καὶ τὸ αὐτὸ ἐν πάσαις, ὧν μεταξὺ εἷς καὶ ὁ αὐτὸς χρόνος ὁ πασῶν μετρητικὸς διὰ τοῦτο γὰρ καὶ πολλῶν κινουμένων ἅμα, καὶ τῆς ἑκάστου κινήσεως μετρουμένης χρόνῳ, ὅμως χρόνοι πολλοὶ οὐκ εἰσὶ, τῷ μὴ εἶναι καὶ τὸν χρόνον ἀριθμητικὸν τοῦ προτέρου καὶ ὑστέρου ἐν κινήσει, καθὸ φορά ἐστιν, ἢ καθὸ ἀλλοίωσις, ἢ καθὸ αὔξησις, ἢ φθίσις, ἀλλ' ἁπλῶς ᾗ κίνησίς ἐστιν. οὐδὲ γὰρ ὅπερ εἶπεν, ὡς πέρατα αὐτὰ σκοπεῖ, ἀλλ' ᾗ ἁπλῶς κινήσεώς ἐστι τὸ πρότερον καὶ ὕστερον. ὥσπερ καὶ τῶν πολλῶν δεκάδων, κἂν ἑτερογενῆ ᾖ τὰ ὑποκείμενα, κἂν ἀλλήλων πολλῷ διεστηκότα, μία καὶ ἡ αὐτὴ δεκὰς μετρητική. Ζητεῖ δὲ ἐν τούτοις ὁ Ἀλέξανδρος, τί ἐστι τὸ ᾗ δὲ ἀριθμεῖ. οὐ γὰρ ἦν φησιν ὁ χρόνος, ὡς ἀριθμῶν· ἀλλ' ὡς ἀριθμούμενος. καί φησιν, ὅτι ἤτοι ἡ γραφὴ ἡμάρτηται, ἀντὶ τοῦ ἀριθμεῖται ἀριθμεῖ ἔχουσα, ἢ φησὶν, ἀριθμεῖται μὲν τὰ νῦν ἐν τῇ κινήσει, ἀριθμεῖ δὲ αὐτὰ τὸν χρόνον. κατὰ γὰρ τὰ νῦν, ἡ τοῦ χρόνου γίνεται διαίρεσις. καὶ γὰρ διὰ τὴν ἐξῆς λέξιν ὡς ἀριθμὸν τὸ ἀριθμοῦντα τὸ νῦν λαμβάνειν. ὁ γὰρ ἀριθμός φησι τῶν δέκα ἵππων ἡ δεκάς. καὶ ἄλλοθι. ὁ γὰρ ὡς ἀριθμῶν ἀριθμὸς, οὗτος καὶ ἄλλοθί που εἶναι δύναται. οὐ μὴν ὡς ἀριθμούμενος. ἐπεὶ οὖν τὸ εἶναι τῷ χρόνῳ ἐστὶν ἐν τῷ ἀριθμεῖσθαι τὴν κίνησιν, ἀριθμεῖται δὲ ἡ κίνησις κατὰ τὸ πρότερον ἐν αὐτῇ καὶ ὕστερον, ὅπερ πρότερον καὶ ὕστερον ὅταν ὡς πρότερον καὶ ὕστερον λαμβάνηται, καὶ μὴ ὡς πέρατα ἁπλῶς τοιᾶσδε κινήσεως, συμβέβηκεν εἶναι νῦν, δῆλον ὅτι κατὰ τὰ νῦν ἀριθμεῖται ἡ κίνησις. ἐπεὶ οὖν καὶ τὰ νῦν οὐ χρόνος, ἀλλὰ τὸ ὑπὸ τῶν νῦν ὁριζόμενον καὶ περιεχόμενον, καὶ κατ' αὐτὰ ὡς ἤδη εἴρηται ἡ τοῦ χρόνου διαίρεσις, εἴη ἂν καὶ ὡς ἀριθμοῦντα τὸν χρόνον. ὥστε ἀριθμεῖται μὲν, ὡς ἐν κινήσει θεωρούμενα, ἀριθμεῖ δὲ τὸν χρόνον. ταῦτα δὲ εἰπὼν, συμπεραίνεται ὁ Ἀριστοτέλης τὰ εἰρημένα διὰ πολλῶν, ἅμα ὁριζόμενος τὸν χρόνον ἐκ τῶν ἀποδεδειγμένων. καλῶς δὲ προσέθηκε, κατὰ τὸ πρότερον καὶ ὕστερον. ἵνα μή τις ὑπολάβῃ, οὕτως εἶναι ἀριθμὸν κινήσεως τὸν χρόνον, ὡς ἐν τῷ ἐκείνην ἀριθμεῖν τὸ εἶναι ἔχειν. οὐ γὰρ αὐτῆς τῆς κινήσεως ἀριθμὸς ὁ χρόνος, ἀλλὰ τοῦ προτέρου καὶ ὑστέρου τοῦ ἐν τῇ κινήσει. οὐ γὰρ ὡς κινήσεων ἁπλῶς ἀριθμὸς ληφθείη, οὐ πάντως τὸ πρότερον καὶ τὸ ὕστερον ἀριθμήσειεν. ὡς ὅταν ἅπαξ τὸν ἀριθμὸν, τὸν κινήσεων εἶναι μετρητικὸν

τὸ σημεῖον. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ χρόνου, καὶ τοῦ νῦν.

» ΚΑΙ ὁρίζεται δὴ τὴν πρότερον καὶ ὕστερον κίνησιν τοῦτο. ἀκολουθεῖ δὲ καὶ τοῦτό πως τῇ στιγμῇ. καὶ γὰρ ἡ στιγμὴ καὶ συνέχει τὸ μῆκος καὶ ὁρίζει. ἔστι γὰρ τοῦ μὲν ἀρχὴ, τοῦ δὲ τελευτή. ἀλλ' ὅταν μὲν οὕτω λαμβάνῃ τις ὡς δυσὶ χρώμενος τῇ μιᾷ, ἀνάγκη ἵστασθαι, εἰ ἔσται ἀρχὴ καὶ τελευτὴ ἡ αὐτὴ στιγμή. τὸ δὲ νῦν διὰ τὸ κινεῖσθαι τὸ φερόμενον ἀεὶ ἕτερον.

Εἰπὼν, ὅτι ἡ κίνησις καὶ ἡ φορὰ, μία τῷ φερομένῳ, καὶ δείξας πῶς μία, ὅτι ὅταν τὸ φερόμενον καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ ἓν λαμβάνηται, νῦν λέγει, πῶς καὶ διαιρέσεώς ἐστι τῇ κινήσει αἴτιον. ὅταν γὰρ στῇ τὸ φερόμενον, εἶτα πάλιν ἄρξηται κινεῖσθαι, πέρας μὲν ἔλαβεν ἡ προτέρα κίνησις, ἀρχὴν δὲ ἡ δευτέρα, καὶ δύο αἱ κινήσεις, καὶ οὐ μία. ταύτῃ οὖν καὶ διαιρέσεως αἴτιον τὸ φερόμενον. ἀκολουθεῖ δὲ καὶ τοῦτο πως τῇ στιγμῇ. εἴπομεν ἤδη πῶς καὶ ἡ στιγμὴ καὶ διαιρέσεως καὶ συνεχείας ἐστὶ τῇ γραμμῇ αἴτιον. τὸ δὲ πῶς προσέθηκε, διότι ἐπὶ μὲν τῶν μεγεθῶν, καὶ ἐνεργείᾳ διαιρεῖ τὸ σημεῖον τὴν γραμμήν. τὸ μέντοι νῦν, οὐδέποτε ἐνεργείᾳ διαιρεῖ τὸν χρόνον, ὥσπερ εἴπομεν, οὐδὲ ἐπὶ τῶν οὐρανίων τὸ φερόμενον τὴν κίνησιν, ἀλλὰ μόνον κατ' ἐπίνοιαν, ὡς ἤδη εἴπομεν. καὶ ταύτῃ μὲν οὖν, διαφέρουσιν ἀπ' ἀλλήλων. καὶ δύναιτο ἂν καὶ διὰ τοῦτο τὸ πῶς προσθεῖναι. αὐτὸς μέντοι ὁ ἀριστοτέλης ἐξηγούμενος, διατί προσέθηκε τὸ πῶς, ἐπήγαγε, καὶ γὰρ ἡ στιγμὴ καὶ συνέχει τὸ μῆκος καὶ διορίζει. καὶ τὰ ἑξῆς. ἐπὶ μὲν γὰρ τῆς στιγμῆς καὶ τοῦ μεγέθους, ἡ αὐτὴ στιγμὴ, δὶς λαμβανομένη καὶ ἀριθμουμένη, ὡς ἀρχὴ καὶ πέρας, καὶ ὑπομένουσα, οὕτω γὰρ δὶς λαμβάνεται, τῆς μὲν τέλος γινομένη, τῆς δὲ ἀρχὴ, οὕτως ἀριθμεῖ τὰ μεγέθη καὶ διορίζει. τὸ δὲ νῦν, οὐχ οὕτως. οὐδὲ γὰρ ὑπομένει τὸ πρότερον νῦν τὸ ὕστερον. ἀλλὰ τῷ ἕπεσθαι τῷ φερομένῳ, τὸ δὲ φερόμενον τῷ ἄλλοτε κατ' ἄλλο γίνεσθαι, οὐχ οἷόν τε ὑπομένειν. ὥστε δὶς ληφθῆναι τὸ αὐτὸ ἀδύνατον. οὐδ' ἄρα τὸ νῦν ὑπομένει, καὶ δὶς λαμβάνεται ἅμα, ὥσπερ τὸ σημεῖον. λέγεις μέντοι δύο ἀναδέξασθαι ἓν ὂν καὶ τὸ αὐτὸ οὐδὲν κωλύει. τὸ γὰρ νῦν, τὸ διορίζον τὴν ἡμέραν ἀπὸ τῆς νυκτὸς, τῆς μὲν ἐστὶ πέρας, τῆς δὲ ἀρχὴ, ὅταν ὡς εἶπον ὡς διαιροῦν τοῖς χρόνοις τούτοις λαμβάνηται τῇ ἐπινοίᾳ, οὐ τῇ ἐνεργείᾳ.

» ΩΣΘ' ὁ χρόνος, ἀριθμός. οὐχ ὡς τῆς αὐτῆς στιγμῆς ὅτι ἀρχὴ καὶ τελευτὴ, ἀλλ' ὡς τὰ ἔσχατα τῆς γραμμῆς μᾶλλον.

Ἐκ τῶν εἰρημένων φησὶ συνάγομεν, ὅτι ὅταν τὸν χρόνον ἀριθμὸν λέγωμεν, λέγεται δὲ ἀριθμὸς τῷ ἀριθμεῖσθαι τὸ πρότερον αὐτοῦ καὶ τὸ ὕστερον, ταῦτα δὲ ἐστὶ τὰ νῦν, οὐχ οὕτως ἀριθμὸν αὐτὸν φαμὲν, ἤτοι τὰ ἐν αὐτῷ νῦν, ὥσπερ τὴν στιγμὴν ἀριθμὸν λέγομεν, ὅταν τὴν αὐτὴν δὶς λάβωμεν. τοῦτο δὲ ἐστὶ, τόν τε τοῦ πέρατος ἔχουσαν λόγον, καὶ τὸν τῆς ἀρχῆς. τὸ μὲν γὰρ σημεῖον, ἅτε θέσιν ἔχον καὶ ὑπομένον, καὶ ἐν πράγματι θέσιν ἔχοντι καὶ ὑπομένοντι ὑφεστηκὸς, δύναται τὸν δὶς λαβεῖν. οὐκ ἐκφεύγει γὰρ τὴν λῆψιν. τὸ δὲ νῦν, οὐχ οἷόν τε δὶς λαβεῖν, καὶ ὡς ἀρχὴν καὶ ὡς πέρας. τὸ γὰρ τὸν χρόνον, ἐν ᾧ ὑφέστηκεν, ἐν τῷ γίνεσθαι καὶ ἐν ῥύσει τὸ εἶναι ἔχειν, οὐχ οἷόν τε δὶς αὐτὸ λαβεῖν νῦν, καὶ ὡς ἀρχὴν καὶ ὡς πέρας. στήσομεν γὰρ οὕτω τὸν χρόνον. εἰ γὰρ τοῦ μὲν ἐστὶ πέρας, τοῦ δὲ ἀρχὴ, διήρηται ὁ χρόνος, καὶ δύο οἱ χρόνοι καὶ αἱ κινήσεις. δειχθήσεται δὲ, ὅτι δύο κινήσεις συνεχεῖς εἶναι ἀδύνατον, ἀλλὰ πάντως ἠρεμίαι διαλαμβάνονται. εἰ οὖν τοῦτο ἐπὶ τοῦ χρόνου γενέσθαι ἀδύνατον, καὶ τὸ νῦν ἄρα τὸ αὐτὸ δὶς ληφθῆναι ἀδύνατον. οὕτω μὲν οὖν ἀδύνατον ἀριθμὸν εἶναι τὰ νῦν, ἢ τὸν τούτοις ὁριζόμενον χρόνον. ὡς μέντοι τὰ ἔσχατα τῆς πεπερασμένης γραμμῆς, δυνατόν. τὰ γὰρ ἔσχατα τῆς γραμμῆς δύο ἐστὶ σημεῖα ἑκατέρωθεν αὐτῆς, ὑφ' ὧν περατοῦται ἐφ' ἑκάτερα, ἅτινα ἀριθμὸν μὲν ἔχει. δύο γάρ ἐστι τὰ ἔσχατα τῆς πεπερασμένης, οὐχ οὕτω δὲ δύο, ὡς τοῦ αὐτοῦ σημείου δὶς εἰλημμένου, καὶ ὡς ἀρχῆς λέγω καὶ ὡς τελευτῆς, ἀλλ' ὡς ἑκάστου ἕνα λόγον τὸν τοῦ πέρατος ἀναδεξαμένου. οὕτω καὶ τὸ νῦν ἀριθμός ἐστιν, οὐχ ὡς τὸ αὐτὸ δὶς λαμβανόμενον, ἀλλ' ὡς ἄλλο καὶ ἄλλο, καὶ ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ τοῦ χρόνου. καὶ γὰρ τὰ τῆς γραμμῆς οὕτω δύο, ὡς ἐν ἄλλῳ καὶ ἄλλῳ τῆς γραμμῆς. ἄλλα δὲ καὶ ἄλλα, οὐ τῷ ὑποκειμένῳ. οὕτω γὰρ ταυτὸν εἶναι ἐδείχθη. ἀλλὰ τῷ τὸ αὐτὸ, ἐν ἄλλῳ καὶ ἄλλῳ λαμβάνεσθαι, καὶ ὡς πρότερον καὶ ὕστερον. ὥσπερ καὶ κορίσκος, ἄλλος ὁ ἐν ἀγορᾷ, καὶ ἄλλος ὁ ἐν λυκείῳ. τῷ δὲ ὑποκειμένῳ, ὁ αὐτός.

» ΚΑΙ οὐχ ὡς τὰ μέρη, διά τε τὸ εἰρημένον. τῇ γὰρ μέσῃ στιγμῇ, ὡς δυσὶ χρήσεται, ὥστε ἠρεμεῖν συμβήσεται. καὶ ἔτι φανερὸν, ὅτι οὐδὲ μόριον τὸ νῦν τοῦ χρόνου. οὐδ' ἡ διαίρεσις τῆς κινήσεως. ὥσπερ οὐδ' αἱ στιγμαὶ τῆς γραμμῆς. αἱ δὲ γραμμαὶ αἱ δύο τῆς μιᾶς μόρια.

Δείξας, ὅτι οὐχ οἷόν τε ἀριθμὸν εἶναι τὸν χρόνον, τουτέστι τὰ νῦν, καθ' ἃ ἀριθμεῖται ὁ χρόνος, ὥσπερ καὶ ἡ αὐτὴ στιγμὴ δὶς λαμβανομένη, καὶ ὡς πέρας καὶ ὡς ἀρχή. ἀλλ' ὡς τὰ πέρατα τῆς πεπερασμένης, δείκνυσιν ὅτι οὐδὲ οὕτως ἀριθμὸς, ὥσπερ τὰ μόρια τῆς γραμμῆς. οἷον ὡς εἴ τις διελὼν τὴν γραμμὴν, ἢ ἐνεργείᾳ ἢ ἐπινοίᾳ, λέγοι ἀριθμὸν αὐτὴν εἶναι, καθὸ ἔχει δύο μόρια. οὐδ' οὕτως οὖν οἷόν τε τὸν χρόνον ἀριθμὸν εἶναι λέγειν, τῷ τὰ νῦν καθ' ἃ ἀριθμεῖται, μόρια αὐτοῦ εἶναι. ἀδύνατον γὰρ τὰ νῦν μόρια εἶναι τοῦ χρόνου φησί. πρῶτον μὲν, διὰ τὰ ἤδη εἰρημένα. εἰ γὰρ μόρια ἦν τοῦ χρόνου τὸ πρότερον νῦν καὶ τὸ ὕστερον, ἐπειδὴ ταύτῃ διήρηται ἀλλήλων τὸ ἐν τῇ ἀνατολῇ νῦν τυχὸν, καὶ τὸ ἐν τῇ δύσει, ἔσται τι μεταξὺ τὸ διαιροῦν. τούτῳ οὖν πάλιν ὡς δυσὶ χρήσεται. ὥσπερ καὶ τῇ στιγμῇ, καθ' ἣν ἡ τῆς γραμμῆς διαίρεσις γίνεται.

τὸ νῦν. τὸ γὰρ νῦν, καθ' ὃ ἐν κριῷ γίνεται ὁ ἥλιος, καὶ πάλιν τὸ νῦν, καθ' ὃ γέγονεν ἐν ταύρῳ ἀριθμὸς ἂν εἴη αὐτῷ τῷ ἡλίῳ, ὥσπερ ἐν προτέρῳ τινὶ καὶ ὑστέρῳ γινομένῳ, ἑκάστοτε ἐν τῷ ἀριθμῷ μονάσιν. ὥσπερ γὰρ τῇ μονάδι τὸν ἀριθμὸν ἀριθμοῦμεν, ἢ ἁπλῶς τὸ ἀριθμητὸν ὅ, τί ποτ' ἂν ᾖ, τοὺς γὰρ δέκα ἵππους, τῇ μονάδι, καὶ τοὺς δέκα λίθους. κατὰ μονάδα γὰρ ἐπισωρεύοντες, οὕτως ἀριθμοῦμεν ἕκαστον. οὕτω δὲ καὶ τὸ φερόμενον, τῷ νῦν ἀριθμοῦμεν. τὸ πρότερον αὐτοῦ καὶ τὸ ὕστερον, ἐν ᾧ ἀεὶ γίνεται, ἄλλοτε ἐν ἄλλῳ ἀριθμοῦντες. οἷον ὁ ἥλιος γίνεται πρότερον ταύρου, ἐν κριῷ. ὕστερον δὲ τοῦ κριοῦ, ἐν τῷ ταύρῳ. καὶ διδύμων μὲν πρότερον ἐν ταύρῳ. τούτου δὲ ὕστερον, ἐν διδύμοις καὶ οὕτως ἐφεξῆς.

ΚΑΙ συνεχής τε δὴ ὁ χρόνος τῷ νῦν, καὶ διῄρηται κατὰ τὸ νῦν.

Καὶ συνεχείας δὲ καὶ διαιρέσεως αἴτιόν φησι τὸ νῦν τῷ χρόνῳ. ὥσπερ καὶ τῇ κινήσει τὸ κινούμενον, καὶ τῇ γραμμῇ τὸ σημεῖον. κἀνταῦθα γὰρ πάλιν, ἡ αὐτὴ ὁρᾶται ἀναλογία. ἀλλὰ τὸ μὲν σημεῖον, δυνάμει μὲν λαμβανόμενον, συνεχείας αἴτιον τῇ γραμμῇ. συνεχὲς γάρ ἐστιν, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. δυνάμει δὲ λαμβανόμενον, ἕν ἐστιν. εἰ μέντοι ἐνεργείᾳ ληφθείη, διαιρέσεώς τε τῇ γραμμῇ αἴτιον γίνεται, καὶ οὐκ ἔτι ἕν ἐστιν, ἀλλὰ δύο, ἑκατέρου ὄντι τῶν διαιρεθέντων μορίων πέρατος αὐτοῦ. ἓν μὲν γάρ ἐστι τῇ ἑαυτοῦ φύσει, καθ' ὃ γίνεται ἡ διαίρεσις. δεῖ γὰρ τὸ διαιροῦν, καθ' ὃ διαιρεῖ, ἓν εἶναι καὶ ἀδιάστατον. διὰ τοῦτο τὸ μὲν τριχῇ διαστατόν, ἐπιφανείᾳ διαιρεῖται, ἀδιαστάτῳ οὔσῃ κατὰ βάθος, καὶ καθ' ὃ ἡ διαίρεσις γίνεται. ἡ δὲ ἐπιφάνεια, γραμμῇ διαιρεῖται, κατὰ πλάτος οὔσῃ ἀδιαστάτῳ. πλάτους γὰρ ἡ διαίρεσις. ἡ δὲ γραμμή, σημείῳ, κατὰ πάντα ὄντι ἀδιαστάτῳ. ἀλλ' ἐπειδὰν ἐνεργείᾳ ληφθῇ ἐν τῇ γραμμῇ τὸ σημεῖον, καὶ διέλῃ αὐτήν, τότε δύο γεννᾷ σημεῖα, τῶν δύο μορίων τὰ πρὸς τῇ διαιρέσει πέρατα. ὁμοίως δὲ καὶ τὸ κινούμενον, καὶ συνεχείας αἴτιον τῇ κινήσει καὶ διαιρέσεως. τῷ γὰρ συνεχῶς καὶ ἀδιαλείπτως κινεῖσθαι τὸ κινούμενον, τὸ συνεχὲς ἔχει ἡ κίνησις. εἰ μέντοι τὸ κινούμενον στάσει μεταξὺ διαλαμβάνεται, τότε καὶ διαιρέσεως αἴτιον γίνεται τῇ κινήσει. ἀλλ' ἐν μὲν τοῖς ἐν γενέσει καὶ φθορᾷ, καὶ ἐνεργείᾳ τὸ κινούμενον δυνατὸν στῆναι. οἷον τὸν βαδίζοντα ἀπὸ ἀθηνῶν εἰς θήβας, δυνατὸν στάντα μεταξύ, οὕτω τὸ λοιπὸν διανύσαι. καὶ οὕτω τὸ κινούμενον, τῷ στῆναι ἔτεμε τὴν ἀπὸ ἀθηνῶν εἰς θήβας κίνησιν. ἐπὶ δὲ τῶν οὐρανίων, συνεχείας μόνον αἴτιον τὸ κινούμενον τῇ κινήσει. διαιρέσεως δέ, ἐνεργείᾳ μὲν οὐδέποτε, μόνῃ δὲ τῇ ἐπινοίᾳ. ὁμοίως δὲ τὸ νῦν, καὶ συνεχείας αἴτιον τῷ χρόνῳ, καὶ διαιρέσεως. ἀλλὰ μόνον μὲν συνεχείας ἀεὶ κατ' ἐνέργειαν. διαιρέσεως δὲ μόνως κατ' ἐπίνοιαν. εἰ γὰρ τὴν πρώτην κίνησιν, ἧς μέτρον πρώτως ὁ χρόνος, στῆναι οὐχ οἷόν τε, οὐδὲ ἠρεμίᾳ διαληφθῆναι, δῆλον ὡς οὐδὲ τὸν χρόνον τμηθῆναί ποτε ἐνεργείᾳ οἷόν τε ἀλλὰ μόνῃ τῇ ἐπινοίᾳ τὸ νῦν διαιρέσεως φαμὲν τῷ χρόνῳ αἴτιον. τούτῳ γὰρ τάς τε ἡμέρας εἰς ὥρας διαιροῦμεν, τούς τε μῆνας εἰς ἡμέρας, καὶ τοὺς ἐνιαυτοὺς εἰς μῆνας. ὅτι γὰρ οὐχ οἷόν τε τὸν χρόνον ἐνεργείᾳ διαιρεθῆναι, δῆλον καὶ ἐντεῦθεν. ἀνάγκη γὰρ καὶ τὴν κίνησιν πολλῷ πρότερον στῆναι. δείκνυται δέ, ὅτι πᾶσαι δύο κινήσεις, ἐφεξῆς στάσει πάντως διαλαμβάνονται: καὶ ἠρεμίᾳ. καὶ οὐχ οἷόν τέ ἐστι δύο κινήσεις διῃρημένας, κατὰ τὸ συνεχὲς ἐφεξῆς εἶναι. εἰ δὲ τοῦτο, καὶ τῶν δύο χρόνων ἄρα, τῶν μετρητικῶν τῶν δύο κινήσεων, ἔσται τι μεταξύ, ὃ μὴ ἔστι χρόνος. ἀλλὰ πάντων δύο νῦν μεταξύ, χρόνος ἐστίν. χρόνος ἄρα ἐστίν, ὅτε οὐκ ἦν χρόνος. ὅπερ ἄτοπον. οὐκ ἄρα οἷόν τέ ποτε ἐνεργείᾳ διαιρεθῆναι τὸν χρόνον. μόνῃ δὲ τῇ ἐπινοίᾳ ὥσπερ εἴπομεν, διαιρεῖται τῷ νῦν.

ΑΚΟΛΟΥΘΕΙ γὰρ καὶ τοῦτο τῇ φορᾷ καὶ τῷ φερομένῳ.

Ὥσπερ τῷ χρόνῳ καὶ τῷ νῦν ἕπεται, τὸ καὶ συνεχῆ εἶναι τὸν χρόνον τῷ νῦν, καὶ διαιρεῖσθαι κατὰ τὸ νῦν, οὕτω τὸ αὐτὸ τοῦτο ἕπεται καὶ τῇ φορᾷ, καὶ τῷ φερομένῳ, τὸ καὶ συνεχῆ εἶναι τὴν κίνησιν διὰ τὸ φερόμενον, καὶ διαιρεῖσθαι αὐτὴν κατὰ τὸ αὐτό. ὁμοίως δὲ καὶ τῇ στιγμῇ καὶ τῇ γραμμῇ, τὸ αὐτὸ ἕπεται, ὡς φθάσαντες εἴπομεν.

ΚΑΙ γὰρ ἡ κίνησις καὶ ἡ φορά, μία τῷ φερομένῳ, ὅτι ἕν, καὶ οὐχ ὅ ποτε ὄν. καὶ γὰρ ἂν διαλίποι, ἀλλὰ τῷ λόγῳ.

Εἰπὼν ὅτι ἡ κίνησις καὶ ἡ φορὰ μία τῷ φερομένῳ, πῶς ἐστι μία διὰ τὸ φερόμενον ἐπήγαγεν. ὅτι ἕν φησι τὸ φερόμενον, καὶ οὐχ ὅ ποτε ὄν. καὶ γὰρ ἂν διαλίποι. ἀλλὰ τῷ λόγῳ. τουτέστιν ἐὰν τὸ κινούμενον ἓν ᾖ. ἐὰν δὲ μὴ μόνον τῷ ὑποκειμένῳ, τὸ γὰρ ὅ ποτε ὂν τοῦτον δηλωτικόν, ἀλλὰ καὶ τῷ λόγῳ, τότε καὶ ἡ κίνησις μία. ἐπεὶ αὐτό γε καθ' αὑτὸ τὸ κινούμενον, ἓν μὲν ὄν, δύναται καὶ διαλείπειν κινούμενον. οὕτω δὲ ἓν μὲν ἔσται τὸ φερόμενον, οὐκέτι δὲ ἡ κίνησις μία καὶ συνεχής, ἀλλὰ δύο διῃρημέναι. ἐὰν δὲ τῷ λόγῳ ληφθῇ, τουτέστιν ὡς κινούμενον, εἰ γὰρ διαλίπει, οὐκέτι ἓν ἔσται τῷ λόγῳ, ἀλλὰ δύο, ἄλλο γάρ ἐστιν αὐτῷ τὸ ὡς κινουμένῳ εἶναι, καὶ ἄλλο τὸ ὡς ἠρεμοῦντι, ἐὰν οὖν καὶ τῷ λόγῳ ἓν ληφθῇ, τότε καὶ ἡ κίνησις μία καὶ συνεχής, καὶ τοῦτο αὐτῇ διὰ τὸ φερόμενον ὑπάρχει. οὕτω δὲ καὶ τὸ σημεῖον, μίαν ποιεῖ τὴν γραμμήν, καὶ τὸ νῦν ἕνα χρόνον, ἐὰν ἓν ᾖ τὸ σημεῖον, καὶ ἓν τὸ νῦν, καὶ τῷ ὑποκειμένῳ, καὶ τῷ λόγῳ. ἐὰν γὰρ δύο σχέσεις ἀναδέξηται τὸ σημεῖον, καὶ ᾖ τῆς μὲν πέρας, τῆς δὲ ἀρχή, τότε καὶ αἱ γραμμαὶ δύο, καὶ οὐ συνεχείας, ἀλλὰ διαιρέσεως αἴτιον τὸ σημεῖον. ἐὰν δὲ καὶ τῷ λόγῳ ἓν ᾖ, τουτέστιν ὡς πέρας μόνον κοινὸν ἀμφοτέρων, τῶν μορίων λαμβάνηται, τότε καὶ ἡ γραμμὴ μία καὶ συνεχής. καὶ τούτου αἴτιον

τὸ νῦν ἐστι, καθὸ γὰρ ἀριθμητόν ἐστι τὸ πρότερον καὶ τὸ ὕστερον, τῷ φερομένῳ καὶ τὸ νῦν ἕπεται. καὶ οὕτω λοιπὸν τὸ προκείμενον ἐπάγει. λέγω δὴ, ὅτι τὸ νῦν, ὃ μὲν ὑποκειμένῳ τὸ αὐτό ἐστι, τῷ δὲ λόγῳ ἄλλο καὶ ἄλλο. τὸ γὰρ ὥστε καὶ ἐν τούτοις, ἀντὶ τοῦ ἐν τοῖς νῦν. ὥσπερ γὰρ καὶ τὸ σημεῖον τὸ γεννητικὸν τῆς γραμμῆς, ἓν καὶ τὸ αὐτὸ τῷ ὑποκειμένῳ, καὶ τὸ φερόμενον τὸ γεννητικὸν τῆς κινήσεως, οὕτω δὴ καὶ τὸ νῦν τὸ τοῦ χρόνου γεννητικὸν ὄν, τουτέστιν ὅτι δήποτε, ὅ μέν ποτε ὂν ἐστι νῦν, κατὰ τὸ ὑποκείμενον ὑπάρχει τε καὶ ἔστι νῦν, ἕν ἐστι καὶ τὸ αὐτό. εἶτα καὶ τί ἐστιν ἐπάγει. τὸ πρότερον γάρ φησιν ἢ ὕστερον τὸ ἐν κινήσει. ταυτὸν γὰρ ἐν κινήσει πρότερον καὶ ὕστερον κατὰ τὸ ὑποκείμενον. ἐπεὶ, καὶ αὐτὸ τῆς κινήσεως τὸ φερόμενον. τὸ δὲ εἶναι ἕτερον. τουτέστι κατὰ τὸν λόγον. τὸ γὰρ ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον, μὴ ὡς ἀριθμούμενον λαμβανόμενον, μηδὲ ὡς πρότερον καὶ ὕστερον, τὸ ὑποκείμενόν ἐστι τοῖς νῦν. τοῦτο δὲ αὐτὸ ὅταν ὡς πρότερον καὶ ὕστερον ληφθῇ, καὶ ὡς κατὰ διαφέροντα τῆς κινήσεως γινόμενον, τότε δὲ ἄλλο καὶ ἄλλο ἐστὶ κατὰ τὸν λόγον. ἄλλο γάρ ἐστιν αὐτῷ τὸ προτέρῳ εἶναι, καὶ ἄλλο, τὸ ὑστέρῳ.

ΚΑΙ γνώριμον μάλιστα τοῦτ᾽ ἔστι. καὶ γὰρ ἡ κίνησις διὰ τὸ κινούμενον, καὶ ἡ φορὰ διὰ τὸ φερόμενον. τόδε γάρ τι τὸ φερόμενον. ἡ δὲ κίνησις, οὔ.

Ε ταύτῃ σὴν τῆς τοῦ νῦν πρὸς τὸ φερόμενον ὁμοιότητα δεῖξαι βουλόμενος, καὶ τοῦτο προστέθεικε. καὶ ἄλλως δὲ καὶ αὐτὸ χρήσιμον τῇ περὶ τοῦ χρόνου θεωρίᾳ. εὐλόγως γάρ φησι καὶ τοῦ χρόνου τὸ νῦν μάλιστά ἐστι γνώριμον. ὅσον γὰρ τοῦ χρόνου τὸ νῦν ἐν ὑπάρξει ἐστί. καὶ γὰρ ἡ κίνησις, καθ᾽ αὑτὴν ἄγνωστος οὖσα, τῷ φερομένῳ γνωρίζεται. τῷ δὲ φερομένῳ τὸ νῦν ἕπεται. καὶ ὃν ἔχει λόγον τὸ φερόμενον πρὸς τὴν κίνησιν, ταύτην τὸ νῦν πρὸς τὸν χρόνον. εὐλόγως ἄρα καὶ διὰ τοῦ νῦν τὸν χρόνον γνωρίζομεν, ἐπειδὴ καὶ διὰ τοῦ κινουμένου τὴν κίνησιν. ὅτι δὲ ἡ φορὰ γνώριμός ἐστι διὰ τὸ φερόμενον, ἔδειξεν εἰπὼν, τόδε γάρ τι τὸ φερόμενον, ἡ δὲ κίνησις οὔ. τὸ γὰρ κινούμενον, οὐσία τίς ἐστι, καὶ ὑφεστώς. ἡ δὲ κίνησις, οὐχ ὑφέστηκεν, ἀλλ᾽ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει. ἐν γὰρ τῇ τοῦ κινουμένου μεταβάσει, τὸ εἶναί ἐστι τῇ κινήσει. καὶ ἄλλως, εἰ τὸ μὲν κινούμενον οὐσία, ἡ δὲ κίνησις ἐνέργεια, φανερώτεραι δὲ τῶν ἐνεργειῶν αἱ οὐσίαι ἐν πολλοῖς, εἰκότως τῷ κινουμένῳ ἡ κίνησις γνώριμος. εἰπὼν δὲ, καὶ γὰρ ἡ κίνησις διὰ τὸ κινούμενον, ἐπήγαγε, καὶ ἡ φορὰ διὰ τὸ φερόμενον. ἤτοι ἐκ παραλλήλου τὸ αὐτὸ λέγων, ἢ μᾶλλον ἐκ τοῦ γενικωτέρου καὶ ἀσαφεστέρου, αὐτὸ τὸ ἰδικώτερον καὶ σαφέστερον μεταβαίνων. ἔστι μὲν γὰρ καὶ αὐτὴ ἀλλοιώσεως ἡ ἀλλοίωσις γνώριμος, διὰ τὸ ἀλλοιούμενον. ὁμοίως δὲ καὶ αὐτὴ αὐξήσεως καὶ μειώσεως. ἐναργέστατα δὲ αὐτὴ τῆς φορᾶς τῷ φερομένῳ ἡ φορὰ γνωρίζεται.

ΕΤΙ μὲν οὖν ὡς τὸ αὐτὸ νῦν λεγόμενον ἀεὶ, ἔστι δ᾽ ὡς οὐ τὸ αὐτὸ, καὶ γὰρ τὸ φερόμενον.

Ω ὥσπερ συμπέρασμά ἐστι τοῦτο τῶν εἰρημένων. ὃ γὰρ ἔδειξεν ἀνωτέρω, τοῦτο ὡς ἐν συμπεράσματι νῦν φησιν. ὡς γὰρ τὸ φερόμενον, τῷ μὲν ὑποκειμένῳ τὸ αὐτὸ, τῇ σχέσει δὲ καὶ τῷ λόγῳ διάφορον, οὕτω καὶ τὸ νῦν.

ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι εἴτε ὁ χρόνος μὴ εἴη, τὸ νῦν οὐκ ἂν εἴη. εἴτε τὸ νῦν μὴ εἴη, ὁ χρόνος οὐκ ἂν εἴη. ἅμα γὰρ ὥσπερ τὸ φερόμενον καὶ ἡ φορὰ, οὕτως καὶ ὁ ἀριθμὸς ὁ τοῦ φερομένου καὶ ὁ τῆς φορᾶς χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀριθμός. τὸ δὲ νῦν, ὡς τὸ φερόμενον, οἷον μονὰς ἀριθμοῦ.

Δ δείξας ὅτι ὁ χρόνος, ἀριθμός ἐστι τοῦ προτέρου καὶ ὑστέρου τοῦ ἐν τῇ κινήσει, τοῦτο δέ ἐστι τὸ νῦν, τὸ γὰρ ἐν τῇ κινήσει πρότερον καὶ ὕστερον τὸ νῦν ἐστιν, εὐλόγως συνάγει, ὅτι ἀδύνατον τὸ ἕτερον αὐτῶν χωρὶς τοῦ ἑτέρου εἶναι. ὃ γὰρ ὡς τὸ φερόμενον ἔχει πρὸς τὴν φορὰν, οὕτω καὶ τὸ νῦν πρὸς τὸν χρόνον, οὔτε δὲ φερόμενόν τι εἶναι ἐνδέχεται φορᾶς μὴ οὔσης, οὔτ᾽ αὖ φορὰν εἶναι φερομένου μὴ ὄντος, οὕτω δηλονότι καὶ τὸν χρόνον ἔχειν ἀνάγκη πρὸς τὸ νῦν. καὶ εἰ τὸ ἕτερον τεθείη ἐπάγεσθαι, καὶ τὸ λοιπὸν. εἴτε ἀναιρεθείη τὸ ἓν, καὶ τὸ λοιπὸν συναναιρεῖσθαι. ὡσαύτως γὰρ ἔχει καὶ τὸ σημεῖον, καὶ ἡ γραμμή. συνεισάγει γὰρ καὶ συναναιρεῖ ἄλληλα. ἅμα γὰρ ὥσπερ τὸ φερόμενον καὶ ἡ φορὰ, οὕτω καὶ ὁ ἀριθμὸς τοῦ φερομένου, καὶ ὁ τῆς φορᾶς χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀριθμός. τὸ νῦν δὲ, ὡς τὸ φερόμενον. οἷον μονὰς ἀριθμοῦ. τοῦ μὲν οὖν φερομένου ἀριθμὸν τὸ νῦν φησι, τῆς δὲ φορᾶς ἀριθμὸν τὸν χρόνον. ὥσπερ οὖν ἅμα ἢ ἔστιν ἢ οὐκ ἔστι τὸ φερόμενον καὶ ἡ φορὰ, οὕτω δὴ καὶ ὁ ἀριθμὸς τοῦ φερομένου καὶ τῆς φορᾶς, τουτέστι τὸ νῦν καὶ ὁ χρόνος, ἅμα ἢ ἔστιν, ἢ οὐκ ἔστιν. εἰπὼν δὲ, χρόνος μὲν γὰρ ὁ τῆς φορᾶς ἀριθμὸς, δέον ἐπαγαγεῖν, τὸ νῦν δὲ ἀριθμὸς τοῦ φερομένου, εἶπε, τὸ νῦν δὲ ὡς τὸ φερόμενον. διὸ καὶ ἀσαφεστέραν τὴν λέξιν ἐποίησε. πῶς δὲ τὸ νῦν ἀριθμός ἐστι τοῦ φερομένου, ἐπήγαγεν, οἷον μονὰς ἀριθμοῦ. ὡς γὰρ ἐν ἀριθμῷ ἡ μονὰς πάλιν καὶ πάλιν λαμβανομένη, τὸν ἀριθμὸν τῶν ἀριθμουμένων ποιεῖ, ἀδιαίρετος οὖσα αὐτὴ, οὕτω καὶ τὸ νῦν, ἀδιαίρετον καὶ ὡς μονὰς ὂν, πάλιν καὶ πάλιν λαμβανόμενον, τὸν χρόνον ποιεῖ. ὥσπερ οὖν ὁ χρόνος ἐκ τοῦ νῦν γεννώμενος, μετρεῖ τὴν κίνησιν, οὕτω καὶ τὸ νῦν μετρεῖ τὸ κινούμενον καὶ ἔστιν ὁ χρόνος ἀριθμὸς τῆς κινήσεως, καὶ τὸ νῦν τοῦ φερομένου. πῶς δὲ τῆς φορᾶς ὁ χρόνος ἀριθμός ἐστιν, εἴπομεν ἤδη. οὐ γὰρ ὡς ἀριθμῶν αὐτήν. ἀλλ᾽ ὡς ἐν ᾧ ἀριθμεῖσθαι αὐτὴν τὸ εἶναι ἔχον. ἀριθμεῖ δὲ, οὐ καθὸ φορά ἐστιν. ἀλλ᾽ ᾗ τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον. οὐ γὰρ αὐτῆς τῆς κινήσεως ὁ ἀριθμὸς χρόνος, ἀλλὰ τὸ τοῦ προτέρου ἐν αὐτῇ καὶ ὑστέρου διάστημα μεταξύ. καὶ τοῦ φερομένου δὲ ἀριθμὸς, τὸ νῦν, οὐχ ᾗ φερόμενόν ἐστιν, ἀλλ᾽ ᾗ ἐν προτέρῳ καὶ ὑστέρῳ τινὶ λαμβάνεται. ἡ γὰρ λῆψις τοῦ προτέρου καὶ ὑστέρου, καθ᾽ ἃ γίνεται, ταῦτά ἐστι

ἐστὶν ὅπερ ἂν ᾖ ἅμα ἐν τούτῳ καὶ τούτῳ. ταύτῃ δὲ καὶ ἕτερόν ἐστι τὸ πρότερον τοῦ ὕστερον. ἄλλο γάρ ἐστιν αὐτῷ τὸ ἐν τῷδε εἶναι, καὶ ἄλλο τὸ ἐν τῷδε. ταύτῃ μὲν οὖν ἕτερον τὸ πρότερον νῦν τοῦ ὑστέρου. ὃ δέ ποτε ὄν ἐστι φησί, τὸ αὐτό. τουτέστι κατὰ τὸ ὑποκείμενον. εἶτα τοῦτο κατασκευάσαι βουλόμενος, ἐπήγαγεν, ἀκολουθεῖ γὰρ ὥσπερ ἐλέχθη, τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, ὡς ἔφαμεν. ὁμοίως δὲ καὶ τῇ στιγμῇ τὸ φερόμενον ᾧ τὴν κίνησιν γνωρίζομεν. καὶ τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον. εἶπε γὰρ ἐν τοῖς ἔμπροσθεν ἀκολουθεῖν τῷ μὲν μεγέθει τὴν κίνησιν, ταύτῃ δὲ τὸν χρόνον. τῷ γὰρ εἶναι ἐν τῷ μεγέθει τὸ πρότερον καὶ τὸ ὕστερον, καὶ προσέτι τὸ συνεχὲς ταύτῃ, καὶ ἐν τῇ κινήσει τὸ πρότερον ἦν καὶ ὕστερον, καὶ ἡ συνέχεια. διὰ δὲ τὴν κίνησιν, καὶ ἐν τῷ χρόνῳ. πλὴν ὅτι ἐν μὲν τῷ μεγέθει, θέσει ἦν τὸ πρότερον καὶ τὸ ὕστερον, διότι τὴν ἀρχὴν ἀφ᾽ οὗ δήποτε μορίου ποιήσασθαι δυνατὸν ἦν. ἐπὶ δὲ τῆς κινήσεως καὶ τοῦ χρόνου, οὐκ ἔτι. οὐ γὰρ οἷόν τε ἐν τούτοις τὸ πρότερον ὕστερον γενέσθαι, οὐδὲ ἔμπαλιν τὸ ὕστερον πρότερον. ὥσπερ οὖν φησι ταῦτα ἕπονται ἀλλήλοις, οὕτω καὶ οἱ τὰ οἰονεὶ γεννητικὰ τούτων καὶ ποιητικά. τοῦτο δὲ ἐδήλωσεν εἰπών, ὁμοίως δὲ καὶ τῇ στιγμῇ τὸ φερόμενον, ᾧ τὴν κίνησιν γνωρίζομεν. ἔστι γὰρ τοῦ μεγέθους ἡ στιγμὴ ποιητική. ῥυϊσκόμενον γὰρ τὸ σημεῖον γεννᾷ τὴν γραμμήν. πρῶτον δὲ μέγεθος ἡ γραμμή. τῆς δὲ κινήσεως ποιητικόν, τὸ φερόμενον. τοῦ γὰρ γενέσθαι τὴν ἀπ᾽ Ἀθηνῶν εἰς Θήβας κίνησιν, αἴτιον τὸ φερόμενον, εἴτε ἄνθρωπος εἴη, εἴτε ὅτι δήποτε. καὶ τοῦ γενέσθαι τὴν ἀπὸ Κριοῦ ἐπὶ Ταῦρον κίνησιν, αἴτιον τυχὸν ὁ ἥλιος ὁ ταύτην κινηθείς, ἢ ἕτερός τις τῶν ἀστέρων. τούτῳ καὶ γνωρίζεται ἡ κίνησις. καθ᾽ αὑτὴν γὰρ ἀγνώριστος ὑπάρχουσα, τῷ κινουμένῳ γνωρίζεται. τὸ γὰρ γεγενῆσθαι τὴν ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ τοῦ οὐρανοῦ κίνησιν καὶ περιφοράν, οὐκ ἄλλῳ τινὶ γνωρίζομεν, ἢ αὐτῷ τῷ οὐρανῷ. τῷ γὰρ τὸ αὐτὸ αὐτοῦ μέρος δὶς ἐν τῷ μορίῳ τῷ αὐτῷ τοῦ ὁρίζοντος ἰδεῖν γενόμενον, οὕτω τοσήνδε γεγενῆσθαι κίνησιν γνωρίζομεν. καὶ τὸ νῦν δὲ τοῦ χρόνου ποιητικὸν αἴτιον. ἡ γὰρ τούτου ῥύσις, γεννᾷ τὸν χρόνον. ὃ τοίνυν ὡς τὸ σημεῖον πρὸς τὸ μέγεθος ἔχει, καὶ τὸ κινούμενον πρὸς τὴν κίνησιν, οὕτω καὶ τὸ νῦν πρὸς τὸν χρόνον. τὸ δὲ σημεῖον ἓν ὂν καὶ τὸ αὐτό, γεννᾷ τὸ μέγεθος. οὐ γὰρ παραθέσει πλειόνων στιγμῶν, γεννᾶται γραμμή, ἀλλὰ μιᾶς ῥύσει. ἔτι δὲ καὶ τὸ κινούμενον ἓν ὄν, γεννᾷ τὴν κίνησιν. ἀκόλουθον δήπου καὶ τὸ νῦν ἓν ὄν, γεννᾶν τὸν χρόνον. οὐ γὰρ ἐκ πολλῶν παρακειμένων νῦν ἀλλήλοις, γεννᾶται ὁ χρόνος. οὐ γὰρ σύγκειται ἐκ τῶν νῦν ἀλλ᾽ ἑνὸς ῥύσει. τῷ γὰρ τὸ αὐτὸ νῦν πρότερον καὶ ὕστερον λαμβάνεσθαι, τὸ εἶναι ἔχει ὁ χρόνος. ὥσπερ οὖν τὸ κινούμενον, ὃ μέν ποτε ὂν τὸ αὐτό ἐστιν, ἢ γὰρ λίθος ἐστίν, ἢ ἄνθρωπος, ἢ ἀστήρ, ἢ ἕτερόν τι. τῷ δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ λαμβάνεσθαι, ταύτῃ ἕτερον. ὡς γὰρ εἶπον, ἄλλο ἐστὶ Σωκράτει, τὸ ἐν Λυκείῳ εἶναι, καὶ ἄλλο τὸ ἐν ἀγορᾷ, οὕτω δὴ καὶ τὸ νῦν, τῷ μὲν ὑποκειμένῳ καὶ τῇ οὐσίᾳ, τὸ αὐτό ἐστι τῷ πρότερον τὸ ὕστερον, τῷ δὲ πρότερον ἢ ὕστερον εἶναι, ταύτῃ δὲ τῷ λόγῳ ἕτερον. παραδείγματος δὲ χάριν καὶ σαφηνείας, ἵνα δείξῃ, πῶς τὸ αὐτὸ λέγομεν κατὰ τὸ ὑποκείμενον, διάφορον δὲ κατὰ τὸν λόγον, ἐμνημόνευσε τοῦ ὑπὸ τῶν σοφιστῶν λεγομένου. λαμβάνοντες γὰρ ἑκάτερον τὸ ἕτερον εἶναι τῷ Κορίσκῳ τὸ ἐν Λυκείῳ εἶναι, καὶ ἕτερον τὸ ἐν ἀγορᾷ, τὴν κατὰ συμβεβηκὸς ταύτην καὶ κατὰ τὸν λόγον διαφορὰν ἐπὶ τὸ ὑποκείμενον μετέφερον. εἰ γὰρ ἄλλο φασίν ἐστι τῷ Κορίσκῳ, τὸ ἐν Λυκείῳ εἶναι, καὶ ἄλλο τὸ ἐν ἀγορᾷ. ὁ ἄρα Κορίσκος αὐτὸς ἑαυτοῦ ἕτερός ἐστιν. ἀλλ᾽ οὐκ ἀνάγκη, εἰ κατὰ τὸν λόγον ἕτερόν τι εἴη, καὶ κατὰ συμβεβηκός, ἤδη καὶ τὸ ὑποκείμενον ἕτερον εἶναι. ἐπεὶ καὶ ἡ κλίμαξ μία καὶ ἡ αὐτή, τῷ λόγῳ ἕτερα οὖσα καὶ ἕτερα. ἄλλο γάρ ἐστιν αὐτῇ τὸ ἀναβάσει εἶναι, καὶ ἄλλο τὸ καταβάσει. οὕτως οὖν καὶ τὸ νῦν, καὶ ταυτὸν καὶ ἕτερον, τῷ λόγῳ μὲν ἕτερον, πρότερόν τε λαμβανόμενον καὶ ὕστερον. τῷ ὑποκειμένῳ δέ, τὸ αὐτό.

Τῷ δὲ φερομένῳ ἀκολουθεῖ τὸ νῦν, ὥσπερ ὁ χρόνος τῇ κινήσει. τῷ γὰρ φερομένῳ γνωρίζομεν τό, τε πρότερον καὶ ὕστερον ἐν κινήσει.

Ε Εἰπών, ὅτι ἀκολουθεῖ, τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, ὁμοίως δὲ καὶ τῇ στιγμῇ τὸ φερόμενον, εἶτα μεταξύ, τὸν τῶν σοφιστῶν ἐμβαλὼν λόγον, ἐπάγει ἐν τούτοις τὸ λοιπόν. ὅτι καὶ τῷ φερομένῳ ἀκολουθεῖ τὸ νῦν. τῷ γὰρ τὸ φερόμενον λαμβάνεσθαι ἐν προτέρῳ καὶ ὑστέρῳ τινί, καὶ ἀριθμεῖσθαι τὰς μεταβάσεις αὐτοῦ, ταύτῃ τὸ νῦν τὴν ὑπόστασιν ἔχει. ὅτι δὲ ἀκολουθεῖ τὸ νῦν τῷ φερομένῳ, ἐδήλωσεν εἰπών, τῷ γὰρ φερομένῳ γνωρίζομεν τὸ πρότερον καὶ ὕστερον ἐν κινήσει. ὡς γὰρ πᾶς ὁ χρόνος τῇ κινήσει πάντῃ παρακολουθεῖ καὶ συνεκτείνεται, οὕτω καὶ τὸ νῦν, τῷ φερομένῳ. ἀνάλογον γάρ, ὡς τὸ φερόμενον πρὸς τὴν κίνησιν, οὕτω καὶ τὸ νῦν πρὸς τὸν χρόνον. ὥστε καὶ ἐναλλάξ. ὡς ἡ κίνησις πρὸς τὸν χρόνον, οὕτω καὶ τὸ φερόμενον πρὸς τὸ νῦν. ὃ οὖν τὸ φερόμενον ἓν καὶ τὸ αὐτό, ὅτι ποτέ ἐστιν, εἴτε στιγμὴ εἴτε λίθος εἴτε ὅτι δήποτε. διαφέρει γὰρ κατὰ τὸν λόγον τὸ ἐν ἄλλῳ καὶ ἄλλῳ γίνεσθαι, τοιοῦτον ἂν εἴη πάντως καὶ τὸ νῦν.

Ἡ δ᾽ ἀριθμητὸν τὸ πρότερον καὶ ὕστερον, τὸ νῦν ἐστιν. ὥστε καὶ ἐν τούτοις ὃ μέν ποτε ὂν νῦν ἐστι τὸ αὐτό. πρότερον γὰρ ἢ ὕστερόν ἐστι τό, ἐν κινήσει. τὸ δὲ εἶναι ἕτερον, ᾗ ἀριθμητὸν γὰρ τὸ πρότερον καὶ ὕστερον, τὸ νῦν ἐστι. [illegible]

Ε Εἰπὼν ὅτι τῷ φερομένῳ γνωρίζομεν τὸ πρότερον καὶ ὕστερον ἐν κινήσει προστέθεικεν, ᾗ δὲ ἀριθμητὸν τὸ πρότερον καὶ ὕστερον τὸ νῦν ἐστι. συνάγων καὶ διὰ τούτων, ὅτι τῷ φερομένῳ, τὸ νῦν ἀκολουθεῖ. εἰ γὰρ τῷ μὲν φερομένῳ τὸ πρότερον καὶ τὸ ὕστερον, ἕπεται τὸ ἐν κινήσει τὸ δὲ πρότερον καὶ ὕστερον τὸ ἐν κινήσει,

νος δὲ μετροῦντα, μηδαμῶς δὲ μετρούμενον ἀριθμὸν, τοῦτον ἀνάγκη μόνως εἶναι διωρισμένον, μηδαμῶς συνεχῆ. ὥστε κἂν μετρεῖν τὴν κίνησιν λέγηται ὁ χρόνος, οὐδέν γε ἐκ τούτου ἄτοπον ἕψεται τῷ λόγῳ. ἄλλως τε οὕτω λέγεται μετρεῖν τὸν χρόνον, ὥσπερ ἂν εἰ δύο ξύλων ἴσων παρακειμένων ἀλλήλοις, τοῦ ἑνὸς μετρηθέντος, λέγοι τις ὅτι τὸ μετρηθὲν, καὶ αὐτὸ ἐμέτρησε τὸ παρακείμενον. ὅσον γὰρ τοῦτο, τοσοῦτον κἀκεῖνο. ταύτῃ οὖν καὶ τὸν χρόνον φαμὲν μετρεῖν τὴν κίνησιν, διότι σύνεισιν ἀλλήλοις, καὶ συμπαρατείνονται. ὅσον οὖν ἂν ἑ [illegible] ἕτερον, ἀνάγκη καὶ τὸ λοιπὸν εἶναι.

ΚΑΙ ὥσπερ ἡ κίν[ησις ἀε]ὶ ἄλλη καὶ ἄλλη, καὶ ὁ χρόνος.

Ὅτι κινήσεως ἐστὶ μόνης ἀριθμὸς ὁ χρόνος, καὶ οὐδενὸς ἄλλου, δείκνυσι καὶ διὰ τούτου. ὥσπερ γὰρ ἀεὶ ἄλλη καὶ ἄλλη ἐστὶ κίνησίς φησιν, οὕτω καὶ ὁ χρόνος, ἀριθμὸς ὢν ταύτης, ἀεὶ ἄλλος ἐστὶ καὶ ἄλλος. τῶν μέντοι ἄλλων πάντων ἀεὶ τῶν αὐτῶν ὄντων, καὶ ὁ ἀριθμὸς ἀεὶ ὁ αὐτός ἐστιν. ὥστε εἰ ὁ χρόνος ἀεὶ ἄλλος ἐστὶ καὶ ἄλλος, ἔστι δὲ παρατάσεως τινὸς ὁ χρόνος ἀριθμὸς, μόνης ἂν εἴη κινήσεως ἀριθμὸς ὁ χρόνος.

Ο δ' ἅμα πᾶς χρόνος ὁ αὐτός. τὸ γὰρ νῦν τὸ αὐτὸ, ὅ ποτ' ἦν. τὸ δ' εἶναι αὐτῷ ἕτερον.

Ἅμα πᾶς ὁ πανταχοῦ λαμβανόμενος χρόνος, οὗτος εἷς ἐστὶ καὶ ὁ αὐτός. πάσης γὰρ κινήσεως τὸ πρότερον μετρεῖ καὶ τὸ ὕστερον. οὐ μέντοι ὡς ἀλλοιώσεως ἢ αὐξήσεως. τὸ δὲ πρότερον καὶ τὸ ὕστερον τῶν ἅμα γενομένων κινήσεων, τὸ αὐτό. ὥστε καὶ ὁ χρόνος ὁ αὐτός. τοῦτο μέντοι οὐκέτι καὶ ἐπὶ τῆς κινήσεως ἁρμόζει λέγειν. οὐ γὰρ ἅμα αἱ κινήσεις αἱ αὐταί. ἀλλ' αἱ μὲν, οὐ μόνον τῷ ἀριθμῷ ἕτεραι, ἀλλὰ καὶ τῷ εἴδει. αἱ δὲ, εἰ καὶ τῷ εἴδει αἱ αὐταὶ, οἷον ὡς αἱ πλείους σφαῖραι κινοῦνται, ἀλλ' οὖν γε τῷ ἀριθμῷ οὐχ αἱ αὐταί. ὁ μέντοι χρόνος, εἷς καὶ ὁ αὐτὸς πανταχοῦ τῷ ἀριθμῷ. ὥστε καὶ ταύτῃ δῆλον ὅτι οὐ κίνησις ὁ χρόνος, ἀλλ' ἀριθμὸς κινήσεως. ὅτι δὲ εἷς καὶ ὁ αὐτὸς χρόνος ὁ πανταχοῦ, κατασκευάζει ἐκ τοῦ νῦν. τὸ γὰρ νῦν φησι κατὰ τὴν ἑαυτοῦ φύσιν, ἕν ἐστι πανταχοῦ, τῷ μέντοι λόγῳ διαφέρει. ἄλλως γὰρ λαμβάνεται ὡς πρότερον λαμβανόμενον, καὶ ἄλλως ὡς ὕστερον. ὡς μέντοι πρότερον, ἕν ἐστι καὶ τὸ αὐτὸ πανταχοῦ. ὁμοίως δὲ καὶ ὡς ὕστερον. εἰ τοίνυν τὸ νῦν ἐστὶ γεννητικὸν τοῦ χρόνου, τοῦτο δέ ἐστι καὶ τὸ αὐτὸ πανταχοῦ, δῆλον ὅτι καὶ ὁ χρόνος ἅμα πανταχοῦ εἷς ἂν εἴη, καὶ τῇ φύσει, καὶ τῷ ἀριθμῷ.

ΤΟ δὲ νῦν τὸν χρόνον μετρεῖ, ᾗ πρότερον καὶ ὕστερον. τὸ δὲ νῦν, ἔστι μὲν ὡς τὸ αὐτό. ἔστι δ' ὡς οὐ τὸ αὐτό. ᾗ μὲν γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἕτερον. τοῦτο δ' ἦν αὐτῷ τὸ νῦν. ᾗ δὲ ὅ ποτε ὄν ἐστι τὸ νῦν, τὸ αὐτό. ἀκολουθεῖ γὰρ ὥσπερ ἐλέχθη τῷ μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δ' ὁ χρόνος ὥς φαμεν. καὶ ὁμοίως δὴ τῇ στιγμῇ τὸ φερόμενον ᾧ τὴν κίνησιν γνωρίζομεν, καὶ τὸ πρότερον ἐν αὐτῇ καὶ τὸ ὕστερον. τοῦτο δὴ ὁ μέν ποτε ὄν, τὸ αὐτό. ἢ στιγμὴ γὰρ ἢ λίθος, ἤ τι ἄλλο τοιοῦτον. τῷ λόγῳ δὲ ἄλλο, ὥσπερ οἱ σοφισταὶ λαμβάνουσιν ἕτερον τὸ Κορίσκον ἐν Λυκείῳ εἶναι, καὶ τὸ Κορίσκον ἐν ἀγορᾷ. καὶ τοῦτο δὴ τῷ ἄλλοθι καὶ ἄλλοθι εἶναι ἕτερον.

Ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν ἠπόρει περὶ τοῦ νῦν, πότερον ἓν καὶ τὸ αὐτό ἐστι τὸ πρότερον τῷ ὑστέρῳ, ἢ ἕτερον, εἶτα ἐδείκνυεν ἑκάτερον ἄτοπον, εἴτε γὰρ τὸ αὐτὸ εἴη, ὁμόχρονα εἶναι πάντα ἀνάγκη, εἴτε μὴ εἴη τὸ αὐτὸ, ἐπειδὴ μὴ πέφυκε τὸ πρότερον μένειν, τοῦ ὑστέρου αὐτοῦ γινομένου, ἀνάγκη δήπουθεν ἐφθάρθαι, καὶ ἤτοι ἐν ἑαυτῷ, ἢ ἐν ἄλλῳ νῦν, ἑκάτερον δὲ ἀδύνατον, ἐπειδὴ τοῦτο μάλιστα τοῦ παραλογισμοῦ αἴτιον ἦν, τὸ ἀτελὲς τῆς διαιρέσεως, διὰ τοῦτο τὸ λεῖπον τῆς διαιρέσεως ἐνταῦθα ἐκτίθεται. τὸ γὰρ πρότερον νῦν, τῷ ὕστερον οὔτε ἁπλῶς τὸ αὐτό ἐστιν, οὔτε ἁπλῶς ἕτερον, ἀλλὰ πῇ μὲν τὸ αὐτὸ, πῇ δὲ οὐ τὸ αὐτό. τοῦτο δὲ ἐκεῖ μὲν παρεῖται, δι' αὐτὸ κρύψειν τοῦ παραλογισμοῦ. ἐνταῦθα δὲ αὐτὸ τίθησιν, ἵνα ἐκείνην εὐθὺ λύσηται τὴν ἀπορίαν. ὅτι ἔστι τῇ μὲν οὐσίᾳ τὸ αὐτὸ τὸ πρότερον νῦν τῷ ὕστερον, τῇ δὲ σχέσει οὐ τὸ αὐτό. ἄλλο γὰρ αὐτῷ ἐστι τὸ προτέρῳ εἶναι, καὶ ἄλλο τὸ ὑστέρῳ. καὶ ὥσπερ φησὶ καὶ οἱ σοφισταί φασιν, ἄλλον εἶναι Κορίσκον ἐν Λυκείῳ, καὶ ἄλλον ἐν ἀγορᾷ, ταύτῃ γε ἀληθῶς λέγοντες. οὐ γὰρ ταυτόν ἐστι, τὸ αὐτὸ ἐνταῦθα εἶναι, ἢ ἐκεῖ. καὶ τὸ νῦν οὖν, εἴ γε καὶ τῷ ἀριθμῷ ἓν καὶ ταυτὸν εἶναί τις θείη, καὶ τῇ τούτου φύσει γεννᾶσθαι τὸν χρόνον, οὐ συμβήσεται, τὰ πρὶν γινόμενα τοῖς νῦν γινομένοις τὰ αὐτὰ εἶναι. εἰ γὰρ καὶ ἐν τῷ αὐτῷ, ἀλλ' οὐχ ὡσαύτως ἔχοντι. ἐπεὶ, οὐ τὰ αὐτά ἐστιν, τὰ ἅμα τὰ ἐν Κορίσκῳ γινόμενα, ἐν Λυκείῳ τε ὄντι, καὶ ἐν ἀγορᾷ. οἷον εἰ ἐνταῦθα μὲν ἐθερμαίνετο, ἐκεῖ δὲ ἐψύχετο, ἤ τι τοιοῦτον. εἴτε οὖν ἓν καὶ ταυτὸν ὑπόκειται τὸ νῦν κατ' ἀριθμὸν, οὐδὲν τῶν εἰρημένων ἀτόπων συμβήσεται. ἐπεὶ μὴ κατὰ σχέσιν τὸ αὐτὸ ὑπόκειται. εἴτε καὶ οὐσίας μὲν εἴη τῆς αὐτῆς τὸ πρότερον τῷ ὕστερον, μὴ εἴη δὲ τῷ ἀριθμῷ τὸ αὐτὸ, ὅπερ ἐστὶ καὶ μᾶλλον ἀληθὲς, πολλῷ μᾶλλον οὐδὲν τούτων συμβήσεται. πῶς δὲ ἔχει πρὸς τὸ γίνεσθαι καὶ φθείρεσθαι τὸ νῦν, ἐν τοῖς ἑξῆς βιβλίοις διδάξει. ὅτι καὶ αὐτὸ, καὶ ἕτερα πλεῖστα ἀχρόνως [illegible] ἐστὶν, ἢ οὐκ ἔστι, μήτε διὰ γενέσεως εἰς τὸ εἶναι παραγόμενα, μήτε διὰ φθορᾶς εἰς τὸ μὴ εἶναι.

Τὸ δὲ νῦν ἔστι μὲν ὡς τὸ αὐτό. Εἰπὼν γὰρ τὸ νῦν τὸ αὐτὸ, ὅ ποτε ἦν, τὸ δ' εἶναι αὐτῷ ἕτερον, δι' οὗ ὅπερ εἶπον τὴν εἰρημένην ἀπορίαν αὐτὸ λύεται, πῶς ἐστι καὶ τὸ αὐτὸ καὶ οὐ τὸ αὐτὸ, νῦν διδάσκει. καθὸ μὲν γάρ φησιν ἐν ἄλλῳ καὶ ἄλλῳ λαμβάνεται, ταύτῃ ἕτερόν ἐστι καὶ ἕτερον, τὸ πρότερον καὶ τὸ ὕστερον. λαμβάνεται δὲ ἐν ἄλλῳ καὶ ἄλλῳ μορίῳ τῆς κινήσεως. κατὰ τοῦτο δὲ ἦν αὐτῷ φησι καὶ τὸ νῦν εἶναι. ἀμερὲς γὰρ τὸ νῦν. ἀμερὲς δὲ ὂν, ἅμα ἐν πλείοσιν εἶναι οὐ δύναται. ἀλλ' ὅτε ἐν τούτῳ ἐστὶν, ἐν ἐκείνῳ οὐκ ἔστιν. ὥστε καλῶς εἴρηται ὅτι τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, ταύτῃ καὶ τὸ εἶναι ἔχει. οὐ γὰρ,

Ἐπεὶ δ' οὐ σύγκειται ἐκ τῶν νῦν ὁ χρόνος, οὐ γάρ ἐστι δύο νῦν ἐφεξῆς, ἀλλ' ὁ δείξεται ὑπ' αὐτῶν, τοῦ μεταξὺ οὐ νῦν ὄντος, ἀλλὰ χρόνου. διὰ τοῦτό φησιν ὅτι πῶς τοῦτο ὑποκείσθω, ὅτι πᾶν τῶν δύο νῦν τὸ μεταξὺ, χρόνος ἐστί. δείξει γὰρ τοῦτο ἐν τοῖς ἐφεξῆς λόγοις, ὅτι οὐδὲν μέγεθος ἐξ ἀμερῶν σύγκειται. οὔτε γραμμὴ ἐκ σημείων, οὔτε κίνησις ἐκ κινημάτων, οὔτε χρόνος ἐκ τῶν νῦν, ἀλλ' οὐδὲ ἐξ ἀπλατῶν πλάτος. λέγω δὴ ἐκ γραμμῶν ἐπιφάνειαι, οὔτε ἐξ ἀβαθμῶν βάθμος. λέγω δὴ ἐξ ἐπιφανειῶν σῶμα.

ΟΤΑΝ μὲν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ, ἤτοι ὡς τὸ πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει, ἢ ὡς τὸ αὐτὸ μὲν, μὴ προτέρου δὲ καὶ ὑστέρου τινὸς, οὐ δοκεῖ χρόνος γεγονέναι οὐθεὶς, ὅτι οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερον καὶ ὕστερον, τότε λέγομεν χρόνον.

Εἴτε φησὶ μὴ δύο τῶν νῦν αἰσθανόμεθα, εἴτε καὶ ἑνὸς μὲν, μὴ ἐν ὑστέρῳ δέ τινι καὶ προτέρῳ γινομένου, οὐ δοκοῦμεν χρόνον γεγονέναι. κἂν γὰρ ἓν ᾖ τὸ νῦν, νοήσωμεν δὲ τὸ αὐτὸ κινούμενον, καὶ ποτὲ μὲν ἐν ἄλλῳ τινὶ γινόμενον, ποτὲ δὲ ἐν ἄλλῳ, καὶ οὕτω χρόνον ἐννοοῦμεν. ἤτοι οὖν τοῦτό φησι, τὸ προτέρου δὲ καὶ ὑστέρου τινὸς, τουτέστιν ἔν τινι προτέρῳ, καὶ ἔν τινι ὑστέρῳ γινόμενον, τὸ γὰρ διαστῆναι τοῦτο, οὐ ἐν ἄλλῳ μέρει τὸ νῦν γίνεται, χρόνος ἐστίν. ἢ ἵνα τὸ αὐτὸ λαβῶμεν νῦν, ἑστηκὸς μὲν, δύο δὲ λόγους ἀναδεδεγμένον, τόν τε τοῦ πέρατος, καὶ τὸν τῆς ἀρχῆς. ὥστε πρότερον μέν τινος εἶναι πέρας, ὕστερον δὲ ἀρχήν. ταῦτα γὰρ ὧν ἐστι τὸ αὐτὸ νῦν πέρας καὶ ἀρχὴ, χρόνοι εἰσίν. ἁπλῶς γὰρ, τὸ ὑπὸ τοῦ νῦν ὁριζόμενον, χρόνος ἐστίν. εἴτε οὖν φησι δύο τῶν νῦν αἰσθανόμεθα, εἴτε ἑνὸς μὲν, ἄλλον δὲ καὶ ἄλλον λόγον ἀναδεχόμενον, μηδὲν γὰρ διαφερέτω, εἴτε ἄλλο καὶ ἄλλο ἐστὶ τῷ ἀριθμῷ τὸ πρότερον νῦν καὶ τὸ ὕστερον, εἴτε τὸ αὐτὸ μὲν ἐστι τῷ ἀριθμῷ, ῥυισκόμενον δὲ, ποτὲ μὲν ἐν ἄλλῳ τινὶ γίνεται, ποτὲ δὲ ἐν ἄλλῳ, καθ' ἑκάτερον οὖν τούτων ἡ τοῦ χρόνου γίνεται ἔννοια ἡμῖν. ἂν δὲ πάντη ἓν τὸ νῦν νομίσωμεν, καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ, τότε οὐκ ἴσχομεν ἔννοιαν τοῦ χρόνου. ὥσπερ οὐδὲ οἱ ἐν Σαρδοῖ καθεύδοντες. διὰ τοῦτο δὲ οὐ δοκεῖ χρόνος γεγονέναι φησὶ, διότι οὐδὲ κίνησις. οὐδὲ γὰρ παράτασις οὐδεμία. ἐν παρατάσει δὲ πᾶσα κίνησις.

ΤΟΥΤΟ γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον.

Εἰπὼν τί ἐστιν ὁ χρόνος, ὁρίζεται αὐτόν. ἀριθμὸς δὲ κινήσεως, οὐχ ὁ ἀριθμῶν αὐτήν. ἀλλὰ τὸ πρότερον καὶ ὕστερον τῆς κινήσεως ἀριθμούμενον, τοῦτό ἐστι χρόνος.

ΟΥΚ ἄρα κίνησις ὁ χρόνος. ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις.

Τὸ ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις, τουτέστιν. ἀλλ' ᾗ ἀριθμεῖται ἡ κίνησις. τὸ γὰρ ἠριθμημένον τῆς κινήσεως, τοῦτό ἐστιν ὁ χρόνος. οὐχ ᾗ κίνησίς ἐστιν, ἀλλ' ᾗ ἠρίθμηται κατὰ τὸ πρότερον καὶ ὕστερον.

ΣΗΜΕΙΟΝ δέ. τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κρίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλάττω, χρόνῳ. ἀριθμὸς ἄρα τις ὁ χρόνος.

Ὅτι ἀριθμὸς κινήσεως ὁ χρόνος, ὁ ἠριθμημένος δηλονότι, οὐχ ὁ ἀριθμῶν, τοῦτο γὰρ ἐφεξῆς δείξει, κατασκευάζει ἐν δευτέρῳ σχήματι, τούτῳ τῷ τρόπῳ. πᾶν πλεῖον καὶ ἔλαττον, ἀριθμῷ κρίνεται. τὸ πλεῖον καὶ ἔλαττον, χρόνῳ κρίνεται. τὴν γὰρ πλείονα καὶ ἐλάττονα κίνησιν χρόνῳ κρίνομεν. τὶς ἄρα ἀριθμὸς χρόνος.

ἘΠΕΙ δ' ἀριθμός ἐστι διχῶς, καὶ γὰρ τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν, ἀριθμὸν λέγομεν καὶ ᾧ ἀριθμοῦμεν. ὁ δὲ χρόνος ἐστὶ τὸ ἀριθμούμενον οὐχ ᾧ ἀριθμοῦμεν. ἔστι δὲ ἕτερον ᾧ ἀριθμοῦμεν καὶ τὸ ἀριθμούμενον.

Ἐπειδὴ εἶπεν ἀριθμὸν εἶναι κινήσεως τὸν χρόνον, πολλαχῶς δὲ ὁ ἀριθμὸς, ἀπαριθμεῖται ποσαχῶς, καὶ κατὰ ποῖον σημαινόμενον ὁ χρόνος ἀριθμός ἐστι κινήσεως. εἰπὼν δὲ διχῶς λέγεσθαι τὸν ἀριθμὸν, τρία σημαινόμενα δοκεῖ λέγειν, τὸ ἀριθμούμενον, καὶ τὸ ἀριθμητὸν, καὶ ᾧ ἀριθμοῦμεν. ἀλλὰ φαμὲν, ὅτι τὰ πρότερα δύο, καθ' ἑνὸς σημαινομένου τέθεικεν. ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ ἐνεργείᾳ, τὸ ἀριθμούμενον. τὸ δὲ ἐπὶ τοῦ δυνάμει, τὸ ἀριθμητόν. ἢ ἵνα σαφέστερον δείξῃ τί λέγει τὸ ἀριθμούμενον, ἐπήγαγε τὸ ἀριθμητόν. αὐτὸ τὸ μετρούμενον πρᾶγμα. οἷον τοὺς δέκα ἵππους. τοὺς δέκα κύνας. διχῶς οὖν τοῦ ἀριθμοῦ λεγομένου, τὸ ὡς ἀριθμούμενον, ἀριθμὸν φαμὲν εἶναι τὸν χρόνον. Ἄξιον δὲ ἀπορῆσαι, πῶς λέγοντες, συνεχῆ εἶναι τὸν χρόνον, λέγομεν πάλιν αὐτὸν εἶναι ἀριθμόν. διωρισμένον γὰρ ποσὸν ὁ ἀριθμός. ἀδύνατον δὲ τὸ αὐτὸ, συνεχές τε εἶναι, καὶ διωρισμένον. Φαμὲν οὖν, ὅτι εἰ μὲν ὁ ἀριθμῶν ἀριθμὸς ἦν ὁ χρόνος, ἀδύνατον αὐτὸν εἶναι συνεχῆ. ἐπεὶ δὲ οὐχ ὁ ἀριθμῶν ἐστιν, ἀλλ' ὁ ἀριθμούμενος, οὐδὲν κωλύει, κατ' ἄλλο μὲν εἶναι αὐτὸν συνεχῆ, κατ' ἄλλο δὲ ἀριθμόν. ᾗ μὲν γὰρ συνεχοῦς ἐστι κινήσεως μέτρον, ταύτῃ συνεχής ἐστιν. ᾗ δὲ ἔχει τὸ πρότερον καὶ τὸ ὕστερον, ταύτῃ ἀριθμός. οὐκ ἀδύνατον δὲ, οὐδὲ ἀσύνηθες, καὶ ἐπὶ τῶν συνεχῶν λέγειν τὸν ἀριθμόν. φαμὲν γὰρ τὸ ξύλον δέκα πήχεις ἔχειν, καὶ τὴν ὁδὸν δέκα σταδίους. καί τοι συνεχῆ ταῦτα. ἀλλὰ τῷ δύνασθαι ὑφ' ἡμῶν κατὰ μόρια διαιρεῖσθαι, ταύτῃ καὶ ἀριθμόν τινα αὐτῶν κατηγοροῦμεν. ὥστε φύσει μὲν ἐπὶ τούτων τὸ συνεχὲς κατηγορεῖται, θέσει δὲ καὶ ἐκ τῆς ἡμετέρας ἐπινοίας, ὁ ἀριθμός. Πάλιν ἀπορίας ἄξιον, πῶς φησι τὸν χρόνον ἀριθμὸν εἶναι, οὐχ ὡς μετροῦντα, ἀλλ' ὡς μετρούμενον. καί τοι τὴν κίνησιν, οὐδὲν ἕτερον, ἢ ὁ χρόνος μετρεῖ. μέτρον γοῦν κινήσεώς φησιν εἶναι τὸν χρόνον. Λέγω οὖν καὶ πρὸς τοῦτο, ὅτι εἰ καὶ μετρεῖν λέγεται ὁ χρόνος τὴν κίνησιν, ἀλλ' οὖν καὶ μετρεῖσθαι αὐτὸς ὑπὸ τῆς ψυχῆς. καὶ πρώτως μὲν μετρεῖσθαι. τῷ μετρεῖσθαι δὲ, καὶ αὐτὸς μετρεῖν. τὸν μέ

γέθει. εἰπὼν δὲ ὅτι ἐνταῦθα μὲν διὰ τῇ θέσει, οὐκ ἀνταπέδωκεν. ἀλλ' ὅτι μὲν καὶ ἐπὶ τῆς κινήσεως ἐστὶ τὸ πρότερον καὶ τὸ ὕστερον ἀνάλογον τῷ μεγέθει εἶπε. πῶς δὲ ἐπὶ τῆς κινήσεως τὸ πρότερον καὶ τὸ ὕστερον, οὐκ εἶπεν. ἀλλὰ κατὰ τὸ σιωπώμενον, νοεῖν ἀφῆκεν, ὅτι οὐ τῇ θέσει. οὐ γάρ ἐστιν ἐκ θέσιν ἐχόντων μορίων ἡ κίνησις. οὐ γὰρ ὑπομένει τὸ πρότερον αὐτῆς, τὸ δεύτερον. ἀλλὰ ἐν ῥύσει ἐστὶ τὸ πρότερον καὶ ὕστερον. ἀνάλογον δὲ τοῖς ἐν τῷ μεγέθει, προτέρῳ λέγω καὶ ὑστέρῳ, καὶ ἐν τῇ κινήσει εἶναί φησι ταῦτα, διότι ἡ ἐπὶ τοῦ πρώτου μορίου τοῦ μεγέθους γινομένη κίνησις, αὕτη ἐστὶ πρώτη. καὶ ἡ ἐπὶ τοῦ δευτέρου, δευτέρα. ὅτι δὲ τὸν τόπον ἀντὶ τοῦ μεγέθους εἶπεν, ἐδήλωσεν ἐξ ὧν ἐπήγαγεν.

» ΕΠΕΙ δ' ἐν τῷ μεγέθει ἐστὶ τὸ πρότερον καὶ ὕστερον, ἀνάγκη καὶ ἐν κινήσει εἶναι τὸ πρότερον καὶ ὕστερον ἀνάλογον τοῖς ἐκεῖ.

Ὅπερ εἶπεν ἄνω ἐν τόπῳ, ἐνταῦθα λέγει ἐν τῷ μεγέθει. ἴσον λέγων τῷ ὅτι τὸ πρότερον καὶ τὸ ὕστερον ἐν τῷ τόπῳ πρῶτον ὑπάρχει. τουτέστι τῷ μεγέθει. διατί δὲ ἐκ τοῦ μεγέθους φαμὲν τὴν κίνησιν ἔχειν τὸ πρότερον καὶ τὸ ὕστερον. οὐχὶ δὲ τὸ ἐναντίον, ἐκ τῆς κινήσεως καὶ τῷ μεγέθει ὑπάρχειν. ὅτι γὰρ διὰ τὴν κίνησιν, ἔχει καὶ τὸ μέγεθος τὸ πρότερον καὶ τὸ ὕστερον, δῆλον ἐντεῦθεν. εἰ γὰρ ἐπὶ τῆς αὐτῆς εὐθείας τινὰ δύο κινοῖντο, τὸ μὲν ἐκ τοῦ ἑτέρου ἄκρου ἀρξάμενον, τὸ δ' ἐκ τοῦ ἐναντίου, οὐ τὸ αὐτὸ πρῶτον ἕξει ἕκαστον τοῦ μεγέθους μόριον. ἀλλ' ἑκάστῳ τῶν κινουμένων τοῦτό ἐστι πρῶτον τοῦ μεγέθους μόριον, ὅθεν ἤρξατο ποιεῖσθαι τὴν κίνησιν. καὶ ἐπὶ τῶν κατὰ φύσιν δὲ κινουμένων, τοῦτ' ἔστιν ἰδεῖν. εἰ γὰρ λίθος μὲν φέροιτο κάτω, πῦρ δὲ ἄνω διὰ τοῦ αὐτοῦ ἀέρος, τὸ τῷ ἑτέρῳ πρῶτον τοῦ ἀέρος μόριον, τοῦτο τῷ λοιπῷ ἐστιν ἔσχατον. ὥστε ἐκ τῆς κινήσεως ὁρίζεται ἑκάστῳ τὸ πρῶτον καὶ ὕστερον. πῶς οὖν φησι πρῶτον εἶναι ἐν τῷ μεγέθει ὁ Ἀριστοτέλης, τὸ πρότερον καὶ τὸ ὕστερον. φημὶ οὖν, ὅτι τὸ εἶναι ὅλως τῇ κινήσει, διὰ τὸ μέγεθός ἐστιν. ὥστε ἐπεὶ ἀναιρεθέντος τοῦ μεγέθους, ἐξ ἀνάγκης ἀναιρεῖται καὶ ἡ κίνησις, οὐ μέντοι εἰ ἡ κίνησις ἀναιρεθείη, ἀναιρεῖται τὸ μέγεθος, ὥσπερ τὸ εἶναι ἡ κίνησις διὰ τὸ μέγεθος ἔχει, οὕτω δηλονότι καὶ τὰ ὑπάρχοντα τῇ κινήσει, διὰ τὸ μέγεθος τὸ εἶναι ἕξουσιν. ὑπάρχει δὲ αὐτῇ, τὸ πρότερον καὶ ὕστερον. καὶ ταῦτα ἄρα διὰ τὸ μέγεθος ἔχει τὸ εἶναι. διὰ τοῦτο οὖν ἴσως πρῶτον ἐν τῷ μεγέθει εἶναί φασι τὸ πρότερον καὶ τὸ ὕστερον.

» ΑΛΛΑ μὴν καὶ ἐν τῷ χρόνῳ ἐστὶ τὸ πρότερον καὶ ὕστερον, διὰ τὸ ἀκολουθεῖν ἀεὶ θατέρῳ θάτερον αὐτῶν.

Ἐπειδὴ καὶ ὁ χρόνος φησὶ τῇ κινήσει ἕπεται, καὶ ἡ κίνησις τῷ χρόνῳ, οὐκοῦν ὄντος ἐν τῇ κινήσει τοῦ προτέρου καὶ ὑστέρου, καὶ ἐν τῷ χρόνῳ ἂν εἴη τὸ πρότερον καὶ ὕστερον.

» ΕΣΤΙ δὲ τὸ πρότερον καὶ τὸ ὕστερον ἐν τῇ κινήσει, ὅ μέν ποτε ὄν, κίνησίς ἐστι. τὸ μέντοι εἶναι αὐτῷ ἕτερον καὶ οὐ κίνησις. ἀλλὰ μὴν καὶ τὸν χρόνον γε γνωρίζομεν, ὅταν ὁρίσωμεν τὴν κίνησιν τὸ πρότερον καὶ τὸ ὕστερον ὁρίζοντες. καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν.

Τοῦτό φησι τὸ πρότερον καὶ τὸ ὕστερον, ὅπερ θεωρεῖται ἐν τῇ κινήσει καὶ ἐν τῷ χρόνῳ, κατὰ μὲν τὸ ὑποκείμενον, τοῦτο γάρ φησι, τὸ ὅ μέν ποτε ὄν, οὐδὲν ἄλλο ἐστὶν, ἢ κίνησις. κατὰ μέντοι τὸν ὁρισμὸν καὶ τὴν σχέσιν, ἕτερα. ὥσπερ ἡ ἀνάβασις καὶ ἡ κατάβασις, κατὰ μὲν τὸ ὑποκείμενον, κλίμαξ ἐστί. κατὰ δὲ τὸν λόγον, ἕτερα, καὶ οὐ κλίμαξ. οὕτω δὲ καὶ τὸ πρότερον ἢ πρότερον, οὐκ ἔστι κίνησις ἐπεὶ οὐκ ἂν ἦν καὶ ἐν ἑτέροις, ἃ μὴ ἔστι κίνησις. οἷον ἐπ' ἀριθμοῖς. εἰ γὰρ καὶ ἄνευ κινήσεως, οὐ θεωροῦμεν τὸ πρότερον καὶ τὸ ὕστερον, μεταβαίνοντες γὰρ τῷ λογισμῷ ἀπὸ τοῦδε ἐπὶ τόδε, οὕτω φαμὲν, τὸ μὲν εἶναι πρότερον, τὸ δὲ ὕστερον. ἐὰν γὰρ μὴ μεταβῶμεν ἀπὸ τοῦδε ἐπὶ τόδε, οὐδὲ προτέρου καὶ ὑστέρου ἔννοιαν ἴσχομεν. ἀλλ' οὖν ἕτερόν ἐστι κινήσεως, τὸ πρότερον καὶ τὸ ὕστερον. τὸ γὰρ πρότερον καὶ ὕστερον, ἡ κίνησις ἄμφω, οὐδὲν διαφέρουσι. διαφέρουσι δὲ, τῷ τὸ μὲν προηγεῖσθαι, τὸ δὲ ἐπιγίνεσθαι. ἀλλ' ἄλλο τι ἐστὶ ταῦτα, καὶ οὐ κίνησις, ἀλλὰ οἷον πάθος τι τῆς κινήσεως. εἰ δὲ τὸ πρότερον καὶ ὕστερον μὴ ἐπὶ τῶν μορίων αὐτῆς τῆς κινήσεως λάβωμεν, ἀλλ' ἐπὶ τῶν περάτων καὶ τῶν κινημάτων, σαφέστερος ἔσται ὁ λόγος. ὅτι ἐν ὑποκειμένῳ μὲν ἐστὶν ἄμφω τῇ κινήσει, ἕτερα δὲ ὄντα αὐτῆς. ὥσπερ καὶ τὰ σημεῖα τῆς γραμμῆς, καὶ ἡ ἐπιφάνεια, τοῦ σώματος.

» ΟΡΙζομεν δὲ, τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτὰ, καὶ μεταξύ τι αὐτῶν ἕτερον. ὅταν γὰρ τὰ ἄκρα ἕτερα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον τὸ δὲ ὕστερον, τότε καὶ τοῦτό φαμεν εἶναι χρόνον.

Τὸ πρότερον καὶ τὸ ὕστερον ὁρίζοντές φησι τὸ ἐν τῇ κινήσει, οὕτως εἰς ἔννοιαν τοῦ χρόνου ἐρχόμεθα. ὄντος γὰρ καὶ ἐν αὐτῷ τοῦ προτέρου καὶ ὑστέρου ὡς εἴρηται, ὅταν τοῦτο ὁρίσωμεν, καὶ εἴπωμεν, ἄλλο μὲν εἶναι τὸ νῦν, ἐν ᾧ ἤρξατο ἡ κίνησις, ἄλλο δὲ ἐν ᾧ πέπαυται, τὸ μεταξὺ τούτων, ἕτερον ὂν παρὰ τὰ ἄκρα, τοῦτο εἶναι φαμὲν τὸν χρόνον. ὥσπερ καὶ τὸ μεταξὺ τῶν κινημάτων τοῦ τε προτέρου καὶ ὑστέρου, τοῦτο εἶναι φαμὲν κίνησιν. ὥσπερ γὰρ τὸ τοῖς σημείοις ὁριζόμενον, γραμμή ἐστι, καὶ τὸ τοῖς κινήμασι κίνησις, οὕτω καὶ τὸ τῷ νῦν ὁριζόμενον, χρόνος ἐστί.

» ΤΟ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος εἶναι δοκεῖ καὶ ὑποκείσθω.

ἐκεῖ χρόνον συναισθανόμεθα τὸν παρεληλυθότα, εὐθὺς ἐρωτώμενοι, ὅτι πολλὴν ἀνάγνωσιν ἐποιησάμεθα. πολλὰ δὲ ἐκαθεύδησαμεν, ἢ ἄλλην τινὰ κίνησιν ἐκινήθημεν.

ἘΠΕΙ δὲ τὸ κινούμενον κινεῖται ἔκ τινος εἴς τι, καὶ πᾶν μέγεθος συνεχές, ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις. διὰ γὰρ τὸ τὸ μέγεθος εἶναι συνεχές, καὶ ἡ κίνησίς ἐστι συνεχής.

Ἐλέγξας τοὺς τῶν πρεσβυτέρων περὶ χρόνου λόγους, ἐντεῦθεν βούλεται τὴν αὐτοῦ δόξαν ἐκθέσθαι. προλαμβάνει δὲ λῆμμά τι, ὅτι ἡ κίνησις συνεχής ἐστι. κατασκευάζει δὲ τοῦτο τούτῳ τῷ τρόπῳ. πᾶν τὸ κινούμενον φησὶν ἔκ τινος εἴς τι κινεῖται. τοῦτο γὰρ ἐπὶ πάσης κινήσεως ἀληθές. ἀλλ' εἰ καὶ ἐπὶ πάσης κινήσεως τοῦτο ἀληθές, αὐτὸς ὡς ἐπὶ τῆς κατὰ τόπον γυμνάζει τὸν λόγον. εἰ οὖν ἡ κατὰ τόπον κίνησις ἔκ τινος εἴς τι, ἐπὶ μεγέθους ἄρα ἡ κίνησις. εἰ γὰρ ἔκ τινος εἴς τι, ἀνάγκη τὸ μεταξὺ μέγεθος εἶναι. ὥστε ἐπὶ μεγέθους ἡ κατὰ τόπον κίνησις. πᾶν δὲ μέγεθος, συνεχές. ἐπὶ συνεχοῦς ἄρα ἡ κίνησις. τὸ δὲ ἐπὶ συνεχοῦς κινούμενον, συνεχῆ κινεῖται κίνησιν. συνεχὴς ἄρα ἡ κατὰ τόπον κίνησις. ἔστιν οὖν τὸ συνεχές, πρώτως μὲν ἐν τῷ μεγέθει, διὰ τὸ μέγεθος δὲ καὶ ἐν τῇ κινήσει. πάλιν, ἐπειδὴ ἐν τῷ συνεχεῖ ἐστι τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, διὰ τοῦτο καὶ ἐν τῇ κινήσει τὸ πρότερον καὶ τὸ ὕστερον. ὡς γὰρ ἂν ἔχῃ τὸ μέγεθος, οὕτως ἀνάγκη ἔχειν καὶ τὴν κίνησιν. ὄντος οὖν ἐν τῷ μεγέθει τοῦ προτέρου καὶ τοῦ ὑστέρου, καὶ ἐν τῇ κινήσει τοῦτο εἶναι ἀνάγκη. ἔστιν οὖν ἐν τῇ κινήσει τὸ πρότερον καὶ τὸ ὕστερον. ἐπειδὴ οὖν εἰς ἔννοιαν ἐρχόμεθα τοῦ χρόνου οὐκ ἄλλως, ἢ εἰς ἔννοιαν ἐλθόντες τῆς κινήσεως, ἔστι δὲ ἐν τῇ κινήσει ἡ μέν τις προτέρα, ἡ δὲ ὑστέρα, δῆλον ὅτι καὶ ἐν τῇ προτέρᾳ κινήσει εἰς ἔννοιαν ἐρχόμεθα τοῦ χρόνου, καὶ ἐν τῇ δευτέρᾳ. εἰ γὰρ συνάγεται τῇ ἐννοίᾳ τῆς κινήσεως ὁ χρόνος, δῆλον ὅτι καὶ ἐν τῇ προτέρᾳ κινήσει συνεπινοηθήσεται ὁ χρόνος, καὶ ἐν τῇ ὑστέρᾳ. ἔστιν ἄρα καὶ τοῦ χρόνου, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον. ὡς γὰρ ἂν ἔχῃ ἡ κίνησις, οὕτω καὶ τὸν χρόνον ἔχειν ἀνάγκη. ἀκολουθοῦσι γὰρ ἀλλήλοις ἡ κίνησις καὶ ὁ χρόνος. οὐ ταυτὸν δέ ἐστιν ἡ κίνησις, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον. κατὰ μὲν γὰρ τὸ ὑποκείμενον, τὸ ἐν κινήσει πρότερον καὶ ὕστερον, οὐδὲν ἄλλο ἐστὶν ἢ κίνησις. κατὰ δὲ τὴν σχέσιν, ἄλλο ἐστὶ τῇ κινήσει τὸ κινήσει εἶναι, καὶ ἄλλο τὸ προτέρᾳ καὶ ὑστέρᾳ. ἔστι γοῦν οὐ μόνον ἐν τῇ κινήσει τὸ πρότερον καὶ τὸ ὕστερον, ἀλλὰ καὶ ἐν ἄλλοις πάνυ. οἷον ἐν ἀριθμῷ. ἡ γὰρ μονάς, προτέρα ἐστὶ τῆς δυάδος, καὶ τὰ προοίμια τῶν διηγήσεων, καὶ τῶν συλλαβῶν τὰ στοιχεῖα. οὐ ταυτὸν ἄρα, τὴν κατὰ τόπον κίνησιν εἰπεῖν, καὶ τὸ πρότερον καὶ τὸ ὕστερον. εἰς ἔννοιαν δὲ ἐρχόμεθα τοῦ χρόνου, οὐχ ἁπλῶς ὅταν κίνησιν ἐννοήσωμεν. οὐδὲ γὰρ ἐὰν ἀλλοίωσιν ἁπλῶς νοήσω, ἢ φοράν, εὐθὺς συνεπινοῶ καὶ χρόνον. ἀλλ' ὅταν καὶ πρότερον καὶ ὕστερον τὸ ἐν τῇ κινήσει ἐννοήσω, τότε τῇ τοιαύτῃ ἐννοίᾳ, συνάγεται εὐθὺς ἡ τοῦ χρόνου ἔννοια. ὅταν γάρ φησι τὸ πρότερον καὶ ὕστερον τὸ ἐν τῇ κινήσει ἐννοήσω, τότε τὸ μεταξύ, χρόνον φαμέν. τὴν γὰρ ἀρχὴν τῆς κινήσεως ἐννοήσαντες καὶ τὸ τέλος, τὸ μεταξὺ χρόνον φαμέν. ὥστε φησίν, εἰ ὅταν ἀριθμήσωμεν τὴν κίνησιν, καὶ εἴπωμεν, τὸ μὲν εἶναι αὐτῆς πρότερον, τὸ δὲ δεύτερον, τότε καὶ χρόνον εἶναι φαμέν, ἔοικεν ὁ χρόνος ἀριθμὸς εἶναι κινήσεως, κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον. οὐ πάσης δὲ κινήσεως ἀριθμὸς ὁ χρόνος. οὐδὲ γὰρ ἀλλοιώσεως ἢ αὐξήσεως, ἀλλὰ τῆς κατὰ τόπον, καὶ ταύτης οὐ πάσης, ἀλλὰ τῆς τεταγμένης. μετρεῖ μὲν γὰρ πᾶσαν κίνησιν ὁ χρόνος. ἀλλὰ πρώτως μὲν τὴν τεταγμένην, δι' ἐκείνην δὲ καὶ τὰς λοιπάς. ἡμέρα γὰρ καὶ ὥρα καὶ μὴν καὶ ἐνιαυτός, τῇ περιόδῳ τῆς ἀπλανοῦς μετρεῖται. διὰ ταύτης δέ, καὶ ἄλλην πᾶσαν κίνησιν μετρεῖ ὁ χρόνος. ὥστε τῆς τοιαύτης κινήσεως ἀριθμός ἐστιν ὁ χρόνος. οὐκ ἄρα φησὶν ἡ κίνησις χρόνος ἐστίν, ἀλλ' ὁ τῆς κινήσεως ἀριθμός. ὅτι δὲ τοῦτό ἐστιν ὁ χρόνος, δείκνυσι δὲ καὶ ἐκ συλλογισμοῦ, τοῦτον τὸν τρόπον. πᾶν πλεῖον καὶ ἔλαττον, ἀριθμῷ κρίνεται. τὸ πλέον καὶ ἔλαττον χρόνῳ κρίνεται. τοῦτο δέ ἐστιν ἡ κίνησις. τὶς ἄρα ἀριθμός, χρόνος ἐστίν. ἐπεὶ δὲ ὁ ἀριθμὸς διττός ἐστιν, ὁ μὲν ὡς ἀριθμῶν, ὁ δὲ ὡς ἀριθμούμενος, ἐπεὶ καὶ ξέστης διττός, καὶ μέδιμνος, ὁ μὲν ὡς μετρῶν, ὁ δὲ ὡς μετρούμενος, ποῖον φαμὲν ἀριθμὸν εἶναι τὸν χρόνον, τὸν μετροῦντα, ἢ τὸν μετρούμενον. φησὶν οὖν ὅτι οὐ τὸν μετροῦντα, ἀλλὰ τὸν μετρούμενον. εἰ γὰρ ὁ μὲν ἀριθμός, ἐν τῇ ψυχῇ ἐστι τῇ ἡμετέρᾳ, ὁ δὲ χρόνος, ἔξω ἡμῶν, οὐκ ἄρα ὁ ἀριθμῶν ἐστιν ὁ χρόνος, ἀλλ' ὁ ἀριθμούμενος.

ὍΣΗ γὰρ ἡ κίνησις τοσοῦτος καὶ ὁ χρόνος ἀεὶ δοκεῖ γεγενῆσθαι.

Εἰ οὖν ἀκολουθεῖται τῇ κινήσει ὁ χρόνος, ὁπότως ὥσπερ ἂν ἔχει ἡ κίνησις, οὕτως ἔχει καὶ ὁ χρόνος. ὥστε καὶ εἰ πολλή ἐστιν ἡ κίνησις, πολὺν εἶναι καὶ τὸν χρόνον ἀνάγκη. καὶ εἰ ὀλίγη, ὀλίγον. εἰ δὲ ἔλεγεν ἔμπροσθεν, ὅτι ταχεῖαν λέγομεν κίνησιν, τὴν πολλὴν ἐν ὀλίγῳ χρόνῳ, ὡς εἶναι κίνησιν μὲν πολλήν, χρόνον δὲ ὀλίγον, οὐκ ἐναντία φησίν. οὐ γὰρ περὶ τῆς ποιᾶς τὸν χρόνον κινήσεως ἔλεγεν ἐν ἐκείνοις. ἀλλὰ τῆς τυχούσης κινήσεως. ἐνταῦθα δὲ περὶ τῆς ποιούσης τὸν χρόνον κινήσεως. ὅτι ὅση ἂν ὑπάρχῃ ἡ κίνησις, τοσοῦτον ἀνάγκη ὑπάρχειν καὶ τὸν χρόνον.

ΤΟ δὲ δὴ πρότερον καὶ ὕστερον ἐν τόπῳ, πρῶτόν ἐστιν. ἐνταῦθα μὲν δὴ τῇ θέσει.

Τὸ πρότερόν φησι καὶ τὸ ὕστερον, πρῶτόν ἐστιν ἐν τῷ τόπῳ, διὰ τὸν τόπον δὲ καὶ ἐν τῇ κινήσει. τόπον δέ φησι τὸ μέγεθος ἐφ' οὗ ἡ κίνησις. τὰ γὰρ κατὰ τόπον κινούμενα, ἐπὶ μεγέθους κινεῖται. ἀλλ' ἐπὶ μὲν τοῦ τόπου φησί, τὸ πρότερον καὶ τὸ ὕστερον κατὰ τὴν τῶν μορίων ἐστὶ θέσιν. ἐκ θέσιν γὰρ ἐχόντων μορίων τὰ με

» Ὁ δὲ χρόνος οὐχ ὥρισται χρόνῳ, οὔτε τῷ ποσός τις εἶναι, οὔτε τῷ ποιός. ὅτι μὲν τοίνυν οὐκ ἔστι κίνησις, φανερόν.

Ἡ μὲν γὰρ κίνησις καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν χρόνῳ ὥρισται. κατὰ μὲν τὸ ποσόν, ὅτι μακρὰν λέγομεν κίνησιν, τὴν ἐν πολλῷ χρόνῳ γινομένην· βραχεῖαν δέ, τὴν ἐν ὀλίγῳ. κατὰ δὲ τὸ ποιόν, ὅτι θάττονα λέγομεν κίνησιν, τὴν πολλὴν μέν, ἐν βραχεῖ δὲ χρόνῳ γινομένην· βραδεῖαν δὲ τὴν ὀλίγην ἐν πολλῷ. ὁ μέντοι χρόνος, οὔτε κατὰ τὸ ποσὸν χρόνῳ ὥρισται· οὐ γὰρ λέγομεν τὸν ἐνιαυτὸν ἐνιαυτῷ ὡρίσθαι. ἀλλ' οὐδὲ κατὰ τὸ ποιὸν ὥρισται ὁ χρόνος χρόνῳ· οὐ γάρ ἐστιν ὅλως θάττων χρόνος ἢ βραδύτερος. οὐκ ἔστι γὰρ ἡμέρα ἡμέρας ταχυτέρα, ἢ βραδυτέρα.

» ΜΗΔΕΝ δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν.

Ἐπειδὴ ὡς περὶ μεταβολῆς ἐγύμνασε τὸν λόγον, οὐ πᾶσα δὲ μεταβολὴ κίνησις, οὐ τὴν μεταβολὴν δὲ ἔλεγον εἶναι τὸν χρόνον, ἀλλὰ τὴν κίνησιν, διὰ τοῦτό φησιν, ὅτι μὴ διαφερώμεθα, εἰ ταὐτὸν ἡ κίνησις καὶ ἡ μεταβολή, εἴτε μή· ἀλλ' ὡς ταὐτὸν οὔσης κινήσεως καὶ μεταβολῆς, οὕτω χρησώμεθα τοῖς ὀνόμασι. μέλλει γὰρ ἐν τοῖς ἐφεξῆς βιβλίοις δεικνύναι, ὅτι ἐπὶ πλέον ἡ μεταβολὴ τῆς κινήσεως. ἡ γὰρ γένεσις καὶ ἡ φθορά, μεταβολὴ μέν ἐστι, κίνησις δὲ οὔ.

» ΑΛΛΑ μὴν οὐδ' ἄνευ γε μεταβολῆς.

Ὅτι δὲ καὶ μὴ ἔστι κίνησις καὶ μεταβολὴ ὁ χρόνος, ἀλλ' οὐκ ἄνευ γε κινήσεως καὶ μεταβολῆς.

» ΟΤΑΝ γὰρ αὐτοὶ μηδὲν μεταβάλλωμεν τὴν διάνοιαν, ἢ λάθωμεν μεταβάλλοντες, οὐ δοκεῖ ἡμῖν γεγονέναι ὁ χρόνος.

Τουτέστιν ὅταν κινώμεθα μέν, μὴ ἐφιστάνωμεν δὲ κατὰ τὴν διάνοιαν, ὅτι κινούμεθα, οὐ δοκεῖ ἡμῖν γεγονέναι χρόνος. ἐπειδὰν δὲ ἐπιστήσωμεν τῇ κινήσει, εὐθὺς καὶ τοῦ χρόνου ἔννοιαν λαμβάνομεν.

» ΚΑΘΑΠΕΡ οὐδὲ τοῖς ἐν Σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν, ὅταν ἐγερθῶσι· συνάπτουσι γὰρ τὸ πρότερον νῦν τῷ ὕστερον νῦν, καὶ ἓν ποιοῦσιν, ἐξαιροῦντες διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. ὥσπερ οὖν εἰ μὴ ἦν ἕτερον τὸ νῦν ἀλλὰ ταὐτὸ καὶ ἕν, οὐκ ἂν ἦν χρόνος, οὕτως καὶ ἐπεὶ λανθάνει ἕτερον ὄν, οὐ δοκεῖ εἶναι τὸ μεταξὺ χρόνος. εἰ δὴ τὸ μὴ οἴεσθαι εἶναι χρόνον τότε συμβαίνει ἡμῖν, ὅταν μὴ ὁρίσωμεν μηδεμίαν μεταβολήν, ἀλλ' ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ φαίνηται ἡ ψυχὴ μένειν, ὅταν δὲ αἰσθώμεθα καὶ ὁρίσωμεν, τότε φαμὲν γεγονέναι χρόνον, φανερὸν ὅτι οὐκ ἔστιν ἄνευ κινήσεως ὁ χρόνος. ὅτι μὲν οὖν οὔτε κίνησις, οὔτε ἄνευ κινήσεως ὁ χρόνος ἐστί, φανερόν.

Μῦθόν τινα λαμβάνει εἰς παράδειγμα. ἐλέγοντό τινες ἀρρωστοῦντες ἀπιέναι πρὸς τοὺς ἥρωας ἐν Σαρδοῖ, καὶ θεραπεύεσθαι. ἀπιόντας δὲ κοιμᾶσθαι ἐφεξῆς δύο ἡμέρας, εἶτα ἐξυπνιζομένους, νομίζειν ἐκείνην εἶναι τὴν ὥραν καθ' ἣν ἐπέστησαν τοῖς ἥρωσιν. ὥσπερ οὖν ἐκεῖνοί φησιν, οὓς ὁ μῦθός φησι, μὴ ἐφιστάνοντες ταῖς τοῦ παντὸς περιόδοις ἃς περιῆλθον οὐδὲ τοῦ παραδραμόντος χρόνου ᾐσθάνοντο, καὶ πάλιν τοῦ χρόνου μὴ αἰσθανόμενοι οὐδὲ τῆς κινήσεως ᾐσθάνοντο, ἀλλ' ᾤοντο ἓν εἶναι καὶ τὸ αὐτὸ νῦν, ὅτε ἐκάθευδον, καὶ ὅτε ἀνέστησαν, οὕτω δὴ κἂν μὴ διάφορα ἦν τὰ νῦν, ἀλλ' ἓν καὶ τὸ αὐτό, οὐκ ἂν οὐδὲ χρόνος ἦν. ὥσπερ γὰρ ἐπὶ τοῦ δοκοῦντος ἑνὸς νῦν εἶναι, οὐδὲ χρόνος εἶναι δοκεῖ οὐδὲ κίνησις, οὕτω καὶ ἐπὶ τοῦ κατὰ ἀλήθειαν ἑνός, οὔτε χρόνος ἐστίν, οὔτε κίνησις. εἰ δὲ τοῦτο οὕτως ἔχει, ἢ πάντῃ ταὐτὰ ἀλλήλοις ἐστὶν ἡ κίνησις καὶ ὁ χρόνος, ἢ τῆς κινήσεως ἐστί τι ὁ χρόνος. εἰ οὖν δέδεικται, ὅτι οὐκ ἔστι κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι τὸν χρόνον.

» ΛΗΠΤΕΟΝ δὴ ἐπειδὴ ζητοῦμεν τί ἐστιν ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεώς ἐστιν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα καὶ χρόνου.

Ἐπειδή φησι τὸ προκείμενον ἡμῖν, εὑρεῖν τί ἐστιν ὁ χρόνος, ὁ λόγος δὲ νῦν ἀνέφηνεν, ὅτι ἀνάγκη τῆς κινήσεώς τι εἶναι τὸν χρόνον, ἐντεῦθεν ἀρξάμενοι, καὶ τοῦτο λαβόντες, αὐτὸ τοῦτο ζητήσωμεν, τί τῆς κινήσεώς ἐστιν ὁ χρόνος. πότερον πάθος τι, ἢ συμβεβηκός, ἢ τι ἄλλο. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα, καὶ χρόνου. ἀναλαμβάνει γὰρ πάλιν τὸν αὐτὸν λόγον, ὅτι συνεπινοοῦνται ἀλλήλοις ἡ κίνησις καὶ ὁ χρόνος.

» ΚΑΙ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδὲν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν καὶ ὅταν γε χρόνος δοκῇ γενέσθαι τις, ἅμα καὶ κίνησίς τις φαίνεται γεγονέναι. ὥστε ἤτοι κίνησις, ἢ τῆς κινήσεώς τί ἐστι χρόνος. ἐπειδὴ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν.

Ὅτι οὐ μόνον τῇ σωματικῇ κινήσει ἐφιστάνοντες, εὐθὺς εἰς ἔννοιαν ἐρχόμεθα τοῦ χρόνου, ἀλλὰ κἂν μηδεμιᾶς σωματικῆς κινήσεως συναίσθησιν ἔχωμεν, ἠρεμῶσι δὲ πᾶσαι αἱ αἰσθήσεις, ἡ δὲ ψυχὴ μόνον τὸ φανταστικὸν ἑαυτῆς κινῇ, εὐθὺς πάλιν τῇ τοιαύτῃ κινήσει καὶ ὁ χρόνος συνεπινοεῖται. τοῦτο δὲ ἐκ τοῦ μᾶλλον δῆλον. οὕτω γὰρ συνεπινοεῖται τῇ κινήσει ὁ χρόνος, ὅτι κἂν ἔξωθεν μὲν μηδεμιᾶς αἰσθώμεθα κινήσεως, ᾗ τινι καὶ ὁ χρόνος πάντως σύνεστι, ψυχικῆς δ' οὖν μεταβολῆς αἰσθώμεθα, εὐθὺς καὶ ταύτῃ χρόνον συνεπινοήσαμεν. οὕτω συμπέφυκέ πως τῇ κινήσει ὁ χρόνος. ὥσπερ δὲ τῇ κινήσει συνεπινοεῖται καὶ χρόνος, οὕτως αὖ πάλιν καὶ τῇ ἐννοίᾳ τοῦ χρόνου καὶ ἡ τῆς κινήσεως συνεισέρχεται ἔννοια. ὡς γὰρ ἐστίν,

ἐὰν

οὔπω ᾐσθόμεθα βραχύ τι μεῖζον αὐτῆς παρεληλυθέναι. ὕστερον δέ, ἐπειδὰν αἰσθησώμεθα τῷ πλήθει τῆς ἀναγνώσεως, εὐθὺς καὶ τὸ τοῦ χρόνου ἐφιστάνομεν μῆκος. καὶ ἔμπαλιν. ἐὰν πρῶτον τῷ τοῦ χρόνου αἰσθησώμεθα μήκει, εὐθὺς καὶ τῷ τῆς κινήσεως ἐφιστάνομεν. φαμὲν γὰρ πολλὰ ἀνεγνωκέναι. καὶ γὰρ δεδαπάνηται τὸ πολὺ τῆς ἡμέρας, καὶ ἔμπαλιν φαμέν, ὡς ἔοικε πολὺν παρεληλυθέναι χρόνον. πολὺ γὰρ καὶ τὸ τῆς ἀναγνώσεως γέγονε πλῆθος. ὥστε εἰ καὶ συνεπινοοῦνται ἀλλήλοις ἡ κίνησις καὶ ὁ χρόνος, καὶ συναναιροῦνται, ἔοικέ φησιν, ἤτοι ταὐτὸν εἶναι τῇ κινήσει ὁ χρόνος, ἢ τὶ τῆς κινήσεως εἶναι. ἐπεὶ οὖν δέδεικταί φησιν, ὅτι οὐκ ἔστι κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι τὸν χρόνον. ζητητέον οὖν, τί τῆς κινήσεώς ἐστι. ταῦτα εἰπών, ἐφεξῆς πρόεισι, ζητῶν τί ποτέ ἐστιν ὁ χρόνος. Περὶ μὲν τῶν ὑπαρχόντων.

ἐκ γὰρ τῶν ὑπαρχόντων τῷ χρόνῳ ἐκινήθησαν αἱ ἔμπροσθεν ἀπορίαι. ἐκ τοῦ ἔχειν τὸ παρεληλυθός, καὶ τὸ μέλλον. ἐκ τοῦ κατὰ τὸ νῦν ἐνεστηκέναι, καὶ τῶν λοιπῶν. Τί δέ ἐστιν ὁ χρόνος. ὅ φησι, τοιοῦτόν ἐστιν. ὅτι εἰς τὸ γνῶναι τὴν οὐσίαν τοῦ χρόνου, οὐδὲν ἡμῖν αἱ τῶν παλαιῶν περὶ αὐτοῦ δόξαι προκαταβεβλημέναι συμβάλλονται. τοὐναντίον δὲ καὶ ἀδηλίαν ἡμῖν περὶ αὐτοῦ πολλὴν ἐμποιοῦσιν οὐδὲν ἧττον, ἢ αἱ περὶ αὐτοῦ νῦν ὑφ' ἡμῶν προκαταβεβλημέναι ἀπορίαι. ὡς γὰρ αὗται ἀδηλίαν ἡμῖν τῆς φύσεως αὐτοῦ ἐνεποίησαν, οὕτω καὶ τὰ περὶ τῶν ἀρχαίων εἰρημένα. ἄλλος γὰρ ἄλλο τι εἶναι αὐτὸν ἀπεφήνατο, ὧν οὐδὲν φαίνεται εἶναι ὁ χρόνος ἐκ τῶν κοινῶν περὶ αὐτοῦ ὑπολήψεων. ἡ οὖν τῆς φύσεως τοῦ χρόνου ἀδηλία ὁμοίως ἡμῖν ἐπιδίδοται ἔκ τε τῶν εἰρημένων παρὰ τῶν ἀρχαίων, καὶ ἐκ τούτων περὶ ὧν νῦν διεληλύθαμεν ἀποροῦντες. λέγει δὲ τοῦ μηδὲν ὑφεστηκέναι τοῦ χρόνου μόριον. τὸ κατὰ τὸ νῦν μόνον ὑφεστηκέναι. ἐξ ὧν συνήγετο, μή ποτε οὐδέ ἐστιν ὅλως ὁ χρόνος. εἰ οὖν τὰ ὑπάρχοντα τῷ χρόνῳ, εἰς ἀπορίαν ἡμᾶς τοῦ μηδὲ εἶναι ὅλως αὐτὸν ἐνάγουσι, πολλῷ γε δήπου μᾶλλον εἰς ἀδηλίαν ἡμᾶς ἐμβαλοῦσι, τίς ποτ' ἂν εἴη ἡ τοῦ χρόνου φύσις.

ΚΑΙ τί γε τῆς περιφορᾶς καὶ τὸ μέρος, χρόνος τίς ἐστι. περιφορὰ δέ γε οὔ. μέρος γὰρ περιφορᾶς τὸ ληφθέν, ἀλλ' οὐ περιφορά.

Εἰ γὰρ τὸ τοῦ χρόνου μέρος χρόνος, ἡ περιφορὰ δὲ χρόνος, καὶ τὸ μέρος τῆς περιφορᾶς χρόνος ἂν εἴη. τὸ δὲ μέρος τῆς περιφορᾶς, οὐ περιφορά. οὐκ ἄρα ὁ χρόνος ἡ περιφορά ἐστιν.

ΕΤΙ δ' εἰ πλείους ἦσαν οἱ οὐρανοί, ὁμοίως ἂν ἦν ὁ χρόνος ἡ ὁτουοῦν αὐτῶν κίνησις. ὥστε πολλοὶ χρόνοι ἅμα.

Τὸ ἕτερον ἐπιχείρημα. εἰ πλείους φησὶν ἦσαν οὐρανοί, ἦσαν ἂν καὶ πλείους περιφοραί. ὥστε καὶ πλείους χρόνοι. ἀλλ' ἀδύνατον. εἷς γὰρ ἂν ἦν καὶ ὁ τότε χρόνος κοινῶς πάσαις παρακολουθῶν, ὥσπερ ταῖς πλείοσι τῶν σφαιρῶν περιφοραῖς. οὐκ ἄρα ἡ περιφορὰ χρόνος.

Η δὲ τοῦ ὅλου σφαῖρα, ἔδοξε μὲν τοῖς εἰποῦσιν εἶναι ὁ χρόνος, ὅτι ἔν τε τῷ χρόνῳ πάντα ἐστὶ καὶ ἐν τῇ τοῦ ὅλου σφαίρᾳ. ἔστι δ' εὐηθικώτερον καὶ εἰρημένον, ἢ ὥστε περὶ αὐτοῦ τὰ ἀδύνατα ἐπισκοπεῖν.

Ὅτι πῶς ἔδοξεν ἡ σφαῖρα αὐτή, καὶ ἡ σωματότης τοῦ οὐρανοῦ χρόνος εἶναι, καὶ τὴν αἰτίαν ὅθεν παρελογίσθησαν, ἐπήγαγε. διότι φησὶν ὁμοίως, ἔν τε τῇ σφαίρᾳ λέγεται εἶναι τὰ πάντα. πάντων γὰρ περιεκτική. καὶ ἐν τῷ χρόνῳ. ἐντεῦθεν γὰρ ἀσυλλογίστως ἐκ δύο καταφατικῶν ἐν δευτέρῳ σχήματι συνῆγον, ὅτι ὁ χρόνος ἡ σφαῖρά ἐστιν. ἀλλὰ τὸ ἐπισκοπεῖν φησι τὰ ἑπόμενα ἀδύνατα τῇ ὑποθέσει ταύτῃ, εὔηθές ἐστιν. ἀφεῖκε δὲ ἡμᾶς ἤδη τὰ ἀκολουθοῦντα τῇ ὑποθέσει.

ΕΠΕΙ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον.

Εἰπὼν ὅτι οὔτε ἡ περιφορά ἐστιν ὁ χρόνος, οὔτε ἡ σφαῖρα, νῦν φησιν ὅτι ἐπειδὴ μάλιστα τοῖς πολλοῖς δοκεῖ ἡ κίνησις χρόνος εἶναι, τοῦτο αὐτὸ ζητητέον, εἴτε κίνησίς ἐστιν, εἴτε μή.

Η μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις, ἐν αὐτῷ τῷ μεταβάλλοντί ἐστι μόνον.

Τὸ πρῶτον ἐπιχείρημα, ὅτι οὐκ ἔστιν ἡ κίνησις χρόνος, ὅτι ἡ μὲν κίνησις, ἐν μόνῳ ἐστὶ τῷ κινουμένῳ, καὶ ἐν τῷ τόπῳ ἐν ᾧ ἂν ἡ κίνησις γίνηται. ὁ δὲ χρόνος, οὐκ ἐν μόνῳ ἐστὶ τῷ κινουμένῳ, ἀλλὰ πᾶσιν ὁμοίως παρακολουθεῖ. ὥστε ἡ κίνησις οὐκ ἔστι χρόνος.

Η οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον. ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν.

Τουτέστι, καὶ ἐν ᾧ ἂν τόπῳ κινῆται, ὁ γὰρ ἢ ἀντὶ τοῦ καὶ συνδέσμου.

ΕΤΙ δὲ μεταβολὴ μέν ἐστι θάττων καὶ βραδυτέρα, χρόνος δ' οὐκ ἔστι.

Τὸ ἕτερον ἐπιχείρημα. ἡ κίνησις, τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον. ὁ χρόνος οὐκ ἔχει τὸ θᾶττον καὶ τὸ βραδύτερον. ἡ κίνησις ἄρα οὐκ ἔστι χρόνος.

ΤΟ γὰρ βραδὺ καὶ ταχύ, χρόνῳ ὥρισται. ταχὺ μὲν γὰρ τὸ ἐν ὀλίγῳ πολὺ κινούμενον, βραδὺ δέ, τὸ ἐν πολλῷ ὀλίγον.

Ὅτι οὐκ ἔστι τὸ θᾶττον καὶ τὸ βραδύτερον ἐν τῷ χρόνῳ. τὸ γὰρ θᾶττον καὶ τὸ βραδύτερον χρόνῳ ὥρισται. θάττονα γὰρ κίνησιν φαμέν, τὴν πολλὴν ἐν ὀλίγῳ χρόνῳ γινομένην. βραδεῖαν δὲ τὴν ὀλίγην ἐν πολλῷ. ὁ δὲ χρόνος οὐχ ὁρίζεται χρόνῳ. οὐκ ἄρα τὸ θᾶττον καὶ τὸ βραδύτερον ἐν τῷ χρόνῳ.

οὐκ ἄρα ἡ περιφορὰ χρόνος. εἰ μὲν γὰρ ὡρισμένον τινὰ χρόνον ἔλεγον τὴν περιφοράν, οἷον ἡμέραν, ἢ μῆνα, δυνατὸν ἦν τὸ μέρος τῆς περιφορᾶς, μέρος εἶναι χρόνου. ἐπειδὴ δὲ ἁπλῶς τὸν χρόνον ἢ χρόνος ἐστί, περιφορὰν λέγουσιν εἶναι, συμβήσεται τὸ μέρος τῆς περιφορᾶς μὴ εἶναι χρόνον. οὐ γάρ ἐστι περιφορά, τὸ μέρος τῆς περιφορᾶς. ὥστε οὐδὲ ἡ περιφορὰ χρόνος ἂν εἴη. ἔτι φησίν, ἐὰν ὑποθώμεθα πλείονας εἶναι τοὺς οὐρανούς, περιφοραὶ μὲν πλείους ἔσονται, χρόνοι δὲ οὐ πλείους, ἀλλ᾽ εἷς καὶ ὁ αὐτὸς οὐδὲν ἧττον. οὐ γὰρ πλείους ἡμέραι ἂν ἦσαν, ἢ πλείους ἐνιαυτοί, ὁπότε καὶ νῦν τῶν σφαιρῶν πλειόνων ὄντων, περιφοραὶ μὲν πλείους εἰσί, χρόνος δὲ εἷς. οὕτως οὖν, εἰ καὶ ἦσαν ἄλλοι οὐρανοί, καὶ ἄλλοι κόσμοι, αἱ μὲν περιφοραὶ πλείους ἦσαν, χρόνος δὲ εἷς. εἰ μὲν γὰρ ἰσοταχεῖς ἦσαν πάντες οἱ οὐρανοί, μέτρον ἦν αὐτῶν ὁμοίως ὁ εἷς καὶ ὁ αὐτὸς χρόνος. ἡμέρα γάρ, καὶ μήν, καὶ ἐνιαυτός, ὁ αὐτὸς καὶ ἴσος παρὰ πᾶσιν. εἰ δὲ ἀνισοταχεῖς ἦσαν, ὑπὸ τῆς ταχυτέρας κινήσεως ἐμετροῦντο αἱ τῶν λοιπῶν οὐρανῶν κινήσεις, ὥσπερ καὶ νῦν ὑπὸ τῆς κινήσεως τῆς ἀπλανοῦς αἱ τῶν ἄλλων σφαιρῶν κινήσεις μετροῦνται. ἀεὶ γὰρ ὑπὸ τοῦ ἐλάττονος μετρεῖται τὸ μεῖζον. τὸ γὰρ δεκάπηχυ ξύλον, ὑπὸ τοῦ πήχεως μετρεῖται. καὶ ὁ πῆχυς, ὑπὸ τοῦ δακτύλου. οὕτως οὖν καὶ ἡ ταχυτέρα κίνησις, τῶν ἄλλων ἐστὶ μέτρον. ὥστε ὁ χρόνος ὁ παραμετρῶν ταύτην, ὁ αὐτὸς καὶ τῶν λοιπῶν πασῶν ἂν ἦν μέτρον. ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ περιφορὰ χρόνος, οὕτω δείκνυσιν. ὅτι δὲ οὐδὲ ἡ σφαῖρα αὕτη ἐστὶ χρόνος, οὐδὲ ἀξιοῖ ἐλέγξαι. εὔηθες γὰρ τοῦτο. καὶ ὁ συλλογισμὸς δὲ δι᾽ οὗ ἐδόκουν κατασκευάζειν, ὅτι ἡ σφαῖρα χρόνος ἐστί, προφανῶς ἀσυλλόγιστός ἐστιν. ἐκ δύο γὰρ καταφατικῶν, ἐν δευτέρῳ σχήματι πλέκεται. ἐν τῷ χρόνῳ γάρ φησι πάντα ἐστί. ἐν τῇ σφαίρᾳ τὰ πάντα ἐστίν. ἡ σφαῖρα ἄρα χρόνος ἐστί. πρῶτον μὲν γὰρ ὡς εἶπον, ἀσυλλόγιστος ἡ συμπλοκή. ἔπειτα, οὐ πάντως τὸ ἔν τινι, ἐν χρόνῳ ἐστίν. ἄλλως οὖν ἐν τῇ σφαίρᾳ τὰ πάντα ἐστί, καὶ ἄλλως ἐν τῷ χρόνῳ. ἐν γὰρ τῇ σφαίρᾳ ὡς ἐν τόπῳ τὰ πάντα ἐστίν. ἐν δὲ τῷ χρόνῳ, οὐχ ὡς ἐν τόπῳ τὰ πάντα ἐστίν. ἀλλὰ ἄλλως. ὥστε κυρίως ἂν συνάγοιτο, ὅτι ἡ σφαῖρα οὐ χρόνος, αὐτὸ τὸ ἐναντίον οὗ ἐκεῖνοι ἐβούλοντο. ἐν τῇ σφαίρᾳ τὰ πάντα ὡς ἐν τόπῳ ἐστίν. ἐν τῷ χρόνῳ τὰ πάντα οὐχ ὡς ἐν τόπῳ ἐστίν. ἡ σφαῖρα ἄρα χρόνος οὐκ ἔστιν. ὡς δὲ ἐκεῖνοι κατεσκεύαζον, ὁ μέσος ὅρος οὐχ ὡσαύτως ἔχει πρὸς τοὺς ἄκρους. δυνατὸν μὲν οὖν ἐστι καὶ συλλογιστικῶς πλέξαι ἐν τρίτῳ σχήματι. τὰ πάντα ἐν τῇ σφαίρᾳ ἐστί. τὰ πάντα ἐν χρόνῳ ἐστίν. ἡ σφαῖρα ἄρα χρόνος ἐστίν. ἀλλὰ πάλιν οὐ τὴν αὐτὴν συμπλοκὴν ὁ μέσος πρὸς τοῖς ἄκροις ἔχει, ὥσπερ εἴρηται. διὰ μὲν οὖν τὸ εὐφώρατον αὐτοῦ τοῦ δόγματος, καὶ τῆς ἐπιχειρήσεως, οὐδὲν πρὸς αὐτοὺς ὁ ἀριστοτέλης ἀντιλέγει. ἔστι δὲ εἰπεῖν πρὸς αὐτοὺς ταῦτα, ὅτι ὁ χρόνος, τὸ παρεληλυθὸς ἔχει καὶ τὸ μέλλον. ἡ δὲ σφαῖρα, οὐκ ἔχει τὸ παρεληλυθὸς καὶ τὸ μέλλον. οὐκ ἄρα ἡ σφαῖρα χρόνος. ἔτι, τοῦ χρόνου τὸ μέρος χρόνος ἐστί. τῆς δὲ σφαίρας τὸ μέρος, οὐκ ἔστι σφαῖρα. οὐκ ἄρα ἡ σφαῖρα χρόνος. ἔτι, ὁ χρόνος τῷ νῦν διαιρεῖται. ἡ σφαῖρα τῷ νῦν οὐ διαιρεῖται. ἔτι, ὁ χρόνος ἀπὸ μέρους ὑφέστηκεν. ἡ σφαῖρα ἀπὸ μέρους οὐχ ὑφέστηκεν. ἔτι, ἡ σφαῖρα σῶμά ἐστιν. ὁ χρόνος οὐκ ἔστι σῶμα. οὕτως οὖν οὐδὲ ἡ σφαῖρα χρόνος ἂν εἴη. ὅτι δὲ οὐδὲ κίνησις ἁπλῶς ἐστιν ὁ χρόνος, δείκνυσιν οὕτως. ἡ κίνησίς φησιν, ἐν μόνῳ τῷ κινουμένῳ ἐστίν, καὶ ἐν τόπῳ ἐν ᾧ κινεῖται τὸ κινούμενον. ὁ δὲ χρόνος οὐκ ἐν τῷ κινουμένῳ ἐστίν, οὐδὲ ἐν τόπῳ ἐν ᾧ ἡ κίνησις γίνεται, ἀλλὰ πανταχοῦ, καὶ πᾶσιν ὁμοίως εἷς καὶ ὁ αὐτὸς ὢν παρακολουθεῖ. οὐκ ἄρα ἐστὶν ἡ κίνησις χρόνος. οὐ γὰρ ἡ ἐμὴ κίνησις ἐν πᾶσίν ἐστιν. ἀλλ᾽ οὐδὲ ἁπλῶς ἐν πᾶσι κίνησις θεωρεῖται. τινὰ γὰρ καὶ ἠρεμεῖ. δεύτερον ἐπιχείρημα. ἡ κίνησις καὶ ἡ ἁπλῶς μεταβολή, τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον. λέγομεν γὰρ ἄλλην ἄλλης κίνησιν ταχυτέραν εἶναι, ἢ βραδυτέραν. φαμὲν γὰρ ταχεῖαν μὲν εἶναι τὴν τῆς ἀπλανοῦς κίνησιν. βραδεῖαν δὲ τὴν τοῦ κρόνου. ὁ δὲ χρόνος, οὐκ ἔχει τὸ θᾶττον καὶ τὸ βραδύτερον. οὐκ ἄρα ὁ χρόνος κίνησίς ἐστι. καὶ ὅτι μὲν ἡ κίνησις τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον, οὐδὲ ἀξιοῖ κατασκευάσαι. σαφὲς γὰρ τοῦτο, ὥσπερ εἶπον. τίς γὰρ οὐκ οἶδεν, ὅτι ἡ τῆς ἀπλανοῦς κίνησις τῶν ἄλλων ἐστὶ ταχυτέρα. καὶ μετὰ ταύτην, ἡ τῆς σελήνης. καὶ οὕτως ἄλλη ἄλλης διαφέρει, κατὰ τὸ θᾶττον καὶ τὸ βραδύτερον. καὶ ἡ ἀετοῦ γοῦν κίνησις θάττων ἐστὶ τῆς τοῦ κολοιοῦ κινήσεως. ὅτι δὲ ὁ χρόνος οὐκ ἔχει τὸ θᾶττον καὶ τὸ βραδύτερον, κατασκευάζει διά τινος τρίτου συλλογισμοῦ, οὕτω. τὸ θᾶττόν φησι καὶ τὸ βραδύτερον, χρόνῳ ὥρισται. ὁ χρόνος χρόνῳ οὐχ ὥρισται. γελοῖον γὰρ τὸ λέγειν, τὸν χρόνον χρόνῳ ὡρίσθαι. οὐκ ἄρα ὁ χρόνος τὸ θᾶττον ἔχει καὶ τὸ βραδύτερον. οὐ γάρ ἐστιν εἰπεῖν ἐνιαυτὸν ἐνιαυτοῦ θάττω εἶναι, ἢ βραδύτερον, ἢ ἡμέραν ἡμέρας, εἰ τὸ ἡμερονύκτιον λάβοις. πῶς δὲ τὸ θᾶττον καὶ τὸ βραδύτερον, χρόνῳ ὥρισται. θάττω γὰρ λέγομεν εἶναι κίνησιν, τὴν ἐν ὀλίγῳ χρόνῳ πολλὴν γινομένην. βραδεῖαν δέ, τὴν ἐν πολλῷ χρόνῳ ὀλίγην. τὸ ἄρα θᾶττον καὶ βραδύτερον χρόνῳ ὥρισται. δείξας οὖν διὰ τούτων, ὅτι οὔτε περιφορά, οὔτε σφαῖρα, οὔτε κίνησίς ἐστιν ὁ χρόνος, ἐφεξῆς φησιν, ὅτι εἰ καὶ μὴ ἔστι κίνησις ὁ χρόνος, ἀλλ᾽ οὖν οὐκ ἄνευ κινήσεώς ἐστιν. ἅμα γὰρ τῇ τοῦ χρόνου ἐννοίᾳ εὐθὺς συνεπινοεῖται καὶ ἡ κίνησις. ἐὰν γὰρ ἐννοήσωμεν τοσάσδε ὥρας, εὐθὺς καὶ τοσήνδε τοῦ παντὸς κίνησιν ἐννοοῦμεν. καὶ ἔμπαλιν, εἰ ἐννοήσαιμεν τοσόνδε κεκινημένον τὸ πᾶν, εὐθὺς καὶ χρόνον τοσόνδε συνεπινοήσαιμεν. τεκμήριον δὲ σαφέστατον, τὸ καθ᾽ ἕκαστον ἡμῖν συμβαῖνον. ἐπὶ πολὺ γὰρ πολλάκις ἀνεγνωκότες, καὶ τῇ προθυμίᾳ τοῦ πλήθους τὴν συναίσθησιν παραιρούμενοι, καὶ τὸν χρόνον εὐθὺς παραιρούμεθα. πολλάκις γάρ, τὸ πολὺ τῆς ἡμέρας δαπανήσαντες,

ΤΟ δὲ νῦν μὴ ὂν πρότερον δὲ ὄν, ἀνάγκη ἐφθάρθαι ποτέ.

Τὸ ἕτερον ἀξίωμα τοῦτ' ἐστί· δεῖ εἶναί τι τοῦ χρόνου, ἐν ᾧ εἰς τὸ μὴ ὂν ἐχώρησεν, εἴτε διὰ φθορᾶς, εἴτε μή· οὐδὲν γάρ μοι διαφέρει. τὸ γὰρ ἐφθάρθαι νῦν, ἀντὶ τοῦ μὴ εἶναι εἴρηκε.

ΚΑΙ τὰ νῦν, ἅμα μὲν ἀλλήλοις οὐκ ἔσται· ἐφθάρθαι δὲ ἀνάγκη ἀεὶ τὸ πρότερον. ἐν ἑαυτῷ μὲν οὖν ἐφθάρθαι, οὐχ οἷόν τε διὰ τὸ εἶναι τότε.

Ἐπεὶ ταῦτα, λοιπὸν ἐπάγει τὴν κατασκευήν. ἔτι δὲ ἡ ἀκολουθία τῆς λέξεως τοιαύτη· εἰ μὲν γὰρ ἀεὶ τὸ νῦν, ἕτερον δεῖ καὶ ἕτερον, ὁμολόγηται δὲ καὶ τὸ μὴ ἐνδέχεσθαι δύο ἅμα εἶναι τοῦ χρόνου μέρη, εἰ μὴ τὸ μὲν περιέχοι, τὸ δὲ περιέχοιτο, κἀκεῖνο δὲ ὁμολόγηται, ὅτι τὸ πρότερον μὲν ὄν, νῦν δὲ μὴ ὄν, ἀνάγκη ἐφθάρθαι ποτέ, εὔδηλον δήπου, ὅτι καὶ τὰ νῦν ταῦτα, ἅμα μὲν ἀλλήλοις εἶναι οὐκ ἐνδέχεται, διὰ τὸ πρῶτον ἀξίωμα· ἐφθάρθαι δὲ ἀνάγκη τὸ πρότερον, διὰ τὸ δεύτερον ἀξίωμα. ἐπεὶ οὖν ἔφθαρται, πότε ἔφθαρται, καὶ ἐν ποίῳ νῦν· ἢ γὰρ ἐν αὐτῷ, ἢ ἐν ἄλλῳ· καὶ εἰ ἐν ἄλλῳ, ἢ ἐν τῷ ἐφεξῆς, ἢ ἐν ἄλλῳ κεχωρισμένῳ· ἕκαστον δὲ τούτων ἀδύνατον.

ΕΝ ἄλλῳ δὲ νῦν ἐφθάρθαι τὸ πρότερον νῦν, οὐκ ἐνδέχεται. ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν, ὥσπερ στιγμὴν στιγμῆς.

Ἐν ἄλλῳ φησὶν, ἐν τῷ ἐφεξῆς καὶ ἐχομένῳ· ὡς γὰρ ἤδη τοῦτο λέγων, ἐπήγαγεν, ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν· δύναται, καὶ τὸ ἐν ἄλλῳ δὲ νῦν ἐφθάρθαι, περὶ τοῦ κοινοτέρου εἰρῆσθαι, ὅτι οὔτε ἐν τῷ ἐφεξῆς, οὔτε ἐν τῷ κεχωρισμένῳ· εἶτα λοιπὸν τὰ κατὰ μέρος διαιρεῖ· καὶ πρῶτον περὶ τοῦ ἐφεξῆς, διὰ τοῦ λέγειν, ἔστω γὰρ ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων τὰ νῦν· διὰ τοῦτο δὲ οὐκ εἶπεν, ὅτι ἀδύνατον ἐχόμενα εἶναι ἀλλήλων, ἀλλ' ἔστω, ἐπειδὴ οὔπω τοῦτο ἀπέδειξεν· ἀλλ' ὡς ἀποδείξων, ἀξιοῖ τέως λαβεῖν.

ΕΙΠΕΡ οὖν ἐν τῷ ἐφεξῆς οὐκ ἔφθαρται, ἀλλ' ἐν ἄλλῳ, ἐν τοῖς μεταξὺ νῦν ἀπείροις οὖσιν ἅμα ἂν εἴη· τοῦτο δὲ ἀδύνατον.

Ὅτι οὐ μόνον ἐν τῷ ἐφεξῆς οὐκ ἐνδέχεται φθαρῆναι τὸ νῦν, διὰ τὸ μηδὲν εἶναι τὸ ἐφεξῆς, ἀλλ' οὐδ' ἐν ἄλλῳ οὐδενὶ μὴ ὄντι ἐφεξῆς· ἀνάγκη γάρ φησι τῶν δύο νῦν μεταξὺ εἶναι χρόνον· ἐν παντὶ δὲ χρόνῳ ἄπειρα δεῖ τὰ σημεῖα. εἰ οὖν ἐν μηδενὶ τούτων ἔφθαρται, σύνεστι πᾶσι τούτοις· τοῦτο δὲ ἀδύνατον. εἴρηται γὰρ ὅτι δύο χρόνου μέρη ἅμα εἶναι ἀδύνατον, εἰ μὴ τὸ μὲν περιέχοι, τὸ δὲ περιέχοιτο· οὐδὲν δὲ νῦν περιεκτικόν ἐστι τοῦ ἑτέρου.

ΑΛΛΑ μὴν οὐδ' ἀεὶ τὸ αὐτὸ διαμένειν δυνατόν· οὐθενὸς γὰρ διαιρετοῦ πεπερασμένου, ἓν πέρας ἐστίν.

Ἐλέγξας, τὸ ἕτερον τμῆμα τῆς διαιρέσεως διὰ τῶν πρότερον, ὅτι οὐκ ἐνδέχεται ἄλλο καὶ ἄλλο νῦν εἶναι, ἐλέγχει καὶ τὸ λοιπὸν βούλεται, ὅτι οὐδὲ ἓν καὶ τὸ αὐτὸ ἐνδέχεται εἶναι τὸ νῦν· οὐδενὸς γὰρ διαιρετοῦ πεπερασμένου, ἓν πέρας ἐστίν· εἰ τοίνυν πέρας ἐστὶ τοῦ χρόνου τὸ νῦν, διαιρετὸς δὲ ὁ χρόνος, ἐπειδὴ καὶ συνεχής, οὐκ ἂν εἴη ἓν τὸ νῦν.

ΟΥΤΕ ἂν ἐφ' ἓν ᾖ συνεχές, οὔτε ἂν ἐπὶ πλείω· τὸ δὲ νῦν πέρας ἐστί, καὶ χρόνον ἔστι λαβεῖν πεπερασμένον.

Συνεχὲς εἶπεν ἁπλῶς ἀντὶ διαιρετόν· ἐπειδὴ τὸ συνεχὲς δεῖ τὸ διαιρετόν, καὶ τὸ διαιρετὸν οὐ πάντως καὶ συνεχές· καὶ τὸ συνεχὲς πάντως καὶ διαιρετόν. ἐφ' ἓν δὲ συνεχὲς ἡ γραμμὴ ἐπὶ μήκει· ταύτῃ δὲ μόνον καὶ διαιρετόν. ἐπὶ πλείω δέ, ἡ ἐπιφάνεια καὶ τὸ σῶμα, ἡ ἐπιφάνεια μὲν ἐπὶ δύο. τὸ σῶμα δὲ ἐπὶ τρία. ὡς δ' οὖν ἕκαστον ἔχει τὸ συνεχές, ταύτῃ καὶ τὸ διαιρετὸν ἔχει.

ΕΤΙ εἰ τὸ ἅμα εἶναι κατὰ τὸν χρόνον, καὶ μήτε πρότερον μήτε ὕστερον, τὸ ἐν τῷ αὐτῷ εἶναι καὶ ἐν ἑνὶ τῷ νῦν τουτί ἐστιν, εἰ τά τε πρότερον, καὶ τὰ ὕστερον ἐν τῷ νῦν τῳδί ἐστιν, ἅμα ἂν εἴη τὰ εἰς ἔτος γενόμενα μυριοστόν, τοῖς γενομένοις τήμερον· καὶ οὔτε πρότερον, οὔτε ὕστερον οὐθὲν ἄλλο ἄλλου. περὶ μὲν οὖν τῶν ὑπαρχόντων αὐτῷ τοσαῦτα ἔστω διηπορημένα.

Τὸ ἕτερον ἐπιχείρημα· ὅτι εἰ ἓν τὸ νῦν, ὁμόχρονα ἂν εἴη τὰ Τρωϊκὰ τοῖς νῦν οὖσιν. ἐν τῷ αὐτῷ γὰρ νῦν ἄμφω· τοιαῦτα δὲ τὰ ὁμόχρονα. ἀναιρεθήσεται οὖν τὸ πρεσβύτερον, καὶ νεώτερον.

ΤΙ δὲ ἐστὶν ὁ χρόνος, καὶ τίς αὐτοῦ ἡ φύσις, ὁμοίως ἔκ τε τῶν παραδεδομένων ἄδηλόν ἐστι, καὶ περὶ ὧν τετυχήκαμεν διεληλυθότες πρότερον. οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν· οἱ δὲ τὴν σφαῖραν αὐτήν.

Εἰπὼν δὲ ἀρχῆς, ὅτι δεῖ ἡμᾶς ζητῆσαι περὶ τοῦ χρόνου, εἴτε ἐστὶν εἴτε μή, εἶτα τί ἐστι, πρῶτον ἐπιχειρήσας μήποτε οὐκ ἔστιν ὁ χρόνος, καὶ πάνυ εὐφυῶς δὲ ἐνδόξων κατασκευάσας, ὅτι οὐκ ἔστιν, οὐκ ἔτι εἰς τὸ ἐναντίον ἐπιχειρεῖ λέγων δὴ ὅτι ἔστιν ὁ χρόνος· πάσης γὰρ ἀποδείξεως πιστοτέρα ἡ ἐνάργεια. τὰς γὰρ ἀπορίας τὰς περὶ αὐτοῦ, ἐφεξῆς ἐπιλύσεται. μέτεισι δὲ ἐπὶ τὸ ζητῆσαι τί ἐστι. καὶ δὴ τὸ ἀσφαλὲς αὐτῷ, πρότερον τὰς τῶν παλαιῶν ὑπολήψεις περὶ τοῦ χρόνου δόξας ἀναθεωρεῖ, [illegible] περὶ τοῦ χρόνου τὰς πάσας δόξας. οἱ μὲν γάρ φησι χρόνον ἐνόμισαν, τὴν περιφορὰν τοῦ παντός· οἱ δὲ τὴν σφαῖραν αὐτήν, λέγω δὲ τὴν σωματότητα τοῦ οὐρανοῦ· οἱ δὲ τὴν κίνησιν ἁπλῶς, χρόνον εἰρήκασι. πρῶτον δὲ δείκνυσιν, ὅτι οὐκ ἔστιν ἡ περιφορὰ χρόνος, οὕτως· εἰ γὰρ εἴη ἡ περιφορὰ χρόνος, ἐπειδὴ τὸ μέρος τοῦ χρόνου χρόνος ἐστί, συμβήσεται καὶ τὸ μέρος τῆς περιφορᾶς, περιφορὰν εἶναι· τοῦτο δὲ ἀδύνατον· περιφορὰ γάρ ἐστιν, ἡ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκατάστασις

ἐν ἑαυτῷ μὲν οὖν ἐφθάρθαι ἀδύνατον· ἐπεὶ ἅμα τὸ αὐτὸ ἔσται καὶ οὐκ ἔσται. τοῦτο δὲ ἀδύνατον. ἐν ἄλλῳ ἄρα. ἢ οὖν ἐν τῷ ἐφεξῆς, ἢ ἐν τῷ πορρωτέρω. ἐν τῷ ἐφεξῆς μὲν οὖν, ἀδύνατον. οὐδὲ γάρ ἐστιν ὅλως σημεῖον σημείῳ ἐφεξῆς. τοῦτο γάρ φησιν ἔστω τέως ἡμῖν ὁμολογημένον. δείκνυσι γὰρ αὐτὸ ἐν τοῖς τελευταίοις βιβλίοις ταύτης τῆς πραγματείας, ὅτι οὔτε σημεῖον σημείῳ δυνατὸν ἐφεξῆς εἶναι, οὔτε τὸ νῦν τῷ νῦν. οὐ γραμμὴν γραμμῇ, οὐκ ἐπιφάνειαν ἐπιφανείᾳ. καὶ οὐδέν γε χεῖρον δεῖξαι καὶ ἡμᾶς νῦν, ὅτι τοῦτο ἀδύνατον. εἰ γὰρ εἴησαν ἐφεξῆς ἀλλήλων δύο νῦν, ἢ δύο σημεῖα, ἢ ἐφαρμόσουσιν ἀλλήλοις, ἢ διαστήξονται ἀπ' ἀλλήλων, ἢ κατά τι μὲν ἅψονται, κατά τι δὲ διαστήξονται. ἀλλ' εἰ μὲν ἐφαρμόσουσιν, οὐκ ἔσονται δύο, ἀλλ' ἕν. εἰ δὲ διαστήξονται, οὐκ ἔσονται ἐφεξῆς ἀλλήλοις. ἐφεξῆς γάρ ἐστιν, ὡς αὐτὸς ἐν τῷ ε βιβλίῳ ὡρίσατο, ὧν οὐδὲν μεταξὺ συγγενές. πάντων δὲ δύο νῦν διεστηκότων τὸ μεταξὺ χρόνος. ἐν παντὶ δὲ χρόνῳ ἄπειρά ἐστι τὰ νῦν. μεταξὺ ἄρα τῶν δύο διεστηκότων νῦν ἔσται ἄπειρα νῦν, συγγενῆ αὐτοῖς. οὐκ ἄρα ἐφεξῆς ἀλλήλων τὰ διεστηκότα νῦν. ὥστε οὐδὲ διεστάναι ἐνδέχεται τὰ ἐφεξῆς ὄντα. εἰ δὲ κατά τι μὲν ἅψονται, κατά τι δὲ διαστήξονται, οὐκ ἔσονται ἀμερῆ. ἀδύνατον ἄρα δύο νῦν ἐφεξῆς εἶναι ἀλλήλοις. οὐκ ἄρα εἰ φθείρεται τὸ νῦν, ἐν τῷ ἐφεξῆς φθαρήσεται, ἅ γε μηδέ ἐστιν ἐφεξῆς. εἰ δὲ ἐν τῷ πορρωτέρῳ καὶ κεχωρισμένῳ, ἀνάγκη τὸ μεταξὺ τῶν δύο νῦν τούτων χρόνον εἶναι. ἐν παντὶ δὲ χρόνῳ, ἄπειρά ἐστι τὰ νῦν. πρῶτον μὲν οὖν ἀποκληρωτικὸν, ἐν τῷδε μὲν τῷ νῦν φθαρῆναι αὐτὸ, ἐν δὲ τοῖς μεταξὺ ἀπείροις οὖσι μὴ φθαρῆναι. ἔπειτα εἰ ἐν τῷ κεχωρισμένῳ νῦν ἔφθαρται, συμβήσεται εἶναι ἐν τοῖς μεταξὺ νῦν ἀπείροις οὖσι. ἀλλ' ὑπόκειται, μὴ ἐπιδιαμένειν τὸ πρότερον, γινομένου τοῦ ὕστερον. καὶ ἅμα καὶ τὸ πρότερον ἄτοπον ἀκολουθήσει, τὸ δύο χρόνους ἴσους ἅμα εἶναι. ἀδύνατον ἄρα τὸ νῦν, ἕτερον καὶ ἕτερον εἶναι. πᾶσαι γὰρ αἱ ὑποθέσεις ἐληλεγμέναι εἰσίν. ἀλλ' ἄρα μὴ ἓν καὶ ταυτόν ἐστιν ἀεὶ τὸ νῦν. ἀλλ' ἀδύνατον. οὐδὲν γάρ φησι διαστατὸν πεπερασμένον, ἑνὶ πέρατι πεπέρασται, ἀλλὰ τοὐλάχιστον δύο. ὡς ἡ γραμμὴ δύο σημείοις. τὸ δὲ νῦν, πέρας ἐστὶ τοῦ χρόνου. καὶ ὁ χρόνος διαστατός τί ἐστι, καὶ λαβεῖν ἐστι χρόνον πεπερασμένον. οἷον ἡμέραν, ἢ μῆνα. ὥστε εἰ χρόνος τις διαστατὸς ὢν, πεπερασμένος ἐστὶν, οὐδενὸς δὲ πεπερασμένου ἕν ἐστι πέρας, τὸ δὲ νῦν πέρας, οὐκ ἄρα ἓν εἶναι τὸ νῦν ἐνδέχεται. καὶ ἄλλως εἰ ἐν τῷ αὐτῷ χρόνῳ λέγομεν ταῦτα γεγενῆσθαι, τὰ ἐν τῷ αὐτῷ νῦν γινόμενα, ἓν δέ ἐστι τὸ νῦν ἐξ αἰῶνος, συμβήσεται τὰ Τρωϊκὰ καὶ τοῖς καθ' ἡμᾶς ἐν τῷ αὐτῷ χρόνῳ γεγενῆσθαι. οὐδὲν οὖν ἄλλο ἄλλου πρεσβύτερον ἔσται ἢ νεώτερον. τοῦτο δὲ ἄτοπον. οὐκ ἄρα οὐδὲ ἓν εἶναι καὶ ταυτὸν ἐνδέχεται τὸ νῦν. ὥστε οὐδὲ ὅλως αὐτὸ εἶναι ἐνδέχεται. εἰ γὰρ ὂν, ἢ ἓν ὂν καὶ ταυτὸν, ἢ ἄλλο καὶ ἄλλο. οὔτε δὲ ἄλλο καὶ ἄλλο εἶναι δύναται, οὔτε ἓν καὶ ταυτόν. ἔοικεν ἄρα μηδὲ ὅλως εἶναι. εἰ τοίνυν μηδὲ κατὰ τὸ παρεληλυθὸς, μηδὲ κατὰ τὸ μέλλον, μηδὲ κατὰ τὸ νῦν ἐστιν ὁ χρόνος, ἔοικεν ἄρα μηδὲ εἶναι ὅλως.

» ΠΡΩΤΟΝ δὲ καλῶς ἔχει διαπορῆσαι περὶ αὐτοῦ, καὶ διὰ τῶν ἐξωτερικῶν λόγων, πότερον τῶν ὄντων ἐστὶν, ἢ τῶν μὴ ὄντων. εἶτα τίς ἡ φύσις αὐτοῦ. ὅτι μὲν οὖν ὅλως οὐκ ἔστιν ἢ μόλις καὶ ἀμυδρῶς, ἐκ τῶνδέ τις ἂν ὑποπτεύσειε. τὸ μὲν γὰρ αὐτοῦ γέγονε καὶ οὐκ ἔστι, τὸ δὲ μέλλει, καὶ οὔπω ἐστίν. ἐκ δὲ τούτων καὶ ὁ ἄπειρος καὶ ὁ ἀεὶ λαμβανόμενος χρόνος σύγκειται.

Ἐξωτερικοὺς λόγους φησὶ πρὸς ἀντιδιαστολὴν τῶν ἀκροαματικῶν, καὶ ἀποδεικτικῶν, τοὺς ἐξ ἐνδόξων καὶ πιθανῶν ὡρμημένους. εἴρηται δὲ ἐν κατηγορίαις, ὅτι ἐξωτερικοί εἰσι λόγοι, οἱ μὴ ἀποδεικτικοὶ, μηδὲ πρὸς τοὺς γνησίους τῶν ἀκροατῶν εἰρημένοι, ἀλλὰ πρὸς τοὺς πολλοὺς ἐκ πιθανῶν ὡρμημένοι.

» ΤΟ δ' ἐκ μὴ ὄντων συγκείμενον, ἀδύνατον ἂν δόξειε μετέχειν ποτὲ οὐσίας.

Οὐσίας φησὶ, τουτέστιν ὑπάρξεως, καὶ τοῦ εἶναι. πῶς γὰρ τὸ ὂν, ἐκ τῶν μὴ ὄντων συγκέοιτο.

» ΠΡΟΣ δὲ τούτοις, παντὸς μεριστοῦ ἀνάγκη, ἐάνπερ ᾖ, ὅτε ἐστὶν, ἤτοι ἔνια ἢ πάντα τὰ μέρη εἶναι. τοῦ δὲ χρόνου, τὰ μὲν γέγονε, τὰ δὲ μέλλει. ἔστι δ' οὐδὲν ὄντος μεριστοῦ.

Ἄλλο ἐπιχείρημα, ὅτι οὐκ ἔστιν ὁ χρόνος. πᾶν τὸ μεριστὸν, ὅτε ἐστὶν, ἢ πάντα ἅμα τὰ μέρη ἔχει ὑφεστηκότα, ὥσπερ καὶ τὰ ζῷα καὶ τὰ φυτά. ἢ ἔνια, ὡς ὁ ἀγών. τοῦ δὲ χρόνου μεριστοῦ ὄντος, οὔτε ὅλα τὰ μέρη ὑφέστηκεν, οὔτε τινά. τό, τε γὰρ παρεληλυθὸς οὐκ ἔστι, καὶ τὸ μέλλον οὔπω ἐστίν. οὐκ ἄρα ἐστὶ χρόνος.

» ΤΟ δὲ νῦν, οὐ μέρος. μετρεῖ τε γὰρ τὸ μέρος. καὶ συγκεῖσθαι δεῖ τὸ ὅλον ἐκ τῶν μερῶν. ὁ δὲ χρόνος, οὐ δοκεῖ συγκεῖσθαι ἐκ τῶν νῦν. ἔτι δὲ καὶ τοῦτο τὸ νῦν ὃ φαίνεται διορίζειν τὸ παρελθὸν καὶ τὸ μέλλον, πότερον ἓν καὶ τὸ αὐτὸ ἀεὶ διαμένει, ἢ ἄλλο καὶ ἄλλο, οὐ ῥᾴδιον ἰδεῖν.

Ἐπειδὴ εἶπεν, ὅτι οὐχ ὑφέστηκεν ὁ χρόνος κατὰ τὰ μέρη, ὑφέστηκε δὲ τοῦ χρόνου μόνον τὸ νῦν, ἵνα μή τις εἴπῃ, ὅτι καὶ μὴν ὑφέστηκε κατὰ τὸ νῦν ὁ χρόνος, διὰ τοῦτο πρότερον μὲν δείκνυσιν, ὅτι οὐκ ἔστι μέρος χρόνου τὸ νῦν. τὸ γὰρ μέρος φησὶ, τὸ ὅλον μετρεῖ, καὶ συντίθησι τὰ μέρη τὸ ὅλον. τὸν δὲ χρόνον, οὔτε μετρεῖ τὸ νῦν, οὔτε σύγκειται ἐκ τῶν νῦν ὁ χρόνος. εἶτα δείξει ἐφεξῆς, ὅτι οὐδ' ὅλως ἐστὶ τὸ νῦν, κεχρημένος τῇ εἰρημένῃ διαιρέσει.

» ΕΙ ΜΕΝ γὰρ ἀεὶ ἕτερον καὶ ἕτερον, μηδὲν δ' ἐστὶ τῶν ἐν τῷ χρόνῳ ἄλλο καὶ ἄλλο μέρος ἅμα, ὃ μὴ περιέχει, τὸ δὲ περιέχεται, ὥσπερ ὁ ἐλάττων χρόνος ὑπὸ τοῦ πλείονος,

Τὸ ἓν τῶν ἀξιωμάτων. ὅτι ἀδύνατον ἅμα εἶναι δύο χρόνους, ἢ χρόνου μέρη, εἰ μὴ τὸ μὲν περιέχει, τὸ δὲ περιέχεται.

Τ οὔτ' ἔστιν οὐκ ἀεὶ τὸ βαρύτερον καὶ σκληρότερον· μόλιβδος γὰρ σιδήρου, βαρύτερος μὲν, μαλακώτερος δέ.

ΟΥΘ' ἁπλῶς· οὔτε ἐν τῷ μανῷ, οὔτε δυνάμει.

Α πλῶς μὲν, ὅτι οὐκ ἔστιν ἔξω τῶν σωμάτων ἀθρόον κενὸν, ὥσπερ ὑπελάμβανόν τινες τὸν ἀέρα μὴ εἶναι σῶμά τι, ἀλλὰ κενὸν· ἤγουν ὡς οἱ πυθαγόρειοι τὸ ἔξω τοῦ οὐρανοῦ· ἀλλ' οὔτε ἐν τοῖς σώμασι κενά τινα εἶναι μεγαλομερῆ, εἰς ἃ τὰ μόρια τοῦ μανοῦ σώματος συνιζάνοντα πυκνότερον ποιεῖ τὸ ὅλον· τὸ δὲ οὔτε δυνάμει, αὐτὶ τοῦ ὡς ἐγκεκραμένον· ἢ ὅτι οὐδὲ ὡς τόπον χρείαν πληροῦν· ὅπερ κενὸν μὲν ἐστιν, οὐδέποτε δὲ χωρὶς σώματος· περὶ τούτου γὰρ πλατύτερον διελέχθη, ἔνθα ἔλεγεν, ὅτι δειχθήσεται τὸ κενὸν, ὡς ἀληθῶς κενόν.

ΕΙ μή τις βούλοιτο πάντως καλεῖν κενὸν, τὸ αἴτιον τοῦ φέρεσθαι· οὕτω δὲ ἡ τοῦ βαρέος καὶ κούφου ὕλη ἡ τοιαύτη, εἴη ἂν τὸ κενόν· τὸ γὰρ πυκνὸν καὶ τὸ μανὸν, κατὰ ταύτην τὴν ἐναντίωσιν, φορᾶς ποιητικά· κατὰ δὲ τὸ σκληρὸν καὶ μαλακὸν, πάθους καὶ ἀπαθείας, καὶ οὐ φορᾶς ἀλλ' ἑτεροιώσεως μᾶλλον.

Β ἴ τις βούλοιτό φησι καινοτομεῖν τὰ ὀνόματα, καὶ κενὸν λέγειν τὸ κινήσεως αἴτιον, λέγοι ἂν ὁ τοιοῦτος τὴν ὕλην τοῦ βαρέος καὶ κούφου, κενόν· ταῦτα γὰρ κινήσεως αἴτια· κατὰ γὰρ τὸ σκληρὸν καὶ τὸ μαλακὸν, οὐ κινήσεως αἰτία ἡ ὕλη, ἀλλὰ τοῦ εὐπαθῆ ἢ δυσπαθῆ εἶναι τὰ πράγματα.

ΚΑΙ περὶ μὲν κενοῦ πῶς ἔστι καὶ πῶς οὐκ ἔστι, διωρίσθω τὸν τρόπον τοῦτον.

C τι οὐκ ἔστιν ὡς διάστημα χωριστὸν σώματος, οὔτε ἔξωθεν τῶν σωμάτων, οὔτε ἐν τοῖς σώμασι κατεσπαρμένον, εἴρηται.

ΠΕΡΙ ΧΡΟΝΟΥ.

ΕΧΟμενον δὲ τῶν εἰρημένων ἐστὶν, περὶ χρόνου ἐπελθεῖν.

Ο ὐδενὸς ἧττον τῶν προειρημένων, τοῦ φυσικοῦ ἐστι καὶ περὶ χρόνου διαλαβεῖν· καὶ γὰρ οὗτος, τῶν παρακολουθούντων ἐστὶ πᾶσι τοῖς φυσικοῖς πράγμασι· τῇ αὐτῇ δὲ πάλιν ὁδῷ καὶ ἐπὶ τούτου βαδίζει· πρότερον ζητεῖ, εἰ ἔστιν ἢ μὴ ἔστι· καὶ ἐφ' ἑκάτερα ἐπιχειρεῖν· εἶτα ἐφεξῆς τὰ ἀκόλουθα, λέγω δὴ τὸ τί ἐστι, καὶ τὸ ὁποῖον τί ἐστι· πρῶτον δὲ ἐπιχειρεῖ, ὅτι οὐκ ἔστιν ὁ χρόνος· καίτοιγε ἐναργοῦς ὄντος ὅτι ἐστὶν ὁ χρόνος, ὅμως οὐκ εὐκαταφρονήτους λόγους τίθησι, δι' ὧν πειρᾶται δεικνύναι, ὅτι οὐκ ἔστιν ὁ χρόνος· τοῦ χρόνου φησὶ, τὸ μὲν, παρελήλυθε, καὶ οὐκ ἔστι· τὸ δὲ μέλλει, καὶ οὔπω ἐστί· δύο γὰρ ταῦτα τοῦ χρόνου μέρη, τὸ παρεληλυθὸς, καὶ τὸ μέλλον· ἑκάτερον δὲ τούτων, οὐκ ἔστιν· ἐξ οὐκ ὄντων ἄρα σύγκειται ὁ χρόνος· τὸ δὲ ἐκ μὴ ὄντων συγκείμενον, οὐδὲ αὐτό ἐστι· τοῦ γὰρ ὄντος τὰ μέρη, καὶ αὐτὰ ὄντα· οὐκ ἔστιν ἄρα ὁ χρόνος· ἔτι πᾶν φησι τὸ διαστατὸν καὶ μεριστὸν, ἢ καθ' ὅλα ἅμα τὰ μόρια συνέστηκεν, ἢ κατά τινα μέρη· καθ' ὅλα μὲν, ὡς τὰ ζῷα καὶ τὰ φυτά· κατὰ μέρη δὲ, ὡς ὁ ἀγών· τὸ γὰρ πάλην ἐνεστηκέναι ἢ πυγμὴν, ὁ ἀγὼν λέγεται ἐνεστηκέναι· ὁ δὲ χρόνος διαστατὸς ὢν, οὔτε καθ' ὅλα τὰ μέρη ὑφέστηκεν, οὐ γάρ ἐστιν ὁ πᾶς ἅμα χρόνος, οὔτε δὴ κατὰ μέρος ἐστὶν ὁ χρόνος· οὔτε γὰρ τὸ παρεληλυθός ἐστιν, οὔτε τὸ μέλλον· τὸ μὲν γὰρ οὐκ ἔστι, τὸ δὲ οὔπω ἐστίν· εἰ τοίνυν μήτε καθ' ὅλον ἐστὶν ὁ χρόνος, μήτε κατὰ μόρια, ἔοικε μηδ' ὅλως εἶναι· τὸ δὲ νῦν φησιν, οὔτε χρόνος, οὔτε μέρος χρόνου, ὅπερ μόνον ὑπάρχειν δοκεῖ· τὸ γὰρ μέρος, μετρεῖ τὸ ὅλον· ἢ γὰρ τρίτον ἐστὶν, ἢ δέκατον, ἢ χιλιοστὸν, ἢ ἕτερον, ᾧ τὸ ὅλον καταμετρεῖται· τὸ δὲ νῦν οὐ μετρεῖ τὸν χρόνον· ἀδιάστατον γὰρ τὸ νῦν· οὐδὲ γὰρ σύγκειται ἐκ τῶν νῦν ὁ χρόνος· ἐπειδὴ πᾶν τὸ μεριστὸν, ἐκ μεριστῶν σύγκειται· οὐκ ἄρα μέρος τοῦ χρόνου τὸ νῦν· πολλῷ οὖν μᾶλλον, οὐδὲ χρόνος· οὐκ ἄρα οὐδὲ κατὰ τὸ νῦν ὁ χρόνος ὑφέστηκε· ταῦτα εἰπὼν, δείκνυσιν ὅτι ὅλως οὐδὲ τὸ νῦν τῶν ὄντων ἐστί· μήποτε γὰρ ὄνομα μόνον ἐστὶ τὸ νῦν, ὑπόστασιν δὲ οὐκ ἔχει· κατασκευάζει δὲ τοῦτο, δύο τινὰ λαμβάνων ἀξιώματα· ἓν μὲν, ὅτι ἀδύνατον ἅμα εἶναι χρόνους δύο, εἰ μὴ ὁ μὲν περιέχει, ὁ δὲ περιέχοιτο· φαμὲν γὰρ ἐνεστηκέναι νῦν καὶ ἐνιαυτὸν, καὶ μῆνα, καὶ ἡμέραν· ἐνιαυτὸν, διὰ τὸ λείπεσθαι τοῦ ἔτους, τλγ΄· μῆνα πάλιν· ἡμέραν, δεκάτην· ἅμα οὖν οὗτοι τρεῖς χρόνοι· ἀλλὰ περιέχει μὲν ὁ ἐνιαυτὸς, τὸν μῆνα· οὗτος δὲ τὴν ἡμέραν· ἅμα μέντοι εἶναι δύο χρόνους ἴσους, οἷον ἡμέρας δύο, ἢ μῆνας δύο, ἢ ἐνιαυτοὺς δύο, ἀδύνατον· δεύτερον δὲ, ὅτι πᾶν μὲν τὸ πρότερον ὂν, νῦν δὲ μὴ ὂν, ἐφθάρθαι ἀνάγκη· τούτοις ἐν τῇ κατασκευῇ προσχρώμενος τοῖς ἀξιώμασι, κατασκευάζει, ὅτι τὸ νῦν οὐκ ἔστιν· ἐκ διαιρέσεως δὲ πρόεισιν ὁ λόγος· τὸ γὰρ νῦν εἴ ἐστι φησὶν, ἢ ἐν ἐστι καὶ ταὐτὸν τὸ πρότερον τῷ ὕστερον, καὶ οἷον ἓν νῦν ἐστιν ἐξ αἰῶνος ῥυΐσκόμενον, καὶ τὸ αὐτὸ ἀεὶ πᾶσι παρὸν, ἢ ἕτερον καὶ ἕτερον· καὶ εἰ ἕτερον, ἢ ἐπιδιαμένει τὸ πρότερον, τοῦ ὕστερον ἐπιγενομένου, ἢ οὐκ ἐπιδιαμένει· ἀλλὰ φθείρεται· καὶ εἰ φθείρεται, ἔν τινί γε φθείρεται πάντως· ἢ τοίνυν ἐν ἑαυτῷ, ἢ ἐν ἄλλῳ· καὶ εἰ ἐν ἄλλῳ, ἢ ἐν τῷ ἐφεξῆς ἑαυτοῦ νῦν ἔφθαρται, ἢ ἐν τῷ πορρωτέρω· πέντε οὖν τῶν ὅλων τμημάτων ἐκ τῆς διαιρέσεως γενομένων, ἐὰν δειχθῇ, ὅτι οὐδὲν αὐτῶν δυνατοῦ ὑποστῆναι, πρόδηλον ἂν εἴη, ὅτι τὸ νῦν οὐδαμῶς ἐστιν· ὅτι μὲν οὖν οὐκ ἔστιν ἕτερον τὸ πρότερον νῦν τοῦ ὑστέρου, τοῦτο γὰρ πρότερον γυμνάζει τὸ τμῆμα τῆς διαιρέσεως, δείκνυσιν οὕτως· εἰ γὰρ ἕτερον εἴη τὸ πρότερον τοῦ ὑστέρου, ἢ ἐπιδιαμένει τὸ πρότερον ἐπιόντος τοῦ ὑστέρου, ἢ οὐκ ἐπιδιαμένει· εἰ μὲν οὖν ἐπιδιαμένει, συμβήσεται δύο χρόνους ἴσους ἀλλήλοις ἅμα εἶναι· τοῦτο δὲ ἀδύνατον· εἴπομεν γὰρ ὡς ἀδύνατον εἶναι δύο χρόνους ἅμα ἀλλήλοις, εἰ μὴ ὁ μὲν περιέχοι, ὁ δὲ περιέχοιτο· οὐκ ἐπιδιαμένει οὖν τὸ πρότερον νῦν, τοῦ ὑστέρου γενομένου· εἰ δὲ μὴ ἐπιδιαμένει, πᾶν δὲ ὃ πρότερον μὲν ἦν, νῦν δὲ οὐκ ἔστι, τοῦτο ἐφθάρθαι ἀνάγκη, ἔφθαρται ἄρα τὸ πρότερον νῦν· ἀλλ' εἰ ἔφθαρται, ἢ ἐν ἑαυτῷ ἔφθαρται, ἢ ἐν ἄλλῳ.

οὐδὲ τελείως ἀποφράττουσιν· ἀλλ᾽ ἐῶσι διέξοδον τῷ πνεύματι. σαφέστερον δὲ, καὶ τὸ τῆς ἐμπνευματώσεως τῆς τροφῆς· εἰς μείζονα γὰρ ὄγκον προφανῶς ἐμπνευματωθεῖσα ἡ τροφὴ μεταβάλλεται· συναισθανόμεθα γοῦν τοῦ ὄγκου, καὶ τῆς διαστάσεως τῆς γαστρός. ὅτι μὲν οὖν οὐκ εἰς ἰσόογκα γίνεται ἡ μεταβολὴ τῶν σωμάτων, πρόδηλον. τὸ δὲ λέγειν, ὅτι ἐμοῦ ἐνταῦθα ἐξατμίσαντος ὀλίγον ὕδωρ ἢ ἔλαιον, ἐξ ἀνάγκης ἀλλαχοῦ τοσοῦτος ἀὴρ μεταβάλλει εἰς ὕδωρ, πλάσματι ἔοικεν. πῶς δὲ οὐκ ἄλογον, τὸ διὰ τὸ ἐμὲ ἐξατμίσαι ὀλίγον ὕδωρ, τὸν ὅλον ἀέρα κινηθῆναι, ἵνα καταλάβῃ τὸν τόπον τοῦ ἀλλαχοῦ ἀέρος μεταβάλλοντος εἰς ὕδωρ. τοῦτο οὖν τέως ἠπορήσθω, μέχρις ἂν λύσεως τῆς δεούσης τύχῃ.

» Ἡμεῖς δὲ λέγομεν ἐκ τῶν ὑποκειμένων· τουτέστι τῶν ἐν πρώτῳ λόγῳ ἀποδεδειγμένων, ὅτι μία ἐστὶν ἡ ὑποκειμένη τοῖς ἐναντίοις ὕλη· καὶ ὅτι δυνάμει οὖσα ὄν, τὸ γὰρ εἶδος τὸ ὄν, γίνεται ὂν ἐνεργείᾳ· ἑτέρα μὲν οὖσα κατ᾽ οὐσίαν πάντων τῶν ὄντων, λέγω δὴ τῶν εἰδῶν· οὐδέποτε μέντοι ἐκτὸς εἴδους οὖσα.

» ΕΣΤΙ δὲ καὶ σώματος ὕλη καὶ μεγάλου καὶ μικροῦ, ἡ αὐτή. δῆλον δέ· ὅταν γὰρ ἐξ ὕδατος ἀὴρ γένηται, ἡ αὐτὴ ὕλη οὐ προσλαβοῦσα ἄλλο τι ἐγένετο, ἀλλ᾽ ὃ ἦν δυνάμει, ἐνεργείᾳ ἐγένετο. καὶ πάλιν ὕδωρ ἐξ ἀέρος ὡσαύτως, ὁτὲ μὲν εἰς μέγεθος ἐκ μικρότητος, ὁτὲ δὲ εἰς μικρότητα ἐκ μεγέθους.

Ὅτι οὐ μόνον τῶν ἐναντίων ἡ αὐτὴ ὕλη, ἀλλὰ καὶ σώματος· καὶ ἐπειδὴ μεταβάλλουσι κατὰ τοὺς ὄγκους, ποτὲ μὲν μείζονα, ποτὲ δὲ ἐλάττονα γινόμενα· καὶ τοῦ μεγάλου φησὶ καὶ τοῦ μικροῦ, ἡ αὐτὴ ὕλη ἐστί, μεταβάλλουσα εἰς ἑκάτερον. τεκμήριον δὲ τούτου φησὶν, ὅτι ἐν τῇ μεταβολῇ τῶν σωμάτων, οὐδὲν ὁρῶμεν οὔτε τῷ μείζονι γινομένῳ ἔξωθεν προσγινόμενον, οἷον ὅταν ὕδωρ ἀὴρ γένηται, οὔτε τοῦ γινομένου ἐλάττονος ὑφαιρούμενόν τι.

» ΟΜΟΙΩΣ τοίνυν καὶ ἂν ἀὴρ πολὺς ὢν, ἐν ἐλάττονι γένηται ὄγκῳ, καὶ ἐξ ἐλάττονος μείζων, ἡ δυνάμει οὖσα γίνεται ὕλη ἄμφω. ὥσπερ γὰρ καὶ ἐκ ψυχροῦ θερμὸν, καὶ ἐκ θερμοῦ ψυχρὸν, ἡ αὐτὴ ὅτι ἦν δυνάμει, οὕτω καὶ ἐκ θερμοῦ μᾶλλον θερμὸν, οὐδενὸς γινομένου ἐν τῇ ὕλῃ θερμοῦ, ὃ οὐκ ἦν θερμὸν, ὅτε ἧττον ἦν θερμόν.

Ὅτι οὐ μόνον ὅταν παντελὴς ᾖ ἡ μεταβολὴ, τοῦτο συμβαίνει, ἀλλὰ καὶ ὅτε τὰ αὐτὰ μᾶλλον καὶ ἧττον γίνεται. οἷον ἐκ μανοτέρου ἀέρος, ἧττον μανός· καὶ ἐκ θερμοῦ, ἧττον θερμός· κἀνταῦθα γὰρ ἡ ὕλη δυνάμει οὖσα, μεταβάλλει εἰς ἑκάτερον.

» ΩΣΠΕΡ γε οὐδ᾽ ἡ τοῦ μείζονος κύκλου περιφέρεια καὶ κυρτότης, ἐὰν γένηται ἐλάττονος κύκλου, ἡ αὐτὴ οὖσα, ἢ ἄλλη, ἐν οὐδενὶ γέγονε τὸ κυρτὸν ὃ ἦν οὐ κυρτὸν, ἀλλ᾽ εὐθύ.

Πάνυ ἐναργὲς τὸ παράδειγμα· ὅταν γὰρ τὸ ἧττον κυρτὸν μᾶλλον κυρτὸν γένηται, οὔτε ἔξωθεν κυρτά τινα μόρια ἐν αὐτῷ γέγονεν, οὔτε ἦν τι ἐν αὐτῷ, ὃ πρὸ τούτου μὴ ὂν κυρτὸν, ἀλλ᾽ ὁμαλὸν εὐθὺς, ὕστερον γέγονε κυρτόν. ἀλλ᾽ ὁμαλῶς καὶ πρὸ τούτου κυρτὸν ἦν, καὶ ὕστερον μᾶλλον κυρτὸν γέγονεν.

» ΟΥ γὰρ τῷ διαλείπειν, τὸ ἧττον, ἢ τὸ μᾶλλον ἐστίν, οὐδ᾽ ἔστι τῆς φλογὸς λαβεῖν τι μέγεθος, ἐν ᾧ οὐ καὶ λευκότης καὶ θερμότης ἔνεστιν. οὕτω τοίνυν καὶ ἡ προτέρα θερμότης τῆς ὕστερον. ὥστε καὶ τὸ μέγεθος καὶ ἡ μικρότης τοῦ αἰσθητοῦ ὄγκου οὐ προσλαβούσης τι τῆς ὕλης ἐπεκτείνεται, ἀλλ᾽ ὅτι δυνάμει ἐστὶν ἡ ὕλη ἀμφοῖν. ὥστε ἐστὶ τὸ αὐτὸ πυκνὸν καὶ μανὸν, καὶ μία ὕλη αὐτῶν. ἔστι δὲ τὸ μὲν πυκνὸν, βαρύ· τὸ δὲ μανὸν, κοῦφον.

Ὅτι κἂν ἡ αὐτὴ περιφέρεια ἐκ τοῦ ἧττον κυρτοῦ μᾶλλον κυρτὴ γένηται, ἤ γοῦν ἄλλη περιφέρεια γένηται ἄλλη περιφέρεια μᾶλλον κυρτὴ, τὸ αὐτὸ γίνεται. οὐδὲ γὰρ τῷ εἶναι διάλειμμά τι ἐν ταῖς περιφερείαις, ὃ πρότερον οὐκ ἦν κυρτὸν, οὕτω γίνεται μᾶλλον κυρτόν. ἀλλ᾽ ὁμαλῶς καὶ πρότερον ὅλη οὖσα ἧττον κυρτὴ, ὕστερον πάλιν ὁμοιομερῶς μετέβαλε καὶ γέγονε μᾶλλον κυρτή. τὸ γὰρ ἧττον κυρτὸν, οὐ τῷ ἔχειν διαλείμματά τινα ἃ μή ἐστι κυρτὰ, ἧττον κυρτὸν λέγεται, ἀλλὰ τῷ ὑφειμένως κεκάμφθαι ὅλον δι᾽ ὅλου.

» ΕΤΙ ὥσπερ ἡ τοῦ κύκλου περιφέρεια συναγομένη εἰς ἔλαττον, οὐχ ἄλλο τι λαμβάνει τὸ κοῖλον, ἀλλ᾽ ὃ ἦν συνήχθη, ὅπου καὶ τοῦ πυρὸς ὅ, τι ἄν τις λάβοι πᾶν ἐστὶ θερμὸν, οὕτω καὶ τὸ πᾶν συναγωγῇ καὶ διαστολῇ τῆς αὐτῆς ὕλης.

Ταὐτὰ πάλιν ἐν τούτοις λέγει· ὅθεν ἀπὸ ταύτης τῆς ῥήσεως ἧς προεθέμεθα, ἕως τοῦ συναγωγῇ καὶ διαστολῇ τῆς αὐτῆς ὕλης, νοθεύουσιν οἱ ἐξηγηταί. ἴσως δὲ ἐπανάληψίς ἐστιν.

» ΔΥΟ γάρ ἐστιν ἐφ᾽ ἑκατέρου τοῦ τε πυκνοῦ καὶ τοῦ μανοῦ. τό, τε γὰρ βαρὺ καὶ τὸ σκληρὸν, πυκνὰ δοκεῖ εἶναι· καὶ τἀναντία, μανὰ τό, τε κοῦφον καὶ τὸ μαλακόν.

Τοῦτο συνεχές ἐστι τῷ αὐτῷ· ἐπεὶ γὰρ, ἐστὶ δὲ τὸ μὲν πυκνὸν, βαρὺ, τὸ δὲ μανὸν κοῦφον, ἐπάγει τὸ, δύο γάρ ἐστιν ἐφ᾽ ἑκατέρου. τουτέστιν ἐξ ἑκατέρου, τοῦ τε μανοῦ, καὶ τοῦ πυκνοῦ, δύο ποιότητες γίνονται. τῷ μὲν γὰρ μανῷ παρακολουθεῖ τὸ κοῦφον καὶ τὸ μαλακόν. τῷ δὲ πυκνῷ, τὸ βαρὺ καὶ τὸ σκληρόν.

» ΔΙΑΦΩΝΕΙ δὲ τὸ βαρὺ καὶ τὸ σκληρὸν ἐπὶ μολίβδου καὶ σιδήρου. ἐκ δὴ τῶν εἰρημένων φανερὸν, ὡς οὔτ᾽ ἀποκεκριμένον ἐστὶ κενόν.

ἀλλ᾽ ἡ ὕλη ἀμφοῖν δυνάμει οὖσα ἑκάτερον, οὕτως ἐνεργείᾳ γίνεται, ὥσπερ ἄπειρον καὶ ἐπὶ τῆς τοῦ κύκλου περιφε-
ρείας ἧττον κυρτῆς ἢ μᾶλλον γινομένης συμβαίνει. ὥσπερ δὲ ἄλλαις ποιότησιν ἄλλαι πολλάκις ἕπον-
ται, οἷον τῇ ψυχρότητι ἡ πύκνωσις, ἡ τῇ ὑγρότητι ἡ λευκότης, ἢ θερμότητι, ἢ ξηρότητι, οὕτω φησὶ, καὶ τῇ μὲν μα-
νώσει ἕπεται ἡ κουφότης, τῇ δὲ πυκνώσει ἡ βαρύτης. αὗται μὲν οὖν, ἡ βαρύτης λέγω καὶ ἡ κουφότης, πάν-
τως ἕπονται, ἡ μὲν τῇ μανώσει, ἡ δὲ τῇ πυκνώσει. καὶ ἄλλαι δὲ δύο ἕπονται ταύταις φησὶν ὡς ἐπὶ τὸ πο-
λύ. τῇ μὲν πυκνώσει, τὸ σκληρόν. τῇ δὲ μανώσει, τὸ μαλακόν. ἀλλ᾽ οὐκ ἐπὶ πάντων φησίν. ἐπὶ γὰρ σιδήρου
καὶ μολίβδου διαφωνεῖ. ὁ μὲν γὰρ μόλιβδος πυκνὸς ὢν, μαλακός ἐστιν. ὁ δὲ σίδηρος, μανότερος μὲν τοῦ μο-
λίβδου. σκληρότερος δέ. ὥστε τῇ μανώσει καὶ τῇ πυκνώσει δύο ἑκατέρᾳ ποιότητες ἕπονται. τῇ μὲν μα-
νώσει, ἀεὶ μὲν τὸ κοῦφον, ὡς ἐπὶ τὸ πολὺ δὲ καὶ τὸ μαλακόν. τῇ δὲ πυκνώσει, ἀεὶ μὲν τὸ βαρὺ, ὡς ἐπὶ
τὸ πολὺ δὲ καὶ τὸ σκληρόν. ταῦτα δὲ ἐπὶ πολλῶν εἶπεν ὁ ἀριστοτέλης. ἐπειδὴ γὰρ διὰ τοῦτο ἔλεγον ἐκεῖ-
νοι, τὸ μανὸν κοῦφον εἶναι, διότι κενὰ ἔχει πλείονα καταπεπαρμένα, ταῦτα γὰρ αἴτια εἶναι τῆς ἐπὶ τὸ
ἄνω φορᾶς, διὰ τοῦτο αὐτός φησιν ὅτι τῇ μὲν μανώσει κουφότης ἕπεται, τῇ δὲ πυκνώσει βαρύτης. ὧν ἡ
μὲν κουφότης, αἰτία τῆς ἐπὶ τὸ ἄνω φορᾶς. ἡ δὲ βαρύτης, τῆς ἐπὶ τὸ κάτω. ὥστε φησὶν, ὅτι μὲν κενὸν
οὐκ ἔστιν, οὔτε κεχωρισμένον, οὔτε καταπεπαρμένον ἐν τοῖς σώμασιν, ἱκανῶς δέδεικται. εἰ δέ τινι φησὶ φίλον,
τὸ κινήσεως ἁπλῶς αἴτιον, τοῦτο κενὸν καλεῖν, καλείτω οὗτος βαρύτητα καὶ κουφότητα τὸ κενὸν, μᾶλ-
λον δὲ τὴν ὕλην τὴν τούτων δεκτικήν. ἡ μὲν οὖν κουφότης φησὶ καὶ ἡ βαρύτης, κινήσεως αἰτία ἐστὶ τοῖς
σώμασι. σκληρότης δὲ καὶ μαλακότης, πάθους καὶ ἀπαθείας. τὰ μὲν γὰρ μαλακὰ, εὐπαθέστερα. τὰ δὲ
σκληρὰ, δυσπαθέστερα. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης. ἐκ τούτων δὲ, ἐπιλελυμέναι ἂν εἶεν αἱ ἀπο-
ρίαι. καὶ ὅτι κίνησις ἔσται καὶ κενοῦ μὴ ὄντος, προφανές. ἀντιπεριΐσταται γὰρ τῷ κινουμένῳ ὁ ἀὴρ καὶ τὸ
ὕδωρ. ἐκεῖνοι δὲ, μήπω ἐπιστήσαντες τῇ ἀντιπεριστάσει τῶν σωμάτων, ἠπόρουν πῶς ἂν κίνησις γένοιτο
κενοῦ μὴ ὄντος. ὠθούμενον γὰρ ὑπὸ τοῦ κινουμένου τοῦ ἔμπροσθεν, κυμαίνειν ἀνάγκη τὸν οὐρανόν. εἰ τοίνυν
ἀντιπεριΐσταται ἀλλήλοις τὰ σώματα, καὶ κίνησις ἔσται δηλονότι, καὶ οὐ κυμανεῖ ὁ οὐρανός. λείπεται δὲ
τὸ ἐπὶ τῶν σωμάτων τῶν ἐξ ἐλάττονος εἰς μείζονα σώματα μεταβαλλόντων. οἷον ἐξ ὕδατος εἰς ἀέ-
ρα. φασὶν οὖν ἐπειδὴ μάνωσις καὶ πύκνωσις γίνεται κατὰ μεταβολὴν τῶν σωμάτων, καὶ οὐ τῷ εἰς τὰ
κενὰ χωρεῖν, ὅταν ἐξ ὕδατος ἀὴρ γίνηται, πιλεῖται ὁ ἔξωθεν ἀὴρ, ὠθούμενος ὑπὸ τοῦ γινομένου. καὶ
τῇ ὠθήσει πυκνοῦται. πυκνούμενος δὲ, ἐλάττονα κατέχει τόπον. καὶ οὕτως, οὔτε δύο σώματα ἐν τῷ
αὐτῷ γίνεται, οὔτε τὸ πᾶν κυμαίνει, ἀλλὰ τὸ αὐξῆσαν σῶμα γέγονεν ἐν τῷ τόπῳ τοῦ μανωθέντος.
τοῦτο δὲ πολλὴν ἀπορίαν ἔχειν μοι φαίνεται. τίνι γὰρ λόγῳ ὤθησις πυκνοῖ, συνιδεῖν οὐκ ἔχω. ἡ μὲν γὰρ
ὤθησις, κινεῖ τὸ ὠθούμενον. ἡ κίνησις δὲ, θερμαίνειν πέφυκε. τὸ δὲ θερμαινόμενον μανοῦται. πῶς οὖν
οἷόν τε πύκνωσιν ὑπὸ τῆς ὠθήσεως γενέσθαι. τοὐναντίον γὰρ ἐκ τοῦ λόγου, μανώσεως μᾶλλον αἰτία, οὐ
πυκνώσεως φαίνεται. ἄλλως τε ἐν θέρους ὥρᾳ, πολλοῦ ὄντος τοῦ καύματος, καὶ τοῦ ἀέρος λεπτομε-
ρεστάτου ὄντος, πῶς οὐ γελοῖον τὸ λέγειν, ὅτι τὸ ἐξατμιζόμενον ὑπ᾽ ἐμοῦ ὕδωρ, ὅταν ἀτμὶς γίνηται,
ἢ καὶ ἀὴρ, ὠθεῖ τὸν ἔξωθεν ἀέρα καὶ πυκνοῖ. πῶς δὲ οὐ τοὐναντίον, ἡ ἀτμὶς ὁμιλήσασα τῷ περιέχοντι
πολλῷ μᾶλλον λεπτυνεῖται ὑπὸ τῆς τῶν ἀκτίνων παραφίψεως. ἄλλως τε ἐπειδὴ ἐν τῷ θέρει μάλι-
στα τὸ ὕδωρ ἐξατμίζεται καὶ εἰς ἀέρα μεταβάλλει, εἰ ταύτῃ τόπος ἐγίνετο τῷ ἀέρι τῷ ἐξ ὕδατος μετα-
βάλλοντι τῷ ὠθεῖσθαι τὸν ἔξωθεν καὶ πυκνοῦσθαι, ἔδει μᾶλλον πυκνοῦσθαι τὸν ἀέρα ἐν τῷ θέρει.
πολὺ γὰρ κατ᾽ ἐκεῖνον τὸν καιρὸν μεταβάλλει εἰς ἀέρα ὕδωρ. ὥστε πυκνότερος ἔμελλεν ὁ ἀὴρ εἶναι ἐν
θέρει, ἢ ἐν χειμῶνι. εἰ γὰρ ἀληθὴς οὗτος ὁ λόγος, ἀλείφθω μοι ἡ χειμερινὴ τοῦ ἀέρος σύστασις. εἶτα ἀρχέσθω
τὸ ὕδωρ κατὰ τὸν τοῦ ἀέρος καιρὸν καὶ τὸν τοῦ θέρους, μεταβάλλειν εἰς ἀέρα. ἀνάγκη δήπου, ὅσῳ ἂν
πλείων ἡ μεταβολὴ γίνηται, πλέον τὸν ἔξωθεν πυκνοῦσθαι ἀέρα. ὥστε συμβήσεται, τὸν τοῦ θέρους ἀέ-
ρα πυκνότερον εἶναι τοῦ ἐν τῷ χειμῶνι ἀέρος. τοῦτο δὲ ἄλογον. οὐκ ἄρα ὅταν ὕδωρ εἰς ἀέρα μεταβάλ-
λῃ, πυκνοῖ τὸ γινόμενον σῶμα τῇ ὠθήσει, τὸν ἔξωθεν ἀέρα, καὶ ταύτῃ τόπον ἑαυτῷ ποιεῖ. ἡ οὖν εἰς ἰ-
σόογκα μεταβάλλουσι τὰ στοιχεῖα, ἢ δεῖ νοεῖν, ὅτι ὅσον ἐνταῦθα ὕδωρ μεταβάλλει εἰς ἀέρα, τοσοῦτος
ἀλλαχοῦ ἀὴρ εἰς ὕδωρ μεταβάλλει. ἀλλὰ τὸ μὲν, ἀδύνατον. τὸ δὲ, πλασματῶδες. ὅτι μὲν γὰρ τὸ ὕ-
δωρ εἰς ἀέρα μεταβάλλον, εἰς μείζονα ὄγκον μεταβάλλει, ἡ αἴσθησις μαρτυρεῖ. οἱ πίθοι γὰρ καὶ οἱ ἀ-
σκοὶ τοῦ γλεύκους ῥήγνυνται, τοῦ οἴνου εἰς πνεῦμα μεταβάλλοντος, καὶ μὴ ἔχοντος ἐν τῷ ἀσκῷ χώ-
ραν. καὶ ἡ λιγνὺς δὲ καὶ ὁ καπνὸς, πολλῷ πλείων ἐστὶ τοῦ ὄγκου τοῦ ξύλου καὶ τοῦ ἐλαίου. οὐ γὰρ
ὥς τινές φασι, κονιορτοῦ δίκην σκεδαννύμενος ὁ καπνὸς, πλείονα τόπον κατέχει τοῦ γεννήσαντος
σώματος, οὐχ ὡς μείζων τὸν ὄγκον ὢν, ἀλλ᾽ ὡς οὐ συνεχής. τοῦτο γὰρ ἐναργῶς ψεῦδος. μάλι-
στα μὲν γὰρ οὐ τοσαύτη ἐστὶν ἡ ἀναλογία τοῦ κονιορτοῦ συνηγμένου καὶ ἐσκεδασμένου, ὅση ἡ τοῦ
καπνοῦ καὶ ἡ τῆς γεννησάσης αὐτὸν οὐσίας. ἔπειτα δὲ καὶ ἐκ τῶν ὁμολογημένων καὶ τοῦτο ἐλέγ-
χομεν. πόθεν ἐρρήγνυντο οἱ πεπληρωμένοι τοῦ γλεύκους πίθοι καὶ ἀσκοὶ, εἰ μὴ τὸ γινόμενον ἐκ τοῦ γλεύ-
κους πνεῦμα, μεῖζον ἦν κατὰ τὸν ὄγκον, τοῦ γεννήσαντος σώματος. ὅθεν οὐδὲ μεστοὺς εἰώθασι πληροῦν τοὺς
ἀσκοὺς ἢ τοὺς πίθους τοῦ γλεύκους, διὰ τὸ ἔχειν χώραν τὸ γινόμενον πνεῦμα. τῶν δὲ πίθων τὰ στόματα,

εἰ καὶ ἔχει ἰδίαν ὑπόστασιν τὸ κενόν, ἀλλ' οὖν οὐδέποτε ἐστὶν ἐκτὸς σώματος. ὑγρὸς γὰρ ὢν ὁ ἀὴρ καὶ εὐείκτως οὐ συγχωρεῖ ποτὲ κενὴν καταλειφθῆναι χώραν, ἀλλὰ θᾶττον ἀντιμεθίσταται τοῖς σώμασι, πρὶν ὑπολειφθῆναι τὸ κενόν. ταῦτα μὲν οὖν ἱκανῶς ἐπὶ τοσοῦτον. εἰ δέ τις ἐπιζητοίη καὶ τῆς τῶν ἀνομοιοσχημόνων διαφόρου κινήσεως τὰς αἰτίας, ποίῳ λόγῳ ἐπὶ κενοῦ γινομένης τῆς κινήσεως, θᾶττον κατενεχθήσεται τὸ σφαιρικὸν τοῦ πλατέος, φήσομεν ὅτι ἐπὶ μὲν σωμάτων γινομένης τῆς κινήσεως ἀληθές ἐστι, καὶ τὸ ἰσόρροπον βάρος πλατὺ ὄν, βραδύτερον καταφέρεται διὰ τὸ ὑπὸ πλείονος ἀνέχεσθαι ἀέρος, τὸ δὲ αὐτὸ βάρος βραδύτερον διαιρεῖν τὸν πλείονα ἀέρα. εἰ μέντοι διὰ κενοῦ γένοιτο ἡ κίνησις, ἡ διαφορὰ τοῦ θάττονος καὶ τοῦ βραδυτέρου, κατὰ μόνην γίνεται τὴν ἀνισότητα τῶν ῥοπῶν. ἡ μέντοι τῶν σχημάτων ἑτερότης οὐδεμίαν ποιήσει διαφοράν, ἀλλ' ὁμοίως τὸ πλατύ, καὶ τὸ σφαιρικὸν ἰσόρροπα ὄντα, ἐν τῷ αὐτῷ χρόνῳ κατενεχθήσεται. οὐδὲν γάρ ἐστι τὸ μᾶλλον ἢ ἧττον ἐμποδίζον, ἀλλὰ μόνη ἡ φυσική ἐστι ῥοπὴ ἡ εἰς τὴν κίνησιν ἐνεργοῦσα. ἴσης οὖν οὔσης καὶ ὁμοίας τῆς φυσικῆς ῥοπῆς, καὶ μηδενὸς ὄντος τοῦ μᾶλλον ἢ ἧττον ἐμποδίζοντος, ἴσην καὶ ὁμοίαν εἶναι τὴν κίνησιν ἀνάγκη.

» ΗΜΕΙΣ δὲ λέγομεν ἐκ τῶν ὑποκειμένων, ὅτι ἐστὶν ὕλη μία τῶν ἐναντίων θερμοῦ καὶ ψυχροῦ
» καὶ τῶν ἄλλων φυσικῶν ἐναντιώσεων. καὶ ἐκ δυνάμει ὄντος, ἐνεργείᾳ ὂν γίνεται. καὶ οὐ χωριστὴ μὲν
» ἡ ὕλη, τῷ δ' εἶναι ἕτερον καὶ μία τῷ ἀριθμῷ εἰ ἔτυχε χρώματος καὶ θερμοῦ καὶ ψυχροῦ.

Δ Δείξας, ὅτι οὐδὲ τὸ κατεσπαρμένον κενὸν εἶναι δύναται, ἐπειδὴ αἱ ἀπορίαι δι' ὧν κατεσκεύαζον ὅτι ἔστιν οὕτω τὸ κενὸν ἐκ τῆς μανώσεως καὶ πυκνώσεως τῶν σωμάτων, δοκοῦσιν ἔχειν τὸ πιθανόν, βούλεται καὶ αὐτὰς ἐπιλύσασθαι. καὶ δείκνυσιν, ὅτι ἡ πύκνωσις καὶ ἡ μάνωσις, οὐ γίνεται κατὰ παρεμπλοκὴν κενῶν. προσκέχρηται δὲ τοῖς ἀποδεδειγμένοις ἐν τῷ πρώτῳ λόγῳ. εἴρηται γάρ φησιν, ὅτι τοῖς ἐναντίοις πᾶσι, μία καὶ ἡ αὐτὴ ὑπόκειται ὕλη. οἷον θερμοῦ καὶ ψυχροῦ, ξηροῦ καὶ ὑγροῦ, μαλακοῦ καὶ σκληροῦ. καὶ πάντων ἁπλῶς τῶν ἐναντίων. καὶ ἡ αὐτὴ δυνάμει ἐστὶ τὰ ἐναντία. ἄλλη μὲν οὖσα κατὰ τὴν οὐσίαν παρ' ἕκαστον αὐτῶν, δεχομένη μέντοι παρὰ μέρος ἑκάτερον. ὥσπερ οὖν τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, μία καὶ ἡ αὐτή ἐστιν ὕλη, καὶ τῶν ἄλλων πάντων ἐναντίων, οὕτω δέ φησι καὶ σώματος ἡ ὕλη ἡ αὐτή ἐστι καὶ μεγάλου καὶ μικροῦ. οὐ μόνον γὰρ τῶν ἐναντίων ἡ αὐτὴ ὕλη, ἀλλὰ καὶ τῶν ἑτέρων. ὥσπερ οὖν μεταβάλλοντά φησιν ἐκ θερμοῦ εἰς ψυχρόν, οὐκ ἀποβάλλουσά τινα τῶν ἐν αὐτῇ μορίων θερμὰ ὄντα, προσλαμβάνουσα δὲ ἔξωθεν ἄλλα ψυχρά, οὕτως εἰς ψυχρὸν ἐκ θερμοῦ μεταβάλλει, παρεμπλοκῇ τινι τῶν ἔξωθεν προσπιπτόντων, ἀλλ' ἡ αὐτὴ μένουσα, ὅλη δι' ὅλης μεταβάλλει ἐκ τοῦ θερμοῦ εἰς τὸ ψυχρόν, καὶ ἔμπαλιν ἐκ τοῦ ψυχροῦ εἰς τὸ θερμόν. οὐδὲ γάρ ἐστι τι μόριον τοῦ πυρός, ὃ οὐκ ἦν θερμόν, ἀλλὰ ὅλον δι' ὅλου θερμόν ἐστιν. ἐν οὖν τῇ εἰς τὸ ψυχρὸν μεταβολῇ ὁμοιομερῶς ὅλον δι' ὅλου μεταβάλλει, καὶ τὸ δυνάμει τῆς ὕλης ἄγεται εἰς ἐνέργειαν. ὡσαύτως καὶ ἐπὶ λευκοῦ καὶ μέλανος καὶ τῶν λοιπῶν. οὐ γὰρ τὸ λευκόν, γινόμενον μέλαν, μόρια μὲν ἀπέβαλε τοῦ λευκοῦ ἐξ ὧν λευκὸν ἦν, προσέλαβε δὲ ἔξωθεν μόρια μέλανα, ἀλλ' ὅλον δι' ὅλου ὁμοιομερῶς ἐτράπη. ὁμοίως καὶ ὅταν ἐξ ἐλάττονος θερμοῦ μᾶλλον θερμὸν γίνεται, οὐκ ἀποβάλλον μόριά τινα ψυχρά, ἄλλα δὲ θερμὰ προσλαμβάνον, οὕτως ἐπιτείνει τὴν θερμότητα, ἀλλὰ πάλιν τροπῇ τῆς ὕλης καὶ μεταβολῇ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτω δὲ καὶ ἐπὶ μανώσεως καὶ πυκνώσεως. ἡ γὰρ αὐτὴ ὕλη, δυνάμει οὖσα τὰ ἐναντία, ποτὲ μὲν μανοῦται, ποτὲ δὲ πυκνοῦται. ὅταν μὲν γὰρ ἐξ ὕδατος εἰς ἀέρα μεταβάλλῃ, μανοῦται, οὐ τινὰ κενὰ ἔξωθεν προσλαμβάνουσα, ἀλλ' ὁμοιομερῶς ὅλη δι' ὅλης εἰς μείζονα ὄγκον μεταβάλλουσα. ὅλον γὰρ δι' ὅλου τὸ ὕδωρ ἐμανώθη. οὐ γάρ τινα μὲν μόρια αὐτοῦ ἐστιν ἀήρ, τινὰ δὲ ὕδωρ, ἀλλ' ὁμαλῶς ὅλον τὸ ὕδωρ ἀὴρ ἐγένετο. ὥστε καὶ ἡ μάνωσις δι' ὅλου γέγονε τοῦ ὑποκειμένου. ὡσαύτως δὲ καὶ ἡ πύκνωσις οὐκ ἀποβολῇ κενῶν γίνεται, ἀλλὰ μεταβολῇ τῆς οὐσίας. ὁμοιομερῶς γὰρ κἀνταῦθα ὁ πᾶς ἀὴρ ἐπυκνώθη, καὶ μετέβαλεν εἰς ὕδωρ. καὶ οὐκ ἔστιν εὑρεῖν τι μόριον, ὃ μὴ μετέβαλε. καίτοι εἰ ἡ πύκνωσις, συνίζησις ἦν εἰς τὰ κενά, οὐκ ἂν ἦν ὁμοιομερὴς ἡ μεταβολή. ἔπειτα καὶ ἐπὶ σαφέστερον μεταβαίνει παράδειγμα. ὥσπερ γάρ φησι τὴν τοῦ μείζονος κύκλου περιφέρειαν, δυνατὸν ποιῆσαι ἐλάττονος κύκλου, δυνατὸν γὰρ τὸ ἡμικύκλιον ποιῆσαι δίμοιρον ἐλάττονος κύκλου, ὥσπερ οὖν ἐπὶ τούτων, καί τοι ὁμοιομερῶν ὄντων τῶν τοῦ κύκλου τμημάτων, ὅταν ἡ τοῦ μείζονος κύκλου περιφέρεια συνάγηται καὶ γίνηται ἐλάττονος κύκλου περιφέρεια, ὁμοίως τῆς περιφερείας πανταχόθεν συνιούσης, γίνεται μὲν τὰ μόρια μᾶλλον κυρτὰ ἢ πρότερον, καὶ οὐ δήπου τινὰ ἦν ἐν τῷ μείζονι κύκλῳ ἃ οὐκ ἦν κυρτὰ ἀλλ' εὐθέα, καὶ ταῦτα ἐκάμφθησαν ἐν τῷ συνάγεσθαι τὴν περιφέρειαν, ἀλλ' ὁμαλῶς ὅλης οὔσης κυρτῆς τῆς τοῦ μείζονος κύκλου περιφερείας, ἡ αὐτὴ πάλιν ὁμαλῶς κυρτωτέρα γέγονε, καὶ πάλιν ἡ τοῦ ἐλάττονος κύκλου περιφέρεια, γένοιτ' ἂν μείζονος κύκλου τῷ αὐτῷ λόγῳ. ὥσπερ οὖν ἐπὶ τούτων ἀνίεται ἢ ἐπιτείνεται ἡ κυρτότης, οὐδενὸς ἐν τῷ κύκλῳ διαλείμματος ὄντος, οὕτω δὴ καὶ ἐπὶ μανώσεως ἔχει καὶ πυκνώσεως, καὶ σμικρότητος καὶ μεγέθους. οὐ γὰρ προσλαβοῦσά τι ἡ ὕλη συστέλλεται, ἀλλ' οὐδὲ διαστολῇ τῶν μορίων καὶ παρεμπλοκῇ κενοῦ, ὡς ἐπὶ τῆς διαστολῆς τοῦ ἐρίου γίνεται, οὕτως ἐκ μικροῦ μεῖζον γίνεται, ἢ συνιζανόντων εἰς τὰ κενὰ τῶν μορίων, πάλιν ἐκ μεγάλου μικρόν, ἀλλὰ μία καὶ ἡ

αὐτὴ

εἰς τὸ πέρας διὰ κενοῦ, ἢ πάντως ἐν χρόνῳ ἔσται ἡ βάδισις. ἀλλὰ μὴν τὸ μὴ δύνασθαι διὰ κενοῦ βαδίζειν ἄλογον. τί γάρ ἐστι τὸ κωλῦον κενοῦ ὄντος βαδίσαι. εἰ γὰρ νῦν μεταξὺ σώματος ὄντος, καὶ τοῦτο διαιροῦντων ἡμῶν ἐν τῇ βαδίσει ὅμως οὐ κωλυόμεθα βαδίσαι, πόσῳ μᾶλλον μηδενὸς ὄντος τοῦ ἐμποδίζοντος, οὐκ ἂν βαδίσαι ἐκωλύθημεν. τί δὴ ἦν ὅλως τὸ κωλῦον διὰ κενοῦ τὸ μὲν σχολαιότερον βαδίζειν, τὸ δὲ θᾶττον. εἰ γὰρ νῦν διὰ σώματος γινομένης τῆς κινήσεως, οὐδὲν κωλύεται ὁ ταχύτατα κινεῖσθαι δυνάμενος διὰ τὸ τοῦ ἀέρος εὐδιαίρετον, πόσῳ μᾶλλον κενοῦ ὄντος τοῦ μεταξὺ οὐκ ἐκωλύθη ἄν. οὐδὲ ὁ σχολαιότερον βαδίζειν βουλόμενος. πρὸς μὲν γὰρ τὴν ταχεῖαν κίνησιν ἐμποδίζει ἂν ἴσως τὸ μεταξὺ σῶμα διὰ τὴν διαφορὰν. πρὸς δὲ τὸ σχολαιότερον βαδίσαι, τί ἂν ἐμποδίσει τὸ κενόν. ὥστε εἰ ἐνδέχεται διὰ κενοῦ σχολαιότερον βαδίζειν, ἡ δὲ σχολαιοτέρα βάδισις τῷ ἐν πλείονι χρόνῳ γίνεσθαι συμβαίνει, δῆλον δήπου ὅτι ἐν χρόνῳ διὰ κενοῦ ἡ βάδισις ἐγίνετο. τί οὖν κωλύει καὶ φυσικὴν κίνησιν διὰ κενοῦ γενέσθαι. ἔτι δὲ καὶ ἐκ τῶν παρὰ φύσιν καὶ βίᾳ γινομένων κινήσεων τοῦτο πιστώσαιτο ἄν τις. εἰ γὰρ κενοῦ ὄντος δύο τινὲς τοξεύοιεν, καὶ ὁ μὲν εἴη παῖς ἀσθενὴς, ὁ δὲ πάνυ ἀνδρεῖος, εἶτα τοξεύοιεν κατὰ σκοπὸν εἰς ὃν ὁ παῖς τὸ βέλος ἀκοντίσαι δύναται, ἆρα ἐὰν ἅμα ἀφῶσι τὰ βέλη, ἅμα ψαύσειαν ἂν τοῦ σκοποῦ ἀμφότερα τὰ βέλη, καὶ οὐ προτερήσει τὸ τοῦ ἀνδρειοτέρου. ἀλλὰ γελοῖον. οὕτω γὰρ ἂν εἰς τὸ ἔλαττον ἐξακοντίσαι οὐδὲν συντελέσειεν ἡ ἐρρωμενεστέρα δύναμις. τοῦτο δὲ ἄτοπον. εἰ δὲ ἕξει τι πλέον τὸ ὑπὸ τῆς ἐρρωμενεστέρας δυνάμεως ἐξακοντιζόμενον, τῷ χρόνῳ δηλονότι τὸ πλέον ἕξει, ἐν πλείονι ἄρα χρόνῳ τὸ ὑπὸ τοῦ παιδὸς ἀκοντισθὲν εἰς τὸν σκοπὸν ἀφίξεται. ἐὰν οὖν καὶ τῆς ἰσχυροτέρας δυνάμεως ἔτι μᾶλλον ἰσχυροτέραν λάβω, ἕξει τι πλέον δηλονότι. χρόνῳ οὖν τὸ πλέον. κἀκείνη ἄρα ἐν χρόνῳ ἐκίνησε τὸ βέλος. ἔτι εἰ κενὸν ἦν, ἔρριπτε δὲ παρὰ φύσιν λίθον ἐπὶ τὸ ἄνω, ἆρα ἀχρόνως τινὰ τόπον καταλήψεται οἷον σταδιαῖον. καὶ εἰ τοῦτο, ἐὰν ἄρα ἀνδρειότερος ῥίψῃ, ταχύτερον τὸν αὐτὸν καταλήψεται τόπον. τί δὲ τοῦ ἀχρόνου ταχύτερον. καὶ εἰ τὸ στάδιον ἀχρόνως κατέλαβεν, διατί μὴ καὶ δύο. καὶ οὕτω μέχρι τῆς ἀπλανοῦς. καὶ τί τούτου καταγελαστότερον. ὥστε εἰ ταῦτα ἄτοπα, δῆλον δήπου ὅτι καὶ εἰ κενὸν ἦν, ἐν χρόνῳ ἂν ἡ παρὰ φύσιν πάντως ἐγένετο κίνησις. εἰ τοίνυν καὶ αἱ προαιρετικαὶ καὶ παρὰ φύσιν κινήσεις κενοῦ ὄντος ἐν χρόνῳ ἂν ἐγένοντο, δῆλον δήπου ὅτι καὶ αἱ κατὰ φύσιν. ὑποκείσθω γὰρ κενὸν εἶναι τὸ μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἆρα οὖν εἰ ἀφεθείη ἐκ τῆς ἀπλανοῦς λίθος, ἀχρόνως ἂν εἰς γῆν ἀφίκετο. καὶ τί τούτου καταγελαστότερον, αὐτῆς τῆς ἀπλανοῦς ἀσυμμέτρως ταχυκινητότερον εἶναι τὸν λίθον. ἀλλ᾽ εἰ ἀχρόνως ἢ ὁ κάτωθεν ῥιφεὶς ἄνω ἀφίκετο, ἢ ὁ ἄνωθεν κάτω, λέγω δὲ ἄνω μὲν τὴν ἀπλανῆ, κάτω δὲ τὴν γῆν, ἐν τῷ αὐτῷ νῦν συμβήσεται ἄνω τε καὶ κάτω εἶναι τὸν λίθον. ὅπερ ἀδύνατον. ὥστε ἀνάγκη πᾶσα τὸν ἀφεθέντα ἄνωθεν λίθον κενοῦ ὄντος τοῦ μεταξὺ, ἢ μηδὲ ὅλως κινηθῆναι, ἀλλ᾽ ἠρεμεῖν δι᾽ ὅλου εἰς τὸν παρὰ φύσιν τόπον ἐν τῷ κενῷ ὀχούμενον, ἢ εἰ τοῦτο πάλιν ἀδύνατον, λείπεται τὸ ἐν χρόνῳ τινὶ αὐτὸν τὸν κατὰ φύσιν καταλαβεῖν τόπον. λέγω δὴ τὴν γῆν. τριῶν οὖν ἑνὸς ἐξ ἀνάγκης συμβαινόντων, ἢ ἅμα τὸ αὐτὸ εἶναι καὶ ἄνω καὶ κάτω, ἢ ἐν τῷ παρὰ φύσιν ἠρεμεῖν τόπῳ τὸν λίθον ὀχούμενον ἐπὶ τοῦ κενοῦ, ἢ ἐν χρόνῳ κινεῖσθαι, εἰ τὰ δύο τὰ πρότερα δέδεικται ἀδύνατα, λείπεται τὸ τρίτον ἀληθὲς εἶναι. ὅτι μὲν οὖν καὶ εἰ κενὸν ἦν, οὐδὲν ἐκώλυε κίνησιν εἶναι καὶ ταύτην ἐν χρόνῳ, οὐδὲ γάρ ἐστιν ἄχρονος κίνησις, ἱκανῶς ἡμῖν δέδεικται. ὅτι δὲ ἀδύνατον ὅλως κίνησιν γενέσθαι κενοῦ μὴ ὄντος, μάθοις ἂν οὕτως. εἰ τῆς κινήσεως διὰ σώματος γινομένης οἷον διὰ ἀέρος, δεῖ πάντως τὰ μόρια τοῦ ἀέρος ἀντιπαραχωρεῖν τῷ κινουμένῳ, καὶ τοσοῦτον ὄγκον ὑπεξίστασθαι τοῦ ἀέρος, ὅσον ἐστὶ τὸ κινούμενον, μὴ ἔστι δὲ κενόν τι διάστημα ὃ καταλήψεται τὸ ἀντιμεθιστάμενον τῷ κινουμένῳ σῶμα ὃ παραχωρήσει τῷ κινουμένῳ δεδωκὸς αὐτῷ χώραν εἰς τὸ κινηθῆναι, ἀλλ᾽ ἀντιμεταστὰς ὁ ἀὴρ οὐδὲν καταλέλοιπε διάστημα, τί ἔδει ποιεῖν τῆς ἀντιμεταστάσεως, ἵνα τι παραχωρήσῃ τῷ κινουμένῳ. οὐ γὰρ δὴ ἐπιφανείᾳ μόνῃ. οὐ γάρ ἐστιν ἐπιφάνεια τὸ κινούμενον, ἵνα ὑπὸ ἐπιφανείας χωρηθῇ ἐφαρμόσαν αὐτῇ. σῶμα δὲ οὐκ ἂν ἐφαρμόσειεν ἐπιφανείᾳ. εἰ γὰρ τὸ κινούμενον, διάστημά τι ἀεὶ παραμείβει ἴσον ἑαυτῷ, τοῦτο δὲ τὸ διάστημα ἢ κενὸν ἀνάγκη εἶναι, ἢ σῶμα, σῶμα δὲ διὰ σώματος ἀδύνατον χωρῆσαι, ἀνάγκη που κενὸν εἶναι ὅπερ ἀεὶ καταλαμβάνει διάστημα. εἰ γὰρ τριχῇ διαστατὸν τὸ κινούμενον, ὅλον δὲ ὡς ὅλον μεταβαίνει, τοσαύτης δηλονότι δεηθήσεται χώρας, ὅσον καὶ αὐτό ἐστιν. οὐ γὰρ ἂν εἰ μὴ τοῦτο ἦν, τοσοῦτον αὐτῷ ἀέρα ἀντιπεριστῆναι ἐδέησεν ὅσον ἐστὶν αὐτό. ἔστι δὲ αὐτὸ πηχυαῖον εἰ τύχοι κατὰ τὰς τρεῖς διαστάσεις. τοσαύτης ἄρα καὶ τῆς χώρας δεηθήσεται. τοῦτο δέ ἐστι τὸ κενόν. ἀδύνατον ἄρα κενοῦ μὴ ὄντος κίνησιν γενέσθαι. ἄλλως τε τὸν ἀντιμεθιστάμενον τῷ ἀέρα εἰ νοήσαις αὐτὸν μὲν τοῦ οἰκείου μεταστάντα τόπου, μήτε δὲ τὸ κινούμενον ἐνιστάμενον ἐν τῷ αὐτῷ τόπῳ, μήτε τὸν πέριξ ἀέρα συμπεσόντα, τί ἂν εἴη ἄλλο τὸ μεταξὺ τοῦ πέριξ ἀέρος, ἢ διάστημα κενὸν εἰς ὃ χωρεῖ τὸ κινούμενον. εἴρηται δὲ ἡμῖν περὶ τούτου πλατύτερον ἐν τοῖς περὶ τοῦ τόπου λόγοις. καὶ ἐκ τούτων οὖν δῆλον, ὅτι ἀνάγκη τὸ κινούμενον κατὰ τόπον κενὴν τινὰ χώραν ἄλλοτε ἐξ ἄλλης παραμείβειν. πολλάκις δὲ ἐπισημειωσάμην, ὅτι τὸ κενὸν τοῦτο εἰ καὶ ἔχειν φημὶ καθ᾽ αὑτὸ τῷ ἰδίῳ λόγῳ ὑπόστασιν, καὶ περὶ αὐτὸ μένον ἀκίνητον δέχεσθαι ἄλλοτε ἄλλο σῶμα, ἀλλ᾽ οὖν οὐ μένειν φημὶ ποτὲ ἐκτὸς σώματος. ὥσπερ οὐδὲ τὴν ὕλην ἐκτὸς εἴδους, οὐδὲ τὸ σῶμα ἐκτὸς ποιότητος, καίτοι ἰδίαν γε ὑπόστασιν τῷ ἰδίῳ λόγῳ ἔχοντα. οὕτως οὖν

ὄντος τινὸς τοιούτου διαστήματος, κἂν μηδέποτε χωρὶς σώματος ᾖ. ὅτι οὖν καὶ εἰ κενὸν ἦν διάστημα κεχωρισμένον σώματος, οὐδὲν ἦν τὸ κωλῦον μὴ μόνον κινεῖσθαι ἐν χρόνῳ δι' αὐτοῦ τὰ σώματα, ἀλλὰ καὶ τὸ θᾶττον εἶναι καὶ τὸ βραδύτερον ἐν τῇ κινήσει, ἤδη μὲν τῇ ἀναιρέσει τῶν ἐπιχειρημάτων δι' ὧν ἐδόκει τοῦτο κατασκευάζεσθαι ὑποδέδεικται, καὶ αὐτὸ δὲ καθ' αὑτὸ παραστῆσαι δυνατόν. πρῶτον μὲν οὖν εἰ ἔστιν ἡ κύκλῳ κίνησις, καὶ αὐτὴ μὲν μία, καὶ ἡ αὐτὴ, ἀλλὰ διάφορος. ἄλλη γὰρ ἄλλως τῶν σφαιρῶν κινεῖται, ἡ μὲν θᾶττον, ἡ δὲ βραδύτερον. τὰ δὲ κύκλῳ κινούμενα, οὐ διά τινος κινεῖται σώματος. οὐδὲ γὰρ τῷ διαιρεῖν ἄλλο τι ἄλλο σῶμα, οὕτω κινοῦνται. ἀλλ' ἐφ' ἑαυτὰς ἀναστρέφονται, μηδὲν τέμνουσαι σῶμα. ἡ δὲ ἀπλανὴς, οὐδὲ ἅπτεται τινὸς ἔξωθεν. εἰ τοίνυν αἱ σφαῖραι μηδὲν τέμνουσαι σῶμα, ὅμως καὶ ἐν χρόνῳ κινοῦνται, καὶ ἡ μὲν θᾶττον, ἡ δὲ βραδύτερον, οὐκ ἄρα τὸ διὰ σώματος γίνεσθαι τὴν κίνησιν, αἴτιόν ἐστιν, ἢ τοῦ χρόνον δαπανᾶσθαι ἐν τῇ κινήσει, ἢ τοῦ εἶναι ἐν τῇ κινήσει τὸ θᾶττον, καὶ τὸ βραδύτερον. ἀλλὰ διὰ μὲν τὴν ἐν τοῖς κινουμένοις δύναμιν διάφορον οὖσαν, τὸ θᾶττον γίνεται καὶ τὸ βραδύτερον. τὸ δὲ πάντως χρόνον δαπανᾶσθαι ἐν τῇ κινήσει, καὶ ἁπλῶς αἴτιον, εἰ ὀξυτάτη εἴη ἡ κίνησις ἐν χρόνῳ ἅμα ἐστὶν ἡ τῆς ἀπλανοῦς. καὶ τούτου αὐτὸ τὸ τῆς κινήσεως εἶδος αἴτιον. λέγω δὴ τὸ πόθεν ποιεῖ εἶναι πᾶσαν κίνησιν. ἀδύνατον γὰρ τὸ αὐτὸ καθ' ἓν καὶ τὸ αὐτὸ νῦν ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ γενέσθαι. εἰ τοίνυν τὸ ταχυκινητότατον τῶν ὄντων καὶ μηδὲν διαιροῦν ἐν τῇ κινήσει σῶμα, ὅμως ἐν χρόνῳ κινεῖται δι' αὐτὴν τὴν τῆς κινήσεως φύσιν, διατί μὴ καὶ τοῖς κατ' εὐθεῖαν κινουμένοις, κἂν διὰ κενοῦ ποιῶνται τὴν κίνησιν, ἀκολουθήσει καὶ τὸ ἐν χρόνῳ κινεῖσθαι, καὶ τὸ ἔχειν τὸ θᾶττον καὶ τὸ βραδύτερον. ἄλλως τε δὲ εἰ δέδεικται ἡμῖν ἐν τοῖς περὶ τοῦ τόπου λόγοις, ὅτι πᾶν σῶμα καὶ ἥν τινα χώραν πεπλήρωκεν ἐν ᾗ καὶ κινεῖται. εἰ δὲ τὰ οὐράνια διὰ κενοῦ ποιούμενα τὴν κίνησιν, ἄλλο γὰρ μόριον τοῦ οὐρανοῦ ἄλλό τι μέρος τοῦ κενοῦ καταλαμβάνει, ἐν χρόνῳ τε κινεῖται, καὶ ἔχει τὸ θᾶττον καὶ τὸ βραδύτερον, πολλῷ γε μᾶλλον τὰ κατ' εὐθεῖαν κινούμενα, κἂν διὰ κενοῦ κινῆται, ἐν χρόνῳ τε κινηθήσεται, καὶ ἕξει τὸ θᾶττον, καὶ τὸ βραδύτερον. εἰ γὰρ ὅλως τοῦ ἐν χρόνῳ γίνεσθαι αἴτιον ἦν τὸ διαιρούμενον ἐν τῇ κινήσει σῶμα, καὶ διὰ τοῦτο ἀνάγκη ἦν τὰ διὰ κενοῦ κινούμενα ἀχρόνως κινεῖσθαι διὰ τὸ μηδὲν εἶναι ὃ διαιρήσουσι, πολλῷ μᾶλλον τοῦτο ἔδει συμβαίνειν ἐπὶ τῆς ὀξυτάτης τῶν κινήσεων. λέγω δὴ τῆς περιφορᾶς. οὐδὲν γὰρ οὐδὲ τὰ κύκλῳ διαιρούμενα διαιρεῖ σῶμα. ἀλλὰ μὴν οὐ συμβαίνει, ἀλλὰ πᾶσα περιφορὰ ἐν χρόνῳ, καὶ μηδενὸς ὄντος τοῦ διαιρουμένου ἐν τῇ κινήσει. πολλῷ οὖν μᾶλλον οὐδὲ ἐπὶ τῶν κατ' εὐθεῖαν κινουμένων τοῦτο συμβήσεται, ἀλλὰ κἂν διὰ κενοῦ ἐκινεῖτο, πάντως ἐν χρόνῳ ἐκινήθησαν ἄν, καὶ οὐδὲν ἦν τὸ κωλῦον τὸ θᾶττον εἶναι καὶ τὸ βραδύτερον ἐν τῇ κινήσει. ἔτι δὲ καὶ ἐκ τῶν προαιρετικῶν κινήσεων, αἵ τισιν ὡς ζώοις ἡμῖν ὑπάρχουσιν, ἐστὶν ἐλέγξαι τὸν λόγον. ἆρα γὰρ εἰ κενὸν ἦν τὸ μεταξὺ γῆς καὶ οὐρανοῦ, ἐβουλήθην δὲ βαδίζων ἀθήνηθεν θήβαζε παραγενέσθαι, ἀχρόνως ἂν ἐξ ἀθηνῶν εἰς θήβας ἐγενόμην. ἀλλὰ γελοῖον. ἅμα γὰρ καὶ κατὰ τὸ αὐτὸ νῦν ἐν ἀθήναις ὑπῆρχον ἂν καὶ ἐν θήβαις, μᾶλλον δὲ πανταχοῦ. εἰ γὰρ ἐξ ἀθηνῶν τυχὸν εἰς ἰταλίαν βαδίζων ἀφικέσθαι ἐβουλόμην, ἀχρόνως δὲ τοῦτο ἀνάγκη ἦν γενέσθαι διὰ κενοῦ γινομένης τῆς κινήσεως, ἅμα ἀνάγκη ἦν καὶ κατὰ τὸ αὐτὸ νῦν ἐν ἀθήναις εἶναί με καὶ ἐν ἰταλίᾳ. εἰ δὲ τοῦτο, καὶ ἐν ταῖς μεταξὺ πάσαις χώραις. εἰ δὲ τοῦτο, καὶ πανταχοῦ, εἴγε τινὰ ἐπινοήσαις τὴν περίμετρον τῆς γῆς βαδίζοντα. τί δὲ, εἰ συνεχῶς γινομένης τῆς βαδίσεως, ὁ μὲν ὀξύτερον βαδίζει, ὁ δὲ βραδύτερον, ἆρα ὁμοίως ἂν ἀχρόνως τὴν αὐτὴν ἤνυσαν. καὶ τί πλέον εἶχεν ἡ ἰσχυροτέρα δύναμις τῆς ἀσθενεστέρας. τί δὲ ὁ δρομεὺς ἀσθενοῦς γυναίου. εἰ δὲ μηδὲν κωλύει βάδισιν διὰ κενοῦ ἐν χρόνῳ γίνεσθαι ἡ δὲ βάδισις κίνησίς ἐστι κατὰ τόπον, οὐδὲν ἄρα κωλύει κενοῦ ὄντος γίνεσθαι δι' αὐτοῦ κίνησιν. καὶ εἰ ὅλως αἱ ὑπὸ ψυχῆς γινόμεναι κινήσεις γίνοιντ' ἂν καὶ κενοῦ ὄντος, τί κωλύει καὶ τὰς φυσικὰς κινήσεις διὰ κενοῦ ἐν χρόνῳ γενέσθαι. εἰ δέ τις τῷ ἐν τοῖς τελευταίοις τῆς φυσικῆς εἰρημένῳ προσχρησάμενος, ἐνσταίη τῷ λόγῳ καὶ εἴποι ὅτι ἐν τῇ βαδίσει οὐ μόνον ὁρᾶται κίνησίς τις οὖσα, ἀλλὰ καὶ στάσις. δεῖ γὰρ ἕτερον παρ' ἕτερον ἐρεῖσαι καὶ στῆσαι πόδα. διὰ τοῦτο οὖν χρόνος ἐδαπανήθη ἐν τῇ βαδίσει, εἴποι ἂν ὁ τοιοῦτος, οὐ διὰ τὴν κίνησιν, ἀλλὰ διὰ τὴν στάσιν. φήσαιμι δὲ ἐγὼ πρὸς τοῦτον, ὅτι ἡ στάσις οὐ τοῦ ὅλου ἐστὶ σώματος ἀλλὰ μέρους. ἡ δὲ κίνησις ὅλου ἐστὶ τοῦ σώματος, συνεχῶς καὶ ἀδιακόπως γινομένη. ἡ δὲ στάσις κατὰ μόριον γίνεται. τοῦ γὰρ ἑτέρου τῶν ποδῶν ἀμοιβαδὸν ἡ στάσις ὑπάρχει. ὅτι δὲ οὐχ ἵσταται τὸ ὅλον σῶμα, ἀλλὰ συνεχῶς κινεῖται, δῆλον ἐντεῦθεν. αὐτὴν γὰρ τὴν στάσιν τοῦ ἑτέρου τῶν ποδῶν διὰ τὴν κίνησιν τοῦ ὅλου ἐποίησεν ἡ φύσις. τῇ γὰρ ἀντερείσει τοῦ ἑτέρου ποδὸς τὸ ὅλον κινούμενόν ἐστι σῶμα, ἐν αὐτῷ ἄρα τῷ ἀντερείδειν, καὶ ἵστασθαι τὸν πόδα, ὅλον τὸ σῶμα κινεῖται. εἰ γὰρ ἐν τῇ ἀντερείσει τοῦ ποδὸς τὸ ὅλον ἵσταται, πότε κινηθήσεται. ἀεὶ γὰρ ὁ ἕτερος τῶν ποδῶν ἐρείδεται. μετέωρον γὰρ εἶναι ὅλον τὸ σῶμα οὐ δύναται. ὥστε ἢ οὐδὲ ὅλως κινεῖται τὸ ὅλον, ἢ ἅμα τοῦ μορίου ἱσταμένου κινεῖται. οὐκ ἄρα τοῦ ὅλου ἐστὶν ἡ στάσις, ἀλλὰ τοῦ μορίου λέγω τῷ ἑτέρῳ τῶν ποδῶν. κινεῖται οὖν τὸ ὅλον ἐν τῇ βαδίσει συνεχῶς, καὶ οὐ πρότερον ἵσταται τὸ ὅλον, πρὶν ἄμφω στασθῶσιν οἱ πόδες. εἰ τοίνυν συνεχὴς καὶ ἀδιάκοπος ἡ βάδισις, ὁ μὲν ἐξ ἀθηνῶν εἰς θήβας διὰ κενοῦ βαδίζων εἰ μὲν ἀχρόνως ἐξ ἀθηνῶν εἰς θήβας ἀφίκετο, ἅμα ἔσται ἐν ἀθήναις καὶ ἐν θήβαις. τοῦτο δὲ ἀδύνατον. οὕτω γὰρ ἂν καὶ πανταχοῦ κατὰ ταυτὸν ὑπῆρξεν αὐτῆς. εἰ οὖν οὐδ' ὅλως ἔσται βαδίσαι ἐξ ἀθηνῶν

ἀναιρεῖν καὶ τὸ εἶναι αὐτῶν ὀφείλομεν. ὥστε καὶ νῦν οἱ τοὺς λόγους ἐλέγχοντες, δι' ὧν ἐδείξαμεν ὑπάρ-
χον τὸ τοιοῦτον διάστημα. εἰ δὲ οἱ λόγοι ἀληθεῖς, μάταιον τῷ ὄντι τὸ ἀναιρεῖν τὸ ὄν, διὰ τὸ μὴ δύνασθαι τὰς
αἰτίας τοῦ εἶναι αὐτὸ ἀποδιδόναι, ἢ τὰ δοκοῦντα δυσχερῆ εἰς τὸν περὶ αὐτοῦ λόγον μὴ δύνασθαι αὐτὸ-
λύειν. ὥσπερ ἂν εἰ καὶ μόριόν τινος τῶν ἐν τῷ ζώῳ μὴ δυνάμενός τις τὴν αἰτίαν ἀποδοῦναι, μηδὲ εἶναι
αὐτὸ λέγοι. ὄντος οὖν τοῦ πράγματος, τὰ δυσχερῆ εἰς τὸν περὶ αὐτοῦ λόγον πειρατέον λύειν, οὐ διὰ ταῦ-
τα τὴν φύσιν αὐτοῦ ἀναιρεῖν. ἔπειτα κακῶς τὸ κενὸν εἰς ταυτὸν ἄγει τῷ σώματι. κἂν γὰρ πάσας ἀνέλῃς
τὰς σώματος ποιότητας, οὐδ' οὕτως ταυτὸν ἔσται τὸ σωματικὸν διάστημα τῷ κενῷ. κἂν γὰρ ἀφέλωμεν πᾶ-
σαν ποιότητα τοῦ σώματος, καταλειφθήσεται ἡ ὀγκωθεῖσα ὕλη καὶ τὸ ἄποιον σῶμα, ὅπερ σύγκειται
ἐξ ὕλης καὶ κατὰ ποσὸν εἴδους. τὸ δὲ κενὸν, οὐ σύγκειται ἐξ ὕλης καὶ εἴδους. οὐδὲ γὰρ ἐστὶ σῶμα, ἀλλὰ
ἀσώματον καὶ ἄϋλον, καὶ χώρα μόνη σώματος. εἰ τοίνυν τοῦ μὲν σώματος ἀφαιρεθεισῶν τῶν ποιοτή-
των, οὐδὲν ἧττον σῶμα τὸ καταλειπόμενον. τὸ δὲ κενὸν οὐκ ἔστι σῶμα, οὐδέποτε συμβήσεται σῶμα ἐν
σώματι εἶναι, εἰ ἐν τῷ κενῷ ὡς ἐν τόπῳ εἴη τὸ σῶμα. ἀλλὰ ναί φησιν. εἰ γὰρ τὸ διάστημα καθὸ διάστημά
ἐστιν, ἐν τόπῳ ἐστὶν, ὑφῃρήσθω αὐτοῦ καὶ ἡ ὕλη, ἥτις τῷ οἰκείῳ λόγῳ ἀσώματος οὖσα οὐδὲ ἔστιν ἐν τόπῳ.
ὥστε ταύτῃ τὸ τοῦ σώματος διάστημα οὐδὲν διοίσει τοῦ κενοῦ. ἀλλ' ἴσως ὁ τοιοῦτος ἀδύνατα αἰτῶν. οὐ-
δὲ γάρ ἐστι τὸ σῶμα, ὅπερ ἐν τόπῳ τε λεγόμενον εἶναι καὶ χωρεῖν δι' ἄλλου σώματος μὴ δύνασθαι,
ἢ τὸ ἐξ ὕλης καὶ εἴδους συνεστηκός. ὑφαιρεθείσης οὖν τῆς ὕλης, οἴχεται εὐθὺς καὶ τὸ τοῦ σώματος εἶδος. ἐν
γὰρ τῇ ὕλῃ τὸ εἶναι ἔχει. ὥσπερ οὖν τὸ λευκὸν διακριτικὸν λέγοντες εἶναι ὄψεως, οὐκ ἄλλως τοῦτο αὐτῷ
ὑπάρχειν φαμὲν, ἢ ἐν ὑποκειμένῳ τῷ σώματι ὄντι, καὶ ὅταν λέγωμεν τὰ ἐναντία μὴ δύνασθαι ἐν τῷ
αὐτῷ εἶναι, τὰ ἐν ὑποκειμένοις τοῖς σώμασιν ὑπάρξαντα ἐναντία φαμὲν, οἷον τὸ ἐν σώματι ψυχρὸν καὶ
θερμόν. καὶ εἴγε ἐκτὸς τοῦ σώματος αὐτὰ ἐπινοήσομεν, εὐθὺς καὶ τὸ οὕτως εἶναι αὐτῶν συναφῃρήμεθα.
εἰ γὰρ μὴ ὡς ἐν ὑποκειμένῳ σώματι τὰ ἐναντία ἐπινοήσομεν, οὐδὲ μάχονται ἀλλήλοις, καὶ κατὰ ταυ-
τὸν εἶναι αὐτὰ οὐδὲν κωλύει. ἐν τε γὰρ τῷ γένει δέδεικται ὡς οὐδὲν κωλύει εἶναι τὰ ἐναντία ἐνεργείᾳ,
καὶ μία καὶ ἡ αὐτὴ ψυχὴ κατὰ ταυτὸν τοὺς λόγους αὐτῶν ἔχει. ἀλλὰ καὶ μία τῶν ἐναντίων ἡ ἐπιστήμη.
καὶ οὔτε τὸ λευκὸν διακριτικὸν ἔσται ὄψεως μὴ ὂν ἐν σώματι, οὔτε τὸ μέλαν συγκριτικόν. οὕτως οὖν κἂν
σωματικὸν διάστημα ἐκτὸς ὕλης ἐπινοήσῃς, οὐκέτι δὲ ἐν τόπῳ ἔσται. οὐδὲ γὰρ φυσικόν ἐστιν, ὥστε τὸ τοιοῦ-
τον λέγοιτο ἂν μὴ χωρεῖν διὰ σώματος. ἀλλ' οὐδὲ ὅλως διαστατὸν ἔσται, εἰ μὴ τῷ λόγῳ. μᾶλλον δὲ οὐδὲ
ἔστιν ὅλως τοιοῦτόν τι σῶμα ἐν ὑποστάσει, εἰ μή τις τὸ παράδειγμα λέγοι, ἢ τὸν ὁριστικὸν λόγον. περὶ ὧν οὐ-
δεὶς νῦν λόγος. περὶ γὰρ τῶν φυσικῶν ἡ πραγματεία. ἀνάγκη ἄρα πᾶν τὸ ἐν τόπῳ σῶμα λεγόμενον
εἶναι, μὴ ἄλλο εἶναι, ἢ τὸ φυσικόν. τοῦτο δέ ἐστι, τὸ ἐξ ὕλης καὶ εἴδους. τούτου οὖν ἐν τῷ κενῷ, ὡς ἐν τόπῳ
ὄντος, οὐκ ἂν ἕποιτο τὸ, σῶμα ἐν σώματι εἶναι. οὐδὲ γὰρ σῶμα τὸ κενὸν, οὐδὲ μάτην εἶναι τὸ κενόν, εἴγε
τόπος ἐστὶ τῶν σωμάτων. ἀλλ' οὐδὲ ἡ διάστημα τὸ σῶμα ἐν ἑτέρῳ εἶναι διαστήματι, ἀλλ' ἡ σωματικὸν διά-
στημα ἐν τοπικῷ. ὥστε οὐκ ἀνάγκη καὶ τὸ κενὸν ἐν ἄλλῳ διαστήματι εἶναι, εἴγε μὴ καθὸ διάστημα τὸ
σῶμα, ἀλλὰ καθὸ σῶμά ἐστιν, ἐν τοπικῷ ἐστὶ διαστήματι. ἐδείξαμεν δὲ καὶ ἐν τοῖς περὶ τοῦ τόπου λόγοις
ἱκανῶς, ὅτι οὐχ ἕπεται τὸ σῶμα χωρεῖν διὰ σώματος, εἰ τὸ σῶμα μὲν ἐν κενῷ ὡς ἐν τόπῳ εἴη. εἰ δὲ λέ-
γεις, ἐν ἑκάστῳ τοῦ διαστήματος συμμετακινουμένου τοῖς σώμασι, τίς χρεία ἔξωθεν ἕτερον διάστημα
περιβάλλειν τοῖς σώμασι, φημὶ ὅτι διὰ τὸ τὰ φυσικὰ σώματα καὶ ἐν τόπῳ πάντως εἶναι, καὶ κινεῖσθαι
καὶ ἠρεμεῖν. ἀδύνατον γάρ φημι μὴ ὄντος τινὸς διαστήματος, τὴν κατὰ τόπον γενέσθαι κίνησιν. εἰ τοί-
νυν τὸ ἐν τόπῳ εἶναι τὰ σώματα κατὰ κοινὴν ἔννοιαν πάντες ὁμολογοῦμεν, ἐδείξαμεν δὲ ὅτι ὁ τό-
πος τῶν φυσικῶν σωμάτων οὐκ ἄλλό τι ἐστὶν, ἢ τοιοῦτον διάστημα, τὸ γὰρ σῶμά ἐστιν ἐν τόπῳ ἐστὶ, σῶμα
δέ ἐστι κατὰ τὰς τρεῖς διαστάσεις, καὶ ἐν τόπῳ ἄρα ἐστὶ κατὰ τὰς τρεῖς διαστάσεις. εἰ δὲ τοῦτο, καὶ τὸν τό-
πον τριχῇ διεστάναι ἀνάγκη, ἵνα τὸ τριχῇ διαστατὸν κατὰ τὰς τρεῖς διαστάσεις ἑαυτοῦ δέξαιτο. ὥστε εἰ ἀνάγ-
κη εἶναι τόπον τοῖς φυσικοῖς σώμασι, καὶ τοῦτο ἡ κοινὴ ὁμολογεῖ ἔννοια, τόπος δὲ τὸ διάστημα ἐδείχθη,
ἀναγκαῖον ἄρα τὸ εἶναι τοιοῦτον διάστημα. δείξομεν δὲ ἐπιόντες, ὅτι οὐδὲ ἂν κίνησις εἴη κατὰ τόπον
τούτου μὴ ὄντος. καὶ οὐ δήπου λέγω, κεχωρισμένου ὄντος τοῦ κενοῦ, καὶ αὐτοῦ καθ' αὑτό. τοῦτο γὰρ
πολλάκις ἐπεσημειωσάμην. ἀλλὰ λόγῳ μὲν ἰδίῳ τοιούτου ὄντος, ἀεὶ δὲ πλήρους σώματος. τὸ δὲ λέγειν
ὅτι εἰ δύο διαστήματα ἐχώρησαν δι' ἀλλήλων, διατί μὴ καὶ τρία, μάταιον τῷ ὄντι. οὔτε γὰρ σωματικὸν
διάστημα διὰ σωματικοῦ διαστήματος χωρεῖν δυνατὸν, οὔτε μὴν κενὸν ἐν κενῷ γενέσθαι. ἀκίνητον γὰρ
τὸ κενόν. οὐδὲ γὰρ σῶμα ὅλως. ὥστε εἰ μὴ τὸ κενὸν ἐν κενῷ οἷόν τε γενέσθαι, μήτε σῶμα ἐν σώματι, μό-
νον δὲ τὸ σῶμα ἐν κενῷ οἷόν τε γενέσθαι ὡς πλήρωμα ἐν πληρουμένῳ, μόνον ἄρα διαστήματα ἅμα εἶναι
δυνατὸν, τὸ σωματικὸν ἐν τῷ τοπικῷ. οὐδαμῶς δὲ τρία. οὔτε γὰρ τόπον ἐν τόπῳ οἷόν τε γενέσθαι, οὔτε
σῶμα ἐν σώματι, οὔτε ἐν ἑνὶ καὶ τῷ αὐτῷ τόπῳ, δύο εἶναι σώματα. ὅτι μὲν οὖν οὐδὲν τῶν ἐπιχειρη-
μάτων τῶν ἀναιρούντων τὸ κενὸν ἔχει τὸ ἀναγκαῖον, ἱκανῶς εἴρηται. δείξομεν δὲ ἡμεῖς πρῶτον μὲν
ὅτι καὶ εἰ κενὸν ἦν κεχωρισμένον καὶ παντὸς ἐστερημένον σώματος, οὐδὲν ἐκώλυε δι' αὐτοῦ γενέσθαι τὴν
κατὰ τόπον κίνησιν. ἔπειτα ὅπερ ἀρτίως εἶπον, ὅτι οὐδὲ οἷόν τε ἦν ὅλως κίνησιν εἶναι τὴν κατὰ τόπον μὴ

παχυνθεῖσα ἢ λεπτυνθεῖσα, ἔχουσι λόγον πρὸς ἄλληλα, καθ' αὐτὰ μόνα τὰ ἀσώματα μεγέθη καὶ αὐτὸ τὸ ποσόν. καὶ γὰρ καὶ οἱ χρόνοι τῶν δι' αὐτῶν κινουμένων ὡς διὰ τοιῶνδε ἁπλῶς διαστημάτων, ἔχουσι πρὸς ἀλλήλους λόγον. εἰ μέντοι τὸ μὲν πεπληρωμένον εἴη σώματος, τὸ δὲ κενόν, οὐκέτι ἀνάγκη τὸ πεπληρωμένον λόγον τινὰ ἔχειν πρὸς τὸ κενὸν κατ' αὐτὴν τὴν ὑπόστασιν καὶ οἷον παχυμέρειαν καὶ σωματότητα, ἐπειδὴ μηδὲ χρόνοι εἰσὶ τούτων αὐτῶν δι' αὐτά, ἢ τοιαῦτά ἐστι, συγκρινόμενοι πρὸς ἀλλήλους, ὥσπερ εἴρηται. ἀλλὰ διὰ μὲν τὸ σῶμα, ἢ τοιοῦτόν ἐστι, προστίθεται χρόνος. ὥστε τοῦ προστιθέντος χρόνου διὰ τὸ σῶμα μηδένα λόγον ἔχοντος πρὸς ἄλλον τινὰ χρόνον διά τινα σύστασιν τοῦ κενοῦ προστιθέντα, οὐδὲ τὸ κενὸν πρὸς τὸ σῶμα λόγον ἔχοι τινὰ ἢ τοιαῦτά ἐστι. συνέβη δὲ ὁ παραλογισμός, διότι ἁπλῶς τὸν τῶν χρόνων ὁπωσοῦν λαμβανομένων λόγον ἐβουλήθη πάντως μετενεγκεῖν καὶ ἐπὶ ταῦτα ὧν ὁ χρόνος κατηγορεῖται. ἐπειδὴ γὰρ φαμὲν εἰ τύχοι διπλασίονα εἶναι τὸν χρόνον τῆς κινήσεως διὰ τοῦ ἀέρος, τοῦ χρόνου τῆς κινήσεως τῆς διὰ τοῦ κενοῦ, ἀνάγκη φησὶ τὸν αὐτὸν λόγον καὶ τὸν ἀέρα πρὸς τὸ κενὸν ἔχειν κατ' αὐτὴν τὴν σωματικὴν σύστασιν, καὶ εἶναι οἷον διπλασίως αὐτὸν παχύτερον. τοῦτο δὲ οὐκ ὀρθῶς εἴληπται. εἴποιμι γὰρ ἂν ταύτῃ κἀγώ, ἐπειδὴ ἐν τῷ διανοηθῆναι τόδε τὸ θεώρημα χρόνος τις διαγέγονεν, οἷον ὥρα μία, καὶ ἔστι χρόνος τῆς τοιαύτης διανοήσεως ἡ μία ὥρα, καὶ λίθου τινὸς κινηθέντος διάστασίν τινα δι' ὕδατος, διαγεγόνασιν ὧραι δύο. ἀνάγκη δήπου τῶν χρόνων ἐχόντων λόγον πρὸς ἀλλήλους, καὶ τὰ ὧν ὁ χρόνος κατηγορεῖται, τὸν αὐτὸν λόγον ἔχειν πρὸς ἄλληλα. ἐχέτω οὖν τὸν διπλασίονα λόγον κατὰ σύστασιν τὸ ὕδωρ πρὸς τὴν διάνοιαν, καὶ κίνησις πρὸς τὴν διανόησιν, καὶ ὁ λίθος πρὸς τὸ θεώρημα. τοῦτο δὲ καταγέλαστον. καίτοι οἱ χρόνοι αὐτῶν λόγον ἔχουσι πρὸς ἀλλήλους, καὶ οὐδ' ἂν οὕτω τις μανείη, ὡς καὶ ταῦτα φάναι λόγον τινὰ σχήσειν πρὸς ἄλληλα, ἢ τὸν αὐτόν, ἢ ἄλλον ὁντιναοῦν. καὶ τί λέγω ἐπὶ τῶν ἀνομογενῶν κινήσεων. οὐδὲ γὰρ εἰ τὸ μὲν θερμαίνοιτο ἐπὶ ὥραν μίαν, ἄλλο δὲ μελαίνοιτο ἐπὶ ὥρας δύο, ἢ εἰ καὶ ἀμφότερα μελαίνοιτο, τὸ μὲν ἐπὶ μίαν ὥραν, τὸ δὲ ἐπὶ δύο, ἀνάγκη ὡς ἔχουσιν οἱ χρόνοι πρὸς ἀλλήλους, οὕτως ἔχειν καὶ τὰ κινούμενα, κατὰ τὴν σύστασιν. οὐδὲ πάλιν ἐπειδὴ ὁ μὲν χρόνος τῆς σεληνιακῆς κινήσεως λόγον τινὰ ἔχει πρὸς τὸν χρόνον τῆς κινήσεως τοῦ ἑρμοῦ, ἀνάγκη ἤτοι τὰς σφαίρας τὸν αὐτὸν λόγον ἔχειν πρὸς ἀλλήλας κατὰ τὴν σύστασιν, ἢ τοὺς τόπους ἐφ' ὧν κινοῦνται. οὐδ' αὖ πάλιν ἐπειδὴ πάσης εὐθυφορικῆς διὰ σώματος γινομένης κινήσεως ὁ χρόνος λόγον τινὰ ἔχει πρὸς τὸν χρόνον τῆς κινήσεως τῆς σεληνιακῆς σφαίρας, ἀνάγκη δήπου καὶ τὰ ἐφ' ὧν κινοῦνται οἷον ἀὴρ καὶ ἡ ἐπιφάνεια ἡ περιέχουσα τὴν σελήνην, τὸν αὐτὸν λόγον ἔχειν πρὸς ἄλληλα, ἢ ὅλως συμβλητὰ εἶναι. οὐ γὰρ συμβλητὰ τὰ ἀνομογενῆ ὡς καὶ αὐτὸς εἶπε. διὰ πάντων ἄρα δῆλον γέγονεν, ὅτι οὐκ ἀνάγκη εἰ χρόνοι τινὲς λόγον ἔχουσι πρὸς ἀλλήλους, ἤδη καὶ τὰ ὧν εἰσὶν οἱ χρόνοι λόγον τινὰ ἔχειν πρὸς ἄλληλα. χρόνου μὲν γὰρ μία καὶ ἡ αὐτὴ φύσις ἥτις πᾶσαν παραμετρεῖ κίνησιν. οὐ πᾶσα δὲ κίνησις πάσῃ κινήσει συμβλητή. οὐδὲ γὰρ ἡ ἀλλοίωσις τῇ αὐξήσει συμβλητή. οὐδὲ τὸ κατ' ἐπιστήμην ἀλλοιούμενον τῷ λευκαινομένῳ ἢ μελαινομένῳ συμβλητόν. ὥσπερ οὖν ἐπὶ τούτων οἱ μὲν χρόνοι λόγον ἔχουσι πρὸς ἀλλήλους, τὰ δὲ ὧν ὁ χρόνος κατηγορεῖται, διὰ τὸ ἀνομογενῆ εἶναι οὐκ εἰσὶ συμβλητά, οὕτω φημὶ καὶ ἐπὶ τῶν προκειμένων, τὸν μὲν χρόνον τὸν διὰ τοῦ κενοῦ πρὸς τὸν χρόνον τὸν διὰ τοῦ σώματος λόγον ἔχειν τινά, διότι καὶ πᾶς χρόνος πρὸς πάντα χρόνον πεπερασμένον λόγον τινὰ ἔχει, τὸ μέντοι κενὸν πρὸς τὸ πλῆρες οὐδένα ἔχειν λόγον. ἀνομογενῆ γὰρ ταῦτα ἀλλήλοις. τὰ μὲν οὖν ἐκ τῆς κατὰ τόπον κινήσεως ἐπιχειρήματα, ἱκανῶς διεξῆλθεν ὁ λόγος. Τελευταῖον δὲ ἐπιχείρημα, ὅτι οὐδὲ τόπου χρείαν τοῖς σώμασι πληροῖ τὸ κενόν, ὡς ἐκ τούτου συμβαίνειν μάτην αὐτὸ εἶναι, μᾶλλον δὲ μηδὲ εἶναι. οὐδὲν γὰρ μάτην ἐν τοῖς γεγονόσιν. εἰ γὰρ εἴη φησὶ τὸ κενόν, ἀνάγκη τὸ ἐντιθέμενον ἐν αὐτῷ σῶμα διὰ τοσούτου χωρεῖν τοῦ κενοῦ διαστήματος, ὅσον ἐστὶν αὐτό. ὥστε φησὶν ἐπειδὴ κατ' οὐδὲν ἄλλο ἐστὶν ἐν τόπῳ τὸ σῶμα, ἢ καθὸ διάστημά ἐστιν, ἐὰν χωρίσωμεν αὐτοῦ πάντα καθ' ἃ μὴ ἔστιν ἐν τόπῳ, οἷον τὸ χρῶμα καὶ τὰ ἄλλα πάντα, οὐδὲν καταλειφθήσεται πλὴν τοῦ διαστήματος. ὥστε οὐδὲν διοίσει τοῦ διαστήματος τὸ κενόν. εἰ δὲ μηδὲν διαφέρουσιν ἀλλήλων τό, τε τοῦ σώματος διάστημα καὶ τὸ τοῦ κενοῦ, τί ἐδέησεν ἔξωθεν ἄλλο διάστημα παραβαλεῖν τοῖς σώμασιν, ἔχοντος οἴκοθεν ἑκάστου σώματος τὸ οἰκεῖον διάστημα. οὐδὲν ἄρα τοῦ κενοῦ τοῖς σώμασι χρεία. καὶ εἰ δύο διαστήματα ὅμοια ἐχώρησαν δι' ἀλλήλων, καὶ δύο σώματα χωρήσειεν ἄν. τὰ γὰρ σώματα κατ' οὐδὲν ἄλλο, ἢ καθὸ διαστήματά εἰσιν, οὐχ οἷά τε εἰσὶ χωρεῖν δι' ἀλλήλων. οὐ γὰρ καθὸ πεποίωται, χωροῦσι δι' ἀλλήλων, πολλὰς γὰρ κατὰ ταὐτὸν ποιότητας οὐδὲν κωλύει εἶναι, ἀλλὰ καθὸ διαστήματά ἐστι. καὶ εἰ ὅλως δύο, διατί μὴ καὶ πλείονα. καὶ εἰ τὸ διάστημα ᾗ διάστημά ἐστιν, ἑτέρου δεῖται διαστήματος, καὶ τὸ κενὸν ἑτέρου κενοῦ δεηθήσεται. διάστημα γὰρ τὸ κενόν. ὥστε κενὸν ἐν κενῷ ἔσται. ἐγὼ δὲ πρὸς ταῦτα πρῶτον μὲν ἐκεῖνό φημι, ὅτι εἰ δέδεικται ἡμῖν ἐν τοῖς περὶ τοῦ τόπου λόγοις, ὅτι ἐξ ἀνάγκης ἐστὶν ἐν τοῖς οὖσι τοιοῦτον διάστημα κενὸν παντὸς σώματος τῷ ἰδίῳ λόγῳ, ὅπερ καὶ τόπος ἐστὶ τῶν σωμάτων, μάταιον τὸ λέγειν ὅτι ὄντος ἐν ἑκάστῳ τῶν σωμάτων διαστήματος, περιττὸν τὸ ἔξωθεν ἄλλο διάστημα περιβαλεῖν τοῖς σώμασιν. οὐ γὰρ ἡμεῖς πλάττομεν τὰς τῶν πραγμάτων φύσεις, ἀλλ' ὅπως ἔχουσι τὰ πράγματα, γνῶναι σπουδάζομεν. οὐδ' εἰ τὰς αἰτίας τῶν γινομένων μὴ δυνηθῶμεν ἀποδοῦναι,

αὐτόθεν οὐκ ἀφόρατον ἔχει διὰ τὸ μὴ δύνασθαι λαμβάνειν ποῖον λόγον ἔχει ὁ ἀὴρ πρὸς τὸ ὕδωρ κατὰ τὴν σύστασιν. οἷον, πόσῳ μέτρῳ παχύτερόν ἐστι τοῦ ἀέρος τὸ ὕδωρ, ἢ ὅδε ὁ ἀὴρ ἄλλου ἀέρος. ἐξ αὐτῶν δὲ τῶν κινουμένων ἔτι τοῦτο ἐλέγξει. εἰ γὰρ ὃν λόγον ἔχουσιν οἱ χρόνοι τῶν κινήσεων πρὸς ἀλλήλους, τοῦτον ἔχειν ἀνάγκη τὸν λόγον καὶ τὰ δι' ὧν ἡ κίνησις, ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος τοῦ κινουμένου δι' ἀμφοῖν, ἐπειδὴ ἡ διαφορὰ τῶν κινήσεων οὐ μόνον περὶ τὰ δι' ὧν γίνεται, ἀλλὰ καὶ περὶ αὐτὰ τὰ φερόμενα, εὔλογον δήπου εἰ ἐν ἴσῳ καὶ τὸ αὐτὸ δι' οὗ ἡ κίνησις, διάφορα δὲ τὰ κινούμενα κατὰ τὰς ῥοπὰς, ὃν λόγον ἔχουσιν αἱ ῥοπαὶ πρὸς ἀλλήλας, τοῦτον τὸν λόγον ἔχειν καὶ τοὺς χρόνους τῶν κινήσεων πρὸς ἀλλήλους. οἷον εἰ διπλασίων ἡ ῥοπὴ, ἐν τῷ ἡμίσει χρόνῳ γενέσθαι τὴν κίνησιν. καὶ εἰ τὸ διλιτριαῖον βάρος ἐν ὥρᾳ ποδιαῖόν τι διάστημα δι' ἀέρος καταφέρεται, τὸ λιτριαῖον ἐν ἡμιωρίῳ κατενεχθήσεται τὸ αὐτὸ διάστημα. καὶ ἔμπαλιν, ὃν οἱ χρόνοι λόγον ἔχουσι πρὸς ἀλλήλους, τοῦτον ἔχειν ἀνάγκη καὶ τὰ κινούμενα τὸν λόγον. τοῦτο δὲ παντελῶς ἐστι ψεῦδος. καὶ τοῦτό ἐστι πιστώσασθαι. κρεῖττον πάσης διὰ λόγων ἀποδείξεως ἐξ αὐτῆς τῆς ἐναργείας. πολλῷ γὰρ πάνυ μέτρῳ διαφέροντα ἀλλήλων δύο βάρη ἅμα ἀφεὶς ἐκ τοῦ αὐτοῦ ὕψους, ὄψει ὅτι οὐχ ἕπεται τῇ ἀναλογίᾳ τῶν βαρῶν ἡ ἀναλογία τοῦ χρόνου τῶν κινήσεων. ἀλλὰ πάνυ ἐλαχίστη τις ἡ διαφορὰ κατὰ τοὺς χρόνους γίνεται. ὡς εἰ μὴ πολλῷ μέτρῳ διαφέροιεν ἀλλήλων τὰ βάρη, ἀλλ' οἷον τὸ μὲν διπλάσιον εἴη, τὸ δὲ ἥμισυ, οὐδὲ διαφοράν τινα σχήσουσιν οἱ χρόνοι τῶν κινήσεων, ἢ καὶ εἰ σχήσουσιν, οὐκ αἰσθητὴν ἕξουσι, καίτοι τῶν βαρῶν οὐ τοιαύτην ἐχόντων τὴν διαφορὰν, ἀλλὰ διπλασίῳ λόγῳ ἔχοντος τοῦ ἑτέρου πρὸς τὸ ἕτερον. εἰ δὲ διαφόρων ὄντων τῶν κινουμένων, ἑνὸς δὲ καὶ τοῦ αὐτοῦ δι' οὗ κινοῦνται, οὐχ ὃν λόγον ἔχουσι πρὸς ἄλληλα τὰ σώματα, τοῦτον ἔχουσι πρὸς ἀλλήλους τὸν λόγον καὶ οἱ χρόνοι τῶν κινήσεων. καὶ ἔμπαλιν, οὐχ ὃν λόγον ἔχουσιν οἱ χρόνοι, τοῦτον καὶ τὰ κινούμενα. διάφορα δὲ τὰ δι' ὧν κινοῦνται οἷον ἀὴρ καὶ ὕδωρ, μὴ ὃν λόγον ἔχουσι πρὸς ἄλληλα ὁ ἀὴρ καὶ τὸ ὕδωρ, τοῦτον τὸν λόγον ἔχειν καὶ τοὺς χρόνους τῶν κινήσεων τὸν διὰ τοῦ ἀέρος, καὶ τὸν διὰ τοῦ ὕδατος. μηδὲ ὃν λόγον ἔχουσιν οἱ χρόνοι πρὸς ἀλλήλους, τοῦτον ἔχειν καὶ τὸ ὕδωρ, καὶ τὸν ἀέρα, δι' ὧν ἡ κίνησις. εἰ δὲ μὴ, ἕπεται τῷ λόγῳ τῆς διαφορᾶς τῶν σωμάτων ἡ διαφορὰ τῶν χρόνων. ἐὰν ἅμα διπλασίως λεπτόν τι σῶμα ληφθῇ, οὐκ ἐν τῷ ἡμίσει χρόνῳ κινηθήσεται, ἀλλ' ἐν πλείονι. καὶ ὅπερ ἐν τοῖς ἔμπροσθεν εἶπον, ὅσῳ ἂν λεπτύνηται τὸ σῶμα, μειοῦται μὲν ὁ χρόνος ὁ προστιθέμενος ἐκ τῆς τοῦ σώματος διαιρέσεως, οὐδέποτε δὲ δαπανᾶται καὶ μειοῦται κατὰ τὴν ἀναλογίαν τῆς λεπτύνσεως ὡς εἴρηται. οὐδὲ γὰρ τὸ διπλασίως λεπτὸν ἐν τῷ ἡμίσει κινηθήσεται χρόνῳ. ὥς γε εἰ μὴ ὅσῳ λεπτύνεται τὸ σῶμα, τοσούτῳ μέτρῳ μειοῦται ὁ χρόνος, μειουμένου τε τὸ σῶμα λεπτύνεται, οὐδέποτε δαπανᾶται ὁ χρόνος ὁ ἐκ τῆς διαιρέσεως, τοῦ δι' οὗ γίνεται ἡ κίνησις σώματος προστιθεμένου. οὐδέποτε ἅμα ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάστημα πλῆρές τε ὂν καὶ κενὸν κινηθήσεταί τι. τούτων δεδειγμένων, κἀκεῖνό ἐστι συναποδεδειγμένον, ὅτι οὐδέποτε τὸ κενὸν λόγον τινὰ ἕξει πρὸς τὸ πλῆρες, οὐδὲ ἕπεται τοῦτο τῷ λέγειν διὰ κενοῦ δύνασθαι γενέσθαι κίνησιν. ὅτι μὲν οὖν τὸν αὐτὸν λόγον οὐδέποτε ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες, δῆλον. ἐπεὶ μηδὲ τοὺς χρόνους τοὺς αὐτοὺς ἐνδέχεται εἶναι, τόν τε διὰ κενοῦ, καὶ τὸν διὰ πλήρους, ἴσων ὄντων τῶν διαστημάτων, καὶ ὅτι τῶν χρόνων λόγον τινὰ ἐχόντων πρὸς ἀλλήλους, οὐκ ἀνάγκη καὶ τὰ δι' ὧν ἡ κίνησις τοῦτον ἔχειν τὸν λόγον πρὸς ἄλληλα εἴρηται. ὅτι δὲ οὐδ' ὅλως λόγον τινὰ τὸν τυχόντα ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες, κἂν οἱ χρόνοι τῶν κινήσεων λόγον τινὰ πρὸς ἀλλήλους ἔχωσι, δῆλον ἐντεῦθεν. εἰ γὰρ ἡ διαφορὰ τῶν κινήσεων μὴ μόνον παρὰ τὸ δι' οὗ γίνεται, ἀλλὰ καὶ παρ' αὐτὰ τὰ φερόμενα, τὸ δὲ δι' οὗ αἴτιον γίνεται τοῦ χρόνου τῆς κινήσεως ἐμποδιστικὸν, ἐμποδίζει γὰρ τῇ συστάσει τῆς σωματότητος χρόνου δεομένης ἵνα διαιρεθῇ. ὅταν δὲ διὰ κενοῦ γίνηται ἡ κίνησις, χρόνος μὲν δαπανᾶται, διότι ἁπλῶς πᾶσα κίνησις ἐν χρόνῳ, διὰ τὸ μὴ ἐνδέχεσθαι τὸ κινούμενον ἅμα εἶναι ἐν ἀμφοτέροις τοῖς ἄκροις, τοσόσδε μέντοι ἢ τοσόσδε χρόνος διὰ τὴν οἰκείαν ἑκάστου ῥοπὴν γίνεται. δι' αὐτὸ δὲ τὸ κενὸν, ᾗ κενόν ἐστιν, οὐδένα δαπανᾷ χρόνον τὰ κινούμενα, ὡς διὰ τὸ σῶμα. ὅταν διὰ σώματος κινῶνται. οὐδὲ γὰρ ὅλως ἐστί τις σύστασις τοιαύτη τοῦ κενοῦ, οἷον σωματότης τις, ὥστε καὶ δεῖσθαι διαιρέσεως, ἀλλὰ μόνον ὑπόκειται ὡς διάστημα ἀσώματον τῷ φερομένῳ, καὶ χώρα, μηδὲν αὐτῷ τὸ σύνολον ἐμποδίζον. πῶς οἷόν τε λέγειν. οἷον εἰ διὰ κενοῦ εἴη κίνησις, λόγον τινὰ ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες κατὰ τὴν σύστασιν. εἰ γὰρ διὰ μὲν τὴν σωματικὴν σύστασιν καὶ παχυμέρειαν δαπανᾶταί τις χρόνος ἐν τῇ κινήσει, διὰ δὲ τὸ κενὸν ὡς κενὸν, οὐδὲ εἷς δαπανᾶται χρόνος, χρόνων μὴ ὄντων τῶν συγκρινομένων πρὸς ἀλλήλους, λέγω δὲ τοῦ διὰ κενὸν, καὶ τοῦ διὰ τὸ σῶμα, ἀλλ' ἑνὸς μόνου ὄντος χρόνου, οὐδ' ἂν τὸ κενὸν συγκρίνοιτο ἄν, καὶ λόγον ἔχοι τινὰ πρὸς τὸ πλῆρες. εἰ γὰρ διὰ τὸ τοὺς χρόνους ἔχειν πρὸς ἀλλήλους λόγον, συνῆξεν ὁ ἀριστοτέλης καὶ τὸ κενὸν πρὸς πλῆρες λόγον ἔχειν τινὰ, ἐπειδὴ δέδεικται ὅτι διὰ μὲν τὸ σῶμα ὡς σῶμα χρόνος τις προστίθεται τοῖς διὰ σώματος κινουμένοις, διὰ δὲ τοῦ κενοῦ ὡς κενοῦ, οὐδὲ εἷς προστίθεται χρόνος τοῖς διὰ κενοῦ κινουμένοις, ἀνάγκη τῶν χρόνων τοῦ κενοῦ καὶ τοῦ πλήρους μηδένα ἐχόντων λόγον πρὸς ἀλλήλους, διὰ τὸ μηδὲ εἶναι ὅλως δύο χρόνους, ἀλλ' ἕνα αὐτὸν διὰ τὸ σῶμα, μηδὲ τὸ κενὸν καὶ τὸ σῶμα λόγον τινὰ ἔχειν πρὸς ἄλληλα. ὡς μὲν γὰρ διαστήματα ἁπλῶς τὸ κενὸν καὶ τὸ πλῆρες, οἷον

κατώφορον, ἢ ἀνώφορον ἔχουσιν αἱ ῥοπαὶ οὐ διὰ τὴν πρὸς ἄλλο σχέσιν, ἀλλὰ δι' ἑαυτάς, διαφόρως οὔσης τῆς βαρύτητος ἐν τοῖς σώμασι διάφορον ἀνάγκη καὶ τὴν κάτω φορὰν εἶναι, οὐ δι' ἄλλο τι ἢ δι' ἑαυτήν. οὐδεμία γὰρ ῥοπὴ τῶν πρός τι. ταῦτα καὶ ἐπὶ κουφότητος ἐροῦμεν. ὅτι μὲν οὖν καὶ εἰ διὰ κενοῦ ἐγένετο ἡ κίνησις, οὐχ ὅμως ἀνάγκη ἰσοταχῶς πάντα κινεῖσθαι, οὐδὲ ἔχει τι ἀναγκαῖον τὸ ἐπιχείρημα, δι' οὗ τοῦτο δοκεῖ κατασκευάζειν ὁ ἀριστοτέλης, μετρίως δέδεικται. τούτου δὲ δεδειγμένου, καὶ τὸ πρότερον πρόβλημα ἂν εἴη συναποδεδειγμένον. λέγω δὴ ὅτι ἐνδέχεται διὰ κενοῦ κίνησιν γενέσθαι ἐν χρόνῳ. εἰ γὰρ ὅλως τὸ θᾶττον καὶ βραδύτερον τῶν κινήσεων, καὶ κενοῦ ὄντος οὐδὲν ἧττον σώζεται, τὸ δὲ θᾶττον καὶ βραδύτερον χρόνῳ κρίνεται. τὸ γὰρ ἐν πλείονι χρόνῳ τὸ αὐτὸ κινηθὲν διάστημα βραδυκινητότερον, ὥσπερ οὖν τὸ ἐν ἐλάττονι ταχυκινητότερον, δηλονότι καὶ τὰ ἐπὶ κενοῦ κινούμενα, εἴγε κενὸν ἦν δι' οὗ ἡ κίνησις ἐγένετο, ἐν χρόνῳ πάντως ἂν ἐκινήθη. ὅτι δὲ ἃ δοκεῖ συνάγειν ἄτοπα ὁ ἀριστοτέλης ὡς ἑπόμενα τῷ λόγῳ τῷ λέγοντι διὰ κενοῦ δύνασθαι κίνησιν γενέσθαι, οὐχ ἕπεται τῷ λόγῳ τούτῳ, δείξομεν ἐφεξῆς. εἰ γὰρ τὸ κατωφορα εἶναι τὰ σώματα, μὴ δι' ἄλλο τι ἔχουσιν, ἢ διὰ τὰς ἐμφύτους ῥοπάς, καὶ διὰ τοῦτο μᾶλλον τὸ βαρὺ ἐν πλείονι χρόνῳ καταφέρεται, κἂν διὰ κενοῦ ἡ κίνησις γίνηται. καὶ ἔτι εἰ τὸ σῶμα, δι' οὗ κινοῦνται τὰ διὰ τοῦ σώματος κινούμενα, ἐμποδιστικόν ἐστι τῶν φερομένων, ἔστι δηλονότι ὁ χρόνος, ὃς δαπανᾶται ἐν ἑκάστῃ κινήσει, κατὰ τὴν ἀναλογίαν τῶν ἐνυπαρχόντων ῥοπῶν ἐν τοῖς σώμασι, κἂν μηδὲν ᾖ τὸ ἐμποδίζον. λέγω δὴ σῶμά τι, δι' οὗ ἡ κίνησις γίνεται. οἷον ἀήρ, ἢ ὕδωρ. εἰ γὰρ τὸ δι' οὗ ὡς ἐμποδιστικόν, τῆς ἀνίσου κινήσεως αἴτιόν ἐστιν, αἱ ῥοπαὶ φυσικαί, ὡς ποιητικαὶ αἴτιαι ἂν εἶεν. ὥστε κἂν ἀναιρεθῇ τὸ ἐμποδίζον, δαπανᾶταί τις χρόνος ἐν τῇ ἑκάστου κινήσει κατὰ τὴν ἀναλογίαν τῆς μείζονος, ἢ ἐλάττονος ῥοπῆς, ἢ πλείων, ἢ ἐλάττων. εἰ δὲ δαπανᾶταί τις χρόνος δι' ἑκάστην τῶν ῥοπῶν αὐτὴν καθ' αὑτὴν ἐν τῇ κινήσει, οὐδέποτε συμβήσεται ἐν τῷ αὐτῷ χρόνῳ τὸ ἴσον διάστημα πλῆρές τε ὂν καὶ κενὸν ἓν καὶ τὸ αὐτὸ κινηθῆναι. εἰ γὰρ σταδιαῖόν τι διάστημα κινηθείη τι πεπληρωμένον ἀέρος, καὶ μὴ ἔστι τὸ κινούμενον καθ' ἓν καὶ τὸ αὐτὸ νῦν, ἔν τε τῇ ἀρχῇ τοῦ σταδίου, καὶ ἐν τῷ τέλει. δαπανᾶται μέν τις χρόνος, καὶ διὰ ταῦτα καθ' αὑτὰ τὰ φερόμενα σώματα, καὶ εἰ κενὸν ἦν τὸ διάστημα, μέχρις ἂν ἐκ τῆς ἀρχῆς ἀφίκηται ἐπὶ τὴν τελευτήν. οὐ γὰρ ὡς εἶπον, ἐν τῷ αὐτῷ νῦν ἐν ἀμφοτέροις ἐστὶ τοῖς ἄκροις. δαπανᾶται δέ τις καὶ ἄλλος χρόνος διὰ τὸ ἐμποδίζον. ἡ γὰρ ὦσις, ἤγουν διαίρεσις, δυσκινητότερον ποιεῖ τὸ φερόμενον. ὥστε ὅσῳ ἂν λεπτομερέστερος ἐπινοηθείη ὁ ἀήρ, δι' οὗ κινεῖται, τοσούτῳ καὶ ὁ χρόνος ὃν ἐδαπάνα εἰς διαίρεσιν τοῦ ἀέρος μειωθήσεται, κἂν ἐπ' ἄπειρον λεπτύνηται τὸ σῶμα. ἐπ' ἄπειρον γὰρ διαιρετὸς ὁ χρόνος. οὐδέποτε μέντοι ἥξει, κἂν ἐπ' ἄπειρον λεπτύνηται τὸ σῶμα εἰς τοῦτον τὸν χρόνον, ὃν καὶ διὰ κενοῦ κινούμενον τοῦ σταδιαίου διαστήματος ἐδαπάνα. σαφέστερον δι' ὑποδειγμάτων ποιήσω τὸν λόγον. εἰ λίθος εἴη τὸ κινούμενον, καὶ κινηθείη ἐπὶ τοῦ σταδιαίου διαστήματος κενοῦ ὄντος, ἔστι μέν τις ἐξ ἀνάγκης χρόνος, ὃν δαπανήσει κινούμενος σταδιαῖον διάστημα, οἷον ὥρα. ἐὰν δὲ τοῦτο τὸ σταδιαῖον διάστημα πλῆρες ὕδατος ἐπινοήσωμεν, οὐκέτι ἐν τῇ μιᾷ κινηθήσεται ὥρᾳ τὸ σταδιαῖον, ἀλλὰ προστεθήσεταί τις καὶ ἄλλος χρόνος διὰ τὸ ἐμποδίζον. δαπανάσθω οὖν εἰς διαίρεσιν τοῦ ὕδατος, καὶ ἑτέρα μία ὥρα. ὥστε τὸ αὐτὸ βάρος, διὰ κενοῦ μὲν ἐν ὥρᾳ κεκίνηται, δι' ὕδατος δὲ ἐν δύο ὥραις. ἐὰν οὖν λεπτύνῃς τὸ ὕδωρ, καὶ ποιήσῃς ἀέρα, εἰ διπλασίως εἴη λεπτότερος τοῦ ὕδατος ὁ ἀήρ, τοσούτῳ καὶ ὁ χρόνος μειωθήσεται ὃν ἐδαπάνα ἐν τῇ τοῦ ὕδατος διαιρέσει. ἦν δὲ ὥρα μία. ἐν μιᾷ ἄρα καὶ ἡμισείᾳ ὥρᾳ τὸ αὐτὸ διάστημα δι' ἀέρος κινηθήσεται. κἂν πάλιν τὸν ἀέρα λεπτύνῃς διπλασίως, ἐν μιᾷ καὶ τετάρτῳ ὥρας κινηθήσεται. κἂν ἐπ' ἄπειρον λεπτύνῃς τὸ σῶμα, ἐπ' ἄπειρον μὲν μειώσεις τὸν χρόνον ὃν ἐδαπάνα εἰς τὴν τοῦ σώματος διαίρεσιν, λέγω δὴ τὴν ὥραν μίαν, οὐδέποτε δὲ δαπανήσεις. ἐπ' ἄπειρον γὰρ ὁ χρόνος διαιρετός. εἰ δὲ μηδέποτε δαπανᾷς τὸν χρόνον λεπτύνων τὸ σῶμα, ἀλλ' ἀεὶ ἐπὶ σώματος γινομένης τῆς κινήσεως προστίθεταί μόριόν τι καὶ τῆς ἄλλης ὥρας κατὰ τὴν ἀναλογίαν τῆς λεπτότητος τοῦ σώματος, εὔδηλον δήπου ὅτι οὐδέποτε ἐν ἴσῳ χρόνῳ τὸ στάδιον, διὰ κενοῦ, καὶ διὰ πλήρους κινηθήσεται. διὰ κενοῦ μὲν γάρ, ἐν μιᾷ ὥρᾳ ἐκινεῖτο. διὰ σώματος δὲ ἐν μιᾷ καὶ μορίῳ. ὅσῳ γὰρ ἂν λεπτότερον ἐπινοηθείη τὸ σῶμα, οὐδέποτε δαπανᾶται. ὥστε οὐδέποτε ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάστημα πλῆρές τε ὂν διεξελεύσεται καὶ κενόν. τοῦτο δὲ συνήγαγεν ὁ ἀριστοτέλης, διὰ τὸ τὰς ἰδίας ὑποθέσεις ἀνελεῖν λέγω δὴ τὸ γίνεσθαι, διαφόρους τὰς κινήσεις, καὶ παρ' αὐτὴν τὴν τῶν κινουμένων διαφοράν. εἰ γὰρ γίνεταί τις χρόνος καὶ παρὰ τὰς διαφόρους ῥοπὰς διάφορος, γίνεται δέ τις καὶ ἄλλος χρόνος διὰ τὴν τοῦ σώματος διαίρεσιν δι' οὗ ἡ κίνησις γίνεται, οὐδέποτε τὸ αὐτὸ διάστημα ἐν ἴσῳ χρόνῳ κινηθήσεταί τι πλῆρές τε ὄν, καὶ κενόν. τὸ γὰρ λέγειν ὅτι ἐν δύο ὥραις τὸ στάδιον διὰ σώματος κινεῖται, ἐν δὲ μιᾷ διὰ κενοῦ, ἐὰν λάβω τοσοῦτον λεπτομερέστερον σῶμα, οἷον διπλασίως λεπτόν, τὸ αὐτὸ διάστημα ἐν τῷ ἡμίσει τοῦ χρόνου, λέγω δὴ ἐν μιᾷ ὥρᾳ, διὰ τοῦ λεπτομερεστάτου σώματος κινηθήσεται. ἐκινεῖτο δὲ καὶ διὰ κενοῦ τὸ αὐτὸ διάστημα. τοῦτο δὲ παντελῶς ψεῦδος, καὶ παρὰ τὴν ἐνάργειαν αὐτήν ἐστι. οὐ γὰρ ἀληθῶς λαμβάνει, ὅτι ὃν λόγον ἔχει πρὸς ἄλληλα τὰ δι' ὧν ἡ κίνησις, τοῦτον τὸν λόγον ἔχουσι καὶ οἱ χρόνοι τῶν κινήσεων πρὸς ἀλλήλους. τοῦτον καὶ τὰ δι' ὧν ἡ κίνησις τὸν λόγον ἔχουσι πρὸς ἄλληλα. πιθανὸν μὲν γὰρ εἶναι δοκεῖ τοῦτο καὶ τὸν ἔλεγχον

διαφόρων ὄντων τῶν δι' ὧν. τοῦτο δὲ παρὰ τὴν ἐνάργειαν ἐναργῶς γίνεται. τὰ γὰρ αὐτὰ διὰ τοῦ αὐτοῦ κινούμενα ἀνισοταχῶς κινοῦνται, ὡς διαφόρων οὐσῶν ἐν αὐτοῖς τῶν κινητικῶν αἰτιῶν. ὡς ἀνάγκη διαφόρους οὔσας, αὐτὰς δι' ἑαυτὰς διαφόρους ποιεῖσθαι καὶ τὰς ἐνεργείας, κἂν μὴ διὰ σώματος, ἀλλὰ διὰ κενοῦ κινῶσι τὰ ὑποκείμενα αὐταῖς σώματα. ἄλλως τε αὐτὸς εἰρηκὼς δύο αἰτίας τῆς ἀνισοταχοῦς κινήσεως, τό, τε διαφέρειν τὸ δι' οὗ, καὶ τὸ διαφέρειν τὸ φερόμενον, πῶς ἐστι τὸ δι' οὗ διάφορον κινήσεως αἴτιον, προσέθηκε. τὸ μὲν οὖν δι' οὗ φέρεται φησὶν αἴτιον, ὅτι ἐμποδίζει καὶ ἀντιφερόμενον, καὶ μένον, διὰ τὸ δεῖσθαι διαιρέσεως. εἰ τοίνυν δύο μὲν αἰτίαι τοῦ μὴ ἰσοταχῶς πάντα κινεῖσθαι τὰ κινούμενα, ἥ τε διαφορὰ τῶν δι' ὧν καὶ ἡ διαφορὰ τῶν φερομένων, ἡ δὲ ἑτέρα ποιητικὴ αἰτία ἐστί, οὐ γὰρ ἂν ἄλλην ἐπινοήσειέ τις, ἐὰν ἄρα ὑπεξαιρεθῇ τὸ ἐμποδίζον, μένει οὐδὲν ἧττον ἡ ἐν τοῖς κινουμένοις τῆς ἀνίσου κινήσεως αἰτία ποιητικὴ οὖσα. οὐ γὰρ δὴ ἡ βαρύτης ἐν σχέσει ἄλλου τὸ εἶναι ἔχει. ποιότης γάρ ἐστιν αὕτη καθ' αὑτὴν ὑπάρχουσα τοῖς σώμασι. ἐπεὶ οὖν ἡ βαρύτης τὸ ποιητικόν ἐστιν αἴτιον τῆς ἐπὶ τὸ κάτω κινήσεως, ὡς καὶ αὐτῷ δοκεῖ, ὄντος καὶ διαστήματος δι' οὗ ἐνεχθείη τὸ κινούμενον, λέγω δὴ τοῦ κενοῦ, οὔσης καὶ τῆς ποιητικῆς αἰτίας τῆς κινήσεως διαφόρου, καὶ μηδενὸς ὄντος τοῦ ἐμποδίζοντος, ἀνάγκη πᾶσα ἄνισον γίνεσθαι καὶ τὴν διὰ κενοῦ κίνησιν. ὥστε καὶ εἰ κενὸν ἦν, οὐκ ἀνῄρηται ἡ ἄνισος κίνησις. καὶ ἄλλως, εἰ μὴ αὐτὰ καθ' αὑτὰ τὰ ἄνισα σώματα, καὶ μὴ διὰ σώματος κινῶνται, ἀλλὰ διὰ κενοῦ, ἔχουσι τὸ αἴτιον τῆς ἀνίσου κινήσεως, τί δήποτε διὰ τοῦ ἀέρος κινουμένου τοῦ ταλαντιαίου βάρους καὶ τοῦ λιτριαίου, θᾶττον καταφέρεται τὸ ταλαντιαῖον. ὁμοίου γὰρ ὄντος ἑαυτῷ τοῦ ἀέρος, καὶ τῶν σωμάτων αὐτῶν καθ' αὑτὰ ἰσοταχῶν ὄντων, τί ἐστι τῆς ἀνίσου κινήσεως τὸ αἴτιον. εἷς γὰρ ὢν καὶ αὐτὸς ὁ ἀήρ, τῶν αὐτῶν αἴτιος ὤφειλεν εἶναι. δῆλον οὖν ὅτι αἱ ῥοπαὶ τῶν σωμάτων, πεφυκυῖαι ἡ μὲν μᾶλλον φέρεσθαι κάτω, ἡ δὲ ἧττον, ταύτην τὴν διαφορὰν τῆς ἀνίσου κινήσεως ἔχουσι. τὸ γὰρ μᾶλλον κατωφερὲς μᾶλλον διαιρεῖ. τίνα γὰρ ἄλλην ἀποδώσομεν αἰτίαν τοῦ θᾶττον διαιρεῖσθαι ὑπὸ τοῦ βαρυτέρου τὸν ἀέρα, ἢ ὅτι τὸ μείζονα ἔχον τὴν ῥοπὴν τὴν βαρεῖαν, μᾶλλον κατωφερές ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, κἂν μὴ διὰ σώματος κινῆται. μᾶλλον δὲ κατωφερὲς ὄν, μᾶλλον ὠθεῖ τὸν ἀέρα τῇ βίᾳ τῆς ῥύμης. μᾶλλον δὲ ὠθούμενος ὁ ἀήρ, θᾶττον ὑπεξίσταται. ὥστε εἰ τῷ μᾶλλον κατωφερὲς εἶναι, μᾶλλον τέμνει, κἂν μηδὲν ᾖ τὸ τεμνόμενον, μᾶλλον ἔσται κατωφερὲς οὐδὲν ἧττον. οὐδὲ γὰρ τὸ μείζονα ῥοπὴν ἔχον διὰ τὸ μᾶλλον τέμνειν μᾶλλόν ἐστι κατωφερές, ἀλλὰ διὰ τὸ μᾶλλον εἶναι κατωφερὲς μᾶλλον τέμνει. ἕπεται γὰρ οὐ τὸ φέρεσθαι τῷ τέμνειν, ἀλλὰ τὸ τέμνειν τῷ φέρεσθαι, ὅταν διὰ σώματος ἡ φορὰ γίνηται. εἰ δὲ τὸ μᾶλλον εἶναι κατωφερὲς ἢ ἧττον ἐξ αὑτῶν ἔχει τὰ σώματα, κἂν ἐπὶ κενοῦ δηλονότι κινηθῶσιν, ἕξουσιν ἐν ἑαυτοῖς τὴν τοιαύτην διαφοράν, καὶ κινηθήσεται τὸ αὐτὸ διάστημα κενὸν ὂν τὸ βαρύτερον ἐν ἐλάττονι χρόνῳ, ἐν πλείονι δὲ τὸ ἧττον βαρύ, οὐ διὰ τὸ ἧττον ἐμποδίζεσθαι ἢ μᾶλλον, ἀλλὰ διὰ τὸ κατωφερὲς εἶναι μᾶλλον ἢ ἧττον κατὰ τὴν ἀναλογίαν τοῦ ἐμφύτου βάρους. οὐ γὰρ τῶν πρός τι αἱ ποιότητες, οὐδὲ ἐν σχέσει τῇ πρὸς ἀλλήλας τὸ εἶναι ἔχουσιν. ὥσπερ τὸ ὁρατὸν καὶ ἡ ὄψις. τὸ γοῦν χρῶμα, ὡς μὲν ὁρατόν, τῶν πρός τί ἐστιν. ὡς μέντοι χρῶμα λευκόν, ἢ μέλαν, ἄλλο τί ἐστι καὶ οὐ τῶν πρός τι. οὐ γὰρ τὸ εἶναι χρώματι αὐτῷ δι' ἄλλο ὑπάρχει, ἀλλὰ δι' αὑτό. ποιότης γὰρ τὸ χρῶμα. οὕτω καὶ ἡ βαρύτης καὶ ἡ κουφότης οὐ δι' ἄλλο τι ὑπάρχει τοῖς ἔχουσι βάρος, ἢ κουφότητα, ἢ δι' αὐτά. ἔστι δὲ βαρύτης ποιητικὸν μὲν αἴτιον τῆς ἐπὶ τὸ κάτω φορᾶς, κουφότης δὲ ἐπὶ τὸ ἄνω. ὅταν οὖν ἐν τῷ παρὰ φύσιν ὑπάρχωσι τόπῳ τὰ ἔχοντα βάρος, ἢ κουφότητα, μηδενὸς ὄντος τοῦ ἐμποδίζοντος. ἡ γὰρ ἀνεχομένη βῶλος, ἢ κρεμαμένη ἐν τῷ ἀέρι, ἐν τῷ παρὰ φύσιν οὖσα τόπῳ, ὅμως οὐ φέρεται ἐπὶ τὸ κάτω διὰ τὸ ἐμποδίζον. καὶ ἐν τῷ ὕδατι δὲ τὸ ξύλον οὐ πέφυκε κινεῖσθαι καὶ φέρεσθαι ἐπὶ τὸ κάτω, ἀλλ' ἐπίκειται τῷ ὕδατι διὰ τὸ μανότερον εἶναι κατὰ τὴν τῶν μορίων θέσιν, καὶ πολὺν ἔχειν κατεσπαρμένον ἐνεργείᾳ ἀέρα. ἐπεὶ οὖν οὐ πέφυκεν ὑφιζάνειν τῷ ὕδατι ὁ ἀήρ, ἐπιπολάζει δὲ αὐτῷ, διὰ τοῦτο οὐ φέρεται τὸ ξύλον δι' ὕδατος ἐπὶ τὸ κάτω, ἀλλ' ἀνέχεται ὑπὸ τοῦ ἐν αὐτῷ ἀέρος πολλοῦ ὄντος. ὅπερ καὶ ἐπὶ τῶν πεφυσημένων ἀσκῶν γίνεται. ὥστε καὶ ἐν τούτοις βιαιότερον ὂν τὸ ἐμποδίζον ὁ ἀήρ, κωλύει τὴν κατὰ φύσιν τοῦ ξύλου ἐπὶ τὸ κάτω φορὰν ἐν τῷ ὕδατι. ἐν μέντοι τῷ ἀέρι φέρεται τὸ ξύλον, ἐπειδὴ ἕκαστον ἐν τῇ ἑαυτοῦ ὁλότητι ὂν οὐ πέφυκεν ἐνεργεῖν κατὰ τὴν ἔμφυτον ῥοπήν, τοῦ ἐν τῷ ξύλῳ ἀέρος ἐν τῷ ἀέρι μὴ ἐνεργοῦντος κατὰ τὴν ἔμφυτον ῥοπήν. ἡ φυσικὴ ἄρα τοῦ ξύλου βαρύτης διὰ τὸ ἐν τῷ παρὰ φύσιν εἶναι τόπῳ, κινεῖ ἐπὶ τὸ κάτω τὸ ξύλον. καὶ ὅτι ὁ κατεσπαρμένος ἐν τοῖς ξύλοις ἐνεργείᾳ ἀήρ, οὔτε μὴ πεφυκὼς ὑφιζάνειν τῷ ὕδατι, φέρεται ἐπὶ τὴν οἰκείαν ὁλότητα, καὶ ταύτῃ τὸ ξύλον ἐπιπολάζειν ποιεῖ τῷ ὕδατι. ὅπερ ὡς εἶπον καὶ ἐπὶ τῶν ἀσκῶν συμβαίνει. δεικνῦσι δὲ τὰ πυκνότερα τῶν ξύλων, οἷον πύξος, καὶ ἔβενος. τῇ γὰρ πυκνότητι τῆς οὐσίας, οὐκ ἔχοντα ἐγκατεσπαρμένον ἀέρα τὸν ἀνωθοῦντα, φέρονται ἐπὶ τὸ κάτω καὶ δι' ὕδατος ὑπὸ τῆς ἐμφύτου βαρύτητος μηδενὸς ἐμποδίζοντος. οὕτως ἄρα πανταχοῦ ἡ ἔμφυτος ῥοπὴ φέρεται ἐπὶ τὸ οἰκεῖον, δι' οὐδὲν ἕτερον, ἢ δι' ἑαυτήν, εἰ μὴ ἄν τι τὸ ἐμποδίζον. εἰ τοίνυν τὸ

πρὸς τὰ ἀριστοτέλους ἐπιχειρήματα τὰ δεικνύειν πειρώμενα, ὅτι εἰ ἦν κενόν, οὐκ ἂν ἐκινήθη τι δι' αὐτοῦ. καὶ ὅτι εἰ μὴ κενόν ἐστι κεχωρισμένον πάντη τῶν σωμάτων, ἀλλ' οὖν ἔστι τὸ ὡς πεπληρωμένον κενόν, ὅπερ καὶ τόπος ἐστὶ τῶν σωμάτων, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἀπελέγξαμεν. καὶ νῦν δὲ τοὺς ἀναιροῦντας τοῦτο λόγους δείξομεν οὐδεμίαν ἀνάγκην ἔχοντας. πρῶτον δὲ ἐν συντόμῳ τῶν ἐπιχειρημάτων μνησθῶμεν ἀναγκαῖον. Τῆς ἀνίσου τῶν σωμάτων κινήσεως δύο ἐστὶν αἴτια· μία μὲν τὸ διάφορον εἶναι τὸ δι' οὗ κινεῖται, κἂν ἴσα καὶ ὅμοια ᾖ τὰ κινούμενα. ἑτέρα δὲ ἡ τῶν κινουμένων διαφορά, κἂν τὸ δι' οὗ κινοῦνται ἓν ᾖ καὶ τὸ αὐτό. λαμβάνει οὖν πρῶτον μὲν τὸ κινούμενον τὸ αὐτό· φερόμενον δὲ τοῦτο ποτὲ μὲν δι' ὕδατος, ποτὲ δὲ δι' ἀέρος, ἴσων ὄντων τοῖς διαστήμασι· καὶ εὑρίσκει ὅτι ἐν πλείονι χρόνῳ κινεῖται διὰ τοῦ ὕδατος, ἢ διὰ τοῦ ἀέρος. καὶ λαμβάνει ὅτι ὃν λόγον ἔχει ὁ χρόνος πρὸς τὸν χρόνον, τοῦτον τὸν λόγον ἔχει καὶ τὸ ὕδωρ πρὸς τὸν ἀέρα, κατὰ τὴν σύστασιν. ὅσῳ γὰρ ὑπερέχει ὁ διὰ τοῦ ὕδατος χρόνος τοῦ χρόνου τοῦ διὰ τοῦ ἀέρος, τοσούτῳ παχύτερον καὶ δυσδιαιρετώτερον τὸ ὕδωρ τοῦ ἀέρος. οὔσης οὖν φησι ταύτης τῆς ἀναλογίας τῶν κινήσεων, καὶ τῶν χρόνων αὐτῶν, καὶ ἔτι τῶν δι' ὧν κινοῦνται. εἰ γάρ ἐστι φησὶ διὰ κενοῦ κίνησις, ἐν χρόνῳ πάντως γενήσεται. ἕξει οὖν λόγον τινὰ ὁ χρόνος ὁ διὰ τοῦ κενοῦ πρὸς τὸν χρόνον τὸν διὰ τοῦ πλήρους. οὐκοῦν καὶ τὸ κενὸν πρὸς τὸ σῶμα ἕξει λόγον τινά. τοῦτο δὲ ἀδύνατον. οὐδένα γὰρ λόγον ἐνδέχεται ἔχειν τὸ μὴ ὂν πρὸς τὸ ὄν. οὐδ' ἄρα οἱ χρόνοι τῶν κινήσεων ἕξουσι λόγον πρὸς ἀλλήλους. ἀλλὰ μὴν πᾶς χρόνος πεπερασμένος πρὸς πάντα χρόνον πεπερασμένον λόγον ἔχει τινά. ἐν οὐδενὶ ἄρα χρόνῳ διὰ τοῦ κενοῦ κινηθήσεται. ταυτὸν δὲ εἰπεῖν, οὐ κινηθήσεται. οὐδεμία γὰρ κίνησις ἄχρονος. Καὶ τὸ ἕτερον δὲ ἐπιχείρημα δῆλον, ὅτι εἰ διὰ κενοῦ κίνησις εἴη, συμβήσεται διὰ κενοῦ καὶ διὰ πλήρους τὸ αὐτὸ διάστημα κινηθῆναι. ὅπερ ἄτοπον. ἐὰν γὰρ λάβω λεπτομερέστερον τοῦ ἀέρος σῶμα τοῦτον τὸν λόγον ἔχον πρὸς τὸν χρόνον τοῦ ἀέρος, καὶ ἐναπόθωμαι τοῦτο ἐν τῷ διαστήματι τοῦ κενοῦ, ἐν τοσούτῳ χρόνῳ κινηθήσεται διὰ τοῦ λεπτοτάτου σώματος, ἐν ὅσῳ ἐκινεῖτο διὰ τοῦ κενοῦ. ὥστε ἐν τῷ αὐτῷ χρόνῳ ἴσον διάστημα πλῆρές τε ὂν καὶ κενὸν κινηθήσεται. ὅπερ ἀδύνατον. ταῦτα μὲν οὖν τὰ ἐπιχειρήματα ἐκ τῆς διαφορᾶς τῶν δι' ὧν ἡ κίνησις, τέθεικεν. Ἀλλὰ κἂν τὸ αὐτὸ μὲν λάβωμεν δι' οὗ ἡ κίνησις, διάφορα δὲ τὰ κινούμενα, εὑρήσομεν πάλιν φησὶν ἀδύνατον τὸ ἐπὶ κενοῦ κίνησιν γενέσθαι. ἡμεῖς μὲν γάρ φησιν, ὅταν ἐπὶ τοῦ αὐτοῦ δύο ἄνισα ἢ ἀνόμοια κινῶνται μὴ ἐν τῷ αὐτῷ χρόνῳ, ἔχομεν τὴν αἰτίαν ἀποδιδόναι, ὅτι τὸ βαρύτερον θᾶττον διαιροῦν τὸ μεταξύ, ἐν ἐλάττονι χρόνῳ καταφέρεται. ὁμοίως δὲ ἐν τοῖς ἰσόγκοις, ἀνομοιοσχήμοσι δέ, τὸ πλείονα διαιροῦν ἀέρα, τοιοῦτον δέ ἐστι τὸ πλατύ, βραδύτερον καταφέρεται. τὸ δὲ ἐλάττονα, ταχύτερον. θᾶττον γὰρ ὁ ἐλάττων διαιρεῖται, ἢ ὁ πλείων. εἰ δὲ διὰ κενοῦ εἴη ἡ κίνησις, μηδενὸς ὄντος τοῦ διαιρουμένου, πάντα ἰσοταχῆ ἔσται. διατί γὰρ τὸ μὲν θᾶττον, τὸ δὲ βραδύτερον κινηθήσεται. ἀλλ' ἀδύνατον ἰσοταχῶς πάντα κινεῖσθαι. ἀδύνατον ἄρα ἐπὶ κενοῦ γενέσθαι κίνησιν. Τὰ μὲν οὖν ἐπιχειρήματα δι' ὧν ἐκ τῆς κινήσεως ἀναιρεῖ τὸ εἶναι κενόν, ταυτά ἐστι. πρῶτον δὲ τὸ τελευταῖον ἐπισκεψόμεθα. λέγω δή, εἰ ἀνάγκη κενοῦ ὑποτεθέντος, ἰσοταχῆ εἶναι πάντα τὰ δι' αὐτοῦ κινούμενα, ὡς ἐντεῦθεν τὸ εἶναι κίνησιν διὰ κενοῦ ἀναιρεῖσθαι. ἐκεῖνο δὲ τέως ἐπιστῆσαι χρή, ὅτι δι' ὧν τοῦτο κατασκευάζει, αὐτὸς τὰς ἑαυτοῦ θέσεις ἀναιρεῖ. εἰ γὰρ ἡ διαφορὰ τῶν κινήσεων γίνεται μὴ μόνον παρὰ τὸ διαφέρειν τὰ σώματα δι' ὧν ἡ κίνησις, ἀλλὰ καὶ παρ' αὐτὰ τὰ κινούμενα, εἰ τὸ μὲν βαρύτερον εἴη, τὸ δὲ κουφότερον, ἔστι τις δηλονότι καὶ ἐν τοῖς κινουμένοις αἰτία τῆς ἀνίσου κινήσεως καὶ παρὰ τὴν ἐπιγινομένην τῆς κινήσεως διαφοράν, ἐκ τοῦ διαφέρειν τὰ σώματα δι' ὧν ἡ κίνησις γίνεται. εἰ δὲ τοῦτο, κἂν διὰ κενοῦ δηλονότι κινῶνται, διαφόρως οὔσης τῆς κινητικῆς ἐν αὐτοῖς αἰτίας, διάφορον ἀνάγκη εἶναι καὶ τὴν κίνησιν. εἰ δὲ δύο ἀνίσων ὄγκων, τοῦ μὲν εἰ τύχοι ταλαντιαίου, τοῦ δὲ λιτριαίου, καὶ ἐπὶ κενοῦ γινομένης αὐτῶν τῆς κινήσεως, οὐδεμία γίνεται αὐτῶν διαφορὰ κατὰ τὸ θᾶττον καὶ βραδύτερον, ἀλλὰ τῶν ἀνίσων ἰσοταχὴς ἡ κίνησις γίνεται ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς φύσεως τοῦ κενοῦ γινομένη, ἐπεὶ ἄρα τὸ κενὸν τοῦτο δι' οὗ τὰ ἀνισόρροπα ἰσοταχῶς κινοῦνται πληρώσωμεν ἀερίου σώματος, εὔλογον καὶ διὰ τοῦ ἀέρος ἰσοταχῶς αὐτὰ κινεῖσθαι. οὐ γὰρ δὴ ἡ τοῦ ἀέρος φύσις ἐπεισελθοῦσα, διέκρινέ τι τῇ οὐσίᾳ αὐτῶν, καὶ ἐποίησε τὸ μὲν μᾶλλον κατωφορον, τὸ δὲ ἧττον. οὐδὲν γὰρ ἔδρασέ γε εἰς τὴν οὐσίαν αὐτῶν, οὐδὲ μείζονα ῥοπὴν ἔν τινι αὐτῶν ἐνεποίησεν. ἀλλὰ τοῦτο ἀδύνατον ἰσοταχῶς ἐπὶ τοῦ αὐτοῦ κινεῖσθαι τὰ ἄνισα. εἰ δὲ προσφιλονεικοῦντες λέγοιεν, ὅτι καὶ τὰ ἄνισα διὰ μὲν κενοῦ κινούμενα, ἰσοταχῶς κινηθήσεται, διὰ δὲ σώματος ἀνισοταχῶς, εὔδηλον δήπου, ὅτι τὸ ὑποτεθὲν σῶμα δι' οὗ ἡ κίνησις, μόνον τῆς ἀνίσου κινήσεως αἴτιον, οὐδεμιᾶς οὔσης διαφορᾶς παρ' αὐτὰ τὰ κινούμενα. οὗ γὰρ ἀναιρεθέντος ἡ διαφορὰ τοῦ θάττονος καὶ βραδυτέρου ἀναιρεῖται, τοῦτο τῆς διαφορᾶς ταύτης μόνον ἂν εἴη αἴτιον. μόνον ἂν ἄρα τὸ δι' οὗ ἡ κίνησις, τῆς ἀνίσου κινήσεως αἴτιον ἔσται. τοῦτο δὲ πρὸς τῷ καὶ τὰς αὐτοῦ ἀριστοτέλους ἀναιρεῖν θέσεις, καὶ ψεῦδος προφανῶς ὂν ἐλέγχεται. εἰ γὰρ τοῦτο ἦν μόνον αἴτιον τῆς ἀνίσου κινήσεως, συνέβαινε καὶ τὰ ἄνισα σώματα κατὰ τὰς ῥοπὰς δι' ἑνὸς καὶ τοῦ αὐτοῦ κινούμενα σώματος ἰσοταχῶς κινεῖσθαι, μηδεμιᾶς γινομένης παρὰ τὰς ῥοπὰς διαφορᾶς. μόνον δὲ γίνεσθαι ἄνισον κίνησιν,

διαφόρων

αὐτοὶ εἰς τὴν ἐκθλιφθεῖσαν τοῦ ὕδατος, φέρουσι κἀκεῖνο, οὕτως ἂν μόνως εἴη καὶ τὸ τοιοῦτον κενὸν κινήσεως αἴτιον τοῖς μανοῖς σώμασι. τῷ γὰρ φέρεσθαι αὐτὸ ἄνω, φέρει ἂν κἀκεῖνα. οὕτω δὲ δηλονότι ὡς ποιητικὸν ἂν εἴη αἴτιον.

» Καίτοι πῶς οἷόν τε φορὰν εἶναι κενοῦ, ἢ τόπον κενοῦ; κενοῦ γὰρ γίνεται κενόν, εἰς ὃ φέρεται. ἔτι δὲ πῶς ἐπὶ τοῦ βαρέος ἀποδώσουσι τὸ φέρεσθαι κάτω.

Ἀνάγκη γὰρ εἰ κινεῖται τὸ κενόν, τόπον ἐκ τόπου μεταβάλλειν· ὥστε ἐν ἄλλῳ κενῷ γενήσεται. καὶ τὸ τούτου καταγελαστότερον. βουλόμενος δὲ πληκτικώτερον ποιῆσαι τὸν λόγον, οὐκ εἶπε, κενοῦ γὰρ γίνεται τόπος εἰς ὃν φέρεται· ἀλλὰ κενοῦ γίνεται κενόν. τὸν γὰρ τόπον καὶ τὸ κενόν, ταὐτὸν ὑπολαμβάνουσιν εἶναι οἱ οὕτω λέγοντες. ἔτι δὲ καὶ πῶς ἐπὶ τοῦ βαρέος ἀποδώσουσι, τὸ φέρεσθαι κάτω. εἰ γὰρ τῆς ἐπὶ τὸ ἄνω φορᾶς τοῖς κούφοις αἴτιον τὸ κενόν, τί ἔσται τῆς ἐπὶ τὸ κάτω κινήσεως τοῖς βαρέσι τὸ αἴτιον. εἰ γὰρ ἐποίει ἡ φύσις τῶν βαρέων σωμάτων ἐξαρκεῖν πρὸς τὸ κάτω φέρεσθαι, διατί μὴ καὶ τοῖς κούφοις ἡ φύσις εἰς τὴν ἄνω φορὰν ἐξήρκεσε, καὶ οὐδὲν τοῦ κενοῦ ἐδεήθησαν. ἤλεγξε δὲ καὶ ἐν ἄλλοις τοῦτον τὸν λόγον ἱκανῶς ὁ Ἀριστοτέλης.

» Καὶ δῆλον ὅτι εἰ ὅσῳ ἂν μανότερον καὶ κενώτερον ᾖ, ἄνω οἰσθήσεται, εἰ δ' ὅλως εἴη κενὸν τάχιστ' ἂν φέροιτο. ἴσως δὲ καὶ τοῦτο ἀδύνατον κινεῖσθαι.

Ἕτερον ἐπιχείρημα. εἰ τὸ πλείονα ἔχον κενά, μᾶλλον ἐπὶ τὸ ἄνω κινεῖται, τὸ ὅλον κενὸν τάχιστ' ἂν κινηθήσεται. ἀλλὰ δῆλον ὅτι ἀδύνατον κινεῖσθαι τὸ κενόν.

» Λόγος δ' ὁ αὐτός, ὅτι ὥσπερ ἐν τῷ κενῷ ἀκίνητα πάντα, οὕτω καὶ τὸ κενὸν ὅτι ἀκίνητον. ἀσύμβλητα γὰρ τὰ τάχη. ἐπεὶ δὲ κενὸν μέν, οὔ φαμεν εἶναι.

Ὧ λόγῳ φησὶν ἐδείξαμεν, ὅτι ἀδύνατον ἐπὶ κενοῦ κινεῖσθαι, διότι λόγον οὐκ εἶχε τὸ κενὸν πρὸς τὸ πλῆρες, ἀνάγκη γάρ τινα αὐτὸν λόγον εἶναι τῶν χρόνων τῶν κινήσεων, οἷος ἦν καὶ ὁ τῶν μεγεθῶν, συνέβαινεν οὖν, ἀχρόνως ἐπὶ κενοῦ κινεῖσθαι, τοῦτο δὲ ταὐτὸν ἦν τῷ μὴ κινεῖσθαι, τῷ αὐτῷ λόγῳ δειχθήσεται ὅτι οὐδὲ κινηθῆναι οἷόν τε τὸ κενόν. τὸ γὰρ πάντη κενόν, οὐδένα ἕξει λόγον πρὸς τὸ κενά τινα καὶ πεπαρμένα ἔχον. ὥστε ἐν χρόνῳ ἐκείνου κινουμένου, τὸ πάντη κενὸν ἀχρόνως κινηθήσεται. οὐδεμία δὲ ἄχρονος κίνησις. ἀδύνατον ἄρα τὸ κενὸν κινηθῆναι. καὶ οὐδὲν διοίσει, εἴτε κεχώρισται, εἴτε καταπέπαρται, πρὸς τὸ μὴ πεφυκέναι κινεῖσθαι ὅλως.

» Τὰ ἄλλα δ' ἠπόρηται ἀληθῶς, ἡ κίνησις οὐκ ἔσται, εἰ μὴ ἔσται πύκνωσις καὶ μάνωσις, ἢ κυμαίνει ὁ οὐρανός.

Εἰ καὶ τὸ εἶναι κενὸν φησὶν ἀναιροῦμεν, ἀλλ' οὖν ἐπειδὴ ἔχουσι τὸ πιθανόν πως καὶ τὸ εὔλογον αἱ ἀπορίαι, οὐ δίκαιον οὐδὲ ταύτας περιιδεῖν. διὰ τοῦτό γ' οὖν καὶ ἀναλαμβάνει αὐτάς, ἵνα εὐθὺς καὶ τὴν λύσιν ἐπάγῃ.

» Ἢ ἀεὶ ἴσον ὕδωρ ἐξ ἀέρος ἔσται, καὶ ἀὴρ ἐξ ὕδατος. δῆλον γὰρ ὅτι πλείων ἀὴρ ἐξ ὕδατος γίνεται. ἀνάγκη τοίνυν εἰ μὴ ἔστι πίλησις, ἢ ἐξωθούμενον τὸ ἐχόμενον τὸ ἔσχατον κυμαίνειν ποιεῖν, ἢ ἄλλοθί που ἴσον μεταβάλλειν ἐξ ἀέρος εἰς ὕδωρ, ἵν' ὁ πᾶς ὄγκος τοῦ ὅλου ἴσος ᾖ, ἢ μηδὲν κινεῖσθαι. ἀεὶ γὰρ μεθισταμένου τοῦτο συμβήσεται, ἐὰν μὴ κύκλῳ περιίστηται. οὐκ ἀεὶ δὲ εἰς τὸ κύκλῳ ἡ φορά, ἀλλὰ καὶ εἰς τὸ εὐθύ. οἱ μὲν δὴ διὰ τοιαῦτα κενόν τι φαῖεν ἂν εἶναι.

Κἀντεῦθεν δῆλον, τὸ παρ' ἐμοῦ ἔμπροσθεν εἰρημένον. ὅτι οὐκ εἰς ἰσόογκα μεταβάλλειν τὰ σώματα βούλεται, ἀλλὰ ἀνταπόδοσιν γίνεσθαι. τὴν γὰρ αἰτίαν ἐπάγων φησί, δῆλον γὰρ ὅτι πλείων ἀὴρ ἐξ ὕδατος γίνεται. ἀνάγκη οὖν ἅμα γίνεσθαι τὴν ἀνταπόδοσιν τοῦ ἀέρος εἰς ὕδωρ μεταβάλλοντος, εἴπερ μή ἐστι κενόν. ἔτι δὲ σαφέστερον προϊὼν αὐτὸ τοῦτο ἐδήλωσεν, εἰπών, ἢ ἄλλοθί που ἴσον μεταβάλλειν ἐξ ἀέρος εἰς ὕδωρ, ἵνα ὁ πᾶς ὄγκος τοῦ ὅλου ἴσος ᾖ. ἢ μηδὲν κινεῖσθαι. ἀεὶ γὰρ μεθισταμένου, τοῦτο συμβήσεται, ἐὰν μὴ κύκλῳ περιίστηται. οὐκ ἀεὶ δ' εἰς τὸ κύκλῳ ἡ φορά. ἀλλὰ καὶ εἰς εὐθύ. εἰ μὲν γὰρ πάντα κύκλῳ ἐκινεῖτο, οὐδὲν τούτων ἀνάγκη ἦν συμβαίνειν, ὧν ἀπηριθμήσατο. οὐ γὰρ ἀμείβει τὸν τόπον τὸ κύκλῳ κινούμενον. ἐπειδὴ δὲ ἔστι καὶ ἡ κατ' εὐθεῖαν κίνησις, ἀνάγκη πᾶσα, ἢ κενὸν εἶναι, ἢ τῶν ἀπηριθμημένων ἄτοπόν τι συμβήσεσθαι.

ΠΑΡΕΚΒΑΣΙΣ.

Μέχρι μὲν οὖν τῶν ἐνταῦθα πέρας ἔχουσι τῷ Ἀριστοτέλει οἱ περὶ τοῦ κενοῦ λόγοι. δεῖ δὲ ἡμᾶς ἄνωθεν ἀναλαβόντας τὸν λόγον, ἕκαστον τῶν ἐπιχειρημάτων ἐπισκέψασθαι. ποιησόμεθα δὲ τὴν ἀρχήν, οὐκ ἐξ οὗπερ περὶ κενοῦ καὶ αὐτὸς ἤρξατο ποιεῖσθαι λόγον. πρὸς τινὰ γὰρ ἔφθημεν ἤδη τῶν ἐπιχειρημάτων ἐν τῷ ἑκάστῳ τόπῳ ὑπαντήσαντες. ἀλλ' ὅθεν ἤρξατο ἐπιχειρεῖν, ὡς οὐ δυνατόν, κενοῦ ὄντος, δι' αὐτοῦ γενέσθαι κίνησιν. ὡς νῦν δι' ἀέρος, ἢ δι' ὕδατος. ἅπερ μάλιστα τῶν ἐπιχειρημάτων γλαφυρά τέ ἐστι, καὶ πάντας σχεδὸν εἷλε τῇ πιθανότητι. λέγω δὴ ἐκ τῆς ἀνισοταχοῦς τῶν κινουμένων κινήσεως. πρὶν δὲ τοῦ λόγου ἄρξασθαι, ἐκεῖνο φημὶ ὅπερ ἤδη καὶ ἐν τοῖς περὶ τοῦ τόπου λόγοις εἶπον. ὅτι ὁ παρ' ἡμῶν λόγος, οὐ τοῦτο κατασκευάζειν βούλεται, ὅτι ἔστι τι κενὸν αὐτὸ καθ' αὑτὸ κεχωρισμένον, καὶ μηδὲν ἔχον σῶμα, καὶ δι' αὐτοῦ τὴν κίνησιν γίνεσθαι, οὐδαμῶς. ἀλλ' ὅτι μὲν οὐδέν ἐστι κενὸν κεχωρισμένον πάντη σώματος καὶ αὐτὸς ὁμολογῶ, πειθόμενος ἔκ τε τῆς καλουμένης τοῦ κενοῦ βίας, καὶ πολλῶν ἄλλων. ἡ δὲ ἔνστασίς μοι

φησὶν, ἐπεὶ ὅλον ἡ κενὸν, τί ἔχει; αἰσθήσεται. ἀλλὰ ἀδύνατόν φησι τὸ κενὸν κινηθῆναι. τῷ γὰρ αὐτῷ λόγῳ ἐλεγχθήσεται, ᾧπερ καὶ πρότερον ἐχρησάμεθα. εἰ γὰρ κινοῖτο τὸ κενὸν, ἕξει ἤγουν τινὰ πρὸς τὸ πλῆρες. τοῦτο δὲ ἀδύνατον. ἀδύνατον ἄρα κινεῖσθαι τὸ κενόν. ἀλλ' οὕτω μὲν ὁ ἀριστοτέλης ἐλέγχει, τοὺς λέγοντας παρεσπάρθαι τοῖς σώμασι τὸ κενὸν, διὰ τοὺς οὕτω λέγοντας, κινήσεως αὐτὸ αἴτιον ὑποτίθεσθαι. εἰ δέ τις λέγοι, κατεσπάρθαι μὲν τοῖς σώμασι τὸ κενὸν διὰ τὴν μάνωσιν, μὴ μέντοι κινήσεως αὐτὸ αἴτιον εἶναι, τί ἐροῦμεν; φημὶ ὅτι ἅπερ ὁ αὐτὸς ἀριστοτέλης πολλαχοῦ εἴρηκεν. ὅτι πρῶτον μὲν ἀναιρεθήσεται ἡ τῶν σωμάτων συνέχεια. ἔπειτα ἀναιρεθήσεται ἡ συνώθησις. ἀναιρεθήσεται φορὰ καὶ αὔξησις. πλήρωσις γὰρ ἔσται τῶν κενῶν, οὐ φορὰ οὐδὲ αὔξησις. καὶ ὅσα ἄλλα αὐτὸς ἐν τῷ περὶ γενέσεως πρὸς ταύτην εἴρηκε τὴν δόξαν.

» ΕΙ δὲ τοῦτο, ἢ ὅλως κίνησις οὐκ ἔσται, ἢ κυμανεῖ τὸ ὅλον, ὥσπερ ἔφη ξοῦθος.

Εἰ δὲ τοῦτο, τουτέστιν εἰ μὴ πίλησις τῶν σωμάτων [illegible] τινὰ ξ... εἰς ἑαυτὰ ἔσται. ξοῦθος δὲ σοφιστής τις ἦν.

» Η εἰς ἴσον ἀεὶ μεταβάλλειν ἀέρα, καὶ ὕδωρ. λέγω δὲ οἷον εἰ ἐξ ὕδατος κυαθιαίου γέγονεν ἀὴρ, ἅμα ἐξ ἴσου ἀέρος ὕδωρ τοσοῦτον γεγενῆσθαι, ἢ κενὸν εἶναι ἐξ ἀνάγκης. συμπιλεῖσθαι γὰρ καὶ συνεπεκτείνεσθαι οὐκ ἐνδέχεσθαι ἄλλως.

Τὸ μὲν λέγειν εἰς ἴσον ἀεὶ μεταβάλλειν ἀέρα καὶ ὕδωρ, δόξειεν ἂν εἰς ἰσόογκα μεταβάλλειν τὸν ἀέρα καὶ τὸ ὕδωρ, τὸ κυαθιαῖον ἀέρα, κυαθιαῖον γίνεσθαι ὕδωρ. ἐμοὶ δὲ οὐ τοῦτο δοκεῖ λέγειν. ἀλλ' ὅτι εἰς ἴσον μεταβάλλει ἀέρα τὸ ὕδωρ, ὅσον ἦν τὸ ὕδωρ εἰς ἀέρα μεταβαλόν. ἵν' οὕτως ἐξίσωσις γίνηται τῶν ὄγκων καὶ ἀνταπόδοσις. καὶ ὅτι τοῦτο λέγει, ἐσαφήνισε δι' ὧν ἐπήγαγεν. οἷόν φησιν, εἰ ἐξ ὕδατος κυαθιαίου γέγονεν ἀήρ. καὶ οὐκ εἶπε, τοσοῦτος γέγονεν ἀήρ. δεῖ φησιν ἅμα ἐξ ἴσου ἀέρος, ὅσος ἦν ὁ μεταβαλὼν ἐκ τοῦ ὕδατος, ὕδωρ γενέσθαι. ἐπεί φησιν, εἰ μὴ τοῦτο εἴη, ἀλλὰ μᾶλλον μεταβάλλοι τὸ ὕδωρ εἰς ἀέρα, ἐπειδὴ προφανῶς εἰς μεῖζον σῶμα μεταβάλλει, ἀνάγκη πᾶσα κενὸν εἶναι, εἰς ὃ ἐχώρει τὸ γινόμενον σῶμα. καὶ ἄλλως, εἰ μὴ τοῦτο ἔλεγεν, ἀλλ' ὅτι εἰς ἰσόογκα ἔσται ἡ μεταβολὴ τῶν σωμάτων, ὥσπερ καὶ θεμιστίῳ ἔδοξεν, ἤρκει εἰπεῖν, ὅτι ἐξ ὕδατος κυαθιαίου, γενήσεται ἀὴρ τοσοῦτος. καὶ μὴ προσθεῖναι, ὅτι ἅμα καὶ ἐξ ἀέρος τοσοῦτον ὕδωρ γενήσεται. εἰ γὰρ εἰς ἰσόογκα γίνεται ἡ μεταβολὴ, κἂν τὸ ὅλον ὕδωρ μετέβαλεν εἰς ἀέρα, οὐδὲν ἀδύνατον ἠκολούθει, τὸν αὐτὸν τόπον κατέχοντος τοῦ ἀέρος, ὅνπερ καὶ τὸ ὕδωρ νῦν δὲ εἰπὼν, εἰ ἐξ ὕδατος κυαθιαίου γέγονεν ἀὴρ, πρὸς τῷ μὴ προσθεῖναι ὅτι τοσοῦτος, ὅσος ἦν καὶ τὸ ὕδωρ, καίτοι ἔδει γε προσθεῖναι, εἰ τοῦτο ἐβούλετο λέγειν, εἶτα καὶ ἐπήγαγεν, ὅτι ἅμα ἐξ ἴσου ἀέρος ὕδωρ τοσοῦτον γεγενῆσθαι, ἢ κενὸν εἶναι ἐξ ἀνάγκης. καίτοι εἰς ἰσόογκα μεταβάλλουσι, κἂν τὸ ὕδωρ μόνον μεταβάλλοι, οὐδὲν τῶν ἄλλων ἕψεται. οὔτε δὲ κενὸν ἀνάγκη εἶναι ὥσπερ εἶπεν. τὸν αὐτὸν γὰρ καθέξει τόπον ὁ ἀὴρ, ὅνπερ καὶ τὸ ὕδωρ, πρὶν μεταβληθῆναι. ὅτι μὲν οὖν τοῦτο λέγει, σαφὲς οἶμαι εἶναι ἐκ αὐτῶν τῶν ἀριστοτελικῶν λέξεων. τοῦτο δὲ, οὐχ ὡς ἑπόμενον τῷ ἀνῃρῆσθαι τὴν μάνωσιν ἐπήγαγε. τῇ γὰρ ἀναιρέσει τῆς μανώσεως εἵπετο τὸ μὴ κίνησιν εἶναι, ἢ κυμαίνειν τὸ πᾶν. ἀλλ' ἤτοι ἁπλῶς τῇ ἀναιρέσει τοῦ κενοῦ ἑπόμενον, ἢ ἵνα ὡς ἐκ διαιρέσεως προάγηται ὁ λόγος. οἷον ἢ ἔστι μάνωσις καὶ πύκνωσις, ἢ οὐκ ἔστιν. εἰ μὲν οὖν μὴ ἔστιν, ἕψεται τὰ εἰρημένα. εἰ δὲ ἔστιν, ἢ κενὸν ἔσται, εἰς ὃ συστέλλεται τὰ πυκνούμενα, καὶ ἐξ οὗ διαστέλλεται τὰ μανούμενα, μᾶλλον δὲ καὶ εἰς ὃ ἔξωθεν ὂν χωρεῖ, ἢ ἀνάγκη ἅμα τὸ τότε ὕδωρ μεταβάλλειν εἰς ἀέρα, καὶ τοσοῦτον ἀέρα μεταβάλλειν εἰς ὕδωρ. καὶ τοῦτο δοκεῖ πλασματῶδες εἶναι.

» ΕΙ μὲν οὖν τὸ μανὸν λέγουσι τὸ πολλὰ κενὰ κεχωρισμένα ἔχον, φανερὸν ὡς εἰ μηδὲ κενὸν ἐνδέχεται εἶναι χωριστὸν, ὥσπερ μηδὲ τόπον ἔχοντα διάστημα ἑαυτοῦ, οὐδὲ μανὸν οὕτως.

Ἐντεῦθεν δείκνυσιν, ὅτι ἀδύνατον εἶναι τὸ κατεσπαρμένον κενόν. φησὶ δὲ ὅτι οὕτως ὑποτίθενται ἐν τοῖς σώμασι κατεσπάρθαι τὸ κενὸν, ὡς εἶναι ἐν τῷ μανῷ σώματι διαστήματά τινα κεχωρισμένα σώματος τηλικαῦτα, ὡς δύνασθαι εἰς αὐτὰ χωρεῖν ἕτερον. οἷοί εἰσι καὶ αἱ τῶν σπόγγων πόροι, εἰ καὶ ἀέρος εἰσὶ πλήρεις. οἱ αὐτοὶ οὖν φησιν ἁρμόσουσι καὶ ἐνταῦθα τούτων λόγοι, οἵτινες καὶ πρὸς τοὺς τὸν τόπον διάστημα οἰομένους εἶναι, καὶ πρὸς τοὺς τὸ ἀθρόον κενὸν καὶ κεχωρισμένον ὑποτιθεμένους.

» ΕΙ δὲ μὴ χωριστὸν, ἀλλ' ὅμως ἐνεῖναί τι κενόν, ἧττον μὲν ἀδύνατον, συμβαίνει δὲ πρῶτον μὲν, οὐ πάσης κινήσεως αἴτιον τὸ κενὸν, ἀλλὰ τῆς ἄνω. τὸ γὰρ μανὸν, κοῦφον. διὸ καὶ τὸ πῦρ μανὸν εἶναί φασιν. ἔπειτα κινήσεως αἴτιον, οὐχ οὕτω τὸ κενὸν, ὡς ἐν ᾧ.

Τουτέστιν εἰ μὴ εἴη ἀποκεκριμένον, ἀλλ' οἷον εἰς οὕτω λεπτὰ κατακεκερματισμένον, ὡς μὴ δύνασθαι παραδέχεσθαι ἄλλο σῶμα τῆς γενέσθαι ἐν αὐτῷ. οἷον εἰ ὑποθοίμεθα σφαιρικάς τινας ἀτόμους, ἁπτομένας ἀλλήλων. δῆλον γὰρ ὅτι τῷ μὴ καθ' ὅλην τὴν περιφέρειαν ἅπτεσθαι ἀλλήλων, ἀλλὰ κατὰ σημεῖον, ἔσται μεταξύ τινα κενὰ λεπτά. ἐνδέχεσθαι δὲ ἐν αὐτοῖς ἄλλα ἄτομα, ἀδύνατον. οὐ χωρήσει γὰρ διὰ τὴν λεπτότητα. αὕτη δέ φησιν ἡ ὑπόθεσις, εἰ καὶ ἧττον δοκεῖ ἀδύνατος, ἀλλ' οὖν καὶ αὐτὴ ὡς ἀδύνατος ἐλεγχθήσεται.

» ΑΛΛ' ὥσπερ οἱ ἀσκοὶ τῷ φέρεσθαι αὐτοὶ ἄνω, φέρουσι τὸ συνεχὲς, οὕτω τὸ κενὸν ἄνω φέρει.

Οὐχ οὕτω φησὶν αἴτιον κινήσεως τὸ τοιοῦτον κενὸν ὥσπερ αἴτιον λέγεται τὸ διάστημα ἐν ᾧ κινεῖται. ἀλλ' ὥσπερ οἱ ἀσκοὶ οἱ ἔχοντες ἠρτημένον τι βάρος ὑποβρύχιον ἐν ὕδατι, ὃ καὶ ὠθούμενον, τῷ φέρεσθαι

αὐτοὶ

τὰ νῦν ἄλλον καταληφότα τόπον, εἰ μὴ ἐν κενῷ πρὸ τούτου ἦν, δι' ἀλλήλων δήπου ἐχώρει. ἀλλὰ καὶ ὃν καταλήφασι τόπον, κενὸν ἀνάγκη πρὸ τούτου εἶναι. τὸ μὲν οὖν συνημμένον, ἐκ ταύτης κατεσκεύαζον τῆς ἐννοίας. τὴν δὲ πρόσληψιν, λέγω δὴ τὸ ἀλλὰ μὴν ἔστι μάνωσις καὶ πύκνωσις, κατασκευάζει ὁ ἀριστοτέλης οὕτως. εἰ μὴ ἔστι μάνωσις καὶ πύκνωσις, οὐδὲ πίλησίς ἐστι τῶν σωμάτων. εἰ δὲ μὴ ἔστι πίλησις, ἢ παντελῶς ἀνῄρηται ἡ κατ' εὐθεῖαν κίνησις, τὰ γὰρ κινούμενα κατ' εὐθεῖαν, τῷ ὠθεῖν τὸν ἔμπροσθεν ἀέρα ἢ τὸ ὕδωρ, οὕτω κινεῖται. ὠθούμενον οὖν τὸ σῶμα δι' οὗ ἡ κίνησις γίνεται, καὶ συστελλόμενον εἰς τὰ παρακείμενα κενὰ, παρέχει χώραν τοῖς δι' αὐτοῦ διϊοῦσιν, ὥσπερ ἔχει καὶ ἐπὶ τῶν διὰ πλήθους βαδιζόντων. εἰ τοίνυν μὴ πυκνοῦται τὰ σώματα, μηδὲ συμπιλεῖται εἰς τὰ κατεσπαρμένα κενά. ἢ παντελῶς ἀναιρεθήσεται ἡ κίνησις ἡ κατ' εὐθεῖαν, ποῦ γὰρ κινηθήσεται, χώρας οὐκ οὔσης, οὐδὲ ἔχοντος τοῦ ὠθουμένου, ὅποι χωρήσειεν, ἀκώλυτον τῷ κινουμένῳ παρέχοι τὴν δίοδον, ἢ εἰ ἔστι κίνησις, ἀνάγκη φασὶ κυμαίνειν τὸ πᾶν. τουτέστιν ἐξίστασθαι, καὶ ὑπερεκπίπτειν τῶν οἰκείων ὅρων. ἀνάγκη γὰρ κινουμένου τινὸς, τὸ ἔμπροσθεν ὠθεῖσθαι σῶμα, κἀκεῖνο ἐφεξῆς ὠθεῖν, καὶ τοῦτο μέχρι τοῦ ἐσχάτου. καὶ οὕτω λοιπὸν οἷον ὑπερεκχεῖσθαι τὸν οὐρανὸν εἰς τὰ ἔξω, καὶ οἷον σαλεύειν. ὅπερ καὶ ἐν ταῖς κολυμβήθραις συμβαίνει, ὅταν τι κινῆται ἐν αὐταῖς σῶμα. ταῦτα δὲ ἔλεγον, διὰ τὸ μήπω ἐπιστῆσαι τῇ ἀντιπεριστάσει τῶν σωμάτων. οὐ μόνον δὲ ταῦτα τῇ ἀναιρέσει τοῦ κενοῦ ἕπεται ἄτοπα, λέγω δὴ τὸ ἀναιρεῖσθαι μάνωσιν καὶ πύκνωσιν, καὶ διὰ τὸ ταύτην ἀναιρεῖσθαι, ἢ μηδ' ὅλως εἶναι τὴν κατ' εὐθεῖαν κίνησιν, ἢ κυμαίνειν τὸ πᾶν, ἀλλὰ πάλιν ἀνάγκη κενοῦ ἀνῃρημένου, ἢ μηδὲ ὅλως εἶναι μεταβολὴν εἰς ἄλληλα τῶν σωμάτων, ἢ εἰ τοῦτο ἐναργὲς, ἢ εἰς ἰσόογκα τὴν μεταβολὴν τῶν σωμάτων γίνεσθαι, λέγω δὴ, ἵνα ὁ κυαθιαῖος ἀὴρ μεταβαλὼν εἰς ὕδωρ κυαθιαῖον ποιήσῃ ὕδωρ, ὁμοίως δὲ καὶ τὸ ὕδωρ ἴσον ἀέρα ποιήσῃ. ποῦ γὰρ χωρήσει τὸ μεῖζον σῶμα, μηδενὸς ὄντος κενοῦ. ἡ δὲ τοῦτο παρὰ τὴν ἐνάργειαν, ὁρᾶται γὰρ εἰς μεῖζον τῶν σωμάτων μεταβολή, πόθεν γὰρ ῥήγνυνται ὑπὸ τοῦ γλεύκους οἱ πίθοι τε καὶ οἱ ἀσκοί, εἰ μὴ εἰς πνεῦμα τοῦ γλεύκους μεταβάλλοντος. ὅπερ, διὰ τὸ μεῖζον εἶναι τοῦ μεταβεβλημένου, μὴ χωροῦντα τὰ ἀγγεῖα ῥήγνυνται. ὅπερ καὶ ἐπὶ τῶν ἑψομένων συμβαίνει. ἀλλ' εἰ εἰς μεῖζον ἡ μεταβολή, πάλιν δύο ἀτόπων θάτερον οὐκ ἐκφεύξεται. ἢ γὰρ ἀνάγκη, ὅσον ἐνταῦθα μεταβάλλει ὕδωρ εἰς ἀέρα, ἀλλαχοῦ τοσοῦτον ἀέρα μεταβάλλειν εἰς ὕδωρ, ὅπερ καὶ αὐτὸ πλασματῶδες, τὸ λέγειν, ὅτι ἐπειδὴ δοκεῖ μοι νῦν ἐξατμίσαι τοσόνδε ὕδωρ ἕψοντα, ἀνάγκη ἀλλαχοῦ τοσοῦτον μεταβαλεῖν ἀέρα. κἂν πλεῖόν μοι δόξῃ, πλείω καὶ ἀέρα μεταβαλεῖν. ἢ πάλιν εἰ μὴ τοῦτο, ἀνάγκη κυμαίνειν τὸν οὐρανὸν πάντα. ὅπερ καὶ αὐτὸ καθ' αὑτὸ μὲν γελοῖον, ἐπειδὴ κεκίνηται τόδε τι, τὸν οὐρανὸν τῶν οἰκείων ἐξίστασθαι τόπων, καὶ ὅτι φεύγοντες τὸ ἔλαττον κενὸν ὁμολογεῖν, τὸ πλέον ἐξ ἀνάγκης δώσουσιν. ποῦ γὰρ κυμαίνει ὁ οὐρανός; εἰς σῶμα μὲν γὰρ ἀδύνατον. ἀνάγκη οὖν εἰς κενὸν ἀθρόον ἔξωθεν περικεχυμένον τῷ οὐρανῷ. εἰ τοίνυν ταῦτα πάντα ἄτοπα, ἀνάγκη δήπου εἶναι τὸ κατεσπαρμένον κενὸν ἐν τοῖς σώμασιν. οἱ μὲν οὖν δι' ὧν κατεσκεύαζον τὸ κενὸν λόγοι, τοιοῦτοί εἰσιν. ἐφεξῆς δὲ δείκνυται, ὅτι ἀδύνατον εἶναι τὸ κατεσπαρμένον κενὸν, ἀνάγκη γὰρ τοῦτό φησιν, ἤτοι μεγαλομερὲς εἶναι ἐν τοῖς σώμασιν, ὡς δύνασθαι ἕτερον σῶμα χωρεῖν ἐν αὐτῷ, ἢ κατὰ σμικρὰ πάνυ διεσπαρμένον. ὡς μὴ ἐνδέχεσθαι παρείσδυσιν ἐν αὐτοῖς γενέσθαι σώματος, ὥσπερ ἔλεγον καὶ οἱ τοὺς πόρους ὑποτιθέμενοι. εἰ μὲν οὖν μεγαλομερὲς εἴη τὸ κενὸν, οὐδὲν διοίσει τοῦτο κεχωρισμένου κενοῦ. τοῖς αὐτοῖς οὖν λόγοις καὶ τοῦτο ἀναιρήσομεν, ὥσπερ κἀκεῖνο. οὐδὲν γὰρ διοίσει τὸ οὕτω κατακερματίζειν αὐτοὺς τὸ κενὸν, πρὸς τὸ διαφυγεῖν ἐκείνας τὰς ἀπορίας, αἷς περιέπιπτον οἱ τὸ ἀθρόον κενὸν ὑποτιθέμενοι. διάστημα γὰρ ποιοῦσι κεχωρισμένον καὶ οὗτοι. εἰ δ' οὕτω λέγοιεν τὸ κενὸν ἐγκατεσπάρθαι τοῖς σώμασι λεπτομερὲς, ὡς ἄν τις εἴποι ἐγκεκραμένον, καὶ συγκεχυμένον τοῖς σώμασι τοῖς μανοτέροις, καὶ οἷον εἰ ποιότητα αὐτῶν, λέγουσι μέν τί φησι πιθανώτερον οἱ οὕτω λέγοντες, οὐ μὴν ἀληθές. ἐπεὶ δέ φησιν οἱ οὕτω τὸ κενὸν ὑποτιθέμενοι, αἴτιον αὐτὸ κινήσεως ὑποτίθενται, πρῶτον μὲν ἰστέον, ὅτι ἀδύνατον ἄλλως αὐτὸ κινήσεως αἴτιον ὑποθέσθαι, ἢ ὡς ποιητικόν. οὐ γὰρ ὡς τόπος. οὐδὲ ὡς τὸ δι' οὗ, κινήσεως ἂν εἴη αἴτιον. οὐ γὰρ χωρεῖ ἐν ἑαυτῷ σῶμά τι. τοιαῦτα δὲ ἦν τὰ ἤτοι ὡς τελικὰ κινήσεως αἴτια, λέγω δὴ οἱ κατὰ φύσιν τόποι, ἢ ὡς τὰ δι' ὧν ἡ κίνησις. μόνως ἄρα ὡς ποιητικὸν ἂν εἴη κινήσεως αἴτιον. καὶ λέγουσί γε τοῦτο οἱ οὕτως ὑποτιθέμενοι τοῦτο. φασὶ γὰρ τὰ κοῦφα τῶν σωμάτων τῇ τοῦ κενοῦ παρεμπλοκῇ τοιαῦτα εἶναι. καὶ ὅσῳ πλείονα ὑπάρχει τὰ κατεσπαρμένα κενὰ τοσούτῳ κουφότερά ἐστι τὰ σώματα. πρῶτον μὲν οὖν φησιν οἱ τοῦ κούφου ταύτην λέγοντες εἶναι τὴν ποιητικὴν αἰτίαν, τοῦ βαρέος τίνα φήσουσιν αἰτίαν εἶναι. ἔδει γὰρ ὥσπερ τὸ κενὸν παρεσπαρμένον τοῖς κούφοις τῶν σωμάτων, οἷον τῷ πυρὶ, ποιεῖ αὐτὰ κοῦφα, οὕτω καὶ ἄλλο τι τοῖς βαρέσι κατεσπαρμένον βαρέα αὐτὰ ποιεῖν. ἔπειτα εἰ τὸ κενὸν φασὶ κοῦφον εἶναι, καὶ ὑφ' αὑτὸ φέρεσθαι ἐπὶ τὸ ἄνω, οὕτω φέρειν τὰ σώματα οἷς κατέσπαρται, πολλὰ ἄτοπα συμβήσεται. πρῶτον μὲν γὰρ τίς ἂν ἐπινοηθείη κενοῦ κίνησις. ἔπειτα συμβήσεται τὸ κενὸν ἐν κενῷ γενέσθαι. καὶ πῶς οἷόν τε κενοῦ τόπον εἶναι, ἢ κενὸν ἐν κενῷ γενέσθαι. ἔπειτα εἰ ὅσῳ μανότερόν τί ἐστι, ταυτὸν δὲ εἰπεῖν, ὅτι ὅσῳ πλείονα ἔχει κατεσπαρμένα κενὰ, τοσούτῳ κουφότερόν ἐστι, πλείονος οὔσης τῆς ἀναφόρου αἰτίας, λέγω δὴ τοῦ κενοῦ, δῆλον ὅτι

Β πειδὴ εἶπεν, ὅτι ὥσπερ ἂν εἰ μὴ ὑπεξίσταται τῷ κύβῳ τὸ ὕδωρ, ἐχώρησεν ἂν δι' ἀλλήλων τὰ δύο σώματα, οὕτως ἐπειδὴ τὸ κενὸν οὐχ ὑπεξίσταται, χωρήσουσι δηλονότι δι' ἀλλήλων τό, τε τοῦ κύβου διάστημα, καὶ τὸ τοῦ κενοῦ, ἵνα μή τις εἴπῃ, ἀλλὰ σῶμα μὲν διὰ σώματος ἀδύνατον χωρῆσαι, τὸ μέντοι κενόν, σῶμα μὲν οὐκ ἔστιν, ἀπαθὲς γάρ, διάστημα δέ· ὥστε οὐκ εἰ σῶμα διὰ σώματος χωρῆσαι ἀδύνατον, ἤδη διὰ τοῦτο καὶ διάστημα διὰ διαστήματος ἀδύνατον χωρῆσαι, φησίν, ὅτι κατ' οὐδὲν ἄλλο ἐν τόπῳ ἐστὶ τὰ σώματα, ἢ καθὸ διαστήματά ἐστιν. εἰ γὰρ καὶ συμβέβηκε τῷ ἐν τόπῳ, τὸ ἔχειν βάρος ἢ κουφότητα ἢ τῶν ἄλλων τινὰ ποιοτήτων, ἀλλ' οὐχ ᾗ πεποίωται, ταύτῃ ἐν τόπῳ ἐστίν, ἀλλ' ᾗ διάστημα ἔχει· φέρει μὲν γὰρ ἡ βαρύτης, καὶ ἡ κουφότης, εἰς τὸν αὐτῶν τόπον· τὸ δὲ ἐν τόπῳ εἶναι, κατ' οὐδὲν ἄλλο ἔχει, ἢ κατὰ τὸν ὄγκον. καὶ τὰ σώματα γοῦν ἀδύνατον φαμὲν χωρεῖν δι' ἀλλήλων, οὐχ ὅτι πεποίωται, ἀλλ' ὅτι διάστημα ἔχει. τὸ οὖν ἀδύνατον τοῦτ' ἐστί, τὸ χωρῆσαι δύο διαστήματα δι' ἀλλήλων. ἐπεὶ τοίνυν ἕτερόν ἐστι τῷ κύβῳ τὸ διαστήματι εἶναι, καὶ ἕτερον τὸ πεποιῶσθαι, ἐν τόπῳ δέ ἐστιν, οὐχ ᾗ πεποίωται, ἀλλ' ᾗ ὄγκον ἔχει, ἐὰν γυμνωθῇ πασῶν τῶν ποιοτήτων, οὐδὲν διοίσει τοῦ διαστήματος τοῦ κενοῦ· ὥστε εἰ δύο διαστήματα ὅμοια ἐχώρησαν δι' ἀλλήλων, καὶ πλείονα δηλονότι δυνατὸν χωρῆσαι· τοῦτο δὲ ἀδύνατον. εἰ γὰρ διάστημα ἐν διαστήματι δυνατὸν χωρῆσαι, καὶ σῶμα ἐν σώματι χωρῆσαι δυνατόν· κατ' οὐδὲν γὰρ ἄλλο τὰ σώματα ἐν τόπῳ ἐστίν, ἢ κατὰ τοὺς ὄγκους. εἰ οὖν δυνατὸν ὄγκον ἐν ὄγκῳ εἶναι, τά γε ἄλλα συμβεβηκότα οὐδὲν κωλύει σῶμα ἐν σώματι εἶναι. ἀλλὰ μὴν τοῦτο ἀδύνατον· οὐκ ἄρα σῶμα ἐν κενῷ δυνατὸν εἶναι· ὄγκοι γὰρ ἀμφότερα, μόνῳ τῷ πεποιῶσθαι ἢ μή, διαφέροντα· ὥστε εἰ τὸ κενὸν ὑφίστασθαι, ἵνα δέχηται τὰ σώματα, καὶ ἡ κίνησις δι' αὐτοῦ γίνηται, ταῦτα δὲ ἀδύνατα ἐν τῷ κενῷ γενέσθαι, μάταιον ἄρα τὸ κενόν.

» ΕΤΙ δὲ φανερὸν ὅτι τοῦτο ὁ κύβος ἕξει καὶ μεθιστάμενος, ὃ καὶ τὰ ἄλλα σώματα πάντα ἔχει· ὥστ' εἰ τοῦ τόπου μηδὲν διαφέρει, τί δεῖ ποιεῖν τόπον τοῖς σώμασι παρὰ τὸν ἑκάστου ὄγκον, εἰ ἀπαθὴς ὁ ὄγκος· οὐδὲν γὰρ συμβάλλεται εἰ ἕτερον περὶ αὐτὸν ἴσον διάστημα τοιοῦτον εἴη. ὅτι μὲν τοίνυν οὐκ ἔστι κεχωρισμένον κενόν, ἐκ τούτων ἐστὶ δῆλον.

Α λλη αὕτη ἐπιχείρησις. ἕκαστόν φησι τῶν σωμάτων κινούμενον καὶ μεταβαλλόμενον κατὰ τόπον, συμμεταφέρει ἑαυτῷ καὶ τὸ οἰκεῖον διάστημα. εἰ τοίνυν τὸ ἐν ἑκάστῳ διάστημα, χωριζόμενον τῷ λόγῳ τῶν παθῶν, οὐδὲν διαφέρει τοῦ κενοῦ, κινούμενα δὲ τὰ σώματα, σὺν τοῖς οἰκείοις κινεῖται διαστήμασι, τί δεῖ τοῖς σώμασιν ἄλλων τοιούτων ἔξωθεν διαστημάτων. εἰ γὰρ τὸ διάστημα ὁ τόπος, ἕκαστον δὲ ἔχει ἐν ἑαυτῷ τὸ οἰκεῖον διάστημα, μάταιον τὸ ἄλλο ἔξωθεν αὐτῷ εἶναι ὅμοιον· εἰς οὐδὲν γὰρ αὐτῷ συμβάλλεται. ὅτι δὲ καὶ ἀδύνατον, εἴπομεν ἤδη. εἰ γὰρ ᾗ διάστημά ἐστιν, ἕκαστον ἑτέρου δεῖται διαστήματος, διάστημα δὲ καὶ τὸ κενόν, καὶ αὐτὸ ἄλλου δεηθήσεται διαστήματος. καὶ τοῦτο ἐπ' ἄπειρον· ἔσται δὲ καὶ τὸ κενὸν ἐν κενῷ.

» ΕΙΣΙ δέ τινες οἳ διὰ τοῦ μανοῦ καὶ πυκνοῦ, οἴονται φανερὸν εἶναι, ὅτι ἐστὶ κενόν. εἰ μὲν γὰρ μὴ ἔστι μανὸν καὶ πυκνόν, οὐδὲ συνιέναι καὶ πιλεῖσθαι οἷόν τε.

Δ είξας, ὅτι οὐκ ἔστι τὸ χωριστὸν κενόν, νῦν βούλεται δεῖξαι, ὅτι οὐδὲ τὸ κατεσπαρμένον κενόν ἐστιν, ἐπειδὴ οἱ τὸ κενὸν τὸ κατεσπαρμένον λέγοντες εἶναι, ἐκ τῆς μανώσεως καὶ πυκνώσεως τῶν σωμάτων τοῦτο ἐπειρῶντο δεικνύειν, τίθησι πρῶτον μὲν τοὺς λόγους, δι' ὧν ἐπειρῶντο κατασκευάζειν ὅτι ἔστι κατεσπαρμένον κενὸν ἐν τοῖς σώμασι. δεύτερον δὲ πρὶν ἐλέγξαι τοὺς λόγους αὐτῶν, δείκνυσιν ὅτι ἀδύνατον εἶναι τὸ κατεσπαρμένον κενόν. καὶ τρίτον δείκνυσιν, ὅτι καὶ κενοῦ μὴ ὄντος, ἐνδέχεται εἶναι μάνωσιν καὶ πύκνωσιν, δι' ὧν καὶ τοὺς λόγους, δι' ὧν κατεσκεύαζον εἶναι τὸ κενόν, ἐλέγχει. εἰσὶν οὖν οἱ λόγοι, δι' ὧν κατεσκεύαζον εἶναι τὸ κενόν, τοιοῦτοι. εἰ μὴ ἔστι φησὶ τὸ κενόν, οὐκ ἔστι μάνωσις καὶ πύκνωσις. ἀλλὰ μὴν ἔστι μάνωσις καὶ πύκνωσις· ἔστιν ἄρα τὸ κενόν. κατασκευάζει δὲ τὴν πρόσληψιν, ὅτι ἔστι μάνωσις καὶ πύκνωσις, οὕτως. εἰ μὴ ἔστι φησὶ μάνωσις καὶ πύκνωσις, οὐδὲ συνιέναι καὶ πιλεῖσθαι εἰς ἑαυτὰ τὰ σώματα δύναται· οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ πύκνωσις, ἢ πίλησις εἰς ἑαυτὰ τῶν σωμάτων. εἰ δὲ μὴ ἔστι πίλησις, ἀνάγκη πᾶσα, ἢ μὴ εἶναι ὅλως κίνησιν, ὅπερ ἐστὶ παρὰ τὴν ἐνάργειαν, ἢ εἰ κίνησις εἴη, ἀνάγκη κυμαίνειν τὸ πᾶν. καὶ ἔτι πρὸς τούτοις, ἢ οὐκ ἔσται εἰς ἄλληλα τῶν στοιχείων μεταβολή, ἢ ἔσται. ἀλλ' εἰ ἔσται, ἢ εἰς ἰσόογκα γενήσεται ἡ τῶν στοιχείων μεταβολή, οἷον τὸν κυαθιαῖον ἀέρα εἰς κυαθιαῖον ὕδωρ μεταβάλλειν, καὶ τὸ ὕδωρ ὁμοίως εἰς ἴσον ἀέρα, ἤγουν ὅσον ἐνταῦθα μεταβέβληται εἰς ἀέρα ὕδωρ, τοσοῦτον ἀλλαχοῦ ἀέρα ἀνάγκη μεταβάλλειν εἰς ὕδωρ. ὁ μὲν οὖν Ἀριστοτέλης τὴν πρόσληψιν μόνον τοῦ συλλογισμοῦ κατασκευάζει, ὡς τοῦ συνημμένου δήλου ὄντος. ἵνα δὲ σαφέστερον ποιήσωμεν τὸν λόγον, ἄνωθεν εἴπωμεν οὕτως. εἰ ἔστι μάνωσις καὶ πύκνωσις, ἔστι κενόν, ὅτι ἡ πύκνωσις, πίλησίς ἐστι καὶ συνίζησις εἰς ἑαυτὰ τῶν σωμάτων. τὰ δὲ πιλούμενα, καὶ εἰς ἑαυτὰ συνιζάνοντα, εἰς τὰ κατεσπαρμένα ἐν αὐτοῖς κενὰ συνιζάνει. ὡς ἐπὶ σποδίου καὶ ἐρίου, καὶ τῶν τοιούτων. εἰ γὰρ μὴ εἰς κενά τινα συνιζάνει τῶν πιλουμένων τὰ μόρια, εἰς ἑαυτὰ χωρήσει. ἀδύνατον δὲ σῶμα διὰ σώματος χωρῆσαι. τὰ αὐτὰ καὶ ἐπὶ μανώσεως ἐροῦμεν. τὸ γὰρ μανούμενον, καὶ εἰς μείζονα ὄγκον ἐκτεινόμενον, εἰ μὴ τῷ ἐναπολαμβάνειν κενά τινα ἐν αὐτῷ, ταύτῃ μανότερον γίνοιτο, συμβήσεται, πρὶν μανωθῆναι, σῶμα εἶναι ἐν σώματι. τὰ γὰρ μόρια,

τὰ

καθ' αὑτὸ ὑπάρχειν τὸ κενὸν ὑποτίθενται, οἱ δὲ τοῦτο λέγοντες, οὐδὲν διαφέρουσι τῶν τὸν τόπον διάστημα εἶναι λεγόντων, ὥστε δεδειγμένου, τοῦ μὴ εἶναι τὸν τόπον διάστημά τι κεχωρισμένον καθ' αὑτό, συναποδεδειγμένον ἂν εἴη, τὸ μηδὲ κενὸν εἶναι, διὰ τοῦτο ἐπήγαγεν, ὅτι καὶ αὐτὸ καθ' αὑτό, χωρὶς τοῦ συνανῃρῆσθαι αὐτὸ τῷ διαστηματικῷ τόπῳ, δειχθείη ἂν μὴ δυνάμενον ὑπάρχειν.

ΟΥΤΩ καὶ ἐν ἀέρι· ἀλλὰ τῇ αἰσθήσει ἄδηλον.

Ἀλλὰ καὶ ἐπὶ τοῦ ἐν ἀέρι φησὶν ἐντιθεμένου σώματος, τὸ αὐτὸ συμβαίνει· ὑπεξίσταται γὰρ τοσοῦτος ἀὴρ τῷ ἐντεθέντι σώματι, ὁπόσον ἐστὶ καὶ τὸ σῶμα. ἀλλ' ἐπειδὴ μὴ ἀντιλαμβάνεται ἡ ἡμετέρα αἴσθησις τοῦ ὑπεξισταμένου ἀέρος, διὰ τὸ ἄχρουν, ταύτῃ δοκεῖ μηδὲν ὑπεξίστασθαι. ἀλλ' εἰ καὶ τῇ αἰσθήσει ἄδηλον τοῦτο, ἀλλ' οὖν τῷ λόγῳ πάνυ ἐστὶ πρόδηλον. εἰ γὰρ σῶμα ὁ ἀήρ, ἀδύνατον δὲ δύο σώματα ἐν τῷ αὐτῷ εἶναι, ἀνάγκη ἄρα πᾶσα ὑπεξίστασθαι τὸν ἀέρα τῷ ἐντιθεμένῳ ἐν αὐτῷ σώματι.

ΚΑΙ ἀεὶ δὴ ἐν παντὶ σώματι ἔχοντι μετάστασιν, ἐφ' ὃ πέφυκε συνίστασθαι, ἀνάγκη ἂν μὴ συμπιλῆται, μεθίστασθαι· ἢ κάτω ἀεί, εἰ κάτω ἡ φορά, ὥσπερ γῆς· ἢ ἄνω, εἰ πῦρ· ἢ ἐπ' ἄμφω, ὡς ὁ ἀήρ.

Ἔχοντι μετάστασιν εἶπε, διὰ τὰ μεγέθη τὰ μαθηματικά. ταῦτα γὰρ δηλονότι μετάστασιν οὐκ ἔχει, ἐπεὶ μηδὲ βάρος, μηδὲ κουφότητα· ἐξ ἀφαιρέσεως γάρ ἐστι καὶ ἐν ἐπινοίᾳ. ἐν παντὶ οὖν σώματί φησιν, ἐν ᾧ ἂν ἐντεθῇ ὁ κύβος, ἐπ' ἐκεῖνο ὑπεξίσταται τῷ κύβῳ τὸ σῶμα, ἐφ' ὃ καὶ πέφυκε φέρεσθαι· οἷον εἰ ἐν ὕδατι ἐντεθῇ, ἐπὶ τὸ κάτω ὑπεξίσταται τῷ κύβῳ τὸ ὕδωρ· κατώφορον γὰρ τὸ ὕδωρ. εἰ δὲ ἐν πυρὶ τεθῇ λίθινος κύβος, ἐπὶ τὸ ἄνω ὑπεξίσταται, καὶ μεταχωρεῖ τῷ λίθῳ τὸ πῦρ· ἀνώφορον γὰρ δηλονότι, εἰ μὴ ἄρα βιάζοιτο. εἰ γὰρ μὴ ἔχοι τὸ πῦρ χωρῆσαι ἐπὶ τὸ ἄνω, κωλύοντος στερεωτέρου σώματος τὴν ἐπὶ τὸ ἄνω πρόοδον, ἐπὶ τὸ κάτω δηλονότι χωρεῖ ἀντιπαραχωρῆσαν τῷ ἐντεθέντι. ὁμοίως καὶ ἐν τῷ ὕδατι τῷ ἐν τῇ λεκάνῃ, οὐκ ἐπὶ τὸ κάτω μεταστήσεται τὸ ὕδωρ· κωλύεται γὰρ ὑπὸ τοῦ ἀνέχοντος σώματος, στερεωτέρου ὄντος, ἀλλ' ἐπὶ τὸ ἄνω διὰ τὴν βίαν. τὸ δὲ ἂν μὴ συμπιλῆται, οἷον ὡς ἐπὶ τοῦ ἐρίου. τοῦτο γὰρ συμπιλούμενον εἰς ἑαυτό, ἀντιπαραχωρεῖ μὲν τῷ ἐντεθέντι, οὐ μέντοι ἐπὶ τὸ ἄνω ἢ ἐπὶ τὸ κάτω κινεῖται, ἀλλὰ μόνον εἰς ἑαυτὸ συμπιλεῖται. καὶ ἀὴρ γὰρ τὸ αὐτὸ ὑπομείνειεν ἄν. δυνατὸν γὰρ ἅμα τῷ ἐντεθέντι κύβῳ, τὸν ἀέρα μήτε ἄνω μήτε κάτω χωρῆσαι, ἀλλὰ πυκνωθῆναι εἰς ἑαυτὸν συμπιλούμενον, οὐχ ὡς τὸ ἔριον δηλονότι, ἀλλὰ ἀλλοιούμενον, τῷ πυκνότερον γίνεσθαι. τὸ δὲ ἢ ἐπ' ἄμφω, οἷον εἰ τὸ ἐν ᾧ ἐντίθεται, μήτε ἄγαν βαρύ, μήτε κοῦφον, ἀλλ' οἷον μέσον πως, καὶ δυνάμενον ῥᾳδίως ἐφ' ἑκάτερα χωρῆσαι· οἷός ἐστιν ὁ ἀήρ. εἰ γὰρ ἐν τούτῳ ἐντεθείη ὁ κύβος, δυνατὸν τὸν ἀέρα καὶ ἐπὶ τὸ ἄνω θλιβόμενον κινηθῆναι, καὶ ἐπὶ τὸ κάτω· ὁποίαν ῥᾳδίαν εὕροι τὴν πάροδον.

Η ὁποῖον ἄν τι ᾖ τὸ ἐντιθέμενον.

Εἰ μὲν οὕτως ἔχει ἡ γραφή, λέγοι ἂν περὶ τοῦ σχήματος τοῦ ἐντιθεμένου, ὅτι τὸ αὐτὸ συμβήσεται, κἂν μὴ κύβος ᾖ τὸ ἐντεθέν, ἀλλὰ ἄλλο ὁποιονοῦν σχῆμα. εἰ δὲ ἔστιν, ὅποι ἂν ᾖ, τουτέστιν ἐφ' ὃ ἂν ἔχοι τὴν κίνησιν τὸ ἐντιθέμενον, λέγοι ἂν ὅτι τὸ σῶμα ἐν ᾧ ἐντίθεται ὁ κύβος, ἐπὶ τοῦτο χωρήσει, ἐφ' ὃ ἂν καὶ τὸ ἐντιθέμενον χωρῇ· δηλονότι δραστικωτέρας οὔσης τῆς ῥοπῆς τοῦ ἐντιθεμένου. εἰ γὰρ μὴ εἴη δραστικωτέρα ἡ τοῦ ἐντιθεμένου δύναμις, οὐδὲ ὑποχωρήσει αὐτῷ τὸ ἐν ᾧ ἐντίθεται. εἰ μὲν γὰρ ἀνώφορον εἴη τὸ ἐντιθέμενον, ἐπὶ τὸ ἄνω κἀκεῖνο ὠθήσει. ὁμοίως καὶ εἰ κατώφορον, ἐπὶ τὸ κάτω. τὸ δὲ ἢ ἐπ' ἄμφω, οὐ πάνυ ἁρμόσει κατὰ ταύτην τὴν ἐξήγησιν, ἢ τὸ ἐπ' ἄμφω, ὡς ἐν ὑποθέσει εἴρηται, ὅτι εἰ εἴη τοιοῦτον, ὥστε καὶ ἄνω καὶ κάτω χωρεῖν. τὸ δὲ ἐφ' ὃ πέφυκε συνίστασθαι, ἴσον ἐστὶ τῷ μεθίστασθαι. τὸ δὲ ἔχοντι μετάστασιν, τουτέστι πεφυκότι μετακινεῖσθαι· εἰ γὰρ ἀκίνητον ᾖ, οὐδ' ὅλως γενήσεται ἐν τόπῳ αὐτοῦ τὸ ἐντιθέμενον.

ΕΝ δὲ δὴ τῷ κενῷ, τοῦτο μὲν ἀδύνατον. οὐδὲν γὰρ σῶμα. διὰ δὲ τοῦ κύβου τὸ ἴσον διάστημα διεληλυθέναι δόξειεν, ὅπερ ἦν καὶ πρότερον ἐν τῷ κενῷ· ὥσπερ ἂν εἰ τὸ ὕδωρ μὴ μεθίσταιτο τῷ ξυλίνῳ κύβῳ, μηδ' ὁ ἀήρ, ἀλλὰ πάντῃ διήεσαν δι' αὐτοῦ.

Τοῦτο μὲν ἀδύνατον· τὸ ὑπεκστῆναι δηλονότι τῷ ἐντιθεμένῳ σώματι. οὐ γάρ ἐστι σῶμά τι τὸ κενόν, ἵνα καὶ ὑπεκστῇ τῷ κύβῳ, ἐντιθεμένῳ ἐν αὐτῷ. ἀνάγκη οὖν, ἐντιθεμένου τοῦ κύβου, μὴ μετακινεῖσθαι τὸ κενόν, ἀλλὰ μένειν. πῶς γὰρ ἂν τὸ κενὸν κινηθείη; εἰ δὲ μένει, δηλονότι ἴσον διάστημα τοῦ κενοῦ, ὅσον ἐστὶ καὶ τὸ τοῦ κύβου, ἐχώρησε δι' ὅλου τοῦ κύβου· ὥστε καὶ τὸ τοῦ κύβου διάστημα, δι' ἴσου διαστήματος τοῦ κενοῦ· ταὐτὸν γάρ ἐστι.

ΑΛΛΑ μὴν καὶ ὁ κύβος ἔχει τοσοῦτον μέγεθος, ὅσον κατέχει τὸ κενόν· ὃ εἰ καὶ θερμόν ἐστιν ἢ ψυχρὸν ἢ βαρὺ ἢ κοῦφον, οὐδὲν ἧττον ἕτερον, ἀλλὰ καὶ μᾶλλον τῷ εἶναι πάντων τῶν παθημάτων ἐστί· καὶ εἰ μὴ χωριστόν. λέγω δὲ τὸν ὄγκον τοῦ ξυλίνου κύβου. ὥστε εἰ καὶ χωρισθείη πάντων τῶν ἄλλων καὶ μήτε βαρὺ μήτε κοῦφον εἴη, καθέξει τὸ ἴσον κενόν. καὶ ἐν τῷ αὐτῷ ἔσται τῷ τοῦ τόπου καὶ τῷ τοῦ κενοῦ μέρει, ἴσῳ τῷ αὑτῷ. τί οὖν διοίσει τὸ τοῦ κύβου σῶμα τοῦ ἴσου κενοῦ καὶ τόπου; καὶ εἰ δύο τοιαῦτα, διὰ τί οὐ καὶ ὁποσαοῦν ἐν τῷ αὐτῷ ἔσται; ἓν μὲν οὖν τοῦτο ἄτοπον καὶ ἀδύνατον.

διάστημα ὁ κύβος, ὅσον καὶ ὕλης ἐστίν. ὥστε τὸ τοῦ κύβου διάστημα χωρήσει δι' ἴσου διαστήματος τοῦ κενοῦ, καὶ ἐφαρμόσουσιν ἀλλήλοις τὰ διαστήματα. ὥσπερ γάρ φησιν, εἰ μὴ μεθίστατο τῷ κύβῳ τὸ ὕδωρ ἢ ὁ ἀήρ, ἐντιθέμενος ἂν ἐν τῷ διὰ τοσούτου ὕδατος ἢ ἀέρος ἐχώρει, ὅσος ἐστὶν αὐτός, οὕτως εἰ μηδέν ἐστιν ἐν τῷ κενῷ τὸ ὑπεξιστάμενον, τὸ ἴσον ἑαυτῷ ὁ κύβος τοῦ κενοῦ καταλήψεται διάστημα. διάστημα δέ φησι διαστήματος κατ' αὐτὸ τοῦτο οὐδὲν διοίσει. κἂν γὰρ ἔχῃ ποιότητας τὸ τοῦ κύβου διάστημα συμβάσας αὐτῷ, ἀλλ' οὐχ ᾗ πεποίωται, ταύτῃ ἐστὶν ἐν τῷ τόπῳ, ἀλλὰ μόνον ᾗ διαστάσεις ἔχει. ὥστε κἂν χωρισθῇ πάντων τῶν παθῶν, λευκότητος, θερμότητος, ἀντιτυπίας, βάρους, καὶ τῶν λοιπῶν, καὶ μείνῃ μόνον τὸ διάστημα, οὐδὲν ἧττον ἐν τόπῳ ἐστί, καὶ ἴσον ἑαυτῷ κατέχει τοῦ κενοῦ μέρος. κατ' οὐδὲν γὰρ τούτων ἐν τόπῳ ἦν. οὐχ ὡς λευκὸς, οὐχ ὡς θερμὸς, οὐχ ὡς βάρος ἔχων, ἀλλὰ καθὸ διαστάσεις ἔχει. ἐπεὶ οὖν καὶ τοῦτό ἐστιν ἐν τόπῳ, ἐὰν χωρισθῇ πάντων τῶν ἄλλων, ἃ μηδὲν αὐτῷ εἰς τὸ ἐν τόπῳ εἶναι συμβάλλονται, τί διοίσει τοῦ διαστήματος τοῦ κενοῦ, ὃ γέγονεν αὐτῷ τόπος. εἰ δὲ μηδὲν διοίσει, κἀκεῖνο γὰρ διάστημά ἐστιν ἀπαθὲς, καὶ τοῦτο, τί οὖν ἐδέησεν ἔξωθεν ἕτερόν τι διάστημα περιβαλεῖν τοῖς σώμασιν. εἰ γὰρ οἴκοθεν ἔχει τὸ διάστημα ἕκαστον τῶν σωμάτων, τί ἐδέησεν ἔξωθεν ἄλλου διαστήματος. μάταιον ἄρα τὸ ἔξωθεν διάστημα, καὶ περιττὸν, αὐτοῦ ἑκάστου ἐν ἑαυτῷ περιφέροντος τὸ διάστημα. καὶ εἰ δύο διαστήματα ὅμοια ἐχώρησαν δι' ἀλλήλων, καὶ ἐφήρμοσαν ἀλλήλοις, διατί μὴ καὶ τρία, καὶ ἄπειρα. καὶ εἰ τὸ κενὸν διάστημα ὂν, οὐδὲν διοίσει τοῦ γινομένου ἐν αὐτῷ διαστήματος, κενὸν ἄρα ἐν κενῷ γέγονεν. ἔτι δὲ εἰ μεθίσταται ὁ κύβος κατ' οὐδὲν ἄλλο, ἢ καθὸ διάστημά ἐστιν, ἐπεὶ καὶ καθὸ διάστημά ἐστι, μεταβάλλει τόπον ἐκ τόπου, κινούμενα δὲ τὰ σώματα τὸ οἰκεῖον συμμεταφέρει διάστημα, τὸ δὲ διάστημα κατ' αὐτὸ τοῦτο οὐδὲν διαφέρει τοῦ ὡς κενοῦ διαστήματος, περιττὸν ἄρα καὶ μάταιον, ἄλλο διάστημα τοῖς σώμασιν ἔξωθεν ἐπινοεῖν, ἑκάστου τὸ ἴδιον συμπεριφέροντος διάστημα. εἰ γὰρ ὁ τόπος διάστημα, τὸ δὲ ἑκάστου διάστημα ἐν ἑκάστῳ ἐστὶ, μηδὲν διαφέρον γε κατὰ τοῦτο τοῦ ἔξω διαστήματος, μάταιον τὸ ἕτερον περιεγκυκλεῖν διάστημα ἔξωθεν, παρὰ τὸ ἐνυπάρχον ἑκάστῳ. τί γὰρ λυσιτελεῖ τὸ ὅμοιον ἐν τῷ ὁμοίῳ γενέσθαι. καὶ εἰ τὰ σώματα, ᾗ διαστήματά ἐστιν, ἑτέρων διαστημάτων δεῖται, καὶ τὸ κενὸν διάστημα ὂν, δέοιτο ἂν ἑτέρου διαστήματός τινος. ὥστε γένοιτ' ἂν τὸ κενὸν ἐν κενῷ. καὶ τοῦτο ἐπ' ἄπειρον. οὐκ ἄρα οὐδὲ ὡς τόπον ἐνδέχεται εἶναι τὸ κενόν. εἰ τοίνυν μήτε τὴν τοῦ τόπου χρείαν παρέχει, μήτε κινήσεως αἴτιόν ἐστι, τοὐναντίον δὲ καὶ ὂν, ἀναιρεῖ τὴν κίνησιν, ἔοικε μηδαμῶς εἶναι τὸ κενόν.

» ΟΡΩΜΕΝ γὰρ τὰ μείζω ῥοπὴν ἔχοντα ἢ βάρους, ἢ κουφότητος, ἐὰν τἆλλα ὁμοίως ἔχῃ τοῖς
» σχήμασι, θᾶττον φερόμενα τὸ ἴσον χωρίον, καὶ κατὰ λόγον ὃν ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα. ὥστε καὶ
» διὰ τοῦ κενοῦ. ἀλλὰ ἀδύνατον. διὰ τίνα γὰρ αἰτίαν οἰσθήσεται θᾶττον. ἐν μὲν γὰρ τοῖς πλήρεσιν ἐξ ἀ-
» νάγκης. θᾶττον γὰρ διαιρεῖ τῇ ἰσχύϊ τὸ μεῖζον.

Τοῦ αὐτοῦ γὰρ ὄντος, δι' οὗ φέρονται, καὶ ὁμοιοσχημόνων ὄντων τῶν φερομένων, ἀνίσων δὲ τοῖς βάρεσιν, ἣν ἀναλογίαν ἔχει τὸ βάρος πρὸς τὸ βάρος, ταύτην ἀνάγκη ἔχειν καὶ τὴν κίνησιν πρὸς τὴν κίνησιν. ὅσῳ γὰρ ὑπερέχει τὸ βαρύτερον, τοσούτῳ θᾶττον κατενεχθήσεται. ἐὰν δὲ τοῖς σχήμασι διαφέρῃ, ἐνδέχεται ἧττόν τι βάρος ὀξὺ τῷ σχήματι μείζονος βάρους σφαιροειδοῦς, ἐν ἴσῳ χρόνῳ διὰ τοῦ αὐτοῦ διαστήματος καταφέρεσθαι. δῆλος δὲ καὶ ἐν πλείονι, κατὰ ἀναλογίαν τῆς τε τοῦ βάρους ὑπεροχῆς καὶ τῆς τοῦ σχήματος.

» Η γὰρ σχήματι διαιρεῖ, ἢ ῥοπῇ ἣν ἔχει τὸ φερόμενον ἢ τὸ ἀφεθέν. ἰσοταχῆ ἄρα πάντ' ἔσται. ἀλλ'
» ἀδύνατον. ὅτι μὲν οὖν εἰ ἔστι κενὸν, συμβαίνει τοὐναντίον, ἢ δι' ὃ κατασκευάζουσιν οἱ φάσκοντες εἶναι κε-
» νὸν, φανερὸν ἐκ τῶν εἰρημένων. οἱ μὲν οὖν οἴονται τὸ κενὸν εἶναι, εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις, ἀπο-
» κεχωρισμένον καθ' αὐτό. τοῦτο δὲ ταυτόν ἐστι τῷ τὸν τόπον φάναι εἶναί τι κεχωρισμένον. τοῦτο δ' ὅτι ἀ-
» δύνατον, εἴρηται πρότερον.

Η γὰρ ᾧ βάρει ὠθούμενος ὁ ἀὴρ, ὑπεξιστάμενος σχίζεται, ἢ τῇ ὀξύτητι τοῦ σχήματος εὐδιαίρετος ὢν μερίζεται. καὶ ἡ σφαῖρα, κατὰ σημεῖον ἄρχεται τῆς τομῆς. διατοῦτο χαλκός τε καὶ μόλιβδος, πλατέα μὲν ἐποχεῖσθαι δύναται ἐν ὕδατι. σφαιρικὰ δὲ ὄντα, ἢ κυλινδρικὰ, οὐκέτι, κἂν πολλῷ μικρότερα ᾖ τὸ βάρει. εἰ οὖν τὸ δι' οὗ ἡ κίνησις γίνεται, κενὸν ἦν, ἰσοταχῶς δηλονότι πάντα ἂν κατηνέχθη. τί γὰρ ἦν τὸ κωλῦον μὴ ἰσοταχῶς πάντα κινεῖσθαι, μηδενὸς ὄντος τοῦ κωλύοντος τῇ διαιρέσει. ἀλλὰ ἀδύνατον ἰσοταχῶς πάντα κινεῖσθαι. ὥστε καὶ κενὸν εἶναι ἀδύνατον.

» ΚΑΙ καθ' αὐτὸ δὲ σκοποῦσι φανείη ἂν τὸ λεγόμενον κενὸν, ὡς ἀληθῶς κενόν. ὥσπερ γὰρ ἐν ὕδατι
» ἂν θῇ τις κύβον, ἐκστήσεται τοσοῦτον ὕδωρ ὅσον ὁ κύβος.

Καθ' αὐτὸ, τουτέστι χωρὶς τῆς κατὰ τόπον κινήσεως. ἀνωτέρω γὰρ, ἐκ τοῦ μὴ δύνασθαι δι' αὐτοῦ γενέσθαι τὴν κατὰ τόπον κίνησιν, ἀνῄρει ὅτι ἔστι κενόν. νῦν δὲ οὕτως αὐτὸ σκοπεῖ, ὡς ἂν εἰ καὶ μὴ ἦν ἡ κατὰ τόπον κίνησις. ἢ ἐπειδὴ εἶπεν, ὅτι οἱ λέγοντες εἶναι τὸ κενὸν, διὰ τὸ κίνησιν εἶναι, ἀποκεχωρισμένον καὶ

καθ' αὐτὸ

ἡ αὐτὴ διάστασις, ἐν ἐλάττονι ἢ αὐτὴν ἐκινήθη. ἀκόλουθον γάρ. ὑπέκειτο δὲ τὴν Ζ διάστασιν κενὴν οὖσαν, ἐν τῷ Η χρόνῳ κεκινῆσθαι. τὸ αὐτὸ ἄρα ἐν πλείονι καὶ ἐν ἐλάττονι χρόνῳ κινηθήσεται. ὅπερ ἄτοπον.

ΦΑΝΕΡΟΝ τοίνυν ὅτι εἰ ἔστι τις χρόνος ἐν ᾧ τοῦ κενοῦ ὁτιοῦν οἰσθήσεται, συμβήσεται τοῦτο τὸ ἀδύνατον. ἐν ἴσῳ γὰρ ληφθήσεται πλῆρές τε ὂν διεξιέναι τι, καὶ κενόν. ἔσται γάρ τι ἀνάλογον σῶμα ἕτερον πρὸς ἕτερον, ὡς ὁ χρόνος πρὸς χρόνον.

Δῆλον φησὶν, ὅτι τῇ ὑποθέσει τῇ λεγούσῃ κινεῖσθαί τι διὰ κενοῦ, ἠκολούθησε τοῦτο τὸ ἀδύνατον, τὸ ἐν ἴσῳ χρόνῳ πλῆρές τι διεξιέναι καὶ κενόν. καὶ τοῦτο ἀναλαμβάνων τὸν λόγον, συντόμως κατασκευάζει. ἔσται γάρ τι φησὶν ἀνάλογον σῶμα ἕτερον πρὸς ἕτερον, ὡς χρόνος πρὸς χρόνον. τουτέστι δυνατὸν ἀναλογίαν τινὰ σωμάτων λαβεῖν τοιαύτην, ἣν ἔχει χρόνος πρὸς χρόνον. ὥστε εἰ λάβοι λεπτομερὲς σῶμα τοῦτον τὸν λόγον ἔχον πρὸς ἀέρα, ὃν ἔχει ὁ χρόνος ἐν ᾧ ἐκινεῖτο διὰ τοῦ ἀέρος, πρὸς τὸν χρόνον ἐν ᾧ ἐκινεῖτο διὰ τοῦ κενοῦ, συμβήσεται τὰ εἰρημένα.

ΩΣ δ' ἐν κεφαλαίῳ εἰπεῖν, δῆλον τὸ τοῦ συμβαίνοντος αἴτιόν ἐστιν, ὅτι κινήσεως μὲν πρὸς κίνησιν πάσης ἐστὶ λόγος, ἐν χρόνῳ γάρ ἐστι. χρόνου δὲ παντός ἐστι πρὸς χρόνον, πεπερασμένων ἀμφοῖν. κενοῦ δὲ πρὸς πλῆρες, οὐκ ἔστι. ᾗ μὲν οὖν διαφέρουσι δι' οὗ φέρονται, ταῦτα συμβαίνει.

Τὴν αἰτίαν δι' ἣν ἑξῆς τῇ ὑποθέσει τοῦ κενοῦ ἠκολούθησε τὰ εἰρημένα ἄτοπα, προστίθησι. διὰ τοῦτο γὰρ ἠκολούθησε τῇ ὑποθέσει τοῦ κενοῦ τὸ ἄτοπον, διότι δεδωκότες ἐν κενῷ κίνησιν γίνεσθαι, δίδομεν εὐθὺς καὶ τὸ κενὸν λόγον ἔχειν πρὸς τὸ πλῆρες. ἀνάγκη γὰρ πάσης κινήσεως πρὸς κίνησιν λόγον ἐχούσης, διότι ἐν χρόνῳ πᾶσα κίνησις, καὶ τοῦ χρόνου πρὸς τὸν χρόνον ἀκολούθως, καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες λόγον ἔχειν. ἐπεὶ οὖν οὐκ ἔστι λόγος τις τοῦ κενοῦ πρὸς τὸ σῶμα, ὑποτιθέμεθα δὲ τὸ μὴ ὄν, εἰκότως τῇ ψευδεῖ ὑποθέσει τὸ ἄτοπον ἕπεται.

ΚΑΤΑ δὲ τὴν τῶν φερομένων ὑπεροχὴν, τάδε.

Εἰπὼν ὅτι περὶ δύο αἰτίας συμβαίνει τὸ ἀνισοταχῶς κινεῖσθαι, ἢ τὸ διαφέρειν τὸ δι' οὗ, ἢ τὸ διαφέρειν τὸ φερόμενον, εἰ τὰ ἄλλα τὰ αὐτὰ εἴη, δείξας δὲ ἐκ τῶν δι' ὧν γίνεται κίνησις, ὅτι ἀδύνατον κενοῦ ὄντος κίνησιν εἶναι, βούλεται νῦν αὐτὸ τὸ λοιπὸν μεταλαβεῖν, καὶ δεῖξαι ἐξ αὐτῶν τῶν κινουμένων, ὅτι εἰ κενὸν ἦν, ἀδύνατον ἦν κίνησιν εἶναι. τῆς γὰρ ἀνίσου τῶν κινουμένων φορᾶς, ἡμᾶς μὲν ὅσοι μὴ διὰ κενοῦ φαμὲν τὴν κίνησιν γίνεσθαι, φυσικωτέρας ἀποδιδόναι τὰς αἰτίας ἔχομεν, οὐ μόνον ἐκ τῆς διαφορᾶς τῶν δι' ὧν, ὥσπερ ἐν τοῖς ἔμπροσθεν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῶν κινουμένων τῆς ἑτερότητος. κἂν γὰρ τὸ αὐτὸ ᾖ δι' οὗ ἡ κίνησις, διάφορα δὲ τὰ κινούμενα, ἢ τῷ βάρει ἢ τοῖς σχήμασι, θᾶττον καταφέρεται τὸ βαρύτερον, ἐὰν τοῖς σχήμασι τὰ αὐτὰ ᾖ. καὶ ἡ αἰτία δήλη. ἐπεὶ γὰρ διὰ σώματος ἡ κίνησις, τὸ δὲ βαρύτερον μᾶλλον διαιρεῖ τῇ δυνάμει, εἰκότως καὶ θᾶττον καταφέρεται. κἂν τὸ αὐτὸ δὲ βάρος ἔχῃ, τοῖς σχήμασι δὲ διαφέρῃ ἀλλήλων, καὶ τὸ μὲν ᾖ σφαιρικὸν ἢ ὀξὺ εἰ τύχοι, τὸ δὲ πλατὺ καὶ πεταλῶδες, κἂν τὸ ἴσον ἔχωσι βάρος, θᾶττον τὸ ὀξὺ καὶ σφαιρικὸν καταφέρεται τοῦ πλατέος. τὸ μὲν γὰρ πλατὺ, ὑπὸ πλείονος ἀνέχεται σώματος. βράδιον δὲ τὸ πλεῖον κατασχίζεται, ἢ διαιρεῖται ὑπὸ τῆς ἀμβλύτητος τοῦ σχήματος. τὰ δὲ ὀξέα καὶ τὰ σφαιρικὰ, ὑπὸ ἐλάττονος ἀνέχεται σώματος. διὸ θᾶττον διαιρεῖται τὰ ὑποκείμενα. καὶ ταῦτα καὶ οἱ τὰς βαναύσους τέχνας μετιόντες ἐπίστανται. τὰς γοῦν μολιβδίνας οἱ ναῦται διὰ τοῦτο βαρείας ἐξαρτῶσι, διὰ τὸ θᾶττον καταφέρεσθαι, καὶ οὐ πλατείας, ἀλλὰ περιφερεῖς καὶ συνηγμένας. καὶ οἱ ἁλιεῖς τοῖς λίνοις διὰ τοῦτο προσπλέκουσι τὸν μόλιβδον. ἡμεῖς μὲν οὖν φησι, ταύτην ἀποδίδομεν τῆς ἀνισοταχοῦς κινήσεως τὴν αἰτίαν. ὅσοι δὲ διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι λέγουσι, τίνα αἰτίαν τῆς ἀνισότητος τῶν κινήσεων ἀποδοῖεν. τί γὰρ ἕξει πλέον διὰ κενοῦ κινούμενος ὁ μόλιβδος τοῦ φελλοῦ. ὁμοίως γὰρ ἀμφοτέροις εἴκει τὸ κενόν. μᾶλλον δὲ οὐδὲ εἴκει. σωμάτων γὰρ τὸ εἴκειν. ἀλλ' ἀμφότερα ὁμοίως δι' αὐτοῦ χωρεῖ, ὑπὸ μηδενὸς ἐμποδιζόμενα. ἰσοταχῆ ἄρα πάντα ἔσται, ἐπὶ τοῦ κενοῦ κινούμενα. ἀλλὰ ἀδύνατον. οὐκ ἄρα κίνησις ἐν κενῷ γένοιτ' ἄν. οἱ μὲν οὖν εἰσάγοντές φησι τὸ κενὸν, ἐκ τῆς κατὰ τόπον κινήσεως ᾤοντο δεικνύναι, ὅτι ἔστι κενόν. ὁ δὲ λόγος, τοὐναντίον ἔδειξεν, ὅτι εἰ ἔστι κενὸν, ἀδύνατον εἶναι κίνησιν. οὕτω μὲν οὖν ἐκ τῆς κατὰ τόπον κινήσεως ἔδειξεν, ὅτι τὸ κενὸν οὐκ ἔστι. καὶ αὐτὸ δέ φησι καθ' αὑτὸ ἐπισκοποῦσι, τὸ κενὸν δειχθείη ἂν ὡς ἀληθῶς ὂν κενὸν, τουτέστι μάταιον, καὶ εἰς οὐδὲν τοῖς οὖσι συμβαλλόμενον. ἐπειδὴ γὰρ οἱ τὸ κενὸν εἰσάγοντες καὶ ὡς τόπου χρείαν παρέχοντες τοῖς οὖσιν, οὕτως αὐτὸ ἐτίθεντο, δείκνυσιν ὅτι οὐδὲ οὕτως ἐνδέχεται εἶναι τὸ κενόν. λημμάτιον δὲ προλαμβάνει τοιοῦτον. ἐάν φησι ξύλινος κύβος ἐντεθῇ ἐν ὕδατι, τοσοῦτον ὕδωρ ὑπείκει τῷ κύβῳ, ὅσος ἐστὶν αὐτὸς ὁ ξύλινος κύβος. ὁμοίως κἂν ἐν ἀέρι, κἂν ἐν οἱῳδήποτε ὑπεικτικῷ σώματι. ὅταν οὖν ἐν τῷ κενῷ ἐντεθῇ ὁ κύβος, πότερον ὑπεξίσταται τῷ κύβῳ ἴσον κενὸν τῷ μεγέθει τοῦ κύβου; καὶ πῶς ἂν ἐκσταίη τὸ κενόν. εἰ δὲ μὴ ὑπεξίσταται ἐντεθέντι τῷ κύβῳ, ἀλλὰ μένει, τοσοῦτον δηλονότι τοῦ κενοῦ καταδέξεται

» ἔν τινι χρόνῳ, τῷ ἐφ᾽ οὗ η. ἐν ἐλάττονι δὲ ἢ τῷ ἐφ᾽ οὗ ε. καὶ τοῦτον ἕξει τὸν λόγον τὸ κενὸν πρὸς τὸ πλῆρες.

Ἐκθέμενος τὴν ἐπὶ τῶν σωμάτων, ὅταν δι᾽ αὐτῶν κινῆται, γινομένην ἀναλογίαν, καὶ εἰπὼν, μᾶλλον δὲ δείξας, ὡς οὐχ ἕξει τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδεμίαν ἀναλογίαν, ᾧ ἠκολούθει τὸ μηδὲ κίνησιν ἐνδέχεσθαι δι᾽ αὐτοῦ γενέσθαι, σαφέστερον ποιῆσαι βουλόμενος, ἐκτίθεται πάλιν διὰ καταγραφῶν, τὴν τῶν κινήσεων, καὶ δι᾽ ὧν γίνονται, ἀναλογίαν. καὶ ζητεῖ, εἰ καὶ ἐπὶ κενοῦ δύναται τὴν τοιαύτην τινὰ φυλαχθῆναι ἀναλογίαν. πρότερον μὲν γὰρ τὸ ὕδωρ καὶ τὸν ἀέρα ἐκθέμενος, ἐζήτει τί συμβαίνει, κινήσεως ἐπὶ τούτων γινομένης. νῦν δὲ λαβὼν ταῦτα ὡμολογημένα, ζητεῖ ποίαν πρὸς ταῦτα τὸ κενὸν ἕξει ἀναλογίαν, εἰ κινοῖτό τι ἐπ᾽ αὐτοῦ. καὶ ὑποθέμενος ἐπ᾽ αὐτοῦ γινομένην κίνησιν, ἀπάγει εἰς ἄτοπον τὸν λόγον. ὑποτίθεται οὖν τὸ κενὸν, ἴσον κατὰ τὸ μέγεθος τῷ β καὶ δ. τουτέστι τῷ ἀέρι καὶ τῷ ὕδατι. καὶ τὸ αὐτό φησιν α, ὅπερ ἐκινεῖτο καὶ ἐπὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος, εἰ καὶ ἐπὶ τοῦ κενοῦ κινηθείη, ἔν τινι μὲν χρόνῳ φησὶ κινηθήσεται. οἷον ἐν τῷ η. καλεῖ γὰρ τὸν χρόνον, ἐν ᾧ διὰ τοῦ κενοῦ κινεῖται, η. ἐλάττονα δὲ ἀνάγκη τὸν χρόνον τοῦτον εἶναι τοῦ χρόνου, ἐν ᾧ διὰ τοῦ ἀέρος ἐκινεῖτο. οὗτος δέ ἐστιν ὁ ε. εἰ τοίνυν φησὶν ἐν ἐλάττονι χρόνῳ κινεῖται διὰ κενοῦ ἢ δι᾽ ἀέρος, ἕξει δηλονότι λόγον τινὰ ὁ χρόνος ἐν ᾧ κινεῖται διὰ τοῦ κενοῦ, λέγω δὴ ὁ η, πρὸς τὸν χρόνον ἐν ᾧ κινεῖται διὰ τοῦ ἀέρος. οὗτος δέ ἐστιν ὁ ε. ὃν οὖν λόγον ἔχουσιν οὗτοι πρὸς ἀλλήλους, τοῦτον ἕξει τὸν λόγον καὶ τὸ πλῆρες καὶ τὸ κενόν.

» ἈΛΛ᾽ ἐν τοσούτῳ χρόνῳ, ὅσος ἐφ᾽ οὗ τὸ η τοῦ δ, τὸ α δίεισι τὴν θ.

Τὸ δεύτερον ἐπιχείρημα. ἐν τοσούτῳ φησὶ χρόνῳ, ὅσος ἐστὶν ἐν ᾧ διὰ τοῦ κενοῦ ἐκινήθη, ἔστι δὲ οὗτος ὁ η. κινηθήσεται τὸ α μέρος τι τῆς δ διαστάσεως. λέγω δὴ τοῦ ἀέρος. ἔστω δὲ τοῦτο ἡ διάστασις, ἐφ᾽ ἧς τὸ θ. τὸ δὲ ἑπόμενον τούτῳ ἄτοπον παραλιπὼν, μετέβη εἰς τὸ λοιπὸν ἐπιχείρημα. ἦν δὲ τοῦτο, τὸ ἐν τῷ χρόνῳ τῷ η. πλῆρές τι κινηθῆναι τὸ θ, ὅπερ ἦν τοῦ ἀέρος μέρος, καὶ κενόν. ὅπερ ἄτοπον. καὶ ὅτι πλῆρές τε καὶ κενὸν τὸν αὐτὸν ἕξουσι λόγον πρὸς ἄλληλα. λέγω δὴ τὸ ζ καὶ τὸ θ. ὅπερ ἄτοπον. ὃν γὰρ λόγον ἔχει τὸ θ πρὸς τὸ δ. λέγω δὴ τὸ μέρος τοῦ ἀέρος, πρὸς ὅλον τὸν ἀέρα, τοῦτον τὸν λόγον ἔχει καὶ τὸ ζ πρὸς τὸ δ. λέγω δὴ τὸ κενὸν πρὸς τὸν ὅλον ἀέρα. ἐπειδὴ καὶ ὁ χρόνος τοῦ ζ, καὶ τοῦ θ, ὅς ἐστιν ὁ η, τὸν αὐτὸν λόγον ἔχει πρὸς τὸν χρόνον τοῦ δ, ὅσπερ ἐστὶν ὁ ε. ὃν δὲ αὖ λόγον ἔχουσιν οἱ χρόνοι πρὸς ἀλλήλους, τοῦτον καὶ πρὸς τὸ δι᾽ οὗ ἔχουσι. τὸν αὐτὸν ἄρα λόγον ἔχουσι τὸ ζ καὶ τὸ θ πρὸς τὸ δ. τὰ δὲ πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχοντα λόγον, καὶ πρὸς ἄλληλα ἕνα καὶ τὸν αὐτὸν ἕξει λόγον. τὸ ἄρα ζ, ὅπερ ἐστὶ τὸ κενὸν, καὶ τὸ θ, ὅπερ ἐστὶ τὸ πλῆρες, τὸν αὐτὸν ἕξει πρὸς ἄλληλα λόγον. τοῦτο δὲ ἄτοπον, πλῆρες πρὸς κενὸν τὸν αὐτὸν ἔχειν λόγον, ὃν καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες. ταὐτὰ γὰρ ἔσονται ἀλλήλοις κατὰ τὴν σύστασιν. κατὰ τοῦτο γὰρ καὶ νῦν ἡ ἀναλογία. καὶ δὴ μανούμενον τὸ θ, λέγω δὴ τὸ μέρος τοῦ ἀέρος, ἐγένετο ἂν ὅπερ τὸ κενόν.

» ΔΙΕΙΣΙ δέ γε, κἂν ᾖ τι λεπτότητι διαφέρον τοῦ ἀέρος ἐφ᾽ οὗ τὸ ζ, ταύτην τὴν ἀναλογίαν ἣν ἔχει
» ὁ χρόνος ἐφ᾽ ᾧ ε, πρὸς τὸν ἐφ᾽ ᾧ η.

Τὸ τρίτον ἐπιχείρημα. ἐν ᾧ δείκνυται, ὅτι εἰ κινεῖταί τι διὰ κενοῦ, συμβήσεται ἐν ἴσῳ χρόνῳ τὸ αὐτὸ διάστημα πλῆρές τε καὶ κενὸν κινηθῆναι τὸ αὐτό. τὸ δὲ ζ, ὅπερ ἦν πρὸ τούτου κενὸν, νῦν πλῆρες ποιεῖ λεπτοτάτου σώματος, τοῦτον ἔχοντος τὸν λόγον πρὸς τὸν ἀέρα, ὅνπερ ἔχει ὁ η χρόνος ὁ τοῦ κενοῦ, πρὸς τὸν ε χρόνον τὸν τοῦ ἀέρος.

» Ἐὰν γὰρ ᾖ τοσούτῳ λεπτότερον τὸ ἐφ᾽ ᾧ ζ σῶμα, τοῦ δ ὅσῳ ὑπερέχει τὸ ε τοῦ η, ἀντιστρεμμένως δί-
» εισι τῷ τάχει ἐν τοσούτῳ, ὅσον τὸ η, τὴν ζ. τὸ ἐφ᾽ οὗ α, ἐὰν φέρηται.

Ἐὰν φησὶ τὸ ἐντεθὲν ἐν τῷ κενῷ σῶμα, τοσούτῳ λεπτότερον ᾖ τοῦ ἀέρος, ὅσῳ ὑπερέχει ὁ χρόνος ὁ τῆς κινήσεως τῆς ἐπὶ τοῦ πλήρους, τοῦ χρόνου τῆς κινήσεως τῆς ἐπὶ τοῦ κενοῦ, ἀντιστρεμμένως φησὶ δίεισι τῷ τάχει ἐν τοσούτῳ, ὅσον τὸ η τὴν ζ, τὸ ἐφ᾽ οὗ α ἐὰν φέρηται. τουτέστιν ὅσῳ ὑπερέχει ὁ τοῦ ἀέρος χρόνος, τοῦ τοῦ κενοῦ, τοσούτῳ ἀντιστρόφως ταχύτερον διελεύσεται τὸ α ἐπὶ τοῦ ζ ἐν τῷ η χρόνῳ, ἤπερ ἐπὶ τοῦ δ. ἀντιστρεμμένως δὲ εἶπεν, ὅτι ἐπὶ μὲν τῶν χρόνων, ὁ τοῦ ἀέρος χρόνος ὑπερεῖχε τοῦ χρόνου τοῦ κενοῦ. λέγω δὴ τὸ ε τοῦ η. πλείων γὰρ ἦν ὁ ε. ἐπὶ δὲ τῆς κινήσεως, πλείων ἐστὶ τῷ τάχει κατὰ τὴν αὐτὴν ἀναλογίαν, ἡ ἐν τῷ η χρόνῳ κίνησις, τῆς ἐν τῷ ε. καλῶς δὲ προσέθηκε, τὸ ἐὰν φέρηται. τουτέστιν, εἰ ὅλως πέφυκε δι᾽ ἐκείνου τοῦ σώματος κινεῖσθαι, τοῦ ἐντεθέντος ἐν τῷ κενῷ, τοιούτου ὄντος, οἷον ὑποτιθέμεθα, κατὰ τὴν εἰρημένην ἀναλογίαν κινηθήσεται ἐν αὐτῷ τὸ α.

» ἘΑΝ τοίνυν μηδὲν ᾖ σῶμα ἐν τῷ ζ. ἔτι θᾶττον. ἀλλ᾽ ἦν ἐν τῷ η. ὥστ᾽ ἐν ἴσῳ χρόνῳ δίεισι πλῆρές
» τε ὂν καὶ κενόν. ἀλλ᾽ ἀδύνατον.

Δύο ἄτοπα ἑπόμενα τῇ ὑποθέσει ἐν τῷ συμπεράσματι συνήγαγεν. ἐδείχθη μὲν γὰρ ὅτι τὸ α, ἐν τῷ η χρόνῳ κινηθήσεται ἐπὶ τοῦ λεπτοτάτου σώματος, τοῦ ἐντεθέντος ἐν τῷ κενῷ. ὑπέκειτο δὲ καὶ ἐξ ἀρχῆς ἐν τῷ κενῷ διὰ τοῦ η χρόνου κεκινημένον τὴν αὐτὴν διάστασιν. ἐν ἴσῳ ἄρα χρόνῳ, τὸ αὐτὸ α πλῆρές τε ὂν καὶ κενὸν τὸ αὐτὸ διάστημα τὸ ζ κινηθήσεται. ὅπερ ἀδύνατον. τοῦτο μὲν οὖν αὐτὸς ὕστερον ἐπήγαγεν. ἄλλο δὲ πρὸ τούτου συνήγαγεν ἄτοπον, ὅτι τὸ αὐτὸ ἐν ἴσῳ καὶ ἐλάττονι χρόνῳ κινηθήσεται. ὅπερ ἄτοπον. εἰ γὰρ ἐν τῷ η χρόνῳ ἐκινήθη τὴν ζ διάστασιν σώματος πλήρη, δῆλον δήπου, ὅτι εἰ κενὴ ὑπάρχει

ἡ αὐτὴ

ἀδύνατον, διὰ κενοῦ κίνησιν γενέσθαι. εἰ γὰρ πᾶσα μὲν κίνησις ἐν χρόνῳ, καὶ ἡ διὰ κενοῦ ἄρα κίνησις ἐν χρόνῳ ἂν εἴη. παντὸς δὲ χρόνου πρὸς πάντα χρόνον πεπερασμένον, ἔστι λόγος τις. ἢ γὰρ ἴσος ἐστὶ χρόνος χρόνῳ, ἢ ἥμισυς, ἢ διπλάσιος, ἢ ἐπίτριτος, ἢ κατὰ ἄλλον τινὰ τρόπον. ὡς δὲ αὖ οἱ χρόνοι τῶν κινήσεων ἔχουσιν, ἀνάγκη ἔχειν καὶ τὰ δι᾽ ὧν ἡ κίνησις. ἕξει ἄρα καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες λόγον. τοῦτο δὲ ἀδύνατον. εἰ τοίνυν ἀδύνατον λόγον τινὰ ἔχειν τὸ κενὸν πρὸς σῶμά τι, οὐδὲ ὁ χρόνος τῆς δι᾽ αὐτοῦ κινήσεως πρὸς τὸν τῆς διὰ σώματός τινος κινήσεως χρόνον, ἕξει λόγον. ἀλλ᾽ ἀδύνατον. παντὸς γὰρ χρόνου πρὸς πάντα χρόνον πεπερασμένον, λόγος τίς ἐστιν. ἐν οὐδενὶ ἄρα χρόνῳ διὰ τοῦ κενοῦ κινεῖται. τοῦτο δὲ πάλιν ἀδύνατον. πᾶσα γὰρ κίνησις ἐν χρόνῳ. οὐκ ἄρα ἐνδέχεται κίνησιν διὰ κενοῦ γενέσθαι.

ΕΙ γὰρ τὰ τέτταρα τῶν πέντε ὑπερέχει ἑνί, πλείονι δὲ τοῖν δυοῖν, καὶ ἔτι τοῦ ἑνὸς πλείονι ἢ τοῖν δυοῖν. τοῦ δὲ μηδενὸς οὐκ ἔτι ἔχει λόγον ᾧ ὑπερέχει, ἀνάγκη γὰρ διαιρεῖσθαι τὸ ὑπερέχον εἰς τε τὴν ὑπεροχὴν καὶ εἰς τὸ ὑπερεχόμενον. ὥστε ἔσται τὰ τέτταρα, ὅσῳ τε ὑπερέχει καὶ οὐδέν.

Εἰπών, ὅτι ὥσπερ οὐδείς ἐστι λόγος τοῦ μηδενὸς πρὸς τὸν ἀριθμόν, οὕτως οὐδὲ τοῦ κενοῦ πρὸς τὸ σῶμα, τοῦτο αὐτὸ διὰ τούτων κατασκευάζει, πῶς τὸ μηδὲν οὐκ ἔχει λόγον τινὰ πρὸς τὸν ἀριθμόν. παραδείγματα δὲ τίθησι τῶν ἐχόντων πρὸς ἄλληλα λόγον. τὰ γὰρ τέτταρά φησι, τῶν μὲν πέντε, μονάδι ὑπερέχει, τῶν δὲ δύο, πλέον ἢ μονάδι. δυάδι γὰρ τῶν δύο ὑπερέχει. τῆς δὲ μονάδος πάλιν, πλείονι ὑπεροχῇ ὑπερέχει, ἤπερ τῆς δυάδος. τριάδι γὰρ τῆς μονάδος ὑπερέχει. τοῦ δὲ μηδενός, οὐκ ἔτι οὐδεμιᾷ ὑπερέχει ὑπεροχῇ. διατί δὲ οὐχ ὑπερέχει τοῦ μηδενός, διὰ τῶν ἑξῆς προστίθησιν. εἴπομεν δὲ καὶ ἡμεῖς ἤδη ἐν τοῖς πρώτοις.

ΔΙΟ οὐδὲ γραμμὴ στιγμῆς ὑπερέχει, εἰ μὴ σύγκειται ἐκ στιγμῶν. ὁμοίως δὲ καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες οὐδένα οἷόν τε ἔχειν λόγον. ὥστ᾽ οὐδὲ τὴν κίνησιν.

Ἵνα μή τις εἴπῃ, ὅτι ἀλλὰ κακῶς ἔλαβεν εἰς παράδειγμα τοῦ κενοῦ τὸ μὴ ὄν, οὐ γάρ ἐστι τὸ κενὸν τῶν μὴ ὄντων, διὰ τοῦτο ταῦτα προστίθησιν. ὅτι οὐ μόνον τὸ μὴ ὂν πρὸς τὸ ὂν οὐδένα λόγον ἔχει, ἀλλ᾽ οὐδὲ τὰ ὄντα μὴ ὁμογενῆ δέ, λόγον τινὰ ἔχει πρὸς ἑαυτά. οὐ γὰρ ἡ γραμμὴ πρὸς στιγμὴν λόγον ἔχει, ἐπειδὴ μὴ σύγκειται ἐκ στιγμῶν ἡ γραμμή. οὐδὲ γραμμὴ πρὸς ἐπιφάνειαν. οὐδὲ ἐπιφάνεια πρὸς τὸ σῶμα. μυρία γὰρ σημεῖα προστεθέντα οὐ ποιεῖ τὴν γραμμὴν μείζονα. οὐδὲ αἱ γραμμαὶ τὴν ἐπιφάνειαν. οὐδὲ αἱ ἐπιφάνειαι τὸ σῶμα. οὐ γὰρ σύγκειται ἐκ τούτων. ἀλλὰ τὰ ὁμογενῆ ἐστι τὰ συγκρινόμενα πρὸς ἄλληλα, καὶ λόγον ἔχει. γραμμὴ γὰρ πρὸς γραμμὴν λόγον ἔχει. καὶ ἐπιφάνεια πρὸς ἐπιφάνειαν. καὶ σῶμα πρὸς σῶμα. ὥστε καὶ εἰ τῶν ὄντων ἐστὶ τὸ κενόν, ἐπειδὴ πάντῃ τῶν σωμάτων ἐστὶν ἕτερον, μᾶλλον δὲ ἀντικειμένως ἔχον, ὡς ἕξις καὶ στέρησις, τὸ μὲν γὰρ κενόν, τὸ δὲ πλῆρες, οὐκ ἂν ἔχοι λόγον τινὰ πρὸς τὸ σῶμα ᾗ κενόν ἐστι. τοὺς γὰρ λόγους τῶν συστάσεων νῦν ζητοῦμεν. ὅτι ἀὴρ μέν, τοσήνδε ἔχει σύστασιν, διπλασίονα δὲ ταύτης τὸ ὕδωρ. τοῦ οὖν κενοῦ μηδεμίαν ἔχοντος τοιαύτην σύστασιν, πῶς οἷόν τε λόγον τινὰ εἶναι καὶ σύγκρισιν πρὸς τὰ σώματα. ὥστε οὐδὲ ὁ τῆς κινήσεως χρόνος τῆς διὰ τοῦ κενοῦ, λόγον ἂν ἔχοι πρὸς χρόνον τινὰ τῆς διὰ τοῦ σώματος κινήσεως. οὕτω δὲ αὖ οὐ κινηθείη διὰ κενοῦ, ὡς πολλάκις εἴρηται.

ΑΛΛ᾽ εἰ διὰ τοῦ λεπτοτάτου ἐν τοσῳδὶ τὴν τοσήνδε φέρεται, διὰ τοῦ κενοῦ, παντὸς ὑπερβάλλει λόγου.

Εἰ διὰ τοῦ λεπτοτάτου φησὶ σώματος, ἐν τοσῷδε χρόνῳ τήνδε τὴν διάστασιν ἐκινήθη, καὶ ἀεὶ λεπτυνομένου τοῦ σώματος, μειοῦται ὁ τῆς κινήσεως χρόνος, τῶν ἄλλων δηλονότι πάντων τῶν αὐτῶν μενόντων εἰ ἐν μηδενὶ σώματι γένοιτο ἡ κίνησις, ἀλλ᾽ ἐν κενῷ, δῆλον ὅτι οὐδένα λόγον ἕξει ὁ χρόνος ὁ διὰ τοῦ κενοῦ, πρὸς τὸν διὰ τοῦ πλήρους. ταυτὸν δὲ εἰπεῖν, ἀχρόνως διὰ τοῦ κενοῦ κινηθήσεται. ταυτὸν δὲ εἰπεῖν, οὐδὲ ὅλως κίνησις ἐπὶ κενοῦ ἔσται. ὥσπερ γὰρ ἐπὶ τῆς ἀπλανοῦς σφαίρας, μᾶλλον δὲ τῆς τοῦ παντός, τὰ ἐν τῷ μεγίστῳ κύκλῳ ζώδια, θᾶττον τῶν λοιπῶν κινοῦνται, τὰ δὲ ἐν τοῖς ἐλάττοσι, βραδύτερα, καὶ τοσαύτη γίνεται τῆς βραδυτῆτος ἡ ἀναλογία, ὅση καὶ ἡ τῶν κύκλων ἐφ᾽ ὧν κινοῦνται μείωσις. ὃν γὰρ ἔχουσι λόγον οἱ κύκλοι πρὸς τοὺς κύκλους οἱ ἐλάττονες πρὸς τοὺς μείζονας, τοσούτῳ βραδύτερον κινοῦνται τὰ ἐν τοῖς ἐλάττοσι κύκλοις τῶν ἐν τοῖς μείζοσι, καὶ ἐπὶ τοσοῦτον προβαίνει ἡ μείωσις τῶν τε κύκλων καὶ τῆς ἐπ᾽ αὐτῶν κινήσεως ἕως καταδαπανηθέντων τῶν ἐπὶ τῆς σφαίρας λαμβανομένων κύκλων, καταντήσομεν εἰς τοὺς πόλους, οἵ τινές εἰσι παντελῶς ἀκίνητοι. διὸ καὶ ἄρκτος περὶ τοῦ κριοῦ ὃς ἐν τῷ μεγίστῳ ἐστὶ κύκλῳ, λέγω δὴ τῷ ἰσημερινῷ, ταυτά φησιν, αὐτοῦ καὶ κρειοβοώτα τοί εἰσι κέλευθοι, ὡς ῥά τε καὶ μήκιστα δινώμενος περὶ κύκλον, οὐδὲν ἀφαυρότερον τροχόωσι κυνοσουρίδος ἄρκτου. ἥτις ἐν βραχεῖ κύκλῳ δινεῖται. ἀλλ᾽ ὅμως ὁ ἐν τῷ μεγίστῳ κύκλῳ κινούμενος, τῷ ἐν ἐλαχίστῳ κινουμένῳ ἅμα ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθίσταται, τῇ σμικρότητι τοῦ κύκλου συμμειουμένης καὶ τῆς κινήσεως. οὕτως οὖν καὶ ἐπὶ τοῦ προκειμένου, εἰ ὅσῳ προκόπτει ἡ λεπτότης τοῦ σώματος, μειοῦται ὁ τῆς κινήσεως χρόνος ἐπὶ τὸ ταχύτερον αὐτῆς προϊούσης, εἰ καὶ ἄρα μηδὲν ᾖ σῶμα, ἀλλὰ κενόν, ὁ πᾶς καταδαπανηθήσεται χρόνος, καὶ οὐκ ἔσται κίνησις οὐδεμία.

ΕΣΤΩ γὰρ τὸ ζ κενόν, ἴσον δὲ τῷ μεγέθει ταῖς β' καὶ δ'. τὸ δὴ α εἰ δίεισι, καὶ κινηθήσεται μεν

πρῶτον, τὸ πάντα διελθεῖν περὶ τοῦ κενοῦ λόγον, εἶθ' οὕτως ἀναλαβόντας ἐξ ἀρχῆς, ἕκαστον αὐτῶν σκέψασθαι τῶν ἐπιχειρημάτων, ὅπῃ ἀληθείας ἢ ψεύδους ἔχει, μηδὲν αἰδεσθέντας μηδὲ τῆς ἀληθείας τὸ τοῦ ἀνδρὸς ὑπειλημμένον αὐτῇ πρόσθεν θέντας.

» ΟΙΟΝ δι' ὕδατος ἢ γῆς ἢ ἀέρος.

Παραδείγματος ἕνεκεν τὴν γῆν ἔλαβεν· οὐχ ὡς δι' αὐτῆς γινομένης κινήσεως· ἢ γῆν φησι, χωρίον τι πηλωματῶδες· ὅθεν ἐπὶ σαφέστερα παραδείγματα μεταβαίνων, τὸν ἀέρα λαμβάνει καὶ τὸ ὕδωρ.

» Η τῷ διαφέρειν τὸ φερόμενον, ἐὰν τἆλλα ταυτὰ ὑπάρχῃ, διὰ τὴν ὑπεροχὴν τοῦ βάρους ἢ τῆς κου-
» φότητος.

Εἰπὼν τὸ τῆς ἀνίσου κινήσεως αἴτιον, λέγω δὴ τὴν διαφορὰν τοῦ δι' οὗ, λέγει νῦν καὶ τὸ λοιπόν. λέγω δὲ τὴν διαφορὰν τῶν φερομένων. κἂν γὰρ τὸ δι' οὗ τὸ αὐτὸ ᾖ, διαφέρῃ δὲ τὰ φερόμενα βαρύτητι καὶ κουφότητι, κουφότητα δὲ λέγω, τὴν ἥττονα βαρύτητα, οἷον εἰ τὸ μὲν λιτριαῖον εἴη, τὸ δὲ, διλιτριαῖον, κἂν διὰ τοῦ αὐτοῦ φέροιτο ἀέρος, οὐκ ἐν ἴσῳ χρόνῳ ἐνεχθήσονται. τὸ δὲ τὰ ἄλλα τὰ αὐτὰ ὑπάρχῃ, οἷον εἰ μὴ τοῖς σχήμασι διαφέροιεν. δυνατὸν γὰρ τὸ βαρύτερον, ἐν ἴσῳ χρόνῳ διὰ τοῦ αὐτοῦ διαστήματος τῷ κουφοτέρῳ κινηθῆναι, εἰ τὸ μὲν βαρύτερον πλατὺ εἴη, τὸ δὲ κουφότερον, σφαιρικόν. δυνατὸν δὲ καὶ οὕτως ἀκοῦσαι τῶν ῥητῶν. τὸ μὲν τῷ διαφέρειν τὸ φερόμενον ἀκουσόμεθα, ἢ μεγέθει, ἢ σχήματι. τὸ δὲ ἐὰν τἆλλα ταυτὰ ὑπάρχῃ, οἷον εἰ μὲν μεγέθει διαφέροι, καὶ σχῆμα εἶναι τὸ αὐτὸ, καὶ τὸ δι' οὗ. εἰ δὲ σχήματι καὶ μέγεθος τὸ αὐτὸ, καὶ τὸ δι' οὗ. οὕτω γὰρ ἄνισος γένοιτ' ἂν ἡ κίνησις.

» ΤΟ μὲν οὖν δι' οὗ φέρεται αἴτιον, ὅτι ἐμποδίζει, μάλιστα μὲν ἀντιφερόμενον, ἔπειτα δὲ καὶ μένον.
» μᾶλλον δὲ τὸ μὴ εὐδιαίρετον. τοιοῦτον δὲ τὸ παχύτερον.

Σημειωτέον, ὅτι τὸ δι' οὗ γίνεται ἡ κίνησις, αἴτιον τῆς ἀνίσου κινήσεώς φησιν, ὡς ἐμποδιστικόν. ἐμποδίζει δὲ τῇ κινήσει, τὴν ἐναντίαν τῷ κινουμένῳ φερόμενον, ὅταν ἢ δι' ἀέρος τι φέρηται τὴν ἐναντίαν ὑπὸ πνευμάτων κινουμένου, ἢ δι' ὕδατος, ἔμπαλιν τῷ κινουμένῳ φερομένου τοῦ ῥεύματος, οἷον εἰ ἐπὶ ποταμοῦ τις νήχοιτο, ἢ πλοῖον φέροιτο ἐναντίως τῷ ῥεύματι. καὶ μὴ κινούμενον δέ φησι τὸ δι' οὗ, ἀλλὰ μένον, ἐμποδίζει τῷ διαιρεῖσθαι. εἰ δὲ καὶ ἡ διαίρεσις ἐμποδίζει, μᾶλλον ἐμποδίσει τὸ δυσδιαιρετώτερον.

» ΤΟ δὴ ἐφ' οὗ α, οἰσθήσεται διὰ τοῦ β, τὸν ἐφ' ᾧ γ χρόνον.

Εἰπὼν πόσα ἐστὶ τὰ τῆς ἀνίσου κινήσεως αἴτια, διὰ καταγραφῶν βούλεται δεῖξαι, πῶς τὸ δι' οὗ, ἀνίσου κινήσεως αἴτιον γίνεται. ἐρεῖ γὰρ μετὰ ταῦτα περὶ τοῦ κινουμένου. α δὲ καλεῖ τὸ κινούμενον. κινεῖσθαι οὖν τοῦτό φησι, διὰ τῆς β διαστάσεως, ἔστω δὲ αὕτη ὕδωρ, ἐν χρόνῳ τινὶ, οἷον τὸ γ.

» ΔΙΑ δὲ τοῦ δ λεπτομεροῦς ὄντος, τὸν ἐφ' ᾧ ε. εἰ ἴσον τὸ μῆκος τὸ τοῦ β τῷ δ. κατὰ τὴν ἀναλο-
» γίαν τοῦ ἐμποδίζοντος σώματος. ἔστω μὲν γὰρ τὸ μὲν β ὕδωρ. τὸ δὲ δ ἀήρ. ὅσῳ δὴ λεπτότερον ἀὴρ ὕδα-
» τος καὶ ἀσωματώτερον, τοσούτῳ θᾶττον τὸ α διὰ τοῦ δ οἰσθήσεται, ἢ διὰ τοῦ β. ἐχέτω δὴ τὸν αὐτὸν
» λόγον ὅνπερ διέστηκεν ἀὴρ πρὸς ὕδωρ, τὸ τάχος πρὸς τὸ τάχος. ὥστ' εἰ διπλασίως λεπτὸν, ἐν διπλασίῳ
» χρόνῳ, τὴν τὸ β δίεισιν, ἢ τὴν τὸ δ. καὶ ἔσται ὁ ἐφ' ᾧ γ χρόνος, διπλάσιος τοῦ ἐφ' ᾧ ε. καὶ ἀεὶ δὴ ὅσῳ ἂν
» ᾖ ἀσωματώτερον καὶ ἧττον ἐμποδιστικὸν ἀλλὰ εὐδιαιρετώτερον δι' οὗ φέρεται, θᾶττον οἰσθήσεται.

Ἡ διάνοια τῆς λέξεως οὕτως, καὶ ἡ σύνταξις αὕτη. κινεῖσθαι φησὶ, τὸ ἐφ' οὗ α, ὅπερ ἐστὶ τὸ κινούμενον. οἰσθήσεται δὲ διὰ τοῦ δ, λεπτομερεστέρου σώματος. κινεῖσθαι δὲ τὸ ἴσον μῆκος, ὅσον ἐστὶ τὸ β, ἐν τῷ δ. κινηθήσεται δὲ κατὰ τὴν ἀναλογίαν τοῦ ἐμποδίζοντος. ἐν μὲν παχυτέρῳ, διὰ χρόνου πλείονος. ἐν δὲ λεπτοτέρῳ, δι' ἐλάττονος. καλεῖ δὲ, τὸ μὲν β ὕδωρ, τὸ δὲ δ ἀέρα. ὅσῳ δὴ λεπτότερον ἀὴρ ὕδατος καὶ ἀσωματώτερον, τοσούτῳ θᾶττον τὸ α διὰ τοῦ δ οἰσθήσεται, ἢ διὰ τοῦ β. εἰ γὰρ ἐμποδιστικὸν τὸ δι' οὗ τῷ διαιρεῖσθαι, ὅσῳ ἄν τι εὐδιαιρετώτερον, τοσούτῳ θᾶττον οἰσθήσεται τὸ διὰ τούτου φερόμενον. εὐδιαιρετώτερον δὲ τὸ λεπτότερον. λεπτότερος δὲ ὁ ἀὴρ ὕδατος, καὶ ὡς ἐν σώμασιν, ἀσωματώτερος. ὥστε ὅσῳ ἂν ᾖ λεπτότερος ἢ μανώτερος ὁ ἀὴρ τοῦ ὕδατος, τοσούτῳ μᾶλλον καὶ εὐδιαίρετος. ὥστε τοσούτῳ θᾶττον δι' αὐτοῦ κινηθήσεται τὸ α. ἢ διὰ τοῦ ὕδατος. ὃν ἄρα λόγον ἔχουσι τὰ μεγέθη πρὸς ἄλληλα, τουτέστι τὸν λόγον καὶ αἱ κινήσεις αἱ δι' αὐτῶν, καὶ οἱ χρόνοι τῶν κινήσεων. οἷον εἰ διπλασίως λεπτότερος ὁ ἀὴρ τοῦ ὕδατος, διπλασίῳ λόγῳ καὶ ἡ κίνησις θάττων ἡ ἐπὶ τοῦ ἀέρος, ἢ ἐπὶ τοῦ ὕδατος. καὶ ὁ χρόνος ἄρα τῶν κινήσεων, ἀντιστραμμένως τὸν αὐτὸν ἕξει λόγον. διπλασίων γὰρ ἔσται ὁ χρόνος τῆς κινήσεως τῆς διὰ τοῦ ὕδατος τοῦ χρόνου τῆς κινήσεως τῆς διὰ τοῦ ἀέρος. Ἐν διπλασίῳ χρόνῳ τὴν τὸ β. δίεισιν ἢ τὴν τὸ γ. τὴν τὸ β. ἢ τὴν τὸ γ. τουτέστι τὴν διάστασιν τὴν ἔχουσαν τὸ β. ἢ τὸ γ. καὶ ἀεὶ δὴ ὅσῳ ἂν ᾖ ἀσωματώτερον, καὶ ἧττον ἐμποδιστικὸν ἀλλ' εὐδιαιρετώτερον. τὸν ἀλλὰ σύνδεσμον ἀντὶ τοῦ καὶ, τέθεικεν ἐπειδὴ καὶ ἰσοδύναμος. εἰ διὰ τοῦ λεπτοτέρου φησὶ θᾶττον φέρεται. καὶ ὅσῳ ἂν ᾖ ἀσωματώτερον καὶ εὐδιαιρετώτερον, καὶ διὰ τοῦτο ἧττον ἐμποδιστικὸν, τοσούτῳ θᾶττον δι' ἐκείνου ἐνεχθήσεται.

» ΤΟ δὲ κενὸν οὐδένα ἔχει λόγον ᾧ ὑπερέχεται ὑπὸ τοῦ σώματος. ὥσπερ οὐδὲ τὸ μηδὲν πρὸς τὸν
» ἀριθμόν.

Δείξας τὴν ἐπὶ τῶν σωμάτων ἀναλογίαν τῶν κινήσεων, ἔρχεται λοιπὸν ἐπ' αὐτὸ τὸ προκείμενον. ὅτι

ἄλλο τι ἐκεῖνο ὅλον οὗ ὑπερέχει, καὶ τὴν ὑπεροχήν, ᾗ ὑπερέχει αὐτοῦ. οἷον τὰ δʹ ὑπερέχει τῶν τριῶν μονάδι. ἔχει οὖν τὰ δʹ, τά τε τρία ὧν ὑπερέχει, καὶ τὴν ὑπεροχήν, ᾗ ὑπερέχει αὐτῶν, λέγω δὴ τὴν μονάδα. ὥσπερ οὖν ὁ ἀριθμός, τοῦ μηδενὸς οὐχ ὑπερέχει, οὐδὲ ἔχει λόγον τινὰ πρὸς τὸ μηδέν, εἰ γὰρ ὑπερέχει τοῦ μηδενὸς ὁ τέσσαρα ἀριθμός, σύγκειται δηλονότι ἐκ τῆς ὑπεροχῆς καὶ τοῦ ὑπερεχομένου. ὥστε συγκείσεται καὶ ἡ τετρὰς ἔκ τε τῶν τεσσάρων, τούτοις γὰρ ὑπερέχει τοῦ μηδενός, καὶ ἐκ τοῦ μηδενός, αὐτοῦ γὰρ ὑπερέχει. τίς οὖν ἡ διαφορὰ τῆς συντιθείσης τετράδος πρὸς τὴν συντεθειμένην. ὥσπερ οὖν ἀδύνατον, τὸ λέγειν ὅτι ὁ ἀριθμὸς πρὸς τὸ μηδὲν λόγον τινὰ ἔχει, καὶ ὑπερέχει αὐτοῦ, οὕτω δηλονότι καταγέλαστον ἂν εἴη τὸ λέγειν σῶμά τι πρὸς τὸ κενὸν λόγον ἔχειν, καὶ ὑπερέχειν αὐτοῦ κατὰ παχύτητα. συντεθείη γὰρ ἂν ἔκ τε τοῦ κενοῦ, καὶ τῆς ὑπεροχῆς. ὥστε τὸ ὕδωρ ἔκ τε τοῦ κενοῦ καὶ τοῦ ὕδατος συνέστηκεν. ἀλλὰ γελοῖον. ἀδύνατον ἄρα λόγον τινὰ ἔχειν τὸ κενὸν πρὸς τὸ σῶμα. εἰ δὲ τὰ δι' ὧν, μηδένα λόγον ἔχει πρὸς ἄλληλα, οὐδὲ αἱ κινήσεις δηλονότι, οὐδὲ οἱ χρόνοι τῶν κινήσεων λόγον ἕξουσι πρὸς ἀλλήλους. ἐδείχθη γὰρ ὅτι ὡς ἔχουσι πρὸς ἄλληλα τὰ δι' ὧν αἱ κινήσεις, οὕτω καὶ οἱ χρόνοι ἔχουσι. καὶ ἔμπαλιν, ὡς οἱ χρόνοι, καὶ τὰ δι' ὧν. εἰ τοίνυν μηδένα λόγον ἔχει τὸ κενὸν πρὸς τὸ σῶμα, οὐδὲ ὁ χρόνος ἐν ᾧ διὰ τοῦ κενοῦ κινεῖται, πρὸς τὸν χρόνον ἐν ᾧ διὰ τοῦ σώματος. ἐν οὐδενὶ ἄρα χρόνῳ κινηθήσεται διὰ τοῦ κενοῦ. παντὸς γὰρ χρόνου πεπερασμένου πρὸς πάντα χρόνον πεπερασμένον, λόγος τίς ἐστιν. οὐκ ἄρα ἐν χρόνῳ διὰ τοῦ κενοῦ κινεῖται. οὐδὲ κινηθήσεται ἄρα οὐδὲν διὰ τοῦ κενοῦ. πᾶσα γὰρ κίνησις ἐν χρόνῳ. οὐ γάρ ἐστιν ἄχρονος κίνησις. πρῶτον μὲν οὖν ἐπιχείρημα τοῦτο. δεύτερον δὲ τοιοῦτον. εἰ κινεῖται τὸ α. ἐν χρόνῳ διὰ τοῦ κενοῦ, ἐν ἐλάττονι δηλονότι κινηθήσεται, οὗ κινεῖται διὰ τοῦ πλήρους, οἷον τοῦ ἀέρος, τῶν αὐτῶν ὄντων ὡς εἴρηται διαστημάτων. φέρε γὰρ εἰ ἐν δύο ὥραις κινοῖτο ἐν τῷ ἀέρι, ἐν ἐλάττονι δηλονότι διὰ τοῦ κενοῦ κινηθήσεται, φέρε εἰπεῖν, ἐν ἡμισείᾳ ὥρας. ἀλλ' ἐν τῷ ἡμίσει τούτῳ, ἐν ᾧ ἐκινήθη διὰ τοῦ κενοῦ παντός, καὶ τοῦ ἀέρος μόριόν τι δηλονότι κατὰ ἀναλογίαν κινηθήσεται. καλείσθω δὲ τὸ μόριον τοῦ ἀέρος β. συμβήσεται οὖν, ἐν τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ διὰ κενοῦ καὶ πλήρους κινηθῆναι. ὅπερ ἄτοπον, μετὰ τοῦ μένειν καὶ τὸ πρότερον ἄτοπον, λέγω δὴ τὸ ἔχειν λόγον τινὰ τὸ κενὸν πρὸς τὸ πλῆρες. ὃν γὰρ λόγον ἔχει τὸ μέρος τοῦ ἀέρος πρὸς τὸν ὅλον ἀέρα, τοῦτον τὸν λόγον ἔχει τὸ ὅλον κενὸν πρὸς τὸν ὅλον ἀέρα. ἐπειδὴ καὶ ὁ χρόνος τοῦ μέρους τοῦ ἀέρος, καὶ ὅλου τοῦ κενοῦ, τὸν αὐτὸν λόγον ἔχουσι πρὸς τὸν τοῦ ὅλου ἀέρος χρόνον. καὶ πάλιν, ὃν λόγον ἔχει πλῆρες πρὸς πλῆρες, τὸ μέρος τοῦ ἀέρος πρὸς τὸν ὅλον ἀέρα, τοῦτον τὸν λόγον ἕξει καὶ κενὸν πρὸς πλῆρες, τὸ ὅλον κενὸν πρὸς ὅλον τὸν ἀέρα. διότι καὶ οἱ χρόνοι τοῦ κενοῦ καὶ τοῦ μέρους τοῦ ἀέρος, τὸν αὐτὸν λόγον ἔχουσι πρὸς ὅλον τὸν ἀέρα. ἀλλ' αὐτὸς μὲν τοῦτο παραλιμπάνει τὸ ἄτοπον, ὡς δῆλον. λέγει δὴ τὸ πρότερον, τὸ διὰ κενοῦ καὶ διὰ πλήρους ἐν τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ μέγεθος κινεῖσθαι. ἵνα δὲ μή τις εἴπῃ, ἀλλ' εἰ καὶ ἐν τῷ αὐτῷ χρόνῳ καὶ διὰ πλήρους ἐκινήθη καὶ διὰ κενοῦ, ἀλλ' οὐ τὰ αὐτὰ διαστήματα. τὸ τέταρτον γὰρ τοῦ ἀέρος ὑπεθέμεθα κεκινῆσθαι ἐν τῷ αὐτῷ χρόνῳ, ἐν ᾧ τὸ πᾶν κενὸν ἐκινήθη. ἴσον δὲ τῷ ὅλῳ ἀέρι τὸ κενόν. τετραπλάσιον ἄρα διάστημα διὰ τοῦ κενοῦ ἐκινήθη ἐν τῷ ἐν ᾧ χρόνῳ. καὶ τοῦτό γε οὐδὲν ἄτοπον, τὸ τὸ μεῖζον, λεπτομερέστερον δέ, ἐν ἴσῳ χρόνῳ τῷ ἐλάττονι καὶ ταχυτέρᾳ, τὸ αὐτὸ μέγεθος κινηθῆναι. διὰ τοῦτο ἐφεξῆς δείκνυσιν, ὅτι ἀνάγκη εἰ διὰ κενοῦ γένοιτο κίνησις, ἴσον διάστημα διὰ πλήρους καὶ διὰ κενοῦ, τὸ αὐτὸ ἐν ἴσῳ χρόνῳ κινηθήσεται. ὅπερ ἀδύνατον. ἐπεὶ γάρ φησιν ἐπινοήσω λεπτομερέστερόν τι σῶμα τοῦ ἀέρος τοῦτον τὸν λόγον ἔχον πρὸς αὐτόν, ὅνπερ εἶχεν ὁ χρόνος ὁ ἐπὶ τοῦ ἀέρος, ὅσπερ ἦν ὁ ε, πρὸς τὸν χρόνον τὸν ἐπὶ τοῦ κενοῦ, ὅσπερ ἦν ὁ η. φέρε εἰπεῖν, εἰ τετραπλάσιον ἦν ὁ χρόνος ὁ ε τοῦ η, τετραπλασίως λεπτομερέστερόν τι σῶμα τοῦ ἀέρος. τοῦτο δὲ τὸ σῶμα ὑποθώμεθα ἐν τῷ κενῷ. τῶν αὐτῶν δηλονότι μενόντων διαστημάτων, ἐν τοσούτῳ φησὶ χρόνῳ κινηθήσεται τὸ α διὰ τοῦ λεπτοτάτου σώματος, ὃ ὑπεθέμεθα ἐν τῷ κενῷ, ἐν ὅσῳ ἐκινεῖτο τὸ μέρος τῆς διαστάσεως τοῦ ἀέρος ὅπερ ἦν τὸ θ. τοῦτο δὲ ἦν, τὸ τέταρτον αὐτοῦ. ἀλλὰ μὴν ἐν τῷ αὐτῷ χρόνῳ καὶ πρότερον ἐκινεῖτο διὰ τοῦ κενοῦ, καὶ νῦν ἐπὶ τοῦ λεπτοτάτου σώματος τὴν αὐτὴν ἔχοντος τῷ κενῷ διάστασιν. ἐν τῷ αὐτῷ ἄρα χρόνῳ τὸ αὐτὸ μέγεθος τὸ α, διὰ κενοῦ καὶ διὰ πλήρους κινηθήσεται, ἴσων ὄντων τοῖς διαστήμασιν. ὅπερ ἄτοπον. ὥστε φησὶν τὴν ὑπόθεσιν ἀναιρετέον, ἐξ ἧς τὸ ἄτοπον συνήχθη. αὕτη δὲ ἦν, τὸ ὑποθέσθαι διὰ κενοῦ κίνησιν γινομένην. ἡ δὲ αἰτία φησί, τῆς εἰς ἄτοπον ἀπαγωγῆς δήλη. ἐπειδὴ γὰρ πᾶσα κίνησις ἐν χρόνῳ, παντὸς δὲ χρόνου πρὸς πάντα χρόνον, ἂν ὦσι πεπερασμένοι, λόγος ἐστί, δῆλον δήπου ὅτι καὶ εἰ ἐπὶ κενοῦ κίνησις γίνοιτο, ἐν χρόνῳ τε ἔσται, καὶ ἕξει πρὸς κινήσεως τινὸς χρόνον λόγον τινά. ὡς δ' ἂν ἔχωσιν οἱ χρόνοι τῶν κινήσεων πρὸς ἀλλήλους, οὕτως ἀνάγκη ἔχειν καὶ δι' ὧν αἱ κινήσεις. ἕξει ἄρα καὶ τὸ κενὸν λόγον τινὰ πρὸς τὸ πλῆρες. ἀλλ' ἀδύνατον τὸ κενὸν λόγον ἔχειν πρὸς πλῆρες. παντὸς γὰρ ὑπερβάλλει λόγου. ὅθεν ἄρα συνῆκται, τοῦτο ἄτοπον. λαμβανομένου γὰρ τὴν κίνησιν ἐπὶ κενοῦ γίνεσθαι, συνάγεται καὶ τὸ κενὸν πρὸς τὸ πλῆρες λόγον ἔχειν. τοῦτο δὲ ἀδύνατον. τῷ μὲν οὖν Ἀριστοτέλει, μέχρι τῶν ἐνταῦθα πρόεισιν ὁ λόγος ἐκ τῆς ἀνισότητος τῶν κινουμένων, τῆς παρὰ τὸ δι' οὗ ἡ κίνησις γινομένης, κατασκευάζων, πῶς οὐκ ἂν εἰ δέχοιτο εἰ κενὸν ἦν, κίνησιν δι' αὐτοῦ γενέσθαι. ὅτῳ δὲ σκοπὸς τῆς ἀληθείας τυχεῖν πανταχοῦ, πειράσθω τὸ ὅσον δυνατόν, μήπου τῇ δεινότητι καὶ τῷ δυσθεωρήτῳ τῶν ἐπιχειρημάτων, τοῦ σκοποῦ διαμάρτοι. Κάλλιον δὲ ἴσως

ΕΤΙ δὲ καὶ ἐκ τῶνδε φανερὸν τὸ λεγόμενον. ὁρῶμεν γὰρ τὸ αὐτὸ βάρος καὶ σῶμα, θᾶττον φερόμενον διὰ δύο αἰτίας, ἢ τῷ διαφέρειν τὸ δι᾽ οὗ.

Δ δείξας ὅτι οὔτε ὡς ποιητικὸν αἴτιον ἐστὶ κινήσεως τὸ κενόν, οὔτε ὡς τελικόν, βούλεται λοιπὸν δεῖξαι ὅτι οὔτε ὡς τὸ δι᾽ οὗ αἴτιόν ἐστι κινήσεως. οἷον ὅτι αἴτιον τὸ κενὸν ὡς δι᾽ αὐτοῦ τὰ σώματα φέρεσθαι. ὥσπερ νῦν δι᾽ ἀέρος ἢ δι᾽ ὕδατος ἡ τῶν σωμάτων γίνεται κίνησις. εἰ γὰρ δειχθείη, ὅτι οὐδὲ οὕτως ἐστὶ κινήσεως αἴτιον, οὐδὲ ἐνδέχεται κενοῦ ὄντος κίνησιν δι᾽ αὐτοῦ γίνεσθαι τὴν κατὰ φύσιν, δέδεικται δὲ ὅτι οὐδὲ τὴν παρὰ φύσιν, ἔοικεν ἅμα, κενοῦ ὄντος, μὴ ἐνδέχεσθαι κίνησιν εἶναι. ἀλλὰ μὴν ἔστι κίνησις. κενὸν ἄρα οὐκ ἔστιν. ὅπερ ἐξ ἀρχῆς προέκειτο δεῖξαι. δείκνυσι δὲ ὅτι ἀδύνατον διὰ κενοῦ κίνησιν εἶναι, ἐκ τῆς ἀνίσου κινήσεως. ἔστι γάρ τις κίνησις, ἡ μὲν θάττων, ἡ δὲ βραδυτέρα. ὁρῶμεν οὖν φησιν ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι αἱ ἄνισοι κινήσεις, διὰ δύο γίνονται αἰτίας, ἢ τῷ διαφέρειν τὸ δι᾽ οὗ. τὸ γὰρ αὐτὸ βάρος, δι᾽ ὕδατος μὲν κινούμενον, βραδύτερον κινηθήσεται, δι᾽ ἀέρος δὲ ταχύτερον. κἂν τὸ αὐτὸ πάλιν ᾖ δι᾽ οὗ φέρεται, μὴ ὡσαύτως δὲ ἔχον, ἄνισος γίνεται κίνησις. ὥσπερ γὰρ δι᾽ ὕδατος βραδύτερον ἐκινεῖτο, διὰ τὸ δυσδιαίρετον εἶναι τοῦ ἀέρος διὰ τὴν παχύτητα, καὶ δαπανᾶσθαι χρόνον ἐν τῇ διαιρέσει, οὕτω κἂν τὸ αὐτὸ ᾖ δι᾽ οὗ κινεῖται, οἷον ὁ ἀήρ, φέρηται δὲ νῦν μὲν ἑστῶτος αὐτοῦ, ἄλλοτε δὲ ἀντικινουμένου, θᾶττον φέρεται ἑστῶτος. ἀντικρουόμενον γὰρ ὑπ᾽ αὐτοῦ, ἐμποδίζεται τοῦ πρόσω. δυσχερεστέρα γὰρ ἡ διαίρεσις γίνεται, διὰ τὸ ἐξολισθαίνειν κινούμενον τὸν ἀέρα, καὶ διὰ τὴν ἀντώθησιν. οὕτω μὲν ἄνισος ἡ κίνησις γίνεται, τοῦ μὲν κινουμένου τοῦ αὐτοῦ ὄντος, τοῦ δὲ δι᾽ οὗ κινεῖται, οὐ τοῦ αὐτοῦ. κἂν τὸ αὐτὸ δὲ τὸ δι᾽ οὗ ᾖ, τὸ κινούμενον δὲ μὴ τὸ αὐτό, καὶ οὕτως ἄνισος γίνεται ἡ κίνησις. τὸ γὰρ λιθιαῖον βάρος, διὰ τοῦ αὐτοῦ, θᾶττον καταφέρεται τοῦ ἡμιλιθιαίου βάρους. ἡ μείζων γὰρ ῥοπή, θᾶττον διαιρεῖ. κἂν ἡ αὐτὴ δὲ ῥοπὴ ᾖ, οἷον δύο λιθιαῖα, τοῖς σχήμασι δὲ διαφέροντα, καὶ τὸ μὲν σφαιρικὸν ᾖ, τὸ δὲ πλατύ, θᾶττον τὸ σφαιρικὸν τοῦ πλατέος κατενεχθήσεται διὰ τοῦ αὐτοῦ ἀέρος. ὅσῳ γὰρ ἂν ᾖ ὀλιγογωνιώτερον, τοσούτῳ θᾶττον ποιεῖται διαίρεσιν. τὸ δὲ ὀλιγογώνιον, προσεχέστερον ἥκει εἰς τὸ ἀγώνιον, ὅπερ ἐστὶ τὸ σφαιρικόν. πάντων οὖν ταχύτερον, τὸ σφαιρικὸν σχῆμα καταφέρεται. κατὰ σημεῖον γὰρ ποιεῖται τὴν τομήν. τὸ δὲ πλατύ, ἅτε ὑπὸ πλείονος ἀέρος ἀνεχόμενον, βραδυτέραν ποιεῖται τὴν τομήν, ὥσπερ τῶν μαχαιρῶν αἱ ἀμβλεῖαι. διὸ ὅσῳ σφαιροειδές ἐστιν, εὐκύλιστον μᾶλλόν ἐστιν. οἷον ὁ κύλινδρος. καὶ τὰ ὀλιγογώνια τῶν σχημάτων. διὸ σφαῖρα πάντων μᾶλλον εὐκύλιστος. κατὰ σημεῖον γὰρ ἅπτεται τοῦ ἐπιπέδου. ὁ δὲ κύβος πάντων δυσκύλιστος. πολλὴν γὰρ τοῦ ἐπιπέδου κατέχει μοῖραν. οὕτως οὖν καὶ ἐπὶ τῶν καταφερομένων, τὰ σφαιρικὰ καὶ θᾶττον ποιεῖται τὴν κίνησιν, διὰ τὸ ὑπὸ ὀλίγου ἀνέχεσθαι ἀέρος. τὸ δὲ ὀλίγον, τοῦ πλείονος εὐδιαιρετώτερον τὸ αὐτό. αὗται μὲν οὖν αἱ αἰτίαι τῆς ἀνίσου κινήσεως. ἀδύνατον δέ φησιν εἰ διὰ κενοῦ γένοιτο ἡ κίνησις, τὴν αἰτίαν δι᾽ ἣν ἄνισοι γίνονται κινήσεις ἀποδοῦναι. ἀνάγκη δὴ οὖν ἰσοταχῶς ἐπὶ κενοῦ πάντα κινεῖσθαι. μᾶλλον δὲ μηδὲ ὅλως δυνατὸν εἶναι, κίνησιν ἐπὶ κενοῦ γενέσθαι. δείκνυσι δὲ τοῦτο οὕτως. λαμβάνει γὰρ δύο τινὰ διαστήματα ἴσα τῷ μήκει, οἷον σταδιαῖα. ἀέρα καὶ ὕδωρ. καὶ ἔτι καὶ τὸ αὐτό, δι᾽ ἀμφοτέρων κινούμενον. ἢ δύο ἰσόρροπα, καὶ ἰσοσχήμονα. οὐδὲν γὰρ διαφέρει, οἷον δύο σφαίρας χρυσοῦ λιθιαίας τῷ βάρει. ἔστω οὖν ἡ μὲν διὰ τοῦ ἀέρος κινηθεῖσα, ἡ δὲ διὰ τοῦ ὕδατος, ἐπειδὴ λεπτομερέστερος ὁ ἀὴρ τοῦ ὕδατος, θᾶττον δηλονότι διελεύσεται ἡ ἑτέρα τὸν σταδιαῖον ἀέρα, ἢ ἡ ἑτέρα τὸ ὕδωρ. ἕξουσι δή φησι τοῦτον τὸν λόγον πρὸς ἀλλήλους οἱ χρόνοι τῶν κινήσεων, ὃν λόγον ἔχει ὁ ἀὴρ πρὸς τὸ ὕδωρ παχύτητι καὶ λεπτότητι. εἰ γὰρ διπλασίονι λόγῳ λεπτομερέστερος εἴη ὁ ἀὴρ τοῦ ὕδατος, ἀνάγκη καὶ τοὺς χρόνους τῆς κινήσεως τὸν αὐτὸν λόγον ἔχειν ἀντεστραμμένως πρὸς ἀλλήλους. διπλάσιον γὰρ ἔσται ὁ χρόνος ἐν ᾧ κινεῖται διὰ τοῦ ὕδατος, τοῦ χρόνου ἐν ᾧ κινεῖται διὰ τοῦ ἀέρος. καὶ ὅσῳ λεπτομερέστερόν ἐστι τὸ δι᾽ οὗ ἡ κίνησις, τοσούτῳ ὁ χρόνος τῆς κινήσεως μειοῦται. τούτων οὖν οὕτως ἐχόντων, δείκνυσιν ὅτι ἀδύνατον κίνησιν διὰ κενοῦ γενέσθαι, τούτῳ τῷ τρόπῳ. δείκνυσι δὲ ἐπὶ καταγραφῆς. καλεῖ δὲ τὸ μὲν κινούμενον α. τὸν δὲ ἀέρα, δ. τὸ δὲ ὕδωρ β. χρόνον δέ, τὸν μὲν διὰ τῆς τοῦ ὕδατος κινήσεως, γ. τὸν δὲ διὰ τῆς τοῦ ἀέρος, ε. λαμβάνει δὲ ἴσον τῷ ὕδατι καὶ τῷ ἀέρι κενόν, ὃ καλεῖ ζ. εἰ οὖν ἐνδέχεται κινηθῆναι διὰ κενοῦ, ἐπειδὴ πᾶσα κίνησις ἐν χρόνῳ, κεκινήσθω τὸ α ἔν τινι χρόνῳ διὰ κενοῦ τοῦ ζ. καὶ ἔστω φησὶν ὁ χρόνος ἐν ᾧ κινεῖται διὰ τοῦ κενοῦ, ὁ η. ἐπεὶ οὖν παντὸς χρόνου πεπερασμένου πρὸς χρόνον πεπερασμένον λόγος τίς ἐστιν, ἀνάγκη τὸν χρόνον ἐν ᾧ τὸ α ἐκινήθη διὰ τοῦ κενοῦ, ἔχειν τινὰ λόγον πρὸς τὸν χρόνον ἐν ᾧ ἐκινήθη διὰ τοῦ σώματος. εἰ δὲ ὁ χρόνος πρὸς τὸν χρόνον ἔχει λόγον, ὡς δὲ ἔχουσι πρὸς ἀλλήλους οἱ χρόνοι, οὕτως ἀνάγκη ἔχειν καὶ τὰ δι᾽ ὧν ἡ κίνησις. καὶ ἔμπαλιν ὃν δὲ ἔχουσι λόγον δι᾽ ὧν ἡ κίνησις, τοῦτον ἀνάγκη τὸν λόγον ἔχειν καὶ τοὺς χρόνους. εἰ δὴ οὖν ἀνάγκη λόγον ἔχειν τὸν αὐτὸν τὰ δι᾽ ὧν ἡ κίνησις, καὶ τοὺς χρόνους, εὔδηλον ὅτι ὃν λόγον ἔχει ὁ χρόνος τῆς κινήσεως τῆς διὰ τοῦ κενοῦ, πρὸς τὸν χρόνον τῆς κινήσεως τῆς διὰ τοῦ πλήρους, οἷον τοῦ ὕδατος, τοῦτον τὸν λόγον ἔχει τὸ κενὸν πρὸς τὸ πλῆρες. οἷον εἰ δεκαπλασίων ἐστὶν ὁ χρόνος, ἐν ᾧ ἐκινήθη διὰ τοῦ ὕδατος, τοῦ χρόνου τοῦ διὰ τοῦ κενοῦ, δεκαπλασίως παχύτερόν ἐστι τὸ ὕδωρ τοῦ κενοῦ, καὶ τὸ κενὸν δηλονότι δεκαπλασίως λεπτομερέστερον τοῦ ὕδατος. ἀλλὰ ἀδύνατον τὸ κενὸν πρὸς τὸ σῶμα λόγον ἔχειν τινά. καὶ κατασκευάζει τοῦτο, οὕτως. τὸ γὰρ ὑπερέχον τινός φησιν, ἔχει-

Οὐχ ὅτι μηδαμῇ μηδαμῶς ὄν ἐστιν. ἀλλ' ὥσπερ ἡ ὕλη καὶ στέρησις λέγεται καὶ τὸ μὴ ὄν, τῷ μηδὲν εἶναι τῶν πεφυκότων ἐγγίνεσθαι ἐν αὐτῇ εἰδῶν, οὕτω δὲ καὶ τὸ κενόν, τῷ μηδὲν εἶναι τῶν πεφυκότων ἐγγίνεσθαι ἐν αὐτῷ σωμάτων, καὶ στέρησις λέγοιτ' ἂν καὶ τὸ μὴ ὄν.

Η δὲ φύσει φορὰ, διάφορος. ὥστ' ἔσται τὰ φύσει, διάφορα. ἢ οὖν οὐκ ἔστι φύσει οὐδαμοῦ οὐδενὶ φορὰ, ἢ εἰ τοῦτ' ἔστιν, οὐκ ἔστι κενόν.

Τὰ μὲν γὰρ, ἄνω κατὰ φύσιν κινεῖται. τὰ δὲ, κάτω. ὥστε διάφοροι αἱ φυσικαὶ κινήσεις. ὥστε ἔσται τὰ φύσει διάφορα. τουτέστι τὰ φύσει κινούμενα. εἰ δὲ τὰ κινούμενα κατὰ φύσιν διάφορα, ἐν δὲ τῷ κενῷ οὐδεμία ἐστὶ διαφορὰ ἐφ' ὃ κινοῦνται, δυοῖν ἀνάγκη θάτερον. ἢ μὴ γενέσθαι διὰ κενοῦ κίνησιν, ἢ μηδὲν κατὰ φύσιν κινεῖσθαι.

ΕΤΙ νῦν μὲν κινεῖται τὰ ῥιπτούμενα, τοῦ ὤσαντος οὐχ ἁπτομένου. ἢ δι' ἀντιπερίστασιν, ὥσπερ ἔνιοί φασιν. ἢ διὰ τὸ ὠθεῖν τὸν ὠσθέντα ἀέρα, θάττω κίνησιν τῆς τοῦ ὠσθέντος φορᾶς ἣν φέρεται εἰς τὸν οἰκεῖον τόπον. ἐν δὲ τῷ κενῷ οὐδὲν τούτων ἐνδέχεται ὑπάρχειν, οὐδ' ἔσται φέρεσθαι, ἀλλ' ἢ ὡς τὸ ὀχούμενον.

Ἐντεῦθεν αὐτὸ κατασκευάζει καθ' αὑτό, τὸ μὴ ἂν γενέσθαι ἐν τῷ κενῷ παρὰ φύσιν κίνησιν. τὸ γὰρ οὐχ ἁπτομένου τοῦ ὤσαντος, κἄτι τοῦ οὐ μέχρις ἂν κινῆται ἁπτομένου. ἐπεί τοιγε ἐν τῷ ὠθεῖν δηλονότι ὑπῆρξε τοῦ βέλους ἢ τοῦ λίθου. ἐπεὶ δὲ οὐκ ἐναπολαβοῦσα ἡ χεὶρ μεταξὺ ἑαυτῆς καὶ τοῦ λίθου ἀέρα τινὰ, οὕτω τῷ ὠθεῖν τὸν ἀέρα, ὠθεῖ τὸν λίθον, ὁμοίως δὲ οὐδὲ ἡ νευρὰ μεταξὺ ἑαυτῆς καὶ τοῦ βέλους, ἀλλ' ἐφαρμόζουσιν αὐτίκα προσάπτουσιν ἀλλήλοις, ἥτε τοῦ ῥιπτοῦντος, καὶ ἡ τοῦ ῥιπτουμένου, πότερον πρὶν ἅψασθαι τοῦ ῥιπτουμένου ὄπισθεν τὸν ἀέρα, καὶ οὕτως ὠθήσει αὐτό, γίνεταί τις κίνησις τῷ λίθῳ ὑπ' αὐτῆς τῆς χειρὸς ἀμέσως, ὥσπερ τῷ βέλει ὑπὸ τῆς νευρᾶς, ἢ οὔ. εἰ μὲν οὖν μηδεμία ὤθησις γίνεται ὑπὸ τῆς χειρὸς ἢ τῆς νευρᾶς, οὐκ ἔδει ἐν τῷ ὠθεῖσθαι τὸν λίθον αὐτὸν τὸν παρὰ φύσιν τόπον, διίστασθαί ποτε τῆς χειρός. οὔτε γὰρ ὑπὸ τῆς ἐμφύτου ὁρμῆς αὐτὸ τὸ παρὰ φύσιν φέρεται, ἥτε ἡ χεὶρ ἀμέσως ὠθῆσαι αὐτὸν δύναται. νῦν δὲ ὠθεῖται, μηδενὸς μεταξὺ ἐναπειλημμένου ἀέρος. ὥστε εἰ μὴ ἔστι μεταξύ τις ἀήρ, τὸ πρώτως ὠθοῦσαν, ἡ χεὶρ ἐστίν, ἢ ἡ νευρά. καὶ ὁ ἀὴρ φασὶ λοιπὸν τὴν ὤθησιν διαδέχεται. εἰ δὲ ἐνδέχεται ὅλως ὑπὸ τῆς χειρὸς ἀμέσως γενέσθαι ὤθησιν, τί κωλύει καὶ διὰ κενοῦ τὸ αὐτὸ τοῦτο γενέσθαι. οὐδὲν γάρ μοι διαφέρει, τὸ διὰ πλεῖον ἢ ἔλαττον διὰ κενοῦ ἢ διὰ σώματος κινεῖσθαι.

ΕΤΙ οὐδεὶς ἂν ἔχοι εἰπεῖν, διὰ τί κινηθὲν στήσεταί που. τί γὰρ μᾶλλον ἐνταῦθα ἢ ἐνταῦθα. ὥστε ἢ ἠρεμήσει, ἢ εἰς ἄπειρον ἀνάγκη φέρεσθαι, ἐὰν μή τι ἐμποδίσῃ κρεῖττον.

Ἕτερον τοῦτό ἐστιν ἐπιχείρημα, ὅτι οὐδὲν κινεῖται ἐν τῷ κενῷ παρὰ φύσιν. φημὶ δὲ ἐγώ, ὅτι ὥσπερ σὺ ὁ τὴν ὤθησιν τοῦ ἀέρος αἰτιώμενος τῆς παρὰ φύσιν κινήσεως, μέχρι τοσούτου λέγεις κινεῖσθαι αὐτό, μέχρις ἂν ἐκλυθῇ ἡ ἐνδοθεῖσα τῷ ἀέρι κινητικὴ δύναμις ἐκ τοῦ τὴν ἀρχὴν ὤσαντος, οὕτω δηλονότι κἂν εἰ διὰ κενοῦ παρὰ φύσιν κινηθείη τι, μέχρι τοσούτου κινηθήσεται, μέχρις ἂν ἐξασθενήσῃ ἡ ἐνδοθεῖσα αὐτῷ κινητικὴ δύναμις ὑπὸ τοῦ τὴν ἀρχὴν ὤσαντος.

ΕΤΙ δὲ νῦν μὲν εἰς τὸ κενὸν διὰ τὸ ὑπείκειν, φέρεσθαι δοκεῖ. ἐν δὲ τῷ κενῷ πάντη ὁμοίως τὸ τοιοῦτον, ὥστε πάντη οἰσθήσεται.

Ἕτερον τοῦτο ἐπιχείρημα, πρὸς αὐτοὺς ἂν λέγουσιν ἃ τὸ κατεσπαρμένον κενὸν ὑποτίθενται ἐν τοῖς σώμασιν, οἷ τινές εἰσιν οἱ περὶ Δημόκριτον. νῦν μὲν γάρ φασι τὴν αἰτίαν ἀποδιδόντες, τοῦ μᾶλλον μὲν κινεῖσθαι ἐν ἀέρι, ἧττον δὲ ἐν ὕδατι, ἐν δὲ τῇ γῇ μηδαμῶς, ἐπειδὴ πάντα μὲν ἐκ τῆς τοῦ κενοῦ συμπλοκῆς καὶ τῶν ἀτόμων συνέστηκεν. οὐχ ὁμοία δὲ ἐν πᾶσιν ἡ συμπλοκή. ἀλλ' εἰσὶ τὰ κενά, ἢ μείζονα ἢ ἐλάττονα ἐν τοῖς σώμασι. διὰ τοῦτο ἐν μὲν τῷ ἀέρι, θᾶττον κινεῖται. διὸ μεγαλομερῆ ἐστι τὰ τοῦ ἀέρος κενά. ὠθούμεναι οὖν αἱ τοῦ ἀέρος ἄτομοι ὑπὸ τοῦ κινουμένου, ῥᾳδίως εἰς τὰ κενὰ χωροῦσι, καὶ διδόασι τὴν πάροδον τῷ κινουμένῳ. ἐν δὲ τῷ ὕδατι, βραδυτέρα ἡ κίνησις. μικρότερα γὰρ τὰ κενά, καὶ ἡ πίλησις ἡ εἰς αὐτὰ χρονιωτέρα. ἐν δὲ τῇ γῇ, διὰ τὸ πάνυ μικρομερῆ εἶναι τὰ κενά, κίνησις οὐ γίνεται. οὐ γὰρ δύνανται εἰς αὐτὰ πιληθῆναι αἱ ἄτομοι. εἰ τοίνυν φησὶν ἐπὶ τούτων οὕτως ἡ κίνησις γίνεται, ἐὰν ὅλον ᾖ κενόν, ποῦ οἰσθήσεταί φησιν. οὐ γὰρ ἄλλου ἄλλο μέρος τοῦ κενοῦ μᾶλλον ὑπεικτικόν, ἀλλὰ πάντη οὐδὲν ἐμποδίζει. ὥστε πανταχοῦ ὁμοίως οἰσθήσεται. νῦν μὲν γὰρ ὅπῃ τῷ ὠθοῦντι ὑπείκουσιν αἱ ἄτομοι, κινεῖται τὰ κινούμενα, ἢ ἄνω, ἢ κάτω, ἢ ἀλλαχοῦ. ἐν δὲ τῷ κενῷ πάντη ὁμοίως ὄντι ὑπεικτικῷ, εἰ δεῖ ὑπεικτικὸν εἰπεῖν τὸ κενόν, μᾶλλον δὲ μηδενὸς μηδαμοῦ ἐμποδίζοντος, εὔλογον τὸ πανταχοῦ φέρεσθαι τὸ κινούμενον, καὶ μηδὲν μᾶλλον ὡδὶ ἢ ὡδί. τοῦτο δὲ ἄλογον καὶ ἀδύνατον. καὶ εἰ ὅσῳ μᾶλλον μεγαλομερῆ ἐστι τὰ κενά, τοσούτῳ θᾶττον ἡ κίνησις, ἐὰν ἄρα ὅλον ᾖ κενόν, ἀχρόνως ἐν αὐτῷ κινηθήσεται. τοῦτο τὸ ἐπιχείρημα, δυνατὸν μὲν καὶ ὡς συνεχὲς τοῖς ἀνωτέρω λαβεῖν, ὅτι νῦν μὲν ἴσως τῷ τὰ παρὰ φύσιν κινούμενα μὴ ὁμοίως διὰ παντὸς φέρεσθαι, ταύτην ἂν ἀποδοῖεν τὴν αἰτίαν. ἐὰν δὲ ὅλον ᾖ κενόν, τί ἂν εἴποιεν. ἢ γὰρ ἀχρόνως οἰσθήσεται, ἢ πανταχοῦ μᾶλλον. διὰ τοῦτο τὸ ἐπιχείρημα εἴρηται, ὅτι οὔτε ὡς τὸ δι' ἐν δυνατὸν διὰ κενοῦ γενέσθαι τὴν κίνησιν. οὔτε γὰρ τὸ θᾶττον ἔσται ἐν αὐτῷ καὶ βραδύτερον, οὔτε τὸ ὡδὶ μᾶλλον ἢ ὡδί. πανταχοῦ γὰρ ὁμοίως ἔχει. ὥστε τοῖς ἑξῆς μᾶλλον συντακτέον αὐτό, οἱ τοῖς ἔμπροσθεν.

ὑπόθεσιν, τὸ ἀντιπεριΐστασθαι λέγουσι τὸν ἐκ πλαγίων ἀέρα, καὶ τὸν ὠσθέντα ὑπὸ τοῦ ἐξ ἀρχῆς ὠσθέντος ἀέρος, καὶ τὸ βέλος ὤσαντος, οὕτω καὶ αὐτὸν τὸ βέλος ὠθεῖν, φημὶ, ὅτι εἰ ὁ ἐκ πλαγίων ἀὴρ, ἀκίνητος ὢν, ἀντιπεριΐσταται τῷ βέλει, καὶ γίνεται εἰς τὸν αὐτοῦ τόπον, πολὺ δήπου εὐλογώτερον, τὸν ὠθοῦντα ἀέρα τὸ βέλος ὄπισθεν, καὶ οὕτως ὀξέως κινούμενον, ὥστε καὶ ἄλλον τὸν ἐκ πλαγίων ἀντιπεριϊστάμενον κινεῖν αὐτὸν, ἀεὶ τῷ βέλει ἀντιπεριΐστασθαι, καὶ ὠθεῖν, μέχρις ἂν ἡ ἐνδοθεῖσα ἐξ ἀρχῆς αὐτῷ τῆς κινήσεως ἀρχὴ ἐκλυθῇ. ταῦτα μὲν πρὸς τὸν λόγον, τὸν τῇ ἀντιπεριστάσει τοῦ ἀέρος λέγοντα κινεῖσθαι τὰ βίᾳ κινούμενα. πρὸς δὲ τὸν ἕτερον λόγον, τὸν λέγοντα, ὅτι ὁ ὠσθεὶς ἐξ ἀρχῆς ἀὴρ, ἀρχὴν λαβὼν κινήσεως, καὶ ὀξύτερον κινούμενος τῆς τοῦ ῥιφέντος κατὰ φύσιν φορᾶς, οὕτως αὐτὸν ὠθεῖ συμπαραμαρτῶν, μέχρις ἂν ἐκλυθῇ ἡ ἐνδοθεῖσα αὐτῷ κινητικὴ δύναμις, ἔχοντα μᾶλλον τὸ πιθανὸν, ταῦτά ἐστιν ἅπερ εἰπεῖν. ὁ δὲ λεχθησόμενος λόγος, ἀμφοτέρους ἀναιρεῖ, καὶ πρὸς τὸν ἐκ τῆς ἀντιπεριστάσεως. ἐρωτητέον δὲ πρότερον τοὺς ταῦτα λέγοντας, ἄρα ὅταν τις ῥιπτῇ βίᾳ λίθον, τῷ ὠθεῖν τὸν κατόπιν τοῦ λίθου ἀέρα, οὕτω βιάζεται τὸν λίθον ἐπὶ τὴν παρὰ φύσιν κίνησιν, ἢ ἐνδίδωσί τινα καὶ τῷ λίθῳ δύναμιν κινητικὴν ὁ ὠθῶν. εἰ μὲν οὖν μηδεμίαν ἐνδίδωσι τῷ λίθῳ δύναμιν, ἀλλὰ μόνον τῷ ὠθεῖν τὸν ἀέρα οὕτω κινεῖται ὁ λίθος, τίς ἦν χρεία, ἢ ἅπτεσθαι τῆς χειρὸς τὸν λίθον, ἢ τῆς γλυφίδος τοῦ βέλους τὴν νευράν. δυνατὸν γὰρ ἦν, καὶ μὴ ἁπτόμενον τούτων, ἀλλ' οἷον στήσαντα τὸ βέλος ἐπ' ἄκρον ξύλον, οἷον ἐπί τινος γραμμῆς, ὁμοίως δὲ καὶ τὸν λίθον, μυρίαις μηχαναῖς πολλῷ τινα κινεῖν ὄπισθεν ἀέρα. καὶ δῆλον ὅτι ὅσῳ πλείων, καὶ πλείονι βίᾳ ὁ ἀὴρ ἐκινεῖτο, μᾶλλον ὠθεῖν ὤφειλε, καὶ ἐπὶ πλεῖον ἐξακοντίζειν. νῦν δὲ οὐδ' ἂν ὡς ἐπὶ ἀπλατοῦς τῷ ὄντι γραμμῆς ἢ σημείου στήσῃς τὸ βέλος ἢ τὸν λίθον, καὶ τὸν πάντα πάσῃ ῥύμῃ κινήσῃς ὄπισθεν ἀέρα, οὐδ' ἂν πηχυαῖον διάστημα κινηθείη τὸ βέλος. εἰ τοίνυν πλείονι ῥύμῃ κινηθεὶς ὁ ἀὴρ οὐκ ἐκίνησεν, εὔδηλον ὅτι οὐδὲ ἐπὶ τῶν ῥιπτούντων ἢ τοξευόντων, ὁ ὠθούμενος ὑπὸ τῆς χειρὸς ἢ τῆς νευρᾶς ἀὴρ, αἴτιός ἐστιν ὁ κινῶν. τί γὰρ μᾶλλον ἁπτομένου τοῦ ῥιπτοῦντος τοῦ ῥιπτουμένου, ἢ μὴ, τοῦτο συμβαίνειν ὤφειλε. καὶ ἄλλως, εἰ συνεχές ἐστι τὸ ἁπτόμενον βέλος τῆς νευρᾶς, καὶ ἡ χεὶρ τοῦ λίθου, καὶ οὐδέν ἐστι τὸ μεταξὺ, ποῖος ἂν εἴη ὁ ἐξόπισθεν κινούμενος ἀήρ. εἰ δὲ ὁ ἐκ πλαγίων κινεῖται, τί πρὸς τὸ ῥιπτούμενον. ἐκπίπτει γὰρ αὐτοῦ ἐκεῖνος. ἐκ τούτων δὴ καὶ πολλῶν ἄλλων, συνιδεῖν ἐστιν, ὡς ἀδύνατον τούτῳ κινεῖσθαι τῷ τρόπῳ τὰ βίᾳ κινούμενα. ἀλλ' ἀνάγκη, κινητικήν τινα δύναμιν ἀσώματον ἐνδίδοσθαι ὑπὸ τοῦ ῥιπτοῦντος τῷ ῥιπτουμένῳ. καὶ ἢ μηδ' ὅλως τὸν ὠσθέντα ἀέρα πρὸς ταύτην τὴν κίνησιν συμβάλλεσθαι, ἢ βραχύ τι. εἰ δὲ ταύτῃ κινεῖται τὰ βίᾳ κινούμενα, δῆλον δήπου, ὅτι κἂν ἐπὶ κενοῦ τις ῥιπτῇ βέλος ἢ λίθον βίᾳ καὶ παρὰ φύσιν, τὸ αὐτὸ πολλῷ μᾶλλον συμβήσεται, καὶ οὐ δεήσεταί τινος ἔξωθεν τοῦ ὠθοῦντος. καὶ οὐ δήπου ἀπορώτερος ἔσται οὗτος ὁ λόγος, ὑπὸ τῆς ἐναργείας μαρτυρούμενος. λέγω δὴ, ὅτι ἐνέργειά τις ἀσώματος κινητικὴ ἐνδίδοται ὑπὸ τοῦ ῥιπτοῦντος τῷ ῥιπτουμένῳ. ὅθεν δεῖ τὸν ῥιπτοῦντα ἅπτεσθαι τοῦ ῥιπτουμένου. δῆλον δὲ ἐκ τοῦ ἐνεργείας τινὰς ἀφικνεῖσθαι τῶν ὁρατῶν πρὸς τὰς ὄψεις, ὡς Ἀριστοτέλει δοκεῖ. ὁρῶμεν γὰρ καὶ ἐκ τῶν χρωμάτων ἐνεργείας τινὰς ἀσωμάτους ἀφικνουμένας, καὶ χρωννούσας τὰ προκείμενα καὶ στερεὰ σώματα, ὅταν ἀκτὶς ἡλίου διὰ τῶν χρωμάτων προσβάλλῃ. ὥσπερ ἐστὶν ἐναργῶς ἰδεῖν, ὅταν διὰ τῶν κεχρωματισμένων ὑέλων προσβάλλῃ ἀκτὶς ἡλιακή. ᾧ γὰρ ἂν στερεῷ σώματι προσπέσῃ ἡ διὰ τῆς ὑέλου προσπίπτουσα ἀκτὶς, τοῦτο χρώννυσιν ὁμοίως τῷ δι' οὗ προσέπεσε χρώματι. δῆλον οὖν, ὅτι ἐπιγίνονται ἐνέργειαί τινες ἀσώματοι, ἐξ ἄλλων εἰς ἄλλα. ἔπειτα, εἰ τὸ μὲν ῥιπτούμενόν ἐστιν ὁ λίθος ἢ τὸ βέλος, τὸ δὲ κινοῦν καὶ ἀποβιαζόμενον, ὁ ἄνθρωπος, τί ἐκώλυε καὶ κενοῦ ὄντος τοῦ μεταξὺ, ῥῖψαί τι. εἰ γὰρ νῦν σώματος ὄντος μεταξὺ, τοῦ ἐμποδίζοντος ταῖς κινήσεσι τῶν σωμάτων, καὶ δεομένων τῶν κινουμένων διελεῖν τὸ μεταξὺ, ὅμως κινοῦνται, τί ἐκώλυε, κενοῦ ὄντος τοῦ μεταξὺ ῥῖψαι βέλος, ἢ λίθον, ἢ τι τοιοῦτον, ὄντος καὶ τοῦ ῥιπτοῦντος, καὶ τοῦ ῥιπτουμένου, καὶ τῆς χώρας.

» ΑΝΑΓΚΗ δὲ εἴπερ ἡ βίαιος, εἶναι καὶ τὴν κατὰ φύσιν. ἡ μὲν γὰρ βίαιος, παρὰ φύσιν. ἡ δὲ παρὰ φύσιν, ὑστέρα τῆς κατὰ φύσιν. ὥστε εἰ μὴ κατὰ φύσιν ἐστὶν ἑκάστῳ τῶν φυσικῶν σωμάτων κίνησις, οὐδὲ τῶν ἄλλων ἔσται κινήσεων οὐδεμία. ἀλλὰ μὴν, φύσει γε πῶς ἔσται μηδεμιᾶς οὔσης διαφορᾶς κατὰ τὸ κενὸν καὶ τὸ ἄπειρον. ᾗ μὲν γὰρ ἄπειρον, οὐδὲν ἔσται κάτω, οὐδὲ ἄνω, οὐδὲ μέσον. ᾗ δὲ κενὸν, οὐδὲν διάφορον τὸ κάτω τοῦ ἄνω. ὥσπερ γὰρ τοῦ μηδενὸς οὐδεμία ἔσται διαφορὰ, οὕτως καὶ τοῦ μὴ ὄντος.

Ἐπειδὴ διεῖλε τὴν κίνησιν εἰς τὴν βίαιον καὶ εἰς τὴν κατὰ φύσιν, συμβάλλεται δὲ αὐτὸ πρὸς τὴν δεῖξιν ἡ παρὰ φύσιν, διὰ τοῦτό φησιν, ὅτι ἐὰν ἡ βίαιος κίνησις, ἔστι καὶ ἡ κατὰ φύσιν. οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ βίᾳ, ἢ παρὰ φύσιν. εἰ τοίνυν ἔστι παρὰ φύσιν κίνησις κενοῦ ὄντος, δεῖ προηγεῖσθαι τὴν κατὰ φύσιν. ἀλλὰ μὴν ἡ κατὰ φύσιν οὐκ ἔστιν. οὐδὲ ἡ παρὰ φύσιν ἄρα. δείκνυσι δὲ ἐφεξῆς, πῶς οὐκ ἔστιν ἡ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ τὸ μὴ εἶναι τὴν κατὰ φύσιν κίνησιν ἐπὶ τοῦ κενοῦ, οὐδεὶς λόγος ἀναγκαῖος ἀπέδειξεν, οὐκ ἂν ταύτῃ ἀναιροῖτο ἡ παρὰ φύσιν. καὶ οὐ δήπου λέγω, ὅτι κενόν ἐστιν ἐνεργείᾳ, τὸ δι' οὗ κινοῦνται τὰ κινούμενα. ἀλλ' ὅτι κἂν κενὸν ἦν, οὐδὲν ἐκώλυεν εἶναι κίνησιν.

» ΤΟ δὲ κενὸν μὴ ὄν τι, καὶ στέρησις δοκεῖ εἶναι.

που γίνεται ἡ ἀντιπερίστασις, μέχρις ἂν ἡ ῥύμη χαλασθῇ τοῦ ῥιπτουμένου. εἷς μὲν οὖν τρόπος τῆς παρὰ φύσιν κινήσεως, τοιοῦτος δοκεῖ εἶναι. ἕτερος δὲ, τῷ τὸν ὠσθέντα ἀέρα μετὰ τοῦ ῥιπτουμένου ταχυτέραν κινεῖσθαι κίνησιν τῆς τοῦ ὠσθέντος κατὰ φύσιν φορᾶς, ἣν φέρεται ἐπὶ τὸν οἰκεῖον τόπον, καὶ οὕτως ὠθεῖν. εὐκίνητος γὰρ ὢν ὁ ἀὴρ, εἰ μόνον ἀρχὴν λάβοι, πρόεισιν ἐπὶ πλεῖστον τὴν ἐνδοθεῖσαν κίνησιν διαφυλάττων, καὶ τῷ ὀξύτερον ὥσπερ εἰπεῖν κινεῖσθαι τῆς κατὰ φύσιν τοῦ φερομένου φορᾶς, ταύτῃ ὠθῶν κινεῖ παρὰ φύσιν. δύο οὖν τούτων ὄντων τρόπων τῆς παρὰ φύσιν κινήσεως, κατ' οὐδένα τῶν τρόπων οἷόν τε ἐν τῷ κενῷ κινεῖσθαι παρὰ φύσιν. οὔτε γὰρ ἀντιπερίστασθαι δύναται τὸ κενὸν, οὔτε ὠθεῖσθαι. οὐ γάρ ἐστι σῶμα τὸ κενόν. ἀδύνατον ἄρα παρὰ φύσιν ἐν τῷ κενῷ κινεῖσθαι, εἰ μὴ ὡς τὰ ὀχούμενά φησι. τοιαῦτα δέ ἐστι, τὰ συμπαρομαρτοῦν ἔχοντα τὸ πρῶτον κινοῦν. τοῦτο δὲ ἑρμηνευόμενος εἶπεν. ὡς ὀχούμενα δὲ κινεῖται, οἷον τὰ ἐπὶ ὕδατος. ὡς ὅταν κάρφος τι ἐποχῆται τῷ ὕδατι κινουμένῳ. παρὰ φύσιν γὰρ κινεῖται τοῦτο, οὔτε ὠθούμενον, οὔτε τῇ ἀντιπεριστάσει τοῦ ὕδατος, ἀλλ' ἐποχούμενον τῷ ὕδατι. οὐ κυρίως δὲ αὕτη παρὰ φύσιν ἂν λεχθείη κίνησις, ἀλλὰ μᾶλλον κατὰ συμβεβηκός. ἀλλ' οὐδὲ ταύτην ἐνδέχεται ἐν τῷ κενῷ κινεῖσθαι τὴν κίνησιν. τὰ γὰρ ὀχούμενα, ἐπὶ σώματος ὀχεῖται, οὐκ ἐπὶ κενοῦ. καὶ δεῖ τὸ ὀχοῦν δυσδιαίρετον εἶναι μᾶλλον τοῦ ὀχουμένου. ἀδύνατον ἄρα ἐπὶ τοῦ κενοῦ ὀχεῖσθαι. καὶ ἄλλως δέ φησι, μέχρι τίνος κινούμενον ἵσταται. νῦν μὲν γὰρ τὴν αἰτίαν τῆς στάσεως εἰπεῖν ἔχομεν, διὰ τὸ ἐκλυθῆναι τὸν τόνον τοῦ ὠσθέντος ἀέρος. τὸ δὲ ἐν τῷ κενῷ παρὰ φύσιν κινούμενον, ποῦ στήσεται, ἢ ὑπό τινος. ἀνάγκη ἄρα ἢ μὴ ὅλως κινεῖσθαι, ἢ πανταχοῦ φέρεσθαι, εἰ μή τι κρεῖττον ἐμποδίσει. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης δείκνυσιν ὅτι οὔτε τὴν βίαιον καὶ παρὰ φύσιν κίνησιν δυνατὸν ἦν γενέσθαι, εἰ κενὸν ἦν. ἐμοὶ δὲ, οὐδὲν ἀναγκαῖον ἔχειν δοκεῖ οὐδὲ τοῦτο τὸ ἐπιχείρημα. πρῶτον μὲν γὰρ, οὔπω δέδεικται ἱκανῶς οὐδὲν, ὥστε ἀποπλῆσαι ἡμῶν τὴν διάνοιαν, ὅτι τῆς παρὰ φύσιν καὶ βιαίου κινήσεως, εἷς τῶν ἀπηριθμημένων τρόπων ἐστὶν αἴτιος. καὶ εἴρηταί μοι πρὸς τοῦτο τὸ θεώρημα μέτρια, ἐν ταῖς σχολαῖς τοῦ η ταύτης τῆς πραγματείας, ἔνθα τὸν περὶ τούτων προηγουμένως ἐκίνησε λόγον ὁ ἀριστοτέλης, πῶς τὰ παρὰ φύσιν κινούμενα κινεῖται. οὐδὲν δὲ χεῖρον καὶ νῦν διὰ βραχέων ὑπομνῆσαι τὰ ὑποπίπτοντα πρὸς τὸν λόγον τοῦτον ἄτοπα. ἐν γὰρ τῇ ἀντιπεριστάσει, ἤτοι ὁ ὠσθεὶς ἔμπροσθεν ὑπὸ τοῦ ῥιφέντος ἀὴρ ἤτοι βέλους, ἢ λίθου, εἰς τοὐπίσω παλινδρομεῖ, καὶ ἀντιπεριίσταται τῷ βέλει ἢ τῷ λίθῳ. καὶ οὕτως ὄπισθεν αὐτοῦ γενόμενος, ὠθεῖ αὐτὸν, καὶ οὕτως ἐφεξῆς, μέχρις ἂν ἡ ὁρμὴ τοῦ ῥιφέντος ἐξασθενήσῃ. ἢ οὐχ ἔμπροσθεν ὠθούμενός ἐστιν ὁ ἀντιπεριϊστάμενος, ἀλλὰ ἐκ πλαγίων. ὠσθέντος γὰρ τοῦ βέλους ὑπὸ τοῦ συνωσθέντος ἐξ ἀρχῆς ὑπὸ τῆς νευρᾶς ἀέρος, ἀντιπεριίσταται εἰς τὸν τοῦ βέλους τόπον, ὁ ἐκ πλαγίων ἀήρ. ὃς συνωσθεὶς ὑπὸ τοῦ κατ' ἀρχὴν ὠσθέντος ἀέρος, κινεῖ τὸ βέλος. καὶ οὕτω πάλιν εἰς τὸν περιϊστάμενον τῷ βέλει ἀέρα τοῦτο δράσει, καὶ ἐφεξῆς μέχρις ἂν ἐξασθενήσῃ ἡ ἐνδοθεῖσα ἐξ ἀρχῆς ὁρμὴ τῆς κινήσεως. εἰ μὲν οὖν κατὰ τὸν πρότερον τρόπον εἴποιμεν γίνεσθαι τὴν ἀντιπερίστασιν, λέγω δὴ τὸν ὠσθέντα ἔμπροσθεν ὑπὸ τοῦ βέλους ἀέρα ἀντιπεριΐστασθαι αὐτῷ εἰς τοὐπίσω, καὶ ὠθῆσαι αὐτὸν, ἀπορήσειεν ἄν τις, τί τὸ βιασάμενον τὸν ἀέρα ἅπαξ εἰς τὸ ἔμπροσθεν ὠσθέντα, μηδενὸς ἀντιπαίοντος, παλινδρομῆσαι εἰς τοὐπίσω, δηλονότι κατὰ τὰ πλάγια τοῦ βέλους, καὶ ἐλθόντα ὄπισθεν ἀνακάμψαι πάλιν, καὶ ὦσαι τὸ βέλος. τρεῖς γὰρ ἀνάγκη κινήσεις κινηθῆναι. ὠσθῆναι γὰρ δεῖ ὑπὸ τοῦ βέλους εἰς τὸ ἔμπροσθεν, εἶτα παλινδρομῆσαι, καὶ τὴν αὐτὴν ἀνακάμψαι πάλιν. καί τοι εὐκίνητος ὢν ὁ ἀὴρ, καὶ τηνικαῦτα λαβὼν ἀρχὴν κινήσεως, ἴεται ἐπὶ πλεῖστον. πῶς οὖν ὁ ὠσθεὶς ὑπὸ τοῦ βέλους ἀὴρ, οὐ κινεῖται κατὰ τὴν ἐνδοθεῖσαν ἀρχὴν, ἀλλὰ παλινδρομήσας ὥσπερ ἐξ ἐπιτάγματος, τὴν αὐτὴν ἀνακάμπτει πάλιν. καὶ παλινδρομήσας, οὐ σκεδάννυται εἰς τὸ ἀχανὲς, ἀλλ' ἀκριβῶς τῆς γλυφίδος τοῦ βέλους καταστοχασάμενος, αὖθις παλινδρομεῖ πρὸς αὐτὴν, καὶ αὐτῆς ἔχεται. ταῦτα μὲν οὖν, παντελῶς ἀπίθανα, καὶ πλάσμασιν ἐοικότα μᾶλλον. ἔπειτα ὠσθεὶς ὑπὸ τοῦ βέλους ὁ ἔμπροσθεν ἀὴρ, δῆλον ὅτι κινεῖται τινὰ κίνησιν. κινεῖται δὲ συνεχῶς τὸ βέλος. πῶς οὖν οἷόν τε τὸν ὠσθέντα ὑπὸ τοῦ βέλους ἀέρα ἀντιπεριΐστασθαι τῷ βέλει, καὶ γίνεσθαι εἰς τὸν τόπον, ὃν κατέλειψε τὸ βέλος. πρὶν γὰρ παλινδρομῆσαι τοῦτον, ὅ, τε ἐκ πλαγίων τοῦ βέλους ἀὴρ, καὶ ὁ ὄπισθεν, συμπεσεῖται. καὶ ἀναπληρώσειεν τὸν καταλειφθέντα ὑπὸ τοῦ βέλους τόπον ἀχρόνως διὰ τὴν τοῦ κενοῦ βίαν, καὶ μάλιστά γε ὄπισθεν συγκινούμενος τῷ βέλει. εἰ δέ τις εἴποι, ὅτι ὠσθεὶς ὑπὸ τοῦ βέλους ὁ ἀὴρ, παλινδρομήσας ὠθεῖ τὸν ἀντιπεριστάντα τῷ βέλει ἀέρα, καὶ οὕτως ὄπισθεν τοῦ βέλους γενόμενος, εἰς τὸν τοῦ ὠσθέντος τόπον ὠθεῖ τὸ βέλος, μάλιστα μὲν οὖν ἀνάγκη μὴ συνεχῶς κινεῖσθαι τὸ βέλος. πρὶν γὰρ ὠσθῇ ὁ ἐκ πλαγίων ἀντιπεριστὰς ἀὴρ, δῆλον ὅτι οὐκ ἐκινεῖτο τὸ βέλος. οὐ γὰρ ἐκίνει οὗτος ὁ ἀήρ. εἰ δὲ καὶ οὕτως ἐκίνει, τίς χρεία τοῦ ἔμπροσθεν παλινδρομῆσαι. πῶς δὲ ὅλως, ἢ ὑπὸ τίνος ὁ ὠσθεὶς ἔμπροσθεν ἀὴρ, ἀρχὴν ἔλαβε τῆς εἰς τὸ ἔμπαλιν κινήσεως. εἰ γὰρ ὅλως ὠθεῖν δύναται τὸν προσπίπτοντα ἀέρα, ὥσπερ νῦν τὸν ἐκ πλαγίων ὤθησε, διατί μὴ πρὸς τὴν ἀρχὴν τῆς κινήσεως ἣν ἐκ τοῦ βέλους ἔλαβεν, ἐπὶ πλεῖστον τοῦτο ποιεῖ, καὶ ὠθεῖ τὸν ἔμπροσθεν προσπίπτοντα ἀέρα ἀεὶ, ἀλλὰ διαύλοις καὶ βιαύλοις ἐκτὸς τῆς κινούσης αἰτίας ποιεῖ. πολλὰ μὲν οὖν ἐνῆν λέγειν, καὶ ἐλέγχειν τὸ πλάσμα τῆσδε τῆς ὑποθέσεως. ἱκανὰ δὲ καὶ ταῦτα ὡς πρὸς τὸ προκείμενον. πρὸς δὲ τὴν ἑτέραν

» Καὶ πῶς δὴ ἐνέσται ἐν τόπῳ, ἢ ἐν τῷ κενῷ· οὐ γὰρ συμβαίνει, ὅταν ὅλον τεθῇ, ὡς ἐν κεχωρισμένῳ τόπῳ, τῷ ὑπομένοντι σώματι· τὸ γὰρ μέρος, ἐὰν μὴ χωρὶς τεθῇ, οὐκ ἔσται ἐν τῷ τόπῳ, ἀλλ᾽ ἐν τῷ ὅλῳ. τὸ αὐτὸ δὴ εἶπε, καὶ ἐν τοῖς περὶ τοῦ τόπου λόγοις, ἀλλ᾽ ἐκεῖ μὲν, πάνυ ἀμυδρῶς καὶ ἀσαφῶς· ἐνταῦθα δὲ σαφέστερον. ἐνδεῖ γὰρ κἀκεῖνο τὸ χωρίον γενόνται, ἔνθα ἔλεγεν οὕτως· » Εἰ δὲ ἦν τι διάστημα, τὸ πεφυκὸς καὶ μένον ἐν τῷ αὐτῷ, ἄπειροι ἂν ἦσαν τόποι. μεθισταμένου γὰρ τοῦ ὕδατος καὶ τοῦ ἀέρος, ταυτὸ ποιήσει τὰ μόρια πάντα ἐν τῷ ὅλῳ, ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ. ὅπερ οὖν εἶπον, τὴν ἐξήγησιν τοῦ χωρίου τούτου, ἐκ τῶν ἐνταῦθα εἰρημένων πεποιήκαμεν. ὃ δὲ λέγει, τοῦτό ἐστιν. ἀδύνατόν φησιν ἐντεθῆναί τι ἐν τῷ κενῷ, ἢ ἐν ᾧ τόπῳ, ὃ διάστημα εἴη. νῦν μὲν γὰρ ἡ κοινὴ ἔννοια ἔχει, ὅτι τὰ μόρια τῶν συνεχῶν οὐκ εἰσὶ καθ᾽ αὑτὰ ἐν τόπῳ, τοῦ ὅλου ἐν τόπῳ ὄντος. οὐ γὰρ γίνεται καθ᾽ αὑτὸ ἐν τόπῳ τὸ μόριον, ὃ μὴ διαιρεθείη τοῦ ὅλου, ἀλλ᾽ ἔστιν ὡς ἐν ὅλῳ. κατὰ συμβεβηκὸς δὲ διὰ τὸ ὅλον, καὶ τὰ μόρια ἐν τόπῳ εἶναι λέγεται. ταύτης οὖν οὔσης τῆς ἐν τόπῳ ἐννοίας, οὐ συμβαίνει τοῦτο, ὅταν ἐν σῶμά τι ἐν κεχωρισμένῳ καὶ διαστηματικῷ τόπῳ ἐντεθῇ. λέγω δὴ, τὸ μὴ εἶναι τὰ μόρια αὐτοῦ καθ᾽ αὑτὸ ἐν τόπῳ. χωρούντων γὰρ δι᾽ ἑαυτῶν τῶν διαστημάτων, ὥσπερ τὸ ὅλον σῶμα τὸ ὅλον κατεῖχε διάστημα, οὕτω καὶ ἕκαστον τῶν μορίων αὐτοῦ μόριόν τι τοῦ διαστήματος κατεῖχε, καὶ περιέχεται καθ᾽ αὑτὸ ὑπ᾽ ἐκείνου. καὶ ὅπερ ἔμπροσθεν ἔλεγεν, ἐπ᾽ ἄπειρον ὄντων τῶν μεγεθῶν διαιρετῶν, συμβήσεται καὶ τὸν τόπον καὶ τὸ ἐν τόπῳ, ἐνεργείᾳ ἐπ᾽ ἄπειρον διῃρῆσθαι. τοῦτο δέ φησιν, ἀδύνατον. οὐκ ἐνδέχεται γὰρ τὸ μόριον καθ᾽ αὑτὸ γενέσθαι ἐν τόπῳ, ὃ μὴ ἀποτμηθῇ τοῦ ὅλου, καὶ οὕτω καθ᾽ αὑτὸ χωρὶς τεθῇ. ὥστε εἰ τοῦτο ἀδύνατον, ἀδύνατον ἄρα ἐντεθῆναι σῶμά τι ἐν τῷ τόπῳ ἢ ἐν τῷ κενῷ. ταυτὸν γὰρ ἄμφω, ὡς εἴρηται.

» ΣΥΜΒΑΙΝΕΙ δὲ τοῖς λέγουσιν εἶναι κενὸν, ὡς ἀναγκαῖον εἴπερ ἔσται κίνησις, τοὐναντίον μᾶλλον ἐάν τις ἐπισκοπῇ, μὴ ἐνδέχεσθαι κινεῖσθαι μηδὲν, ἐὰν ᾖ κενόν. ὥσπερ γὰρ οἱ διὰ τὸ ὅμοιον φάμενοι καὶ τὴν γῆν ἠρεμεῖν, οὕτως καὶ ἐν τῷ κενῷ ἀνάγκη ἠρεμεῖν. οὐ γάρ ἐστιν οὗ μᾶλλον ἢ ἧττον κινηθήσεται. ᾗ γὰρ κενὸν, οὐκ ἔχει διαφοράν. πρῶτον μὲν οὖν ὅτι πᾶσα κίνησις, ἢ βίᾳ, ἢ κατὰ φύσιν.

Δείξας ὅτι οὐκ ἔστιν αἴτιον κινήσεως τὸ κενὸν, οὔτε ὡς ποιητικὸν, οὔτε ὡς τελικὸν, βούλεται λοιπὸν δεῖξαι, ὅτι οὔτε ὡς τὸ δι᾽ οὗ αἴτιον κινήσεως τὸ κενὸν ἐνδέχεται εἶναι οἷον ὀργανικόν. πρότερον δὲ ἀναλαμβάνει τὰ εἰρημένα. καὶ δείκνυσι τὸ ἐκ τούτων, ταῖς ἐκείνων ὑποθέσεσιν ἑπόμενον. τοῖς γὰρ λέγουσι τὸ κενὸν κινήσεως εἶναι αἴτιον, τοὐναντίον συμβαίνει, ἢ λέγουσιν. ἐκεῖνοι μὲν γάρ φασιν, εἰ ἔστι κίνησις, ἀνάγκη κενὸν εἶναι. ἐκ δὲ τῶν εἰρημένων, αὐτὸ τὸ ἐναντίον δείκνυται, ὅτι εἰ ἦν κενὸν, οὐκ ἂν ἦν κίνησις. ὥσπερ γάρ φασι λέγουσί τινες τὴν γῆν ἠρεμεῖν, διὰ τὸ πανταχόθεν ὑπὸ τοῦ ὁμοίου περιέχεσθαι, οὐ γὰρ δύνασθαι κινηθῆναί που, τοῦ πέριξ παντὸς ὁμοίου ὄντος, τί γὰρ μᾶλλον ὧδε ἢ ὧδε, ὑπὸ γὰρ τῆς ἰσότητός τε καὶ ὁμοιότητος πανταχόθεν ὡσαύτως εἴργεται, τοῦτο ἀκολουθεῖ καὶ τοῖς τὸ κενὸν τιθεμένοις, εὐλογώτερόν γε δήπου πολύ. οὐ γάρ ἐστιν οὗ μᾶλλον ἢ ἧττον κινηθήσεται, ὁμοίου πανταχόθεν ὄντος τοῦ κενοῦ. δείξας οὖν ὅτι κενοῦ ὄντος, ἀδύνατον κίνησιν εἶναι τὴν κατὰ φύσιν, δείκνυσιν, ὅτι οὐδὲ τὴν παρὰ φύσιν ἐνδέχεται. καὶ πρῶτον μὲν ὡς ἑπόμενον τοῖς εἰρημένοις αὐτὸ κατασκευάζει. εἶτα καὶ αὐτὸ καθ᾽ αὑτὸ δείκνυσιν, ὅτι οὐκ ἐνδέχεταί τι παρὰ φύσιν ἐν τῷ κενῷ κινεῖσθαι. ἅπασα γὰρ παρὰ φύσιν κίνησις ὑστέρα ἐστὶ τῆς κατὰ φύσιν, καὶ ἐκτροπὴ τῆς κατὰ φύσιν τὸ παρὰ φύσιν. οὐδὲ γὰρ ἂν εἴη παρὰ φύσιν καὶ βίαιος κίνησις, μὴ ἀντικειμένη τῇ κατὰ φύσιν. ἐπεὶ τοίνυν κατὰ φύσιν κίνησιν κενοῦ ὄντος γενέσθαι ἀδύνατον, εὔδηλον, ὡς οὐδὲ παρὰ φύσιν δυνατόν. ἐν οἷς γὰρ τὸ παρὰ φύσιν, ἐν τούτοις πολλῷ πρότερον προϋπάρξει τὸ κατὰ φύσιν. ὅτι δὲ κατὰ φύσιν κίνησιν ἐν τῷ κενῷ γενέσθαι ἀδύνατον, καὶ ἤδη ἔδειξε, καὶ πάλιν ἀναλαμβάνει τὸν λόγον. εἰ γὰρ μή φησι διαφορὰ μηδεμία ἐν τῷ ἀπείρῳ κενῷ, οὐδ᾽ ἂν οὐδὲ διάφορος εἴη κίνησις ἐν αὐτῷ. καθὸ μὲν γὰρ ἄπειρον λέγουσι τὸ κενὸν, ἀναιροῦσι τὸ ἄνω καὶ τὸ κάτω, καὶ ὅλως τὸ μέσον καὶ τὸ πέριξ, ἐφ᾽ ἃ κατὰ φύσιν ἡ κίνησις τοῖς φυσικοῖς σώμασι. καθὸ δὲ κενὸν, πᾶσαν αὐτοῦ διαφορὰν ἀφαιροῦσιν. ὥσπερ γάρ φησι, τοῦ μηδενὸς οὐκ ἂν εἴη διαφορά τις πρὸς ἑαυτὸ, οὕτως οὐδὲ τοῦ κενοῦ. μὴ ὂν δέ τι, καὶ στέρησις τὸ κενόν. εἰ τοίνυν διαφορὰ μή ἐστιν ἐν αὐτῷ, οὐδὲ διάφορος ἂν εἴη κίνησις, κενοῦ ὄντος. ἀλλὰ μὴν αἱ κινήσεις αἱ φυσικαὶ διάφοροι. ἀνάγκη ἄρα τῶν δύο θάτερον, ἢ κενὸν μὴ εἶναι, ἢ εἰ ἔστιν κενὸν μὴ εἶναι κίνησιν κατὰ φύσιν. εἰ δὲ μή ἐστιν ἡ κατὰ φύσιν κίνησις, κενοῦ ὄντος, οὐδ᾽ ἂν ἡ παρὰ φύσιν εἴη. εἰ τοίνυν μήτε κατὰ φύσιν, μήτε παρὰ φύσιν κίνησιν ἐν τῷ κενῷ δυνατὸν γενέσθαι, ἔοικεν ἄρα, κενοῦ ὄντος, μηδὲ ὅλως εἶναι κίνησιν. οὕτως οὖν δείξας ἑπόμενον τοῖς εἰρημένοις, τὸ μηδὲ τὴν παρὰ φύσιν κίνησιν ἐν τῷ κενῷ ἂν γενέσθαι, δείκνυσι καὶ αὐτὸ καθ᾽ αὑτὸ ὁ Ἀριστοτέλης, ὅτι ἀδύνατον ἐν τῷ κενῷ κίνησιν εἶναι, οὕτω. πᾶσα παρὰ φύσιν κίνησις, ἢ παρόντος καὶ βιαζομένου τοῦ κινοῦντος γίνεται, ὡς ἐπὶ τῶν ὠθουμένων. ἢ ἀφισταμένου καὶ οὐχ ἑπομένου τοῦ τὴν ἀρχὴν ἐνδόντος, ὡς ἐπὶ τῶν ῥιπτούντων καὶ τοξευόντων. ἀλλὰ κινεῖται τὰ ῥιπτούμενα βίᾳ, ἤτοι φασὶν ἀντιπεριισταμένου τοῦ ἀέρος ὑπὸ τῆς ῥύμης τοῦ ῥιπτομένου. ὠθούμενος γὰρ ὑπὸ τοῦ ῥιπτομένου ὁ ἀὴρ, καὶ διαχεόμενος εἰς τὰ πλάγια, ἀντιπεριΐσταται αὐτῷ εἰς τοὐπίσω, καὶ οὕτως ὠθεῖ, καὶ μέχρι τοσού-

κόσμον οὖσαν, τοιάνδε σχέσιν ἔχειν πρὸς ἄλληλα τὰ τὸν κόσμον συμπληροῦντα σώματα, ὅπως ἕκαστον τῶν σωμάτων ὁρμήν τινα φυσικὴν ἔχει τοῦ ἐφίεσθαι τῆς τοιᾶσδε πρὸς τὰ λοιπὰ σχέσεως. ἐπεὶ δὲ τοῦτο συμβαίνει αὐτῷ τόδε τὸ μόριον τοῦ διαστήματος καταλαβόντι, ὅπως ἐφίεται τούτου. οὐ διὰ τὸ ἐκεῖνο ἔχειν τινὰ δύναμιν, ἀλλ' ὅτι καὶ τῷ παντὶ ἀγαθόν. καὶ ἑκάστῳ τὸ, τε εἶναι καὶ τὸ εὖ πρὸς ἐστιν, ὅταν ὑπείκῃ μὲν τῷδε, ὑπερέχῃ δὲ τοῦδε. ἐφίεται οὖν τοῦ τοπικοῦ διαστήματος, οὐ δι' αὐτὸ, ἀλλὰ διὰ τὴν πρὸς τὰ λοιπὰ σχέσιν. ὥσπερ οὖν, ὡς αὐτὸς ὁ Ἀριστοτέλης φησὶν, εἰ φυσικόν τι πρᾶγμα ἦν ἡ οἰκία, οὐκ ἂν ἄλλως ἐγένετο, ἢ ὡς νῦν ὑπὸ τῆς τέχνης γίνεται, τῆς μὲν ὀροφῆς ὑπερανεχούσης, ὑποκειμένων δὲ τῶν θεμελίων, καὶ τῶν τοίχων τὴν μέσην εἰληχότων τάξιν, δηλονότι καὶ εἰ φυσικὸν ἦν αὐτοφυῶς ἐχώρησεν ἂν ἡ μὲν ὀροφὴ, ἐπὶ τόδε τὸ μέρος τοῦ ἀέρος, καὶ τὰ λοιπὰ ὡς νῦν ἔχει. ὥσπερ οὖν νῦν, οὐ διὰ τὸ φοράν τινα ἔχειν πρὸς αὐτὸν τὸν ἀέρα, ἄλλο μέρος τῆς οἰκίας ἄλλο τι μόριον τοῦ ἀέρος κατείληφεν, ἀλλ' ὅτι τὸ ἀγαθὸν τότε ἔχει ἡ οἰκία, ὅταν τοιάνδε σχέσιν πρὸς ἄλληλα τὰ μόρια αὐτῆς ἔχωσιν, οὕτω δὲ καὶ ἐπὶ τῶν κατὰ μέρος ζώων, καὶ ἐπὶ τοῦ μεγίστου ζώου τοῦ κόσμου ἔχει. τὸ μὲν κοσμικὸν διάστημα, ὅπερ καὶ χώρα ἐστὶ τοῦ παντὸς καὶ τόπος, αὐτὸ πρὸς ἑαυτὸ διαφορὰν οὐδεμίαν ἔχει. τῷ δὲ τὰ κοσμικὰ σώματα τοιάνδε σχέσιν ἀναλαβεῖν πρὸς ἄλληλα, ἡ διαφορὰ γέγονε τοῦ ἄνω καὶ τοῦ κάτω. καὶ τὸ μὲν τὴν μεσαιτάτην ἀπολαβὸν σχέσιν, κάτω φαμέν. τὸ δὲ τὴν ἐξωτάτω καὶ περιέχουσαν, ἄνω. καὶ ἐκ τούτων δὲ καὶ τόπους κεκλήκαμεν. τὸ μὲν μέρος τοῦ διαστήματος ὃ κατείληφε τὸ μέσον, κάτω. ὃ δὲ κατείληφε τὸ περιέχον, ἄνω. ἐφίεται οὖν ἕκαστον τῆς συστάσεως, ὥσπερ καὶ αὐτὸς εἶπεν, ὅταν ἀποσπασθῇ τούτου. φέρεται οὖν ἐπὶ τοῦτο προηγουμένως. φερόμενον δὲ ἐπὶ τοῦτο, φέρεται καὶ ἐπὶ τὸ διάστημα ὃ κατείληφεν. ἡ δὲ συστάσεως ὁλότης, κατείληφε τόδε τὸ διάστημα ὡς εἴρηται, διὰ τὴν πρὸς τὸ πᾶν σχέσιν.

ΕΙ γὰρ ἐστὶν ἑκάστῳ φορά τις τῶν ἁπλῶν σωμάτων φύσει. οἷον, τῷ πυρὶ μὲν ἄνω. τῇ δὲ γῇ, κάτω καὶ πρὸς τὸ μέσον, δῆλον ὅτι οὐκ ἂν τὸ κενὸν εἴη αἴτιον τῆς φορᾶς. τίνος οὖν αἴτιον ἔσται τὸ κενόν. δοκεῖ γὰρ αἴτιον εἶναι κινήσεως τῆς κατὰ τόπον. ταύτης δ' οὐκ ἔστι.

Ὅτι οὐκ ἔστι ποιητικὸν αἴτιον κινήσεως τὸ κενόν, εἰ ἕκαστόν φησι τῶν λεγομένων ἁπλῶν σωμάτων, οἰκείαν τινὰ φορὰν ἔχει κατὰ φύσιν διαφέρουσαν τῶν λοιπῶν, οὐκ ἂν εἴη τὸ κενὸν ποιητικὸν αἴτιον τῆς κινήσεως. τῶν γὰρ διαφόρων κινήσεων διάφορα δεῖ εἶναι καὶ τὰ αἴτια. τὸ δὲ κενὸν, ἀδιάφορον. οὐκ ἄρα αἴτιον τῶν φυσικῶν κινήσεων τὸ κενόν. τίνος οὖν φησὶν αἴτιον ἂν εἴη κινήσεως. εἰ γὰρ ἧς μάλιστα δοκεῖ εἶναι, λέγω δὴ τῆς κατὰ τόπον, ταύτης δέδεικται μὴ ὂν, σχολῇ δή που θατέρας ἄλλης ἂν κινήσεως αἴτιον. ὥστε οὐδεμιᾶς κινήσεως αἴτιον τὸ κενόν.

ΕΤΙ εἰ ἔστι τι, οἷον τόπος ἐστερημένος σώματος, ὅταν ᾖ κενὸν, ποῦ οἰσθήσεται τὸ τεθὲν εἰς αὐτὸ σῶμα. οὐ γὰρ δὴ εἰς ἅπαν.

Δεύτερον τοῦτο τὸ ἐπιχείρημα, τοῦ πρὸ αὐτοῦ διακεῖναι. οὐκ ἂν δ' ἄλλως διακριθείη, ἢ τοῦ μὲν προτέρου, πρὸς τὴν ὑπόθεσιν τὴν λέγουσαν τὸ κενὸν εἶναι ποιητικὸν αἴτιον τῆς κινήσεως λεγομένου, τούτου δὲ, πρὸς τὸ τελικὸν αὐτὸ αἴτιον ὑποτιθεμένην. καὶ ἔχει γε τὸ εὔλογον ἡ τοιαύτη διάκρισις. ἄνω μὲν γὰρ ἔλεγεν, ὅτι ἑκάστου φορᾶς οὔσης κατὰ φύσιν ἰδίας, τὸ κενὸν ἀδιάφορον ὂν, οὐκ ἂν εἴη τῶν διαφόρων κινήσεων αἴτιον. νῦν δέ φησιν ἀπείρου ὄντος τοῦ κενοῦ, ποῦ οἰσθήσεται τὸ ἐντεθέν. τὸ δὲ φερόμενον, ἐπί τι ὡρισμένως, ὡς ἐπὶ τέλος τι καὶ ὀρεκτὸν φέρεται. καὶ εὔλογόν γε, προθέμενον δεῖξαι ὅτι οὐκ ἔστι κινήσεως αἴτιον τὸ κενὸν, δεῖξαι ὅτι κατ' οὐδένα τρόπον τῶν αἰτίων, αἴτιόν ἐστιν.

Ο δ' αὐτὸς λόγος καὶ πρὸς τοὺς τὸν τόπον εἶναί τι οἰομένους κεχωρισμένον, εἰς ὃν φέρεται. πῶς γὰρ οἰσθήσεται τὸ ἐντεθὲν ἢ μενεῖ. καὶ περὶ τοῦ ἄνω καὶ κάτω.

Ὥσπερ τοὺς περὶ τοῦ τόπου λόγους, ἐφήρμοσε τῷ κενῷ, οὕτω καὶ τοὺς περὶ τοῦ κενοῦ ἐφαρμόζει τῷ τόπῳ εὐλόγως. εἴπε γὰρ ἤδη, ὅτι ὁ τόπος καὶ τὸ κενὸν, ταυτόν ἐστι τῷ ὑποκειμένῳ. τὸ γὰρ κενὸν, τόπος ἐστὶν ἐστερημένος σώματος, κατὰ τοὺς τὸ διάστημα τόπον οἰομένους. καὶ ἐπὶ τοῦ τόπου οὖν φησιν, εἰ διάστημά ἐστιν ὁ τόπος, ζητήσομεν, ἐπειδὴ ἕκαστον ὁρῶμεν τοῦ οἰκείου ἐφιέμενον τόπου, τὰ μὲν κοῦφα τοῦ ἄνω, τὰ δὲ βαρέα τοῦ κάτω, πῶς ἀδιαφόρου ὄντος τοῦ διαστήματος, ὡς ἐπὶ διαφόροις τόποις ἄλλα ἀλλαχοῦ φέρεται. διατί γὰρ τὸ πῦρ, τοῦ ἄνω ἐφίεται μᾶλλον, ἢ τοῦ κάτω, καὶ δεξιὰ καὶ ἀριστερά. ἔδει γὰρ, εἴπερ τὸ διάστημα τόπος, ἀδιάφορον δὲ τοῦτο. πᾶς δὲ ὅλως ἔξει τὸ διάστημα, τὸ ἄνω καὶ τὸ κάτω ἀδιάφορον ὄν. διαφορὰ γὰρ, μᾶλλον δὲ ἐναντία, τὸ ἄνω καὶ τὸ κάτω.

ΚΑΙ περὶ τοῦ κενοῦ ἁρμόσει ὁ αὐτὸς λόγος, ὅτι ὅπως. τὸ γὰρ κενὸν τόπον ποιοῦσιν οἱ φάσκοντες εἶναι. καὶ πῶς δὴ ἐνέσται ἢ ἐν τόπῳ, ἢ ἐν τῷ κενῷ. οὐ γὰρ συμβαίνει ὅταν ὅλον τεθῇ ὡς ἐν κεχωρισμένῳ τόπῳ καὶ ὑπομένοντι σώματι. τὸ γὰρ μέρος ἐὰν μὴ χωρὶς τίθηται, οὐκ ἔσται ἐν τόπῳ, ἀλλ' ἐν τῷ ὅλῳ. ἔτι εἰ μὴ δὲ τόπος, οὐδὲ κενὸν ἔσται.

Εἶπεν, ὅτι ὁ αὐτὸς λόγος, ὃς ἐπὶ τοῦ κενοῦ εἴρηται, ἁρμόσει καὶ πρὸς τὸν τόπον, εἰ διάστημα λέγοιτο εἶναι, πάλιν ἀντιστρέφει τὰ ἐπὶ τοῦ τόπου εἰρημένα, καὶ ἐπὶ τοῦ κενοῦ. ἵνα δείξῃ τὴν συγγένειαν. καὶ τὴν αἰτίαν ἐπάγει, ὅτι ταυτὸν ὁ τόπος καὶ τὸ κενόν. ὥστε ἅμα καὶ συνεισάγονται καὶ συναναιροῦνται. καί φησι

περὶ διῃρημένον ἔλεγον, δείκνυσι πρότερον, ὅτι οὐκ ἔστι κενὸν κεχωρισμένον, καὶ μηδὲν ἔχον σῶμα. καὶ ἐπειδὴ οἱ τὸ κενὸν λέγοντες εἶναι, αἴτιον αὐτὸ κινήσεως ἔλεγον. οὐ γὰρ ἂν εἶναι κίνησιν, μὴ ὄντος κενοῦ, δείκνυσι πρότερον, ὅτι οὐδαμῶς οὐδαμῶς αἴτιον κινήσεως δύναται εἶναι τὸ κενόν. οὔτε ὡς ποιητικόν, οὔτε ὡς τελικόν, οὔτε ὡς τὸ ἐν ᾧ, ἤτοι τὸ δι' οὗ, λέγω δή, ὥσπερ φαμὲν νῦν τὴν κίνησιν ἐν μεγέθει γίνεσθαι, οὐχ οὕτω καὶ διὰ κενοῦ δύνασθαι ἂν γενέσθαι. καὶ πρότερόν γε δείκνυσιν, ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ κενόν, ποιητικὸν αἴτιον κινήσεως. ἐπεὶ γὰρ τὸ κενόν, πάντῃ ὅμοιον αὐτὸ ἑαυτῷ ἐστί, καὶ διαφορὰν οὐδεμίαν ἔχει πρὸς ἑαυτό, ὁρῶμεν δὲ τὰ κατὰ φύσιν κινούμενα, διαφόρους κινήσεις κινούμενα, τὸ μὲν γὰρ πῦρ, κατὰ φύσιν ἄνω κινεῖται, ἡ δὲ γῆ κάτω, δῆλον ὅτι οὐκ ἂν τῶν διαφόρων, μᾶλλον δὲ ἐναντίων, τὸ αὐτὸ ποιητικὸν εἴη αἴτιον. τῶν γὰρ ἐναντίων τὰ ἐναντία ἐστὶ ποιητικὰ αἴτια. νῦν μὲν γὰρ ἡμεῖς τὰς φυσικὰς ῥοπάς, ποιητικὰ αἴτια τῶν κινήσεων λέγοντες, τὰς ἐναντίας, τῶν ἐναντίων αἰτίας ἀποδίδοαμεν. τὸ μὲν γὰρ κοῦφον, τῆς ἄνω κινήσεως αἴτιον. τὸ δὲ βαρύ, τῆς κάτω. εἰ δὲ τὸ κενόν, ποιητικὸν ἦν αἴτιον τῆς κινήσεως, οὐκ ἂν ἦν διάφορος ἡ κίνησις. μᾶλλον δὲ οὐδ' ἂν ἦν ὅλως κίνησις. ποῦ γὰρ κινήσει τὸ ἐντεθὲν ἐν αὐτῷ σῶμα; ἄλογον πανταχοῦ. πάντῃ γὰρ ὅμοιον τὸ κενόν. ὥστε ἄνω καὶ κάτω ἅμα τὸ πῦρ κινήσει, καὶ τὰ λοιπά. τοῦτο δὲ ἀδύνατον. ὥστε τάχιστα μᾶλλον ἂν εἴη αἴτιον τὸ κενόν, οὐ κινήσεως. ἀδύνατον ἄρα ποιητικὸν αἴτιον κινήσεως εἶναι τὸ κενόν. ἀλλ' οὐδὲ τὸ κενὸν ἂν εἴη κινήσεως αἴτιον, λέγω δὴ ὡς ἐφετόν. τὰ αὐτὰ γὰρ πάλιν ἐροῦμεν. αἱ μὲν γὰρ φυσικαὶ κινήσεις, διάφοροι. διάφορα ἄρα καὶ τὰ τέλη. τὸ δὲ κενόν, πάντῃ ἐστὶν ἀδιάφορον. τί οὖν μᾶλλον τὸ πῦρ ἐπὶ τὸ ἄνω ἢ τὸ κάτω κινηθήσεται; πανταχοῦ γὰρ τὸ τέλος καὶ τὸ ὀρεκτόν. ἢ οὖν οὐδ' ὅλως κινηθήσεται, ὅμοιον γὰρ τὸ κενὸν ἑαυτῷ, ὥστε ὅπου ἂν ἐντεθῇ, ἔχει τὸ τέλος καὶ τὸ ὀρεκτόν. ἢ εἰ κινηθήσεται, πανταχοῦ ἐντεῦθεν κινηθήσεται. τί γὰρ μᾶλλον ἄνω ἢ κάτω, ἢ ἐπὶ τὰ λοιπά. τὸ γὰρ ὀρεκτὸν ὡς εἶπον πανταχοῦ. ὥστε διασπασθήσεται. καὶ περὶ τῶν μερῶν ὁ αὐτὸς λόγος. καὶ τοῦτο ἐπὶ ἄπειρον. τὰ αὐτὰ δέ φησιν ἅπερ ἐπὶ τοῦ κενοῦ εἴπομεν, καὶ ἐπὶ τοῦ τόπου λέγειν ἐστί, πρὸς τοὺς τὸν τόπον διάστημα εἶναι οἰομένους. εἰ γὰρ τὸ διάστημα τὸ τοπικὸν ταυτόν ἐστι τῷ κενῷ, ἃ ἐπὶ θατέρου λέγεται, ταῦτα καὶ ἐπὶ τοῦ λοιποῦ λεχθείη ἄν. εἰ γὰρ ὁ τόπος, διάστημά ἐστιν ἄποιον καὶ ἀσώματον, πῶς οἰσθήσεται ἕκαστον ἐπὶ τὸν ἑαυτοῦ τόπον. ἡμεῖς μὲν γάρ, λέγοντες εἶναι τὸν τόπον πέρας τοῦ περιέχοντος, ἐπειδὴ φυσικοῦ σώματος λέγομεν αὐτὸ εἶναι πέρας, φυσικὰς δυνάμεις ἐναποτιθέμεθα ἐν αὐτῷ, καὶ ἰδιότητας, καὶ διὰ τοῦτο ὡς πρὸς συγγενὲς ἕκαστον ἐπὶ τὸν ἑαυτοῦ κινεῖται τόπον. εἰ δὲ διάστημα εἴη ὁ τόπος, ἄποιον ὂν καθ' αὑτό, τί μᾶλλον ὡδὶ ἢ ὡδὶ κινηθήσεται. οὐδὲ γάρ ἐστί τις διαφορὰ καθ' ἣν τὸ μὲν ὡδὶ κινηθήσεται, τὸ δὲ ὡδί. πῶς δὲ ἔσται τῶν τόπων, ὁ μὲν ἄνω, ὁ δὲ κάτω. ἀδιάφορον γὰρ τὸ διάστημα. νῦν μὲν γὰρ ἐπειδὴ τὰ σώματα διαφέρει, ὧν τὰ πέρατα τόποι, καὶ τὰ πέρατα αὐτῶν διαφέρει, οἷς περιέχει τὰ συγγενῆ. οὐ γὰρ καθ' αὑτὰ τὰ πέρατα τόποι, ὥσπερ αἱ μαθηματικαὶ ἐπιφάνειαι. ἀλλ' αἱ ἐν φυσικῷ σώματι ἐπιφάνειαι, ἀχώριστοι. οἱ δὲ τὸ διάστημα λέγοντες, εὐθὺς χωριστὸν αὐτὸ βούλονται εἶναι τῶν φυσικῶν καὶ ἁπλῶν σωμάτων. οὐδὲν οὖν διοίσει τὸ δεξάμενον τὸ ὕδωρ διάστημα, τοῦ δεξαμένου ἀέρα.

Ἀλλὰ πρὸς ταῦτα εἴποιμι ἄν, ὅτι τὸ μὲν εἶναι διάστημα, ἕτερον τῶν φυσικῶν σωμάτων, χωριστὸν αὐτῶν κατ' οὐσίαν, τὸ δεξάμενον αὐτά, ἱκανῶς ἐν τοῖς ἔμπροσθεν δέδεικται. πρὸς δὲ τὰ νῦν εἰρημένα φημί, ὅτι ποιητικὸν μὲν ἢ τελικὸν κινήσεως αἴτιον τὸ κενὸν οὐκ ἔστιν, οὐκ ἀνάγκη δὲ τὸν δεξάμενον ἕκαστον τῶν σωμάτων τόπον, δύναμίν τινα ἔχειν καὶ ποιότητα. οὐ γὰρ ἐπειδὴ ἀγαθὸν ἑκάστῳ τὸ ὡδὶ ἢ ὡδὶ εἶναι, δύναμιν δεῖ τινα τούτῳ ἐν ᾧ κεῖ πέφυκεν εἶναι, ἐναποτίθεσθαι. οὐδὲ γὰρ ἐπειδὴ τὸ σῶμα τοῦ οὐρανοῦ κύκλῳ συνέστηκε, καὶ τοῦτο ἀγαθὸν αὐτῷ, ἔχειν τινὰ φήσαι δύναμιν αὐτὸς γοῦν ὁ Ἀριστοτέλης τὸ κύκλῳ εἶναι, οὗ ἐφιέμενον τὸ οὐράνιον σῶμα, κύκλῳ ἐστίν. ὁπότε γε οὐδὲ τόπον εἶναι τοῦ κύκλῳ φησίν. λέγω δέ, ὅτι οὐχ ὡς δύναμίν τινα ἔχοντος τοῦδε τοῦ μορίου, τοῦ κενοῦ, ἤτοι τοῦ διαστήματος, οὕτω κατείληφε τὸ οὐράνιον σῶμα, τὸ αὐτὸ τοῦτο μέρος. οἷον τὸ κύκλῳ καὶ ἔσχατον. ἀλλ' ὅτι φύσις τῷ οὐρανῷ, τὸ κύκλῳ πάντα περιειληφέναι, καὶ πάντα ἐντὸς ἔχειν. ἐπεὶ οὖν τοῦτο αὐτῷ φύσις, ἀκόλουθως καὶ τῆς χώρας τὸ οὕτως ἔχον καταλαμβάνει. συμβαίνει οὖν οὐ διὰ τὴν οἰκείαν τοῦ διαστήματος δύναμιν, ἀλλὰ διὰ τὸ οὕτω πεφυκέναι τὸν οὐρανόν, λέγω δὴ πάντων εἶναι περιεκτικόν, τὴν ἐξωτάτω τοῦ διαστήματος καταλαμβάνειν μοῖραν. ὥσπερ οὖν ἐπὶ τῆς τῶν ζώων γενέσεως, ἄλλο μόριον ἄλλου τινὸς μορίου τοπικοῦ ἐφάπτεται, εἴτε τοῦ πέρατος τοῦ περιέχοντος κατὰ Ἀριστοτέλην, εἴτε τοῦ διαστήματος ὡς ἐμοὶ δοκεῖ καὶ ὁ λόγος ἀπέδειξεν, οἷον ἡ μὲν κεφαλὴ τοῦδε τοῦ μορίου τῆς ἐπιφανείας τοῦ ἀέρος ἐφάπτεται, κἂν μὴ κατ' ἐνέργειαν διώρισται, αἱ δὲ χεῖρες ἄλλου, καὶ οἱ πόδες ὁμοίως, καὶ τὰ λοιπά, καὶ οὐ δήπου φήσαιεν ἂν ὅτι διὰ τὸ δύναμίν τινα ἔχειν τὸ πέρας τοῦ ἀέρος τὸ ἐφαπτόμενον τῆς κεφαλῆς, ἄλλην παρὰ τὸ ἐφαπτόμενον τῶν ποδῶν ἢ τῶν χειρῶν, οὕτως ὡς ἐφίεσθαι αὐτοῦ, ἡ κεφαλὴ μὲν τόδε κατείληφε, ἄλλο δὲ μόριον ἄλλο τι πέρας τοῦ ἀέρος, ἀλλ' ὅτι πέφυκεν ἡ κεφαλὴ ὑπερανέχειν τοῦ λοιποῦ σώματος, καὶ ἄλλο ἄλλως τῶν μορίων τετάχθαι, διὰ τὸ τοῦτο εἶναι τῷ ζώῳ ἀγαθόν, διὰ τοῦτο συνέβη τόδε μὲν τὴν κεφαλὴν ἐφάπτεσθαι, ἄλλου δὲ ἄλλο, τοῦ ἀέρος ἀδιαφόρου ὄντος πρὸς ἑαυτόν. τοῦτο καὶ ἐπὶ τοῦ παντός φημι. καὶ γὰρ μέγα τι ζῶόν ἐστιν ὁ κόσμος. ἐπεὶ ἀγαθὸν ἦν πρὸς τὴν τοῦ ὅλου

σώζουσι τὸν περὶ αὐξήσεως λόγον. ὡς μὴ ἂν ἄλλως αὐξήσεως γινομένης, ἢ διὰ κενοῦ. αὐτὸς δὲ τοιοῦτόν φησιν. εἰ κενὸν εἴη, καὶ διὰ τοῦτο ἡ αὔξησις γίνοιτο, οὐδ᾽ ἂν ὅλως εἴη ἡ αὔξησις. εἰ μὲν γὰρ ὅλον δι᾽ ὅλου αὔξεται τὸ αὐξόμενον, ὥσπερ καὶ ἡ ἐνάργεια ἔχει, ἀνάγκη δὲ τῷ ὅλῳ προσκεῖσθαι τὴν τροφὴν, προσκεῖνται δὲ τῷ σώματι ἡ τροφὴ οὐκ ἄλλως ὥς φασιν, ἢ τῷ χωρεῖν εἰς τὰ ἐν αὐτῷ κενὰ, δεῖ ὅλον δι᾽ ὅλου τὸ σῶμα κενὸν εἶναι. καθ᾽ ὃ γὰρ οὐκ ἔσται κενὸν, οὐ προσκειθήσεται δηλονότι ἐκείνῳ ἡ τροφή. ὥστε οὐδὲ αὐξηθήσεται ἐκεῖνο. ἀλλὰ μὴν ὅλον δι᾽ ὅλου αὔξεται τὸ αὐξόμενον. δεῖ ἄρα ὅλον εἶναι κενόν. τοῦτο δὲ ἄτοπον. εἰ δὲ μὴ εἴη ὅλον δι᾽ ὅλου κενὸν, ἡ εἰσιοῦσα τροφὴ, ἀναπλήρωσις ἔσται τῶν κενῶν μόνον, καὶ οὐκ αὔξησις. ἀδύνατον ἄρα διὰ κενοῦ γενέσθαι τὴν αὔξησιν. οὔτε ἄρα τὸ κενὸν ἔδειξαν ὑπάρχον, ἀλλὰ ἀναποδείκτως ὑπέθεντο, καὶ τὰς ἀπορίας τὰς περὶ αὐξήσεως οὐκ ἀνεῖλον, ἀλλὰ καὶ ἐπέτειναν. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τῆς τέφρας. ἐπειδὴ γὰρ ὁρᾶται καὶ ἡ τέφρα, ὅλη δι᾽ ὅλης ὑγραινομένη, καὶ τὸ ὕδωρ ὅλον δι᾽ ὅλου μιγνύμενον, ἀνάγκη πᾶσα, ὅλον κενὸν εἶναι τὸ ὕδωρ, καὶ ὅλην κενὴν εἶναι τὴν τέφραν, εἴγε εἰς τὰ κενὰ τὰ ἀλλήλων χωροῦσι. τοῦτο δὲ γελοῖον καὶ εἰ εἰς τὰ κενὰ τὰ ἀλλήλων χωροῦσι τὸ ὕδωρ καὶ ἡ τέφρα, ἡ μὲν τέφρα εἰς τὰ τοῦ ὕδατος, τὸ δὲ ὕδωρ εἰς τὰ τῆς τέφρας, διατί μὴ πολλῷ πρότερον εἰς τὰ κενὰ τὰ ἑαυτῶν ἐξ ἀρχῆς ἐχώρησαν. εὐλογώτερον γὰρ τὸ ὕδωρ ὑγρὸν ὂν, εἰς τὰ κενὰ τὰ ἑαυτοῦ χωρεῖν, ἢ τὴν τέφραν εἰς τὰ τοῦ ὕδατος.

» ΟΛΩΣ μὲν οὖν πάσης κινήσεως, οὐδαμῶς. διὸ καὶ μάλιστα ἔλαθεν. ἀλλοιοῦσθαι γὰρ ἐνδέχεται τὸ πλῆρες. ἀλλὰ δὴ οὐδὲ τὴν κατὰ τόπον κίνησιν. ἅμα γὰρ ὑπεξιέναι ἀλλήλοις ἐνδέχεται, οὐδενὸς ὄντος διαστήματος χωριστοῦ παρὰ τὰ σώματα τὰ κινούμενα. καὶ τοῦτο δῆλον καὶ ἐν ταῖς τῶν συνεχῶν δίναις, ὥσπερ καὶ ἐν ταῖς τῶν ὑγρῶν.

Τέως τὸ καθόλου καὶ ἀπροσδιόριστον τῆς ἀποφάνσεως ἐλέγχει. ἔλεγον γὰρ ἁπλῶς οὕτως, ὅτι εἰ ἔστι κίνησις, ἔστι κενόν. τὸ οὖν ἀξιοῦν φησιν ἢ λέγειν, πάσης κινήσεως αἴτιον εἶναι τὸ κενὸν, γελοῖον. οὐ γὰρ δήπου καὶ ἡ ἀλλοίωσις, κίνησις οὖσα, τόπου ἢ κενοῦ προσδεήσεται. διὸ καὶ μάλιστα ἔλαθε. κἀκεῖνος γὰρ ἄπειρον εἶναι τὸ πᾶν ὑποτιθέμενος, ἀπεφαίνετο καὶ ἀκίνητον εἶναι. οὐ γὰρ ἔχειν ποῦ κινηθῆναι. ἔλαθεν οὖν κἀκεῖνον, ὅτι ἀλλοιοῦσθαι ἠδύνατο τόπου μὴ προσδεόμενον. καὶ οὕτως, οὐκ ἂν ἦν ἀκίνητον. οὐ μόνον δέ φησιν ἀλλοιοῦσθαι δυνατὸν, ἑτέρου τόπου μὴ προσδεόμενον παρὰ τὸν ἐν ᾧ ἐστιν, ἀλλὰ καὶ κατὰ τόπον κινεῖσθαι, ἐπειδὴ καὶ περὶ τῆς κατὰ τόπον κινήσεως ἐκεῖνος λέγει, καὶ τοῦτο σαφὲς ἐπὶ τῶν κύκλῳ κινουμένων. ἐν τῷ αὐτῷ γὰρ στρέφεται τόπῳ. ἀλλὰ καὶ κατ᾽ εὐθεῖαν κινεῖσθαι δυνατὸν, κενοῦ μὴ ὄντος, ἀντιπεριισταμένων ἀλλήλοις τοῦ τε κινουμένου, καὶ τοῦ ἐν ᾧ ἡ κίνησις γίνεται.

» ΕΝΔΕΧΕΤΑΙ δὲ καὶ πυκνοῦσθαι, μὴ εἰς τὸ κενόν. ἀλλὰ διὰ τὸ τὰ ἐνόντα ἐκπυρηνίζειν. οἷον ὕδατος συνθλιβομένου, τὸν ἐνόντα ἀέρα.

Ὅτι οὐδὲ ἡ δευτέρα ἀπορία ἔχει τι ἀναγκαῖον, ἡ ἀπὸ τοῦ οἴνου καὶ τῶν πίθων. ἐνδέχεται γὰρ πιλεῖσθαι τὸν οἶνον, οὐκ εἰς προϋπάρχοντα ἐν αὐτῷ κενὰ ἀλλὰ εἰς τοὺς τόπους τῶν ἐκπυρηνισθέντων ἐξ αὐτοῦ λεπτομερεστέρων σωμάτων. τὸ δὲ ἐκπυρηνίζειν, ἐκ μεταφορᾶς τῶν πυρήνων εἴρηται, τῶν ὑπὸ τῆς θλίψεως τῶν δακτύλων ἐξακοντιζομένων. πυρῆνες δὲ λέγονται κυρίως τὰ τῶν ἐλαιῶν γίγαρτα. ἐκ τούτων δὲ καὶ πολλὰ ἄλλα.

» ΚΑΙ αὐξάνεσθαι, οὐ μόνον εἰσιόντος τινὸς, ἀλλὰ καὶ ἀλλοιώσει. οἷον, εἰ ἐξ ὕδατος γίνοιτο ἀήρ. ὅλως δὲ ὅτε περὶ τῆς αὐξήσεως λόγος, καὶ τοῦ εἰς τὴν τέφραν ἐγχεομένου ὕδατος, αὐτὸς αὑτὸν ἐμποδίζει.

Τρίτον τὸν ἀπὸ τῆς αὐξήσεως ἐλέγχει λόγον. καὶ πρῶτον ὡς εἶπον, κοινότερον κέχρηται τῇ αὐξήσει, πᾶσαν ἁπλῶς τὴν εἰς μείζονα ὄγκον μεταβολὴν αὔξησιν λέγων.

» Η ΓΑΡ οὐκ αὔξεται ὁποιῳοῦν, ἢ οὐ σώματι, ἢ ἐνδέχεται δύο σώματα ἐν τῷ αὐτῷ εἶναι. ἀπορίαν οὖν ἀξιοῦσι κοινὴν λύειν. ἀλλ᾽ οὐ κενὸν δεικνύουσιν ὡς ἔστιν, ἢ πᾶν εἶναι τὸ σῶμα ἀναγκαῖον κενὸν, εἰ πάντῃ αὐξάνεται, καὶ αὐξάνεται διὰ κενοῦ. ὁ δ᾽ αὐτὸς λόγος καὶ ἐπὶ τῆς τέφρας. ὅτι μὲν οὖν ἐξ ὧν δεικνύουσι τὸ κενὸν εἶναι, λύειν ῥᾴδιον, φανερόν.

Ἣν τῶν φυσικῶν ἐστιν ἀπορίαν, ταύτην λύειν ἐπιχειροῦντες, τὸ κενὸν ὑπετίθεντο. ταύτην οὖν φησι τὴν ἀπορίαν ἀξιοῦσι λύειν, οἱ τὸ κενὸν ὑποτιθέμενοι. οὐ μέντοι δεικνύουσιν, ὅτι ἔστι κενόν. οὐ γὰρ ἐπειδή ἐστιν αὔξησις ἀνάγκη κενὸν εἶναι. ἀλλ᾽ ἡ αἰτία τοῦ τρόπου τῆς αὐξήσεως ζητητέα. οὐδὲ γὰρ ὑποτιθέμενοι εἶναι τὸ κενὸν, λύουσι τὴν περὶ τῆς αὐξήσεως ἀπορίαν. πᾶν γὰρ εἶναι τὸ σῶμα ἀναγκαῖον κενὸν, ἢ πάντῃ αὐξάνεται καὶ αὐξάνεται διὰ κενοῦ. ὥστε οὐ λύεται ἡ ἀπορία ὑποτεθέντος τοῦ κενοῦ. εἰ γὰρ διὰ κενοῦ τινος γίνοιτο ἡ αὔξησις, τὸ ὅλον κενὸν ἔσται. εἴγε παντὶ σώματι προσκεῖνται. τὰ αὐτὰ καὶ ἐπὶ τῆς τέφρας ἐροῦμεν.

» ΟΤΙ δ᾽ οὐκ ἔστι κενὸν οὕτω κεχωρισμένον ὡς ἔνιοί φασι, λέγωμεν πάλιν.

Δείξας ὅτι οἱ τὸ κενὸν συνάγοντες λόγοι, οὐδὲν ἔχουσιν ἀναγκαῖον, βούλεται λοιπὸν ἐντεῦθεν αὐτὴν ἀναιρεῖν τὴν τοῦ κενοῦ φύσιν. καὶ ἐπειδὴ τὸ κενὸν, ἤτοι κεχωρισμένον ἔλεγον εἶναι οἱ λέγοντες, ἢ ἀχώριστον, ἀχώριστον δὲ ἤτοι τὸ διάστημα καὶ κατὰ τὸν ἑαυτοῦ λόγον κενὸν, ἀεὶ δὲ πληρούμενον σώματος, ὡς καὶ οἱ τὸ διάστημα λέγοντες εἶναι τὸν τόπον, ἅπαν ἂν εἶναι κενὸν ἢ τὸ κατεσπαρμένον ἐν τοῖς σώμασιν, ὡς οἱ

ἐν αὐταῖς κενά. φησὶν οὖν, ὅτι οὔτε ἀναγκαῖον, οὔτε ἀληθὲς τὸ λέγειν οὕτω γίνεσθαι τὴν πύκνωσιν. ἐνδέχεται γάρ φησιν αὐτὰ πυκνοῦσθαι τὰ σώματα, μὴ εἰς τὰ ἐνόντα κατ᾽ ἐνέργειαν κενά, ἀλλὰ τῷ ἐκθλίβειν καὶ ἐκπυρηνίζειν τὰ λεπτομερέστερα ἐν αὐτοῖς σώματα, εἰς τὸν ἐκείνων τόπον χωρεῖ. ὅπερ καὶ ἐπὶ τοῦ οἴνου γίνεται. τῇ γὰρ ἐκ τῶν ἀσκῶν πλήσει, ἐξακοντίζεται ἡ ἐναπειλημμένη λεπτομερὴς οὐσία, εἴτε ἀερώδης, εἴτε καὶ ἄλλη τις, οἷον ἀτμιδώδης, ἢ πνευματώδης, τοιοῦτον δὲ τὸ γλεῦκος. ταύτῃ οὖν πληρούμενος ὁ οἶνος καὶ εἰς ἐλάττονα ὄγκον συστελλόμενος, χωρεῖται ὑπὸ τοῦ αὐτοῦ πίθου μετὰ τοῦ ἀσκοῦ, ὃν καὶ πρὸ τοῦ ἀσκοῦ ἐπλήρου. καὶ ἄλλως, πολὺ τὸ πνευματῶδες ἐν τῷ γλεύκει, ὡς δηλοῖ καὶ ὁ ἀφρός, κινούμενος ὑπὸ τοῦ πνεύματος. καὶ πολὺν μεταξὺ ἐναπολαμβάνει ἀέρα, ὡς δηλοῦσιν αἱ πομφόλυγες. κωλυομένης οὖν τῆς κινήσεως ὑπὸ τῆς ἐκ τοῦ ἀσκοῦ πλήσεως, ἐκδιαφορεῖται ὡς εἴρηται ὁ ἐναπολαμβανόμενος ἀήρ. καὶ οὕτως εἰς τὸν ἐκείνου τόπον χωρεῖ τὰ τοῦ οἴνου μόρια. καὶ ἄλλως δὲ ἀεὶ παραχωρεῖ λεπτότερον τὸ σῶμα τῷ παχυμερεστέρῳ. διὸ ὕδωρ πληροῦται, ἀέρος ἐκθλιβομένου. ἀὴρ δὲ πυρός. γῆ δὲ ὕδατος καὶ ἀέρος. διὸ πλήρωσις πυρὸς οὐκ ἔστιν, ὥς φησιν ὁ Θεμίστιος. οὐ γὰρ ἔχει τι λεπτομερέστερον, ὃ ἐμπέπλεκται. Τρίτην ἐπὶ τῶν ἐπιχειρημάτων, εἰ ἡ αὔξησίς ἐστιν, ἔστι κενόν. σῶμα γὰρ οὐ χωρεῖ διὰ σώματος. αὔξεται δὲ τὸ αὐξόμενον, τῆς τροφῆς χωρούσης εἰς αὐτό, καὶ προσκειμένης τῷ αὐξομένῳ. ἀνάγκη οὖν εἰ μὴ χωρήσει σῶμα διὰ σώματος, ἐν τοῖς κενοῖς τοῦ αὐξομένου χωρεῖν τὸ αὖξον. ὁ οὖν ἀριστοτέλης πρότερον αὔξησιν καταχρηστικῶς λαβών, πᾶσαν ἁπλῶς τὴν ἐξ ἐλάττονος πρὸς μείζονα μεταβολήν, οὕτως ἐλέγχει τὸν λόγον. ὕστερον δέ, οὐδὲ ἐπὶ τῆς κυρίως αὐξήσεως ἀναγκαίαν οὖσαν τὴν ἀπορίαν δείκνυσι. πρῶτον μὲν γάρ φησιν, οὐκ ἀνάγκη πᾶσαν ἁπλῶς τὴν ἐξ ἐλάττονος εἰς μείζονα ἐπίδοσιν, εἰσιόντος τινὸς ἐν τῷ αὐξομένῳ γίνεσθαι. ἐπὶ γὰρ τῆς ἐξ ὕδατος εἰς ἀέρα μεταβολῆς, μεῖζον μὲν ἐξ ἐλάττονος γέγονεν, οὐδενὸς δὲ ἐδεήθη τοῦ εἰσιόντος καὶ αὔξοντος. ὥστε οὐδὲ διὰ κενοῦ ἡ αὔξησις γέγονε. διὰ τοῦτο γὰρ ἐδόκει τῇ αὐξήσει ἀκολουθεῖν τὸ κενόν, διὰ τὸ εἰσιόντος τινὸς σώματος τὴν αὔξησιν γίνεσθαι. εἰ δέ τις εἴποι, ἀλλ᾽ ἔξωθεν μείζων ὁ ὄγκος γενόμενος, κενάς τινας καταλαμβάνει χώρας, οὐχ ἕπεται τοῦτο ἐκ τοῦ λόγου δεικνύναι ἀναγκαῖον. ὥσπερ γὰρ τὸ ὕδωρ μεταβάλλον εἰς ἀέρα, ἐξ ἐλάττονος εἰς μείζονα ὄγκον μετέβαλεν, οὕτω καὶ ἄλλος τις ἀὴρ εἰς ὕδωρ μεταβαλών, εἰς ἐλάττονα ὄγκον συνεστάλη. καὶ οὕτως αἱ ἴσως καὶ ἀντιπερίστασις γίνεται. ἄλλως δὲ ὁ ἀριστοτέλης οὐ μόνον ἐπὶ τῆς κυρίως αὐξήσεως ἐλέγχει τὸν λόγον, ὥσπερ ἐφεξῆς ποιεῖ, ἀλλὰ καὶ ἐπὶ τῆς ἐξ ἐλάττονος εἰς μείζονα ὄγκον μεταβολῆς, ἥτις γίνεται κατὰ γένεσιν καὶ φθοράν. οὐ γὰρ ἐκεῖνοι τὸν τρόπον τῆς αὐξήσεως ζητοῦντες, ὅπως γίνεται τοῦτο ἠπόρουν. οὐδεὶς γὰρ νῦν περὶ τούτου λόγος. ἀλλὰ δεῖξαι βουλόμενοι ὅτι ἔστι κενόν, ἐκέχρηντο τῷ ἐπὶ τῆς αὐξήσεως ἀπορουμένῳ, ὅτι εἰ γίνεται σῶμα ἐξ ἐλάττονος μεῖζον, ἀνάγκη δὲ τὴν εἰς τὸ μεῖζον τῶν σωμάτων ἐπίδοσιν, σώματός τινος εἰσιόντος καὶ προστιθεμένου γίνεσθαι, ἀνάγκη κενὸν εἶναι. πρὸς οὖν τὸ δεῖξαι ὅτι ἔστι κενόν, οὐδὲν διαφέρει ὁ τῆς αὐξήσεως τρόπος. ἀλλ᾽ ὅτι ἁπλῶς ἔστι τις ἡ ὡς ἐν τῷ μείζονι ἐπίδοσις. ταύτην δὲ ἀνάγκη διὰ κενοῦ γίνεσθαι. ὡς πρὸς ταύτην οὖν τὴν ἔννοιαν, καὶ ταύτῃ ἐχρήσατο τῇ ἀπαντήσει. Καὶ ἄλλως, εἰ μὲν αὔξησιν λέγοιεν πᾶσαν ἁπλῶς τὴν εἰς μείζονα ὄγκον ἐπίδοσιν, οὕτως ἐλεγχθήσονται. εἰ δὲ τὴν κυρίως λέγοιεν αὔξησιν, πρὸς ταύτην ταυτά φησι. συμπεριλαμβάνει δὲ τῇ ἐκ τῆς αὐξήσεως ἀπορίᾳ, καὶ τὴν ἐκ τοῦ εἰς τὴν τέφραν ἐγχεομένου ὕδατος. καὶ κοινῶς ἀμφότερα ἐλέγχων, φησὶν ὅτι ὁ περὶ τῆς αὐξήσεως λόγος, καὶ τοῦ εἰς τὴν τέφραν ἐγχεομένου ὕδατος, αὐτὸς ἑαυτὸν ἐμποδίζει. τουτέστι συμποδίζει καὶ καταβάλλει, καὶ αὐτὸς δι᾽ ἑαυτοῦ ἐλέγχεται. κενῆς γάρ φησιν οὔσης ἀπορίας φυσικῆς εἰς τὸν περὶ αὐξήσεως λόγον, καὶ δοκούντων τινῶν παραλόγων εἶναι ἀτόπων, ἐν παντὸς μὴ ἀποφυγεῖν, ἢ μὴ εἶναι αὔξησιν, ἢ μὴ σώματος εἶναι, ἢ μὴ σώματι γίνεσθαι τὴν αὔξησιν, ἢ σῶμα χωρεῖν διὰ σώματος, ἐπιχειροῦντες ἐκεῖνοι λύειν ταύτας τὰς ἀπορίας, εἶναι μὲν τὸ κενὸν ὑπέθεντο, οὐδὲν δὲ μᾶλλον ταύτας τὰς ἀπορίας ἔλυσαν, εἰ μὴ καὶ ἐπέτειναν. ὥστε οὔτε τὸ κενὸν δεικνύουσιν ὑπάρχειν, οὔτε τὰς ἀπορίας ἐπιλύονται. αὐτόθεν δὲ πάλιν ζητοῦσιν οἱ φυσικοί, πότερον ἔστιν αὔξησις, ἢ οὐκ ἔστιν. ἀλλὰ τὸ εἶναι αὔξησιν, ἐκ τῆς ἐναργείας ἀνάγκη ὁμολογεῖν. πότερον οὖν πάλιν σώματός ἐστιν ἡ αὔξησις, ἢ ἀσωμάτου. ἀλλ᾽ ὅτι τὰ σώματά ἐστι τὰ αὐξόμενα, ἡ ἐνάργεια μαρτυρεῖ. ἆρ᾽ οὖν τὸ αὖξον ὡς ὕλη, σῶμά ἐστιν, ἢ ἀσώματον. ἀλλὰ καὶ τοῦτο πρόδηλον. σῶμα γὰρ ἡ τροφή. εἰ τοίνυν καὶ αὔξησίς ἐστι, καὶ σῶμά ἐστι τὸ αὐξόμενον, καὶ τὸ αὖξον. τὸ δὲ αὖξον ὅλον προσκρίνεται τῷ αὐξανομένῳ, ἐπειδὴ καὶ ὅλον δι᾽ ὅλου αὔξεται τὸ αὐξόμενον, ἀνάγκη σῶμα διὰ σώματος χωρεῖν. τοῦτο δὲ ἀδύνατον. ἄπορος ἄρα πανταχόθεν ὁ περὶ αὐξήσεως λόγος. ταύτας οὖν φησι τὰς περὶ αὐξήσεως ἀπορίας ἐπιλύσασθαι βουλόμενοι, ὑπόθεσιν ἀναπόδεικτον ὑποτίθενται, ὅ ἐστι τὸ κενόν. ὄντων γάρ φησι κενῶν ἐν τῷ σώματι, ἡ τροφὴ εἰς ἐκεῖνα χωρεῖ. καὶ οὕτω δοκοῦσι τὴν αὔξησιν φυλάττειν καὶ τὰ ὑπάρχοντα τῇ αὐξήσει. λέγω δή, τὸ εἶναι αὔξησιν. καὶ τὸ σώματα εἶναι τό, τε αὖξον, καὶ τὸ αὐξόμενον. καὶ τὸ ἄτοπον ἐκφυγεῖν, τὸ χωρεῖν σῶμα διὰ σώματος. ἀλλ᾽ οὗτός φησιν ὁ λόγος, αὐτὸς ἑαυτὸν καταβάλλει, καὶ αὐτὸς ἑαυτὸν ἀναιρεῖ. ἐκεῖνοι μὲν γὰρ οἴονται, ὅτι εἰ ὑπόθοιντο διὰ κενοῦ γίνεσθαι τὴν αὔξησιν,

πον, οὔτε χωριστὸν οὔτε ἀχώριστον εἶναι δύναται, δῆλον ὡς οὐδὲ τὸ κενὸν ἂν εἴη, οὔτε ὡς χωριστόν, οὔτε ὡς ἀχώριστον.

» ΔΙΟ καὶ τὸ κενὸν δοκεῖ τι εἶναι, ὅτι καὶ ὁ τόπος. καὶ διὰ τὰ αὐτά. ἥκει γὰρ δὴ ἡ κίνησις ἡ κατὰ τόπον, καὶ τοῖς τόπον φάσκουσιν εἶναί τι παρὰ τὰ σώματα τὰ ἐμπίπτοντα, καὶ τοῖς τὸ κενόν.

Ὅτι φησὶ ταυτόν ἐστιν ὁ τόπος καὶ τὸ κενόν, δηλονότι ἐξ ὧν καὶ δι' ἃς αἰτίας εἰς ἔννοιαν ἦλθον τοῦ εἶναι τὸν τόπον διάστημα, διὰ τὰς αὐτὰς καὶ εἰς τὴν τοῦ κενοῦ ἔννοιαν ἦλθον. ἡ γὰρ κατὰ τόπον κίνησις, καὶ τούτοις κἀκείνοις αἰτία τῆς ὑπονοίας γέγονεν. οἵ τε γὰρ τὸν τόπον διάστημα εἶναι λέγοντες, ἐκ τοῦ ὁρᾶν ἄλλοτε ἄλλα ἐν τῷ αὐτῷ γινόμενα σώματα, οἷον ἐν τῷ ἀμφορεῖ, εἰς τὴν ὑπόνοιαν ταύτην ἦλθον. καὶ οἱ τὸ κενὸν εἶναι λέγοντες, διὰ τὸ μὴ ἂν εἶναι τὴν κατὰ τόπον κίνησιν, εἰ μὴ κενὸν ἦν. οὐ γὰρ χωρεῖν σῶμα διὰ σώματος.

» ΑΙΤΙΟΝ δὲ κινήσεως οἴονται εἶναι τὸ κενόν, οὕτως, ὡς ἐν ᾧ κινεῖται. τοῦτο δ' ἂν εἴη, οἷον τὸν τόπον φασί τινες εἶναι.

Ὅτι οἱ τὸ κενὸν οἰόμενοι εἶναι, αἴτιον αὐτὸ οἴονται εἶναι τῆς κινήσεως οὕτως ὡς τὸ ἐν ᾧ κινεῖται. τουτέστιν, ἐφ' οὗ. καὶ ἐκ τούτου δὲ δῆλον, ὅτι τὸ κενὸν τοιοῦτόν ἐστιν, οἷον καὶ τὸν τόπον αὐτόν φασιν εἶναι.

» ΟΥΔΕΜΙΑ δὲ ἀνάγκη, εἰ ἔστι κίνησις, εἶναι κενόν.

Ἐλέγξας τὸ κενὸν τοῖς αὐτοῖς λόγοις, οἷς καὶ τὸν τόπον ὡς διάστημα, ὁρμᾷ μὲν ἐντεῦθεν εἰς τὸ, αὐτὸ καθ' αὑτὸ τὸ κενὸν δεῖξαι ὅτι οὐδαμῇ οὐδαμῶς ἐστι. πρότερον δὲ τοὺς λόγους, δι' ὧν ἐπεχείρουν δεῖξαι ὅτι ἔστι τὸ κενόν, βούλεται ἐλέγξαι, καὶ δεῖξαι ὅτι οὐδὲν ἔχουσιν ἀναγκαῖον. ἦσαν δὲ τέσσαρες. ὁ ἀπὸ τῆς κατὰ τόπον κινήσεως, ὁ ἀπὸ τῆς αὐξήσεως, ὁ ἀπὸ τῆς πυκνώσεως, ὁ ἀπὸ τῆς τέφρας. καὶ πρῶτον, τὸν ἀπὸ τῆς κατὰ τόπον κινήσεως λόγον δείκνυσι μηδὲν ἔχοντα ἀναγκαῖον. ἦν δὲ ὁ λόγος οὗτος. εἰ κίνησίς ἐστι καὶ μὴ χωρεῖ σῶμα διὰ σώματος, ἔστι κενόν. ἀλλὰ μὴν τὸ πρότερον. καὶ τὸ δεύτερον ἄρα. Πρῶτον μὲν γάρ φησιν, εἰ καί τις κίνησις ἐδεῖτο κενοῦ, οἷον ἡ κατὰ τόπον, οὐ δήπου καὶ πᾶσα κίνησις κενοῦ δεῖται εἰς τὸ γενέσθαι. ἡ γοῦν ἀλλοίωσις τόπου παντελῶς οὐ προσδεῖται. τὸ γὰρ ἀλλοιούμενον, ὅσον ἐπὶ τῇ ἀλλοιώσει, οὐδενὸς προσδεῖται τόπου. καὶ γὰρ ἀκίνητον ὂν κατὰ τόπον, ἀλλοιωθείη ἄν. ἀλλ' οὐδὲ εἰ κατὰ τόπον εἴη κίνησις, εὐθὺς ἀνάγκη καὶ κενὸν εἶναι. δύναται γὰρ ἀντιμεθίστασθαι ἀλλήλοις τὰ μόρια, ἀμείβοντα τοὺς ἀλλήλων τόπους, καὶ οὐ προσδεόμενα κενοῦ διαστήματος κεχωρισμένου αὐτῶν. καὶ τοῦτο μὲν καὶ ἐπὶ τῆς κατ' εὐθεῖαν κινήσεως ἔστιν ἰδεῖν, μάλιστα δὲ ἐστι προφανὲς ἐν ταῖς τῶν συνεχῶν δίναις. ὡς ἔχει ἐπὶ τῆς ἀπλανοῦς σφαίρας, καὶ ἐπὶ τοῦ ἐν τῇ λεκάνῃ κινουμένου ὕδατος. ταῦτα γὰρ οὐ διὰ κενοῦ κινοῦνται. τὸν γὰρ αὐτὸν κατέχουσι τόπον κατὰ τὰς οἰκείας ὁλότητας, ἀλλὰ κινοῦνται τῶν μερῶν ἀντιπαραχωρούντων ἀλλήλοις τοὺς οἰκείους τόπους. καὶ τί λέγω ἐπὶ τῶν κύκλῳ κινουμένων. καὶ γὰρ τὰ κατὰ εὐθεῖαν κινούμενα ὡς ἤδη εἶπον, τοῦτον κινεῖται τὸν τρόπον, κενοῦ μὴ δεόμενα. ἂν γὰρ τὸν δάκτυλον καθεὶς ἐν ὕδατι κινήσω, καὶ ἁπλῶς πάντα τὰ ἐν ὕδατι κινούμενα, κινεῖται μὲν κατὰ τόπον τὴν κατ' εὐθεῖαν κίνησιν, οὐ διὰ κενοῦ δὲ κινεῖται. οὐδὲ γάρ ἐστι τινὰ τοιαῦτα κενὰ κεχωρισμένα ἐν τῷ ὕδατι. οἷά ἐστι τὰ τῶν ἰχθύων, καὶ τὰ τῶν νηκτῶν σώματα. τοῦτο δὲ ἐναργές. ἀλλ' ἀντιμεθίσταται ἀεὶ τὸ ὕδωρ τῷ κινουμένῳ, καὶ ἑκάτερον τὸν ἑτέρου τόπον λαμβάνει. εἰ μὲν γὰρ διὰ στερεῶν καὶ ἀντιτύπων σωμάτων ἐγίνετο ἡ κίνησις, εἰκότως ἐνομίσθη ἂν διὰ κενοῦ κινεῖσθαι τὰ κινούμενα, διὰ τὸ μὴ ῥᾳδίαν εἶναι ἐπὶ τούτων τὴν ἀντιπερίστασιν. εἰ δὲ δι' ὑγρῶν ἡ κίνησις γίνεται, ὕδατος λέγω καὶ ἀέρος, οὐκ ἀναγκαῖον εἰσάγειν τὸ κενὸν διὰ τὴν κίνησιν. τεμνομένου γὰρ τοῦ δι' οὗ ἡ κίνησις, καὶ ἀντιπαραχωροῦντος τὸν ἑαυτοῦ τόπον τῷ κινουμένῳ, οὕτως ἡ κίνησις γίνεται. ἐκ δὲ τούτων τῶν ἐπιχειρημάτων, ὅτι μὲν οὐκ ἀναγκαῖον, κινήσεως οὔσης, εἶναί τι χωριστὸν κενὸν πάντη σώματος ἐστερημένον, δείκνυται. ὅτι δὲ ἁπλῶς οὐκ ἔστιν, οὐδέπω ἐκ τούτων δείκνυται. τί γάρ, εἰ καὶ μὴ διὰ κενοῦ μὲν ἡ κίνησις γίνοιτο, εἴη δέ τι καὶ ἄλλως κενὸν καθ' αὑτὸ κεχωρισμένον, οἷον ἔθεσαν οἱ πυθαγόρειοι ἔξω τοῦ οὐρανοῦ. ὅτι μὲν οὖν ὡς εἶπον, κινήσεως οὔσης, ἐνδέχεται μηδὲν εἶναι κενὸν χωριστόν, ἱκανῶς διὰ τούτων δείκνυται. ὅτι δὲ οὐδὲ ἀχώριστόν ἐστι κενόν, κατὰ τὸν τρόπον ὃν ἐγὼ εἶπον, ὅπερ τῷ μὲν ἰδίῳ λόγῳ διάστημά ἐστι κενὸν παντὸς σώματος, οὐδέποτε δὲ χωρίς ἐστι σώματος, ἀλλ' ἀεὶ πεπλήρωται σώματός τινος, οὐ δείκνυται διὰ τῶν λόγων τούτων. ἀλλὰ τοὐναντίον καὶ ἀναγκαῖον εἶναι ἐκ τῶν εἰρημένων. ὅταν γὰρ φῶμεν, μὴ δεῖσθαι κενοῦ τὰ κινούμενα, ἀλλ' ἀντιμεθίστασθαι καὶ ἀντιπεριχωρεῖν ἀλλήλοις τὰ μόρια τοὺς ἰδίους τόπους, τί ἄλλο φαμὲν ἀντιπαραχωρεῖν ἀλλήλοις, ἢ τὰ διαστήματα ἐν οἷς ἦσαν. εἴρηται δὲ ἱκανῶς ἐν τοῖς περὶ τοῦ τόπου λόγοις περὶ τούτων. Δευτέρα ἦν ἀπόδειξις, ἡ ἐκ τῆς πυκνώσεως καὶ μανώσεως τῶν σωμάτων. ὡς ἦν παρέδειγμα, τὸ ἐπὶ τῆς σφαίρας συμβαῖνον, καὶ τῶν ἀσκῶν. ἔλεγον γὰρ κινούμενα τὰ σώματα, χωρεῖ εἰς τὰ ὑπάρχοντα

ὃ ἔχει βάρος ἢ κουφότητα, συνάγεται ὅτι κενόν ἐστι τόπος ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. καλῶς δὲ εἶπεν ἐκ συλλογισμοῦ. οὐ γὰρ ἐκεῖνοι τοῦτο λέγουσιν, ἀλλὰ λέγουσι μὲν κενὸν εἶναι, ἐν ᾧ μηδέν ἐστι σῶμα. ἐπειδὴ δὲ σῶμα πᾶν ἁπτόν ἐστιν, ἁπτὸν δέ φησιν εἶναι τὸ ἔχον βάρος ἢ κουφότητα, ἐκ τῶν παρ' αὐτῶν λεγομένων συνήγαγεν, ὅτι συμβαίνει αὐτοῖς ἐξ ὧν λέγουσι, κενὸν εἶναι τὸ μὴ ἔχον βαρύ τι σῶμα, ἢ κοῦφον.

» ΑΤΟΠΟΝ δὲ, εἰ ἡ στιγμὴ κενόν.

Εἰπὼν, ὅτι λέγουσι κενὸν εἶναι τόπον, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον, ἐλέγχει τὸν ὅρον. λέγων, ὅτι οὕτως ἂν καὶ ἡ στιγμὴ κενὸν εἴη. ἐφαρμόζει γὰρ καὶ ἐπ' αὐτῆς ὁ ὅρος. οὐδὲν γάρ ἐστιν ἐν αὐτῇ, οὔτε βαρὺ, οὔτε κοῦφον.

» ΔΕΙ γὰρ τόπον εἶναι, ἐν ᾧ σώματός ἐστι διάστημα ἁπτοῦ.

Ἀντὶ τοῦ, δεῖ γὰρ οὕτως ὁρίσασθαι, ὅτι τόπος ἐστὶ διάστημα σώματος ἁπτοῦ. ἁπτὸν δὲ, τὸ ἔχον βάρος, ἢ κουφότητα. ὥστε ὁ τόπος ἂν εἴη διάστημα δεκτικὸν βαρέος ἢ κούφου.

» ΑΛΛ' οὖν φαίνεται λέγεσθαι τὸ κενὸν, ἕνα μὲν τρόπον, τὸ μὴ πλῆρες αἰσθητοῦ σώματος κατὰ τὴν
» ἁφήν. αἰσθητὸν δὲ κατὰ τὴν ἁφὴν τὸ βάρος ἔχον καὶ κουφότητα.

Τινὰ τὸ πλῆρες ἔχει. καὶ εἰ πλῆρες, πῶς κενόν. πλῆρες οὖν ἀντὶ τοῦ πληροῦται, καὶ δεκτικόν ἐστιν αἰσθητοῦ σώματος κατὰ τὴν ἁφήν.

» ΔΙΟ κἂν ἀπορήσειέ τις, τί ἂν φαῖεν, εἰ ἔχει τὸ διάστημα χρῶμα, ἢ ψόφον, πότερον κενὸν ἢ οὔ.

Ὅτι κἂν οὕτως ὁρίσωνται, οὐδὲν ἧττον τὸ ἄτοπον ἐκφεύγουσιν. εἰ γὰρ τὸ διάστημα τοῦτο φησι, χρῶμα ἔχει ἢ ψόφον, δίχα βάρους καὶ κουφότητος, τί ἐροῦσι κενὸν εἶναι τὸ τοιοῦτον διάστημα, ἢ οὔ; οὐκ ἀδύνατος δὲ ἡ ὑπόθεσις. τὸ γὰρ οὐράνιον σῶμα τοιοῦτον. κέχρωσται γὰρ, καὶ ψόφον ἀποτελεῖ κατὰ τοὺς πυθαγορείους κινούμενον. βάρους δὲ καὶ κουφότητος ἐστέρηται.

» Η δῆλον ὅτι, εἰ μὲν δέχοιτο σῶμα ἁπτὸν, κενόν. εἰ δὲ μὴ οὔ.

Ἐροῦσί φησι πρὸς τὸν λόγον τοῦτον, ὅτι εἰ μὲν κενὸν τοῦτο λέγεις, τὸ κεχωρισμένον ἁπτοῦ σώματος, τουτέστι τὸ ἄπειρον βαρέος καὶ κούφου, καὶ ἄλλο τι σῶμα ἔχον, δῆλον ὅτι κενὸν ἔσται. πλῆρες γὰρ τοῦτο φαμὲν, τὸ ἔχον βάρος ἢ κουφότητα. εἰ δὲ κενὸν ἐρεῖς, ἐν ᾧ μηδέν ἐστιν ὅλως, οὐκ ἂν εἴη τὸ τοιοῦτον κενόν. τὸ δὲ συμβαῖνον ἑκατέρῳ, εἴπομεν. ἢ γὰρ ὁ ὁρισμὸς τοῦ κενοῦ ἐλέγχεται, ἢ τὸ αὐτὸ πλῆρες ἔσται καὶ κενόν.

» ΑΛΛΟΝ δὲ τρόπον, ἐν ᾧ μὴ τόδε τι μηδ' οὐσία τις σωματική. διό φασί τινες εἶναι τὸ κενὸν
» τὴν τοῦ σώματος ὕλην. οἵπερ καὶ τόπον τὸ αὐτὸ τοῦτο λέγοντες, οὐ καλῶς. ἡ μὲν γὰρ ὕλη οὐ χωριστὴ τῶν
» πραγμάτων. τὸ δὲ κενὸν, ζητοῦσιν ὡς χωριστόν.

Ὅτι κατ' ἄλλον τρόπον ὁρίζονται τὸ κενὸν, διάστημα ἐν ᾧ μηδέν ἐστι μήτε σῶμα, μήτε σωματικόν τι. οἷον ποιότης, ἢ δύναμις, ἤ τι ἄλλο τῶν φυσικῶν. οὕτω δέ φησι καὶ τὴν ὕλην κενὸν λέγουσι καὶ τόπον. ἐπεὶ δὴ οὐδέν ἐστιν ἐνέργεια τῶν φυσικῶν σωμάτων. ὕλην δὲ δηλονότι, οὐ τὴν πρώτην, ἀλλὰ τὴν πεποσωμένην. ὅτι δὲ οὐ ταυτόν ἐστιν ἡ ὕλη τῷ τόπῳ ἢ τῷ κενῷ, πολλάκις δέδεικται:·

» ΕΠΕΙ δὲ καὶ περὶ τοῦ τόπου διώρισται, καὶ τὸ κενὸν, τόπον ἀνάγκη εἶναι, εἰ ἔστιν ἐστερημένον
» σώματος. τόπος δὲ καὶ πῶς ἐστι καὶ πῶς οὐκ ἔστιν, εἴρηται. φανερὸν οὖν ὅτι οὕτω μὲν κενὸν,
» οὐκ ἔστιν.

Ἐντεῦθεν λοιπὸν δείκνυσιν, ὅτι οὐκ ἔστι τὸ κενὸν, οὔτε κεχωρισμένον, οὔτε ἀχώριστον. πρῶτον δέ φησιν, ὅτι οἷς ἀπεδείξαμεν τὸν τόπον μὴ εἶναι διάστημα, τούτοις δείκνυμεν, ὅτι οὐδὲ κενόν ἐστιν. οὐδὲν γὰρ διαφέρει οὗτος ὁ τόπος τοῦ κενοῦ, εἰ μὴ ἐπινοίᾳ μόνον καὶ σχέσει. ἐπεὶ τῷ γε ὑποκειμένῳ, τὰ αὐτά ἐστιν. ἐδείξαμεν δέ φησιν, ὅτι ὁ τόπος, ὡς μὲν πέρας, ἐστίν. ὡς δὲ διάστημά τι αὐτὸ καθ' αὑτὸ ἕτερον τῶν ἐμπεριεχομένων σωμάτων, οὐκ ἔστιν. οὐδέ τι ἄρα κενὸν ἂν εἴη.

» ΟΥΤΕ κεχωρισμένον, οὔτε ἀχώριστον.

Κεχωρισμένον μὲν οἷον αὐτὸ καθ' αὑτὸ, πάντη σώματος ἐστερημένον. οἷον τὸ ἔξω τοῦ οὐρανοῦ τινες ἔλεγον. ἀχώριστον δὲ, ἤτοι τὸ κατακεκερματισμένον ἐν τοῖς σώμασιν. οἷον οἱ τὰς ἀτόμους ὑποτιθέμενοι εἶναι ἔλεγον. οὗ τῇ παρεμπλοκῇ πρὸς τὰς ἀτόμους, συνίστασθαι τὰ σώματα. ἢ ὅπερ καὶ μᾶλλον, ὅτι οὐδὲ τοιοῦτον κενόν ἐστιν, ὅπερ ἰδίαν μὲν ἔχει φύσιν, διάστημα ὂν τριχῇ διαστατὸν, ἕτερον παρὰ τὰ σώματα, ἀεὶ δὲ πλῆρές ἐστιν. ἀλλ' εἰ ἐδείξαμεν καὶ ἡμεῖς, ὅτι ὁ τόπος ἐστὶ τοιοῦτος, τριχῇ ὢν διαστατὸς καθ' αὑτὸν, ἔστι δὲ τὸ κενὸν ταυτὸν τῷ τόπῳ κατὰ τὸ ὑποκείμενον, δῆλον ὅτι ἐστὶ τὸ οὕτως ἀχώριστον κενὸν, ὃ καθ' αὑτὸ μὲν οὐδέποτέ ἐστι κεχωρισμένον σώματος, ἀλλ' ἀεὶ πλῆρές ἐστιν, ἑτέραν μέντοι τὴν ὕπαρξιν ἔχει παρὰ τὰ ἐν αὐτῷ σώματα.

» ΤΟ γὰρ κενὸν, οὐ σῶμα, ἀλλὰ σώματος διάστημα βούλεται εἶναι.

Ἐπειδὴ τὸ κενὸν διάστημά φησιν ἐστὶ σώματος, τουτέστι δεκτικὸν σώματος, τοιοῦτον δέ ἐστι καὶ ὁ τόπος κατὰ τοὺς τὸ διάστημα τὸν τόπον ἡγουμένους εἶναι, δέδεικται δὲ ὅτι τὸ διάστημα τοῦ τό-

φθέγξονται. ἃς ἕτερον δὲ ἀσαφέστερον ἐμπεσεῖν ὦντο. ὃ γὰρ τὸ διάστημα τοῦτό φησι, βάρος μὲν ἢ κουφότητα μὴ ἔχοι, χρῶμα δὲ ἔχοι ἢ ψόφον, τουτέστι σῶμα εἴη κεχρωσμένον, ἢ ψοφητικὸν, μήτε δὲ βάρος ἔχον, μήτε κουφότητα, οἷόν ἐστι τὸ οὐράνιον, τί ἐροῦσι, πότερον κενὸν εἶναι τὸ τοιοῦτον, ἢ οὔ. ἔπειτα ἀπολογούμενος ὑπὲρ αὐτῶν, φησὶν, ὅτι ἴσως ἂν εἴποιεν, ὅτι εἰ μὲν τοῦτό ἐστι κενὸν, τὸ δεκτικὸν βαρέος καὶ κούφου, κἂν ἄλλου τινὸς σώματος πλῆρες ᾖ, αὐτό ἐστι κενόν. εἰ δὲ ἁπλῶς τὸ δεκτικὸν μὲν τοῦ τυχόντος σώματος, μήπω δὲ μηδὲν ἔχον σῶμα, οὐ κενὸν τὸ τοιοῦτον, ἀλλὰ πλῆρες. ἀλλ' εἴτε πλῆρες εἴτε κενὸν τὸ τοιοῦτον ἐροῦσιν, ἄτοπον. συμβήσεται γὰρ τὸ αὐτὸ καὶ κενὸν εἶναι καὶ πλῆρες. κενὸν μὲν γὰρ ἔσται, εἰ κενόν ἐστι, τὸ μηδὲν ἔχον βαρὺ ἢ κοῦφον σῶμα. πλῆρες δὲ πάλιν ἔσται, ἐπειδὴ τοῦτο σωματικόν ἐστιν ὡς ὑπόκειται, ἢ χρώματος ἢ ψόφου μετέχον. καὶ ἕτερον δέξασθαι οὐ δύναται. εἴη γὰρ ἂν δύο σώματα ἐν ταυτῷ. εἴη ἂν οὖν τὸ αὐτὸ καὶ πλῆρες καὶ κενόν. καὶ τὸν ὅρον τοῦ κενοῦ τὸν παρ' αὐτῶν ἀποδοθέντα ἀνῃρήσουσι, διάστημα λέγοντες, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. καθ' ἕνα μὲν οὖν τρόπον φησὶν, οὕτως ὁρίζονται τὸ κενόν. διάστημα ἐν ᾧ μηδέν ἐστι σῶμα ἁπτόν. ἁπτὸν δὲ, τὸ βάρος ἔχον, ἢ κουφότητα. ἕτεροι δέ φησιν ἄλλον τρόπον ὁρίζονται τὸ κενὸν, ἵνα ταῦτα ἐκφύγωσι τὰ ἄτοπα. λέγοντες εἶναι διάστημα, ἐν ᾧ μηδέν ἐστιν ὅλως σῶμα, μηδὲ φύσις τις σωματική. οἱ αὐτοὶ δὲ οὗτοί φασι, καὶ τὴν ὕλην τὸ κενὸν λέγουσιν. αὕτη γὰρ οὐδέν ἐστιν ἐνεργείᾳ σῶμα. οἱ δὲ αὐτοὶ οὗτοι, καὶ τόπον τὴν ὕλην φασί. τὸ μὲν οὖν τὴν ὕλην, κενὸν λέγειν ἢ τόπον, πάνυ γελοῖον. ἡ μὲν γὰρ ὕλη φησὶν, χωριστή οὐκ ἔστι τῶν πραγμάτων, τὸ δὲ κενόν φασιν, ὡς χωριστὸν ὂν τῶν πραγμάτων, οὕτω λέγουσιν εἶναι οἱ λέγοντες καὶ κατ' ἐνέργειαν καθ' αὑτὸ πεφυκὸς ὑφίστασθαι. τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ τόπου εἴπομεν. καὶ ὅτι ὁ τόπος μὲν καὶ τὸ κενὸν, οὐδέν ἐστι τοῦ πράγματος τοῦ ἐν αὐτῷ. ἡ ὕλη δὲ, στοιχεῖόν ἐστι τοῦ πράγματος. καὶ ὅσα ἄλλα εἴρηται ἐν τοῖς ἔμπροσθεν. καὶ ὅτι μὲν οὐκ ἔστι τὸ κενὸν διάστημά τι, ἐν ᾧ μηδέν ἐστιν ὅλως σῶμα, ὥσπερ ἀρτίως εἴρηται, δείκνυσι τουντεῦθεν. κέχρηται δὲ εἰς αὐτὸ, [illegible] τοῦ κενοῦ, τοῖς προαποδεδειγμένοις περὶ τοῦ τόπου. ἐπειδὴ γάρ φησιν οἱ λέγοντες εἶναι τὸ κενὸν, οὐδὲν ἕτερον αὐτὸ λέγουσιν εἶναι, ἢ τόπον διαστηματικὸν, ἐστερημένον σώματος, ἐδείχθη δὲ ἐν τοῖς περὶ τοῦ τόπου λόγοις, ὅτι τοιοῦτον εἶναι τὸν τόπον, διάστημα ὄντα ἕτερον τῶν σωμάτων καὶ χωριστὸν, ἀδύνατον· οὐδὲ τὸ κενὸν ἄρα ἐστί. τὸ γὰρ κενὸν καὶ ὁ τόπος, τοῖς οὕτως αὐτὸν τιθεμένοις, ἐπινοίᾳ μόνον ἀλλήλων διίστανται, ὥσπερ εἰρήκαμεν. καθὸ τὸν μὲν τόπον, ὅταν ἤδη δέξηται σῶμα, νοοῦμεν. τινὸς γὰρ ὁ τόπος. τὸ δὲ κενὸν, ὅταν μήπω δέξηται σῶμα. ἐπεί τό γε εἶναι διαστήμασιν ἑτέροις παρὰ τὰ σώματα, ἀμφοτέροις ὑπάρχει. καὶ γὰρ ἐκ τῶν αὐτῶν, ἐξ ὧν εἰς ὑπόνοιαν τοῦ εἶναι διάστημα τὸν τόπον ἦλθον, ἐκ τούτων καὶ εἰς τὴν τοῦ κενοῦ ὑπόνοιαν ἦλθον. ἡ γὰρ κατὰ τόπον κίνησις, εἴς τε τὴν τοῦ τόπου ὑπόνοιαν ἤγαγε. τῷ γὰρ ὁρᾶν τὰ κινούμενα ἄλλοτε ἄλλον κατέχοντα τόπον, καὶ ἐν τῷ αὐτῷ ἄλλοτε ἄλλα γινόμενα σώματα, εἰς ὑπόνοιαν ἦλθον τοῦ εἶναί τι διάστημα καθ' αὑτὸ ἄλλοτε ἄλλα δεχόμενον σώματα. ἐκ τῆς αὐτῆς δὲ πάλιν ὑπονοίας, καὶ τὸ κενὸν εἶναι τίθενται. ἐπεὶ γάρ ἐστι κίνησις φασὶ, καὶ σῶμα διὰ σώματος οὐ χωρεῖ, δεῖ κενὸν εἶναι, δι' οὗ χωρήσει τὸ κινούμενον. μήπω ἐπιστήσαντες τῇ ἀντιπεριστάσει τῶν σωμάτων. ἐπεὶ οὖν φησι καὶ τὸ κενὸν καὶ ὁ τόπος, διαστηματικὸν, τὸ αὐτό τι εἶναι τῷ ὑποκειμένῳ, καὶ ἡ αὐτὴ αἰτία, εἰς τὴν ἔννοιαν αὐτῶν ἤγαγε. δι' ὧν οὖν λόγων φησὶν ἠλέγξαμεν, ὅτι οὐκ ἔστιν ὁ τόπος διάστημα, διὰ τῶν αὐτῶν δείξομεν, ὅτι οὐδὲ τὸ κενόν ἐστιν. εἰ γὰρ εἴη τοιοῦτόν τι κενὸν, ὅταν εἰσδέχηται σῶμα ἐν αὐτῷ, χωρήσουσι δι' ἀλλήλων εἰς τὰ διαστήματα, καὶ διαιρήσουσιν ἄλληλα εἰς ἄπειρα καὶ ὅσα ἄλλα ἐν τῷ λόγῳ τῷ περὶ τοῦ τόπου συνήγετο. οὐκοῦν καὶ ἡμεῖς δι' ὧν ἠλέγξαμεν τοὺς λόγους τοὺς αἱροῦντας διάστημα εἶναι τὸν τόπον, διὰ τούτων καὶ τοὺς αἱροῦντας τὸ οὕτω κενὸν, ὅσον ἐπὶ τῷ ἰδίῳ λόγῳ, ἠλέγξαμεν. οὕτω μὲν οὖν καὶ διὰ τῶν ἤδη εἰρημένων, ἐλέγχοιτ' ἂν τὸ κενόν. ἐπεὶ δὲ καὶ αἴτιον αὐτὸ κινήσεως εἶναι ὑπενόουν οἱ τιθέμενοι, αἴτιον δὲ ὡς χώραν τινὰ εἶναι ἐν ᾗ κινεῖται, βούλεται λοιπὸν ἐντεῦθεν δεῖξαι, ὅτι οὐδαμῇ οὐδαμῶς αἴτιόν ἐστι κινήσεως τὸ κενὸν, κατ' οὐδένα τῶν αἰτίων τρόπον. Πρὸς δὲ τὸ πότερως ἔχει. Ἐπειδὴ τοὺς ἐφ' ἑκάτερα λόγους ἔθηκε, τρέπεται λοιπὸν ἐπὶ τὴν τοῦ ἀληθοῦς ζήτησιν. καί φησιν, ὅτι πρὸς τὸ μαθεῖν, πότερως ἔχει, τουτέστιν εἴτε ἐστὶν, εἴτε μὴ ἔστι, δεῖ πρότερον μαθεῖν, τί σημαίνει τὸ τοῦ κενοῦ ὄνομα. πότερον ἕν τι, ἢ πλείονα. καὶ τίνα ταῦτα.

ΤΟΥΤΟΥ δ' αἴτιον, ὅτι τὸ ὂν σῶμα οἴονται εἶναι. πᾶν δὲ σῶμα, ἐν τόπῳ. κενὸν δὲ ἐν ᾧ τόπῳ μηδέν ἐστι σῶμα. ὥστ' εἴπου μή ἐστι σῶμα, οὐδὲν εἶναι ἐνταῦθα. σῶμα δὲ πάλιν ἅπαν οἴονται εἶναι ἁπτόν. τοιοῦτον δὲ, ὃ ἂν ἔχῃ βάρος ἢ κουφότητα. συμβαίνει οὖν ἐκ συλλογισμοῦ τοῦτο εἶναι κενὸν, ἐν ᾧ μηδέν ἐστι βαρύ τι ἢ κοῦφον. ταῦτα μὲν οὖν ὥσπερ εἴπομεν καὶ πρότερον, ἐκ συλλογισμοῦ συμβαίνει.

Διὰ τοῦτό φησι κενὸν λέγουσι τόπον, ἐν ᾧ μηδέν ἐστιν, ἐπειδὴ πᾶν τὸ ὂν σῶμα λέγουσιν εἶναι. ἐπεὶ οὖν κενόν ἐστιν, ἐν ᾧ μηδέν ἐστι σῶμα, πᾶν δὲ τὸ ὄν ἐστι σῶμα, κενόν ἐστιν ἐν ᾧ μηδέν ἐστι. συμβαίνει οὖν ἐκ συλλογισμοῦ, τὸ εἶναι κενὸν, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. εἰ γὰρ κενόν ἐστι τόπος, ἐν ᾧ μηδέν ἐστι, πᾶν δὲ τὸ ὂν σῶμά ἐστι, πᾶν δὲ τὸ ὂν σῶμα, ἁπτὸν, λέγω δὲ πᾶν

διὰ τί οὖν οὐ πάλιν καὶ ἄλλο, καὶ αὖθις ἄλλο· καὶ οὕτως ἔσται ἐν τῷ σμικροτάτῳ τὸ μέγιστον. δυνατὸν γὰρ κατατεμεῖν τὸ μέγιστον εἰς πολλὰ ἴσα τῷ σμικροτάτῳ· ὥστε φησὶ, δυνατὸν πολλὰ ἴσα ἐν ταυτῷ εἶναι. οὐ μόνον δὲ, ἀλλὰ καὶ κινεῖσθαι· αὕτη δὲ, οὐκ ἄλλο ἦν δηλονότι. οὐ γὰρ τοῦτο συγχωρήσειν οἱ σῶμα λέγοντες χωρεῖν διὰ σώματος· ἀλλ᾽ ὅτι δύναται τὸ αὐτὸ εἰς ἴσα κατατμηθῆναι.

» ΜΕΛΙΣΣΟΣ μὲν οὖν καὶ δείκνυσιν ὅτι τὸ πᾶν ἀκίνητον, ἐκ τούτων. εἰ γὰρ κινήσεται, ἀνάγκη
» εἶναί φησι κενόν. τὸ δὲ κενὸν, οὐ τῶν ὄντων. ἕνα μὲν οὖν τρόπον δεικνύουσιν ἐκ τούτων ὅτι οὐκ ἔστι τι κε-
» νόν. ἄλλον δ᾽, ὅτι φαίνονται ἔνια συνιόντα καὶ πιλούμενα· οἷον καὶ τὸν οἶνόν φασι μετὰ τῶν ἀσκῶν δέ-
» χεσθαι τοὺς πίθους· ὡς εἰς τὰ ἐνόντα κενὰ συνιόντος τοῦ πυκνουμένου σώματος.

Ὅτι ἀνάγκη κινήσεως οὔσης κενὸν εἶναι, καὶ ἐκ τῆς μελισσίου δόξης κατασκευάζει. κἀκεῖνος οὖν ἄξας τῷ λόγῳ τῷ ἀναιροῦντι τὸ κενόν, εὐθὺς καὶ τὴν κίνησιν ἀνεῖλεν. ἤγουν βουληθεὶς ἀκίνητον εἶναι τὸ πᾶν, τῇ κινήσει καὶ τὸ κενὸν συνανεῖλεν, ὡς δὴ τῇ τῆς κινήσεως ἐννοίᾳ εὐθὺς καὶ τοῦ κενοῦ συνεισαγομένου. καὶ ἔμπαλιν, τῇ ἀναιρέσει τοῦ κενοῦ συναναιρουμένης καὶ τῆς κινήσεως. ἀλλ᾽ ὁ μὲν μέλισσος, φανερὰν οὖσαν τὴν κίνησιν ἀνεῖλε, διὰ τοῦ δόξασθαι τὸ ἀφανές. λέγω δὴ τὸ μὴ εἶναι κενόν. πολλῷ οὖν εὐλογώτερον τῷ φανερῷ πειθομένους, ἐκ τούτου τὸ ἀφανὲς συλλογίσασθαι.

» ΕΤΙ δὲ καὶ ἡ αὔξησις δοκεῖ γίνεσθαι πᾶσι διὰ κενοῦ. τὴν μὲν γὰρ τροφὴν εἶναι σῶμα, δύο δὲ σώματα
» ἀδύνατον ἅμα εἶναι. μαρτύριον δὲ καὶ τὸ περὶ τῆς τέφρας ποιοῦνται· ἣ δέχεται τοσοῦτον ὕδωρ, ὅ-
» σον τὸ ἀγγεῖον τὸ κενόν. εἶναι δ᾽ ἔφασαν καὶ οἱ πυθαγόρειοι κενόν.

Τέταρτον ἐπιχείρημα, τὸ ἀπὸ τῆς αὐξήσεως. ἔστι δὲ ἡ αὔξησις, κίνησις κατὰ τὸ μέρος. εἰ γὰρ ἡ αὔξησις γίνεται προστιθεμένης τῷ αὐξομένῳ τῆς τροφῆς, ἔστι δὲ ἡ τροφὴ σῶμα, αὔξεται δὲ ὅλον δι᾽ ὅλου τὸ σῶμα, ἀδύνατον δὲ ὅλως προσχωρῆσαι τῷ σώματι τὴν τροφὴν, ἔσται γὰρ σῶμα ἐν σώματι, ἀνάγκη ἄρα κενά τινα εἶναι ἐν τῷ σώματι, εἰς ἃ χωρεῖ ἡ τροφή.

» ΚΑΙ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ, ἐκ τοῦ ἀπείρου πνεύματος, ὡς ἂν ἀναπνέοντι καὶ τὸ κενὸν, ὃ
» διορίζει τὰς φύσεις· ὡς ὄντος τοῦ κενοῦ, χωρισμοῦ τινὸς τῶν ἐφεξῆς καὶ τῆς διορίσεως. καὶ τοῦτ᾽ εἶναι
» πρῶτον ἐν τοῖς ἀριθμοῖς. τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν. ἐξ ὧν μὲν οὖν οἱ μέν φασιν εἶναι, οἱ δ᾽ οὔ
» φασι, σχεδὸν τοσαῦτα καὶ τοιαῦτά ἐστι.

Ἔνιοι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρόν τι κενὸν οἱ ὑποτιθέμενοι, τοῦτο αὐτὸ καὶ πνεῦμα ἐκάλουν· ὡς ἐκ παραλλήλου τοῦ αὐτοῦ καὶ κενοῦ καὶ πνεύματος λεγομένου. τοῦτο οὖν τὸ κενόν φασιν ἐκ τῶν ἔξω τοῦ οὐρανοῦ ἐπεισιέναι τῷ οὐρανῷ· ὡς δὴ τοῦ οὐρανοῦ, τὸ κενὸν ἀναπνέοντος. ἀναπνεῖν δὲ τὸν οὐρανὸν τοῦτο, εἰς διάκρισιν τῶν φύσεων· ὡς δή φασι τοῦ κενοῦ, αἰτίου ὄντος τῆς διακρίσεως τοῖς πράγμασιν. ἐν τῷ ε δὲ τῆσδε τῆς πραγματείας ὁρίζεται τὰ ἐφεξῆς εἶναι, ὧν μηδέν ἐστι μεταξὺ συγγενές. τοῖς οὖν ἐφεξῆς φησι, τοῦ μὴ εἶναι συνεχέσι, ἀλλὰ κεχωρισμένοις, αἴτιον τὸ κενόν. χωρισμὸς γάρ τίς ἐστιν αὐτῶν καὶ διάκρισις, τὸ κενὸν, καὶ τῆς διορίσεως αὐτῶν αἴτιον.

» ΠΡΟΣ δὲ τὸ, ποτέρως ἔχει, δεῖ λαβεῖν, τί σημαίνει τοὔνομα. δοκεῖ δὴ τὸ κενὸν τόπος εἶναι, ἐν ᾧ
» δὲ μηδέν ἐστι. …

Αὐτὸς ἐν τῇ ἀποδεικτικῇ εἶπεν, ὅτι ὅταν περί τινος σημαινομένου ὁμωνύμου φωνῆς ποιώμεθα τὸν λόγον, δεῖ διαστέλλεσθαι πρότερον τὰ διάφορα σημαινόμενα τῆς φωνῆς· εἶτα ἀφορίζειν, περὶ ποίου αὐτῶν ἡμῖν ἐστιν ὁ λόγος· καὶ μετὰ ταῦτα λοιπὸν ἀκολούθως τοῖς προβλήμασι προσιέναι πρῶτον ζητοῦντας, εἰ ἔστι τοιοῦτόν τι πρᾶγμα οἷον ὑπὸ τῆς φωνῆς σημαίνεται, ἔπειτα τί ἐστιν, εἶτα ὁποῖόν τί ἐστιν, εἶτα διὰ τί ἐστιν. οἷον εἰ περὶ φαγκλάφου ὁ λόγος ἦν, πρότερον ζητήσομεν, τί ποτε σημαίνεται ὑπὸ τῆς φωνῆς ταύτης, καὶ εἰ πλείω τὰ σημαινόμενα, περὶ ποίου αὐτῶν ἐστιν ὁ λόγος. εἶτα εὑρόντες, ἐφεξῆς ζητοῦμεν, εἰ ἔστι τοιοῦτόν τι πρᾶγμα, οἷον ὑπὸ τῆς φωνῆς σημαίνεται. καὶ τὰ λοιπὰ ἀκολούθως. οὕτως οὖν καὶ ἐνταῦθα ὁ ἀριστοτέλης τοὺς ἐφ᾽ ἑκάτερα λόγους θεὶς, τῶν τε δοξαζόντων κατασκευάζειν ὅτι ἔστι τὸ κενὸν, καὶ τῶν ἀναιρούντων, φανερὸς ἐστὶ τὸ ἐκθέσθαι τὴν ἀληθῆ δόξαν, ζητεῖ τί σημαίνει τοὔνομα τοῦ κενοῦ. ἔοικε γὰρ οὐκ εἶναι ἁπλοῦν τι. φέρεται γὰρ καὶ ἐπὶ τῆς ὕλης, ὡς αὐτὸς προϊὼν ἐρεῖ. οἱ μὲν οὖν φασι λέγουσι κενὸν εἶναι, ἐν ᾧ μηδέν ἐστι. πᾶν γὰρ τὸ ὄν φασι, σῶμα ὑπολαμβάνουσιν εἶναι. ὥστε ἐν ᾧ μηδέν ἐστι σῶμα, τοῦτο κενὸν εἶναί φασι. πᾶν δὲ σῶμα, ἁπτὸν εἶναί φασι. πᾶν δὲ ἁπτὸν, βάρος ἔχειν ἢ κουφότητα. ὥστε ἐκ συλλογισμοῦ φησι συμβαίνει αὐτοῖς λέγειν, κενὸν εἶναι ἐν ᾧ μηδέν ἐστι βαρὺ, ἢ κοῦφον. ἀλλ᾽ εἰ τοῦτό ἐστι φησὶ κενὸν, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον, καὶ ἡ στιγμὴ κενὸν ἂν εἴη. ἐπεὶ γὰρ ἐν αὐτῷ μηδέν ἐστι βαρὺ ἢ κοῦφον, καὶ αὐτὴ ἂν κενὸν εἴη. ἄτοπον δὲ τὸ τὴν στιγμὴν κενὸν λέγειν. τοῦτο δὲ συμβαίνει αὐτοῖς τὸ ἄτοπον, διὰ τὸ μὴ προσθεῖναι, ὅτι κενὸν λέγομεν, διάστημα ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον. κἂν γὰρ τὸν τόπον προστιθέασι, λέγοντες, ὅτι κενόν ἐστι τόπος, ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον, οὐδὲν ἀνύουσιν, ἕως ἂν μὴ ὁρίζωσιν, εἰ τοιοῦτον λέγουσι τὸν τόπον ἐν ᾧ διάστημα, δεκτικὸν βαρέος καὶ κούφου. ἀλλὰ κἂν οὕτω φησὶ τὸ κενὸν ὁρίσωνται, ὅτι διάστημα ἐν ᾧ μηδέν ἐστι βαρὺ ἢ κοῦφον, ἤτοι διάστημα δεκτικὸν βαρέος καὶ κούφου, τὴν μὲν στιγμὴν κενὸν λέγειν οὗτοι ἀπο-

ἔχει. καὶ γὰρ περὶ τραγελάφου, καίπερ οὐκ ὄντος ἐν ὑποστάσει, ὅμως ζητήσαι τις, τί ποτε ἡ φαντασία περὶ αὐτοῦ ὑπονοεῖ.

ΚΑΙ ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις.

Κλεψύδρας δὲ λέγει, ἤτοι τὰ παρὰ τοῖς μηχανικοῖς, δι' ὧν τοὺς συριγμοὺς ἀποτελοῦσι, καὶ τὰς ἄλλας ποιὰς φωνάς· ἢ ὅπερ καὶ μᾶλλον, κλεψύδρας φησὶν ὅπερ ἤδη εἶπον ἀγγεῖον ὃ καλοῦσιν οἱ πολλοὶ ἁρπάγιον· τοῦτο γὰρ, στενὸν μὲν ἔχει τὸ στόμα· τὸ δὲ ὑποκάτωθεν, στενοτάταις ὀπαῖς τετρημμένον. τὸ δὲ ἐναπολαμβάνοντες, ἤτοι τὸ πνεῦμα ἐναπολαμβάνοντες, διὰ τὸ φράξαι τὸ στόμα· ὅταν γὰρ κενοῦ ὄντος τοῦ ἀγγείου ὕδατος, ἀποφράξαντες τὸ στόμα, καθίωμεν εἰς ὕδωρ, οὐ πληροῦται ὕδατος, τοῦ πνεύματος ἐναπειλημμένου, διὰ τὴν εἰρημένην αἰτίαν· ἢ γὰρ οὐδὲν ὅλως δέχεται, ἢ πάνυ βραχύ· ὅταν δὲ πλῆρες τὸ ὕδατος, ἐναπολαμβάνοντες τὸ ὕδωρ τῷ αὐτῷ τρόπῳ, δεικνύουσιν ὅτι ἔστιν ὁ ἀήρ· εἰ μὴ γὰρ ἦν, τί δήποτε ἀποφράττοντες μὲν τὴν τοῦ ἀέρος εἴσοδον, κωλύομεν τὴν τοῦ ὕδατος ἔξοδον· ἀνοίξαντες δὲ, δίδομεν καὶ τῷ ὕδατι πάροδον· τοῦτο γὰρ δι' οὐδὲν ἕτερον συμβαίνει, ἢ διὰ τὸ μὴ ἐνδέχεσθαι κενὸν εἶναι. ὅταν οὖν δῶμεν τῷ ἀέρι πάροδον, ὡς ἂν ἀναπληρώσῃ τὸν τόπον τοῦ ἐξιόντος ὕδατος, τότε ἔξεισι τὸ ὕδωρ· ὥστε δι' ἀμφοτέρων δείκνυται, ὅτι ἔστιν ὁ ἀήρ· εὐλογώτερον δὲ, τὸ ἐναπολαμβάνοντες, τὸν ἀέρα μᾶλλον ἀκούειν, ἢ τὸ ὕδωρ· ἐβούλοντο γὰρ δεῖξαι, οὐχ ὅτι οὐκ ἔστι κενόν τι διάστημα· ἀλλ' ἔστι τι ὁ ἀήρ· διὰ τοῦτο γὰρ καὶ ἐγκαλεῖ αὐτοῖς ὁ ἀριστοτέλης. διὰ δὲ τοῦ προτέρου μᾶλλον δείκνυται, ὅτι ἔστι τι ὁ ἀήρ.

ΟΙ δὲ ἄνθρωποι βούλονται κενὸν εἶναι διάστημα, ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητόν· οἰόμενοι δὲ τὸ ὂν ἅπαν εἶναι σῶμα, φασὶν ἐν ᾧ ὅλως μηδέν ἐστι, τοῦτ' εἶναι κενόν· διὸ τὸ πλῆρες ἀέρος, κενὸν εἶναι. οὔκουν τοῦτο δεῖ δεικνύναι ὅτι ἔστι τι ὁ ἀήρ.

Ἐπειδὴ κενὸν εἶναι νομίζουσι τὸ ἐστερημένον αἰσθητοῦ σώματος, αἰσθητοῦ δὲ εἶπε διὰ τὸ μαθηματικόν, τοιοῦτον δέ ἐστι καὶ τὸ κενόν, τριχῇ διαστατὸν, ἄποιον· ἐπεὶ οὖν κενὸν λέγουσι τὸ ἐστερημένον αἰσθητοῦ σώματος, πᾶν δὲ τὸ ὂν σῶμα λέγουσιν εἶναι, τὸ γὰρ μὴ ὂν σῶμα οὐδὲ εἶναι, διὰ τοῦτό φησιν, ὅτι κενόν ἐστιν ἐν ᾧ μηδέν ἐστιν ὅλως· ἐπεὶ οὖν οὐκ ἐναργεῖς ἔχει τὰς αἰσθητὰς ποιότητας ὁ ἀήρ, διὰ τοῦτο οὐδὲ εἶναί τι αὐτόν φασιν, ἀλλὰ κενὸν εἶναι τὸ τοῦ ἀέρος διάστημα.

ΑΛΛ' ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων, οὔτε χωριστὸν, οὔτε ἐνεργείᾳ ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα, ὥστ' εἶναι μὴ συνεχές, καθάπερ λέγουσι δημόκριτος καὶ λεύκιππος καὶ ἕτεροι πολλοὶ τῶν φυσιολόγων, ἢ καὶ εἴ τι ἔξω τοῦ παντὸς σώματός ἐστιν ὄντος συνεχοῦς. οὗτοι μὲν οὖν οὐ κατὰ θύρας πρὸς τὸ πρόβλημα ἀπαντῶσιν.

Χωριστὸν μὲν, ἀντὶ τοῦ δυνάμενον χωρισθῆναι, λέγω δὴ διάστημα ἔχον μὲν σῶμα, δυνάμενον δὲ χωρισθῆναι, καὶ εἶναι κενὸν καθ' αὑτό· ἐνεργείᾳ δὲ, διάστημα κενὸν σώματος. καὶ τοῦτο, ἤτοι κατεσπαρμένον ἐν τοῖς σώμασι, καὶ κωλύον αὐτὰ συνεχῆ εἶναι, ὥσπερ ἔλεγον οἱ περὶ δημόκριτον καὶ λεύκιππον, ἢ μὴ κατεσπάρθαι μὲν ἐν τοῖς σώμασιν, ἀλλ' εἶναι συνεχῆ· ἔξω δὲ τοῦ οὐρανοῦ εἶναί τι κενὸν καθ' αὑτό, ὥσπερ μάλιστα καὶ ἡ τῶν πολλῶν ἔχει φαντασία, ἄπειρόν τι νομίζουσα εἶναι κενὸν ἔξω τοῦ οὐρανοῦ. καὶ οἱ πυθαγόρειοι δὲ οὕτως ἔλεγον, ὡς ἤδη εἶπε. φασὶ δὲ καὶ τοὺς περὶ ζήνωνα τὸν κιτιέα οὕτω δοξάζειν.

ΑΛΛ' οἱ φάσκοντες εἶναι, μᾶλλον.

κοὶν, ὅτι πιθανώτερα λέγουσιν, οἱ φάσκοντες εἶναι τὸ κενὸν, ἢ οἱ πρὸς ταύτην ἐνστάντες τὴν δόξαν· ὧν καὶ ἀναξαγόρας ὑπῆρχε.

ΛΕΓΟΥΣΙ δὲ ἓν μὲν, ὅτι ἡ κίνησις ἡ κατὰ τόπον, οὐκ ἂν εἴη· αὕτη δ' ἐστὶ φορὰ καὶ αὔξησις· οὐ γὰρ ἂν δοκεῖν εἶναι κίνησιν, εἰ μὴ ἦν κενόν· τὸ γὰρ πλῆρες ἀδύνατον εἶναι δέξασθαι· εἰ δὲ δέξαιτο καὶ ἔσται δύο ἐν ταὐτῷ, ἐνδέχοιτ' ἂν καὶ ὁποσαοῦν ἅμα εἶναι σώματα.

Εἰπὼν τοὺς λόγους, τοὺς δοκοῦντας ἀναιρεῖν τὸ κενὸν, καὶ διελέγξας τοὺς οὐ κατὰ θύρας τὴν ἀπάντησιν πεποιημένους, τίθησι νῦν καὶ τοὺς κατασκευάζοντας ὅτι ἔστι τὸ κενόν. καὶ πρῶτός γε ἐστὶν ὁ ἀπὸ τῆς κατὰ τόπον κινήσεως. ταύτης δὲ διττῆς οὔσης, τῆς μὲν καθ' ὅλα, τῆς δὲ κατὰ μέρη, ἀφ' ἑκατέρας κινήσεως τὴν πίστιν ἐπάγουσι. καὶ γίνεται δύο τὰ ἀπὸ τῆς κινήσεως ἐπιχειρήματα. πρῶτον μὲν ἐκ τῆς καθ' ὅλα κινήσεως ἐπιχειρεῖ.

ΤΗΝ γὰρ διαφορὰν δι' ἣν οὐκ ἂν εἴη τὸ λεχθέν, οὐκ ἔστιν ἀποδοῦναι. εἰ δὲ τοῦτο ἐνδέχεται, καὶ τὸ μικρότατον δέξεται τὸ μέγιστον· πολλὰ γὰρ τὰ μικρὰ τὸ μέγα ἐστίν· ὥστ' εἰ πολλὰ ἴσα ἐνδέχεται ἐν ταὐτῷ εἶναι, καὶ πολλὰ ἄνισα.

Ἐπειδὴ εἶπεν, ὅτι εἰ δύο σώματα ἐν τῷ αὐτῷ εἴη, ἐνδέχεται καὶ ὁποσαοῦν ἅμα, τοῦτο κατασκευάζων ἐπάγει γε, τὸ προκείμενον ἀναπληρωτικόν φησιν ἐστὶ, τὸ δύο μὲν λέγειν ἐν ταὐτῷ ἐνδέχεσθαι εἶναι σώματα, πλείονα δὲ ἢ ἄπειρα μὴ ἐνδέχεσθαι· τίνα γὰρ τούτου διαφορὰν ἀποδώσουσι τοῦ δύο μὲν δύνασθαι, πλείονα δὲ μή· οὐδὲν γὰρ μᾶλλον νῦν ἐστὶ πλῆρες, ὅτι διπλοῦν γέγονεν, ἢ πρότερον ἡνίκα μόνον ὑπῆρχεν· ὁμοίως γὰρ ἦν συνεχὲς, καὶ ὁμοίως μεστὸν καὶ πρὸ τούτου· ἀλλ' ὅμως ἐδέξατο καὶ ἄλλο,

καὶ τὸ ἐπὶ τοῦ οἴνου συμβαῖνον. ὁ γὰρ αὐτὸς πίθος φησὶν, ὅσον ἐδέξατο καὶ δ' αὐτὸν οἶνον, πεσοῦτον ἐν ἀσκοῖς ὁ βληθέντα μετὰ τῶν ἀσκοῦ χωρήσει. ὅπερ οὐκ ἂν συνέβη φασὶν, εἰ μὴ κενὰ ἦν μεταξὺ τοῦ οἴνου, εἰς ἃ πιλούμενος ὁ οἶνος, εἰς ἐλάττονα συνεστάλη ὄγκον. τοῦτο δὲ ἐπὶ τῆς τέφρας μόνον συμβαίνει οὐ μὴν ἐπὶ παντὸς οἴνου. ὅθεν καὶ ἡ αἰτία δήλη ἐροῦμεν δὲ πλατύτερον ἐν τοῖς ἐφεξῆς, ἡνίκα αὐτὸς τὴν ἀπορίαν ἐπιλύεται. Τέταρτον ἐπιχείρημα, ἐκ παραδείγματος, τοῦ ἐπὶ τῆς τέφρας καὶ τοῦ ὕδατος συμβαίνοντος. εἰ γὰρ πληρώσαις ποτήριον ὕδατος, εἶτα τὸ ὕδωρ εἰς ἕτερον μεταβάλοις ἀγγεῖον καὶ πληρώσαις τὸ ποτήριον τέφρας, εἶτα ἐγχέαις ἐν αὐτῷ τὸ ὕδωρ, δέξεται τὸ ποτήριον ὅλον τὸ ὕδωρ, ὅπερ ἦν πληρῶσαν αὐτὸ, καὶ πρὶν τὴν τέφραν δέξασθαι. ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ κενά τινα ἐνυπῆρχε μεταξὺ τῶν σωμάτων τούτων, τῆς τε τέφρας, καὶ τοῦ ὕδατος. Πέμπτον ἐπιχείρημα, ἀπὸ ἐνδόξων προσώπων. λέγω δὴ τῶν πυθαγορείων. καὶ γὰρ οὗτοί φασι τὸ κενὸν, ἔξω τοῦ κόσμου εἶναι, ἄπειρόν τι ὄν. ὅπερ ἀναπνεόμενον ὑπὸ τῶν τῇδε, ἐπεισιέναι τῷ οὐρανῷ, καὶ τὴν διάκρισιν ποιεῖσθαι τῶν πραγμάτων. οὐδὲν γὰρ ἄλλο εἶναι τῆς διακρίσεως αἴτιον, ἢ τὸ κενόν. εἰ μὴ γὰρ ἦν τοῦτο τὸ κωλῦον αὐτὰ μεταξὺ παρεμπίπτον μὴ συμπίπτειν ἀλλήλοις καὶ ἑνοῦσθαι, ἓν ἂν ἦν τὸ πᾶν καὶ συνεχές. εἰ τοίνυν διακέκριται ἀλλήλων τὰ πράγματα, ἡ δὲ διάκρισις ἐκ τῆς τοῦ κενοῦ παρεμπλοκῆς, ἔστιν ἄρα τὸ κενόν. οὐ μόνον δὲ τὸν κόσμον τοῦτον ἔλεγον μετέχειν τοῦ κενοῦ ἐπεισιόντος ἔξωθεν, ἀλλὰ πολλῷ πρώτως καὶ τὸν ἀριθμόν. καὶ αὐτῶν γὰρ τῆς διακρίσεως, τὸ κενὸν αἴτιον. μᾶλλον δὲ οὐδὲ εἶναι ὅλως ἀριθμὸς, μὴ τοῦ κενοῦ ὄντος. τὸ γὰρ αἴτιον τῆς τῶν μονάδων διακρίσεως, τὸ κενὸν εἶναι. δῆλον δὲ ὅτι ὥσπερ εἰώθεσαν οἱ πυθαγόρειοι διὰ συμβόλων πάντα λέγειν, οὕτω καὶ τοῦτο συμβολικῶς ἔλεγον. τὴν γὰρ διακριτικὴν τῶν ὄντων δύναμιν, διὰ τοῦ κενοῦ ἐσήμαινον. ἔστι γὰρ δηλονότι ὥσπερ συνεκτική τις ἐν τῷ παντὶ δύναμις, οὕτω δὲ καὶ διακριτική.

ΚΑΙ πῶς ἔστιν ἢ τί ἐστιν, ὥσπερ καὶ περὶ τοῦ τόπου.

Πῶς μὲν ἔστιν, ἤγουν πότερον ἔξω ἐστὶ τοῦ κόσμου αὐτὸ καθ' αὑτὸ ἄπειρόν τι κενὸν, ἢ ἐγκατέσπαρται τοῖς σώμασιν, ὥσπερ ἔλεγον οἱ τὰς ἀτόμους δοξάζοντες. μεταξὺ γὰρ κενῷ διείργεσθαι τὰς ἀτόμους, συμφύεσθαι ἀλλήλαις, ἢ ἅπτεσθαι μηδέποτε. ὥστε συνίστασθαι τὰ σώματα, ἔκ τε τῶν ἀτόμων, καὶ τοῦ μεταξὺ τῶν μικρὰ παρεσπαρμένου κενοῦ. καὶ πότερον χωριστόν ἐστι τῶν σωμάτων, ἢ ἀχώριστον. τί δὲ τί, πότερον διάστημά τι καθ' αὑτὸ, μηδὲν ἔχον τῶν φυσικῶν σωμάτων, ἢ ὕλη ἐστὶ τῶν σωμάτων, ἢ ἕτερόν τι.

ΚΑΙ γὰρ παραπλησίως ἔχει τήν τε ἀπιστίαν καὶ τὴν πίστιν, διὰ τῶν ὑπολαμβανομένων.

Ὥσπερ φησὶν ὁ τόπος ἐκ τῶν περὶ αὐτοῦ ὑπολήψεων ὁμοίως εἶναί τε καὶ μὴ εἶναι ἐδόκει, οἱ γὰρ ἐφ' ἑκάτερα λόγοι ἰσοσθενεῖς τινες ἐδόκουν εἶναι, ὡς μηδὲν μᾶλλον πιστεύειν εἶναι ἢ μὴ εἶναι, οὕτω δὴ καὶ ἐπὶ τοῦ κενοῦ. ἥ τε πίστις τοῦ εἶναι αὐτὸ καὶ ἡ ἀπιστία, ἐκ τῶν ἐφ' ἑκάτερα ἐπιχειρήσεων ἴσαι ὑπάρχουσιν. οὐ δεῖ δὲ, τὸ παραπλησίως, ἀκριβῶς οὕτως ἐκλαμβάνειν, ὡς βούλεσθαι ἀκριβῶς τῇ πιθανότητι τὰς ἐφ' ἑκάτερα ἐπιχειρήσεις τοῦ κενοῦ ταῖς τοῦ τόπου, ἀλλ' ἐπειδὴ ἔχειν τινὰ ὁμοιότητα, πρός τε τὴν πίστιν καὶ τὴν ἀπιστίαν. ἀσθενέστεροι γὰρ οἱ κατασκευάζοντες τὸ κενὸν λόγοι, ἢ οἱ ἀναιροῦντες τὸ εἶναι τὸν τόπον.

ΟΙΟΝ γὰρ τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες.

Ἐπειδὴ ἔπειτ' ὅτι τὸν αὐτὸν τρόπον ἐστὶ τοῦ φυσικοῦ, περὶ κενοῦ διαλαβεῖν, ὥσπερ καὶ περὶ τοῦ τόπου, τὴν πίστιν τούτου διὰ τούτων ἐπάγει, ὅτι οἱ τὸ κενόν τι τιθέμενοι εἶναι, οἷον τόπον καὶ ἀγγεῖον τοῦτο τιθέασιν. ὥστε ὅσα περὶ τοῦ τόπου ἐζήτηται, τοσαῦτα καὶ περὶ κενοῦ ζητηθήσεται. εἰ τα συναπτέον, καὶ γὰρ παραπλησίαν ἔχει τὴν ἀπιστίαν καὶ τὴν πίστιν. διὰ πάντων γὰρ τούτων, τὴν συγγένειαν σημαίνει τῶν θεωρημάτων.

ΔΟΚΕΙ δὲ πλῆρες μὲν εἶναι, ὅταν ἔχῃ τὸν ὄγκον, οὗ δεκτικόν ἐστιν· ὅταν δὲ στερηθῇ, κενόν, ὡς τὸ αὐτὸ μὲν ὂν κενὸν καὶ πλῆρες, καὶ τόπον. τὸ δ' εἶναι αὐτοῖς, οὐ ταὐτὸν ὄν. ἀρξασθαι δὲ δεῖ τῆς σκέψεως, λαβοῦσιν ἅ τε λέγουσιν οἱ φάσκοντες εἶναι, καὶ πάλιν ἃ λέγουσιν οἱ μὴ φάσκοντες εἶναι.

Ὅτι τὸ κενὸν, καὶ ὁ τόπος, καὶ τὸ διάστημα, καὶ τὸ πλῆρες, τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῇ δὲ σχέσει καὶ τῷ λόγῳ διαφέρουσι. διάστημα μὲν οὖν λέγεται, ὅταν αὐτὸ καθ' αὑτὸ θεωρῆται ἀπολύτως, καὶ οὐκ ἐν σχέσει. τόπος δὲ ὅταν σχέσιν ἀναδέξηται πρὸς τὸ σῶμα. κενὸν δὲ, τόπος ἐστερημένος σώματος. πλῆρες δὲ ταὐτὸν μὲν δοκεῖ εἶναι τῷ τόπῳ. καὶ ἴσως οὐδὲν διαφέρει. εἰ δὲ δεῖ τι διαφέρειν αὐτὰ, διαφέρει αὐτῷ ἐν μὲν τῷ τόπῳ θεωρεῖσθαι ἄλλο τι τὸ δεξάμενον, καὶ ἄλλο τὸ δεδεγμένον. ἐν δὲ τῷ πλήρει, ὡς ἕν τι τὸ ὅλον θεωρεῖσθαι, καὶ οἷον ὕλην εἶναι τοῦ σώματος, τὸ τοπικὸν διάστημα.

ΚΑΙ τρίτον, τὰς κοινὰς δόξας περὶ αὐτῶν. οἱ μὲν οὖν δεικνύναι πειρώμενοι ὅτι οὐκ ἔστιν, οὐχ ὃ βούλονται λέγειν οἱ ἄνθρωποι κενὸν, τοῦτο ἐξελέγχουσιν, ἀλλ' ὃ ἁμαρτάνοντες λέγουσιν. ὥσπερ ἀναξαγόρας καὶ οἱ τοῦτον τὸν τρόπον ἐλέγχοντες. ἐπιδεικνύουσι γὰρ, ὅτι ἔστι τι ὁ ἀὴρ, στρεβλοῦντες τοὺς ἀσκοὺς, καὶ δεικνύοντες, ὡς ἰσχυρὸς ὁ ἀήρ.

Εἰ γὰρ καὶ μὴ ὑπάρχῃ τὸ κενὸν, μηδὲ ἔχῃ τινὰ φύσιν ἐν τοῖς οὖσιν, ἀλλ' οὖν ἐπειδὴ ὅλως περιφαντάζεται αὐτὸ ἡ διάνοια, δεῖ εἰπεῖν, τί ποτε εἶναι αὐτὸ ὑπενοοῦσιν οἱ τῶν ὄντων αὐτὸ εἶναι λέγοντες, καὶ τί αὐτὸ ὑπάρχειν, ἢ μή. οἷον, ὅτι δοκεῖ διάστημα εἶναι, καὶ τόπος ἐστερημένος σώματος, καὶ οἷον ἀγγεῖον, μηδενὸς

λόγον, εὐθὺς τὸν περὶ κενοῦ διεξέρχεται. τὸν αὐτὸν δέ φησι τρόπον ὃν περὶ τοῦ τόπου διειλέχθημεν, τοῦτον καὶ περὶ κενοῦ διαληψόμεθα. ζητήσει γὰρ καὶ περὶ κενοῦ, πρῶτον μὲν εἰ ἔστιν ἢ μή. καὶ ἐφεξῆς καὶ τίνα ἐπιχειρήσει. εἶτα τὰς κοινὰς περὶ τοῦ κενοῦ δόξας ἐκθήσεται. πρὶν δὲ ὅλως ἐμβαλεῖν εἰς τὸν περὶ αὐτοῦ λόγον καὶ θεῖναι τοὺς λόγους τοὺς τὸ κενὸν εἰσάγοντας, ἐλέγχει τῶν παλαιοτέρων τινὰς κακῶς ἐπιχειρήσαντας δεικνύναι, ὅτι οὐκ ἔστι κενόν. ἵνα συνηγορήσας ὡς οἷόν τε τῷ λόγῳ τῷ εἰσάγοντι τὸ κενόν, τότε δείξῃ μηδαμῶς ὂν τὸ κενόν. ἵνα μὴ δόξῃ ἐρήμην τὸν λόγον καταψηφίζεσθαι. ἀναξαγόρας οὖν φησι, καὶ ὅσοι τὸ κενὸν ἐπεχείρησαν δεῖξαι μὴ ὄν, οὐ κατὰ θύρας ἀπήντησαν τῷ λόγῳ. οὐ γὰρ ὃ ὑπολαμβάνουσι κενὸν εἶναι οἱ ἄνθρωποι, τοῦτο ἔδειξε μὴ ὄν. οὐδὲ πρὸς αὐτὴν ἐνέστη τὴν τοῦ κενοῦ φύσιν, ἀλλ' ὃ πλανώμενοι λέγουσι κενὸν εἶναι, τοῦτο ἀνεῖλεν. ἔδει δὲ πρὸς τὴν ἔννοιαν αὐτῶν τὰς ἀπαντήσεις ποιήσασθαι, οὐ πρὸς τὴν πεπλανημένην ὑπόληψιν. οἱ γὰρ εἶναι τιθέμενοι τὸ κενόν, διάστημά τι νομίζουσιν εἶναι αὐτό, παντὸς φυσικοῦ σώματος ἐστερημένον. οἰόμενοι δέ, πᾶν μὲν τὸ ὂν φυσικόν, εἶναι σῶμα αἰσθητόν, τὸν δὲ ἀέρα μὴ εἶναι αἰσθητὸν σῶμα, οὔτε γὰρ ὄψει, οὔτε ἀκοῇ ὑποπίπτει, οὔτε ταῖς λοιπαῖς αἰσθήσεσιν, οὐ γὰρ ἐναργεῖς ἔχει τὰς αἰσθητὰς διαφοράς, οὐδ' εἶναι ὅλως τὸν ἀέρα ὑπολήψεσι. καὶ διὰ τοῦτο τὸ πλῆρες ἀέρος κενὸν εἶναί φασι. δέον οὖν γε αὐτούς, εἴγε ὀρθῶς πρὸς τὴν δόξαν ταύτην ἀπήντων, δεῖξαι ὅτι ὅπερ φαντάζονται κενόν, οὐκ ἔστι, λέγω δὴ διάστημά τι παντὸς ἐστερημένον φυσικοῦ σώματος, τοῦτο μὲν οὐ δεικνύουσιν, ὅτι δὲ ἐστί τι σῶμα ὁ ἀήρ, δεικνύουσι. πληροῦντες γάρ φησι τοὺς ἀσκοὺς πνεύματος, δεικνύουσιν ὅτι πρὶν μὲν πληρωθῶσι πνεύματος, στρεβλοῦνται καὶ περιστρέφονται. μετὰ δὲ τὸ πληρωθῆναι, οὐκέτι. ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μὴ ὁ ἀὴρ ἦν τι σῶμα ἰσχυρόν. εἰ γὰρ κενὸς ἦν ὁ ἀσκός, τί ἐκώλυεν αὐτὸν περιστρέφεσθαι, ὥσπερ καὶ πρὶν φυσηθῆναι. καὶ ἐκ τῶν κλεψυδρῶν δέ, τὸ αὐτὸ πάλιν δεικνύουσιν, ἐναπολαμβάνοντες τὸν ἀέρα. κλεψύδρα δέ ἐστιν ἀγγεῖον τι ἐπ' εὐθείας κατὰ διάμετρον διατρήσεις ἔχον, οὗ τὴν μίαν ὀπὴν ἐμφράξαντες, καθιέντες ἐν ὕδατι, δεικνύουσιν ὅτι οὐκ εἴσεισιν ὕδωρ, ὡς δὴ ἐντὸς πεπληρωμένου αὐτοῦ ἀέρος. οὐκ εἴσεισι δὲ διὰ τὸ μὴ δύνασθαι δύο σώματα ἐν τῷ αὐτῷ εἶναι τόπῳ. ἐπειδὰν δὲ ἀποφράξωσι τὴν ὀπήν, τότε εἴσεισι διὰ τῆς ἑτέρας τὸ ὕδωρ ὑπεξιόντος τῇ λοιπῇ τοῦ ἀέρος τῷ ὕδατι. τὸ δὲ δεῖξαι, ὅτι ἔστιν ὁ ἀήρ, οὐκ ἔστιν ἀνελεῖν τὴν τοῦ κενοῦ φύσιν. δυνατὸν γὰρ ἐγκαταπεπλέχθαι μεταξὺ τοῦ ἀέρος τὸ κενόν. ὥσπερ ἔλεγον οἱ περὶ δημόκριτον. ἢ καὶ ἔξω τοῦ οὐρανοῦ εἶναι. οὗτοι μὲν οὖν ὅπερ εἶπον, οὐ κατὰ θύρας πρὸς τὸ πρόβλημα ἀπαντῶσι. ἀλλὰ μᾶλλον εὐλογώτερον δοκοῦσι λέγειν, οἱ τὸ κενὸν εἰσάγοντες. διὰ πέντε δὲ ἐπιχειρημάτων δεικνύειν πειρῶνται οἱ τὸ κενὸν εἰσάγοντες. Πρῶτον μέν, ἐκ τῆς κατὰ τόπον τῶν σωμάτων κινήσεως. τῆς δὲ κατὰ τόπον κινήσεως, διττῆς οὔσης, ἢ γὰρ καθ' ὅλα ἐστὶ τὰ κινούμενα, ἢ κατὰ μέρη, καθ' ὅλα μέν, ὡς τὰ ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω φερόμενα, ἢ ἔμπαλιν, ἢ ἐπὶ τὰ πλάγια, κατὰ τὰ μέρη δέ, ὡς ἐπὶ τῶν αὐξανομένων, νῦν ὡς ἐκ τῶν καθ' ὅλα κινουμένων, ὅτι ἔστι κενὸν κατασκευάζει. συνάγει δὲ τὸν λόγον, κατὰ τὸν πρῶτον τῶν ὑποθετικῶν, οὕτως. εἰ ἔστι κίνησις, καὶ μὴ χωρεῖ σῶμα διὰ σώματος, ἔστι κενόν. ἀλλὰ μὴν ἔστι κίνησις, καὶ οὐ χωρεῖ σῶμα διὰ σώματος. ἔστιν ἄρα κενόν. εἰ γάρ ἐστι κίνησις, ἀνάγκη πάσα ἢ διὰ κενοῦ χωρεῖν τὰ κινούμενα, ἢ διὰ σώματος. εἰ μὲν οὖν διὰ σώματος, δύο σώματα ἐν τῷ αὐτῷ ἔσται. τοῦτο δὲ ἀδύνατον. χωρηθήσεται γὰρ οὕτως ἐν τῷ σμικροτάτῳ τὸ μέγιστον. λείπεται οὖν, διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι. ἔστιν ἄρα τὸ κενόν. τούτου δὲ τοῦ λόγου, καὶ τὸν μέλισσον ἐπιφέρεται μάρτυρα. καὶ γὰρ ὁ μέλισσος διὰ τοῦτο ἐνόμισεν ἀκίνητον εἶναι τὸ ὄν, διὰ τὸ ὑπολαμβάνειν, μὴ εἶναι τὸ κενόν, ὡς δὴ μὴ ἂν ἄλλως κινήσεως γενέσθαι δυναμένης, εἰ μὴ διὰ κενοῦ. ὁ μὲν οὖν μέλισσος τῇ ἀναιρέσει τῶν δήλων, τὰ ἄδηλα κατασκευάζει. τὸ μὲν γὰρ ὄν, καὶ τὴν κίνησιν εἶναι, σαφὲς καὶ δῆλον τῷ αἰσθήσεως μετέχοντι. τὸ μέντοι εἶναι ἢ μὴ εἶναι τὸ κενόν, ἄδηλον. λαμβάνων οὖν τὸ ἄδηλον ὡς ὁμολογούμενον, οὕτως ἀναιρεῖ τὰ προφανῆ. εἰ γάρ ἐστι φησὶ κίνησις, ἔστι κενόν. ἀλλὰ μὴν κενὸν οὐκ ἔστιν. οὐδὲ κίνησις ἄρα. εὐλογώτεροι δὲ οἱ τὸ κενὸν εἰσάγοντες, τῇ θέσει τῶν ὁμολογουμένων κατασκευάζοντες τὸ ἀγνοούμενον. εἰ γάρ ἐστι κίνησις, ἔστι κενόν. ἀλλὰ μὴν ἐστὶ τὸ πρῶτον. καὶ τὸ δεύτερον ἄρα. τὸ δὲ τῆς πλάνης αἴτιον τούτοις πρόδηλον. οὐ γὰρ ἐπέστησαν τῇ ἀντιπεριστάσει τῶν σωμάτων. Δεύτερον ἐπιχείρημα, ἀπὸ τῶν κατὰ τὰ μόρια κινουμένων, οἷά ἐστι τὰ αὐξανόμενα. οὐ γὰρ ἂν εἴη φησὶν αὔξησις, κενοῦ μὴ ὄντος. ἡ μὲν γὰρ αὔξησις, διὰ σώματος γίνεται, πάντῃ προσκρινομένης τῷ αὐξομένῳ σώματι τῆς τροφῆς. πῶς οὖν προσκρίνεται; ἀνάγκη γάρ, ἢ εἰς τὰ ἐνόντα κενὰ τοῦ σώματος χωροῦσαν τὴν τροφήν, οὕτω προσκρίνεσθαι τῷ σώματι, ἢ σῶμα διὰ σώματος χωρεῖν. ὥστε εἰ τὸ δεύτερον ψεῦδος ἀνάγκη τὸ πρότερον ἀληθὲς εἶναι. λέγω δή, τὸ εἶναι κενὸν ἐν τῷ σώματι. πρὸς οὓς χαριέντως ἐν τῇ περὶ γενέσεως ὁ ἀριστοτέλης φησίν, ὅτι εἰ οὕτω γίνοιτο ἡ αὔξησις, καθ' ὅλον αὐτὸ αὐξομένου τοῦ σώματος, συμβήσεται ὅλον τὸ σῶμα κενὸν εἶναι. εἴγε πάντῃ μὲν δεῖ τὴν τροφὴν προσκρίνεσθαι, προσκρίνεται δὲ διὰ τοῦ κενοῦ. καὶ προσέτι, μὴ αὔξησιν εἶναι, ἀλλὰ μόνον τῶν κενῶν ἀναπλήρωσιν. οὕτω μὲν οὖν ἐκ τῆς κατὰ τόπον κινήσεως, τῆς τε καθόλου καὶ τῆς κατὰ μέρη, δεικνύειν ἐπιχειροῦσιν ὅτι ἔστι τὸ κενόν. Τρίτον, ἐκ τῆς πυκνώσεως καὶ μανώσεως τῶν σωμάτων. πῶς γὰρ ἄν φησι πύκνωσις ἐγίνετο, μὴ εἰς τὰ ἐνόντα κενὰ πιλουμένου τοῦ σώματος. πῶς δ' ἂν μάνωσις, μὴ διισταμένων τῶν μορίων, καὶ κενὰς χώρας μεταξὺ καταλειπόντων. τεκμήριον δὲ ἐναργὲς

» οὐρανῷ· ὁ δὲ οὐρανὸς οὐκέτι ἐν ἄλλῳ.

Ὡς πάντα ἐν τῷ οὐρανῷ λέγει· ὅτι οὐ τῷ προσεχῶς πάντα περιέχειν, ἀλλὰ τῷ τὸ ἔσχατον τῶν περιεχόντων αὐτὸν εἶναι.

» ΦΑΝΕΡΟΝ δὲ ἐκ τούτων, ὅτι καὶ αἱ ἀπορίαι πᾶσαι λύοιντ' ἄν, οὕτω λεγομένου τοῦ τόπου. οὔτε γὰρ συναυξάνεσθαι ἀνάγκη τὸν τόπον, οὔτε στιγμῆς εἶναι τόπον, οὔτε δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ, οὔτε διάστημά τι εἶναι σωματικόν· σῶμα γὰρ τὸ μεταξὺ τοῦ τόπου τὸ τυχόν.

Ἐντεῦθεν τὰς ἀπορίας ἐπιλύεται· εἴπομεν δὲ περὶ αὐτῶν ἱκανῶς.

» ΑΛΛ' οὐ διάστημα σώματος. καὶ ἔστιν ὁ τόπος καὶ πού, οὐχ ὡς ἐν τόπῳ δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ· οὐ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα. καὶ φέρεται δὴ εἰς τὸν αὑτοῦ τόπον ἕκαστον, εὐλόγως· ὁ γὰρ ἐφεξῆς καὶ ἁπτόμενον μὴ βίᾳ, συγγενές.

Τουτέστι δεκτικὸν σώματος· ἢ μᾶλλον, οὐ σωματικόν· τουτέστι τριχῇ διαστατόν· διάστημα γὰρ ἡ ἐπιφάνεια, καὶ ἡ γραμμή.

» ΚΑΙ συμπεφυκότα μὲν ἀπαθῆ· ἁπτόμενα δὲ παθητικὰ καὶ ποιητικὰ ἀλλήλων.

Ἐπειδὴ δοκεῖ καὶ τὰ μέρη ἐφεξῆς εἶναι καὶ ἅπτεσθαι ἀλλήλων, τὴν διαφορὰν παραδίδωσι τῶν ὡς ἐν τόπῳ, καὶ τῶν ὡς ἐν ὅλῳ· κοινωνοῦσι γάρ, κατὰ τὸ ἐφεξῆς εἶναι, καὶ ἅπτεσθαι. ἀλλ' ὅταν μὲν ταῦτα συμπεφυκότα ᾖ, τότε ἀπαθῆ τέ ἐστιν ὑπ' ἀλλήλων, καὶ ὡς μέρος ἐστὶν ἐν ὅλῳ· ὅταν δὲ μόνον ἅπτηται, μὴ μέντοι συμπεφυκότα ᾖ, τότε ὡς ἐν τόπῳ ἐστὶ τὰ περιεχόμενα ἐν τοῖς περιέχουσι· καὶ ποιητικὰ καὶ παθητικά ἐστιν ὑπ' ἀλλήλων, τὰ περιέχοντα καὶ περιεχόμενα. διαφέρουσιν οὖν τὰ ὡς ἐν τόπῳ, καὶ τὰ ὡς ἐν ὅλῳ, τῷ τὰ μὲν ὡς ἐν ὅλῳ, συνεχῆ τε εἶναι τοῖς ὅλοις, καὶ ἀπαθῆ ὑπ' ἀλλήλων· τὰ δὲ ἐν τόπῳ, τοὐναντίον, διῃρῆσθαί τε τῶν περιεχόντων ἁπτόμενα μόνον, καὶ ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων.

» ΚΑΙ μένει δὴ φύσει πᾶν ἐν τῷ οἰκείῳ τόπῳ, ἕκαστον οὐκ ἀλόγως· καὶ γὰρ τὸ μέρος τοδί, ἐν ὅλῳ τῷ τόπῳ, ὡς διαιρετὸν μέρος πρὸς ὅλον ἐστίν· οἷον, ὅταν ὕδατος κινήσῃ τις μόριον, ἢ ἀέρος· οὕτω δὲ καὶ ὁ ἀὴρ ἔχει πρὸς ὕδωρ· οἷον ὕλη γάρ, τὸ δὲ εἶδος· τὸ μὲν ὕδωρ, ὕλη ἀέρος.

Ἐπειδὴ εἶπεν, ὅτι εὐλόγως ἕκαστον μένει ἐν τῷ ἑαυτοῦ τόπῳ, ἐπειδὴ καὶ ἐν τῇ ὁλότητι ἑαυτοῦ γενόμενον τὸ μέρος μένει, βούλεται δεῖξαι, ὅτι καὶ τὰ περιεχόμενα, οἷον μέρη ἐστὶ τῶν περιεχόντων. μέρη δέ φησιν, οὐ τὰ συνεχῆ ἀλλὰ διῃρημένα κατ' ἐνέργειαν. σαφὲς δὲ παράδειγμα τίθησι, τὸ ἐπὶ τοῦ ὕδατος· οὕτω δὲ καὶ ἀὴρ ἔχει πρὸς ὕδωρ, ὕλη γάρ, τὸ δὲ εἶδος· οἷον γὰρ λόγον ἔχει φησὶ τὸ μέρος τοῦ ὕδατος, τὸ διῃρημένον αὐτοῦ καὶ ἁπτόμενον, τοῦτον τὸν λόγον ἔχει καὶ τὸ ὕδωρ πρὸς τὸν ἀέρα· ὥσπερ καὶ ὁ ἀὴρ πρὸς τὸ ὑπέκκαυμα. πῶς δέ ἐστι μέρος, ἐπήγαγεν, εἰπών, ὅτι ὕλη ἀέρος ἐστὶ τὸ ὕδωρ· ὁ δὲ ἀήρ, εἶδός τι ἐστίν, ἐπιγινόμενον τῷ ὕδατι. ἔστιν οὖν ὁ ἀήρ, οἷον συναμφότερόν τι, τὸ ἐξ εἴδους καὶ ὕλης· ἔστι δὲ καὶ ἡ ὕλη οἷον μόριόν τι τοῦ συναμφοτέρου.

» Ο δὲ ἀήρ, οἷον ἐνέργειά τις ἐκείνου· τὸ γὰρ ὕδωρ δυνάμει ἀήρ ἐστιν, ὁ δὲ ἀὴρ δυνάμει ὕδωρ, ἄλλον τρόπον· διοριστέον δὲ περὶ τούτων ὕστερον· ἀλλὰ διὰ τὸν καιρόν, ἀνάγκη μὲν εἰπεῖν· ἀσαφῶς δὲ νῦν ῥηθέν, τότ' ἔσται σαφέστερον.

Εἰ γὰρ καὶ ἑκάτερον δυνάμει ἐστὶν ὅπερ τὸ ἕτερον, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον φησίν· εἴρηται γὰρ ἐν τῷ περὶ γενέσεως, ὅτι ἡ μὲν ἐξ ὕδατος εἰς ἀέρα μεταβολή, γένεσίς ἐστι· φθορὰ δὲ τὸ ἐναντίον. ἔστιν οὖν ὁ ἀήρ, δυνάμει ὕδωρ, ἀλλ' ὡς ἐπὶ φθοράν, καὶ τὸ μὴ ὂν ἀγόμενος· τὸ δὲ ὕδωρ, δυνάμει ἀήρ, ὡς ὕλη ἐπὶ εἶδος ἀγόμενον. ἐν τῷ περὶ γενέσεως δέ φησιν, ἀκριβέστερον περὶ τούτων διορισθησόμεθα. νῦν γάρ φησιν ὅσον διὰ τὴν χρείαν, τούτων ἐμνήσθημεν. χρείαν δὲ λέγει, διότι ἠθέλησε δεῖξαι, ὅτι ὡς μέρος πρὸς ὅλον, οὕτως ἔχουσι τὰ ἐν τόπῳ πρὸς τὸν τόπον. ἵνα δὲ τοῦτο δείξῃ, εἶπεν, ὅτι ὡς ὕλη πρὸς εἶδος, οὕτως ἔχει ὕδωρ πρὸς ἀέρα. τὸν οὖν περὶ τούτων λόγον φησίν, ἐν ἄλλοις ἀκριβέστερον ἐροῦμεν.

» ΕΙ οὖν τὸ αὐτὸ ἡ ὕλη καὶ ἡ ἐντελέχεια, ὕδωρ γὰρ ἄμφω· ἀλλὰ τὸ μὲν δυνάμει, τὸ δὲ ἐντελεχείᾳ· ἔχοι ἂν ὡς μόριόν πως πρὸς ὅλον. διὸ καὶ τούτοις ἁφή ἐστι· σύμφυσις δὲ ὅταν ἄμφω ἐνεργείᾳ ἓν γένωνται. καὶ περὶ μὲν τόπου, καὶ ὅτι ἔστι, καὶ τί ἐστιν, εἴρηται.

Εἰ τὸ ὕδωρ φησὶ καὶ ὕλη ἐστὶ καὶ εἶδος, εἶδος μὲν δυνάμει, ἐνεργείᾳ δὲ ὕλη, εἶδος δὲ δηλονότι τοῦ ὕδατος ὁ ἀήρ, ὅταν αὐτὰ γένηται ἀήρ, συναμφότερόν τί ἐστιν· ὥστε ἐπειδὴ ἡ ὕλη μόριόν ἐστι τοῦ συνθέτου, καὶ τὸ ὕδωρ εἴη ἂν μόριον ἂν τοῦ ἀέρος. καλῶς δὲ εἶπε πως· οὐ γὰρ κυρίως ἐστὶ μόριον, ἀλλὰ κατὰ ἀναλογίαν. διό φησιν, ἐπεὶ μορίου λόγον ἐπέχει πρὸς τὸν ἀέρα, ἅπτεται αὐτοῦ κατὰ φύσιν, οὐ μέντοι συμπέφυκεν· ὅταν δὲ μεταβάλῃ εἰς τὸν ἀέρα, τότε συμφύεταί τε αὐτῷ, καὶ κυρίως ἐστὶν αὐτοῦ μόριον.

ΠΕΡΙ ΚΕΝΟΥ.

» ΤΟΝ αὐτὸν δὲ τρόπον, ὑποληπτέον εἶναι τοῦ φυσικοῦ θεωρῆσαι καὶ περὶ κενοῦ, εἰ ἔστιν, ἢ μή.

Μετὰ τὸν περὶ τοῦ τόπου λόγον, ἀκολούθως ἐφεξῆς καὶ τὸν περὶ κενοῦ διεξέρχεται, διὰ τὴν συγγένειαν τῶν θεωρημάτων. καὶ γὰρ δοκεῖ ταὐτόν πως εἶναι τὸ κενὸν καὶ ὁ τόπος, τοῖς ὅλως τιθεμένοις εἶναι τὸ κενόν. οὐδὲν γὰρ ἄλλο εἶναί φασι τὸ κενόν, ἢ τόπον ἐστερημένον σώματος. εἰκότως οὖν μετὰ τὸν περὶ τοῦ τόπου

οὔτε μὴν τὰ μόρια καθὸ μόρια κινεῖσθαι. συνεχῆ γάρ. ἀλλὰ τὴν ὅλην τοῖς μορίοις κινεῖσθαι. καὶ τόπον εἶναι τοῖς μορίοις, ὥσπερ εἴπομεν, ἤτοι τὰ πέριξ περιέχοντα μόρια, ἢ κυριώτερον τὴν κυρτὴν ἐπιφάνειαν, τὴν ἐντὸς τῆς κρονίας σφαίρας, ὥσπερ εἴπομεν, κατ' ἀναλογίαν. ταύτην δὲ καὶ τῆς ἀπλανοῦς ὅλης τῇ αὐτῇ ἀναλογίᾳ οὐδὲν χεῖρον λέγειν τόπον. ἀφορίζει γὰρ αὐτὴν ἐντὸς πανταχόθεν. πρὸς δὲ ταύτην τὴν ἐξήγησιν οὕτως ἀκουστέον, τὸ κύκλῳ δὲ κινεῖται. τῶν μορίων γὰρ οὗτος ὁ τόπος. εἶπεν γάρ, ὅτι ὡς μὲν γὰρ ὅλον ἅμα τὸν τόπον οὐ μεταβάλλει. δέον δὲ εἰπεῖν, κατὰ τὰ μόρια δὲ μεταβάλλει, εἶπε κύκλῳ δὲ κινεῖται. ταυτὸ δ' ἐστὶ τοῦτο. ἡ γὰρ κύκλῳ κίνησις κατὰ τὰ μόριά ἐστι κίνησις. τὸ δέ, τῶν μορίων γὰρ οὗτος ὁ τόπος, ἀντὶ τοῦ κύκλῳ γὰρ ἄλληλα περιέχει. ἐπεὶ γὰρ κύκλῳ κινούμενα, περὶ τὴν κυρτὴν ἐπιφάνειαν τῆς κρονίας σφαίρας κινεῖται, τοῦτον τὸν τόπον, λέγω δὴ τὴν κυρτὴν ἐπιφάνειαν τῆς ἐντὸς σφαίρας, τῶν μορίων εἶπεν εἶναι τόπον.

Καὶ τὰ μὲν καθ' αὑτά, οἷον πάντα τὰ κατὰ φορὰν ἢ αὔξησιν κινητά, καθ' αὑτό που.

φέρεσθαί φησι τὰ κατ' εὐθεῖαν φερόμενα. ἅπερ καὶ καθ' αὑτὰ ἐν τόπῳ εἶναί φησι. τὰ δὲ οὐράνια, οὐ φέρεσθαι ἀλλὰ περιφέρεσθαι. ἑτέρα γὰρ ἡ φορὰ τῆς περιφορᾶς. ἡ μὲν γὰρ καθ' ὅλον ἐστὶ μεταβολή. ἡ δέ, κατὰ μόρια. τὴν δὲ ὀκτάσφαιρον, ὡς ἔτι λαμβάνει. διό φησιν ὅλον, ὡς ὅλον, τὸν οὐρανὸν μὴ εἶναι ἐν τόπῳ.

Ἐφ' ᾧ δὲ κινεῖται, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. ἕτερον γὰρ ἑτέρου ἐχόμενον τῶν μορίων ἐστί.

Τοῦτο καὶ ἀνωτέρω εἶπε, κύκλῳ δὲ κινεῖται. τῶν μορίων γὰρ οὗτος ὁ τόπος. καὶ ἐνταῦθα δὲ τὸ αὐτό φησιν, ἐφ' ᾧ δὲ κινεῖται, κινεῖται δὲ ἐπὶ τὸ κύκλῳ, κατὰ τοῦτο τοῖς μορίοις ἐστὶ τόπος. τῷ γὰρ ἕκαστον τῶν μορίων τοῦ οὐρανοῦ, λέγω δὴ τοῦ ὀκτασφαίρου κύκλου, κινεῖσθαι, ταύτῃ αἱ τῶν ἐξωτέρων τόποι εἰσὶ τοῖς ἐντός. μόρια οὖν λέγοι ἂν ἑκάστην τῶν σφαιρῶν. δηλοῖ δὲ καὶ τὸ ἐπαγόμενον. ἕτερον γάρ φησιν ἑτέρου ἐχόμενον τῶν μορίων ἐστίν. ἐχόμενον δέ ἐστιν, ὡς αὐτὸς ἐν τῷ ε' φησιν, ὃ ἂν ἐφεξῆς ὂν ἄλλῳ τινί, ἅπτηται αὐτοῦ. οὕτω δὴ καὶ αἱ σφαῖραι ἔχουσι πρὸς ἀλλήλας. ἡ δὲ ἐξωτάτη σφαῖρα, οὐκ ἐν τόπῳ, εἰ μὴ κατ' ἀναλογίαν ὥσπερ εἴρηται, κατὰ τὴν κυρτὴν ἐπιφάνειαν τῆς ἐντὸς σφαίρας.

ΤΑ δέ, κατὰ συμβεβηκός, οἷον ἡ ψυχή, καὶ ὁ οὐρανός. τὰ γὰρ μόρια ἐν τόπῳ πως πάντα. ἐπὶ τῷ κύκλῳ γὰρ περιέχει ἄλλο ἄλλο.

Τοῦτο πρὸς τὸ ἀνωτέρω τὴν σύνταξιν ἔχει. εἰπὼν γὰρ ἀνωτέρω, καὶ τὰ μὲν καθ' αὑτό, οἷον πᾶν σῶμα, ἢ κατὰ φορὰν ἢ αὔξησιν κινητόν, ἐνταῦθα τὸ ἀνταποδοτικὸν εἰπών, τὰ δὲ κατὰ συμβεβηκός. τὰ δὲ ἄλλα μεταξὺ εἴρηται περὶ τοῦ οὐρανοῦ. εἰπὼν γὰρ τὰ κατ' εὐθεῖαν κινούμενα, καθ' αὑτὰ ἐν τόπῳ εἶναι, πῶς ἔχουσι τὰ κύκλῳ ἐφεξῆς εἶπεν. εἶτα ἐνταῦθα ἐποιήσατο τὴν ἀνταπόδοσιν, κατὰ συμβεβηκὸς οὖν φησιν ἐν τόπῳ εἶναι τὴν ψυχήν, καὶ τὸν οὐρανὸν ὅλον, ὡς ὅλον δηλονότι. τῷ γὰρ τὰ μόρια εἶναι ἐν τόπῳ, τὸ δὲ ὅλον ἐν τοῖς μέρεσιν εἶναι, καὶ τὸ ὅλον ἐν τόπῳ λέγοιτ' ἂν κατὰ συμβεβηκὸς εἶναι, ἢ μᾶλλον κατ' ἄλλο. καλῶς δὲ τὸ πως προστέθεικεν, εἰπών, τὰ γὰρ μόρια ἐν τόπῳ πως πάντα. οὐ γὰρ πάντα κυρίως ἐν τόπῳ τὰ μόρια. οὔτε γὰρ ἡ ἐξωτάτη σφαῖρα κυρίως ἐν τόπῳ, οὔτε τὰ συνεχῆ τῶν μορίων.

ΔΙΟ κινεῖται μὲν κύκλῳ μόνον τὸ ἄνω.

Ἐπειδὴ μὴ ἔστιν ὁ οὐρανὸς ἐν τόπῳ, εἰ μὴ ὡς εἴρηται κατὰ συμβεβηκός, ἤγουν κατὰ μόρια, διὰ τοῦτο καὶ μόνον τὴν κατὰ κύκλον κινεῖται κίνησιν, οὐδαμῶς δὲ τὴν κατ' εὐθεῖαν. τὰ γὰρ κατ' εὐθεῖαν κινούμενα, πάντως καὶ ἐν τόπῳ ἐστίν. ὁ οὖν οὐρανός, μὴ ὢν ἐν τόπῳ, εἰκότως μόνην τὴν κύκλῳ κινεῖται κίνησιν.

ΤΟ δὲ πᾶν, οὔ που. τὸ γάρ που αὐτό τε ἐστί τι, καὶ ἔτι ἄλλό τι δεῖ εἶναι παρὰ τοῦτο ἐν ᾧ, ὃ περιέχει. παρὰ δὲ τὸ πᾶν καὶ ὅλον, οὐδέν ἐστιν ἔξωθεν τοῦ παντός.

Εἰπὼν ὅτι ὁ οὐρανὸς κατὰ μόρια ἐστὶν ἐν τόπῳ, δείκνυσιν ὅτι καθ' ὅλον αὐτόν, ἀδύνατον εἶναι ἐν τόπῳ. τὸ γὰρ ἐν τόπῳ φησί, καὶ ἔστι τι, καὶ ἔξωθεν ἑαυτοῦ ἔχει τὸ περιέχον αὐτό, ὅπερ καὶ ἔστι τόπος. εἰ τοίνυν ὁ οὐρανός, ὅλον τι ἐστὶ καὶ πᾶν, οὐδ' ἂν εἴη τι αὐτοῦ ἔξωθεν περιεκτικόν. ἐπεὶ οὐκ ἂν εἴη πᾶν. τοῦ γὰρ παντὸς οὐδέν ἐστιν ἔξω.

ΚΑΙ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα. ὁ γὰρ οὐρανός, τὸ πᾶν ἴσως.

Σύμφωνός φησι τοῖς ἡμετέροις λόγοις, τῷ μὴ εἶναι ἐν τόπῳ τὸν οὐρανόν, καὶ ἡ παλαιὰ περὶ αὐτοῦ δόξα, ἡ λέγουσα, πάντα εἶναι ἐν τῷ οὐρανῷ. εἰ γὰρ πάντα ἐν τῷ οὐρανῷ, οὐδὲν αὐτοῦ ἔξω. εἰ δὲ μηδὲν αὐτοῦ ἔξω, οὐκ ἂν εἴη ἐν τόπῳ. δεῖ γὰρ τὸν τόπον ἔξωθεν περιέχειν τὸ ἐν τόπῳ ὄν. εἰπὼν δέ, ὁ οὐρανὸς τὸ πᾶν, τὸ ἴσως προστέθεικεν, ἐπειδὴ οὔπω ἀπέδειξεν, ὅτι οὐδέν ἐστιν ἔξω τοῦ οὐρανοῦ.

ΕΣΤΙ δὲ ὁ τόπος οὐχ ὁ οὐρανός, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἁπτόμενον τοῦ κινητοῦ σώματος πέρας ἠρεμοῦν.

Ἐπειδὴ εἶπεν, ἐν τῷ οὐρανῷ πάντα, ὡς δὴ κοινοτάτου πάντων τόπου τοῦ οὐρανοῦ ὄντος, πῶς ἐστὶ τόπος ὁ οὐρανὸς προστέθεικεν. ὅτι οὐ καθ' ὅλον αὐτόν, ἀλλὰ κατὰ τὸ ἐντὸς αὐτοῦ πέρας, καθ' ὃ ἅπτεται τοῦ κινητοῦ σώματος τουτέστι τὴν δύναμιν ἔχοντος κινεῖσθαι καὶ μή. τουτέστι, τοῦ γεννητοῦ καὶ φθαρτοῦ. πῶς δὲ ἠρεμοῦν ἐστὶ τὸ πέρας τοῦ οὐρανοῦ τὸ πρὸς ἡμᾶς, ὅπερ καὶ τόπος ἐστίν, ἐν τοῖς ἔμπροσθεν εἴρηται.

ΚΑΙ διὰ τοῦτο, ἡ μὲν γῆ, ἐν τῷ ὕδατι. τοῦτο δ' ἐν τῷ ἀέρι. οὗτος δ' ἐν τῷ αἰθέρι. ὁ δ' αἰθὴρ ἐν τῷ

ἐν τόπῳ δέ, ἀλλ' ὡς πέρας ἐν περατουμένῳ. οὐ γὰρ πᾶν τὸ ὂν φησὶν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα κατὰ φοράν. τουτέστιν, ὃ πέφυκε κινεῖσθαί τε καὶ ἠρεμεῖν. ἢ εἴπη τὸ κατ' εὐθεῖαν κινούμενον. πᾶν γὰρ τὸ τοιοῦτον, πάντως ἐν τόπῳ ἐστί. τὸ δὲ κύκλῳ οὐ πᾶν ἐν τόπῳ, ἀλλὰ ἡ ἐντὸς σφαῖρα. νῦν δὲ καὶ ὡς ἔν τι συνεχὲς εἶναι τὸ κατὰ τὰς ὅλας σφαίρας λαμβάνει. εὐλόγως δὲ καὶ τοῦτο ὑπάρχει τοῖς ἐν τόπῳ, τὸ φέρεσθαι ἕκαστον ἐπὶ τὸν ἑαυτοῦ τόπον, καὶ μένειν ἐν τούτῳ. κατασκευάζει δὲ τοῦτο πάνυ γλαφυρῶς. προλαμβάνει δὲ ἐκεῖνο. πᾶν φησὶν ὅ τινος ἅπτεται κατὰ φύσιν καὶ μὴ βίᾳ, τοῦτο συγγενές ἐστιν ἐκείνῳ οὗ ἅπτεται. προσέθηκε δὲ τὸ μὴ βίᾳ, εἰκότως. ἅπτεται γὰρ καὶ ἡ ἐρριμμένη βῶλος τοῦ ἀέρος, ἀλλ' οὐ φύσει, ἀλλὰ βίᾳ. ἅπτεται γὰρ ταῦτα ἀλλήλων, ὡς ἐν τῷ περὶ γενέσεως εἴρηται, ἃ κοινὸν ἔχει σύμβολον πρὸς ἄλληλα. διὰ τοῦτο γῆ μὲν ὕδατος ἅπτεται. ἔχουσι γὰρ κοινὸν σύμβολον, τὸ ψυχρόν. ὕδωρ δὲ ἀέρος, κοινὸν γὰρ τὸ ὑγρόν. ἀὴρ δὲ πυρός, κοινὸν γὰρ τὸ θερμόν. πῦρ δὲ τῆς σεληνιακῆς σφαίρας. ἐνταῦθα δέ, δεῖ ἀναλογίας ἡ κοινωνία. ὀξυκίνητα γὰρ ἄμφω, καὶ φωτιστικά. συγγενῆ δὲ τὰ ἁπτόμενα, διότι καὶ ῥᾳδία ἡ εἰς ἄλληλα αὐτῶν μεταβολή, ὡς ἐν τῷ περὶ γενέσεως εἴρηται. ἐπεὶ οὖν ἕκαστον ὅταν ἀποσπασθῇ τῆς ἑαυτοῦ ὁλότητος, ἐφίεται ταύτην καταλαμβάνειν. πᾶν γὰρ τοῦ συγγενοῦς ἐρᾷ, καὶ τῆς ἑαυτοῦ ὁλότητος. διὸ καὶ τοῦ εἶναι. ἔστι δὲ μάλιστα ἕκαστον, ὅταν ἐν τῇ οἰκείᾳ ὁλότητι ᾖ, φερόμενον πρὸς τὴν ἑαυτοῦ ὁλότητα. πρὸς ταύτην γὰρ προηγουμένη ἡ φορά. καὶ ἡ ἔφεσις, φέρεσθαι ἐπὶ τὸν ἑαυτοῦ τόπον. συγγενὴς γὰρ οὗτος τῷ ὅλῳ. Ἀλλ' ἐρεῖ τις, καὶ εἰ τὸ ἁπτόμενον φύσει, συγγενές, ἅπτεται δὲ καθόλου ὁ ἀὴρ τοῦ ὕδατος, φέρεσθαι τὰ μόρια αὐτοῦ ἐπὶ τὸ κάτω. Ὅτι μὲν οὖν συγγενὴς τῷ ὕδατι ὁ ἀήρ, καθὸ ἔχει κοινὸν σύμβολον τὸ ὑγρόν, πρόδηλον. ἀλλ' ἐπὶ τῆσδε εἴπομεν, ὅτι προηγουμένως ἐπὶ τὴν ὁλότητα ἕκαστον φέρεται τὴν ἑαυτοῦ. ἔστι δὲ ἡ τοῦ ἀέρος ὁλότης, τῶν ἀνωφόρων. καὶ συγγενέστερον τῷ πυρὶ μᾶλλον, ἢ τῷ ὕδατι ὁ ἀήρ. ἀλλὰ χεῖται πάντη, οὐχ ὅτι φύσιν ἔχει τοῦ πάντη φέρεσθαι, ἀλλὰ διὰ τὴν τοῦ κενοῦ βίαν, δι' ἣν καὶ τὸ ὕδωρ πολλάκις ἀνωφόρον γίνεται, καὶ ἐπὶ ἀέρος οὐ χεῖται. ὡς ἐπὶ τῶν κλεψυδρῶν. ὥστε κἂν ἅπτηται τοῦ ὕδατος ὁ ἀήρ, ἀλλ' οὖν διὰ τὴν τοῦ κενοῦ βίαν ἅπτεται, ἐπεὶ ἀνωφόρος ὑπάρχει φύσει. εἰκότως οὖν φησὶ καὶ μένει φύσει ἕκαστον ἐν τῷ ἑαυτοῦ τόπῳ. ἐπεὶ καὶ τὸ μέρος μένει ἐν τῇ οἰκείᾳ ὁλότητι. τὸ δὲ ἐν τόπῳ φησίν, οἷον μέρος πρὸς ὅλον ἐστίν. ὃν μὲν γὰρ λόγον ἔχει διαιρετὸν μέρος πρὸς ὅλον, τοῦτον τὸν λόγον ἔχει τὸ ἐν τόπῳ πρὸς τὸν τόπον. ὥσπερ γὰρ εἴ τις χαλάσας τὴν χεῖρα εἰς ὕδωρ, ἀνέλῃ τι μόριον τοῦ ὕδατος, τοῦτο τὸν λόγον ἔχει καὶ τὸ ἐν τόπῳ πρὸς τὸ περιέχον. οἷον γὰρ ὅλον τί ἐστι τὸ περιέχον. μέρος δὲ τὸ περιεχόμενον. τὸ γὰρ περιέχον φησὶ πρὸς τὸ περιεχόμενον, οἷον συναμφότερόν τι πρὸς ὕλην ἐστίν. ὕλη γὰρ τοῦ ἀέρος, τὸ ὕδωρ. ὁ δὲ ἀήρ, εἶδός τι καὶ ἐνέργεια. καὶ ἡ μὲν τοῦ ὕδατος εἰς ἀέρα μεταβολή, γένεσίς ἐστιν, ὡς ἐν τοῖς περὶ γενέσεως εἴρηται. ἡ δὲ τοῦ ἀέρος εἰς τὸ ὕδωρ, φθορά. δῆλη δὲ καὶ ἡ ὕλη καὶ τὸ εἶδος, μέρη τοῦ συναμφοτέρου εἶναι. ὥστε τῇ ὕλῃ ἀναλογεῖ τὸ ὕδωρ. εἴδει δέ, ἢ συναμφοτέρῳ, ὁ ἀήρ. ἡ ὕλη δὲ μέρος τοῦ συναμφοτέρου. καλῶς ἄρα εἴρηται, ὅτι τὸ περιεχόμενον πρὸς τὸ περιέχον, διαιρετὸν μέρος πρὸς ὅλον ἐστί. τὸ δὲ μέρος ἐν τῇ ἑαυτοῦ θέλει μένειν ὁλότητι. εἰκότως ἄρα καὶ ἕκαστον ἐν τῷ ἑαυτοῦ μένει τόπῳ, τουτέστι τῷ περιέχοντι. καὶ τὸν αὐτὸν ἔχει λόγον τὸ περιέχον πρὸς τὸ περιεχόμενον, ὅνπερ ὅλον πρὸς μέρος.

» ΚΥΚΛΩ δὲ κινεῖται. τῶν μορίων γὰρ οὗτος ὁ τόπος. καὶ ἄνω μὲν καὶ κάτω οὔ, κύκλῳ δὲ ἔνια.
» τὰ δὲ ἄνω καὶ κάτω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν. ὥσπερ δ' ἐλέχθη, τὰ μέν ἐστιν ἐν τόπῳ κατὰ
» τὰ δυνάμει. τὰ δέ, κατ' ἐνέργειαν. διό, ὅταν μὲν συνεχὲς ᾖ τὸ ὁμοιομερές, κατὰ δύναμιν ἐν τόπῳ
» τὰ μέρη. ὅταν δὲ χωρισθῇ μέν, ἅπτηται δὲ ὥσπερ σωρός, κατ' ἐνέργειαν. καὶ τὰ μέν, καθ' αὑτά. οἷον,
» πᾶν σῶμα, ἢ κατὰ φορὰν, ἢ κατ' αὔξησιν κινητόν, καθ' αὑτὸ που. ὁ δ' οὐρανὸς ὥσπερ εἴρηται, οὔ που
» ὅλος, οὐδ' ἔν τινι τόπῳ ἐστίν. εἴ γε μηδὲν αὐτὸν περιέχει σῶμα.

Ζητοῦσιν ἐνταῦθα, ποῖα μόριά φησιν ὁ Ἀριστοτέλης. πότερον τὰ τοῦ ὅλου κόσμου μόρια, ἅπερ ἅπτεται μόνον ἀλλήλων, διῃρημένα μόριά φησιν. ἢ τὰ συνεχῆ μόρια τῆς ἐσχατάτης σφαίρας. οἱ μὲν οὖν μόρια λέγειν φασί, τὰς ἁπτομένας ἀλλήλων σφαίρας, καὶ τὰ ἐφεξῆς σώματα. φησὶν οὖν, ὅτι τὸ μὲν ὅλον, οὐκ ἔστιν ἐν τόπῳ, τὰ δὲ μόριά ἐστιν ἐν τόπῳ ὄντα. ἵνα οὖν δείξῃ, τίς ὁ τῶν μορίων τόπος, ἐπήγαγε, τὸ κύκλῳ δὲ κινεῖται. τῶν μορίων γὰρ οὗτος ὁ τόπος. οὐ τοῦτο λέγων, ὅτι διὰ τὸ κύκλῳ κινεῖσθαι τὴν ἐσχατάτην σφαῖραν, διὰ τοῦτο τόπος ἐστὶ τοῖς ἐφεξῆς. ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι οὐκ ἔστι συνεχὴς πρὸς τὰ ἐφεξῆς σώματα, ἀλλὰ διῃρημένη. διὰ τοῦτο γὰρ καὶ κινεῖται φησὶ καθ' αὑτὴν κύκλῳ. τῷ δὴ κύκλῳ κινεῖσθαι, ταυτὸν δὲ εἰπεῖν διῃρῆσθαι τῶν ἐντός, καὶ περιέχειν αὐτάς, ταύτῃ καὶ τόπος ἐστὶ τοῖς μορίοις. καὶ ὅτι μόρια τοῦ παντός φησι τὰ ἐντὸς περιεχόμενα σώματα, δῆλον ἐξ ὧν ἐπήγαγε. καὶ ἄνω μὲν καὶ κάτω οὔ. κύκλῳ δὲ ἔνια. τὰ δέ, καὶ κάτω καὶ ἄνω, ὅσα ἔχει πύκνωσιν καὶ μάνωσιν. οὐ γὰρ τῶν μορίων τοῦ παντός, τὰ μὲν ἄνω καὶ κάτω κινεῖται, ταῦτα δὲ τὰ ἐν γενέσει, τὰ δὲ κύκλῳ, εὔδηλον ὅτι καὶ τὸ πᾶν λέγει τὸν ὅλον κόσμον. μόρια δὲ αὐτοῦ, τὰ τοῦ κόσμου στοιχεῖα. τάς τε σφαίρας φημί, καὶ τὰ ἐντὸς τούτων σώματα. οἱ δὲ μόρια ἤκουσαν, τὰ συνεχῆ τῆς ἐσχατάτης σφαίρας. ταύτην δὲ οὔτε καθ' ὅλην ἐν τόπῳ εἶναι, οὐδὲν γὰρ αὐτὴν περιέχει, οὐδὲ τὰ μόρια αὐτῆς καθ' αὑτὸ ἕκαστον ἐν τόπῳ εἶναι. συνεχῆ γάρ ἐστι πρὸς τὸ ὅλον. ἀλλ' οὐδὲ κινεῖσθαι, οὔτε τὴν ὅλην ὡς ὅλην, οὐ γὰρ μεταβάλλει τὸν ὅλον τόπον

ἐν τόπῳ ὄντα, λέγω δὲ τὰ μὴ συνεχῆ πρὸς ἄλληλα, ἀλλ' ἰδίαν περιγραφὴν ἔχοντα, πρώτως ἐν τόπῳ ἐστί. καὶ τὰ καθ' αὑτὸ δέ, ταῦτά ἐστιν, ἅπαντα τὰ κατὰ φορὰν κινητά, ὡς αὐτὸς εἶπε· τουτέστι τὰ καθ' ὅλα ἑαυτὰ χωροῦντα τοῖς τόποις. καὶ ταῦτα δὲ πρώτως ἐν τόπῳ ἐστίν. ὥστε καὶ τὰ ἀντικείμενα τούτῳ, τό, τε δυνάμει, καὶ τὸ κατὰ συμβεβηκός, περιέχεται ἐν ἑαυτοῖς τῷ κατ' ἄλλο. τὸ μὲν γὰρ δυνάμει ἐν τόπῳ ὄν, οἷον τὰ μόρια, κατ' ἄλλο ἐν τόπῳ ἐστί, καὶ καθ' αὑτό. τῷ γὰρ τὸ ὅλον καθ' αὑτὸ ἐν τόπῳ εἶναι, καὶ τὸ μόριον δήπου καθ' αὑτὸ ἐν τόπῳ ἐστί. τὰ δὲ κατὰ συμβεβηκὸς ἐν τόπῳ, οὐ πάντως καὶ κατ' ἄλλο ἐν τόπῳ ἐστίν. οἷον ἡ ψυχή, ἢ τὸ λευκόν. ταῦτα γὰρ μόνως ἐστὶ κατὰ συμβεβηκὸς ἐν τόπῳ. διὰ τοῦτο οὖν συμπεριέλαβε τοῖς κατὰ συμβεβηκός, καὶ τὰ κατὰ τὰ ἄλλο, διὰ τῶν παραδειγμάτων. ὁ σύνολος οὐρανός φησι, κατὰ μὲν τὰ μόρια πάντα, ἐν τόπῳ ἐστίν. ἕκαστον γὰρ τῶν μορίων, περιέχεται ὑπὸ τῶν πέριξ, καὶ οἷον τόπος ἐστὶν ἀλλήλοις τὰ μόρια. τὸ δὲ πᾶν, οὐκ ἔστιν ἐν τόπῳ. εἰ γὰρ εἴη ἐν τόπῳ, ἔστι τι τὸ περιέχον αὐτὸ ἔξωθεν. οὕτω δέ, οὐκ ἂν εἴη πᾶν, οὐδὲ ὅλον, εἴ τι ἔχει περιέχον. καὶ διὰ τοῦτό φησι φαμὲν ἐν τῷ οὐρανῷ τὰ πάντα εἶναι, διότι τὸ πᾶν ἐστιν ὁ οὐρανός. ἔξωθεν γὰρ πάντα περιέχει, καὶ ἐν ἑαυτῷ συμπεριείληφεν. εἰπὼν δὲ ὁ ἀριστοτέλης, πῶς τὸ τῆς ἀσαφείας αἴτιον ἐκ τοῦ ἀποδεδομένου λόγου δῆλον γέγονε, δείξας δὲ ὅτι καὶ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ, ἐμφαίνεται διὰ τοῦ ὁρισμοῦ, ἐφεξῆς δείκνυσιν, ὅτι καὶ αἱ ἀπορίαι πᾶσαι, αἱ πρὸς τὸν τόπον φερόμεναι, ἐπιλύονται, ἐκ τοῦ ἀποδεδομένου ὁρισμοῦ περὶ τόπου. καὶ πρῶτόν γε ἠπορεῖτο, ὅτι εἰ ἔστιν ὁ τόπος, τριχῇ ὄντος διαστατοῦ τοῦ σώματος, ἀνάγκη καὶ αὐτόν, τριχῇ εἶναι διαστατόν. τούτῳ γὰρ πᾶν σῶμα ὁρίζεται. ὥστε σῶμα διὰ σώματος χωρήσει. εἰ οὖν δέδεικται, ὅτι οὐκ ἔστι διάστημα ὁ τόπος, ἀλλὰ τὸ πέρας τοῦ περιέχοντος, λέλυται ἡ ἀπορία. μᾶλλον δέ, οὐδὲ τὴν ἀρχὴν συνίσταται. πάλιν ἠπορεῖτο, ὅτι εἰ ἔστι σώματος τόπος, ἔστι καὶ ἐπιφανείας καὶ σημείου, ἀλλ' οὐκ ἀνάγκη φησίν, εἰ τὸ σῶμα εἴη ἐν τόπῳ, ἤδη καὶ ἐπιφάνειαν καὶ σημεῖον ἐν τόπῳ εἶναι. οὐδὲ γὰρ χωριστὰ ταῦτα. οὐδὲ καθ' αὑτὰ ἐν τόπῳ. εἰ γὰρ μηδὲ τὰ μόρια καθ' αὑτὰ φαμὲν ἐν τόπῳ, ἀλλὰ τῷ τὸ ὅλον ἐν τόπῳ εἶναι, καὶ ταῦτα διὰ τὸ ὅλον ἐν τόπῳ λέγεται), πόσῳ μᾶλλον περὶ ἐπιφανείας καὶ γραμμῆς καὶ σημείου τὸ αὐτὸ ῥητέον; τὸ γὰρ πέρας τοῦ περιέχοντος ὅλου ὡς ὅλῳ ἐστὶ τόπος, οὐχὶ δὲ τῶν μερῶν ἰδίᾳ. ἔτι ἠπορεῖτο, ὅτι εἰ ἔστιν ὁ τόπος, ἀνάγκη αὐξομένων τῶν σωμάτων, συναύξεσθαι καὶ τὸν τόπον. εἰ μὲν οὖν διάστημα ἦν φησιν ὁ τόπος, ἀνάγκη συναύξεσθαι αὐτὸν τῷ σώματι καθ' αὑτόν. νῦν δὲ πέρας ὢν τοῦ περιέχοντος, οὐ συναύξεται τῷ αὐξομένῳ. οὐ γὰρ αὔξεται τὸ πέρας καθ' αὑτό. τῶν γὰρ σωμάτων ἡ αὔξησις. ἀλλὰ τῇ αὐξήσει τοῦ ἐν τόπῳ, ὑποχωροῦντος τοῦ περιέχοντος σώματος, ἤτοι κατὰ ἀντιπερίστασιν, ἢ κατὰ πίλησιν καὶ πύκνωσιν, καὶ τὰ πέρατα αὐτοῦ ὑπείκει. καὶ οὕτω τὰ αὐξόμενα ἐν μείζονι γίνεται τόπῳ. ὥστε μείζων μὲν ὁ τόπος ἐγένετο, ηὔξηται δὲ οὐδαμῶς. καὶ ἄλλως, ἐπεὶ ἡ αὔξησις τῶν σωμάτων οὐ γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἀλλὰ διὰ τῆς τῶν τροφῶν εἰσκρίσεως, μεταβαλλομένων τῶν τροφῶν εἰς τὰ τοῦ σώματος μόρια, σαφὲς ἂν εἴη, ὡς τὸ αὐξηθὲν σῶμα τοῦτον τὸν τόπον καταλαμβάνει, ὅνπερ ἐπεῖχον αἱ τροφαί. ὥστε οὐκ ἀνάγκη, οὔτε κενὸν εἶναι, οὔτε σώματι μὴ εἶναι ἐν τόπῳ. δῆλον δέ, ὅτι τὰ αὐτὰ ταῦτα ἐροῦσι καὶ οἱ τὸν τόπον τριχῇ εἶναι διαστατὸν λέγοντες. καὶ πολλῷ μᾶλλον, ὅπου ἡ μὲν τοῦ σώματος ἐπιφάνεια, μείζονος γινομένου τοῦ αὐξομένου, καὶ διὰ τοῦτο τοῦ περιέχοντος σώματος διϊσταμένου, μείζων γίνεται ἢ πρότερον, οὐ τῷ αὔξεσθαι, ἀλλ' ὡς εἶπον, τῷ διΐστασθαι τὸ σῶμα, οὗ ἐστιν ἐπιφάνεια. καὶ διὰ τοῦτο, ἐπινοηθείη ἂν αὔξεσθαι. κατὰ δὲ τὴν ἑτέραν δόξαν, οὐδὲ ψιλή τις καταλείπεται ὑπόνοια τοῦ αὔξεσθαι τὸν τόπον. τοῦ γὰρ διαστήματος χωριστοῦ ὄντος παντὸς σώματος, καὶ διὰ τοῦτο ἀκινήτου, ὅταν αὐξηθῇ τὸ σῶμα, τοσοῦτον μόνον τὸ πλησίον ἑαυτοῦ σῶμα, εἴτε ἀὴρ εἴη εἴτε ὕδωρ, ὠθήσει, καταλήψεται τὸν αὐτοῦ τόπον, τοῦ διαστήματος πάντη ἀπαθοῦς μείναντος. καὶ οὕτως ἐν μείζονι τόπῳ γέγονε τὸ αὐξηθέν, τοῦ τόπου μηδεμίαν ἀλλοίωσιν ὑπομείναντος. καὶ εἰ τὸν τῆς τροφῆς τόπον τὸ προστεθὲν τῷ αὐξομένῳ καταλαμβάνει, ποία ἀνάγκη αὔξεσθαι τὸ διάστημα. μόνως δὲ ἂν συναύξεσθαι ἀνάγκη ἦν τὸν τόπον, εἴπερ εἶδος ἦν ὁ τόπος τοῦ ἐν τόπῳ. τοῦτο γάρ ἐστι τὸ αὐξόμενον, ὥσπερ ἐν τοῖς περὶ γενέσεως δείκνυται. ἀλλ' οὐδὲ ἐπιφανείας εἶναι τόπον ἀνάγκη, οὐδὲ τὰ τοῦ σώματος ὅλως πέρατα ἐν τόπῳ εἶναι. εἰ γὰρ ἐδείξαμεν, ὅτι οὐδὲ τὰ μόρια ἀνάγκη καθ' αὑτὰ εἶναι ἐν τόπῳ, πόσῳ μᾶλλον τὰ πέρατα; εἰ δὲ διὰ τὸ ἐφαρμόζειν ἀλλήλοις τὰ πέρατα, ταύτῃ καὶ ἐν τόπῳ εἶναι αὐτὰ ἀξιοῦσι, τί μᾶλλον ταύτῃ τῇ ὑποθέσει τοῦτο συμβήσεται, ἢ τῇ ἀριστοτελικῇ. καὶ γὰρ ἐκεῖ, ἐφαρμόζειν ἀλλήλοις ἀνάγκη τὰ πέρατα. καὶ εἰ οὐδὲν διαφέρει τὸ ἀγγεῖον τοῦ τόπου, ἢ τῷ κινεῖσθαι, πληροῦται δὲ τὸ ἀγγεῖον ὑπὸ τοῦ ἐν αὐτῷ ἤτοι ἀέρος ἢ ὕδατος, καὶ ὁ τόπος ἄρα πληροῦται ὑπὸ τοῦ ἐν τόπῳ, κενὸς ὢν τῷ ἰδίῳ λόγῳ. ἐπιφάνειαν δὲ ἐπιφάνεια, ἢ γραμμὴν γραμμή, ἢ σημεῖον σημεῖον οὐ πληροῖ, οὐδὲ ἐστι κενὰ τῷ ἰδίῳ λόγῳ. μόνον δὲ ἐφαρμόζουσιν ἀλλήλοις. δῆλον ἄρα ὅτι οὐδεμία ἀνάγκη, καὶ ἐπιφανείας ἢ γραμμῆς ἢ στιγμῆς τόπον εἶναι λέγειν. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. ἐπιλύεται δὲ ὁ ἀριστοτέλης, καὶ τὴν ζήνωνος ἀπορίαν. εἰ γὰρ πᾶν τὸ ὄν, πού ἐστιν, ὡς ἔλεγεν ἐκεῖνος, ἔστι δὲ καὶ ὁ τόπος, καὶ ὁ τόπος ἄρα πού ἔσται. ὥστε ἔσται τόπος ἐν τόπῳ, καὶ τοῦτο ἐπ' ἄπειρον. ἐπιλύεται οὖν καὶ ταύτην. οὐ γὰρ ἀνάγκη φησί, πᾶν τὸ ὂν πού εἶναι, καὶ διὰ τοῦτο καὶ ὁ τόπος πού ἔσται, ἔσται πού μὲν ὁ τόπος, οὐχ ὡς

ταῦτα μὲν οὖν τὰ κατὰ τόπον κινούμενα. τὸ δὲ ὅλον, τοῖς μέρεσι κινεῖσθαι λέγεται. πάντων γὰρ τῶν μερῶν κινουμένων, καὶ τὸ ὅλον λέγεται κινεῖσθαι, οὐ πρώτως, ἀλλ' ὡς εἴποι κατὰ τὰ μόρια. εἴη δ' ἂν τῶν μορίων τόπος, κατὰ μὲν ἀριστοτέλην, αὐτὰ τὰ μόρια ἀλλήλοις, διὰ τὸ περιέχεσθαι ἕκαστον ὑπὸ τῶν περιεξ. οἷον γὰρ τόποι εἰσὶν ἀλλήλων τὰ μόρια, ἑκάστου κύκλῳ ὑπὸ τῶν περιεξ περιεχομένου. ὡς δὲ τοῖς ἐξηγηταῖς αὐτοῦ δοκεῖ, εἴη ἂν τόπος τῆς ἀπλανοῦς κατὰ τὰ μόρια, ἡ κυρτὴ ἐπιφάνεια τῆς ἐντὸς σφαίρας. ἧς ἄλλοτε ἄλλου μορίου ἐφάπτεται τὰ τῆς ἀπλανοῦς μόρια, δηλονότι κατ' ἀναλογίαν τόπον τοῦτον καλούντων ἡμῶν. οὐ γὰρ ἔξωθεν περιέχει. ἀλλὰ κατὰ τὸ ἀφοριστικὸν, ἔχει τινὰ πρὸς τὸν τόπον ὁμοιότητα. ὡς γὰρ ὁ κυρίως τόπος ἀφοριστικός ἐστιν ἑκάστου ἀπὸ τῶν λοιπῶν, οὕτω δὴ καὶ ἡ κυρτὴ ἐπιφάνεια τῆς ἐντὸς σφαίρας, ἀφορίζει τὸ ἔξω σῶμα τῶν λοιπῶν. ταύτῃ οὖν κατ' ἀναλογίαν τόπος ἂν εἴη τῆς ἀπλανοῦς ἡ κυρτὴ ἐπιφάνεια τῆς ἐντὸς σφαίρας, καὶ τόπος τοῦ ὅλου κατὰ τὰ μόρια. ταῦτα γάρ ἐστι τὰ ἄλλοτε ἄλλο τῆς αὐτῆς ἐπιφανείας μόριον ἐπιλαμβάνοντα. ὃ δὲ ἐπὶ τῆς ἀπλανοῦς εἴρηται, τοῦτο καὶ ἐπὶ τοῦ παντὸς ἂν λεχθείη. τὸ γὰρ πᾶν, αὐτὸ μὲν οὐκ ἔστιν ἐν τόπῳ. οὐδὲν γάρ ἐστιν αὐτοῦ ἔξω. κατὰ μέντοι τὰ μόρια αὐτοῦ, ἐν τόπῳ ἐστί. τὰ μὲν γὰρ αὐτῶν κύκλῳ κινεῖται, τὰ ἀΐδια. τὰ δὲ ἄνω καὶ κάτω, τὰ γεννητὰ καὶ φθαρτά. ταῦτα εἰπὼν ὁ ἀριστοτέλης, βουλόμενος σαφέστερον ἐκθέσθαι, πῶς μὲν οὐκ ἔστιν ὁ οὐρανὸς ἐν τόπῳ, πῶς δέ ἐστι, διαίρεσιν τῶν ἐν τόπῳ ὄντων ποιεῖται. τῶν γὰρ ἐν τόπῳ ὄντων φησὶ, τὰ μὲν δυνάμει ἐστὶν ἐν τόπῳ. τὰ δὲ, ἐνεργείᾳ. ἐνεργείᾳ μὲν ἐν τόπῳ λέγεται, ὅσα δὴ ἔχοντα περιγραφὴν, ἀφορίζεται ὑπὸ τοῦ τόπου τῶν λοιπῶν. δυνάμει δὲ ἐν τόπῳ λέγεται, τὰ μόρια τοῦ ὅλου, συνεχοῦς ὄντος, καὶ ἐν τόπῳ ὄντος. κατὰ δύναμιν δὲ ταῦτα λέγεται, ὅτι δύναται χωρισθέντα τοῦ ὅλου, καθ' αὑτὰ ἐν τόπῳ εἶναι. καὶ συνεχῆ μὲν μηκέτι εἶναι, ἁπτόμενα δὲ, ὡς ἔχει ὁ σωρὸς τῶν πυρῶν. ἕκαστος γὰρ τῶν κόκκων, μόριον τοῦ ὅλου ὢν, ἐν τόπῳ ἐστὶ, διὰ τὸ μὴ εἶναι συνεχὴς, ἀλλ' ἕκαστος ἐν ἰδίᾳ περιγραφῇ εἶναι. πάλιν τῶν ἐν τόπῳ ὄντων, τὰ μὲν καθ' αὑτό ἐστιν ἐν τόπῳ, τὰ δὲ κατὰ συμβεβηκός. καθ' αὑτὸ μὲν, ὅσα φησὶ κατὰ φορὰν κινεῖται, ἢ κατὰ αὔξησιν, ἢ μείωσιν. ταῦτα δ' ἐστὶ τὰ σώματα, τὰ ἐν γενέσει. κατὰ συμβεβηκὸς δὲ κινεῖσθαι λέγεται, τὰ συμβεβηκότα πάντα, καὶ ἡ ψυχὴ, εἴτε ἐν ὑποκειμένῳ εἴη τῷ σώματι, εἴτε χωριστή. ταῦτα γὰρ οὐδέποτε καθ' αὑτὰ ἐν τόπῳ γίνεται. ἀσώματα γάρ ἐστι. τετραχῶς οὖν τῶν ἐν τόπῳ λεγομένων, ἐν τοῖς κατὰ συμβεβηκὸς ἐν τόπῳ οὖσι φησὶ τὸν οὐρανὸν τακτέον. οὔτε γὰρ κατ' ἐνέργειαν ἐν τόπῳ ἐστίν. ὑπ' οὐδενὸς γὰρ ἔξωθεν περιέχεται. οὔτε κατὰ δύναμιν, οὐδέποτε γὰρ περιεχθήσεται. τοιαῦτα γάρ ἐστι τὰ κατὰ δύναμιν ἐν τόπῳ, ὡς δύνασθαί ποτε καὶ κατ' ἐνέργειαν γενέσθαι. ἀλλ' οὔτε καθ' αὑτὸ ἐν τόπῳ ἐστὶν ὁ οὐρανός. οὐ γάρ ἐστι κινητὸς κατὰ φοράν. τὸ γὰρ φερόμενον, ὅλον ἀμείβει τὸν τόπον. οὗτος δὲ ἐν ταυτῷ μένων, κατὰ μόρια κινεῖται. καὶ ἡ κίνησις, οὐ τοῦ ὅλου ἐστὶν, ἀλλὰ τῶν μορίων. λείπεται οὖν κατὰ συμβεβηκὸς ἐν τόπῳ εἶναι τὸν οὐρανόν. Απορεῖ δὲ πρὸς τοῦτο ὁ θεμίστιος. πῶς οὐ μάχεται αὐτὸς πρὸς ἑαυτὸν ὁ ἀριστοτέλης, νῦν μὲν τὴν κατὰ μόρια κίνησιν, κατὰ συμβεβηκὸς λέγων κίνησιν. πρὸ τούτου δὲ, ἐν οἷς ἐπεδείκνυεν, ὅτι δυνατὸν αὐτό τι ἐν ἑαυτῷ εἶναι ὡς ἐν τόπῳ, κατὰ μόρια δύνασθαι ἔλεγεν αὐτό τι ἐν ἑαυτῷ εἶναι ὡς ἐν τόπῳ. κατὰ συμβεβηκὸς δὲ μὴ δύνασθαι. ὡς δὴ ἑτέρου ὄντος τοῦ κατὰ μόρια, καὶ τοῦ κατὰ συμβεβηκός. Καὶ ἐπιλύεται τὴν ἀπορίαν, λέγων ὅτι ἴσως κοινότερον ἐχρήσατο τῷ κατὰ συμβεβηκὸς ὁ ἀριστοτέλης, ἀντὶ τοῦ κατ' ἄλλο. ἔθος δὲ αὐτῷ πολλάκις ἀντὶ τῶν γενῶν κεχρῆσθαι τοῖς εἴδεσιν. ὡς δὴ τοῦ κατ' ἄλλο, ἐπὶ πλέον ὄντος τοῦ κατὰ συμβεβηκός. καὶ λεγομένου καὶ ἐπὶ τοῦ κατὰ μόρια, καὶ ἐπὶ τοῦ κατὰ συμβεβηκός, τοῦ κατ' ἄλλο. ἢ μᾶλλον ἀσφαλέστερόν ἐστι λέγειν, ὅτι κατεχρήσατο τῷ ὀνόματι. ὥσπερ γὰρ πολλάκις τοῦ ὅλου κινουμένου, λέγομεν τὸ μόριον κατὰ συμβεβηκὸς κινεῖσθαι, καὶ τοῦ ὅλου ἐν τόπῳ ὄντος καὶ τὸ μόριον κατὰ συμβεβηκὸς ἐν τόπῳ. καίτοι οὐ κυρίως ἂν λεχθείη τοῦ ὅλου κινουμένου ἡ χεὶρ κατὰ συμβεβηκὸς κινεῖσθαι. ἀλλὰ καθ' αὑτὸ μὲν κινεῖσθαι, οὐκ ἰδίᾳ δὲ, οὐδὲ ᾗ χείρ ἐστιν, ἢ ἁπλῶς μέρος, ἀλλ' ᾗ συνήνωται τῷ ὅλῳ. διὸ κυριώτερον ἂν λεχθείη, μὴ πρώτως κινεῖσθαι, ἀλλὰ κατ' ἄλλο. κατὰ γὰρ τὸ ὅλον ἡ τῶν μερῶν κίνησις. ὥσπερ οὖν ὅπερ εἶπον καταχρώμενοι πολλάκις, λέγομεν τοῦ ὅλου κινουμένου, τὸ μόριον κατὰ συμβεβηκὸς κινεῖσθαι, οὕτω δὲ καὶ τῶν μερῶν κινουμένων, τὸ ὅλον λέγοιτ' ἂν κατὰ συμβεβηκὸς κινεῖσθαι. οὐ κυρίως. κατ' ἄλλο γὰρ κυριώτερον ἂν λεχθείη τὸ ὅλον κινεῖσθαι, τῶν μορίων κινουμένων. τὰ γὰρ πρώτως κινούμενα, τὰ μόριά ἐστιν. οὕτως οὖν καὶ ἐν τόπῳ λέγοιτ' ἂν ὁ ὅλος οὐρανὸς εἶναι, οὐ κατὰ συμβεβηκός. οὐ γὰρ συμβέβηκεν ἄλλῳ τῳ, καθ' αὑτὸ ἐν τόπῳ ὄντι. τοιαῦτα δὲ τὰ κατὰ συμβεβηκὸς θέλει εἶναι. ἀλλὰ μᾶλλον κατ' ἄλλο, τῷ τὰ μόρια αὐτοῦ πάντα ἐν τόπῳ εἶναι. ἀλλ' ἐπειδὴ ὁ ἀριστοτέλης εἶπέ τινα ἐν τόπῳ εἶναι καθ' αὑτὸ, εἰκότως τῷ καθ' αὑτὸ ἀντιτάττει τὸ κατὰ συμβεβηκός. ἀλλ' ἐν τῷ κατὰ συμβεβηκὸς τούτῳ, περιλαμβάνει καὶ τὰ κατ' ἄλλο ἐν τόπῳ ὄντα. εἰπὼν γὰρ, τὰ δὲ, κατὰ συμβεβηκὸς, ἐπήγαγεν, οἷον ἡ ψυχὴ, καὶ ὁ οὐρανός. ὧν τὸ μὲν κατὰ συμβεβηκός ἐστιν ἐν τόπῳ ἡ ψυχή. τὸ δὲ, κατ' ἄλλο, ὁ οὐρανός. ἔδει γὰρ εἰπόντα αὐτὸν, τὰ δυνάμει καὶ ἐνεργείᾳ ἐν τόπῳ ὄντα, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς, εἰπεῖν καὶ τὰ πρώτως καὶ κατ' ἄλλο. ἀλλὰ τὰ μὲν πρώτως ἐν τόπῳ περιείληφεν, ἔν τε τοῖς ἐνεργείᾳ οὖσιν ἐν τόπῳ, καὶ ἐν τοῖς καθ' αὑτό. τὰ δὲ κατ' ἄλλο, ἔν τε τοῖς δυνάμει, καὶ ἐν τοῖς κατὰ συμβεβηκός. τότε γὰρ κατ' ἐνέργειαν

τὸ μέσον, ἥτις ἐστὶν ἡ γῆ. πῆ μὲν τὴν τοῦ ἀέρος ἐπιφάνειαν, τὴν ἁπτομένην τῆς γῆς. πῆ δὲ τὴν τοῦ ὕδατος. ὁμοίως δὲ καὶ τὸ ἄνω, διττόν. καὶ τὸ πρὸς ἡμᾶς ἔσχατον τοῦ οὐρανοῦ, τοῦτο δέ ἐστιν ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας. καὶ αὐτὸ τὸ ἔσχατον, τοῦτο δέ ἐστι τὸ κοῦφον σῶμα, λέγω δὴ τὸ πῦρ. οὕτω μὲν οὖν τινὲς τὰ προκείμενα ῥητὰ ἐξηγήσαντο, ὥσπερ ἤδη καὶ ἐν τῇ τῆς λέξεως θεωρίᾳ προειρήκαμεν. ὁ δὲ Θεμίστιος οὕτως. ἐπὶ τὸ ἄνω φησὶ καὶ τὸ κάτω ἡ κίνησις γίνεται κατὰ φύσιν τοῖς σώμασι. τοῖς μὲν κούφοις, ἐπὶ τὸ ἄνω φύσει. τοῖς δὲ βάρος ἔχουσιν, ἐπὶ τὸ κάτω. ποιεῖ δέ φησι τὸν μὲν κατωτάτω τόπον, βίᾳ τινὰ τὸ μάλιστα. αὐτό τε τὸ μέσον, καὶ τὰ περὶ τὸ μέσον, ταῦτα δ' ἐστὶν, ἡ γῆ, καὶ τὸ ὕδωρ, καὶ ὁ ἀήρ. ἕκαστον γὰρ τῶν βαρέων σωμάτων, ὑπὸ τούτων περιέχεται τῶν στοιχείων, ἢ πάντων, ἢ τινῶν. ὑπὸ πάντων μὲν φησὶ περιέχονται, ὡς οἱ τῶν ποταμῶν ἀνέχοντες λίθοι. τούτους γὰρ περιέχει κατά τι μὲν ἡ ὑποκειμένη τῷ ὕδατι γῆ, κατά τι δὲ ὁ ἀὴρ, κατά τι δὲ τὸ ὕδωρ. οἱ δὲ βαδίζοντες ἢ νηχόμενοι, ὑπὸ τῶν δύο περιέχονται. οἱ μὲν, ὑπὸ γῆς καὶ τοῦ ἀέρος οἱ βαδίζοντες. οἱ δὲ ὑπὸ ὕδατός τε καὶ τοῦ ἀέρος, οἱ νηχόμενοι. ἔστι δὲ δή τινα καὶ ὑπὸ ἑνὸς τούτων περιεχόμενα. ὑπὸ μὲν ἀέρος, οἱ ἐν ἀέρι ὄρνιθες. ὑπὸ δὲ ὕδατος, οἱ ὑπὸ τὸ ὕδωρ νηχόμενοι ἰχθύες. ὑπὸ δὲ γῆς, μόριά τινα γῆς διῃρημένα μὲν αὐτῆς, πανταχόθεν δὲ αὐτῆς ἁπτόμενα, καὶ περιεχόμενα ὑπ' αὐτῆς. καὶ ἔοικεν ἡ ἐξήγησις αὕτη μᾶλλον εἶναι προσφυεστέρα. τινὲς δὲ τὸ μέσον τοῦ οὐρανοῦ, τὸ κενὸν τοῦ παντὸς ἐξειλήφασι, παντελῶς οὗτοι παρὰ πόδας ἐλθόντες. οὐδενὸς γὰρ ὅλως τὸ κενὸν τόπος ἐστίν. ἀλλὰ φέρεται μὲν πάντα ὡς ἐπὶ τὸ κενὸν, οὐδενὸς δέ ἐστι τόπος τὸ κενόν. εἴτε τὸ πέρας τοῦ περιέχοντος ὁ τόπος, εἴτε τὸ μεταξὺ τῶν περάτων διάστημα. ἐπιστατέον δὲ, ὅτι καὶ ἐντεῦθεν δείκνυται, ὅτι οὐκ ἔστι τὸ πέρας τοῦ περιέχοντος ὁ τόπος. συμβήσεται γὰρ τὰ αὐτὰ τόπους εἶναι ἀλλήλων. ἔστι μὲν γὰρ τῆς γῆς τόπος, ἥ τε ἐπιφάνεια τοῦ ὕδατος ἁπτομένη αὐτῆς, καὶ ἡ τοῦ ἀέρος ὁμοίως. ταῦτα γὰρ τῆς γῆς τόπος, ὁ ἀὴρ φημὶ καὶ τὸ ὕδωρ, πανταχόθεν αὐτὴν περιέχοντα, ἄλλο κατ' ἄλλο μέρος. ἤτοι ἡ πρὸς τῇ γῇ ἐπιφάνεια τοῦ ἀέρος, καὶ τοῦ ὕδατος. ἀλλ' ἐπεὶ καὶ τὸ ὕδωρ, τῶν ἐν τόπῳ ὄντων σωμάτων ἐστὶν, εἴη ἄν τις αὐτοῦ τόπος. καὶ οὗτος οὐχ ἁπλῶς, οὐ γὰρ μόνος ὁ ἀὴρ ἅπτεται πανταχόθεν τοῦ ὕδατος. ἀλλὰ κατὰ τινὰ μὲν μόρια ὁ ἀὴρ, κατά τινα δὲ ἡ γῆ. ὥστε καθ' ὃ μέρος τῆς γῆς, τόπος ἦν τῆς γῆς τὸ ὕδωρ, ἤτοι ἐπιφάνεια αὐτοῦ, κατ' αὐτὸ τοῦτο καὶ ἡ γῆ τόπος ἔσται τοῦ ὕδατος. ὥστε ἡ γῆ καὶ τὸ ὕδωρ κατὰ τὸ αὐτὸ ἀλλήλων ἔσονται τόποι. συμβήσεται οὖν, τὸ αὐτὸ κατὰ τὸ αὐτὸ, καὶ τόπον εἶναι, καὶ ἐν τόπῳ. εἰ τοίνυν ταῦτα ἀδύνατα, οὐκ ἂν εἴη τὸ πέρας τοῦ περιέχοντος, ὁ τόπος, ἀλλὰ μᾶλλον τὸ διάστημα, τὸ ἐμπεριειληφὸς ἕκαστον τῶν φυσικῶν σωμάτων. ὃ καθ' αὑτὸ, κενόν ἐστιν, ἀλλ' οὐδέποτε μένει κενὸν, ἀλλὰ πληροῦται ὑπὸ τοῦ ἐγγινομένου σώματος, ὃ καὶ τόπος ἐστί.

ΚΑΙ διὰ τοῦτο δοκεῖ ἐπίπεδόν τι εἶναι καὶ οἷον ἀγγεῖον ὁ τόπος καὶ περιέχον.

Οὐ διὰ τὸ προσεχῶς εἰρημένον, ἀλλ' ὅτι ἐστὶ πέρας ὁ τόπος τοῦ περιέχοντος. εἰ γὰρ πέρας ἐστὶν, ἐπίπεδόν ἐστι δηλονότι ὁ τόπος. καὶ εἰ περιέχει πανταχόθεν ὁ τόπος, τοιοῦτον δὲ καὶ τὸ ἀγγεῖον πανταχόθεν τὸ ἐν αὐτῷ περιέχον, ἔοικεν ἄρα καὶ ἀγγείῳ ὁ τόπος.

ΕΤΙ ἅμα τῷ πράγματί πως καὶ ὁ τόπος. ἅμα γὰρ τῷ πεπερασμένῳ τὰ πέρατα.

Τουτέστιν οὔτε ἐνδέων αὐτοῦ, οὔτε πλεονάζων. εἰ γὰρ πέρας ἐστὶ τοῦ περιέχοντος, ἐφαρμόζει δηλονότι τῷ πέρατι τοῦ περιεχομένου. ἐφαρμόζων δὲ, ἅμα ἐστὶν αὐτῷ καὶ κατὰ πάντα, μήτε ἐλλείπων αὐτοῦ, μήτε μὴν πλεονάζων.

Ω μὲν οὖν σώματί ἐστί τι ἐκτὸς σῶμα περιέχον αὐτὸ, τοῦτό ἐστιν ἐν τόπῳ. ᾧ δὲ μὴ, οὔ. διὸ κἂν ὕδωρ γένηται τοιοῦτο, τὰ μὲν μόρια κινήσεται αὐτοῦ. περιέχεται γὰρ ὑπ' ἀλλήλων. τὸ δὲ πᾶν, ἔστι μὲν ὡς κινεῖται, ἔστι δ' ὡς οὔ. ὡς μὲν γὰρ ὅλον, ἅμα τὸν τόπον οὐ μεταβάλλει.

Εἰπὼν ὁ Ἀριστοτέλης, τίνα ἐστὶν ἐν τόπῳ, νῦν λέγει, τίνα οὐκ ἔστιν ἐν τόπῳ. εἰ γὰρ ὁ τόπος ἐστὶ φησὶ τὸ πέρας τοῦ περιέχοντος, εἴ τι ἄρα μὴ ἔχει ἔξωθεν ἑαυτοῦ σῶμά τι, τοῦτο οὐκ ἔστιν ἐν τόπῳ. οὐ γὰρ ἔχει οὐδὲν ἔξωθεν τὸ περιέχον. οἷον τὸ πᾶν, οὐκ ἔστιν ἐν τόπῳ. οὐδὲν γάρ ἐστιν αὐτοῦ ἔξω. εἰ γὰρ ἔχει τι ἔξω, οὐκ ἂν εἴη κυρίως τὸ πᾶν. διὸ τοῦ οὐρανοῦ εἰ μηδέν ἐστιν ἔξω, ὥσπερ οὖν οὐκ ἔστιν, οὐκ ἂν οὐδὲ ἐν τόπῳ εἴη. ὥσπερ οὖν φησὶ κἂν εἰ μόνον ἦν τὸ πᾶν, οἷον ὕδωρ, ὅπερ ὁμολογουμένως ἐν τόπῳ ἐστὶ, διαφέρει γὰρ, καὶ ἐν ἑαυτῷ συμμένειν οὐ πέφυκεν, ἀλλὰ δεῖται τοῦ συνέχοντος καὶ ὁρίζοντος, τὰ μὲν μόρια αὐτοῦ, εἴ γε ἦν διῃρημένα, ὥσπερ νῦν διῄρηται τὰ τοῦ παντὸς μόρια, αὐτὰ μὲν ἐν τόπῳ ἂν ἦν, τὸ δὲ ὅλον ὕδωρ οὐκ ἂν ἦν ἐν τόπῳ, ἐπεὶ μηδὲν εἶχέ τι ἔξωθεν αὐτοῦ σῶμα περιέχον αὐτό, οὕτω καὶ νῦν ἔχοντος ὡς ἔχει τοῦ παντὸς, ἐπεὶ μή ἐστί τι ἔξω αὐτοῦ, οὐδ' ἂν ἐν τόπῳ εἴη. καὶ εἰ μὴ ἔστιν ὁ οὐρανὸς ἐν τόπῳ, πῶς κινεῖται κατὰ τόπον. φησὶν οὖν ὅτι πῆ μὲν κινεῖσθαι λέγεται, πῆ δὲ οὔ. καθ' ὅλον μὲν ἑαυτὸν, οὐ κινεῖται. οὐ γὰρ ἀμείβει τὸν ὅλον τόπον. αὕτη γάρ ἐστιν ἡ τῶν ὅλων κίνησις κατὰ τόπον, ὅταν τὸν ὅλον ἀμείβῃ τόπον ἐν ᾧ ἐστίν. ὁποῖά ἐστι, τὰ ἐπ' εὐθείας κινούμενα. ὥστε καθ' ὅλον μὲν ἑαυτὸν ὁ οὐρανὸς, ὥσπερ οὐκ ἔστιν ἐν τόπῳ, οὕτως οὐδὲ κινεῖται κατὰ τόπον, κύκλῳ δὲ κινεῖται. ἡ δὲ τοιαύτη κίνησις, τῶν μορίων ἐστὶ κίνησις. ἐν γὰρ τῇ κύκλῳ κινήσει, τὸ μὲν ὅλον ὡς ὅλον ἀκίνητόν ἐστι, τὰ δὲ μόριά ἐστι τὰ ἀντιπαραχωροῦντα ἀλλήλοις τοὺς ἰδίους τόπους.

περ κἀκεῖνας. τοῖς μὲν γὰρ πέρας τοῦ περιέχοντος λέγουσιν εἶναι τὸν τόπον, διὰ τὸ τὸν τόπον πέρας εἶναι σώματός τινος, τὸ δὲ πέρας ἔξωθεν περιέχειν τὸ ἐν τόπῳ, διὰ τοῦτο δοκεῖ σαφὲς εἶναι, τὸ περιέχειν τὸν τόπον, οὐ πρὸς τὸ πέρας ἀφορῶσιν, ὅπερ ἐστὶ κυρίως ὁ τόπος, ἀλλὰ πρὸς τὸ σῶμα, οὗ ἐστι πέρας. ἀλλ' ὥσπερ τὸ πέρας, ὅπερ ἐστὶν ὁ κυρίως τόπος, ἐφαρμόζον τῷ πέρατι τοῦ ἐν τόπῳ, καὶ μήτε μεῖζον αὐτοῦ ὂν μήτε ἔλαττον, ἀλλ' ἐν παντὶ ἴσον, οὐ τὸ ὅμως περιέχειν λέγεται, οὕτω δηλονότι καὶ τὸ διάστημα κατὰ τὸ πέρας ἑαυτοῦ ἐφαρμόζον τῷ πέρατι τοῦ ἐν αὐτῷ σώματος, ταύτῃ λέγοιτο ἂν περιέχειν καὶ αὐτό. τῆς γὰρ ἡ ἀπαιτήσεως, ὥσπερ ἐπὶ τῆς ἑτέρας δόξης, οὕτω καὶ ἐπὶ τῆς λοιπῆς, ἐφαρμοζόντων τῶν περάτων ἀλλήλοις, τοῦ τε τοπικοῦ καὶ τοῦ ἐν τόπῳ, τὸ μὲν λέγειν περιέχειν, τὸ δὲ μὴ περιέχειν. ἢ οὖν ἐπὶ μηδετέρου λεγέσθω τὸ περιέχειν, ἢ ἐπ' ἀμφοῖν.

» ΚΑΙ διὰ τὸ ἐν ἠρεμοῦντι τῷ περιέχοντι γίνεσθαι τὴν μετάστασιν τοῦ φερομένου. ἐνδέχεσθαι γὰρ
» φαίνεται εἶναι διάστημα μεταξὺ ἄλλο τι τῶν κινουμένων μεγεθῶν. συμβάλλεται δέ τι καὶ ὁ ἀὴρ, δο-
» κῶν ἀσώματος εἶναι. φαίνεται γὰρ οὐ μόνον τὰ πέρατα τοῦ ἀγγείου εἶναι ὁ τόπος, ἀλλὰ καὶ τὸ μεταξὺ ὂν ὡς κενόν.

Ἠρεμοῦντος γὰρ τοῦ ἀγγείου, μεθίσταται τὸ ἐν αὐτῷ περιεχόμενον, καὶ ἄλλοτε ἄλλο τὸν αὐτὸν μεταλαμβάνει τόπον. οὐ μόνον δὲ ἐν τῷ ἀγγείῳ, ἀλλὰ καὶ τοῦ περιέχοντος ἀέρος ἀκινήτου μένοντος, ἄλλοτε ἄλλα εἰς αὐτὸ μεταπίπτει σώματα. ἐπεὶ οὖν τὸ ἠρεμοῦν, ἄλλοτε ἄλλα δέχεται σώματα, δοκεῖ τὸ μεταξὺ τοῦ περιέχοντος, διάστημά τι εἶναι καθ' αὑτὸ, ἕτερον τῶν σωματικῶν διαστημάτων ἐπινοούμενον.

» ΕΣΤΙ δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητὸς, οὕτως ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. διὸ ὅταν μὲν
» ἐν κινουμένῳ τι κινῆται, καὶ μεταβάλλῃ τὸ ἐντὸς, οἷον, ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον,
» ἢ τόπῳ τῷ περιέχοντι.

Ἐπειδὴ ὡς ἐπὶ ἀγγείου τὸν λόγον ἐγύμνασεν, ἵνα μή τις εἴπῃ, ὅτι καὶ τί πρὸς τὸν τόπον, εἰ ἐπὶ ἀγγείου οὕτως ἔχει, διὰ τοῦτό φησιν, ὅτι οὐδὲν διαφέρει τόπος ἀγγείου, εἰ μὴ τῷ κινητῷ καὶ ἀκινήτῳ. ὅθεν καὶ ἐπαλλάττει τὰ ὀνόματα, καὶ καλεῖ καὶ τὸν τόπον ἀγγεῖον, καὶ τὸ ἀγγεῖον τόπον ὥστε ἃ ἄν τις εἴποι ἐπὶ τοῦ ἀγγείου, τὰ αὐτὰ καὶ ἐπὶ τοῦ τόπου εἴποι ἄν. καὶ ἔμπαλιν ἃ ἐπὶ τοῦ τόπου, καὶ ἐπὶ τοῦ ἀγγείου. διό φησι, κἂν μὴ ὡς ἐν ἀγγείῳ ᾖ τι ἀλλ' ἐν τόπῳ, κινῆται δὲ τοῦτο ἐν ᾧ ἐστιν οἷον ὡς ὁ ποταμὸς σὺν τῷ πλοίῳ, ἢ ὁ ἀὴρ σὺν τῷ πλοίῳ, καὶ μάλιστα εἰ ἰσοταχὴς ᾖ, ὡς ἀγγείῳ χρῆται τῷ περιέχοντι, καὶ οὐχ ὡς τόπῳ.

» ΒΟΥΛΕΤΑΙ δ' ἀκίνητον εἶναι ὁ τόπος. διὸ ὁ πᾶς μᾶλλον ποταμὸς, τόπος. ὅτι ἀκίνητος ὁ πᾶς.

Ἰδοὺ ὅπερ ἐξ ἀρχῆς ἔλεγε, τὸ λεῖπον τῶν περὶ τοῦ τόπου ἀξιωμάτων ἐνταῦθα προσέθηκεν. ὅτι δεῖ ὑπάρχειν τῷ τόπῳ, καὶ τὸ ἀκίνητον εἶναι, καὶ μὴ συγκινεῖσθαι τῷ ἐν αὐτῷ.

» ΩΣΤΕ τὸ τοῦ περιέχοντος ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος.

Ἐκ τῶν εἰρημένων συνάγει, τίς ἐστιν ὁ τόπος. ὅτι τὸ πέρας τὸ πρῶτον τοῦ περιέχοντος, ἀκίνητον ὄν. πρῶτον δὲ, ἀντὶ τοῦ προσεχῶς τῷ περιεχομένῳ, καὶ καθ' ὃ περιέχει. ὥστε κἂν λέγηται τὸ ἀγγεῖον, τόπος μεταφορητὸς, οὐχ ᾗ μεταφορητὸς, ταύτῃ ἐστὶν ὁ τόπος. ἀλλ' ᾗ πέρας ἐστὶ τὸ ἔσχατον αὐτοῦ τὸ ἐντός. λέγω δὲ, ἡ κοίλη ἐπιφάνεια, ἥτις ἀκίνητός ἐστι καθ' αὑτὴν, κινεῖται δὲ κατὰ συμβεβηκὸς, τῷ τὸ σῶμα οὗ ἐστι πέρας κινεῖσθαι. εἰ γὰρ τὰ μόρια οὐ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς κινεῖται, τοῦ ὅλου κινουμένου, πόσῳ μᾶλλον τὰ πέρατα. ὥστε πᾶς τόπος, ᾗ τόπος ἐστὶν, ἀκίνητός ἐστι καθ' αὑτόν.

» ΚΑΙ διὰ τοῦτο τὸ μέσον τοῦ οὐρανοῦ καὶ τὸ ἔσχατον τὸ πρὸς ἡμᾶς τῆς κύκλῳ φορᾶς δοκεῖ εἶναι
» τὸ μὲν ἄνω, τὸ δὲ κάτω, μάλιστα πᾶσι κυρίως.

Ἐντεῦθεν λέγει, ὅτι καὶ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ, ἐκ τοῦ ἀποδεδομένου περὶ αὐτοῦ λόγου ὑπάρχοντα δείκνυται. διότι φησὶν ὁ τόπος τὸ πέρας ἐστὶ τοῦ περιέχοντος, ἔστι δὲ ἐν τῷ τόπῳ τὸ ἄνω καὶ τὸ κάτω, διὰ τοῦτό φησι πᾶσι δοκεῖ, ἡ μὲν κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας, ἄνω εἶναι. ἐπὶ ταύτην γὰρ τὰ κοῦφα φέρεται σώματα. τὸ δὲ μέσον τοῦ παντὸς, κάτω. ἐπὶ τοῦτο γὰρ, τὰ βαρέα φέρεται σώματα.

» Ὅτι τὸ μὲν αἰεὶ μένει.

Τουτέστι τὸ μέσον τοῦ οὐρανοῦ. ὅπερ ἐστὶν ὁ τόπος τῶν βαρέων σωμάτων. ἀεὶ δὲ μένει, τουτέστιν ἀκίνητός ἐστι. καὶ κατὰ ἀριθμὸν μὲν, ἐξαλλαττόμενος, κατ' εἶδος δὲ οὔ.

» ΤΟΥ δὲ κύκλου τὸ ἔσχατον, ὡσαύτως ἔχον μένει.

Τουτέστιν ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας. αὕτη γὰρ εἰ καὶ κατὰ μόρια κινεῖται, ἀλλ' οὖν ὅλη ὡς ὅλη, ἀκίνητός ἐστι, καὶ κατ' εἶδος, καὶ κατ' ἀριθμὸν μία καὶ ἡ αὐτὴ οὖσα, καὶ ἀεὶ ὡσαύτως ἔχουσα.

» ΩΣΤ' ἐπεὶ τὸ μὲν κοῦφον, τὸ ἄνω φερόμενόν ἐστι φύσει. τὸ δὲ βαρὺ τὸ κάτω, τὸ μὲν πρὸς τὸ
» μέσον περιέχον πέρας, κάτω ἐστὶ, καὶ αὐτὸ τὸ μέσον. τὸ δὲ πρὸς τὸ ἔσχατον, ἄνω, καὶ αὐτὸ τὸ ἔσχατον.

Ἐπειδή ἐστι φησὶ τὸ φύσει ἄνω φερόμενον, ὃ τὸ κοῦφόν ἐστι, καὶ τὸ κάτω φερόμενον, τοῦτο δέ ἐστι τὸ βαρὺ, διττὸν ἂν εἴη τὸ ἄνω καὶ τὸ κάτω. πῶς δὲ διττὸν, ἐπήγαγε λέγων, τὸ μὲν πρὸς τὸ μέσον περιέχον πέρας, κάτω ἐστὶ, καὶ τὰ ἑξῆς. μέσον μὲν λέγων τὴν γῆν. τὸ δὲ πέρας τὸ πρὸς τὸ μέσον, τουτέστι τὸ περιέχον

τὸ μέσον

ὅτι τὸ πέρας ἐστὶ τοῦ περιέχοντος. ἀκίνητον ὄν, εὐθὺς δείκνυσιν, ὅτι τῷ λόγῳ ἕπεται τούτῳ καὶ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ. ἦν δὲ ταῦτα τὸν ἀριθμὸν. τὸ περιέχειν, καὶ μηδὲν τοῦ πράγματος εἶναι. τὸ μήτε μείζονα εἶναι μήτε ἐλάττονα τὸν πρῶτον τόπον τοῦ περιεχομένου. τὸ πάντα τόπον ἔχειν τὸ ἄνω καὶ τὸ κάτω. τὸ ἀπολείπεσθαι ἑκάστου, καὶ χωριστὸν εἶναι. τὸ ἀκίνητον εἶναι. καὶ τέλος, ὅτι τὸ ἄνω καὶ τὸ κάτω ὑπάρχει τῷ τόπῳ. καὶ προσέτι τὸ ἀκίνητον εἶναι. διὰ γὰρ τὸ εἶναι τὸν τόπον πέρας τοῦ περιέχοντος, τό τε μέσον τοῦ παντὸς κόσμου, καὶ τὸ ἔσχατον τοῦ οὐρανοῦ, τὸ κατὰ τὴν κοίλην ἐπιφάνειαν τὴν πρὸς ἡμᾶς, κυριώτατοι τόποι δοκοῦσι. καὶ ὁ μὲν τῶν κούφων σωμάτων τόπος ἄνω μάλιστα καὶ κυριώτατα εἶναι δοκεῖ. τοῦτο δέ ἐστιν, ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας. ὁ δὲ τῶν βαρέων τόπος ἐστὶ, τὸ μέσον τοῦ παντὸς, κάτω. μέσον δὲ λέγει, ἤτοι τὸ κέντρον τοῦ παντὸς, ἢ μάλιστα τὸ πέρας τὸ περιέχον τὴν γῆν, ὅπερ πῆ μὲν τὸ τοῦ ἀέρος πέρας, πῆ δὲ τὸ τοῦ ὕδατος. μέση μὲν γὰρ τοῦ παντὸς ἡ γῆ. ὥστε καὶ τόπος μέσος ὁ ταύτην περιέχων. περιέχει δὲ αὐτὴν, κατὰ τινὰ μὲν μέρη τὸ πέρας τοῦ ἀέρος, τὸ πρὸς τῇ γῇ. κατὰ τινὰ δὲ τὸ πέρας τοῦ ὕδατος τὸ ἁπτόμενον αὐτῆς. ἔτι δὲ φησὶ καὶ τὸ ἀκίνητον ὑπάρχει τῷ τόπῳ. ὁ μὲν γὰρ ἄνω τόπος, καὶ εἴδει καὶ ἀριθμῷ ὅλος, ὡς ὅλος ἀμετάβλητός ἐστιν. εἰ γὰρ καὶ κατὰ μόρια κινεῖται, ἀλλ' οὖν κατὰ τὸ ὅλον, ἀκίνητός ἐστι κατὰ πᾶσαν κίνησιν. ὁ δὲ κάτω τόπος, κατ' εἶδος μὲν ἀεὶ ὁ αὐτός ἐστι, κατ' ἀριθμὸν δὲ οὐκέτι. γεννητὰ γὰρ καὶ φθαρτὰ τὰ τοῦ ὕδατος καὶ ἀέρος μόρια. καὶ οὐκ ἀεὶ κατὰ ταυτὰ τὰ μόρια ἅπτεται τῆς γῆς. ὁ ἀὴρ καὶ τὸ ὕδωρ. τῷ μέντοι εἴδει ἡ αὐτὴ ἐπιφάνεια ἀεὶ περιέχει τὴν γῆν. καὶ ὡς ὅλη πάλιν, ἀκίνητός ἐστι πᾶσαν κίνησιν. ταῦτα εἰπὼν, φησὶν ὅτι τὸ κάτω καὶ τὸ ἄνω, πλεοναχῶς λέγεται. λέγεται γὰρ ἄνω φησὶν, ὅ, τε ἄνω τόπος, τουτέστιν ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας, καὶ αὐτὸ τὸ ἄνω, τουτέστι τὸ περιεχόμενον ὑπ' αὐτῆς σῶμα. λέγει δὲ πᾶν τὸ κοῦφον. καὶ πάλιν κάτω λέγεται, ἢ ἡ ἐπιφάνεια τοῦ ἀέρος, ἡ τὰ πρὸς τῷ μέσῳ τοῦ παντὸς, λέγω δὴ ἡ περιέχουσα τὴν γῆν, καὶ αὐτὰ τὰ ἐν μέσῳ σώματα. λέγω δὴ τὰ βαρέα. ἦν δὲ καὶ τοῦτο ὑπάρχον τῷ τόπῳ, τὸ μήτε μείζονα αὐτὸν εἶναι τοῦ ἐν τόπῳ, μήτε ἐλάττονα. καὶ τοῦτο δὲ συνυπάρχει τῷ λόγῳ τοῦ τόπου. εἰ γὰρ πέρας ἐστὶ τοῦ περιέχοντος. τὰ δὲ πέρατα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου ἅμα ἐστὶν, ἐφαρμόζουσι γὰρ ἀλλήλαις αἱ ἐπιφάνειαι, οὔτε μείζων εἴη ἂν, οὔτε ἐλάττων ὁ τόπος, ἀλλ' ἴσος. ἴσος δὲ δηλονότι, κατὰ τὸ περίμετρον. οὐ γὰρ δὴ καθόλον, τὸ φύσει διαστατόν. ὥστε οἱ διάστημα λέγοντες τὸν τόπον, εὐλογώτερον ἂν φυλάττοιεν, τὸ ἴσον εἶναι τὸν τόπον τῷ ἐν αὐτῷ. ἐπὶ γὰρ ταύτης τῆς δόξης κατὰ πάσας διαστάσεις ἴσος ἔσται. πολλοῦ δὲ πλέον καὶ τὸ ἀκίνητον εἶναι τὸν τόπον ἐπὶ ταύτης τῆς δόξης φυλάττεται. τὸ μὲν γὰρ πέρας τοῦ περιέχοντος, συγκινεῖται τῷ σώματι οὗ ἐστι πέρας. τὸ δὲ διάστημα, κενὸν ὂν καθ' αὑτὸ καὶ οὐκ οὐσία, ἀκίνητόν ἐστι πᾶσαν κίνησιν. ὥστε ἐκείνως μὲν, οὐδεὶς τόπος ἀκίνητος, οὕτω δὲ πᾶς. οὐδὲ γὰρ μόνον κατ' εἶδος ἀκίνητον δεῖ τὸν τόπον εἶναι, ἀλλὰ καὶ κατὰ ἀριθμόν. τάχα δὲ, οὐδὲ κατ' εἶδος ἐκείνως ἀκίνητον ἐνδέχεται εἶναι. εἰ γὰρ εἴη τι ἐν ποταμῷ ἑστηκὸς ὑποβρύχιον, εἶτα τοῦ ὕδατος ὑπονοστήσαντος, μηκέτι ἡ τοῦ ὕδατος ἐπιφάνεια περιέχουσιν αὐτὸ, ἀλλ' ἡ τοῦ ἀέρος, πῶς οὐχὶ καὶ κατ' εἶδος ἐνήλλακται ὁ τόπος, καὶ κεκίνηται, τοῦ πράγματος ἀκινήτου μένοντος. φασὶ δὲ πρὸς ταῦτα ἀπολογούμενοι, ὅτι οὐχ ἁπλῶς τὸ πέρας τοῦ περιέχοντος δεῖ νομίζειν εἶναι τὸν τόπον. ἀλλὰ τὸ πέρας, κατὰ τῆς τοιᾶσδε σχέσεως τῆς πρὸς τὸ περιεχόμενον. ὥσπερ οὖν τὰ αὐξανόμενα, καὶ ὅλως τὰ τρεφόμενα, μένει τὰ αὐτὰ ὄντα τῷ ἀριθμῷ, τῷ τὸ αὐτὸ εἶδος φυλάττεσθαι, καίτοι τῆς ὕλης παραρρεούσης, οὕτω καὶ εἷς καὶ ὁ αὐτὸς τόπος, διὰ τὸ ἐν τῇ αὐτῇ σχέσει φυλάττεσθαι τὸ περιεχόμενον. τοῦτο δὲ πάνυ ἐστὶν ὑπόψυχρον. συμβήσεται γὰρ οὕτω, μηδέποτέ τι κινούμενον ἐν ἄλλῳ καὶ ἄλλῳ τόπῳ γενέσθαι. κἂν γὰρ ἀκίνητος ᾖ ὁ ἀὴρ, ἡμεῖς δὲ κινώμεθα, ἐν οἷσδήποτε μέρεσιν αὐτοῦ γενόμεθα, τὴν αὐτὴν ἀνάγκη σχέσιν ἔχειν ἡμᾶς πρὸς αὐτὸν, καθ' ἣν περιεχόμεθα ὑπ' αὐτοῦ. ὥστε ἐν ἑνὶ καὶ τῷ αὐτῷ τόπῳ ἔσται πλεύσας τις, ἐν ἀγορᾷ τε ὢν, καὶ ἐν Λυκείῳ. εἰ δ' ἅμα κατὰ τόπον κεκίνηται. ἀδύνατον ἄρα, εἴπερ πέρας ἐστὶ τοῦ περιέχοντος ὁ τόπος, ἀκίνητον εἶναι τὸν τόπον. ἀλλὰ ἀνάγκη αὐτὸν κινεῖσθαι, καὶ τοῦ πράγματος ἠρεμοῦντος. ὥστε καὶ διὰ τοῦτο, ἀνάγκη τὸ διάστημα εἶναι τὸν τόπον. εἰ δέ τις λέγοι, ἀλλ' οὐχ ᾗ τόπος ἐστὶ κινεῖται, ἐπιφάνεια γάρ ἐστιν, ἀκίνητος δὲ αὕτη ὅσον ἐφ' ἑαυτῇ, ἐπεὶ καὶ ἀσώματος, φημὶ πρὸς τοῦτο, ὅτι οὐχ ἁπλῶς ἡ ἐπιφάνειά ἐστι τόπος. ἐπεὶ πᾶσα ἂν ἐπιφάνεια τόπος ἦν. ἀλλ' ἡ περιέχει. ὡς περιέχουσα δὲ μεταβάλλει. εἰ γὰρ τοῦ πράγματος ἀκινήτου μένοντος τοῦ περιεχομένου, αὕτη ποτὲ μὲν περιέχει, ποτὲ δὲ οὔ, ἢ ποτὲ μὲν ἄλλο, ποτὲ δὲ ἄλλο, δῆλον ὡς αὕτη ἂν εἴη ἡ μεταβάλλουσα συμμεταβαλλομένη τῷ σώματι οὗ ἐστι πέρας. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. τὰ δὲ λοιπὰ δύο τῶν ὑπαρχόντων τῷ τόπῳ, τὸ περιέχειν μηδὲν ὄντα τοῦ πράγματος, καὶ τὸ ἀπολείπεσθαι καὶ χωριστὸν εἶναι, ὁ μὲν Ἀριστοτέλης οὐ προτέθεικεν, ὡς δῆλα καὶ πρόφανῆ. εἰ γὰρ πέρας ἐστὶ τοῦ περιέχοντος, καὶ τὸ περιέχειν αὐτόθεν ἐκ τοῦ ὁρισμοῦ δῆλον. καὶ τὸ χωριστὸν εἶναι, καὶ μηδὲν τοῦ πράγματος. τὸ μὲν γὰρ ἐν τόπῳ, χωρίζεται τοῦ τόπου. τὸ δὲ πέρας τοῦ περιέχοντος, οὐ χωρίζεται τούτου οὗ ἐστι πέρας. ἀλλ' οὐδέ ἐστί τι τοῦ περιεχομένου τὸ πέρας τοῦ περιέχοντος. οὔτε μέρος, οὔτε πάθος, οὔτε ἄλλο οὐδέν. τὰ αὐτὰ δὲ ταῦτα φυλάξαιεν ἂν καὶ οἱ διάστημα λέγοντες. πλὴν τοῦ περιέχειν. καὶ γὰρ ἕτερόν ἐστι τὸ διάστημα τοῦ ἐν αὐτῷ σώματος, καὶ χωρίζεται αὐτοῦ. τὸ δὲ περιέχειν οὐ συγχωρήσουσιν ὅλως ὑπάρχειν τῷ τόπῳ, ἢ μᾶλλον καὶ αὐτοὶς οὕτως ὑπάρξει τὸ περιέχειν τῷ τόπῳ, ὥς

αὐτὸς τὸν τόπον ἀκίνητον βούλεται εἶναι κατὰ πᾶσαν κίνησιν αὐτῆς γοῦν λέξει· οὕτω φησί·
» διὸ ὅταν μὲν ἐν κινουμένῳ κινῆται καὶ μεταβάλλῃ τὸ ἐντὸς, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται
» μᾶλλον, ἢ τόπῳ τῷ περιέχοντι. βούλεται δὲ ἀκίνητος ὁ τόπος εἶναι. διὸ ὁ πᾶς μᾶλλον ποταμὸς τό-
» πος, ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος. Καὶ πρὸ
τούτων δὲ ὀλίγον, δεικνύναι πειρώμενος, ὅτι οὐκ ἔστι τὸ διάστημα ὁ τόπος, εἰς ἄτοπον ἀπήγαγε τὸν λό-
γον, τὸ καὶ αὐτὸν τὸν τόπον συμβαίνειν μεταβάλλειν. οὕτως ἄρα ὡς ἀξίωμά τι ὑπάρχειν βούλεται τῷ
τόπῳ, τὸ ἀμετάβλητον αὐτὸν εἶναι. καὶ δῆλόν τις γε. εἰ γὰρ ὁ τόπος ᾗ τόπος ἐστὶ, μεταβάλλει, ἢ κατ' οὐσίαν
ἂν μεταβάλλοι, ἢ κατὰ ποσὸν, ἢ κατὰ ποιὸν, ἢ κατὰ τόπον. ἀλλ' οὔτε κατ' οὐσίαν μεταβάλλοι ἄν. οὐ γάρ ἐστιν
οὐσία. οὔτε κατὰ ποιότητα. ποσὸν γὰρ μᾶλλον ὁ τόπος, οὐ ποιόν. πολλῷ δὲ πλέον, οὐδὲ κατὰ τόπον. ἔσται γὰρ
τοῦ τόπου τις ἄλλος τόπος. ὅτι δὲ οὐδὲ κατὰ ποσὸν μεταβάλλει αὐξόμενος καὶ μειούμενος, αὐτὸς ὁ ἀρι-
στοτέλης μαρτυρεῖ. ὡς γὰρ ἓν καὶ αὐτὸ τῶν ὁμολογημένων, ὡς μὴ ὑπάρχει τῷ τόπῳ, τὸ αὔξεσθαι λέ-
γω ἢ μειοῦσθαι, ἐν ταῖς περὶ αὐτοῦ τίθησιν ἀπορίαις. εἰ δὴ ἀμετάβλητον βούλεται εἶναι τὸν τόπον, οὐκ
ἂν τὸ διάστημα διὰ τὸ ἀμετάβλητον εἶναι, ἀπεδοκίμαζε τόπον εἶναι τῶν φυσικῶν σωμάτων. ἀλ-
λὰ διὰ τὸ νομίζειν μηδὲν ὅλως εἶναί τι τοιοῦτον διάστημα, ταύτῃ ἀναιρεῖν αὐτὸ ἐπεχείρησεν. ἄλλως τε,
πολλὰ τῶν φυσικῶν ἀκίνητά ἐστι, περὶ ὧν ὁ φυσικὸς διαλέγεται, οἷον τὰ κέντρα τῶν σφαιρῶν. οἱ πό-
λοι. καὶ αὐταὶ δὲ αἱ ψυχαὶ ἀκίνητοί εἰσι κατ' αὐτὸν μάλιστα τὸν ἀριστοτέλην, πᾶσαν φυσικὴν κίνησιν, οὐ
μόνον αἱ λογικαὶ, ἀλλὰ καὶ αἱ ἄλογοι, φυσικαὶ δηλονότι ζωαὶ οὖσαι. καὶ ὅμως λόγον αὐτῶν ποιεῖ ὁ φυ-
σικός. ὥστε καὶ τὸ τοιοῦτον διάστημα περὶ οὗ ὁ λόγος, εἴγε ὅλως ὑφεστάναι ἐνόμιζεν ὁ ἀριστοτέλης, οὐκ ἂν
διὰ τὸ εἶναι αὐτὸ ἀκίνητον, μηδὲ εἶναι ὅλως αὐτὸ δεικνύειν ἐπειρᾶτο.

» ΔΟΚΕΙ δὲ μέγα τι εἶναι καὶ χαλεπὸν ληφθῆναι ὁ τόπος, διά τε τὸ παρεμφαίνεσθαι τὴν ὕλην
» καὶ τὴν μορφήν.

Ἐπιχειρήσας πρότερον ἐφ' ἑκάτερα περὶ τοῦ τόπου, ἔλεγε τοιοῦτον δεῖν ἀποδοθῆναι περὶ τοῦ τόπου λόγον
ὃς καὶ τὰς ἀπορίας τὰς εἰς αὐτὸν φερομένας ἐπιλύσεται, καὶ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχειν τῷ τό-
πῳ, δείξει ὑπάρχοντα, καὶ τὸ τῆς δυσκολίας τῆς περὶ αὐτοῦ αἴτιον δῆλον ποιήσει. ἀποδοὺς οὖν τί ἐστιν ὁ
τόπος, ὅτι τὸ πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχει τὸ περιεχόμενον, νῦν τὰ προεπηγγελμένα δεῖξαι
βούλεται. καὶ πρῶτόν γε, τί τὸ τῆς δυσκολίας αἴτιον. ὅτι τὸ παρεμφαίνεσθαι ἐν τῇ περὶ αὐτοῦ θεωρίᾳ
τὴν ὕλην καὶ τὸ εἶδος, καὶ τὸ διάστημα. τὸ δὲ πλῆθος τῶν παρεμφαινομένων, ἐπιθολοῖ τὴν περὶ αὐτοῦ σκέ-
ψιν, καὶ μάλιστα τὸ διάστημα. πολλὴν γὰρ ἔχει τὴν πρὸς τὸν τόπον ὁμοιότητα. καὶ γὰρ ἀκίνητον εἶναι δο-
κεῖ τὸ διάστημα, ὥσπερ ὁ πρῶτος τόπος. καὶ δέχεσθαι μόνον τὸ αὐτὸ διάφορα σώματα. δῆλον δὲ τὸ αἴ-
τιον τῆς ἀπάτης. ὅτι τοῖς σώμασι συνεισιόν τε καὶ συνεξιὸν τὸ διάστημα τῷ ταῖς μὲν ἄλλαις ποιότησιν
ἄλλα διαφέρειν, τῷ δὲ διαστήματι τὰ αὐτά τε εἶναι καὶ ἴσα τά γε τὸν ἴσον ἐκπληροῦντα τόπον, ἐν ᾧ ταυ-
τὸν εἶναι δοκεῖ καὶ ἀκίνητον, λανθανομένης αὐτοῦ τῆς ἐναλλαγῆς διὰ τὴν ὀξύτητα τῆς ἀντιμεταστάσεως
τῶν σωμάτων. συμβάλλεται δέ φησιν εἰς τὴν δόξαν ταύτην καὶ ὁ ἀὴρ, δοκῶν ἀσώματος εἶναι τοῖς πολ-
λοῖς διὰ τὴν λεπτομέρειαν. κενὸν γὰρ εἶναι φαντάζονται, τὸν μεταξὺ τόπον τῶν ἄκρων, οὐχ ὁμοίως κι-
νοῦντος τὴν αἴσθησιν τοῦ ἀέρος τοῖς ἄλλοις στοιχείοις. καὶ διὰ τοῦτό φησιν, οὐ μόνον τὰ πέρατα τοῦ ἀγ-
γείου, τόπος εἶναι δοκεῖ, ἀλλὰ καὶ τὸ μεταξὺ πᾶν. κενὸν γὰρ εἶναι καθ' αὑτό. διὸ καὶ πολλῶν δεόμεθα
λόγων, εἰς τὸ δεῖξαι, ὅτι ἔστι τι σῶμα ὁ ἀὴρ, ἔκ τε τῶν πομφολύγων τε καὶ ψόφων τῶν γινομένων, ἐν
τῷ πληροῦσθαι ὕδατος τὸν ἀμφορέα ἀπὸ δεξαμενῆς. καὶ ἐκ τοῦ βίας δεῖσθαι, εἰς τὸ καταδῦσαι τὸ
στόμιον. καὶ ἐκ τοῦ διὰ στενῶν ὀπῶν μὴ ἐκρεῖν τὸ ὕδωρ, ἀνεχόμενον ὑπὸ τοῦ ἀέρος. τῷ τε τοὺς πεπλη-
ρωμένους ἀσκοὺς πνεύματος, ἐπιπολάζειν τε ἐν τῷ ὕδατι, καὶ τὰ ἐπικείμενα ἀνέχειν. καὶ ἐκ τῶν ῥη-
γνυμένων ἀσκῶν τε καὶ πίθων ὑπὸ τοῦ γλεύκους, διὰ τὸ γεννώμενον ἐν αὐτοῖς πνεῦμα. καὶ ἐξ ἄλλων
μυρίων. διὰ οὖν τὸ ὑπονοεῖν κενὸν εἶναι τὸ μεταξὺ τῶν περάτων τοῦ ἀμφορέως, ἐντεῦθεν καὶ πάντα
τόπον τοιοῦτον εἶναι νομίζουσιν. οὐ γὰρ δοκεῖ διαφέρειν τι τοῦ ἀγγείου ὁ τόπος. ἀλλ' ἔστι τὸ μὲν ἀγγεῖον,
τόπος μεταφορητός. ὁ δὲ τόπος, ἀγγεῖον ἀμετακίνητον. τῷ οὖν κινητῷ καὶ τῷ ἀκινήτῳ μόνον διέστη-
κεν, ὁ φυσικὸς τόπος, καὶ τὸ ἀγγεῖον. καὶ διὰ τοῦτό φησιν, ὅταν ἐν κινουμένῳ τι κινῆται, ὡς ἐν ἀγγείῳ μᾶλ-
λόν ἐστι τὸ τοιοῦτον, ἢ ὡς ἐν τόπῳ. οἷον ὡς τὸ ἐν ποταμῷ κινούμενον πλοῖον. συγκινεῖται γὰρ τῷ ῥεύμα-
τι. ὥστε τὸ περιέχον προσεχῶς τὸ πλοῖον ὕδωρ, κυριώτερον ἀγγεῖον ἂν λεχθείη. δεῖ γὰρ τὸν τόπον ᾗ τό-
πος ἐστὶν, ἀκίνητον εἶναι. εἰ δὲ δεῖ φησι τόπον καλεῖν τοῦ πλοίου, ὁ ὅλος ποταμὸς μᾶλλον ἂν λεχθείη τό-
πος, ἢ τὸ προσεχῶς περιέχον ὕδωρ. ὅλος γὰρ ὢν ὅλος, ἀκίνητός ἐστιν ὁ ποταμός. μᾶλλον οὖν ὅλος ὁ
ποταμὸς, τόπος τοῦ πλοίου. τόπος δὲ οὐχ ὁ πρῶτος δηλονότι, ἀλλ' ὁ κοινός. ποταμὸν δὲ ὅλον ἀκουστέον, οὐ τὸ
πᾶν ὕδωρ τὸ ἀπὸ τῶν πηγῶν μέχρι τῶν ἐκβολῶν, ἀλλ' αὐτὴν τὴν πᾶσαν κοίτην, ᾗ ἐπίκειται τὸ ὕδωρ. ὥστε
κἂν ἐν ἀέρι τι κινῆται, συγκινουμένου τοῦ ἀέρος καὶ μὴ μένοντος, ταύτῃ ὡς ἐν ἀγγείῳ λέγοιτ' ἂν εἶναι, καὶ οὐκ
ἐν τόπῳ. εἰ δὲ ἀκίνητος εἴη ὁ ἀὴρ, τότε ὡς ἐν τόπῳ ἐστὶ τούτῳ. δεῖ γὰρ τὸν τόπον ἀκίνητον εἶναι, τοῦ ἐν αὐτῷ
κινουμένου. οὕτω δείξας τὸ αἴτιον τῆς χαλεπότητος τοῦ τόπου, ἐκ τοῦ ἀποδεδομένου περὶ αὐτοῦ λόγου, λέγω δὴ

ἐγὼ μὲν εἰ δεῖ ὅλως ἀφορίζειν, φημὶ ἄνω μὲν τόπον εἶναι, τὸ μέρος τοῦ διαστήματος, τὸ ἀπειληφὸς τὰ κοῦφα σώματα· κάτω δὲ, τὸ ἀπειληφὸς τὰ βαρέα. ὁ δὲ ἀριστοτέλης, οὐκ ἂν ἔχοι λέγειν, τίς ἐστι κυρίως ὁ ἄνω τόπος, καὶ τίς ἐστιν ὁ κάτω. εἰ γὰρ ὁ μὲν ἄνω τῶν κούφων, ὁ δὲ κάτω, τῶν βαρέων ἐστὶ, καὶ ἔστιν ὁ ἄνω τόπος, τὸ πέρας τοῦ περιέχοντος, τοῦτο δέ ἐστιν ἡ κοίλη ἐπιφάνεια τῆς σεληνιακῆς σφαίρας, αὕτη δὲ τὸ πῦρ μόνον προσεχῶς περιέχει, οὐκ ἂν εἴη ἄνω ὁ ἀὴρ, ἢ συνεστὴ τοῦ κάτω τόπου. ὁμοίως δὲ καὶ αὐτὴ τοῦ κάτω. εἰ δὲ καὶ πᾶς ἐντὸς τῆς ἀπλανοῦς σφαίρας ἐν τόπῳ βούλεται εἶναι, ἐν τῷ τόπῳ δὲ πάντως τὸ ἄνω ἐστὶ καὶ τὸ κάτω, ἔσται τὸ μὲν ἄνω, τὸ δὲ κάτω. τὸ μὲν βαρὺ, τὸ δὲ κοῦφον. ὅπερ οὐ βούλεται. ὥστε οὐ πάντως εἰς τὸ ἄνω καὶ εἰς τὸ κάτω, τὸν τόπον ἀνάγκη διαιρεῖν, οὐδὲ κατὰ τὰ αὐτῷ δοκοῦντα. πῶς δὲ οὐχὶ καὶ τὸ αὐτὸ περιέχον τε εἴη, καὶ περιεχόμενον. καὶ γὰρ ἡ θάλασσα, εἴγε ἐν τόπῳ ἐστὶ, περιέχοιτο ἂν ὑπὸ τῆς ἀνεχούσης αὐτὴν ἐπιφανείας, τῆς γῆς δηλονότι μετὰ τοῦ ἐπιπολάζοντος αὐτῇ ἀέρος. ὁμοίως δὲ, εἴπερ ἐστὶ καὶ ἡ γῆ ὅλη καθ' ὅλην ἑαυτὴν ἐν τόπῳ, περιέχοιτο ἂν κατά τι μέρος ἑαυτῆς, ὑπὸ τῆς ἐπιφανείας τοῦ ὕδατος, τῆς πρὸς τῷ πυθμένι τῆς θαλάσσης. ὥστε καὶ ἡ ἐπιφάνεια τῆς γῆς, τόπος τοῦ ὕδατος. καὶ ἡ τοῦ ὕδατος, τόπος τῆς γῆς. καὶ τὸ αὐτὸ, καθ' ὃ περιέχεται, κατὰ τοῦτο καὶ περιέχει. τούτων δὲ οὐδὲν ἕπεται τοῖς τὸ διάστημα τὸν τόπον εἶναι λέγουσιν. Ἀλλὰ πάλιν ἐπαποροῦσι τῷ λόγῳ. καί φασιν, ὅτι εἰ εἴη τι τοιοῦτον διάστημα κενὸν τῷ ἰδίῳ λόγῳ, τὸ δεξόμενον τὰ σώματα, ἀνάγκη τοῦτο καὶ ἄπειρον εἶναι. οὐδὲ γὰρ ἕξει τι πέρας. τὸ γὰρ πέρας τῶν τριχῇ διαστατῶν, ἐπιφάνεια. πέρας δὲ αὐτὸ οὐχ ἕξει ἐπιφάνειαν, τῆς ἐπιφανείας ἐν σώμασιν ὑφισταμένης. ὥστε εἰ κεχώρηκε δι' αὐτοῦ ἡ πᾶσα τοῦ οὐρανοῦ σωματότης, μέχρι τῆς ἐξωτάτω ἐπιφανείας, πέρας δὲ τοῦτο εἶναι οὐκ ἐνδέχεται, ἀνάγκη κεχύσθαι αὐτὸ ἔξω τοῦ οὐρανοῦ ἐπ' ἄπειρον. ὅπερ καὶ αὐτὸ μὲν καθ' ἑαυτὸ ἄλογον, ἐλήλεγκται δὲ ὑπὸ τοῦ ἀριστοτέλους ἱκανῶς καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ, καὶ ἐν τῇ περὶ οὐρανοῦ. Ἐγὼ δὲ, οὐκ οἶδα ὅπως κἂν τὸ πιθανὸν ἔχειν δόξει ἡ τοιαύτη ἀπορία. πρῶτον μὲν γὰρ, ὥσπερ τριχῇ διαστατὸν τὸ τοιοῦτον ἐννοεῖν ἐνδέχεται, οὕτω καὶ ἐπιφάνειαν ἀνάλογον τούτῳ. ἔπειτα, εἰ καὶ ἐπιφάνειαν ἀνάλογον αὐτῷ μὴ οἷόν τε ἦν ἐπινοῆσαι, οὐ διὰ τοῦτο ἀνάγκη καὶ ἐπ' ἄπειρον ἐκτείνεσθαι τὸ κενόν. ἐπειδὴ γὰρ ὁ τόπος τῶν σωμάτων ὑπέστη, τοσοῦτον μὲν ὑπέστη, ὅσον οἷόν τε ἦν χωρῆσαι τὰ κοσμικὰ σώματα. συμπεραιοῦται δὲ τοῖς τῶν σωμάτων πέρασιν. ὥσπερ γὰρ, εἰ τὸ μεταξὺ τοῦ ἀμφορέως κενὸν ἐπινοηθείη, ἐμβληθείη δὲ διάφορα σώματα ἐν τῷ ἀμφορεῖ, μὴ συνεχῆ μὲν πρὸς ἄλληλα, ἁπτόμενα δὲ, ὡς ἕκαστον μέρος τι τοῦ ἐντὸς τόπου καταλαβεῖν, ἕκαστον μὲν ἀνάγκη τῶν μερῶν τοῦ κενοῦ συμπεραιοῦσθαι τῷ δεχθέντι σώματι, τὸ δὲ ὅλον δὲ κενὸν, μέχρι τῆς τοῦ ἀμφορέως κοίλης ἐπιφανείας περαιοῦσθαι, πάντων τῶν ἐντὸς σωμάτων μέχρις αὐτῆς περατουμένων, οὕτω καὶ ἐν τῷ παντὶ τόπῳ, ἕκαστον μὲν τῶν ἐντὸς σφαιρῶν, μέρος τοῦ κενοῦ πεπερασμένον ἀπείληφε. τὸ δὲ πᾶν, τῷ παντὶ κόσμῳ συμπεραιοῦται, πέρας ἔχον οὐ μόνον τὸ ἴδιον. οὐ γὰρ ἀδύνατον καὶ τοῦτον ἐπιφάνειαν ἐπινοεῖν, ὥσπερ καὶ τοῦ ἐναπολαμβανομένου μέρους τῶν ἐντὸς σωμάτων, ἔστι τι πάντως πέρας. καὶ αὐτὸ δὲ ὅπερ ἂν ποιῇ τὴν τοῦ ἐσχάτου τὸ ἐκτὸς ἐπιφάνειαν, ἅμα οὖσαν τῷ αὐτοῦ πέρατι. Ἀλλὰ γὰρ ταῦτα ἡμῶν πρὸς τὰς παρὰ τοῦ ἀριστοτέλους περὶ τοῦ τόπου εἰρημένας ἀντιλεγόντων, ἔλεγεν ὁ φιλόσοφος ἀπολογούμενος, ὡς ἔτι φυσικὸς ὢν ὁ ἀριστοτέλης, περὶ τούτων ποιεῖται τὸν λόγον τῶν πραγμάτων, ὅσα καὶ ἔστι καὶ διοικεῖται ὑπὸ φύσεως. ἔστι δὲ ἡ φύσις, ἀρχὴ κινήσεως καὶ ἠρεμίας. ὥστε εἰ τοῦτό ἐστιν ἡ φύσις, ὅσα ἄρα φυσικά ἐστι τῶν πραγμάτων, ταῦτα ἐν αὐτοῖς ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας. ὅσα δὲ οὐκ ἔχει ἐν αὐτοῖς ἀρχὴν κινήσεως καὶ ἠρεμίας, ταῦτα οὐδὲ φυσικά ἐστιν. ὥστε οὐδὲ διαλέξεται περὶ τούτων ὁ φυσιολόγος. τὸ οὖν διάστημα τὸ τοιοῦτον, οὐδεμίαν ἔχει ἐν ἑαυτῷ ἀρχὴν κινήσεως καὶ ἠρεμίας. οὐδὲ γὰρ αὔξεται, οὐδὲ ἀλλοιοῦται, οὐδὲ κατὰ τόπον κινεῖται, οὐδὲ γίνεται καὶ φθείρεται. ὥστε οὐδὲ φυσικόν ἐστι. τοῦ οὖν λόγου ὄντος τῷ ἀριστοτέλει περὶ τῶν φυσικῶν πραγμάτων, ζητεῖ νῦν τί ποτέ ἐστιν ὁ τῶν φυσικῶν πραγμάτων τόπος, φυσικὸς ὢν δηλονότι καὶ αὐτός. εἰκότως οὖν τὸ μὲν τοιοῦτον διάστημα, οὔ φησι τόπον εἶναι τῶν φυσικῶν σωμάτων, εἴτε ἔστιν, εἴτε μή. οὐδὲ γάρ ἐστι φυσικόν. μόνον δὲ ὁρίζει ἐν τοῖς φυσικοῖς τόπον ὄντα τοῖς σώμασι φυσικὸν, τὸ πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχει τὸ περιεχόμενον. Ἐγὼ δὲ πρὸς ταῦτά φημι, ὅτι εἰ μὲν τῷ ὄντι μηδένα λόγον ἐποιεῖτο ὁ ἀριστοτέλης, εἴτε ἔστιν εἴτε μὴ τοιοῦτόν τι διάστημα, μόνον δὲ δεικνύναι ἐπειρᾶτο, ὅτι ὁ τόπος τῶν φυσικῶν σωμάτων, οὐκ ἔστι τοιοῦτόν τι διάστημα, λέγω δὴ τὸ τριχῇ διαστατὸν, κἂν τὸ πιθανὸν εἶχεν ἴσως ἡ ἐπιχείρησις τοῦ φιλοσόφου, οὐδὲ τὸ εἶναι τοιοῦτόν τι διάστημα ἀναιροῦντα δεικνύουσα τὸν ἀριστοτέλην, ἀλλὰ τὸ εἶναι αὐτὸν τόπον τῶν φυσικῶν σωμάτων φυσικὸν ὄντα καὶ αὐτόν. ἐπειδὴ δὲ ὁ ἀριστοτέλης, ἄντικρυς διὰ πάντων δεικνύναι πειρᾶται καὶ ἐνταῦθα καὶ ἐν τοῖς περὶ τοῦ κενοῦ λόγοις, ὅτι οὐδέ ἐστι διάστημά τι ἄλλο παρὰ τὰ σωματικὰ διαστήματα, πλαστώδης δείκνυται ἡ τοῦ φιλοσόφου ὑπὲρ ἀριστοτέλους ἀπολογία. ἔπειτα τί λέγει, ὅτι διὰ τὸ ἀκίνητον εἶναι τὸ τοιοῦτον διάστημα, οὐδὲ οἶδεν αὐτὸ ὁ φυσικός, διότι περὶ φυσικῶν ὁ φυσικὸς διαλέξεται, φυσικὰ δέ ἐστι τὰ ἔχοντα κινήσεως ἀρχὴν καὶ ἠρεμίας, καὶ τοῦτο προφανῶς παρὰ τὰ δοκοῦντά ἐστι τῷ ἀριστοτέλει. σαφῶς γὰρ

κάτω. Καὶ γὰρ ἀπορήσειεν ἄν τις εἰκότως, τῷ ἀριστοτελικῷ συνιστάμενος δόγματι, ὅτι εἰ ὁ τόπος ἐστὶ τῶν βαρέων καὶ κούφων σωμάτων, τὸ ἀπειλημμένον ἐντὸς τῆς κοίλης ἐπιφανείας τῆς σεληνιακῆς σφαίρας κενόν, φημὶ διαστατόν, ὡς ἂν αὐτοί φασι· φέρεται δὲ φύσει, τὰ μὲν κοῦφα, ἐπὶ τὸν ἄνω τόπον, τὰ δὲ βαρέα ἐπὶ τὸν κάτω, πῶς ἀφοριεῖς τοῦ διαστήματος τούτου τὸ ἄνω καὶ τὸ κάτω. μέχρι γὰρ τίνος τὸ μὲν ἄνω ὁριεῖς, τὸ δὲ κάτω. καὶ εἰ δεῖ τὸν τόπον τινὰ φυσικὴν δύναμιν ἔχειν, καθ᾽ ἣν τὰ κοῦφά τε καὶ βαρέα, τῶν ἰδίων ἐφιέμενα τόπων, ἕκαστον ὑπὸ τῆς φυσικῆς ὁρμῆς ἐπὶ τὸν οἰκεῖον φέρεται. τὸ δὲ τοιοῦτον διάστημα κενὸν τῷ ἰδίῳ λόγῳ ὑπάρχον, οὐδεμίαν δύναμιν ἔχειν οἷόν τε, τίνι λόγῳ τὰ μὲν ἐπὶ τόδε αὐτοῦ τὸ μέρος φυσικῶς ὁρμᾷ, τὰ δὲ ἐπὶ ἕτερον. εἰ τοίνυν κἂν τὰ μάλιστα δεῖ ὑπάρχειν τῷ τόπῳ τὸ ἄνω καὶ τὸ κάτω, τῷ δὲ τοιούτῳ τόπῳ οὐκ ἂν ὑπάρξει, μόνῳ δὲ τῷ πέρατι τοῦ περιέχοντος ὑπάρξει, καθὸ περιέχει τὸ περιεχόμενον, ὡς Ἀριστοτέλης τὸν τόπον ὡρίσατο, οὗτος ἂν εἴη κυρίως τόπος. ἐπεὶ γὰρ τὰ κρείττονά τε καὶ ἀνώτερα εἴδους λόγον ἔχει πρὸς τὰ καταδεέστερα, ἐκείνων δηλονότι ὕλης ἐχόντων πρὸς αὐτὰ λόγον, ἐφίεται δὲ ἡ ὕλη τοῦ εἴδους, ὡς θῆλυ ἄρρενος, καὶ ὡς αἰσχρὸν καλοῦ, ἕκαστον γὰρ τοῦ εἶναι ἐφίεται, ἔστι δὲ ἕκαστον, ὅτε ἀπολήψει τὴν οἰκείαν τελειότητα, τοῦτο δὲ διὰ τὸ εἶδος, εἰκότως τὸ μὲν πῦρ, τοῦ κατὰ φύσιν αὐτοῦ τόπου ἐφίεται· τουτέστι περιέχεσθαι ὑπὸ τῆς ἐπιφανείας τοῦ σώματος τῆς σεληνιακῆς σφαίρας, ἵνα κοσμῆται ὑπ᾽ αὐτοῦ, καὶ οἷον εἰδοποιῆται, κοσμεῖται δὲ ὑπ᾽ αὐτοῦ καὶ τελειοῦται, τῷ τὸ μὲν ποιεῖν, τὸ δὲ πάσχειν, ποιεῖ δὲ καὶ πάσχει οὐκ ἄλλως, ἢ τῷ ἅπτεσθαι, ὡσαύτως δὲ καὶ ὁ ἀὴρ ἐφίεται τοῦ ὑπὸ τῆς τοῦ πυρὸς περιέχεσθαι σφαίρας, καὶ οὕτω μέχρι τῶν ἐσχάτων. Ἀλλὰ καὶ πρὸς ταῦτα εὔκολος ἡ ἀπάντησις. τὰ αὐτὰ γὰρ καὶ τῷ ἀριστοτελικῷ λόγῳ οὐδὲν ἧττον συμβαίνει. εἰ γὰρ πέρας ἐστὶ τοῦ περιέχοντος ὁ τόπος, τὰ δὲ περιεχόμενα ἄλλα ὑπ᾽ ἄλλης ἐπιφανείας τοῦ ἀέρος ἢ τοῦ ὕδατος περιέχεται, ὡς ἂν ἕκαστον ἔχῃ μεγέθους ἢ σμικρότητος, λεγέτωσαν ἡμῖν, μέχρι τίνος τὸν κάτω τόπον ὁρίσομεν. εἰ γὰρ ὄρη τινὰ μεγέθους ὑπερβολῇ σχεδὸν ἐγγίζει τῇ σεληνιακῇ σφαίρᾳ, ὡς καὶ διὰ τοῦτο σεληναῖα καλεῖσθαι, εἰ ταῦτα νοήσομεν μὴ συνεχῆ ὄντα τῇ γῇ ἀλλὰ διῃρημένα, πότερον ἐν τῷ ἄνω τόπῳ ὄντα λεχθήσεται, ἢ ἐν τῷ κάτω. καὶ τί λέγω ταῦτα; εἰ ἐπάνω τούτων ἐπικείμενοι λίθοι, ἢ τὰ περὶ τὸ κέντρον τοῦ παντὸς ἢ γῆς μόρια τινά, διῃρημένα τοῦ ὅλου, ἢ ὕδατος, ἆρα ἐν τῷ κάτω τόπῳ εἰσίν; οὐκοῦν ὁ ὑπὸ τὰ ὄρη ἐκεῖνα ἀήρ, ἐν τῷ παρὰ φύσιν ἂν εἴη τόπῳ, κατώτερα ὑπάρχων τῶν βαρέων σωμάτων. κἂν μὴ διῃρημένα δὲ ἐπινοηθείη τὰ ὑψηλότατα τῶν ὀρῶν, ἀλλ᾽ ὥσπερ εἰσὶ συνεχῆ τῇ ὅλῃ γῇ, πότερον τὴν ἐπιφάνειαν τοῦ ἀέρος τὴν περιέχουσαν τὰς κορυφὰς αὐτῶν, μόριον φήσομεν τοῦ κάτω τόπου, ἢ οὔ. καὶ τοῦτο, μέχρι πόσου. τὰ αὐτὰ καὶ περὶ τοῦ ἄνω τόπου ἐροῦμεν. ποῖον γὰρ ἐρεῖς τὸν ἄνω τόπον. πότερον τὴν κοίλην ἐπιφάνειαν τῆς σεληνιακῆς σφαίρας; ἀλλ᾽ εἰ αὕτη μόνον εἴη ὁ ἄνω τόπος, καὶ τὰ ὑπὸ ταύτης προσεχῶς περιεχόμενα, ταῦτα μόνα ἐν τῷ ἄνω ἐστὶ τόπῳ, οὐκ ἂν εἴη ὁ ἀὴρ ἐν τῷ ἄνω τόπῳ, ἐπεὶ μὴ ὑπὸ ταύτης προσεχῶς περιέχεται, ἀλλ᾽ ὑπὸ τῆς τοῦ πυρός. ἀλλ᾽ εἰ καὶ αὕτη ἄνω εἴη, δύο εἴδη ἂν εἴη τοῦ ἄνω τόπου. καὶ περὶ τοῦ κάτω δὲ ὁ αὐτὸς λόγος, ἐπί τε τῆς γῆς σκοποῦντι, καὶ τοῦ ὕδατος. καὶ τίς ἂν εἴη διαφορὰ τοῦ τε ἄνω τόπου πρὸς ἑαυτόν, καὶ ἔτι τοῦ κάτω. ὅτι μὲν οὖν αἱ αὐταὶ ἀπορίαι οὐδὲν ἧττον καὶ τούτῳ ἕπονται τῷ λόγῳ, σαφὲς ἐντεῦθεν. ὡς δὲ τὸ ἀληθὲς ἔχει, γνοίης ἂν οὕτως. κυρίως μὲν οὐκ ἂν εἴη ἐν τῷ παντὶ τὸ ἄνω καὶ τὸ κάτω κατὰ φύσιν. ἀλλ᾽ ὡς αὐτός φησιν ἐν ἑτέροις, τὸ κύκλῳ καὶ τὸ πέριξ. εἰ δὲ καὶ φήσομεν, ἄνω μὲν τὸ πέριξ, κάτω δὲ τὸ μέσον, ἔσται κάτω μὲν τόπος, ὁ ἀπειλημμένος ὑπὸ τῶν βαρέων σωμάτων. ἄνω δὲ ὁ ὑπὸ τῶν κούφων. τὰ γὰρ ἐπαναστήματα τῶν ὀρῶν, βίᾳ ὑπερανέχει τὸ ὅλον. βίᾳ δὲ λέγω, διότι εἰ καὶ συνεχῆ ἐστι τῇ ὅλῃ γῇ, ἀλλ᾽ οὐ πανταχόθεν αὐτῇ συνάπτεται. ἔοικε γὰρ τοῖς λίθοις τοῖς ἐπιτιθεμένοις ἀλλήλοις ἐν ταῖς οἰκοδομίαις. τὴν δὲ παρὰ φύσιν αὐτῶν θέσιν δηλοῦσιν ἱκανῶς αἱ ἀποῤῥήξεις αὐτῶν. ἀποῤῥαγέντα γάρ, ὡς δὴ παρὰ φύσιν ὄντα, φέρεται ἐπὶ τὸν οἰκεῖον καὶ κατὰ φύσιν τόπον. τὸ δὲ λέγειν δύναμίν τινα ἔχειν αὐτὸν καθ᾽ αὑτὸν τὸν τόπον, πάνυ γελοῖον. οὐ γὰρ ἐπιφανείας ἐφιέμενα φέρεται ἐπὶ τοὺς οἰκείους τόπους ἕκαστα. οὐδὲ γὰρ τῆς περιεχούσης ἐπιφανείας ἐφίεται τὰ βαρέα. ἀλλὰ τῆς ἐπὶ τὸ κέντρον ῥοπῆς. ἐφίεται οὖν ἕκαστα τῆς τάξεως, ἧς παρὰ τοῦ δημιουργοῦ τετύχηκασιν. ἐπεὶ οὖν τὴν ἐσχάτην μὲν τάξιν ἡ γῆ εἴληφεν, ὥστε πᾶσιν ὑφίστασθαι, δευτέραν δὲ τὸ ὕδωρ, καὶ τρίτην καὶ τετάρτην ὅ τε ἀὴρ καὶ τὸ πῦρ, εἰκότως ὅταν ταύτης τῆς τάξεως παρασαλευθῇ τι, καὶ τὸ πεφυκὸς ἄλλοις ἐπιπολάζειν, ὑπό τινος βίας μὴ ἐπιπολάζῃ αὐτῷ, ἀλλ᾽ ἀφίστηται τῆς τάξεως ἧς ὑπὸ τοῦ δημιουργοῦ ἔλαχεν, ἐφιέμενα ταύτης, κινεῖται ἐπὶ τοσοῦτον, ἕως ἂν ἐν ταύτῃ γένηται. φέρεται οὖν ἐπὶ τὸ ἄνω τὰ κοῦφα, οὐχ ἁπλῶς ἅπτεσθαι τῆς ἐπιφανείας τοῦ περιέχοντος ἐφιέμενα, ἀλλὰ τῆς τάξεως, ἣν ὁ δημιουργὸς αὐτοῖς ἀπένειμε. τότε γὰρ μάλιστα τὸ εἶναι ἔχουσι. καὶ γὰρ τὴν ἑαυτῶν τότε ἔχουσι τελειότητα. οὐχ ὁ τόπος οὖν ἔχει τὴν δύναμιν, τοῦ φέρεσθαι τὰ σώματα ἐπὶ τοὺς οἰκείους τόπους, ἀλλ᾽ αὐτὰ τὰ σώματα ἔχει ἔφεσιν τοῦ τὴν ἑαυτῶν φυλάττειν τάξιν. τεσσάρων οὖν ὄντων τῶν στοιχείων, καὶ δύο μὲν κούφων, δύο δὲ βαρέων,

ἐγὼ

πεπληρωμένον ἕξει ἐπὶ τοῦ ἀληθοῦς λόγου. οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ τοιοῦτον διάστημα, ἢ σῶμα ἄποιον. ἀκολούθως οὖν ἕπεται τοῖς οὕτω λέγουσι, τά τε ἄλλα ἄτοπα, καὶ τὸ σῶμα χωρεῖν διὰ τοῦ σώματος. ἡμεῖς δὲ οὐχ οὕτω φαμέν. οὐ γὰρ σῶμα εἶναι φαμὲν τὸ διάστημα, ἀλλὰ χώραν σώματος, καὶ διαστάσεις μόνας κενάς, ἐκτὸς πάσης οὐσίας καὶ ὕλης. καὶ ὑπάρχει δὲ πάντα τὰ κοινὰ ὁμολογήματα τοῦ τόπου, τῷ τοιούτῳ τόπῳ. καὶ γὰρ ἴσος ἐστὶ μάλιστα τῷ ἐν τῷ τόπῳ. καὶ μᾶλλον, ἢ τὸ πέρας τοῦ περιέχοντος. καὶ ἀκίνητος, ὡς εἴπω. καὶ οὐδὲν ἐστὶ τοῦ πράγματος, καὶ χωριστός. καὶ ἐμπεριέχει δὲ τὸ ἐν τόπῳ μᾶλλον ἢ τὸ πέρας τοῦ περιέχοντος. ὥσπερ γὰρ τὴν ἐπιφάνειαν τόπον λέγοντες, περιέχειν αὐτὴν φασί, καί τοι ἐφαρμόζει γε τῷ πέρατι τοῦ σώματος, οὕτω κἂν τὸ διάστημα ἐφαρμόζῃ τῷ σώματι, περιέχοι ἂν τὸ σῶμα, διότι οὐ τὸ κενόν ἐστι τὸ ἐπινοούμενον ἐν τῷ σώματι, ἀλλὰ τὸ σῶμα τὸ ἐπινοούμενον ἐν τῷ κενῷ, ὥσπερ ἤδη εἶπον. εἰ μὲν γὰρ ἦν σωματικὸν διάστημα ὁ τόπος, καὶ ἐγίνετο ἐν αὐτῷ τὸ σῶμα, χωρεῖν ἀνάγκη ἦν δι' ἀλλήλων τὰ διαστήματα. ἐπειδὴ δὲ καθ' αὑτὸν ὁ τόπος κενόν ἐστιν, οὐκ ἂν εὐλόγως εἴποι τις χωρεῖν αὐτὸ διὰ τοῦ σώματος, ἀλλὰ τὸ σῶμα δι' αὐτοῦ χωρεῖν. πλήρωσις γὰρ μόνον γίνεται τοῦ σώματος ἐν αὐτῷ γινομένου, οὐ μέντοι χώρησις δι' ἀλλήλων. διὰ τοῦτο δὲ οὐδὲ τὸ μόριον ἔσται καθ' αὑτὸ ἐν τόπῳ. εἰ μὲν γὰρ διῃρεῖτο ὑπὸ τοῦ διαστήματος τὸ σῶμα τὸ χωρῆσαν ἐν αὐτῷ, ἀνάγκη ἦν ἕκαστον μόριον ἰδίᾳ περιγραφόμενον, καὶ ἕκαστον ἤδη καθ' αὑτὸ ἐν τόπῳ εἶναι. εἰ δὲ μὴ διαιρεῖται τὸ σῶμα ὑπὸ τοῦ διαστήματος, μηδὲ χωρεῖ τὸ διάστημα διὰ τοῦ σώματος, ποία ἀνάγκη εἶναι τὸ μόριον καθ' αὑτὸ ἐν τόπῳ. Ἀλλ' ἐκεῖνο ἴσως ἀπορήσειεν ἄν τις πρὸς τὸν λόγον, ὃν ἤδη φθάσαντες εἴπομεν, ὅτι εἰ ὁ τόπος διάστημά ἐστιν ἄνευ οὐσίας πάσης καὶ ὕλης, ἐν μόναις διαστάσεσι τὸ εἶναι ἔχον, αἱ δὲ διαστάσεις τοῦ ποσοῦ, συμβήσεται τὸ ποσὸν χωριστὸν εἶναι ἄνευ οὐσίας. ἀλλὰ ἀδύνατον. πᾶσαι γὰρ αἱ ἄλλαι κατηγορίαι ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχουσιν. εἰ τοίνυν ἀδύνατον τὸ ποσὸν καθ' αὑτὸ ὑποστῆναι χωριστὸν τῆς οὐσίας, ἀδύνατον εἴη καὶ τὸ τοιοῦτον διάστημα. Φημὶ οὖν ἐγώ, ὅτι μάλιστα μέν, οὐ ταῖς ἡμετέραις δόξαις ἀνάγκη τὴν τῶν πραγμάτων ἀκολουθεῖν φύσιν, ἀλλὰ τοῖς πράγμασι συμφώνους εἶναι τὰς ἡμετέρας ὁμολογίας. οὐκ ἐπειδὴ τοίνυν οὕτω διωρισάμεθα, ὡς ἀδύνατον ποσόν τι ὑποστῆναι ἄνευ οὐσίας, ἤδη που ἀνάγκη καὶ τὴν τῶν πραγμάτων φύσιν οὕτως ἔχειν. σκόπει δὲ καὶ οὕτως. εἰ ἐπειδὴ πάντως ἐν τοῖς σώμασι μετὰ τῆς οὐσίας ὁρῶμεν τὸ ποσόν, διὰ τοῦτο καθ' αὑτὸ οὐκ ἂν ὑποστῆναι ἀποφαινόμεθα, ὥρα καὶ αὐτὰς τὰς οὐσίας μὴ αὐθυποστάτους εἶναι λέγειν. πᾶσα γὰρ φυσικὴ οὐσία, πάντως ποσοῦ τινος ὡρισμένου δεῖται εἰς τὸ εἶναι. ἀδύνατον οὖν ἐν τῷ τυχόντι μεγέθει τὸ τυχὸν εἶδος ὑποστῆναι. ὡς ἐν τῷ πρώτῳ λόγῳ ταύτης τῆς πραγματείας ἐδείχθη. ἀλλὰ καὶ σάρξ, καὶ ἄνθρωπος, καὶ ὀστοῦν, καὶ τὰ ἄλλα πάντα φυσικὰ εἴδη, οὐκ ἂν ὑποσταίη μὴ ἔν τινι ὡρισμένῳ ποσῷ. ἀλλὰ τοῦ ποσοῦ, ἐν ᾧ πέφυκεν ἡ σὰρξ ὑφίστασθαι φθαρέντος, συνεφθάρη καὶ τὸ εἶδος. ταύτῃ οὖν εἴποιμι ἂν τὰ φυσικὰ εἴδη, ὡς ἐν ὑποκειμένῳ τῷ ποσῷ τὸ εἶναι ἔχειν. καὶ τί δεῖ περὶ τοῦ ποσοῦ λέγειν. οὐδὲν γὰρ τῶν φυσικῶν εἰδῶν ἄνευ ὕλης ὑποστῆναι δύναιτ' ἄν. πάντα οὖν συμβεβηκότα ἂν εἴη τῇ ὕλῃ. ὥστε μᾶλλον αὐθυπόστατον τὸ ποσόν, ἢ τὰ οὐσιώδη τῶν εἰδῶν. ταῦτα μὲν οὖν ὡς ἔχει, μακροῦ ἂν δέοι καὶ λόγου καὶ χρόνου πρὸς τὸ γνῶναι. ὅπερ δὲ εἶπον ἐξ ἀρχῆς, καὶ νῦν λέγω. ὅτι ἢ δειξάτωσαν, ὅτι οὐκ ἔστι τοιοῦτον διάστημα, καὶ λυέτωσαν τὰ παρ' ἡμῶν δεδειγμένα, ἢ ἕως ἂν ἐκεῖνα μένωσιν, οὐκ ἀναιρήσομεν τὴν τῶν πραγμάτων φύσιν, ἐπειδὴ τισὶν ἔδοξεν οὕτως ἀποφήνασθαι, ὡς ἀδύνατον τὸ ποσὸν καθ' αὑτὸ ὑποστῆναι.

ἔπειτα δὲ κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι πᾶσαι αἱ κατηγορίαι οὐκ ἄνευ τῆς πρὸς ἀλλήλας συμπλοκῆς ὑφεστήκασι. καὶ τὸν τόπον τοίνυν καθ' αὑτὸν ὑποστῆναι οὐ τῶν ἐνδεχομένων ἐστί. τῶν πρός τι γὰρ ὁ τόπος καὶ τὸ ἐν τόπῳ, καὶ οὐδέτερον τοῦ λοιποῦ χωρὶς εἶναι δύναται. ὥστε τῷ μὲν ἰδίῳ λόγῳ, χωριστός ἐστι τῶν σωμάτων ὁ τόπος. κατ' ἐνέργειαν δὲ οὐδέποτέ ἐστι χωρὶς σωμάτων. καὶ τί λέγω περὶ τοῦ ποσοῦ, ὅπου γε οὐδεμία κατηγορία χωρὶς τῆς τῶν λοιπῶν, ἢ πασῶν ἢ τινῶν ὑφέστηκε συμπλοκῆς. οὐδὲ αὐτὴ ἡ οὐσία. εἴ τις καὶ καθ' αὑτὴν ὑποστῆναι δύνασθαι λέγεται. καὶ ἡ ὕλη γοῦν, ἢ καὶ τὸ δεύτερον ὑποκείμενον, λέγω δὴ τὸ τριχῆ διαστατὸν καὶ ἄποιον σῶμα, ὅσον ἐφ' ἑαυτῷ, δυνάμενον καθ' αὑτὸ ὑποστῆναι, ὅμως οὐχ ὑφέστηκεν οὐδέποτε ἄνευ ποιοτήτων. καὶ τὸ τοπικὸν οὖν διάστημα, εἰ καὶ ὅσον ἐφ' ἑαυτῷ, ὑποστῆναι ἐδύνατ' ἂν καθ' αὑτό, τί γὰρ ἐκώλυε, χώραν εἶναι κενὴν σώματος, ὥσπερ λέγομεν, εἰ τὰ ἀμφορέα ἐννοήσομεν μηδὲν ἐντὸς περιέχοντα σῶμα, ἀλλ' οὖν οὐδέποτε μένει κενὸν σώματος, καὶ αὐτὸ καθ' αὑτό. ἀλλ' ὥσπερ ἐπὶ τῆς ὕλης, ἑνὸς φθαρέντος εἴδους, ἄλλο εὐθὺς αὐτῇ γίνεται, οὕτω δὴ καὶ ἐπὶ τούτου, ἡ ἀντιμετάστασις τῶν σωμάτων, οὐδέποτε τὴν χώραν καταλιμπάνει κενήν. ἀλλ' ἅμα ἄλλο μὲν ἔξεισι σῶμα, ἕτερον δὲ ἀντεμπίπτει. καὶ ταύτῃ οὐδέποτε ἄνευ οὐσίας, οὐδὲ τὸ τοιοῦτον ποσὸν ἔστιν εὑρεῖν. καὶ μήποτε καὶ ἡ τοῦ κενοῦ βία αὕτη ἐστί, τὸ μὴ χωρισθῆναί ποτε τὸ τοιοῦτον ποσὸν τῆς οὐσίας. ὥστε ταύτῃ σώζοιτ' ἂν καὶ τὸ δοκοῦν ὁμολογημένον εἶναι, διὰ τὸν συνεθισμὸν τοῦ συνεχῶς τοῦτο λέγεσθαι, λέγω δὴ τὸ μὴ ἂν τὸ ποσὸν ὑποστῆναι καθ' αὑτὸ ἄνευ οὐσίας. οὐδέποτε γὰρ ἐνδέχεται εἶναι τὸ κενὸν χωριστὸν σώματος. ἀλλὰ γὰρ οὕτω πάντα τὰ ὑπάρχοντα τῷ τόπῳ, καὶ τῷ τοιούτῳ τόπῳ ἐδείξαμεν ὑπάρχοντα. ἓν δέ τι λείπεται μόνον. λέγω δὴ τὸ διορίσασθαι ἐν ᾧ καθόλου τόπῳ, τὸ ἄνω καὶ τὸ

σωμεν τῷ λόγῳ τὸν οὐρανόν, ὅπου οἰσθήσεται. καὶ πάλιν ἐφεξῆς τὰ σώματα χωρίσας πάσης ποιότητος καὶ παντὸς εἴδους, ὅτι οὕτως αὐτὰ καθ' αὑτὰ θεωρεῖ. τῆς ὕλης δὲ οὕτως εἰς ἔννοιαν ἐρχόμεθα, πᾶν εἶδος αὐτῆς χωρίσαντες, καὶ μόνην αὐτὴν καθ' αὑτὴν θεώμενοι. οὐ γὰρ ἄτοπον, ὑποθέσεσι χρῆσθαί τισιν, εἰ καὶ ἀδύνατοι εἶεν, πρὸς ἄλλων ἐπίσκεψιν. ἐντεῦθεν γὰρ ἐπειδὴ τῇ κινήσει τοῦ οὐρανοῦ, τινὲς ἀποδιδόασι τὴν αἰτίαν, τοῦ ἵστασθαι τὴν γῆν, διὰ τοῦτό φησιν ὁ Ἀριστοτέλης, ὅτι ἵνα ἴδωμεν, εἰ τῷ ὄντι ἡ τοῦ οὐρανοῦ κίνησις, αἰτία ἐστὶ τοῦ ἵστασθαι τὴν γῆν, στήσωμεν τῷ λόγῳ τὸν οὐρανόν. καὶ ζητήσωμεν, ποῦ οἰσθήσεται κατὰ φύσιν ἡ γῆ. καὶ ὁ Πλάτων δὲ τὸν τῆς τάξεως τοῦ παντὸς αἴτιον, κατ' ἐπίνοιαν τοῦ κόσμου χωρίσας, ζητεῖ, πῶς ἂν ἔχοι τὸ πᾶν αὐτὸ καθ' αὑτό, θεοῦ χωρισθέν. καίτοι ἕκαστον τούτων, ἀδύνατον γενέσθαι. ἀλλ' ὅμως τὰ τῇ φύσει συνημμένα χωρίζει κατ' ἐπίνοιαν ὁ λόγος, ὡς ἂν ἴδοι, πῶς ἕκαστον αὐτὸ καθ' αὑτό, καὶ τὴν ἰδίαν ἔχει φύσιν. οὕτως οὖν κἀγώ, ἐπειδὴ οὐ βούλονταί τινες τὸ δεξάμενον τὰ σώματα, ἕτερον εἶναι διάστημα παρ' αὐτά, ἀλλὰ μόνον εἶναι ἐν τῇ φύσει τῶν ὄντων τριχῇ διαστατὸν τὸ σωματικὸν διάστημα, τῷ αὐτῷ τρόπῳ φημί, ὅτι εἰ τοῦτο οὕτως ἔχει, δεδόσθω μοι τῷ λόγῳ, μὴ εἶναι τὰ ἐντὸς τοῦ οὐρανοῦ σώματα. ἆρ' οὖν οὐδὲν κενὸν διάστημα μεταξὺ καταλείπεται, ἀλλὰ πρόδηλον οἶμαι τοῦτο. εἰ γὰρ μὴ ἦν τι μεταξὺ τῶν περάτων τῆς κοίλης τοῦ οὐρανοῦ ἐπιφανείας, τῶν ἐντὸς σωμάτων κατ' ἐπίνοιαν ἐξαιρεθέντων, συνέπεσον ἂν τὰ τοῦ οὐρανοῦ πέρατα. τοῦτο δὲ ἀδύνατον. οὐ γὰρ διὰ τὰ ἐντὸς σώματα ὁ οὐρανὸς ἔχει ὡς ἔχει, ἀλλὰ κἂν μηδὲν ᾖ, ὡσαύτως ἕξει. ὃ δὲ ἐπὶ τοῦ παντὸς ἐθεωρήσαμεν, τοῦτο καὶ ἐπὶ μέρους ἔστιν ἰδεῖν. γενέσθω γάρ μοι σφαῖρα χαλκῆ, μὴ ναστή, ἀλλὰ κοίλη. δῆλον δήπου, ὡς τὸ ἐντὸς ἀπειλημμένον, ἀήρ ἐστιν. ἐὰν οὖν ἐπινοήσω, τὸν ἐντὸς ἀέρα, οὐ λέγω εἰς τὸ μὴ ὂν φθαρέντα, ἀλλ' εἰς γῆν μεταβάλλοντα ἢ εἰς ὕδωρ. οὐ γὰρ δήπου τοῦτο ἀδύνατον, ἐλάττονα τόπον δηλονότι τοῦ ἀέρος κατεχούσης τῆς γινομένης γῆς ἢ τοῦ ὕδατος, τὸ λοιπὸν ἐν ᾧ πρότερον μὲν ἀὴρ ἦν, νῦν δὲ οὐδέν, ἐξ ἀνάγκης κενὸν ἔσται. ἀλλά φησιν ὁ Θεμίστιος πρὸς τοῦτο ἐνιστάμενος, ὅτι θᾶττον ἂν συνέπεσεν ὁ χαλκὸς τῆς κοίλης σφαίρας, πρὶν ἢ ἐκρυῆναι τὰ ἐντὸς σώματα, ἢ μεταβάλλειν εἰς γῆν. τοῦτο δὲ ἀληθῶς μὲν λέγεται, οὐκ εὐθύτως δέ. διατί γὰρ εἰπέ μοι, συνέπιπτεν ὁ χαλκός; μὴ γὰρ ὑπὸ τοῦ ἐντὸς ἀνείχετο σώματος, ὥσπερ ὑπὸ τοῦ πνεύματος οἱ ἀσκοὶ ὅταν φυσῶνται; τί οὖν τὸ αἴτιον, τοῦ συμπεσεῖν τὸν χαλκόν, τί δὲ ἄλλο γε, ἢ διὰ τὸ μὴ μένειν τὸ μεταξὺ διάστημα κενόν. πλὴν εἰ καὶ μὴ ἡ φύσις τοῦτο ἔχει, πάλιν λόγῳ ληπτέον, μὴ συμπεσεῖν τὸν χαλκόν. μεταβάλλειν δὲ τὸν ἐντὸς ἀέρα εἰς γῆν. καὶ ὄψει ὡς ἔστι τι μεταξὺ διάστημα ἕτερον, παρὰ τὰ ἐν αὐτῷ σώματα. τί γὰρ ἄτοπον, ὥσπερ τὴν ὕλην χωρίζομεν τῷ λόγῳ παντὸς τοῦ εἴδους, εἰς τὸ τὴν φύσιν αὐτῆς ἐπισκέψασθαι, καίτοι τοῦτο ἀδύνατον γενέσθαι ποτέ, οὕτω δὲ καὶ τὸν μεταξὺ τῆς χαλκῆς σφαίρας ἀπειλημμένον ἀέρα, ὑποθέσθαι μεταβάλλειν εἰς γῆν, μὴ συμπίπτοντος τοῦ χαλκοῦ, ἵνα ἴδωμέν τι ἀκόλουθον. καίτοι τὸ αἴτημα, οὐκ ἔξω τῆς φύσεως. ἀλλὰ καθ' ἑκάστην γινόμενον. λέγω δή, τὸν βραχὺν ἀέρα μεταβάλλειν εἰς γῆν. τίς δὲ ὅλως ἡ ἀνάγκη τοῦ πεσεῖν τὸν χαλκόν, τοῦ ἐντὸς ἀέρος εἰς γῆν μεταβάλλοντος. εἰ γὰρ μηδὲν ἔστιν ἕτερον διάστημα ἐντός, παρὰ τὸ περιεχόμενον σῶμα. τίς ὁ κίνδυνος, ὥστε μεταβάλλοντος τοῦ ἀέρος, ἐξ ἀνάγκης τὸν χαλκὸν συμπεσεῖν. κακῶς δὲ ὁ Θεμίστιος κἀκεῖνο τῷ Γαληνῷ ἐγκαλεῖ. ἐκείνου γὰρ αἰτήσαντος καθ' ὑπόθεσιν, ἐξαρθέντος τοῦ ἐν τῷ ἀγγείῳ ὕδατος μηδὲν ἕτερον εἰσρυῆναι σῶμα, ἵνα τὸ ἀκόλουθον ἐπισκέψηται, ἐγκαλεῖ αὐτῷ ὡς τὸ ζητούμενον αἰτουμένῳ. λέγει δὲ οὕτως. Ἀλλ' ὑποθώμεθα, ἐξαρθέντος τοῦ ὕδατος, μηδὲν ἕτερον εἰσρυῆναι σῶμα, συμβαίνει οὖν εἶναι μεταξὺ τῆς ἐπιφανείας διάστημα κεχωρισμένον. ἀλλ' ἄλογος ἡ ὑπόθεσις, ὦ σοφώτατε Γαληνέ. τοῦτο γὰρ ὑποτίθεσαι, ὃ ζητοῦμεν. ζητούντων γὰρ ἡμῶν, εἰ δύναται εἶναι διάστημα κεχωρισμένον, ὑποθώμεθα λέγεις εἶναι διάστημα κεχωρισμένον, πλάττεις οὖν σεαυτῷ, καὶ ἀναζωγραφεῖς ὃ βούλει εἶναι διάστημα, οὐχ ὃ ὑπάρχει δεικνύεις. ταῦτα μὲν ὁ Θεμίστιος. ὅτι δὲ εὐήθης ἡ ἀπάντησις, παντί γε οἶμαι δῆλον. εἰ μὲν γὰρ ὡμολογεῖτο μὲν εἶναι τὸ διάστημα, ἐζητεῖτο δέ, εἰ δύναταί ποτε τοῦτο καθ' αὑτὸ εἶναι κενὸν σώματος, ὅπερ ζητεῖ ἐν τοῖς ἐφεξῆς ὁ Ἀριστοτέλης, εἶτα ὑπετίθετο ὁ Γαληνός, μηδὲν ἄλλο, ἐκρυέντος τοῦ ὕδατος, μετεμπίπτειν σῶμα, τῷ ὄντι τὸ ζητούμενον ἠξίου λαβεῖν. ἐπειδὴ δὲ τοῦτο μὲν νῦν οὐ ζητεῖται, ἀλλ' εἰ ἔστιν ὅλως τι διάστημα παρὰ τὸ σωματικὸν διάστημα, ὅπερ τόπος ἐστὶ τῶν σωμάτων, ἀξιοῖ δὲ ὁ Γαληνός, ἐξελθόντος τοῦ ὕδατος, μὴ ἐπεισελθεῖν ἕτερον σῶμα, οὐ τοῦτο λέγει ὡς σὺ φῂς Θεμίστιε, ὅτι ἔστω διάστημα κεχωρισμένον τῶν σωμάτων μεταξὺ τοῦ ἀμφορέως. ἀλλ' ὅτι μὴ εἰσίτω ἄλλο τι σῶμα, ἐξελθόντος τοῦ ὕδατος, καὶ οὕτως ἴδωμεν εἰ ἔστι τι μεταξὺ ἢ μή. εἰ δὲ ὅλως εἴη, ὅτι ἐξελθόντος τοῦ ὕδατος. ἐὰν οὖν ὑποθώμεθα, ἕτερόν γε μὴ εἰσιὸν σῶμα, συμβαίνει τι μεταξὺ εἶναι διάστημα κεχωρισμένον. ὥστε αὐταῖς ταῖς σεαυτοῦ χερσὶν ἥλως. λέγεις γὰρ εἶναι ἄλλο τι διάστημα μεταξύ, οὐδέποτε μέντοι τοῦτο κενὸν σώματος εἶναι. ὅπερ καὶ ἡμεῖς φαμέν. οὐδὲ γὰρ τοῦτο λέγομεν, ὅτι μένει ποτὲ τὸ διάστημα τοῦτο κενὸν σώματος. ἀλλ' ὅτι ἔστι μὲν ἕτερον πάντων τῶν ἐμπιπτόντων σωμάτων, οὐδέποτε μέντοι κενὸν γίνεται σώματος. καὶ διὰ τοῦτο ἡ ἀντιμετάστασις τῶν σωμάτων, καὶ ἡ τοῦ κενοῦ βία, ἵνα μὴ μένῃ μόνον αὐτὸ σώματος τὸ τοπικὸν διάστημα. Ἰστέον δὲ ὅτι ἣν ὑποτίθεται ὑπόθεσιν ὁ Θεμίστιος, ὥς τινων λεγόντων τὸ τοπικὸν διάστημα τοῦτο εἶναι, οἷον εἰ τὸ διάστημα τὸ σωματικὸν δίχα ποιοτήτων

παντελῶς

σώματος τὴν ἐπιφάνειαν, ὡς δὴ φυσικῆς οὔσης ἀνάγκης πάντως, πᾶν σῶμα τινὸς ἅπτεσθαι. ἀλλ' οὕτως ἂν ἀπάγοιτο, τὸ πᾶν τὸ πεπερασμένον, πρός τι περαίνειν. ὅπερ ὅτι ψεῦδός ἐστιν, ἱκανῶς ὁ ἀριστοτέλης ἔδειξεν. ἕτερον δὲ, τὸ πεπεράνθαι καὶ τὸ ἅπτεσθαι. καὶ τὸ μὲν πρός τι, τὸ ἅπτεσθαι. τὸ δὲ, οὔ. δέδεικται δὲ καὶ ὅτι οὐδὲν ἔξω τοῦ οὐρανοῦ ἐστιν. ὥστε οὐδενὸς ἂν ἅπτοιτο ὁ κόσμος. καὶ ἁπλῶς εἰ μὴ ἄπειρόν ἐστι τὸ πᾶν, ἀνάγκη τὸ ἔσχατόν που μηδενὸς ἅπτεσθαι. ἀλλ' εἰ καὶ τὰ ἐντὸς σώματος πάντως τινὸς ἅπτεται, ἀλλ' οὖν τοῦτο συμβέβηκεν αὐτοῖς φησιν. εἰ οὖν συμβέβηκεν αὐτοῖς τὸ ἅπτεσθαι, κἂν μὴ ἅπτηται, οὐδὲν παρὰ τοῦτο βλάπτεται αὐτῶν ἡ φύσις. ὅτι δὲ οὐ τοῦτό ἐστι τὸ κενὸν, λέγω δὴ τὸ μὴ ἅπτεσθαι σῶμα σώματος, δῆλον ἐντεῦθεν. εἰ γὰρ τοῦτο ἦν, πῶς δείκνυσιν ὁ ἀριστοτέλης, ὅτι ἔξω τοῦ οὐρανοῦ κενὸν οὐκ ἔστιν. εἰ γὰρ κενὸν λέγει τὴν ἐπιφάνειαν, ὅταν μηδενὸς ἅπτηται σώματος, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ δηλονότι κενόν ἐστιν, εἴ γε μηδενὸς ἅπτεται ἡ ἔξω τοῦ οὐρανοῦ ἐπιφάνεια. ἀλλὰ μὴν λέγει κενὸν μὴ εἶναι ἔξω τοῦ οὐρανοῦ. οὐκ ἄρα τὸ μὴ ἅπτεσθαί τινος, κενόν ἐστι. πάλιν, εἰ τοῦτό ἐστι κενὸν, τὸ μὴ ἅπτεσθαί τι σῶμα σώματος, δηλονότι καὶ ἐν τοῖς περὶ κενοῦ λόγοις τοῦτο ζητεῖ ὁ ἀριστοτέλης, ὅτι ἀνάγκη πᾶν σῶμα τινὸς ἅπτεσθαι σώματος. ἀλλὰ γελοῖον. πῶς γάρ φησιν, ὅτι οὐ μόνον ἐν τῷ κόσμῳ οὐκ ἔστι κενὸν, ἀλλ' οὐδὲ ἔξω τοῦ κόσμου. καίτοι γε κατὰ τὴν αὐτοῦ δόξαν, οὐδενὸς ἅπτεται ἔξωθεν ὁ οὐρανός. καὶ τί μοι πολλὰ λέγειν. αὐτοῦ τοῦ φιλοσόφου παραθήσομαι τὰς ῥήσεις, δηλούσας τί ποτε εἶναι τὸ κενὸν ὑπολαμβάνουσι πάντες. καὶ ὅτι τοῦτο τὸ κενὸν αὐτὸς δείκνυσι μὴ ὄν. οἷον γάρ φησι τόπον τινὰ καὶ ἀγγεῖον τὸ κενὸν τιθέασιν οἱ λέγοντες. δοκεῖ δὲ εἶναι πλῆρες μὲν, ὅταν ἔχῃ τὸν ὄγκον οὗ δεκτικόν ἐστιν. ὅταν δὲ στερηθῇ, κενόν. καὶ πάλιν, οἱ δὲ ἄνθρωποι βούλονται κενὸν εἶναι, διάστημα ἐν ᾧ μηδέν ἐστι σῶμα αἰσθητόν. καὶ ζητῶν δὲ αὐτὸς τὴν τοῦ κενοῦ ἔννοιαν τί ποτε σημαίνει, φησὶ, καθ' ἕνα μὲν τρόπον κενὸν λέγεσθαι διάστημα μὴ ὂν πλῆρες αἰσθητοῦ σώματος. ἄλλον δὲ ἐν ᾧ μὴ τόδε ἐστὶ, μηδὲ οὐσία τις σωματική. ὡς ἐκ τούτου τοῦ ὁρισμοῦ, καὶ τὴν ὕλην κενὸν λέγεσθαι. καὶ τὰ δύο ταῦτα σημαίνεσθαι ὑπὸ τῆς τοῦ κενοῦ φωνῆς. ἀλλ' οὐκ εἶπεν ὅτι σημαίνει τὸ κενὸν σῶμα μηδενὸς ἁπτόμενον κατὰ τὴν ἐπιφάνειαν. ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς πρὸς τὸ μὴ εἶναι τὸ κενὸν, οὕτως δείκνυσι μὴ ὂν ὅπερ τῷ ὄντι, καὶ τὸ ὄνομα σημαίνει, καὶ πάντες ἐννοοῦσι, τὸ ὡς διάστημα τριχῇ διαστατὸν, μηδὲν ἔχον σῶμα ἐν ἑαυτῷ. ὅθεν καὶ τοῖς αὐτοῖς λόγοις φησὶν, οἷς ἐλήλεγκται ὁ τόπος μὴ ὢν διάστημα, καὶ τὸ κενὸν ἐλεγχθήσεται ὅτι οὐκ ἔστι. ταὐτὸν γὰρ εἶναι τὸν οὕτω λεγόμενον τόπον καὶ τὸ κενόν. εἰ τοίνυν οὐ λέγεται κενὸν, τὸ μηδενὸς ἁπτόμενον, ἀλλὰ διάστημά τι, ἐν ᾧ σῶμα μηδέν ἐστιν. οὐδὲν δέ ἐστι μεταξὺ τοῦ ἁρπαγέως, καὶ τοῦ εἰρημένου αὐλοῦ διάστημα ἕτερον παρὰ τὰ ἐπινόμενα σώματα, δῆλον δήπου ὅτι κἂν ἐξέλθῃ τὸ ὕδωρ, οὐδὲν καταλιμπάνεται κενόν. οὐδὲ γάρ ἐστιν ἕτερόν τι διάστημα. τί οὖν βιάζεται ἡ φύσις παρὰ φύσιν, ἢ μένειν, ἢ κινεῖσθαι τὸ ὕδωρ. οὐ δηλονότι ἵνα μὴ τὸ ἐντὸς κενὸν μένῃ, ὡς ὄντος τινὸς μεταξὺ τῶν περάτων διαστήματος, ὃ ἐπληρώθη ὑπὸ τοῦ ὕδατος. ὅπερ ἐὰν ἐξέλθῃ τὸ ὕδωρ, μὴ ἀντιμεταστῇ δὲ αὐτῷ ὁ ἀὴρ, κινδυνεύει κενὸν εἶναι. σαφῶς οὖν οἶμαι καὶ διὰ τούτων δεδεῖχθαι, εἰ καί τι διάστημα ἕτερον τῶν ἐπινομένων ἐν αὐτῷ σωμάτων, κενὸν κατὰ τὸν οἰκεῖον λόγον, ὅπερ καὶ κυρίως ἐστὶν ὁ τόπος. σκόπει δὲ καὶ ἐντεῦθεν. εἰ μὴ δέονται γινόμενα τὰ σώματα ἔξωθεν διαστήματός τινος, ἴσου αὐτοῖς κατὰ τὰς τρεῖς διαστάσεις. τί δήποτε ῥήγνυνται ὑπὸ τοῦ γλεύκους οἱ ἀσκοὶ καὶ οἱ πίθοι, μεταβάλλοντος τοῦ οἴνου εἰς πνεῦμα. καίτοι εἰ δημιουργῶν ὁ θεὸς τὰ σώματα οὐ συνυπέστησεν αὐτοῖς διάστημά τι χωρητικὸν τῆς οὐσίας αὐτῶν, ἀλλ' αὐτὰς μόνας τὰς οὐσίας παρήγαγε, μὴ δεηθείσας ἔξωθεν τόπου τινὸς, διατί μὴ καὶ τὸ ἐν τῷ ἀσκῷ γινόμενον σῶμα, οὐδενὸς δεῖται τοῦ χωρήσοντος. τὸ γὰρ ἅπτεσθαι σῶμα σώματος, κατὰ συμβεβηκὸς ὑπάρχει τοῖς σώμασι, διὰ τὸ μὴ συνεχὲς εἶναι τὸ πᾶν, ἀλλὰ διῃρημένον. ταύτῃ κατὰ τὸν ἀριστοτέλην καὶ ἄλλου ἄλλο τόπος ἐστίν. οὐ διὰ τοῦτο γινόμενον, ἵνα ᾖ αὐτοῦ τόπος. οὐ γὰρ διὰ τοῦτο γέγονεν οὐρανὸς, ἵνα τόπος ᾖ τῶν ἐντὸς σωμάτων. ἀλλὰ διὰ τὴν τάξιν τῶν γινομένων καὶ τὰς φυσικὰς ῥοπὰς, συμβέβηκεν ἄλλο ἄλλου τόπον εἶναι. εἰ τοίνυν τὸ ἅπτεσθαι ἀλλήλων συμβέβηκε τοῖς σώμασι κατὰ δὲ τὸ εἶναι, οὐδενὸς δέονται ἔξωθεν διαστήματος τοῦ δεξομένου αὐτὰ, ἔδει ὡς εἶπον, τὸ γινόμενον ἐν τῷ ἀσκῷ πνεῦμα, μεταβάλλοντος τοῦ γλεύκους, μὴ δεηθῆναι ἔξωθεν ἄλλου τινὸς τόπου. νῦν δὲ δεῖται. ῥήγνυσι γοῦν τοὺς ἀσκούς. ἐπειδὴ μήτε ἐκτὸς εἶναι διαστήματος καθ' αὑτὸ δύναιτο, μήτε τὸ αὐτὸ διάστημα δυνατὸν δύο δέξασθαι σώματα. σκόπει δὲ καὶ ὧδε. εἰ μηδέν ἐστιν ἕτερον διάστημα παρὰ τὰ ἐπινόμενα σώματα τὸ δεχόμενον αὐτὰ, ὑφέλωμεν κατ' ἐπίνοιαν τὰ μεταξὺ σώματα. καὶ εἴδωμεν εἰ ἀφ' ὄντι οὕτως ἔχει. ἆρ' οὖν εἰ ἐπινοήσομεν τὰ ἐντὸς τοῦ οὐρανοῦ σώματα μὴ ὄντα, γῆν λέγω καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ, τί λοιπὸν τὸ μεταξὺ καταλείπεται, ἢ τὸ διάστημα κενόν. ἦν γὰρ δηλονότι εὐθείας ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν πανταχόθεν ἐκβάλλειν. τὸ οὖν δι' οὗ τὰς εὐθείας ἐκβάλλομεν τί ἄλλο ἐστὶν, ἢ διάστημα κενὸν τριχῇ διαστατόν. καὶ μή τις λεγέτω, ὅτι ἀδύνατος ἡ ὑπόθεσις. οὐ γὰρ ὡς παρ' ἐμοῦ λόγῳ, τοῦτο ἠκολούθησεν. ὅταν γὰρ ὑποθέσει τινὶ ἕπηταί τι ὃ μὴ ἐνδέχεται γενέσθαι, τότε ἐκ τοῦ ἀδύνατον εἶναι τὸ ἑπόμενον ἐλέγχομεν τὴν ὑπόθεσιν. ἐπεί τοι γε τοῦ συνιδεῖν ἕνεκα τὴν τῶν πραγμάτων αὐτῶν καθ' αὐτὰ φύσιν, καὶ τὰ ἀδύνατα πολλάκις ὑποτιθέμεθα. ὁ γοῦν ἀριστοτέλης πρὸς τοὺς λέγοντας ὅτι τῇ ὀξείᾳ δινήσει τοῦ οὐρανοῦ ἕστηκεν ἡ γῆ ἀκίνητος, φησὶν ἐὰν οὖν στῇ-

καὶ λαμβάνεις παρ' ἡμῖν ὑπὸ τῶν πολλῶν ἁρπαγίας, πεπληρωμένου ὄντος ὕδατος τοῦ ἀγγείου, καὶ ὄντων ἐν τῷ πυθμένι τρημάτων πολλῶν, ἐπειδὰν μὲν τὴν κατὰ τὸ στόμα ὀπὴν τῷ δακτύλῳ ἀποφράξωμεν, οὐκ ἔξεισι τὸ ὕδωρ διὰ τῶν τοῦ πυθμένος τρημάτων, βαρύ γε ὄν, καὶ τοσαύτας ἔχον διεξόδους, ἀλλ' ἐπέχεται κατὰ τὰ τρήματα τῷ ἀέρι, καὶ μετέωρον ἵσταται παρὰ φύσιν. ἐπειδὰν δὲ ἐκφράξωμεν τὴν ἄνωθεν ὀπήν, ἔξεισι διὰ τῶν τοῦ πυθμένος τρημάτων κατὰ ῥύμης τὸ ὕδωρ. τούτου δὲ ἡ αἰτία οὐδεμία ἄλλη, ἢ ἡ τοῦ κενοῦ βία. ἐπειδὴ γὰρ μὴ ἐνδέχεται εἶναί τι κενόν, τῆς ἄνωθεν ὀπῆς πεφραγμένης, εἰ ἐξέλθοι κάτωθεν τὸ ὕδωρ, οὐδαμόθεν χωρήσει ὁ ἀὴρ ἀντιπεριστῆναι εἰς τὸ ἐντός, ἐξιόντος τοῦ ὕδατος. οὔτε γὰρ ἄνωθεν, βέβυσται γὰρ ἀκριβῶς τῷ δακτύλῳ τὸ ἄνω στόμιον. οὔτε κάτωθεν, λεπτῶν γὰρ ὄντων πάνυ τῶν τρημάτων, καὶ τοῦ ὕδατος ἐπικειμένου, οὐκ ἰσχύει βιασάμενος τὸ ὕδωρ παρέσδυσιν εὑρεῖν. ἅμα δὲ ἐξιέναι τὸ ὕδωρ, καὶ ἀπιέναι τὸν ἀέρα, ἀδύνατον. φερομένου οὖν, τοῦ μὲν ὕδατος ἐπὶ τὸ κάτω, τοῦ δὲ ἀέρος αὐτὸ ὠθοῦντος ὑπὸ τῆς φυσικῆς ἐν τῷ παντὶ τοῦ κενοῦ βίας, στάσις γίνεται. εἰ μὲν οὖν ἦσαν εὐρύτεραι αἱ ὀπαί, πλείονος ὄντος τοῦ ἐν αὐταῖς ὕδατος, ἠδύνατο καθ' ἕν τι μόριον τμηθεὶς ὁ ἀήρ, ὑποχωρῆσαι τῷ ὕδατι ἅτε τῆς φυσικῆς ὁρμῆς τοῦ ὕδατος ῥεψάσης ἐπὶ θάτερα, ἢ τοῦ παρείη καὶ ὁ ἀήρ, τότε ὁ κατ' ἕτερον μέρος ἀὴρ τῆς ῥύμης τοῦ ὕδατος ἐπὶ θάτερα μετατεθείσης, ἠδύνατο παρέσδυσιν ἔχειν. οἷον γίνεται, καὶ ἐπὶ τῶν τετρημένων ἀγγείων, ὅταν ᾖ πλήρη. διόπερ, οὐδὲ κατὰ ῥύμης ἔξεισιν ὁ οἶνος, ἀλλ' ὑπὸ τῆς τοῦ ἀέρος ὤσεως, ἠρέμα ὑπὸ τὸ ὄργανον ῥεῖ. ὅθεν ἄνωθεν ποιοῦσι τὰ κενά, ἵνα μὴ ἐνιός ἐστιν, διάβασιν τιθέασιν, ἵνα διὰ τῶν ὀπῶν ἐκείνων τῷ ἀέρι τὴν εἴσοδον, ἀκώλυτος ἡ ἔξοδος τοῦ οἴνου γένηται. ὁρᾶται γοῦν ῥύμῃ πολλῇ τότε ἐξιών. πόθεν δὲ καὶ καταφερὲς φύσει τὸ ὕδωρ ὑπάρχον, ἐπὶ τὸ ἄνω κινεῖται, ὑπὸ τῶν αὐλόν τινα ἐμβαλόντων, καὶ δι' αὐτοῦ ἀναρροφούντων. τῷ γὰρ ἐκμυζεῖν τὸν ἐν τῷ αὐλῷ ἀέρα, ἐπειδὴ κινδυνεύει γενέσθαι κενὸν τὸ μεταξύ, ἡ πολυθρύλλητος δὴ τοῦ κενοῦ βία παρὰ φύσιν κινεῖ τὸ ὕδωρ. οὕτω γοῦν καὶ ὅλοις κεραμίοις ἐξαντλοῦσι, ποιήσαντες θάτερον τοῦ αὐλοῦ μέρος ἐπικεκαμμένον εἰς τὸ ἔμπαλιν, χαλάσαντες δὲ τὸ ἕτερον πέρας εἰς τὸν ἀμφορέα, εἶτα τῷ ἑτέρῳ ἐκμυζήσαντες τὸν ἐντὸς ἀέρα, καὶ τῇ τοῦ κενοῦ βίᾳ συνελκύσαντες τὸ ὕδωρ. ὅπερ ἀρχὴν λαβὸν τῆς κινήσεως, οὐ παύεται, μέχρις ἂν ὅλος ἐξαντληθείη ὁ ἀμφορεύς. τούτου δέ, διὰ τοῦτο συμβαίνει τὴν αἰτίαν. ἐπειδὰν γὰρ φθάσῃ τὸ ὕδωρ πληρῶσαι τὸν αὐλὸν ὅλον, καὶ γενόμενον ἐν τῇ καμπῇ, ἄρξηται τὴν κατὰ φύσιν φέρεσθαι φοράν, οὐκ ἐξισχύει ὁ ἀήρ, εἰς τὸ ἔμπαλιν αὐτὸ ὠθῆσαι, διά τε τὴν τοῦ ὕδατος κατὰ φύσιν ῥοπήν, καὶ διὰ τὴν ἐκ τῆς καμπῆς σκολιότητα τοῦ αὐλοῦ. ἐπεὶ οὖν ὁ μὲν ἀὴρ εἰσδῦναι οὐ δύναται, πάλιν δὲ κενὸν τὸν αὐλὸν γενέσθαι ἀδύνατον, κατὰ τὸ συνεχὲς γίνεται ἡ τοῦ ὕδατος εἰς τὸν αὐλὸν εἰσροή. εἰ γὰρ τοῦ ἐξ ἀρχῆς εἰς τὸν αὐλὸν ἀπελθόντος ὕδατος, φθάσαντος μέχρι τῆς καμπῆς τοῦ αὐλοῦ, μὴ ἐπίοι ἄλλο κάτωθεν ὕδωρ, μήτε δὲ ὁ ἀὴρ ἠδύνατο βιασάμενος τὸ ὕδωρ πληρῶσαι τὸ μέρος ἐκεῖνο τοῦ αὐλοῦ, ἐξ ἀνάγκης συνέβαινε κενὸν εἶναι. ἡ οὖν τοῦ κενοῦ βία ἀεὶ πληροῦσα τὸ κενούμενον, οὐ παύεται, μέχρις ἂν δαπανηθέντος τοῦ ἐν τῷ ἀμφορεῖ ὕδατος πληρωθῇ κάτωθεν ἀέρος ὁ αὐλός, ἀπὸ τῆς ἀρχῆς, λέγω δὴ τῆς ἐν τῷ ἀμφορεῖ κεχαλασμένης. πληροῦται γὰρ ὁ ἀμφορεὺς δηλονότι ἀέρος διὰ τοῦ στομίου, ἐξιόντος διὰ τοῦ αὐλοῦ τοῦ ὕδατος· ὅσπερ ἀὴρ ἐν τῷ ἀμφορεῖ γινόμενος, μετὰ τὸ δαπανηθῆναι τὸ ὕδωρ, κατὰ συνέχειαν σύνεισι τῷ ἐσχάτῳ ἀπιόντι ὕδατι. καὶ οὕτω πληροῖ τὰ κάτω μέρη τοῦ αὐλοῦ, οὗ ἅτε οὐκ ἔστιν ὕδωρ. εἰ τοίνυν μηδὲν ἦν μεταξὺ τῆς κλεψύδρας, ἢ τοῦ αὐλοῦ τοῦ εἰρημένου διάστημά τι, ἕτερον τοῦ ἐνυπάρχοντος σώματος, κενὸν ὑπάρχον κατὰ τὸν ἴδιον λόγον, τίς δήποτε φύσις ἐπὶ τῆς κλεψύδρας κωλύει τὸ ὕδωρ κατὰ φύσιν κινεῖσθαι, ὅταν πεφραγμένον ᾖ τὸ ἄνωθεν στόμα, ἢ ἐπὶ τῶν αὐλῶν παρὰ φύσιν ἀνάφορον αὐτὸ ποιεῖ. ἡ μὲν οὖν κοινὴ πάντων ἀπολογία φησίν, ἵνα μὴ γένηται κενόν. ποῖον οὖν κενὸν ἔμελλεν ἔσεσθαι, ὦ βέλτιστε, εἰ μηδέν ἐστι διάστημα ἕτερον μεταξὺ τῶν περάτων τοῦ ἀγγείου παρὰ τὸ διάστημα τὸ τοῦ ὕδατος. ἐξελθόντος οὖν τοῦ ὕδατος, οὐδὲν καταλιμπάνεσθαι, πλὴν ἡ κοίλη τοῦ ἀγγείου ἐπιφάνεια. τί οὖν ἦν, τὸ μέλλον γενέσθαι κενόν. πότερον ἡ ἐπιφάνεια. ἀλλ' οὐκ ἄν, οἶμαι, νοῦν ἔχων τις ἐρεῖ, ἢ πλήρη κενὴν εἶναι τὴν ἐπιφάνειαν. εἰ γὰρ ἐπιφάνεια ἡ ἐπιφάνειά ἐστι, πληροῦσθαι πέφυκέ τινος σώματος, πόσος ἄρα τις ἐστὶν ὁ ἀήρ, κατὰ τὸ βάθος λέγω, ὁ τὴν ἐπιφάνειαν τῆς γῆς πληρώσας. οὐ γὰρ ἔξεις ἀφορίσαι πόσος ἐστὶν ὁ τὴν ἐπιφάνειαν τοῦδε τυχὸν τοῦ κύβου πληρῶν, πότερον δακτυλιαῖος, ἢ μείζων ἢ ἐλάττων. καὶ τίς ἡ ἀποκλήρωσις. ὅτι γὰρ οὐκ ἔστιν ὁρίσαι, δῆλον ἐξ ὧν δυνατὸν ἕτερον σῶμα ἐπιτεθῆναι τῷ κύβῳ, μᾶλλον καὶ ἧττον ἢ προσεγγίζειν, ἢ ἀφιστᾶν αὐτοῦ, καὶ οὐ δήπου πλήρη μᾶλλον ἢ κενήν, ἐν ταῖς διαφόροις διαστάσεσιν εἰπεῖν ἐστι τὴν τοῦ κύβου ἐπιφάνειαν. ὅτι γὰρ οὔτε κενὴν οὔτε πλήρη εἶναι τὴν ἐπιφάνειαν ἐνδέχεται, δῆλον καὶ ἐντεῦθεν. οὔτε γὰρ εἶναί τι κενὸν ἐνδέχεσθαι ὁμολόγηται, οὔτ' αὖ εἶναί τι ἔξω τῆς κυρτῆς τῆς ἀπλανοῦς ἐπιφανείας. καὶ δῆλον πάλιν, ὅτι οὔτε κενήν, οὔτε πλήρη εἶναι τὴν ἐξωτάτω ἐπιφάνειαν, νοῦν ἔχων τις ἐρεῖ. εἰ δὲ ἐπιφάνειά ἐστιν ὁ τόπος, καὶ μὴ ἔστι τι διάστημα τῷ ἰδίῳ λόγῳ κενόν, τίς ἐστιν ἐν τῇ φύσει δύναμις, ἐπὶ τὸ παρὰ φύσιν κινοῦσα τὰ σώματα πολλάκις, ἵνα μὴ κενὸν γένηται, μηδενὸς ὄντος ἐν τῷ παντὶ διαστήματος, τοῦ κινδυνεύοντος κενοῦ γενέσθαι. ἀλλ' ἄρα μὴ κενὸν τοῦτο φάσουσι, τὸ μὴ ἅπτεσθαί ποτε

τόπον, πέρας εἶναι τοῦ περιέχοντος, καθ' ὃ περιέχει τὸ περιεχόμενον. ἔτι δὲ καὶ ἐντεῦθεν δῆλον ὅτι οὐκ ἔστιν ἐπιφάνεια ὁ τόπος. ὅταν γὰρ ἐπ' εὐθείας τι κινῆται διά τινος σώματος, οἷον δι' ἀέρος, φαμὲν τὴν κίνησιν γίνεσθαι, ἀντιμεθισταμένου κατὰ τὰ μόρια τοῦ ἀέρος τῷ κινουμένῳ, καὶ τὸν ἑαυτοῦ τόπον ἀντιπαραχωροῦντος αὐτῷ. οὐ γὰρ χωρεῖ σῶμα διὰ σώματος. εἰ τοίνυν τὸ τοῦ περιέχοντος πέρας ἐστὶν ὁ τόπος, καὶ μὴ δεῖ ἕτερόν τι διάστημα μεταξὺ τῶν περάτων παρὰ τὰ ἐγγινόμενα σώματα, δῆλον ὅτι ἐν τῷ κινεῖσθαί με ἐξ Ἀθηνῶν εἰς Θήβας, τὰ μόρια τοῦ ἀέρος τὰ ἀντιπαραχωροῦντά μοι τὸν ἑαυτῶν τόπον. ἡ κίνησις γὰρ, τόπου ἐστὶ μεταβολὴ καὶ ἄμειψις κατὰ τὸ συνεχές, οὐδενός μοι ἄλλου ἀντιπαραχωρεῖ, πλὴν ἐπιφανειῶν. ἀλλ' ἐπιφάνειαι μόναι συντιθέμεναι, κἂν ἄπειροι ὦσιν, ἐφαρμόζουσαι ἀλλήλαις, οὐδὲν μεῖζον τὸ ὅλον ποιοῦσι. πῶς οὖν πρόεισιν εἰς τὸ πρόσω τὸ κινούμενον. εἰ μὲν γὰρ ἔλεγεν, ὅτι μετὰ τῶν ἐπιφανειῶν, διάστημά τι τριχῇ ὂν διαστατὸν ἀντιπαραχωρήσει ὁ ἀὴρ τῷ κινουμένῳ, ἀεὶ μεταβαίνοντος τοῦ κινουμένου ἀπὸ διαστήματος εἰς διάστημα, συνέβαινεν οὕτω μέγεθός τι κινεῖσθαι, οἷον σταδιαῖον. εἰ δὲ μόνον ἐπιφάνεια εἴη τὸ ἀντιπαραχωρούμενον, αἱ δὲ ἐπιφάνειαι συντιθέμεναι οὐδὲν ποιοῦσι κατὰ βάθος μέγεθος, πῶς οἷόν τέ ἐστιν εἰς τὸ πρόσω χωρεῖν τὸ κινούμενον. ἀλλὰ μὴν χωρεῖ, καὶ κινεῖται διάστημα ὁπηλικονοῦν, οἷον ἀπὸ Ἀθηνῶν εἰς Θήβας. οὐκ ἄρα ἐπιφανείας μόνον παραχωρεῖ τῷ κινουμένῳ τὸ ἀντιμεθιστάμενον αὐτῷ σῶμα. τὸ δὲ ἀντιμεθιστάμενον τοῦ οἰκείου τόπου, παραχωρεῖ τούτῳ ὃ ἀντιμεθίσταται. οὐκ ἄρα ἐπιφάνεια ὁ τόπος. ὅτι μὲν οὖν οὐκ ἔστι τὸ πέρας τοῦ περιέχοντος ὁ τόπος, ἐκ τούτων μετρίως ἐστὶ συνιδεῖν. ὅτι δὲ διάστημά τι ἐστὶ τὸ τριχῇ διαστατὸν, ἕτερον τῶν σωμάτων τῶν ἐμπιπτόντων εἰς αὐτὸ, ἀσώματον ὂν τῷ οἰκείῳ λόγῳ, καὶ διαστάσεις μόναι κεναὶ σώματος, ταὐτὸ γὰρ τῷ ὄντι κενὸν καὶ ὁ τόπος κατὰ τὸ ὑποκείμενον, δειχθείη ἂν καὶ ἐκ τῆς τῶν λοιπῶν ἀναιρέσεως. εἰ γὰρ μήτε ὕλη μήτε εἶδος, μήτε τὸ πέρας τοῦ περιέχοντος, λείπεται τὸ διάστημα εἶναι τὸν τόπον. καὶ αὐτὸ δὲ καθ' αὑτὸ δειχθείη ἂν ὅτι ἔστι τι διάστημα πάντῃ παρὰ τὰ ἐγγινόμενα ἐν αὐτῷ σώματα. καὶ πρῶτον ἐκ τοῦ ἔναγχος εἰρημένου, λέγοντες ἀντιμεθίστασθαι ἀλλήλοις τὰ σώματα. εἰ γὰρ τὸ κινούμενον μὴ χωρεῖ διὰ σώματος, ἔτι δὲ εἰ μὴ ἐπιφάνειά ἐστι τὸ κινούμενον, ἀλλὰ τριχῇ διαστατὸν, ὅταν ἄρα τέμνον τὸν ἀέρα τι, γένηται ἐν τῷ τόπῳ αὐτοῦ, τοσοῦτον δηλονότι ἀντιπεριίσταται αὐτῷ ὁ ἀὴρ, ὅσον ἐστὶ καὶ τὸ κινούμενον. ἐπειδὴ οὖν τοσοῦτόν ἐστι τὸ μέτρον, ὅσον καὶ τὸ μετρούμενον, ἀνάγκη πᾶσα εἰ ἔχει ὁ ἀὴρ δέκα πήχεις στερεοὺς, τοσαύτην εἶναι καὶ τὴν χώραν τὴν δεξαμένην αὐτόν. ἔχει οὖν ἂν καὶ αὐτὴ στερεοὺς δέκα πήχεις, ἣν δηλονότι καὶ ἀντιπαρεχώρησε τῷ σώματι τῷ κινουμένῳ, τοσούτῳ ὄντι καὶ αὐτῷ. τοῦτο δὲ ἦν ὁ τόπος. τοὺς γὰρ τόπους ἀντιπαραχωροῦσιν ἀλλήλοις. στερεόν τι ἄρα ὁ τόπος. στερεὸν δὲ λέγω, τὸ τριχῇ διαστατόν. μέτρον δὲ καὶ ὁ τόπος τῶν ἐν τόπῳ. διὸ καὶ ἴσος. σαφέστερον δὲ τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἀμφορέως δειχθήσεται. εἰ γὰρ μὴ ἦν τι διάστημα μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ ἀμφορέως ὅ γε ὁ ἀὴρ ἐπλήρωσε, τοσοῦτον ἔχον τὸ στερεὸν, ὅσος ἐστὶ καὶ ὁ ἐν αὐτῷ ἀὴρ, ἀλλὰ μόνον ἐπιφάνειά ἐστιν ἡ δεξαμένη τὸν ἀέρα, ἐπειδὴ μέτρον τί ἐστιν ὁ ἀμφορεὺς, τὸ δὲ μέτρον ἀνάγκη πᾶσα ἴσον εἶναι τῷ μετρουμένῳ, εὔλογον τὸ καὶ ἀέρος ἐπιφάνειαν μόνον δέξασθαι. ὅπερ ἄλογον. ἀντιμεθισταμένου γὰρ τοῦ ἀέρος τῷ ὕδατι, στερεόν τι καὶ σῶμα τὸ ὕδωρ τὸν τόπον τοῦ ἀέρος καταλαμβάνει. μετρεῖται οὖν τὸ ὕδωρ ὑπὸ τοῦ ἀμφορέως. τοσοῦτον δέ ἐστι τὸ μέτρον, ὅσον καὶ τὸ μετρούμενον ὑπ' αὐτοῦ, στερεοῦ ὄντος τοῦ ὕδατος, καὶ οὐκ ἐπιφανείας. στερεὸν οὖν ἂν εἴη καὶ τὸ μέτρον. πληρώσαντες οὖν τὸν ἀμφορέα, καὶ μετρήσαντες τὸ ὕδωρ, τοσαύτην φαμὲν εἶναι τὴν τοῦ ἀμφορέως χώραν, ὅσον ἐστὶ καὶ τὸ ὕδωρ. ἆρ' οὖν τὴν ἐπιφάνειαν τοῦ ὕδατος ἐμετρήσαμεν, ἢ πόση τίς ἐστιν ἡ περίμετρος αὐτοῦ; οὐδαμῶς, ἀλλὰ τὸ στερεόν. διόπερ οὐ προσποιούμεθα, ποῖον ἂν ἔχοι σχῆμα τὸ μετροῦν. ἀλλὰ μόνον τὸ στερεὸν ἐμβαδὸν σκοποῦμεν. ὅταν οὖν εἴπωμεν, ὅτι τοσαύτη ἐστὶν ἡ τοῦ ἀμφορέως χώρα, ὅσα στερεὰ ἔχει τὸ ὕδωρ, ἆρα μὴ τὸν ἀέρα φαμὲν τοσοῦτον εἶναι, ὅσον ἦν πρὸ τοῦ ὕδατος ἐν τῷ ἀμφορεῖ; οὐδαμῶς. οὐ γὰρ διὰ τοῦ ἀέρος ἐχώρησε τὸ ὕδωρ, καὶ ὑπὸ τοῦ ἀέρος ἐμετρήθη, ἀλλ' ὑπεξέστη τῷ ὕδατι ὁ ἀήρ. ἀλλ' ἆρα μὴ τὴν ἐπιφάνειαν τοῦ ἀμφορέως τοσαύτην εἶναι φαμέν; οὐδαμῶς. οὐ γὰρ ἐπίπεδα μετρεῖν ἡμῖν ἐν τούτοις σκοπὸς, ἀλλὰ στερεά. λείπεται ἄρα τὴν χώραν τὴν μεταξὺ τῶν περάτων τῶν ἐντὸς τοῦ ἀμφορέως μετρεῖν. ἔστιν ἄρα τι τὸ μεταξὺ διάστημα παρὰ τὰ ἐμπίπτοντα σώματα. καὶ οὐ δήπου τοῦτο λέγω, ὅτι τὸ διάστημα τοῦτο ἤ ἐστί ποτε, ἢ δύναται εἶναί τι κενὸν παντὸς σώματος. οὐδαμοῦ. ἀλλ' εἶναι μὲν φημὶ ἕτερον παρὰ τὰ ἐμπίπτοντα σώματα, καὶ τῷ ἰδίῳ λόγῳ κενόν. μηδέποτε μέντοι χωρὶς σώματος. ὥσπερ ἀμέλει καὶ τὴν ὕλην φαμὲν, τῶν μὲν εἰδῶν ἑτέραν εἶναι, μηδέποτε μέντοι χωρὶς εἴδους εἶναι δύνασθαι. οὕτως οὖν καὶ τὸ διάστημα, ἕτερον μὲν εἶναι παντὸς σώματος, καὶ κενὸν τῷ ἰδίῳ λόγῳ νοοῦμεν, ἀλλ' ἀεὶ μετεμπίπτειν εἰς αὐτὸ ἄλλοτε ἄλλα σώματα, αὐτὸ ἀκίνητον μένον καὶ καθ' ὅλον, καὶ κατὰ μόρια. καθ' ὅλον μὲν, διότι τὸ κοσμικὸν διάστημα, τὸ δεξάμενον τὸ τοῦ κόσμου παντὸς σῶμα, οὐδέποτ' ἂν κινηθείη. κατὰ μόρια δὲ, διότι κινεῖσθαι τὸ ἀσώματον διάστημα, καὶ τῷ ἰδίῳ λόγῳ κενὸν, ἀδύνατον. ἔτι ἡ τοῦ κενοῦ βία, ἀμφότερα σαφῶς παραστήσει, τῷ γε πρὸς τὴν ἀλήθειαν βλέποντι. λέγω δὴ, τὸ εἶναί τι διάστημα, ἕτερον παρὰ τὰ ἐμπίπτοντα σώματα, καὶ τὸ μηδέποτε τοῦτο ἐκτὸς σώματος εἶναι. τί γὰρ δήποτε, ἐν ταῖς κλεψύδραις, λέγω δὴ ἐν ταῖς

περιέχει μὲν τοῦ ἀέρος μέρος. ὁμοίως κἂν τὸ ἔσχατον τοῦ οὐρανοῦ εἴποις τὸ πρὸς ἡμᾶς, οὐδὲ τοῦτο ἀκίνητόν
ἐστιν. οὐδὲ ἀεὶ ἡ αὐτὴ μοῖρα τῆς ἐντὸς ἐπιφανείας τοῦ οὐρανοῦ, τοῦ αὐτοῦ μέρους ἅπτεται τοῦ ἐντὸς σώμα-
τος, κἂν ἑστήκωσι τὰ περιεχόμενα. διὰ τὸ πάντα κύκλῳ κινεῖσθαι τὰ οὐράνια. ὥστε εἰ μηδέν ἐστιν ἀκίνητον
πλὴν τῆς γῆς, ἀδύνατον ἄρα τὸν τόπον ἀκίνητον εἶναι, κἂν τὸ περιεχόμενον ἀκίνητον εἴη. εἰ οὖν κατὰ καὶ
τὴν ἔννοιαν ὡς αὐτὸς φησὶν ὁ ἀριστοτέλης, ἀκίνητον δεῖ εἶναι τὸν τόπον, τὸ δὲ πέρας τοῦ περιέχοντος οὐκ
ἀκίνητον, συγκινεῖται γὰρ τῷ οὗ ἐστι πέρας, καὶ τοῦ περιεχομένου ἀκινήτου μένοντος, οὐκ ἄρα τὸ πέρας
τοῦ περιέχοντος ὁ τόπος ἐστίν. Ἔτι, εἰ πᾶσα κίνησις, ἢ κατ' ἀλλοίωσίν ἐστι, ἢ κατ' αὔξησιν καὶ μείωσιν, ἢ
κατὰ τόπον. αὐτὸς γὰρ ἔδειξεν ὁ ἀριστοτέλης, ὅτι ἡ κίνησις κατὰ τὰς τρεῖς μόνας γίνεται κατηγορίας, κατὰ
ποσὸν, κατὰ ποιὸν, καὶ κατὰ τὴν τοῦ πού κατηγορίαν, ἣν καὶ καλεῖ φοράν. ταύτης δὲ, ἡ μέν ἐστι κύκλῳ. ἡ δὲ,
κατ' εὐθεῖαν, ὡς αὐτὸς πολλαχοῦ διορίζεται. ἡ ἡ μὲν, φορά. ἡ δὲ, περιφορά, ὡς ἐν τούτῳ τῷ λόγῳ δο-
κεῖ λέγειν. κινεῖται δὲ ἡ ἐξωτάτη σφαῖρα, κύκλῳ. κατὰ τόπον ἄρα κινεῖται. ἐπεὶ, ποίαν κίνησιν ἂν κινοῖ-
το. ποῖος οὖν ἂν εἴη τῆς ἀπλανοῦς τόπος, μηδενὸς ἔξωθεν αὐτὴν περιέχοντος. ταύτῃ γοῦν, τῷ μὴ ὀρθῶς
ὑπ' ἀριστοτέλους ἀποδεδόσθαι τὸν περὶ τόπον λόγον, καίτοι παντὸς σώματος ἐν τόπῳ ὄντος, οὐκ ἐπὶ πάν-
των αὐτῷ ὁδεύει τῶν σωμάτων ὁ λόγος. ὅθεν ἀποδοῦναι βουλόμενοι, πῶς ἂν ἡ ἀπλανὴς κινοῖτο κατὰ
τόπον, μὴ οὖσα ἐν τόπῳ, πάντα κινοῦσι μᾶλλον, ἢ λέγουσί τι σαφὲς, καὶ πεῖσαι δυνάμενον. ἀρνήσα-
σθαι μὲν γὰρ, τὸ μὴ κατὰ τόπον κινεῖσθαι τὴν ἀπλανῆ, οὐ δύνανται. οὐδὲ γὰρ οὐδὲ πλάσασθαι δύνανται
τίνα ἂν κινοῖτο κίνησιν. τίς μέντοι ἂν εἴη ὁ τόπος καθ' ὃν κινεῖται, ἀποδοῦναι οὐκ ἔχουσιν. ἀλλ' ὥσπερ τοὺς
κύβους ἀναπεττεύοντες, ἄλλοτε ἄλλως τὸν λόγον μεταφέρουσι. καὶ διὰ πάντων, τὰς ἐξ ἀρχῆς θέσεις καὶ
ὁμολογίας ἀναιροῦσιν. ὁ μὲν γὰρ ἀριστοτέλης, τὸ ἀσθενὲς τοῦ λόγου, τῇ ἀσαφείᾳ περικαλύψας, δέδω-
κε τοῖς βουλομένοις, ὡς ἂν ἐθέλωσι μεταστρέφειν τοὺς λόγους. διὸ τῶν ἐξηγητῶν, οἱ μὲν, τόπον εἶναί
φασι τῆς ἀπλανοῦς, τὴν κυρτὴν τῆς τοῦ κρόνου σφαίρας ἐπιφάνειαν, ἄντικρυς πάντα τὰ κοινὰ περὶ τοῦ
τόπου ἀναιροῦντες ὁμολογήματα, ἅπερ αὐτὸς ὁ ἀριστοτέλης ἔθετο. ἔξωθεν εἶναι τὸν τόπον τοῦ ἐν τό-
πῳ, καὶ περιέχειν αὐτό. καὶ ἴσον εἶναι τὸν τόπον τῷ ἐν τόπῳ. κατά τι γὰρ ἂν ἀποδοῖεν ἐνταῦθα, τὸ ἴ-
σον εἶναι τὸν τόπον τῷ ἐν τόπῳ. ἔπειτα συμβαίνει τοῦτο λέγουσιν αὐτοῖς, τὸ αὐτὸ κατὰ τὸ αὐτὸ καὶ τόπον
εἶναι, καὶ ἐν τόπῳ. εἰ γὰρ ἡ κρονεία σφαῖρα, κατὰ τὴν κυρτὴν ἐπιφάνειαν τόπος ἐστὶ τῆς ἀπλανοῦς, κατ' αὐ-
τὴν δὲ πάλιν τὴν ἐπιφάνειαν περιεχομένη ὑπὸ τῆς ἀπλανοῦς, ἐν τόπῳ ἐστὶν ἐκείνη, τὸ αὐτὸ ἄρα, ἡ τοῦ
κρόνου λέγω σφαῖρα, κατὰ τὴν κυρτὴν ἑαυτῆς ἐπιφάνειαν, καὶ τόπος ἐστὶ τῆς ἀπλανοῦς, καὶ ἐν τόπῳ ἐ-
στὶν ἐκείνῃ. καὶ πῶς ἂν τὸ αὐτὸ τόπος εἴη ἄλλου, καὶ τόπον ἐκεῖνο αὐτὸ ἔχοι, οὗ τόπος ἐστί. πῶς γὰρ ἂν τὸ
αὐτὸ πρὸς τὸ αὐτὸ, τὰς ἀντικειμένας δυνατὸν ἀναδέξασθαι σχέσεις. τὸν γὰρ αὐτὸν τοῦ αὐτοῦ καὶ πατέ-
ρα εἶναι καὶ υἱὸν ἀδύνατον, σωζομένης τῆς ὀρθῆς περὶ τῆς σχέσεως, περὶ ἣν ἂν ὁ λόγος ᾖ, ἐννοίας. διὰ τοῦ-
το γοῦν οἱ οὕτω λέγοντες τὴν ἀπλανῆ εἶναι ἐν τόπῳ, τὰς κοινὰς περὶ τοῦ τόπου ἐννοίας ἀναιροῦσιν.
οἱ μὲν οὖν οὕτω φασὶ τὴν ἀπλανῆ εἶναι ἐν τόπῳ. οἱ δὲ, τὰ συνεχῆ αὐτῆς μόρια ἀλλήλοις εἶναι τόπον.
περιέχεσθαι γὰρ ἕκαστον ὑπὸ τῶν πέριξ μορίων, καὶ οὗτοι πάλιν τὰ ὁμολογημένα ἀναιροῦντες. αὐτὸς γὰρ
πολλάκις εἶπεν ὁ ἀριστοτέλης, τὰ μόρια τοῦ συνεχοῦς, μὴ εἶναι καθ' αὑτὸ ἐν τόπῳ, ἀλλὰ κατὰ συμβεβη-
κὸς, τῷ τὸ ὅλον ἐν τόπῳ εἶναι. ἔπειτα, πῶς ἔδει τὸν τόπον μηδὲν εἶναι τοῦ πράγματος, εἴπερ τὰ μό-
ρια ἀλλήλων εἴη τόπος. εἰ γὰρ ἡ ὁλότης ἐστί τι τῶν μορίων, αὐτὸ τοῦτο ὁ λέγεται, ἕκαστον δὲ τῶν μο-
ρίων πρὸς τὴν ὁλότητα συντελεῖ, ἐστὶν ἄρα τι ἀλλήλων τὰ μόρια. πρὸς γὰρ αὐτὸ τὸ εἶναι συντελοῦσιν
ἀλλήλοις. εἴγε ἕκαστον τῆς ὁλότητος ἀποσπασθὲν, κινδυνεύει καὶ τοῦ εἶναι ἐκστῆναι. ἔπειτα εἰ τό-
πος ἑκάστου τῶν μορίων τῆς ἀπλανοῦς τὰ πέριξ περιέχοντα μόρια, ἐν τῷ κινεῖσθαι ποίους μετα-
βάλλουσι τόπους τὰ μόρια. οὐδὲ γὰρ ἐξίστανται τῶν πέριξ περιεχόντων. οὐ γὰρ διαιρεῖται ὁ οὐρα-
νὸς κινούμενος. πῶς δὲ καί φαμεν ἐν τῇ κινήσει ἀντιπαραχωρεῖν ἀλλήλοις τὰ μόρια τοὺς οἰκείους τό-
πους. εἰ γὰρ ἑκάστου μορίου τῆς ἀπλανοῦς, τὰ περιέχοντα μόρια τόπος ἐστί, κινουμένης δὲ τῆς ὅλης
σφαίρας, ὀρθῶς λέγεται ὡς ἀντιπαραχωρεῖ ἀλλήλοις τὰ μόρια τοῦ οἰκείου τόπου, διαιρεῖσθαι τὸν οὐ-
ρανὸν ἀνάγκη, καὶ ἄλλα τῶν μορίων ἄλλην σχέσιν ἴσχειν, πρός γε τὴν ὁλότητα καὶ πρὸς ἑαυτά. ὅπερ
ἀδύνατον, ἀδιαιρέτου τοῦ οὐρανοῦ ὄντος. οὐδέποτε γὰρ τὸ ἀρκτῷον αὐτοῦ μόριον, γίνεται νότιον, ἢ
ἀλλαχοῦ που. ὁπότε, οὐδ' ἐπὶ τῶν γενητῶν καὶ φθαρτῶν τοῦτο συμβαίνει, εἰ μὴ ἐπὶ μόνον τοῦ ἀέρος,
καὶ τοῦ ὕδατος, καὶ ὅσα ἐκ τούτων τηκτά ἐστιν. οἷον χρυσός. μόλιβδος. κηρὸς, καὶ τὰ ὅμοια. ἀδύνατον
ἄρα κατὰ τὸν τρόπον τοῦτον λαβεῖν κατὰ τὰ μόρια τὸν οὐρανὸν ἐν τόπῳ εἶναι. ἄλλως τε ἀρτίως ὁ ἀριστο-
τέλης διὰ πλειόνων ἀπέδειξεν, ὅτι ἕτερόν ἐστι τὸ ὡς ἐν τόπῳ τοῦ ὡς ἐν ὅλῳ. εἰ δὲ τόπος τῶν μορίων, τὰ
πέριξ περιέχοντα μόρια, καὶ τὸ μόριον ἄρα ἐν τῷ ὅλῳ ὡς ἐν τόπῳ ἂν εἴη. κατ' οὐδὲν ἄρα ὁ οὐρανὸς
ἐν τόπῳ ἔσται. πῶς οὖν κινεῖται κατὰ τόπον ἡ ἀπλανής, εἰ μὴ ἐν τόπῳ, μήτε καθ' ὅλην αὑτήν, μήτε κατὰ
μόρια. τὸ γὰρ μὴ ὂν ἐν τόπῳ, κατὰ τόπον κινεῖσθαι ἀδύνατον. εἰ οὖν κατὰ τόπον ἡ ἀπλανὴς κινεῖται, καὶ
ἐν τόπῳ ἐστίν. εἰ δὲ ἐν τόπῳ, ὑπ' οὐδενὸς δὲ ἔξωθεν περιέχεται, οὐκ ἄρα πέρας ἐστὶ τοῦ περιέχοντος
ὁ τόπος, καθὸ περιέχει τὸ περιεχόμενον. ταύτης δὲ τῆς συγχύσεως αἴτιον γέγονε, τὸ ὁρίσασθαι τὸν

βάθος τῆς σφαίρας ἐπλήρου, ἀλλὰ μετακινουμένη ἡ σφαῖρα ἄλλοτε ἄλλο μόριον τοῦ διαστήματος πληροῖ, τοῦ ἀκινήτου μένοντος. πῶς γὰρ ἂν τὸ κενὸν κινηθείη. οὕτω δῆλον ὅτι κἂν μὴ συνεχὲς ᾖ τὸ ἐν τῷ τόπῳ, ἀλλ' ἀπτόμενον, ὡς ἔχει ὁ ἀμφορεὺς, τὸ αὐτὸ πάλιν συμβήσεται. τί γὰρ διαφέρει, ἐπὶ συνεχοῦς τὸν λόγον θεωρῆσαι, ἢ ἐπὶ ἀπτομένου. οὐδὲ γὰρ ἐν τῷ ἀπτομένῳ ἐστί τι κενὸν, ὃ μὴ πεπλήρωται σώματος. ὥσπερ οὖν ἐπὶ τῆς συνεχοῦς καὶ ἑστώσης σφαίρας, ἐν τῷ μετακινεῖσθαι μηδὲν ἐναπομένει ἐντὸς μόριον τοῦ κενοῦ κατέχον τὰ ἐν τῷ βάθει τῆς σφαίρας μόρια, οὕτω κἂν ἐννοήσῃς μοι αὐτὴν διῃρημένην ὡς περιέχειν μὲν τὴν ἔξωθεν, περιέχεσθαι δὲ τὴν ἐντὸς, ταύτῃ γὰρ ἂν ἐξωμοίωτο τῷ ἀμφορεῖ, οὐδὲν πλέον ἕξει μετακινουμένη τοῦ πρότερον. ἀλλ' ὥσπερ τότε ἐν τῷ μετακινεῖσθαι ὅλον κατελίμπανε τὸ ἐν ᾧ ἦν διάστημα, ἄλλο δὲ ἐπλήρου τὸ ἐν ᾧ ἐγένετο, τοῦ διαστήματος ἀκινήτου μένοντος, οὕτω δὴ κἂν διῃρημένη ὑπάρχῃ, τὸ αὐτὸ πάλιν συμβήσεται. οὐδὲ γὰρ ἐπειδὴ διῄρηται ἡ σφαῖρα, ἄλλῳ τινὶ τρόπῳ πληροῖ τὸν τόπον, ἢ ᾧ καὶ πρότερον ἐπλήρου. οὐδὲ γὰρ τὸ διαιρεθῆναι αὐτὴν, κινεῖσθαι πεποίηκε τὸ τοπικὸν διάστημα. ἀλλ' οἱ μὲν τόποι ἕτεροι γεγόνασι τῶν μορίων, ἐπειδὴ καὶ τὰ μόρια ἐνεργείᾳ διῄρηται. οὐ μὴν ἐπειδὴ ἐν ἰδίῳ γέγονε τὸ μόριον τόπῳ, ἤδη συμμεταφέρειν ἑαυτῷ τὸν τόπον ἀναγκασθήσεται. ἀλλὰ κινουμένου τοῦ ὅλου, ἕκαστον τῶν μορίων, ὃ κατεῖχε τοῦ κενοῦ μόριον καταλιμπάνει, καὶ ἐν ἄλλῳ γίνεται. οὐκ ἄρα ἀνάγκη, οὔτε κινεῖσθαι τὸν τόπον, οὔτε ἐν τόπῳ τὸν τόπον γίνεσθαι, οὔτε πλείονα διαστήματα ἐν τῷ αὐτῷ εἶναι. ἀεὶ γὰρ τὸ πρότερον διάστημα τοῦ τόπου ἐν ᾧ ἦν, καταλιμπάνει κινούμενον, καὶ ἐν ἄλλῳ γίνεται τοπικῷ διαστήματι. ἀεὶ γὰρ τὸ σῶμα ἐν τόπῳ ἐστί. μόνον οὖν τὸ σωματικὸν διάστημα ἐν τῷ τοπικῷ ἐνδέχεται εἶναι διαστήματι, ὡς δύο διαστήματα ἐφαρμόζειν ἀλλήλοις, τό, τε σωματικὸν, καὶ τὸ τοῦ τόπου, ἐν ᾧ τὸ σῶμά ἐστιν. ἄλλο δὲ τρίτον ἐν τῷ αὐτῷ οὐκ ἔστιν. οὐδὲ γὰρ ἐνδέχεται δύο σώματα τὸν αὐτὸν ἐπέχειν τόπον. ὥσπερ καὶ ἐπιφανείας μὲν πλείους ἐνδέχεται ἐν τῷ αὐτῷ εἶναι, ἀδύνατον δὲ πλείους δύο ἐπιφανειῶν ἐφαρμόσαι κατ' ἐνέργειαν ἀλλήλαις. τήν τε τοῦ περιέχοντος σώματος, καὶ τὴν τοῦ περιεχομένου. ἀδύνατον γὰρ τρία κατὰ ταυτὸ ἅπτεσθαι ἀλλήλων σώματα. οὕτω φημὶ, ὅτι κἂν δυνατόν ἐστι διαστήματα πλείονα ἀσώματα τῷ αὐτῷ ἐφαρμόσαι, ἀλλ' οὖν κατ' ἐνέργειαν οὐδέποτε τοῦτο γίνεται, διότι οὐδὲ ἐν τῷ αὐτῷ τόπῳ δύο σώματα ἐνδέχεται εἶναι, οὐδὲ κενὸν ἐν κενῷ. ἀκίνητον γὰρ τὸ κενόν. ὁπότε κἂν τις συγχωρήσειε κενὸν ἐν κενῷ γίνεσθαι, ὅπερ οὐκ ἔστιν οὕτω, δῆλον ὅτι ἐγίνετο ἂν ἐν τῷ κενῷ τὸ κενὸν, ὥσπερ γραμμὴ ἐν γραμμῇ, καὶ ἐπιφάνεια ἐν ἐπιφανείᾳ. ὥσπερ οὖν κἂν μυρίαι γραμμαὶ ἅμα γένωνται, οὐδὲν πλέον ποιοῦσι τὸ ὅλον τῆς ἐξ ἀρχῆς, ἀλλὰ μία πάλιν γραμμὴ ἡ ὅλη γίνεται, ὁμοίως κἂν ἐπιφάνειαι ἐν ταυτῷ γένωνται, κἂν σημεῖα, οὐδὲν πλέον ποιοῦσι τὸ ἐν ᾧ γίνονται. οὕτω δὲ κἂν ἐν κενῷ κενὸν γένηται, τοιοῦτόν ἐστι τὸ ὅλον, οἷον τὸ ἐξ ἀρχῆς. ἐφαρμόζει γὰρ ὅλον ὅλῳ. δῆλον δέ ἐστι κἂν κενὸν εἴπω, κἂν τοπικὸν διάστημα τριχῇ διαστατὸν, τὸ αὐτὸ λέγω. τοῦτο μὲν οὖν ἀδύνατον, τὸ κενὸν ἐν κενῷ γενέσθαι, ἢ τόπον ἐν τόπῳ, ἢ κινηθῆναι τόπον ᾗ τόπος ἐστί. ὅτι δὲ τοῖς λέγουσι τὸν τόπον εἶναι διάστημα κενὸν τῷ ἰδίῳ λόγῳ, ἕτερον τῶν ἐμπιπτόντων σωμάτων, οὐδὲν τῶν ὡς ἀτόπων τῶν παρὰ τοῦ Ἀριστοτέλους εἰρημένων ἕπεται, ἱκανῶς οἶμαι ὁ λόγος ἀπέδειξεν. Ὅτι δὲ οὐκ ἂν εἴη τὸ πέρας τοῦ περιέχοντος ὁ τόπος, δειχθείη ἂν οὕτως. εἰ γὰρ τὸ ἐν τόπῳ ὂν, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ σῶμα, καὶ οὐ κατ' ἄλλο τι ἐστὶν ἐν τόπῳ, ἢ καθὸ σῶμά ἐστι, τὸ δὲ ἐν τῇ ἐπιφανείᾳ τοῦ περιέχοντος ὂν, οὐ καθὸ σῶμά ἐστιν ἐν αὐτῇ ἐστι, τὸ μὲν γὰρ σῶμα τριχῇ ἐστι διαστατὸν, ἐν δὲ τῇ ἐπιφανείᾳ καθὸ τοιαύτη ἐστὶν, οὐ δύναται εἶναι τὸ τριχῇ διαστατὸν, οὐκ ἄρα ἐπιφάνειά ἐστιν ὁ τόπος. τὸ δὲ πέρας τοῦ περιέχοντος καθὸ περιέχει τὸ περιεχόμενον, ἐπιφάνειά ἐστιν. οὐκ ἄρα πέρας ἐστὶ τοῦ περιέχοντος ὁ τόπος, καθὸ περιέχει τὸ περιεχόμενον. διχῇ γὰρ οὖσα διαστατὴ ἡ ἐπιφάνεια, οὐκ ἂν ἐν ἑαυτῇ δέξαιτο τὸ τριχῇ διαστατὸν, ὃ τοιοῦτόν ἐστιν. οὐ γὰρ παντὸς ἅπτεται. οὐδὲ ὅλον τὸ σῶμα ἡ ἐπιφάνεια ἐδέξατο. πῶς γὰρ ἂν εἴποι τις τὸ τοῦ σώματος βάθος ἐν τῇ ἐπιφανείᾳ εἶναι. τὰ πέρατα γὰρ μόνον τοῦ σώματός εἰσι, τὰ ἐν τῇ ἐπιφανείᾳ. ἔτι, εἰ δεῖ τὸν τόπον ἴσον εἶναι τῷ ἐν τόπῳ, τοῦτο γὰρ ἓν τῶν κοινῶν ἐστι περὶ τόπον ὁμολογημάτων, οὐκ ἂν εἴη ἡ ἐπιφάνεια τόπος. πῶς γὰρ ἐπιφάνειαν σώματι ἴσην εἶναι ἐνδέχεται. εἰ δὲ λέγοι τις, ὅτι ἴσον λέγω τὸν τόπον τῷ ἐν τόπῳ, τῷ ἐφαρμόζειν τὸν τόπον τῷ πέρατι τοῦ περιεχομένου, ἴστω ἴσον λέγων, οὐ τῷ ἐν τόπῳ τὸν τόπον, ἀλλὰ τῷ πέρατι τοῦ ἐν τόπῳ. ὅπερ οὐδὲ καθ' αὑτό ἐστιν ἐν τόπῳ. εἰ δὲ ἀληθὴς ὁ λόγος, ὁ λέγων ἴσον δεῖν εἶναι τὸν τόπον, οὐ τῷ πέρατι τοῦ ἐν τόπῳ ὄντος, ἀλλ' αὐτῷ τῷ ἐν τόπῳ ὄντι. τὸ δὲ ἐν τόπῳ, σῶμά ἐστι. ἴσον δεῖ εἶναι ἄρα τὸν τόπον τῷ σώματι. ἀδύνατον δὲ ἐπιφάνειαν ἴσην σώματι εἶναι. ἐπεὶ μηδὲ γραμμὴν ἐπιφανείᾳ, μηδὲ σημεῖον γραμμῇ. ἀδύνατον ἄρα τὸν τόπον ἐπιφάνειαν εἶναι. ἔτι εἰ δεῖ τὸν τόπον ἀκίνητον εἶναι ἡ δὲ ἐπιφάνεια πέρας οὖσα τοῦ σώματος, συγκινεῖται τῷ σώματι οὗ ἐστι πέρας. ἀδύνατον ἄρα τὴν ἐπιφάνειαν τόπον εἶναι. εἰ δέ τις εἴποι, ὅτι ἀλλ' ᾗ τόπος ἐστὶν, ἀκίνητός ἐστιν, ᾗ δὲ ἐπιφάνεια κινεῖται, φημὶ ὡς οὐδὲ τοῦτο ἀληθές. τόπος μὲν γάρ ἐστι, καθὸ τοιάνδε σχέσιν ἔχει πρὸς τὸ ἐντὸς σῶμα. οἷον καθὸ ἅπτεται αὐτοῦ, καὶ περιέχει αὐτό. καὶ ὅμως οὐδὲ κατὰ τοῦτο ἀκίνητός ἐστιν. ἐμοῦ γὰρ ἑστηκότος καὶ μὴ μετακινουμένου, ὁ περιέχων με τόπος, λέγω δὴ ἡ ἐπιφάνεια τοῦ ἀέρος, καθ' ἣν ἅπτεταί μου, οὐχ ἡ αὐτὴ μένει. ἀλλὰ κινεῖται τοῦ ἀέρος κινουμένου, καὶ ἄλλοτε ἄλλο

δι᾽ ἀλλήλων, ἀλλ᾽ εἴπετο μὲν, ἢ τὸ χωρῆσαι σῶμα διὰ σώματος, ὅπερ προφανῶς ἀδύνατον, ἢ διὰ πρὸ
τῶν σωμάτων ὅλον εἶναι κενὸν, ἵνα οὕτω τὸ λοιπὸν δύνηται δι᾽ αὐτοῦ χωρῆσαι. καὶ αὐτὸς γοῦν ὁ ἀριστο
τέλης, τῷ λέγειν σῶμα διὰ σώματος χωρεῖν, οὐδέ ποτε εἶπεν ἕπεσθαι ἄτοπον, τὸ ἐνεργείᾳ εἰς ἄπειρον
διαιρεῖσθαι τὰ σώματα, ἀλλὰ τὸ δύνασθαι τὸ μέγιστον ἐν τῷ ἐλαχίστῳ εἶναι. ἀναμνησθῆναι δὲ δεῖ καὶ
ὧν αὐτὸς ὁ ἀριστοτέλης εἶπε πρὸς τοὺς τὴν αὔξησιν διὰ τῶν κενῶν τινῶν ἢ πόρων ὑποτιθεμένους γίνε
σθαι. ἐκείνων γὰρ λεγόντων, ὅτι τῷ τὴν τροφὴν εἰσιέναι εἰς τὰ ἐνόντα ἐν τοῖς σώμασι κενὰ, οὕτως ἡ αὔ
ξησις γίνεται, αὐτὸς πάνυ καλῶς ὑπαντῶν πρὸς αὐτοὺς ἔφησεν, ὅτι συμβήσεται ἐκ τῆς ὑποθέσεως ταύ
της, ἢ ὅλον κενὸν εἶναι τὸ σῶμα, εἰ ὅλον δι᾽ ὅλου αὔξεται, ἢ ἀναπλήρωσιν εἶναι τῶν κενῶν μόνον, οὐκ αὔ
ξησιν. καὶ οὐδαμοῦ γε εἶπεν, ὅτι χωρήσει τὸ κενὸν διὰ τῆς τροφῆς, καὶ διαιρήσει αὐτὴν ἐπ᾽ ἄπειρον.
οὕτω τοίνυν φήσομεν καὶ οἱ τὸν τόπον διάστημα εἶναι λέγοντες, ὅτι τὸ σῶμα, χωροῦν διὰ τοῦ κενοῦ
πληροῖ αὐτὸ, καὶ οὔτε τὸ κενὸν διαιρεῖται ὑπὸ τοῦ ἐπιγινομένου σώματος, ἀλλὰ μόνον πληροῦται, οὔτε
αὐτὸ διαιρεῖ τὸ σῶμα. οὐ γὰρ ἐγγίνεται ἐν τῷ σώματι, ἀλλὰ τὸ σῶμά ἐστι, τὸ ἐν αὐτῷ ἐπιγινόμενον. ἀκίνη
τον γάρ ἐστι πάντῃ τὸ κενόν. ἀσώματον γάρ. εἰ μὲν γὰρ ἦν σῶμα, ἀνάγκη ἦν, τοῦ γινομένου ἐν τόπῳ χω
ροῦντος δι᾽ αὐτοῦ, καὶ τὸν τόπον σῶμα ὄντα δι᾽ ἐκείνου χωρεῖν. ἐπειδὴ δὲ διάστημά ἐστι τῷ ἰδίῳ λόγῳ κε
νὸν ὁ τόπος, πληρωθήσεται μόνον ὑπὸ τοῦ ἐγγινομένου σώματος. εἰ δέ τις προσφιλονεικοίη, καὶ τὸ κε
νὸν βουλόμενος χωρεῖν ἐν τῷ ἐπιγινομένῳ σώματι, συγχωρήσωμεν καὶ ἡμεῖς. καὶ οὐδέν γε ἄτοπον οὐδὲ
οὕτως ἑπόμενον τῷ λόγῳ φαίνεται, ὡς ἤδη δέδεικται. χωρήσει γὰρ ἐν τῷ σώματι, οὐκ αὐτὸ κινηθὲν,
ἀλλὰ τοῦ σώματος ἐν ἐκείνῳ γινομένου. Ὅτι μὲν οὖν τὸ πρῶτον τῶν ἐπιχειρημάτων ἀριστοτέλους, οὔτε
τὸ ἀναγκαῖον ἔχει, οὔτε ἄλλως τὸ πιθανὸν ἢ ἀκόλουθον, ἱκανῶς δέδεικται. τὸ δὲ ἐφεξῆς ἐπιχείρη
μα, ἔχει μέν τινα πιθανότητα, τῇ πυκνότητι κλέπτον τὸν ἔλεγχον. οὐ μὴν οὐδὲ αὐτὸ παντάπασιν ἀλη
θές. πρῶτον γὰρ τὸ εἰς ἄτοπον ἀπάγειν, ὅτι δύο διαστήματα ἔσται ἐν τῷ αὐτῷ, ἢ πλείονα, οὐκ οἶδα ὅπως
ἄτοπον εἴποι μὲν ἄν. εἰ μὲν γὰρ ταυτὸν ἦν, διάστημα λέγειν καὶ σῶμα, τῷ ὄντι ἀδυνάτου ὄντος, τοῦ δύο
εἶναι σώματα ἐν τῷ αὐτῷ, καὶ διαστήματα δύο ἀδύνατον ἦν εἶναι. νῦν δὲ οὐ ταυτόν ἐστι. πρῶτον μὲν γὰρ
εἰ δυνατὸν δύο γραμμὰς ἐφαρμόζειν ἀλλήλαις, καὶ οὐ μόνον δύο, ἀλλὰ καὶ μυρίας, ὁμοίως δὲ καὶ ἐπι
φανείας, καίτοι διαστήματά γε καὶ μεγέθη, καὶ γραμμαὶ καὶ ἐπιφάνειαι, τί κωλύει καὶ τριχῇ διαστα
τὸν διάστημα, τριχῇ διαστατῷ ἐφαρμόζειν, τὸ κενὸν λέγω, τῷ σώματι. ὥσπερ γὰρ ἀσώματοι οὖσαι αἱ γραμ
μαὶ καὶ αἱ ἐπιφάνειαι, ταύτῃ ἐφαρμόζουσιν ἀλλήλαις ἐν σώματί γε οὖσαι, οὕτω τί κωλύει καὶ τὸν τό
πον ἀσώματον ὄντα, ἐφαρμόζειν τῷ σώματι. καὶ γὰρ ἐν τῷ αὐτῷ σώματι κατὰ ταυτὸν, πλείους ἂν εὕροις
ποιότητας. οἷον ἐν τῷ μέλιτι, τὸ γλυκύ. τὸ ξανθόν. τὸ γλίσχρον. τὸ βαρύ. τὸ ὑγρόν. ὥσπερ οὖν ἐπὶ τού
των, οὐδὲν κωλύει πολλὰ ἀσώματα ἅμα καὶ κατὰ ταυτὸν ἐν τῷ αὐτῷ εἶναι σώματι, οὕτως οὐδὲ εἰ τὸ διά
στημα ἀσώματον εἴη, οὐδὲν ἂν κωλύοι, ἐν ἑνὶ καὶ τῷ αὐτῷ σώματι ἐγγίνεσθαι πλείω διαστήματα ἀσώματα.
ἐπεὶ ἀσώματά του καὶ ἐν ἑνὶ τῷ πέρατι τοῦ σώματος ἄλλου σώματος πέρας ἐφαρμόζειν ἐνδέχεται. ὅτι μὲν
οὖν, εἰ καὶ συνέβαινε τριχῇ ὄντος διαστατοῦ τοῦ τόπου, πλείονα διαστήματα ἐν ἑνὶ καὶ τῷ αὐτῷ σώματι
εἶναι ἀσώματα, οὐδὲν ἠκολούθει ἄτοπον, ἱκανῶς δέδεικται. οὐδὲ γὰρ τὸ τριχῇ διαστατὸν, εὐθὺς καὶ σῶ
μα. οὐδὲ τοῦτον ὅρον τοῦ σώματος εἶναι παραδεξόμεθα. τὸ μὲν γὰρ σῶμα, ἄλλο τι ὂν, οὕτως ἐστὶ τριχῇ δια
στατόν. οὐσία γὰρ τὸ σῶμά ἐστι, συμβέβηκε δὲ τῇ οὐσίᾳ τὸ ποσόν. τὸ δὲ τριχῇ διαστατὸν ποσὸν ὂν, συμβέβη
κε τῇ οὐσίᾳ. τὸ δὲ σῶμα οὐσία ἐστίν. ὥστε τὸ τριχῇ διαστατὸν, συμβέβηκε τῷ σώματι. σῶμα μὲν γάρ ἐστι,
καθὸ ἐξ ὕλης ἐστίν. ᾗ δὲ τῷ σώματι συμβέβηκε τὸ ποσὸν, ταύτῃ τριχῇ ἐστι διαστατόν. καὶ ταῦτα σαφῶς ἐν
τοῖς πρὸς Μέλισσον λόγοις αὐτὸς εἴρηκε. παραθήσομαι δὲ μίαν λέξιν τῶν ἐκεῖ εἰρημένων, πιστώσασθαι ἐθέ
λων, καὶ πλείους παραθέσθαι δυνάμενος, ἔχουσαν οὕτως. ὁ Μέλισσος δὲ, τὸ ὂν ἄπειρον φησὶν εἶναι. πο
σὸν ἄρα τι τὸ ὄν. τὸ γὰρ ἄπειρον, ἐν τῷ ποσῷ. οὐσίαν δὲ ἄπειρον ποιεῖν, ἢ ποιότητα, ἢ πάθος, οὐκ ἐνδέχε
ται, εἰ μὴ κατὰ συμβεβηκός. εἰ ἅμα καὶ ποσὰ ἄττα εἶεν. ὁ γὰρ τοῦ ἀπείρου λόγος, τῷ ποσῷ προσκέχρηται,
ἀλλ᾽ οὐκ οὐσίᾳ οὐδὲ τῷ ποιῷ. σαφῶς οὖν διὰ τούτων ὁ ἀριστοτέλης, συμβεβηκέναι τῇ οὐσίᾳ φησὶ τὸ πο
σόν. τὸ δὲ τριχῇ διαστατὸν, τοῦ ποσοῦ. τὸ τριχῇ ἄρα διαστατὸν, συμβέβηκε τῇ οὐσίᾳ. τὸ δὲ σῶμα, οὐσία. τῷ
σώματι ἄρα συμβέβηκε, τὸ τριχῇ διαστατῷ εἶναι. εἰ τοίνυν τῷ σώματι συμβέβηκε τὸ τριχῇ διαστατὸν, οὐκ
ἄρα τὸ τριχῇ διαστατὸν, σώματός ἐστιν ὅρος, ἀλλ᾽ ἀχώριστον συμβεβηκός. οὐκ ἀνάγκη ἄρα, εἴ τι τρεῖς ἔχει
διαστάσεις, τοῦτο σῶμα εἶναι. Ἀπορία δέ τις ὑποπίπτει τῷ λόγῳ, μή ποτε τὸ ποσὸν χωριστὸν ποιῶμεν
τῆς οὐσίας. ὕστερον δὲ τοῦτο ἐπισκεψόμεθα, ἵνα μὴ τὴν τοῦ λόγου συνέχειαν διακόψωμεν. ὅτι μὲν οὖν οὐ
δὲν ἀδύνατον οὐδὲ ἄτοπον, πλείονα διαστήματα ἐν τῷ αὐτῷ εἶναι, δέδεικται. οὐκ ἀνάγκη δὲ οὐδὲ μία,
τοῖς τὸ διάστημα τόπον ὑποτιθεμένοις, οὔτε πλείονα τῶν δύο διαστήματα ἐν τῷ αὐτῷ γίνεσθαι, οὔτε τὸν
τόπον ἐν τόπῳ γίνεσθαι, οὐδὲ ὅλως κινεῖσθαι τὸν τόπον. οὐδὲ γὰρ ὁ ἀμφορεὺς μεταβαίνων, τὸ ἐντὸς διάστη
μα τὸ δεξάμενον τὸ ὕδωρ, συμμεταφέρει ἑαυτῷ. ἀλλ᾽ ὅλος τὸν ὅλον ἀμείβει τόπον. τὸ γὰρ κενὸν, ἀκίνη
τον. ὥσπερ οὖν εἰ σφαῖρα εἴη ναστὴ, καὶ αὐτὴ ἐντεθεῖσα ἐν τόπῳ, τοσοῦτον πληρώσει τόπον, ὅσῃ ἐστὶν αὐ
τή. ἐκεῖ δὲ ταύτην μεταγάγῃς, οὐδὲν τοῦ κενοῦ τὸ δεξάμενον αὐτὴν συμμετήγαγες, οὐδ᾽ αὐτὸ ὅπερ τὸ

γω δή, ὅπως ἔχει ὁ οὐρανὸς, κατά τε τὰ μόρια, καὶ κατὰ τὰ ὅλα.

ΠΑΡΕΚΒΑΣΙΣ.

Καιρὸς δὲ λοιπὸν καὶ τὰ παρ' ἡμῶν προστιθέναι τῷ λόγῳ. καὶ τέως ἰδεῖν, ἣ ἔνεστί τις ἐν τοῖς ἀριστοτελικοῖς ἐπιχειρήμασιν ἀνάγκη, δι' ἧς δείκνυται ὡς ἀδύνατον διάστημά τι τριχῇ διαστατὸν τὸν τόπον εἶναι. Τὸ μὲν οὖν ἀξιοῦσθαι, εἰ διάστημα εἴη ὁ τόπος, χωρεῖν τοῦτο δι' ὅλου τοῦ ἐγγινομένου ἐν αὐτῷ σώματος, εἶτα πάντα καὶ διαιρεῖν αὐτὸ οὕτως, ὡς ἐνεργείᾳ ἄπειρα ποιεῖν τὰ μόρια αὐτοῦ, αὐτόν τε τὸν τόπον ἐνεργείᾳ ἐπ' ἄπειρον διῃρῆσθαι, παντάπασιν εὐήθές τε, καὶ οὐ πιθανῶς ἔχειν εἶναί μοι δοκεῖ. οἱ μὲν γὰρ τὸν τόπον τριχῇ εἶναι διαστατὸν λέγοντες, καὶ σῶμα ἔλεγον εἶναι, οὐδὲ οὕτω μὲν ἴσως ταῦτα εἵπετο τὰ ἄτοπα, ὅμως δ' οὖν κἂν συναρπάζειν ὁ παραλογισμὸς ἠδύνατο. ἐπειδὴ δὲ οὐ σῶμα εἶναι τὸν τόπον ὑποτίθεται, οὐδὲ γὰρ παντὶ τριχῇ διαστατῷ ἅπαν, καὶ σῶμα, ἀλλὰ ἀσώματον, κενὸν γὰρ εἶναι τῷ ἰδίῳ λόγῳ, ποία ἀνάγκη, τὸ κενὸν ἢ χωρεῖν εἰς τὸ ἐντεθὲν ἐν αὐτῷ σῶμα, ἢ χωρῆσαν δι' αὐτοῦ, εὐθὺς καὶ κατ' ἐνέργειαν αὐτὸ διελεῖν. χωρῆσαν γὰρ ἐν τῷ κενῷ τὸ σῶμα, οὐδὲν ἄλλο ἢ ἐπλήρωσεν αὐτό. ἄλλως τε καὶ εἰ διὰ τοῦ σώματος ἐχώρει τὸ κενόν, ποία ἦν ἀνάγκη εὐθὺς καὶ διελεῖν αὐτό, ἀσώματόν γε ὄν. τὸ γὰρ ἀσώματον, χωροῦν διὰ σώματος, οὐδεμίαν διαίρεσιν οὐδὲ τομὴν ἀπεργάζεται. λευκότης γοῦν καὶ θερμότης, καὶ αἱ ἄλλαι πᾶσαι ποιότητες, δι' ὅλων χωροῦσαι τῶν σωμάτων, βάθους φημὶ καὶ πλάτους καὶ μήκους, διαίρεσιν οὐδεμίαν αὐτοῖς ἐμποιοῦσιν. οὐχ ὅτι ποιότητές εἰσιν, ἀλλ' ὅτι ἀσώματοι. οὐ γὰρ πέφυκεν ὑπὸ τοῦ ἀσωμάτου, τὸ σῶμα διαιρεῖσθαι. εἰ δὲ λέγοιεν, ἀλλὰ διάστημα τὸ κενόν ἐστι, καὶ διὰ τοῦτο διαιρήσει, οὐδὲ οὕτως οὐδεμίαν ὁρῶ τὴν ἀνάγκην. εἰ γὰρ καὶ διαστατόν ἐστι τριχῇ, ἀλλ' οὖν παντάπασιν ἀπαθές ἐστι καὶ ἀσώματον, αὐτὸ τοῦτο οὐδὲν ἄλλο ὄν, ἢ χώρα κενή. πῶς οὖν τὸ πάντῃ ἀπαθές, καὶ μηδεμιᾷ ποιότητι σωματικῇ πεποιωμένον, σκληρότητι ἢ μαλακότητι, ἢ ὅλως ἀντιτυπίᾳ, ἤ τινι ἄλλῃ τοιαύτῃ δυνάμει, διαίρεσιν ἐμποιήσει ἐν τοῖς σώμασιν. ὥσπερ οὖν ἐπιφάνειαι ἐφαρμόζουσαι ἐπιφανείαις, οὐδεμίαν διαίρεσιν ἐμποιεῖ, ἀλλὰ κἂν μυρίαι ἐφαρμοσθῶσιν ἀλλήλαις ἐπιφάνειαι, οὔτε αὔξησίν τινα ἐμποιοῦσιν οὔτε διαιροῦσιν ἀλλήλας, ὁμοίως δὲ κἂν γραμμαὶ μυρίαι ἐφαρμοσθῶσιν ἀλλήλαις, οὔτε διαιροῦσιν ἀλλήλας, οὔτε αὔξησιν ἐμποιοῦσιν, ἀλλ' ἐν τῷ αὐτῷ μυρίαι δύνανται ἐφαρμοσθῆναι ἀλλήλαις. καὶ τούτων οὐδὲν ἄλλο αἴτιον, ἢ τὸ ἀσωμάτους αὐτὰς εἶναι. οὕτω δηλονότι κἂν τριχῇ διαστατὸν τριχῇ διαστατῷ ἐφαρμοσθῇ ἀσώματον ὄν, οὐδεμίαν οὔτε διαίρεσιν ἐμποιήσει, οὔτε πάθος ἄλλο οὐδὲ ἕν. ἔτι εἰ τὸ τριχῇ διαστατόν, ἀσώματον ὂν καὶ χωροῦν διὰ σώματος, ταυτὸν δ' εἰπεῖν ἐφαρμοζόμενον τῷ σώματι, διαιρεῖ αὐτό, τὰ αὐτὰ δήπου καὶ τοῖς ἀριστοτελικοῖς ἐνέχεσθαι λέγοις. βούλεται γὰρ τὸν τόπον, ἴσον εἶναι τῷ ἐν τόπῳ, καὶ ἐν ταὐτῷ εἶναι τό, τε πέρας τοῦ περιέχοντος, καὶ τὸ πέρας τοῦ περιεχομένου. ἐπείπερ ἐν ταὐτῷ εἰσιν ἄμφω τὰ πέρατα, ὥσπερ τὸ ὅλον ἐν τῷ ὅλῳ ἐστίν, οὕτω καὶ τὸ μόριον ἐν τῷ μορίῳ. ἐπ' ἄπειρον οὖν ὄντος παντὸς μεγέθους διαιρετοῦ, συμβήσεται ἄπειρα εἶναι κατ' ἐνέργειαν τὰ μόρια τῶν ἐπιφανειῶν. εἰ γὰρ μὴ ἕκαστον μόριον τῆς ἐπιφανείας ἑκάστῳ τῆς λοιπῆς ἐφήρμοσεν, οὐδὲ ἡ ὅλη τῇ ὅλῃ. ἔσται οὖν ἐνεργείᾳ τὸ ἄπειρον. καὶ οὐ λέγω, ὅτι ὡς ἐν τόπῳ ἔσται ἡ μία ἐπιφάνεια ἐν τῇ ἑτέρᾳ. κἂν γὰρ μὴ ὡς ἐν τόπῳ ᾖ, ἀλλ' οὖν ἐφαρμόζουσί γε ἀλλήλαις. καθὸ οὖν ἐφαρμόζουσιν, ἐχώρησαν δι' ἀλλήλων. ὥστε καὶ διαιρήσουσιν ἀλλήλας. ἢ τοίνυν οὔτε γραμμὴ γραμμῇ δύναται ἐφαρμόζειν, οὔτε ἐπιφάνεια ἐπιφανείᾳ, ἢ εἰ ταῦτα δυνατόν, διατί μὴ καὶ τριχῇ διαστατὸν ἀσώματόν γε ὄν, τριχῇ διαστατῷ ἐφαρμόσει. τίς γὰρ ἡ ἀποκλήρωσις μῆκος μὲν μήκει ἐφαρμόζειν, καὶ πλάτος πλάτει, ἀσώματα ὄντα, βάθος δὲ βάθει μὴ ἐφαρμόζειν. καὶ τὸ μὲν μῆκος καὶ τὸ πλάτος, οὐκ ἄνευ σώματος, ἀλλ' ἐν σώματι τὸ εἶναι ἔχει, ἀλλ' ὅμως ἐφαρμόζεται τοῖς ὁμοίοις, ἀσώματά γε αὐτὰ ὄντα. τὸ δὲ διάστημα τὸ τοπικόν, ἀσώματόν ἐστι, καὶ χωριστὸν σώματος, καὶ καθ' αὑτὸ ὑφεστηκός, οὐκ ἐν ὑποκειμένῳ τινὶ τὸ εἶναι ἔχον. πολλῷ οὖν μᾶλλον ἐφαρμόσαι δύναται τῷ σώματι, ἀπαθὲς φυλάττον αὐτό. εἰ γὰρ τὸ διάστημα ᾗ διάστημά ἐστιν, ἁπλῶς ἐφαρμόζον ἄλλῳ διαστήματι, εὐθὺς καὶ διῄρει αὐτό, μᾶλλον ἂν διῃροῦντο ὑπ' ἀλλήλων ἄμφω τὰ διαστήματα. καὶ ἡ γραμμὴ τῇ γραμμῇ ἐφαρμόζουσα, καὶ ἡ ἐπιφάνεια τῇ ἐπιφανείᾳ, τὸ αὐτὸ ἂν ἐπεπόνθει. διαστήματα γὰρ καὶ ταῦτα. εἰ δὲ μηδὲν τοιοῦτον ἐπὶ τούτων συμβαίνει, οὐ τὸ διάστημα ἄρα ᾗ διάστημά ἐστι, διαιρέσεώς ἐστιν αἴτιον. ὥστε οὐδὲ τὸ βάθος τῷ βάθει ἐφαρμόζον, διαιρέσεως ἂν εἴη αἴτιον. ἀποκληρωτικὸν γάρ, τριῶν ὄντων τῶν διαστημάτων, μήκους, πλάτους, βάθους, μῆκος μὲν καὶ πλάτος ἐφαρμόζοντα ἐπ' ἄλληλα μὴ διαιρεῖν ἄλληλα, βάθος δὲ βάθει ἐφαρμόζον διαιρεῖν. οὐκοῦν οὐ τὸ διάστημα ἁπλῶς ὁποῖον ἂν ᾖ, διαιρέσεώς ἐστιν αἴτιον, ἀλλὰ τὸ μετὰ ὕλης. τοῦτο δέ ἐστι τὸ σῶμα. ἡ γὰρ ὕλη τοῦ ποιεῖν καὶ πάσχειν αἰτία τοῖς εἴδεσι, τοῖς ὅλως ποιεῖν καὶ πάσχειν πεφυκόσιν. οὐδὲ γὰρ τὰ ἐναντία πάσχουσιν ὑπ' ἀλλήλων, μὴ ἐν ὕλῃ ὄντος καὶ τοῦ ποιητικοῦ, καὶ τοῦ παθητικοῦ. λέγω δὴ τὰ φυσικὰ καὶ σωματικὰ πάθη. ὥστε εἰ τὸ τοπικὸν διάστημα τριχῇ διαστατόν, ἀσώματόν ἐστι καὶ ἄϋλον, οὔτε πάθος ἐμποιήσει ἐν τῷ ἐγγινομένῳ σώματι, οὔτε πείσεται ὑπ' αὐτοῦ. ποιεῖ γὰρ καὶ ἀντιπάσχει μόνα τὰ τὴν αὐτὴν ὕλην ἔχοντα. οὐδεμία ἄρα ἀνάγκη, κἂν εἰ διὰ σώματος χωρεῖ τὸ κενόν, διαιρεῖν αὐτό, ἢ ὑπ' αὐτοῦ διαιρεῖσθαι. Ἐγὼ δὲ κἀκεῖνό φημι, ὅτι κἂν τριχῇ ὢν διαστατὸς ὁ τόπος σῶμα ἦν, οὐδεμία ἦν ἀνάγκη, χωροῦντος ἐν αὐτῷ τοῦ ἐν τόπῳ γινομένου, ἢ καὶ αὐτοῦ δι' ἐκείνου χωροῦντος, ἀκολουθεῖν τοῦτο τὸ ἄτοπον, τὸ διῃρῆσθαι ἐπ' ἄπειρον τὰ χωρήσαντα

δέ ἐστιν ἡ κοίλη ἐπιφάνεια τοῦ ἀγγείου. ἀλλὰ τὸ μὲν ὅλον, ἐν ἄλλῳ γέγονε τόπῳ. ὑφ' ἑτέρας γὰρ ἐπιφανείας τοῦ ἀέρος περιέχεται. τὸ δὲ μόριον αὐτοῦ, ἐν τῷ αὐτῷ ἐστὶ τόπῳ. ὑπὸ γὰρ τῆς αὐτῆς περιέχεται ἐπιφανείας, λέγω δὲ τῆς κοίλης τοῦ κεραμίου. καὶ οὐκ ἐν ᾧ μετὰ τοῦ ὅλου γέγονεν. οὐ γὰρ κατεῖχε μόριόν τι τοῦ τόπου τὸ ὕδωρ, ἐν ᾧ γέγονε τὸ ὅλον ἀγγεῖον. ἀλλὰ μετὰ τοῦ ὅλου ἐστὶν ἐν ἐκείνῳ. καθ' αὑτὸ δὲ οὐκ ἐν ἄλλῳ, ἢ τῷ ἐξ ἀρχῆς. μόριον οὖν λέγει τοῦ ὅλου ἀμφορέως τοῦ πεπληρωμένου ἢ ἀέρος ἢ ὕδατος, τὸ ὕδωρ ἢ τὸν ἀέρα. ἔστιν οὖν μόριον τοῦ ὅλου, ἤτοι τὸ ὕδωρ, ἢ ὁ ἀήρ, οὗ αὐτὸ τὸ ἀγγεῖον πεπληρωμένον. ἐν ᾧ γάρ ἐστιν, ἔστι δὲ ἐν τῇ κοίλῃ ἐπιφανείᾳ τοῦ ἀγγείου, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ἢ τὰ μόρια τοῦ ὕδατος. τὸ ἀντιμεθίσταται δέ, ἀντὶ τοῦ συμμεθίσταται. τὸ δὲ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ἀντὶ τοῦ ὁ ἀὴρ ἢ τὸ ὕδωρ, οὗ ἂν ᾖ πλῆρες τὸ ἀγγεῖον. ἐν τῷ ἐξ ἀρχῆς οὖν ἐστι τόπῳ τὸ μόριον τοῦ ἀγγείου, τὸ ὕδωρ. καὶ οὐκ ἐν ᾧ τὸ ὅλον γέγονε τόπῳ. τοῦτο δέ ἐστι τὸ μόριον τοῦ ἀέρος, τὸ περιέχον αὐτό. ὁ τόπος φησὶ μέρος ἐστὶ τοῦ τόπου τούτου, ὅς ἐστι τοῦ ὅλου οὐρανοῦ. οὐρανὸν δέ φησι τὸν κόσμον. τοῦ ὅλου κοσμικοῦ τόπου, μέρος ἐστὶν ὁ περιέχων τὸ ἀγγεῖον τόπος. εἰπὼν δέ, ὁ ἀὴρ καὶ τὸ ὕδωρ, προσέθηκεν, ἢ τὰ μόρια τοῦ ὕδατος. τουτέστιν, οὔτε τὸ ὅλον ὕδωρ, οὔτε τὰ μόρια αὐτοῦ, μεθισταμένου τοῦ ἀγγείου, μέρος τι τοῦ τόπου τοῦ ἀγγείου καταλαμβάνουσιν. ἀλλ' ἐν ᾧ τὸ ὅλον ἐξ ἀρχῆς ὕδωρ ἦν, ἐν τούτῳ ἔμεινε καὶ μεταστάντος τοῦ ἀγγείου καὶ τὸ ὅλον ὕδωρ, καὶ τὰ μόρια αὐτοῦ. τοῦτο δὲ προσέθηκε, δεικνύς, ὅτι οὐδὲ τὸ κατ' ἐνέργειαν εἶναι ἐν τόπῳ τὰ μόρια ἕπεται τοῖς τὴν ἐπιφάνειαν λέγουσι τόπον, ὅπερ ἕπεται κατὰ τὸ πρότερον ἐπιχείρημα, τοῖς τὸ διάστημα λέγουσιν. ἐκείνοις μὲν γὰρ ἕπεται, καὶ τὸ τὰ μόρια κατ' ἐνέργειαν ἐν τόπῳ εἶναι, εἴγε χωροῦσι δι' ἀλλήλων τὰ διαστήματα. τοῖς μέντοι τὸ πέρας λέγουσιν εἶναι τὸν τόπον, οὐκέτι. οὐδὲν γὰρ τῶν μορίων τοῦ ὅλου περιγράφεται ὑπὸ τοῦ μορίου τῆς ἐπιφανείας, ὥσπερ ὑπὸ τοῦ μορίου τοῦ διαστήματος. ὥστε οὐ συμβαίνει τοῖς λέγουσι τὸ πέρας τοῦ περιέχοντος εἶναι τὸν τόπον, οὐδὲν τῶν ἀτόπων τῶν συμβαινόντων τοῖς τὸ διάστημα λέγουσιν εἶναι τὸν τόπον.

» ΚΑΙ ἡ ὕλη δέ, δόξειεν ἂν εἶναι τόπος εἴγε ἐν ἠρεμοῦντί τις σκοποίη, καὶ μὴ κεχωρισμένῳ, ἀλλὰ συνεχεῖ. ὥσπερ γὰρ εἰ ἀλλοιοῦται, ἔστι τι ὃ νῦν μὲν λευκόν, πάλιν δὲ μέλαν. καὶ νῦν μὲν σκληρόν, πάλιν δὲ μαλακόν. διὸ φαμὲν εἶναί τι τὴν ὕλην, οὕτω καὶ ὁ τόπος διὰ τοιαύτης τινὸς εἶναι δοκεῖ φαντασίας. πλὴν ἐκεῖνο μέν, ὅτι ὃ ἦν ἀήρ, τοῦτο νῦν ὕδωρ. ὁ δὲ τόπος, ὅτι ἐν ᾧ ἦν ὁ ἀήρ, ἐνταῦθά ἐστι νῦν ὕδωρ. ἀλλ' ἡ μὲν ὕλη ὥσπερ ἐλέχθη ἐν τοῖς προτέροις, οὔτε χωριστὸν τοῦ πράγματος, οὔτε περιέχουσα. ὁ δὲ τόπος ἄμφω. εἰ τοίνυν μηδὲν τούτων τῶν τριῶν ὁ τόπος ἐστί, μήτε τὸ εἶδος, μήτε ἡ ὕλη, μήτε διάστημά τι ἀεὶ ὑπάρχον ἕτερον παρὰ τὸ τοῦ πράγματος τοῦ μεθισταμένου, ἀνάγκη τὸν τόπον εἶναι τὸ λοιπὸν τῶν τεττάρων, τὸ πέρας τοῦ περιέχοντος σώματος.

Β Ἱστορικῶς, ὅθεν ὑπενοήθη ὁ τόπος εἶδος, ἔτι δὲ καὶ διάστημα, νῦν λέγει, πόθεν ὑπενοήθη εἶναι ὕλη. εἴ τις φησὶ σκοποίη, ἐν ἠρεμοῦντι τῷ πράγματι, τουτέστιν εἴ τις ἐν τῷ ἐν τόπῳ ἠρεμοῦντι πράγματι καὶ μὴ μεθισταμένῳ ἀπ' αὐτοῦ, νοήσοι αὐτὸ γινόμενον καὶ φθειρόμενον ἀκινήτου μένοντος τοῦ τόπου. λέγω δὴ ἐὰν ἐν τῷ ἀγγείῳ ὂν τὸ ὕδωρ μὴ ἐκστὰν αὐτοῦ γένηται ἀήρ, οὕτω δόξειεν ἂν μᾶλλον εἶναι ὁ τόπος ἡ ὕλη, ἐπειδὴ μὴ κινηθέντος κατὰ τόπον τοῦ πράγματος, ἐν τῷ αὐτῷ ἄλλοτε ἄλλο γέγονεν. οὕτω γὰρ ἐν τῇ ὕλῃ γίνεται ἡ μεταβολή, μὴ κινουμένου κατὰ τόπον τοῦ ἐν αὐτῇ εἴδους. εἰ οὖν δέοι ἐξομοιῶσαι τὸν τόπον τῇ ὕλῃ, νενοήσθω τὸ ἐν τῷ ἀμφορεῖ ὕδωρ, μεταβάλλον ἢ εἰς ἀέρα, ἢ εἰς ἄλλό τι σῶμα, ὥστε ἀκινήτου μένοντος τοῦ πράγματος, ἄλλοτε ἄλλο ἐνυπάρχειν ἐν τῷ ἀμφορεῖ σῶμα. τὸ δέ, καὶ μὴ κεχωρισμένῳ, ἐκ παραλλήλου τὸ αὐτὸ τῷ ἠρεμοῦντι. τὸ δὲ συνεχεῖ, ἀντὶ τοῦ συνημμένῳ. οὐ γὰρ κυρίως τὸ συνεχὲς ἐνταῦθα. δι' ἧς γάρ φησιν ὑπονοίας ἔδοξεν εἶναι ἡ ὕλη ἑτέρα πάντων τῶν ἐγγινομένων ἐν αὐτῇ εἰδῶν, τῷ τὸ αὐτὸ πρᾶγμα, ποτὲ μὲν λευκόν, ποτὲ δὲ μέλαν γίνεσθαι, ἄλλοτε δὲ ἄλλο, διὰ τῆς αὐτῆς καὶ ὁ τόπος ἕτερός τις εἶναι δοκεῖ τῶν ἐν τόπῳ. ὥστε εἰ τὸ πρᾶγμα ἀκίνητον τοῦ τόπου μεταβάλλει, ταυτὸ δόξειεν ἂν εἶναι ἡ ὕλη καὶ ὁ τόπος. πλὴν ἔστι τις διαφορά. ἡ μὲν γὰρ ὕλη αὐτὴ γίνεται λευκὸν ἢ μέλαν. ἢ ἄνθρωπος ἢ ἵππος. ὁ δὲ τόπος δέχεται ταῦτα, οὐκ αὐτὸς ταῦτα γίνεται. διὸ καὶ ἡ χρῆσις ἡ ἡμετέρα, διάφορος ἐπ' αὐτῶν. ἐπὶ μὲν γὰρ τῆς ὕλης φαμὲν ὅτι ὃ πρότερον ἦν ὕδωρ, τοῦτο νῦν ἐστιν ἀήρ. ἐπὶ δὲ τοῦ τόπου, ὅτι οὗπερ πρότερον ἦν ὕδωρ, νῦν ἐστιν ἀήρ. καὶ ἄλλως, ὅπερ καὶ πρότερον ἐλέχθη. ἡ μὲν ὕλη, ἀχώριστος τοῦ πράγματος. ὁ δὲ τόπος χωριστός.

» ΛΕΓΩ δὲ τὸ περιεχόμενον σῶμα, τὸ κινητὸν κατὰ φοράν.

Γ Περιέχεσθαί φησι καὶ ἐν τόπῳ εἶναι λέγω, οὐχ ἁπλῶς πᾶν σῶμα, ἀλλὰ τὸ πεφυκὸς ποτὲ μὲν κινεῖσθαι, ποτὲ δὲ μή. τοῦτο γάρ ἐστι τὸ κινητόν. ἵνα εἴπῃ, τὸ ἐν γενέσει καὶ φθορᾷ. τὸ γὰρ οὐράνιον, οὐ κινητόν. ἀλλ' ἀεικίνητον. διόπερ οὐδὲ πᾶν ἐν τόπῳ. τὸ δὲ κατὰ φοράν, ἀντὶ τοῦ κατ' εὐθυωρίαν. φορὰ γάρ, ἡ κατ' εὐθεῖαν κίνησις. ἡ δὲ κύκλῳ, οὐ φορά, ἀλλὰ περιφορά. εἴ τι μὲν οὖν κινητὸν κατὰ φοράν, τοῦτο πάντως ἐν τόπῳ. οὐ μὴν εἴ τι ἐν τόπῳ, τοῦτο κινητὸν κατὰ φοράν. αἱ γὰρ ἐντὸς σφαῖραι τῆς ἀπλανοῦς, ἐν τόπῳ μέν, οὐ κινοῦνται δὲ κατὰ φοράν. πῶς δὲ βούλεται εἶναι τὴν ἀπλανῆ ἐν τόπῳ, καὶ πῶς οὔ, αὐτοῦ λέγοντες μετ' ὀλίγον ἀκουσόμεθα. τὸν δὲ ἐντελῆ περὶ τούτων λόγον, ἄλλης ἂν εἴη πραγματείας ἐπισκέψασθαι. λέ-

γω δὴ

πᾶσα ἀνάγκη, τοῦ ἀμφορέως μεταφερομένου, συμμεταφέρεσθαί τι καὶ τὸ διάστημα, καὶ ἐν μέρει τοῦ τόπου γίνεσθαι, ὃν αὖ ὁ ὅλος ἀμφορεὺς καταλάβῃ. αἱ μὲν οὖν ἀνασκευαὶ τοῦ μὴ εἶναι διάστημα τὸν τόπον, αἱ ἐκ τῶν ἐξηγήσεων τῶν ἀριστοτελικῶν ῥητῶν ἀναφανεῖσαι, αὗταί εἰσιν. ὅσας δὲ ἔξωθεν προστεθείκασιν οἱ ἐξηγηταὶ, καὶ ὅσα εἴποιεν ἂν οἱ προϊστάμενοι τοῦ διάστημα εἶναι τὸν τόπον, μετὰ τὸ ἐπεξελθεῖν τὸ ῥητὸν ἐροῦμεν.

Η διάστημά τι, τὸ μεταξὺ τῶν ἐσχάτων.

Τῶν ἐσχάτων τοῦ περιέχοντος σώματος. οἷον εἰ κέραμος εἴη ὁ περιέχων, τὸ μεταξὺ τῶν ἐντὸς περάτων διάστημα.

Η τὰ ἔσχατα, εἰ μὴ ἔστι μηδὲν διάστημα παρὰ τὸ τοῦ ἐγγινομένου σώματος μέγεθος. τούτων δ' ὅτι τὰ τρία οὐκ ἐνδέχεται εἶναι φανερόν. ἀλλὰ διὰ μὲν τὸ περιέχειν δοκεῖ ἡ μορφὴ εἶναι.

Εἰ τὸ μεταξύ φησι τῶν ἐσχάτων τοῦ περιέχοντος σώματος διάστημα, μὴ ἔστιν ἄλλο παρὰ τὸ σῶμα τὸ ἐγγινόμενον ἐν αὐτῷ, οἷον εἰ ὕδωρ ἢ ἀὴρ εἴη, μήτε τῆς ὕλης, μήτε τοῦ εἴδους τόπου ὄντος, λείπεται τὸ πέρας τοῦ περιέχοντος εἶναι τόπον.

ΕΝ ᾧ αὐτῷ γὰρ τὰ ἔσχατα τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου. ἔστι μὲν οὖν ἄμφω πέρατα, ἀλλ' οὐ τοῦ αὐτοῦ. ἀλλὰ τὸ μὲν εἶδος τοῦ πράγματος. ὁ δὲ τόπος, τοῦ περιέχοντος σώματος.

Ἐν ταὐτῷ ἐστὶ τῷ ἅμα, καὶ ἐφαρμόζονται ἀλλήλοις. ὅθεν δοκεῖ τὸ εἶδος εἶναι ὁ τόπος. ἀλλὰ καὶ οὕτως ἡ διάκρισις δήλη. εἰ γὰρ καὶ πέρατα ἄμφω, καὶ ἐν ταὐτῷ, ἀλλ' ὁ μὲν τόπος, τοῦ περιέχοντος σώματος πέρας. τὸ δὲ εἶδος, τοῦ περιεχομένου. ὥστε οὐκ ἂν εἴη τὸ εἶδος ὁ τόπος.

ΔΙΑ δὲ τὸ μεταβάλλειν πολλάκις μένοντος τοῦ περιέχοντος τὸ περιεχόμενον καὶ διῃρημένον, οἷον ἐξ ἀγγείου ὕδωρ, τὸ μεταξὺ εἶναί τι δοκεῖ διάστημα, ὡς ὄν τι παρὰ τὸ σῶμα τὸ μεθιστάμενον. τὸ δ' οὐκ ἔστιν, ἀλλὰ τὸ τυχὸν ἐμπίπτει σῶμα τῶν μεθισταμένων, καὶ ἅπτεσθαι πεφυκότων.

Τὴν αἰτίαν λέγει, δι' ἣν τὸν τόπον τινὲς τὸ διάστημα ὑπειλήφασιν εἶναι. τὸ διάστημα λέγω, τὸ μεταξὺ τῶν περάτων τοῦ περιέχοντος σώματος. διότι φησὶν ὥσπερ ἐν ἀγγείῳ τινὶ τῷ αὐτῷ μένοντι, πλείω μεταμπίπτει σώματα, οὕτως ἐπειδὴ τὸν αὐτὸν τόπον πλείω καταλαμβάνει σώματα, δοκεῖ ἕτερόν τι εἶναι διάστημα, παρὰ τὸ ἐγγινόμενον ἐν αὐτῷ. οὐκ ἔστι δέ φησιν ἕτερον τὸ διάστημα, ἀλλ' ἕτερόν τι τὸ τυχὸν μεταμπίπτει σῶμα. ὥστε οὐκ ἔστι διάστημά τι, τὸ μεταξὺ τῶν περάτων, πλὴν τοῦ ἐγγινομένου σώματος.

ΕΙ δ' ἦν τι τὸ διάστημα πεφυκὸς καὶ μένον ἐν ᾧ αὐτῷ τόπῳ, ἄπειροι ἂν ἦσαν τόποι.

Πεφυκὸς μὲν εἶπε, διὰ τὸ μαθηματικόν. ἐκεῖνο γὰρ οὐ φύσει ἐστὶν, ἀλλ' ἐπινοίᾳ. πεφυκὸς οὖν, ἀντὶ τοῦ ὂν καὶ ὑφεστηκός. μένον δὲ, τουτέστιν ἀκίνητον. διὰ τὰ φυσικὰ μεγέθη, ἃ πάντως ἐν κινήσει τινὶ θεωρεῖται.

ΜΕΘΙΣΤΑΜΕΝΟΥ γὰρ τοῦ ὕδατος, καὶ τοῦ ἀέρος, τὸ αὐτὸ ποιήσει τὰ μόρια ἅπαντα ἐν τῷ ὅλῳ, ὅπερ ἅπαν τὸ ὕδωρ ἐν τῷ ἀγγείῳ.

Τουτέστιν ἀντιμεθισταμένων ἀλλήλοις τοὺς ἰδίους τόπους, ὅπερ ἅπαν τὸ ὕδωρ ἐν ὅλῳ τῷ ἀγγείῳ ποιεῖ, καὶ πάντα τὰ τοῦ ὕδατος μόρια ἐν τοῖς μορίοις τοῦ τόπου. ὥσπερ οὖν τὸ ὅλον ὕδωρ, χωρεῖ δι' ὅλου τοῦ τοπικοῦ διαστήματος, καὶ ἐφαρμόζουσιν ἀλλήλοις ἀμφότερα τὰ διαστήματα, οὕτω δὲ καὶ τὰ μόρια τοῦ σώματος, τὸ αὐτὸ πείσονται πρὸς τὰ μόρια τοῦ τόπου. ἀλλ' ἐπεὶ ἐπ' ἄπειρον τὰ μεγέθη διαιρεῖται, ἐπ' ἄπειρον διαιρήσουσιν ἄλληλα καὶ ὁ τόπος καὶ τὸ σῶμα. ὥστε ὁ εἷς τόπος, εἰς ἀπείρους ἔσται τόπους διῃρημένος. ὁμοίως δὲ καὶ τὸ σῶμα.

ΑΜΑ δὲ καὶ ὁ τόπος ἔσται μεταβάλλων. ὥστ' ἔσται τοῦ τόπου ἄλλος τόπος, καὶ πολλοὶ τόποι ἅμα ἔσονται.

Ἕτερον ἐπιχείρημα. ὅτι εἰ τὸ μεταξὺ τοῦ ἀγγείου διάστημα, ἔστιν ἕτερον παρὰ τὸ ἐγγινόμενον σῶμα, ἀνάγκη μεταφερομένου τοῦ ἀγγείου, συμμεταφέρεσθαι καὶ τὸ διάστημα. ὥστε καὶ ὁ τόπος μεταβάλλει ἂν κατὰ τόπον. καὶ ἐπειδὴ ὁ δεξάμενος τὸ ἀγγεῖον τόπος, ὅλος δι' ὅλου τοῦ βάθους ἐχώρησεν, ἐδέξατο δηλονότι καὶ τὸ ἐντὸς διάστημα. ὥστε τοῦ τόπου ἔσται τόπος. καὶ πολλὰ διαστήματα ἐν τῷ αὐτῷ ἔσονται. τὸ μεταξὺ τῶν περάτων τοῦ ἀγγείου. τὸ ἐγγινόμενον αὐτῷ σῶμα. τὸ μέρος τοῦ διαστήματος τοῦ δεξαμένου τὸ ὅλον ἀγγεῖον, εἰς ὃ ἐχώρησε τὸ μέρος τοῦ ἀγγείου, λέγω δὴ τὸ ὕδωρ. εἰ δὲ πολλὰ διαστήματα ἐν τῷ αὐτῷ δυνατὸν εἶναι, τί κωλύει καὶ ἄπειρα.

ΟΥΚ ἔστι δὲ ἄλλος τόπος ὁ τοῦ μορίου ἐν ᾧ κινεῖται, ὅταν τὸ ὅλον ἀγγεῖον μεθίστηται, ἀλλ' ὁ αὐτός. ἐν ᾧ γάρ ἐστιν, ἀντιμεθίσταται ὁ ἀὴρ καὶ τὸ ὕδωρ, ἢ τὰ μόρια τοῦ ὕδατος, ἀλλ' οὐκ ἐν ᾧ γίνονται τόπῳ, ὃς μέρος ἐστὶ τοῦ τόπου, ὅς ἐστι τόπος ὅλου τοῦ οὐρανοῦ.

Πρὸς τὸ β τῶν ἐπιχειρημάτων ἡ ἀπάντησις, δι' οὗ συνήγετο τὸν τόπον ἐν τόπῳ γενέσθαι, καὶ πολλοὺς ἅμα τόπους εἶναι. τὸ γὰρ διάστημα τὸ μεταξὺ τῶν χειλῶν τοῦ ἀμφορέως, ὅπερ ἐδέξατο τὸ ὕδωρ, ἐν ἄλλῳ διαστήματι ἐγγίνεται, μετατεθέντος τοῦ ἀμφορέως. φησὶν οὖν ὅτι τοῦτο τὸ ἄτοπον, οὐ συμβήσεται, τοῖς τὸ πέρας τοῦ περιέχοντος, τὸν τόπον λέγουσιν. οὐδὲ γὰρ ἀνάγκη, μεθισταμένου τοῦ ὅλου ἀγγείου, ἐν ἄλλῳ γενέσθαι τόπῳ τὸ μόριον αὐτοῦ, λέγω δὴ τὸ ὕδωρ, παρὰ τοῦτον, ἐν ᾧ καὶ ἐξ ἀρχῆς ἦν, καὶ μεθ' οὗ κινεῖται. οὗτος

τόπον ἐν τόπῳ μεταβάλλειν· μεταβάλλοντος γὰρ τοῦ ἀμφορέως, καὶ καθ' ὅλον ἑαυτὸν γινομένου ἐν τοπικῷ διαστήματι, φησὶν ὅτι διάστατῷ, τὸ διάστημα τὸ μεταξὺ αὐτοῦ, τὸ δεξάμενον τὸ ὕδωρ, ἐν τόπῳ ἔσται· καὶ ἀδύνατον, δύο καὶ τρία διαστήματα ἐν ταυτῷ εἶναι, καὶ πλείονα ἅμα, ἔσονται ἐν τῷ αὐτῷ, καὶ ἄπειρα. ἵνα δὲ σαφέστερον ποιήσω τὸν λόγον, ἐπὶ παραδείγματος, ἀναλαβὼν αὐτὸν γυμνάσω. ἔστω ξέστης τις, λέγω δὴ τὸ μέτρον, εἴτε κεραμεοῦν εἴη, εἴτε ὁποιονοῦν ἄλλο. εἰ τοίνυν τὸ μεταξὺ τῶν ἐντὸς περάτων διάστημα, εἴη ἕτερον παρὰ τὸ ἐν αὐτῷ σῶμα, οἷον τὸ τοῦ ὕδατος, ἐὰν ὁ ὅλος ξέστης ἐμβληθῇ ἐν μείζονι σκεύει, δῆλον ὅτι καὶ τὸ διάστημα τὸ ἐν τῷ σκεύει, τὸ τοπικὸν, τριχῇ ὂν διαστατὸν, χωρήσει δι' ὅλου τοῦ ξέστου. ὥστε καὶ διὰ τοῦ βάθους αὐτοῦ. χωρήσει ἄρα καὶ διὰ τοῦ ἐντὸς ὕδατος, καὶ διὰ τοῦ διαστήματος, τοῦ δεξαμένου τὸ ὕδωρ. ὥστε τρία διαστήματα ἐν τῷ αὐτῷ ἔσται. καὶ ἐὰν πάλιν τὸ σκεῦος ἐμβάλω ἐν κεράμῳ, πάλιν τὸ αὐτὸ γενήσεται. καὶ χωρήσει τὸ ἐν τῷ κεράμῳ διάστημα, δι' ὅλων τῶν διαστημάτων τοῦ ἐμβληθέντος σκεύους. ὁμοίως πάλιν, ἐὰν ὁ κέραμος ἐμβληθῇ ἐν πίθῳ, τὸ διάστημα τὸ τοπικὸν τὸ ἐν τῷ πίθῳ, χωρήσει δι' ὅλου τοῦ κεράμου. καὶ οὕτως ἐπ' ἄπειρον. ὥστε συμβήσεται, πολλοὺς τόπους ἐν ταυτῷ εἶναι, καὶ πολλὰ διαστήματα. ὅπερ ἀδύνατον. ὁ Θεμίστιος δὲ ἐξηγεῖται τὸ χωρίον οὕτως. εἰ ἦν τι φησὶ διάστημα καθ' αὑτὸ πεφυκὸς εἶναι καὶ μένειν ἐν ταυτῷ, ἄπειροι ἦσαν οἱ τόποι. τί δήποτε; ὅτι ὁπηνίκα ἂν μεταφέρηται τὸ ἀγγεῖον, πλῆρες ὂν σώματός τινος, οἷον ὕδατος, ὃ ποιεῖ τὸ ὅλον ὕδωρ ἐν τῷ ἀγγείῳ, τοῦτο ποιήσει καὶ τὰ τοῦ ὕδατος μόρια. ὡς οὖν τὸ ὅλον ὕδωρ, κατέχον τὸ οἰκεῖον διάστημα, σὺν τῷ ἀγγείῳ κινεῖται μεταφερόμενον, οὕτως ἕκαστον καὶ τῶν μορίων αὐτοῦ, κατέχον τὸ οἰκεῖον διάστημα, κινηθήσεται σὺν τῷ ἀγγείῳ. ὅταν τοίνυν ἐν ἄλλῳ τόπῳ γένηται ὁ ἀμφορεὺς, δῆλον ὅτι καθέξει διάστημα, τὸ μεταξὺ τῶν ἐσχάτων τοῦ περιέχοντος ἀέρος. οὗ διαστήματος, καὶ τὸ ὕδωρ τὸ ἐν τῷ ἀμφορεῖ, μέρος καθέξει, καὶ τὰ τοῦ ὕδατος μόρια. ὅρα δὴ, πόσα ἐν τῷ αὐτῷ ἐστι διαστήματα. πρῶτον μὲν, ὃ κατεῖχε τὸ ἐν τῷ ἀμφορεῖ ὕδωρ. λέγω δὴ τὸ τοπικὸν, τὸ μεταξὺ τῶν περάτων τοῦ ἀμφορέως. δεύτερον, ὃ κατεῖχε τὰ τοῦ ὕδατος μόρια. ὡς γὰρ τὸ ὅλον κατεῖχε τὸ ὅλον διάστημα, οὕτω καὶ ἕκαστον τῶν μορίων τοῦ ὕδατος, μόριόν τι τοῦ διαστήματος κατεῖχε. καὶ ἔστιν ἐνεργείᾳ ἕκαστον ἐν τόπῳ. πάλιν τὸ διάστημα, ὃ κατεῖχεν ὅλος ὁ ἀμφορεὺς. καὶ ἔτι τὸ μέρος τοῦ διαστήματος, ὃ κατεῖχεν ὁ ὅλος ἀμφορεὺς, ἐν ᾧ γέγονε τὸ μέρος τοῦ ἀμφορέως τὸ ὕδωρ. καὶ αὐτοῦ τούτου πάλιν, ὃ κατεῖχε τὰ τοῦ ὕδατος μόρια. τούτοις δὲ προσθείης καὶ τὸ διάστημα αὐτοῦ τοῦ ἀμφορέως ὡς σώματος, καὶ τὸ τοῦ ὕδατος ὡς σώματος, καὶ τὰ τῶν μερῶν αὐτῶν ὡς σωμάτων, πολλὰ ἂν εὑρήσοις ἐν τῷ αὐτῷ διαστήματα. τῆς δὲ τομῆς τῶν μεγεθῶν εἰς ἄπειρον γινομένης, εἰς ἄπειρον καὶ ἡ πρόσθεσις τῶν διαστημάτων προσελεύσεται. εἰ γὰρ διάστημα ὁ τόπος, ἀνάγκη καὶ τῶν μορίων ἕκαστον, ἐν ἰδίῳ τόπῳ εἶναι καθ' αὑτό. ἕκαστον γὰρ μόριον τοῦ σώματος, μόριόν τι τοῦ τοπικοῦ διαστήματος καθέξει. τοῖς μὲν γὰρ τόπον λέγουσι τὸ πέρας τοῦ περιέχοντος, οὐδὲν τῶν μορίων τοῦ σώματος καθ' αὑτό ἐστιν ἐν τόπῳ. ἀλλ' οὐδὲ οἷς ἅπτεται τοῦ τόπου, λέγω δὴ τὰ πέρατα. ἀλλὰ ταῦτα πάντα, τῷ εἶναι τὸ ὅλον ἐν τόπῳ, καὶ αὐτὰ κατὰ συμβεβηκὸς ἐν τόπῳ λέγεται εἶναι. οὐδὲν γὰρ αὐτῶν ἰδίως ὑπὸ τοῦ τόπου περιέχεται. συνεχὲς γάρ ἐστι τῷ ὅλῳ. καὶ ἢ οὐδὲ ὅλως ἅπτεται τοῦ τόπου, ὡς τὰ ἐν τῷ βάθει μόρια, ἢ οὐ πανταχόθεν ἅπτεται, ἀλλὰ ἀπὸ μέρους. ὁ δὲ τόπος, ὅλον θέλει περιέχειν τὸ ἐν αὐτῷ. τὸ ὅλον οὖν μόνον καθ' αὑτὸ ἐν τόπῳ. διὰ τὸ ὅλον δὲ, καὶ τὰ μέρη λέγεται ἐν τόπῳ εἶναι. τοῖς δὲ διάστημα λέγουσιν εἶναι τὸν τόπον, ἀνάγκη πάσας καὶ τὰ μέρη καθ' αὑτὰ ἐν τόπῳ εἶναι λέγειν. ὥσπερ γὰρ αἱ τρεῖς διαστάσεις τοῦ πηχυαίου εἰ τύχοι σώματος, διὰ τῶν τριῶν διαστάσεων τοῦ πηχυαίου τόπου διῆλθον, οὕτω καὶ τὰ μόρια διὰ τῶν μορίων. εἰ δὲ μὴ ἐχώρησε τὰ μόρια διὰ τῶν μορίων, οὐδὲ τὸ ὅλον διὰ τοῦ ὅλου. καὶ οὐδέν μοι διοίσει, εἴτε τὸ τοπικὸν διάστημα διὰ τοῦ σώματος χωρῆσαι λέγοι τις, εἴτε τὸ σῶμα διὰ τοῦ τόπου, ταυτὸν γάρ ἐστι τὸ ἕτερον εἰπεῖν διὰ τοῦ ἑτέρου χωρῆσαι, καὶ τὸ ἕτερον διὰ τοῦ λοιποῦ. ὥστε εἰ τῶν μορίων ἕκαστον, καθ' αὑτὸ ἐν τόπῳ ἐστὶν, ἐπ' ἄπειρον δὲ διαιρετὸν τὸ μέγεθος, ἐπ' ἄπειρον ἄρα καὶ οἱ τόποι τοῦ αὐτοῦ. τοῦτο μὲν οὖν, ἐν τούτοις. τὸ δὲ ἐφεξῆς αὐτοῦ χωρίον καὶ ὁ Θεμίστιος ὡσαύτως ἐξηγεῖται. ὅτι εἰ τὸ διάστημα ὁ τόπος, μεταφερομένου τοῦ ἀμφορέως, καὶ γινομένου ἔν τινι τόπῳ, ἐν ἴσῳ ἑαυτῷ δῆλον ὅτι τόπῳ ἔσται. ὥστε εἰ ἔσται πηχυαῖος ὁ ἀμφορεὺς κατὰ τὰς τρεῖς διαστάσεις, καὶ ὁ τόπος ὁ δεξάμενος αὐτὸν, τοσοῦτος ἔσται. ὥστε καὶ ὁ τόπος ὁ ἐντὸς τῶν περάτων τοῦ ἀμφορέως, ὃν κατείληφε τὸ ὕδωρ, καταλήψεται μέρος τι τοῦ τόπου, οὗ κατείληφεν ὁ ὅλος ἀμφορεὺς. ὥστε ὁ τόπος ἐν τόπῳ ἔσται. καὶ οὐ μόνον δύο τόπους ἐν τῷ αὐτῷ γενέσθαι δυνατὸν, ἀλλὰ καὶ πλείονας, ὡς ἐδείξαμεν. εἰ μὲν γὰρ τὸ διάστημα τὸ τοπικὸν ὃ κατείληφε τὸ ὕδωρ, λέγω δὴ τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ ἀγγείου, ἔστι καὶ μετὰ τὸ χωρῆσαι δι' αὐτοῦ τὸ ὕδωρ. εἰ γὰρ μετὰ τὸ χωρῆσαι δι' αὐτοῦ τὸ ὕδωρ οὐκέτι ἐστὶν, οὐδὲ ἐν τόπῳ κἂν εἴη τὸ ἐν τῷ κεράμῳ ὕδωρ. εἴγε τόπος μὲν τὸ διάστημα, τοῦτο δὲ οὐκ ἔστιν, ἐν τῷ κεράμῳ τοῦ ὕδατος ἐνόντος. συμβήσεται δὲ οὕτω, μηδὲ εἶναι ὅλως αὐτό ποτε. εἰ γὰρ διὰ τὸ ἐμπεπλῆσθαι τὸ αὐτὸ ὕδωρ, λέγοιτις μηκέτι εἶναι αὐτὸ, ἐπεὶ καὶ πρὶν τὸ ὕδωρ εἶναι ἄλλο τι ἦν ἐν τῷ κεράμῳ σῶμα, ἤτοι ἀὴρ ἢ ἕτερόν τι σῶμα, ἀδύνατον γὰρ κενὸν εἶναι, ὡς δειχθήσεται ἐφεξῆς, οὐδὲ ἄλλοτε ἦν δηλονότι. ἀνάγκη ἄρα πᾶσα ἀεὶ εἶναι ἐν τῷ ἀμφορεῖ τὸ τοπικὸν διάστημα, τὸ μεταξὺ τῶν ἐντὸς περάτων. εἰ δὲ ἔστι,

καὶ ἴσως ἐστὶ τῷ πέρατι αὐτοῦ, εἶδος εἶναι νομίζεται. ἡ γὰρ ἑκάστου περιγραφὴ καὶ τὸ πέρας, εἶδος ἑκάστου ἐστίν. εἶδος δὲ λέγω, τὸ κατὰ τὸ σχῆμα καὶ τὴν μορφήν. ᾗ δὲ μένων εἷς καὶ ὁ αὐτός, ἄλλοτε ἄλλα σώματα δέχεται, ἡ ὕλη δοκεῖ ἂν εἶναι. ὕλης γὰρ ἴδιον, τὸ ἄλλοτε ἄλλα δέχεσθαι εἴδη, καὶ οὐσίας. ᾗ δὲ πάλιν χωριστὸς ὢν ὁ τόπος καὶ ἕτερος, μένων εἷς καὶ ὁ αὐτός, ἄλλοτε ἄλλα δέχεται σώματα, δοκεῖ εἶναι διάστημά τι ἕτερον τῶν ἐν αὐτῷ γινομένων σωμάτων. οὐδαμόθεν γὰρ ἄλλοθεν ἤλθομεν εἰς ἔννοιαν τοῦ εἶναί τι τὸν τόπον, ἢ μὴ ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων. ὁ τοίνυν εἷς καὶ ὁ αὐτὸς ὤν, τὰ ἀντιμεθιστάμενα δέχεται σώματα, ἐπεὶ δὲ τὰ μεταπίπτοντα εἰς αὐτὸν σώματα τριχῇ διαστατά, ἀνάγκη, καὶ τὴν δεχομένην αὐτὰ χώραν τοιαύτην εἶναι. ὥστε καὶ ὁ τόπος τριχῇ ἂν εἴη διαστατός. πάλιν ᾗ τὸ πέρας τοῦ περιέχοντος, ἐφάπτεται τοῦ περιεχομένου, καὶ οὐδέν ἐστι μεταξὺ διάστημα, πλὴν τὸ σῶμα τὸ περιεχόμενον, καὶ ἐν τῇ ἀντιμεταστάσει τῶν σωμάτων, εὐθὺς ἕτερον ἀντεμπίπτει τῶν σωμάτων τῷ ἐξιόντι, ὡς μηδέποτε μεταξὺ τῶν περάτων κενὸν εἶναι, σώματος πέρας ἔδοξεν εἶναι ὁ τόπος. ὅτι δὲ ἀδύνατον παρὰ ἕν τι τούτων ἄλλο τι εἶναι τὸν τόπον, ἐκ διαιρέσεως ἔστι κατασκευάσαι οὕτω. τὸ κατὰ τόπον μεταβάλλον, ἢ κατά τι τῶν ἐν αὐτῷ, ἢ κατά τι τῶν περὶ αὐτὸ μεταβάλλει. ὃ μὲν οὖν κατά τι τῶν ἐν αὐτῷ μεταβάλλει, ἢ κατὰ τὴν ὕλην, πάντως μεταβάλλει, ἢ κατὰ τὸ εἶδος. ὃ δὲ κατά τι τῶν περὶ αὐτό, ἢ κατὰ τὸ διάστημα τὸ μεταξὺ τῶν περάτων τοῦ περιέχοντος, ἢ κατὰ τὰ αὐτοῦ πέρατα. τεσσάρων οὖν ὄντων, τοῦ εἴδους, τῆς ὕλης, τοῦ μεταξὺ τῶν περάτων τοῦ περιέχοντος διαστήματος, καὶ τοῦ πέρατος αὐτοῦ τοῦ περιέχοντος, ἃ ὁ τόπος εἶναι νομίζεται, ἐὰν δειχθῇ μήτε εἶδος ὤν, μήτε ὕλη, μήτε διάστημα, ἀνάγκη αὐτόν, τὸ λειπόμενον εἶναι. λέγω δὴ τὸ πέρας τοῦ περιέχοντος. ὅτι μὲν οὖν οὔτε εἶδος, οὔτε ὕλη ἐστί, καὶ ἤδη μὲν διὰ πολλῶν ἔδειξε, καὶ νῦν δὲ ὑπομιμνήσκει. προστίθησι δὲ καὶ τοῦτο, ὅτι ὃ καὶ εἶδος δοκεῖ ὁ τόπος διὰ τὸ ἐν ταὐτῷ εἶναι τῷ πέρατι τοῦ περιεχομένου, καὶ μήτε μείζονα εἶναι αὐτοῦ, μήτε ἐλάττονα, ἀλλὰ διακρίνεται ἀπ' αὐτοῦ, ᾧ τὸ μὲν εἶδος, τοῦ περιεχομένου εἶναι πέρας. τὸν δὲ τόπον, τοῦ περιέχοντος. ἃ γὰρ καὶ τὸ εἶδος καὶ ὁ τόπος περιέχει, ἐν ταὐτῷ ὄντα καὶ ἴσα, ἀλλ' ὁ μὲν τόπος, τοῦ ἀέρος, ὃ οὗτος περιέχει, πέρας ἐστί. τὸ δὲ εἶδος, τοῦ περιεχομένου σώματος. ὥστε οὐκ ἔστιν ὁ τόπος τὸ εἶδος. ἀλλ' οὐδὲ ὕλη. ὃ γὰρ καὶ μένων εἷς καὶ ὁ αὐτός, διάφορα δέχεται σώματα, καὶ ταύτῃ δοκεῖ εἶναι ὕλη, ἀλλ' οὖν πάλιν ταύτῃ διακρίνεται, ὅτι ἐπὶ μὲν τῆς ὕλης, αὐτὴν φαμὲν γεγενῆσθαι τόδε τι. ὃ γὰρ ἦν πρὸ τούτου ἀήρ, τοῦτο φαμὲν γεγενῆσθαι ὕδωρ. ἐπὶ δὲ τοῦ τόπου οὐχ οὕτω. φαμὲν γὰρ τὸν τόπον οὐ πρὸ τούτου μὲν ἀέρα εἶναι, νῦν δὲ ὕδωρ, ἤγουν τὸ τοῦ ἀγγείου πέρας, ἢ διάστημα. ἀλλ' ὅτι ὅπου ἦν πρὸ τούτου ἀήρ, νῦν γέγονεν ὕδωρ. διά τε οὖν τούτων, καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων πολλῶν ὄντων ἀναγκαίων, δῆλον δήπου, ὅτι οὔτε ὕλη, οὔτε εἶδος ἂν εἴη ὁ τόπος. ὅτι δὲ οὐδὲ διάστημά τι ἐστὶ μεταξὺ τῶν περάτων, δείκνυσιν οὕτως. ἀσαφὴς δὲ πάνυ ὁ τῶν λέξεων νοῦς. καὶ εἰ μὴ αὐτὸς ἐν τοῖς τοῦ κενοῦ λόγοις ἡρμήνευσεν ἑαυτόν, ἔμενεν ἂν ἀνερμήνευτος. ἄλλοι δὲ ἄλλως τῇ τοῦ ῥητοῦ ἐπιβάλλουσιν ἐννοίᾳ. εἰ ἦν φησιν ὁ τόπος μεταξὺ τῶν περάτων διάστημα, ἐγγινομένου ἐν αὐτῷ δηλονότι τοῦ σώματος, ἐχώρησεν ἂν τὸ τοπικὸν διάστημα διὰ τοῦ διαστήματος τοῦ σώματος. ἐδέξατο γὰρ ἂν δηλονότι ὁ τόπος, κατὰ πᾶσαν ἑαυτοῦ διάστασιν τὸ σῶμα. ὥστε δι' ἀλλήλων ἐχώρησαν αἱ διαστάσεις, ἥ τε τοῦ σώματος, καὶ τοῦ τόπου. ὥσπερ οὖν τὸ ὅλον διάστημα τοῦ τόπου, δι' ὅλου τοῦ διαστήματος τοῦ σώματος ἐχώρησεν, οὕτω δηλονότι καὶ τὸ μόριον τοῦ τόπου, διὰ τοῦ μορίου τοῦ σώματος ἐχώρησεν. εἰ γὰρ μὴ ἐχώρησε τὸ μόριον διὰ τοῦ μορίου, οὐδὲ τὸ ὅλον διὰ τοῦ ὅλου ἐχώρησεν. ἐπεὶ δὴ τὸ σῶμα καὶ πᾶν μέγεθος, ἐπ' ἄπειρον διαιρετόν, καὶ ὁ τόπος ἐπ' ἄπειρον διαιρεθήσεται, καὶ τὸ σῶμα. ὥστε ἔσται τὸ ἄπειρον ἐνεργείᾳ. οὐ μόνον δέ, ἀλλὰ καὶ διπλασιασθήσεται τὸ ἄπειρον. ἐπ' ἄπειρον γὰρ διαιρεθήσεται, καὶ ὁ τόπος, καὶ τὸ σῶμα. πρὸς σαφήνειαν δὲ τῶν εἰρημένων, ἐκθώμεθα καὶ τὴν λέξιν. ἔχει δὲ οὕτως. Εἰ δ' ἦν τι διάστημα, τὸ πεφυκὸς καὶ μένον ἐν τῷ αὐτῷ, ἄπειροι ἂν ἦσαν. καὶ τὰ ἑξῆς. Τουτέστιν, ὅταν γὰρ τοῦ ἀέρος παραχωρήσαντος τῷ ὕδατι, γένηται τὸ ὕδωρ ἐν τῷ τοῦ ἀέρος τόπῳ, οἷον ἐν τῷ ἀγγείῳ, ὅπερ τὸ ὅλον πέπονθεν ὕδωρ ἐν τῷ ἀγγείῳ, πέπονθε δὲ τὸ χωρῆσαι δι' ὅλου τοῦ τοπικοῦ διαστήματος τοῦ μεταξὺ τοῦ ἀγγείου, τὸ αὐτὸ πείσεται καὶ τὰ μόρια τοῦ ὕδατος πάντα, ἐν παντὶ τόπῳ. αἴτιον τοῦ καὶ αὐτὰ χωρῆσαι διὰ τῶν μορίων τοῦ τόπου. ὥστε ἔσονται καὶ αὐτὰ ἕκαστον ἐν ἰδίᾳ περιγραφῇ, καὶ σχήσει ἕκαστον αὐτῶν ἴδιον τόπον. τὸ δὲ ἐφεξῆς, ἕτερόν ἐστιν ἐπιχείρημα. ἔστι δὲ τοιοῦτον. ὁ τόπος ἐστὶ τοῦ ὕδατος οὐχ ἡ κοίλη ἐπιφάνεια τοῦ κεράμου, ἀλλ' ἕτερόν τι διάστημα, παρὰ τὸ διάστημα τὸ τοῦ ὕδατος τὸ περιεχόμενον ὑπὸ τῆς κοίλης τοῦ κεράμου ἐπιφανείας ὅπερ καθ' ὅλον ἑαυτὸ δέχεται τὸ εἰσιὸν ὕδωρ, ὅταν μετενεχθῇ ὁ κέραμος, δῆλον ὅτι καταλήψεται ἕτερόν τινα τόπον ὁ ὅλος κέραμος, καὶ αὐτὸν τριχῇ ὄντα διαστατόν. ὥστε χωρήσει τὸ τοπικὸν διάστημα, δι' ὅλου τοῦ κεράμου. ὥστε καὶ διὰ τοῦ ἐντὸς ὕδατος, καὶ διὰ τοῦ διαστήματος τοῦ δεξαμένου τὸ ὕδωρ. καταλήψεται γὰρ πάντως μέρος τι τοῦ τοπικοῦ διαστήματος, ἐν ᾧ γέγονεν ὁ ἀμφορεύς, τὸ ὕδωρ τὸ ἐν τῷ ἀμφορεῖ. κατελήφθη δὲ καὶ ἕτερον διάστημα, τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ ἀμφορέως. ὥστε τρία διαστήματα ἐν τῷ αὐτῷ ἔσται. τὸ ἐν τῷ κεράμῳ τοπικόν. τὸ ὕδωρ τὸ ἐγγινόμενον ἐν αὐτῷ. τὸ μέρος τοῦ τόπου, τοῦ ὅλου ἀμφορέως, εἰς ὃν μετέστη. πρῶτον μὲν οὖν συμβήσεται

γόμενα κατὰ τόπον κινεῖσθαι, εἰς τὴν τοῦ τόπου συμβάλλεται εὕρεσιν. ἵνα δείξῃ, ποῖα μὲν συμβάλλεται, ποῖα δὲ οὔ. φησὶν οὖν, ὅτι τῶν ἐν τόπῳ κινουμένων, τὰ μὲν, καθ' αὑτὸ κινεῖται· τὰ δὲ, κατὰ συμβεβηκός. οὐδὲν οὖν τῶν κατὰ συμβεβηκὸς κινουμένων συντελεῖ εἰς τὴν τοῦ τόπου εὕρεσιν. ἀλλὰ μόνως τὰ καθ' αὑτὸ κινούμενα. καίτοι τινὰ τῶν κατὰ συμβεβηκὸς κινουμένων, οἷά τέ ἐστι καὶ καθ' αὑτὰ κινεῖσθαι, ὡς ὁ πλωτὴρ, καὶ ὁ ἐν τῷ πλοίῳ ἧλος, καὶ τὰ μόρια τοῦ ὅλου. ἀλλ' ὅμως, ἔστ' ἂν μετὰ τοῦ ὅλου κινῶνται, οὐδὲν ἡμῖν συντελεῖ. κατὰ συμβεβηκὸς γὰρ κινεῖται. ὥσπερ οὖν οὐ κινεῖται κυρίως, οὕτως οὐδὲ τόπου προσδεῖται. οὐ γάρ ἐστι καθ' αὑτὰ ἐν τόπῳ. διὰ τοῦτο οὖν, οὐδὲ εἰς εὕρεσιν ἡμᾶς ἄγει τοῦ τόπου. ἐπεὶ δὲ λέγομεν εἶναι ὡς ἐν τόπῳ ἐν τῷ οὐρανῷ, διότι ἐν ᾧ ἀέρι, οὗτος δὲ ἐν τῷ οὐρανῷ, βούλεται μὲν ἐντεῦθεν διακρῖναι τὰ ὡς ἐν τόπῳ ὄντα, τῶν ἐν ὅλῳ ὄντων. πρότερον δὲ, τίς ἐστιν ὁ κυρίως τόπος πάλιν δείκνυσιν. ἐπειδὴ γὰρ ὅλως ἐμνήσθη τῶν ὡς ἐν ὅλῳ ὑπαρχόντων, ἅπερ φησὶ δύνασθαι μὲν κινεῖσθαι καθ' αὑτὰ, ἔστ' ἂν δὲ ὅμως ἐν τῷ ὅλῳ ὑπάρχωσι, κατὰ συμβεβηκὸς μόνως κινεῖσθαι, βούλεται διακρῖναι αὐτὰ τῶν ὡς ἐν τόπῳ. μᾶλλον γὰρ οὕτω δειχθήσεται μηδὲν συντελοῦντα ἡμῖν εἰς τὴν τοῦ τόπου εὕρεσιν.

» ΕΙ γὰρ πᾶς ὁ ἀὴρ τόπος, οὐκ ἂν ἴσος εἴη ἑκάστου ὁ τόπος καὶ ἕκαστον. δοκεῖ δέ γε ἴσος εἶναι, τοιοῦ-
» τος δ' ὁ πρῶτος ἐν ᾧ ἐστίν.

Ὅτι οὐκ ἔστιν ὁ πᾶς ἀὴρ τόπος, ἀλλὰ τὸ πέρας αὐτοῦ τὸ προσεχῶς περιέχον ἕκαστον, δείκνυσιν ἐκ τοῦ προειλημμένου περὶ τοῦ τόπου ἀξιώματος, ὅτι ἴσος ἐστὶ τῷ ἐν τόπῳ, καὶ οὔτε μείζων, οὔτε ἐλάττων. εἰ οὖν ὅλος ὁ ἀὴρ εἴη τόπος, οὐκ ἔσται ἴσος ὁ τόπος ἑκάστου ἐκείνῳ. νῦν δέ ἐστιν. οὐκ ἄρα ὁ πᾶς ἀὴρ τόπος. ἀλλὰ καὶ εἰ λέγεται τόπος ἡμῶν, ἀπὸ μέρους λέγεται, διὰ τὸ περιέχειν αὐτοῦ μόριον ἡμᾶς. διό φησι, δοκεῖ δέ γε ὁ πρῶτος τόπος, ἐν ᾧ ἕκαστόν ἐστιν, ἴσος εἶναι ἐκείνῳ, ὅπερ ὡς ἐν τόπῳ αὐτῷ ἐστι. τὸ δὲ δοκεῖ, ἀντὶ τοῦ φαίνεται καὶ ἔστι.

» ΟΤΑΝ μὲν οὖν μὴ διῃρημένον ᾖ τὸ περιέχον ἀλλὰ συνεχές, οὐχ ὡς ἐν τόπῳ λέγεται ἐν ἐκείνῳ, ἀλλ' ὡς
» μέρος ἐν ὅλῳ. ὅταν δὲ διῃρημένον ᾖ καὶ ἁπτόμενον, ἐν πρώτῳ ἐστί τινι τῷ ἐσχάτῳ τοῦ περιέχοντος.

Εἰπὼν, τίς ἐστιν ὁ πρῶτος τόπος, διακρίνει λοιπὸν τὰ ὡς ἐν τόπῳ, τῶν ὡς ἐν ὅλῳ. ἐπειδὴ καὶ τὰ μόρια περιέχεται ὑπὸ τοῦ ὅλου, καὶ οὔτε μεῖζόν ἐστιν, οὔτε ἔλαττον τῶν μορίων τὸ ὅλον. τίς οὖν ἡ διάκρισις; ὅτι τὰ μὲν μόρια τοῦ ὅλου φησὶν, οὐκ ἔστι διῃρημένα, ἀλλὰ συνεχῆ ἐστι πρὸς τὸ ὅλον. τὰ δὲ ἐν τῷ πρώτῳ τόπῳ ὄντα, οὐκ ἔστι συνεχῆ πρὸς αὐτὸ, ἀλλ' ἅπτεται μόνον διῃρημένα.

» Ὃ οὔτ' ἔστι μέρος τοῦ ἐν αὐτῷ ὄντος, οὔτε μεῖζον τοῦ διαστήματος, ἀλλ' ἴσον. ἐν γὰρ τῷ αὐτῷ τὰ ἔσχα-
» τα τῶν ἁπτομένων.

Καὶ τὸ πέρας φησὶ τοῦ περιέχοντος, οὔτε μέρος ἐστὶ τοῦ ἐν αὐτῷ, ἀλλ' ἔξωθεν αὐτοῦ καὶ ἀλλότριον, οὔτε μεῖζον αὐτοῦ ἐστιν οὔτε ἔλαττον. καὶ τοῦτο κατασκευάζων, ἐπήγαγε τὸ, ἐν γὰρ τῷ αὐτῷ τὰ πέρατα τῶν ἁπτομένων. τουτέστιν ἅμα καὶ κατὰ ταὐτὸ ἅπτονται τοῖς πέρασι τὰ ἁπτόμενα. πέρατα δὲ τῶν σωμάτων, ἐπιφάνειαι. ἐπεὶ οὖν ἐφαρμόζουσιν ἀλλήλαις αἱ ἐπιφάνειαι, ἐφαρμόσει δηλονότι ἡ τοπικὴ ἐπιφάνεια, τῇ τοῦ ἐν τόπῳ. ἐφαρμοζουσῶν δὲ, μία. ὥστε ἐν ταὐτῷ ἀμφότεραι. εἰ δὲ ἐν ταὐτῷ, καὶ ἴσαι. οὔτε μεῖζον ἄρα, οὔτε ἔλαττον τὸ περιέχον τοῦ περιεχομένου, ἀλλ' ἴσον.

» ΚΑΙ συνεχὲς μὲν ὂν, οὐκ ἐν ἐκείνῳ κινεῖται. ἀλλὰ μετ' ἐκείνου. διῃρημένον δὲ, ἐν ἐκείνῳ. καὶ ἐάν τε
» κινῆται τὸ περιέχον, ἐάν τε μὴ, οὐδὲν ἧττον.

Ἑτέρα διάκρισις τοῦ ἐν τόπῳ καὶ τοῦ ἐν ὅλῳ. τὰ μὲν μόρια φησὶ, συνεχῆ ὄντα τῷ ὅλῳ, οὐ κινεῖται ἐν τῷ ὅλῳ, ἀλλὰ μετὰ τοῦ ὅλου. κινουμένου γὰρ τοῦ ὅλου, συγκινεῖται καὶ τὸ μέρος. ἐν μέντοι τῷ ὅλῳ ὡς ἐν τόπῳ οὐ κινεῖται. τὰ δὲ ἐν τόπῳ, διῃρημένα ὄντα τοῦ τόπου, οὐ μετὰ τοῦ τόπου κινεῖται, ἀλλ' ἐν τῷ τόπῳ. ὥσπερ ἡ σφαῖρα, καὶ τὸ ἐν τῷ κάδῳ ὕδωρ, τοῦ τόπου ἀκινήτου ὄντος, περὶ αὐτὸν κινεῖται. κἂν ὁ τόπος δέ φησι κινῆται, οἷον τὸ ἀγγεῖον, οὐ σὺν αὐτῷ, ἀλλ' ἐν αὐτῷ κινεῖται τὸ ὕδωρ. ὅλως γὰρ οὐδὲ ἔστι πρώτως τόπος τὸ ἀγγεῖον, ἀλλ' ἡ κοίλη αὐτοῦ ἐπιφάνεια, ἥτις καὶ ἀκίνητός ἐστιν. οὔτε οὖν ἡ χεὶρ ἐν τῷ ὅλῳ λέγοιτο ἂν κινεῖσθαι, ἀλλὰ μετὰ τοῦ ὅλου. οὔτε τὰ ἐν τόπῳ μετὰ τοῦ τόπου κινεῖσθαι, ἀλλ' ἐν τόπῳ. οὐ ταὐτὸν ἄρα τὸ ἐν τόπῳ καὶ τὸ ἐν ὅλῳ.

» ΕΤΙ ὅταν μὴ διῃρημένον ᾖ, ὡς μέρος ἐν ὅλῳ λέγεται. οἷον ἐν τῷ ὀφθαλμῷ ἡ ὄψις. ἢ ἐν τῷ σώματι
» ἡ χείρ. ὅταν δὲ διῃρημένον, οἷον ἐν τῷ κάδῳ τὸ ὕδωρ. ἢ ἐν τῷ κεραμίῳ, ὁ οἶνος. ἡ μὲν γὰρ χεὶρ, μετὰ
» τοῦ σώματος κινεῖται. τὸ δὲ ὕδωρ, ἐν τῷ κάδῳ.

Δοκεῖ ταὐτὰ λέγειν. ταὐτὰ γὰρ πάλιν λέγει. ἀλλ' ἐπειδὴ ἀνωτέρω δίχα παραδειγμάτων τοὺς λόγους ἔθηκε, διὰ τοῦτο νῦν ἀνέλαβεν, ἵνα καὶ τὰ παραδείγματα προσθείη.

» ΗΔΗ τοίνυν φανερὸν, ἐκ τούτων, τί ἐστιν ὁ τόπος. σχεδὸν γὰρ τέτταρά ἐστιν, ὧν ἀνάγκη τὸν τόπον
» ἕν τι εἶναι. ἢ γὰρ μορφὴ, ἢ ὕλη.

Βούλεται λοιπὸν εἰπεῖν ἐντεῦθεν, τί ἐστιν ὁ τόπος. τεσσάρων δὲ ὄντων φησὶν, ὧν ἀνάγκη ἕν τι εἶναι τὸν τόπον, εἰ δειχθείη, ὅτι τὰ τρία οὐκ ἔστιν, ἐξ ἀνάγκης τὸ καταλειπόμενον, τοῦτό ἐστιν ὁ τόπος. ἐκ γὰρ τῶν προσόντων τῷ τόπῳ, προαγόμεθα εἰς τὸ νομίζειν αὐτὸν ἢ ὕλην εἶναι, ἢ εἶδος, ἢ τὸ μεταξὺ τῶν περάτων τοῦ περιέχοντος διάστημα. οἷον τὸ διάστημα τὸ μεταξὺ τῆς κοίλης ἐπιφανείας τοῦ κεραμίου. ἢ αὐτὰ τὰ πέρατα τοῦ περιέχοντος, οἷον αὐτὴν τὴν κοίλην τοῦ κεραμίου ἐπιφάνειαν. ἡ μὲν γὰρ περιέχει ὁ τόπος, καὶ ὁρίζει τὸ ἐν τόπῳ ὄν,

καὶ

ὥσπερ οὐδὲ κινεῖται κυρίως, οὕτως οὐδὲ τόπου προσδεῖται, οὐδὲ εἰς τὴν γνῶσιν αὐτοῦ συντελεῖ. ταῦτα δ' εἰπὼν, διακρίνει ἀπ' ἀλλήλων τὰ ὡς ἐν ὅλῳ, καὶ τὰ ὡς ἐν τόπῳ, ἐπεὶ καὶ πολλὰ τῶν ὑπαρχόντων τῷ πρώτῳ τόπῳ, ὅς καὶ κυρίως ἐστὶ τόπος, λέγω δὴ τῷ προσεχῶς ἕκαστον περιέχοντι, ὑπάρχει καὶ τῷ ὅλῳ. καὶ γὰρ τὸ ὅλον περιέχει τὰ μέρη, καὶ οὔτε μεῖζον αὐτῶν, οὔτε ἔλαττόν ἐστιν. ἔτι ὥσπερ φέρεται ἐπὶ τοὺς ἑαυτῶν τόπους ἕκαστα, οὕτω δὲ καὶ ἐπὶ τὰς ἑαυτῶν ὁλότητας. πρότερον δὲ πάλιν, τίς ἐστιν ὁ κυρίως τόπος λέγει. ὅτι οὐκ ἐπειδὴ λεγόμεθα εἶναι ἐν τῷ κόσμῳ, ὁ κόσμος ἐστὶν ἡμῶν τόπος. ἀλλ' ὅτι ἐν τῷ ἀέρι ἐσμέν, καὶ ἐν τούτῳ δὲ λεγόμεθα εἶναι, διότι ἐν τῷδε τῷ μέρει αὐτοῦ τῷ προσεχῶς ἕκαστον περιέχοντι. οὗτος οὖν ὁ κυρίως τόπος. τούτου οὖν ὄντος τοῦ κυρίως τόπου, διαφέρει τὸ ὡς ἐν ὅλῳ τοῦ ὡς ἐν τόπῳ, ὅτι τὸ μὲν ὡς ἐν ὅλῳ, συνεχές ἐστι πρὸς τὸ ὅλον, ἐν ᾧ λέγεται εἶναι. τὸ δὲ ἐν τόπῳ, οὐ συνεχές ἐστι πρὸς τὸν τόπον, ἀλλὰ ἁπτόμενον. ἕτερον γὰρ τὸ τοπικὸν πέρας, καὶ ἕτερον τὸ τοῦ ἐν τόπῳ. καὶ ὅτι τὸ μὲν ἐν ὅλῳ οὐ κινεῖται ἐν τῷ ὅλῳ, μετὰ δὲ τοῦ ὅλου κινεῖται. τὸ δὲ ὡς ἐν τόπῳ, κἄν τε κινῆται ὁ τόπος, οἷόν ἐστι τὸ ἀγγεῖον, κἄν τε μή, αὐτὸ καθ' αὑτὸ ἐν τόπῳ κινεῖσθαι δύναται. πάντα γὰρ κύκλῳ κινούμενα, ἐν τῷ ἑαυτοῦ τόπῳ κινεῖται. καὶ τὰ ὑγρὰ τὰ ἐν τοῖς ἀγγείοις, οἷον τὸ ἐν τῇ λεκάνῃ, ἢ τῷ κεράμῳ ὕδωρ. ἔτι τὸν πρῶτον μήτε ἐλάττω μήτε μείζω. καὶ πᾶν ὃ περιέχει ὁ τόπος, οὔτε μείζων οὔτε ἐλάττων ἔσται. τὸ γὰρ περιέχον μεῖζον τοῦ περιεχομένου. φημὶ οὖν, ὅτι εἰ μὲν τὸ ὅλον σῶμα τοῦ ἀέρος λέγοις περιέχειν, καὶ τόπον εἶναι, πάντη μεῖζον ἂν εἴη τὸ περιέχον. εἰ δὲ μὴ τοῦτο εἴη τόπος, ὁ πᾶς ἀήρ, ἀλλὰ τὸ πέρας αὐτοῦ τὸ προσεχῶς περιέχον, καὶ κυριώτατα ὂν τόπος, οὔτε μεῖζον ἔσται τοῦτο, οὔτε ἔλαττον. ἐφαρμόζουσι γὰρ ἀλλήλαις αἱ ἐπιφάνειαι, ἥ τε τοπικὴ, καὶ ἡ τοῦ ἐν τόπῳ.

» ΚΑΙ φέρεσθαι φύσει καὶ μένειν ἐν τοῖς οἰκείοις τόποις ἕκαστον τῶν σωμάτων. τοῦτο δὲ ποιεῖν ἢ ἄνω, ἢ κάτω.

Οὐχ ὡς ἄλλο τι ὑπάρχον τῷ τόπῳ, τοῦτο ἐπήγαγεν. ἀλλ' ὡς ἀκόλουθον, τῷ πάντα ἔχειν τὸ ἄνω καὶ τὸ κάτω, ἢ καὶ κατασκευαστικόν. οὕτω γάρ ἐστιν ἐν τοῖς τόποις τὸ ἄνω καὶ τὸ κάτω, ὡς ἕκαστον φέρεσθαι φυσικῶς ἐπὶ τὸν ἑαυτοῦ τόπον. καὶ ἐν μὲν τῷ παρὰ φύσιν ὄντα τόπῳ, μὴ ἐθέλειν μένειν ἐν τούτῳ, ἀλλ' ὁρμῇ φυσικῇ ἐπὶ τὸν οἰκεῖον ἐπάγεσθαι. γενόμενα δὲ ἐν τῷ κατὰ φύσιν, μένειν ἐν τούτῳ, καὶ οὐκ ἂν μετακινηθῆναι τούτου, ἢ βίᾳ.

» ΥΠΟΚΕΙΜΕΝΩΝ δὲ τούτων τὰ λοιπὰ θεωρητέον. δεῖ δὲ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὅπως τὸ τί ἐστιν ἀποδοθήσεται, ὥστε τά τε ἀπορούμενα λύεσθαι, καὶ τὰ δοκοῦντα ὑπάρχειν τῷ τόπῳ ὑπάρχοντα ἔσται. καὶ ἔτι τὸ τῆς δυσκολίας αἴτιον καὶ τῶν περὶ αὐτὸν ἀπορημάτων, ἔσται φανερόν. οὕτω γὰρ ἂν κάλλιστα δεικνύοιτο ἕκαστον.

Τουτέστι τὰ τούτοις ἀκόλουθα. δεῖ δὲ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὅπως τὸ τί ἐστιν ἀποδοθήσεται, ὥστε τά τε ἀπορούμενα λύεσθαι καὶ τὰ ἑξῆς. κανόνα διὰ τούτων ἡμῖν ἐκτίθεται χρησιμώτατον, ὅπως ὀφείλομεν τοὺς περὶ τῶν πραγμάτων ἀποδιδόναι λόγους. δεῖ φησι τὸν ἀποδιδόμενον λόγον περὶ τοῦ τόπου, τοιοῦτον εἶναι, ὥστε καὶ πᾶσαν ἀπορίαν πρὸς τὸ πρᾶγμα φερομένην δι' ἑαυτοῦ λύειν, καὶ τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ πράγματι σώζειν ἐν ἑαυτῷ. καὶ ἔτι δεικνύναι δι' αὐτοῦ, τί τὸ αἴτιον γέγονε τῆς περὶ τὴν εὕρεσιν τοῦ πράγματος δυσκολίας, καὶ τί τὸ κινῆσαν τὰς περὶ αὐτοῦ ἀπορίας. τὴν δὲ λέξιν, ἔχουσάν τι δυσχερὲς περὶ τὴν σύνταξιν, οὕτως ἀναγνωστέον, δεῖ δὲ πειρᾶσθαι τὴν σκέψιν οὕτω ποιεῖσθαι, ὅπως τὸ τί ἐστιν οὕτως ἀποδοθήσεται, καὶ τὰ ἑξῆς. κατὰ κοινοῦ οὖν τὸ οὕτως.

» ΠΡΩΤΟΝ μὲν οὖν δεῖ κατανοῆσαι, ὅτι οὐκ ἂν ἐζητεῖτο ὁ τόπος, εἰ μὴ κίνησίς τις ἦν ἡ κατὰ τόπον. διὰ γὰρ τοῦτο καὶ τὸν οὐρανὸν μάλιστα οἰόμεθα ἐν τόπῳ ὅτι ἀεὶ ἐν κινήσει.

Πόθεν εἰς ἔννοιαν οὕτως ἤλθομεν τοῦ τόπου, διὰ τούτων ζητεῖ. καὶ φησὶν, ὅτι ἐκ τῆς κατὰ τόπον κινήσεως.

» ΤΑΥΤΗΣ δὲ τὸ μὲν φορά, τὸ δ' αὔξησις καὶ φθίσις. καὶ γὰρ ἐν τῇ αὐξήσει καὶ φθίσει μεταβάλλει. καὶ ὃ πρότερον ἦν ἐνταῦθα, πάλιν μεθέστηκεν εἰς ἔλαττον ἢ μεῖζον.

Ταύτης, οὐ τῆς κινήσεως ἁπλῶς, ἀλλὰ τῆς κατὰ τόπον κινήσεως. ὅτι δὲ καὶ ἡ αὔξησις καὶ ἡ φθίσις, κατὰ τόπον τινές κινήσεις εἰσί, κατασκευάζει, ἐκ τοῦ μὴ τὸν αὐτὸν τὰ αὐξανόμενα κατέχειν τόπον. ἀλλ' ὁτὲ μὲν μείζονα, ὁτὲ δὲ ἐλάττονα. ἐπεὶ οὖν ἡ αὔξεταί τι ἢ φθίνει, ταύτῃ πάντως ἀμείβει τὸν τόπον ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον, ταύτῃ δήπου κατὰ τόπον κινήσεις εἰσίν.

» ΕΣΤΙ δὲ κινούμενον, τὸ μὲν καθ' αὑτὸ ἐνεργείᾳ. τὸ δὲ κατὰ συμβεβηκός. τῶν δὲ κατὰ συμβεβηκὸς τὸ μὲν ἐνδεχόμενον κινεῖσθαι καθ' αὑτό. οἷον, τὰ μόρια τοῦ σώματος, καὶ ὁ ἐν τῷ πλοίῳ ἧλος. τὰ δ' οὐκ ἐνδεχόμενα, ἀλλ' ἀεὶ κατὰ συμβεβηκός. οἷον, ἡ λευκότης καὶ ἡ ἐπιστήμη. ταῦτα γὰρ οὕτω μεταβέβληκε τὸν τόπον, ὅτι ἐν ᾧ ὑπάρχουσι μεταβάλλει. ἐπεὶ δὲ λέγομεν εἶναι ὡς ἐν τόπῳ τῷ οὐρανῷ, διότι ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ οὐρανῷ, καὶ ἐν τῷ ἀέρι δὲ, οὐκ ἐν παντί, ἀλλὰ διὰ τὸ ἔσχατον περιέχειν, ἐν τῷ ἀέρι φαμὲν εἶναι.

Ἐπειδὴ εἶπεν, ὅτι ἐκ τῶν κατὰ τόπον κινουμένων, εἰς τὴν τοῦ τόπου ἤλθομεν ἔννοιαν, εἰπεῖν τίς ποτέ ἐστιν ἡ κατὰ τόπον κίνησις, βούλεται καὶ τῶν κατὰ τόπον κινουμένων διαίρεσιν ποιήσασθαι, ἐπεὶ μὴ πάντα τὰ ὁπωσοῦν λε-

εἰπὼν τὴν αἰτίαν, ἀκόλουθά τινα ταύτῃ θεωρήματα προσθήσει. εἶτα λοιπὸν ἀποδώσει τοιοῦτον τὸν περὶ τοῦ τόπου λόγον, ὃς καὶ τὰς φερομένας ἀπορίας πρὸς τὸν τόπον ὡς αὐτός φησιν ἐπιλύεται. καὶ τὰ κατὰ τὴν κοινὴν ἔννοιαν καθ' αὑτὸ ὑπάρχοντα τῷ τόπῳ δείξει ὑπάρχοντα, καὶ τὸ αἴτιον τῆς δυσκολίας τῆς περὶ τοῦ τόπου θεωρίας σαφὲς καταστήσει. πρότερον οὖν ὡς εἶπον, τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ ἐκτίθεται, τέσσαρα ὄντα τὸν ἀριθμόν. πρῶτον μὲν, τὸ περιέχειν τὸν τόπον τὸ ἐν τόπῳ ὄν. τοῦτο γὰρ πάντες κατὰ κοινὴν ἔννοιαν ἴσμεν, ὅτι περιέχει ὁ τόπος τὸ ἐν αὐτῷ ὄν. ὡς ὁ κέραμος τὸν οἶνον. καὶ γὰρ οὗτος τόπος τίς ἐστι. περιέχοντα δὲ τὸν τόπον, μηδὲν εἶναι τοῦ περιεχομένου πράγματος. τοῦτο δὲ ὁ μὲν θεμίστιος, β εἶναί φησι τῶν ὑπαρχόντων τῷ τόπῳ. ὥστε μεθ' ὧν ἐπιφέρει ἄλλων τριῶν, τὰ ὅλα πέντε εἶναι. ἐμοὶ δὲ δοκεῖ, ὡς ἓν ἐκτίθεσθαι τὸ ὅλον τοῦτο τὸ περιέχειν τὸν τόπον καὶ μηδὲν εἶναι τοῦ πράγματος. διότι καὶ ἡ ἐπιφάνεια δοκεῖ περιέχειν τὸ σῶμα. καὶ τὸ ὅλον δὲ περιέχειν φαμὲν τὰ μέρη. οὐχ οὕτω δὲ ὁ τόπος λέγεται περιέχειν τὸ ἐν τῷ τόπῳ, ὡς τὸ ὅλον περιέχει τὸ μέρος. ἔστι γάρ τι τοῦ μέρους τὸ ὅλον. ὁ δὲ τόπος περιέχει, μηδὲν ὢν τοῦ πράγματος τοῦ περιεχομένου. μὴ πέρας. μὴ ὁλότης. μὴ πάθος. μὴ ἄλλο μηδέν. δηλοῖ δὲ καὶ ὁ ἀριστοτέλης, ὡς ἓν εἶναι τοῦτο ὅλον βούλεται, τῷ τὸ ἐφεξῆς ὡς ἀπὸ ἄλλης ἀρχῆς ἐκτίθεσθαι εἰπών. ἔτι τὸν τόπον, μήτ' ἐλάττω μήτε μείζω εἶναι οὗ τόπος ἐστί. τοῦτο οὖν δεύτερόν ἐστι τῶν ὑπαρχόντων τῷ τόπῳ τὸ μήτε μείζονα εἶναι τὸν τόπον τοῦ ἐν τόπῳ, μήτε ἐλάττονα. τόπον δὲ τὸν προσεχῆ καὶ ἑκάστου ἴδιον. εἴτε γὰρ ἐλάττων εἴη, οὐ περιέχει τὸ σῶμα, καὶ οὕτως οὐ πᾶν σῶμα, τῶν μερικῶν φημι τούτων, ἐν τόπῳ ἐστίν. εἴτε μείζων εἴη, δύναται δήπου καὶ ἄλλο δέξασθαι σῶμα, καὶ οὕτως οὐ πρώτως ἔσται τόπος. συμβήσεται δὲ καὶ κενὸν εἶναι, ὅπερ ἀδύνατον εἶναι μικρὸν ὕστερον δειχθήσεται. τρίτον, τὸ τὸν τόπον μὴ ἀπολείπεσθαι ἑκάστου καὶ χωριστὸν εἶναι. διττὴ δὲ φέρεται ἡ γραφή. ἢ ἀπολείπεσθαι ἑκάστου, ἢ μετὰ ἀρνήσεως, μὴ ἀπολείπεσθαι. εἰ μὲν οὖν ἀπολείπεσθαι εἴη ἡ γραφή, ὡς καὶ τὰ πλεῖστα τῶν ἀντιγράφων ἔχει, περὶ τοῦ καθ' ἕκαστα τόπου φησί, τοῦ ἑκάστου προσεχῶς περιέχοντος. ὃν φησὶν ἀπολείπεσθαι τοῦ ἐν τόπῳ, καὶ χωρίζεσθαι αὐτοῦ. ἔστι γὰρ τοῦ ἀπολείπεσθαι ἐξηγητικόν, τὸ χωρίζεσθαι. εἰ δὲ εἴη μὴ ἀπολείπεσθαι, λέγοι ἂν οὐ περὶ τοῦ καθ' ἕκαστα τόπου, ἀλλὰ περὶ τοῦ ἁπλῶς τόπου. ὁ γὰρ ἁπλῶς τόπος οὐκ ἀπολείπεται τῶν σωμάτων. πάντως γὰρ ἐν τόπῳ τινὶ τὸ σῶμα. εἰ γὰρ καὶ τοῦτον ἀπολείπει, ἀλλ' οὖν πάντως ἐν ἄλλῳ τινί ἐστι. καὶ τόπου ἁπλῶς οὐδέποτε ἀπολείπεται. τὸ δὲ χωριστὸν εἶναι κατὰ τὴν γραφὴν ταύτην, ἀντὶ τοῦ μηδὲν εἶναι τοῦ πράγματος. ἀλλ' ἐκτὸς εἶναι τῆς οὐσίας αὐτοῦ, καὶ μηδὲν εἶναι ἐξ αὐτοῦ συντελοῦν. τέταρτον τὸ, τὸν πάντα τόπον ἔχειν τὸ ἄνω καὶ τὸ κάτω. οὐχ ἁπλῶς ἕκαστον τόπον. ἕκαστος γὰρ τῶν καθ' ἕκαστα, ἢ ἄνω ἐστίν, ἢ κάτω. ἀλλ' ἐν τῷ παντὶ τόπῳ ἐστὶ τὸ ἄνω καὶ τὸ κάτω. προστιθέασι δὲ καὶ πέμπτον τινὲς ἐξηγηταὶ αὐτοῦ, τὸ ἀκίνητον εἶναι τὸν τόπον. ὅπερ καὶ αὐτὸς μικρὸν ὕστερον προστίθησι. τούτων οὖν φησιν οὕτω κατὰ κοινὴν ἔννοιαν ὑπαρχόντων τῷ τόπῳ, δεῖ τοιοῦτόν τινα λόγον ἡμᾶς ἀποδοῦναι περὶ τοῦ τόπου. ὃς τάς τε εἰς αὐτὸν φερομένας ἀπορίας ἐπιλύσεται. καὶ τὰ δοκοῦντα τῷ τόπῳ ὑπάρχειν, ὑπάρχοντα φυλάξει. καὶ τὸ αἴτιον τῆς δυσκολίας τῆς περὶ τὸν τόπον θεωρίας, ἐμφανὲς καταστήσει. ἐφεξῆς οὖν ζητεῖ, πόθεν ἦλθον οἱ ἄνθρωποι εἰς ἔννοιαν τοῦ τόπου. καὶ φησὶν, ὅτι οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τῆς κατὰ τόπον κινήσεως. εἰ μὲν γὰρ ἀκίνητα ἦν τὰ πράγματα τὴν μεταβατικὴν κίνησιν, οὐδέποτε ἂν εἰς ἔννοιαν ἤλθομεν, τοῦ ἕτερον μὲν εἶναι τὸν τόπον, ἕτερον δὲ, τὸ ἐν τόπῳ. μήποτε γὰρ ἕν τι καὶ συνεχὲς ἦν τὸ πᾶν. νῦν δὲ τῷ ὁρᾶν μεταβαίνοντα τὰ πράγματα, καὶ ἄλλοτε ἀλλαχοῦ γινόμενα, εἰς ἔννοιαν ἤλθομεν τοῦ ἕτερον εἶναι τὸ δεκτικόν, ὅπερ ἐστὶν ὁ τόπος. καὶ ἕτερον τὸ ἐν τούτῳ γινόμενον. διό φησι μάλιστα τὰ οὐράνια ἐν τόπῳ εἶναι ὑπονοοῦμεν, διότι καὶ μάλιστα ἐν τούτοις θεωρεῖται ἡ κατὰ τόπον κίνησις. ἐπεὶ δὲ ὅτι ἡ κατὰ τόπον κίνησις, εἰς ἔννοιαν ἡμᾶς ἤγαγε τοῦ τόπου, ἀπαριθμεῖται αὐτῆς τὰ εἴδη, ἵνα σαφέστερον δείξῃ ἐφ' ἑκάστου τῶν εἰδῶν, ὅτι ταῦτά ἐστι τῆς κατὰ τόπον μεταβολῆς αἴτια. τρία οὖν φησὶν ἐστὶ τῆς κατὰ τόπον κινήσεως τὰ εἴδη. φορά. αὔξησις. μείωσις. καὶ γὰρ τὰ αὐξόμενα ἢ μειούμενα, τόπον ἐκ τόπου μεταβάλλει. εἰ καὶ μὴ καθ' ὅλα, ἀλλ' οὖν κατὰ μόρια. καὶ καθ' ὅλα δὲ, εἰ καὶ μὴ ἄλλον ἐξ ἄλλου τόπον ἀμείβει, ἀλλ' οὖν ὅλα ὡς ὅλα, ποτὲ μὲν μείζονα, ὅταν αὔξηται, ποτὲ δὲ ἐλάττονα, ὅταν μειοῦται τόπον καταλαμβάνει. τῶν δὲ κινουμένων κατὰ τόπον φησὶ, τὰ μὲν, καθ' αὑτά τι κινεῖται. τὰ δὲ, κατὰ συμβεβηκός. καὶ τῶν κατὰ συμβεβηκὸς κινουμένων, τὰ μὲν, τοιαῦτά ἐστι φησὶν, ὡς δύνασθαι καὶ καθ' αὑτὰ κινεῖσθαι. ὡς ὁ πλωτήρ φησι, καὶ ὁ ἐν τῷ πλοίῳ ἧλος. καὶ τὰ μόρια τοῦ ὅλου. καὶ γὰρ ὁ πλωτὴρ καὶ ὁ τοῦ πλοίου ἧλος κατὰ συμβεβηκὸς κινεῖται, κινουμένου τοῦ πλοίου. καὶ τὰ μόρια δὲ κατὰ συμβεβηκὸς κινεῖται κινουμένου τοῦ ὅλου. ἀλλὰ ταῦτα μὲν πάντα κατὰ συμβεβηκὸς κινούμενα, καὶ καθ' αὑτὸ κινεῖσθαι δύναται. καὶ γὰρ τὰ μόρια, ἀποτμηθέντα τοῦ ὅλου, οἷον χεὶρ, ἢ πούς, κινεῖσθαι καθ' αὑτὸ πέφυκεν. εἰ γὰρ καὶ μὴ ἔστιν ἔτι μόριον ἀποτμηθὲν, ἀλλ' ὡς οὐσία καθ' αὑτὸ κινεῖσθαι δύναται. τὰ μέντοι συμβεβηκότα, οἷον τὸ λευκὸν, τὸ σιμὸν, καὶ τὰ τοιαῦτα, κατὰ συμβεβηκὸς κινούμενα κινουμένου τοῦ [illegible], καθ' αὑτὰ κινεῖσθαι οὐ δύναται. ἐπεὶ μηδὲ χωρισθῆναι δύναται τοῦ ἐν ᾧ ἐστι. ταῦτα δὲ προστέθεικεν, ἐπειδὴ εἶπεν ὅτι ἡ κατὰ τόπον κίνησις εἰς τὴν τοῦ τόπου ἔννοιαν ἡμᾶς ἤγαγε. δεῖξαι θέλων, ὅτι οὐχ ἁπλῶς τὰ ὁπωσποῦν κινούμενα κατὰ τόπον, εἰς τὴν τοῦ τόπου συμβάλλεται ἔννοιαν. ἀλλὰ μόνα τὰ καθ' αὑτά. τὰ δὲ κατὰ συμβεβηκός,

ὥσπερ

Ὅπερ ἡμεῖς προλαβόντες εἴπομεν, ἀμυδρῶς διὰ τούτου αἰνίττεται. ἐπειδὴ γὰρ ἤγαγεν εἰς ἄτοπον τὸν λόγον, τὸ τὸν ἀμφορέα καὶ οἶνον εἶναι, καὶ τὸν οἶνον μὴ μόνον οἶνον, ἀλλὰ καὶ ἀμφορέα, ἵνα μή τις εἴπῃ, ὅτι καὶ τί τοῦτο ἄτοπον. διὰ γὰρ τὸ τὸν ἕτερον ἐν τῷ ἑτέρῳ εἶναι, λεχθείη ἂν ἑκάτερος, τῷ τοῦ συναμφοτέρου ὀνόματι. μία γάρ τις ὁλότης ἀμφοῖν. τούτῳ οὖν τῷ λόγῳ συγχωρήσας, καὶ οὕτω δείκνυσιν, ὅτι οὐκ ἔσται τι ἐν ἑαυτῷ, ἀλλὰ ἄλλο ἐν ἄλλῳ. εἰ γὰρ καὶ ὅτι μάλιστά φησι συγχωρήσειέ τις τὸν ἀμφορέα καὶ οἶνον εἶναι. ἵνα οὕτως αὐτὸς ἐν ἑαυτῷ εἴη. ὁμοίως δὲ καὶ τὸν οἶνον καὶ ἀμφορέα εἶναι, δῆλον δήπου, ὅτι ὁ ἀμφορεὺς οὐχ ᾗ οἶνός ἐστι, δέξεται τὸν οἶνον, ἀλλ' ᾗ ἐκεῖνος οἶνος. ὁμοίως δὲ καὶ ὁ οἶνος ἔσται ἐν τῷ ἀμφορεῖ, οὐχ ᾗ ἀμφορεύς ἐστιν, ἀλλ' ᾗ ἐκεῖνος ἀμφορεύς ἐστιν. ὥστε τὸ μὲν ὄνομα τοῦ συναμφοτέρου, ἑκάτερος ἕξει, τὴν δ' ἐνέργειαν, οὐκέτι. κατὰ μὲν οὖν τὸ εἶναι ὅτι ἕτερον, δῆλον. ἄλλος γὰρ ὁ λόγος τοῦ ἐν ᾧ, καὶ τοῦ ἐν τούτῳ. ἀκόλουθον μὲν οὖν ἦν, συμπέρασμα ἐπαγαγεῖν οὕτως. ὅτι μὲν οὖν ἀδύνατον αὐτό τι ἐν ἑαυτῷ καθ' αὑτὸ εἶναι, δῆλον. ὁ δὲ τοῦτο μὲν οὐκ εἶπεν, ὃ δὲ ἔδειξεν ὅτι καθ' αὑτὸ ἐν ἑαυτῷ εἶναι τοῦτο συμπεραίνεται. λέγω δὴ, τὸ ἕτερον μὲν εἶναι τὸν τόπον φύσει, ἕτερον δὲ τὸ ἐν τόπῳ. ἄλλως γὰρ ἀποδώσας τὸν ὁρισμὸν τοῦ δεκτικοῦ, καὶ ἄλλως τὸν τοῦ δεδεγμένου. ὥστε εἰ οὖν οἱ ὁρισμοὶ διάφοροι, καὶ αὐτὰ διάφορα. διάφοροι δὲ οἱ ὁρισμοὶ τοῦ τ' ἐν ᾧ, καὶ τοῦ ἐν τούτῳ, καὶ αὐτὰ ἄρα διάφορα καὶ ἕτερα ἀλλήλων.

» ΑΛΛΑ μὴν οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται. ἅμα γὰρ δύο σώματα ἐν τῷ αὐτῷ ἔσται. αὐτός γὰρ ἐν αὑτῷ ὁ ἀμφορεὺς ἔσται, εἰ οὗ ἡ φύσις δεκτική, τοῦτ' ἐνδέχεται, ἐν ἑαυτῷ εἶναι. καὶ ἔτι ἐκεῖνο οὗ δεκτικὸς οἷον, εἰ οἴνου οἶνος. ὅτι μὲν οὖν ἀδύνατον ἐν ἑαυτῷ τι εἶναι πρώτως, δῆλον.

Ἐντεῦθεν συντόμως, διὸ καὶ ἀσαφῶς, ὅτι οὐδὲν κατὰ συμβεβηκός ἐστι, τι ἐν ἑαυτῷ δείκνυσι. δύο γάρ φησι συμβαίνεται ἐν τῷ αὐτῷ σώματα εἶναι. καὶ πάλιν τὸν αὐτὸν ἀνακυκλήσομεν λόγον, ὃν καὶ ἐπὶ τοῦ καθ' αὑτό. αὐτὸς γὰρ πάλιν ἐν ἑαυτῷ ἔσται ὁ ἀμφορεύς. καὶ ἄμφω τοὺς λόγους ἀναδέξεται, τοῦ τε τόπου, καὶ τοῦ ἐν τόπῳ. δύο οὖν τὰ ἑπόμενα ἄτοπα τῇ ὑποθέσει. ἅτινα συντόμως κατεσκεύασεν. εἰ γὰρ ὅπερ δεκτικῆς ἐστι φύσεως, τοῦτο κατὰ συμβεβηκὸς ἐνδέχεται ἐν ἑαυτῷ εἶναι, δεῖ καὶ ἐκεῖνο ὑπάρχειν ἐν ἑαυτῷ οὗ ἐστι δεκτικόν. οἷον εἰ οἴνου, οἶνον ὑπάρχει δὲ καὶ τὸ δεκτικὸν κατὰ συμβεβηκὸς τῷ οἴνῳ. ὅπερ παρῆκε διὰ συντομίαν ὁ Ἀριστοτέλης. οὕτω γὰρ ἂν μόνως κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ ὑπάρχει, τῷ συμβεβηκέναι τῷ οἴνῳ, ὥσπερ καθ' αὑτὸν ἐν τῷ ἀμφορεῖ ὑπάρχει. τούτου οὖν ἕπεται δύο ἄτοπα, τό, τε σῶμα διὰ σώματος χωρεῖν, εἴγε συμβέβηκε τῷ οἴνῳ ὁ ἀμφορεύς. καὶ τὸν ἀμφορέα τὸ πάλιν καθ' αὑτὸ ἐν αὑτῷ ὑπάρχειν. ὅπερ ἀδύνατον δέδεικται. ἐν γὰρ τῷ οἴνῳ ὁ ἀμφορεύς, ὁ δὲ οἶνος ἐν τῷ ἀμφορεῖ. ὥστε καὶ ὁ ἀμφορεὺς ἐν τῷ ἀμφορεῖ.

» Ο ΔΕ Ζήνων ἠπόρει, ὅτι εἰ ὁ τόπος ἐστί τι, ἔν τινι ἔσται, λύειν οὐ χαλεπόν. οὐδὲν γὰρ κωλύει, ἐν ἄλλῳ μὲν εἶναι τὸν πρώτως τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ, ἀλλ' ὥσπερ ἡ μὲν ὑγίεια ἐν τοῖς θερμοῖς ὡς ἕξις. τὸ δὲ θερμὸν ἐν τῷ σώματι, ὡς πάθος. ὥστ' οὐκ ἀνάγκη εἰς ἄπειρον ἰέναι.

Εἰ μὲν οὕτως ἠπόρει ὁ Ζήνων, ὅτι εἰ ὁ τόπος ἔν τινι, ἐπειδὴ καὶ πᾶν τὸ ὂν ἔν τινι, τὸ δὲ ἔν τινι, ἐν τόπῳ, ὁ τόπος ἄρα ἐν τόπῳ, πρόχειρος δὲ ὁ ἔλεγχος. πολλαχῶς γὰρ τὸ ἔν τινι, καὶ οὐ μόνον ἐν τόπῳ. ὥστε οὐδὲν κωλύει τὸν τόπον καὶ ἔν τινι καὶ μὴ ἐν τόπῳ εἶναι. εἰ δὲ ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, μὴ διὰ τοῦ ἔν τινι εἶναι τὸν τόπον καὶ τὸ ἐν τόπῳ εἶναι αὐτὸν κατεσκεύαζεν, ἀλλὰ διὰ τοῦ πᾶν τὸ ὂν ἔν τινι εἶναι. τῶν δὲ ὄντων εἶναι καὶ τὸν τόπον, ὥστε καὶ αὐτὸν ἐν τόπῳ εἶναι, οὐκ ἐλεγχθήσεται διὰ τῶν νῦν λεγομένων. ἀλλὰ διὰ τῶν ἐκεῖσε εἰρημένων. οὐ γὰρ συγχωρήσομεν τῇ προτάσει, ὅτι πᾶν τὸ ὂν ἐν τόπῳ. οὐδὲν γὰρ κωλύει ἐν ἄλλῳ εἶναι τὸν πρώτως τόπον, μὴ μέντοι ὡς ἐν τόπῳ ἐκείνῳ. τὸν δὲ πρώτως, ἀντὶ τοῦ τὸν κυρίως. οὗτος δέ ἐστι, τὸ πέρας τοῦ περιέχοντος. τοῦτο δὲ εἶπε, διότι λέγεται τόπος καὶ ὁ κέραμος τοῦ οἴνου. καὶ ὁ ἀὴρ λέγεται ἡμῶν εἶναι τόπος, καὶ ἡ γῆ. καὶ πολλὰ ἄλλα τὰ οὕτω λεγόμενα τόποι, ἃ καὶ αὐτὰ ἐν τόπῳ ἐστίν. ἀλλ' ἐὰν τὸν κυρίως λάβωμεν, ἔν τινι μὲν ἔσται, οἷον ἐν σώματι. πέρας γάρ ἐστιν αὐτοῦ. ἀλλ' οὐχ ὡς ἐν τόπῳ. ἀλλ' ὡς πάθος τι αὐτοῦ.

» ΕΚΕΙΝΟ δὲ φανερὸν, ὅτι ἐπεὶ οὐδὲν τὸ ἀγγεῖον τοῦ ἐν αὐτῷ. ἕτερον γὰρ τό, πρώτως ὅ, τε καὶ ἐν ᾧ, οὐκ ἂν εἴη οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος ὁ τόπος. ἀλλ' ἕτερον. ἐκείνου γάρ τι ταῦτα τοῦ ἐνόντος καὶ ἡ ὕλη καὶ ἡ μορφή. ταῦτα μὲν οὖν ἔστω διηπορημένα,

Ἐντεῦθεν, ὡς εἶπον, δείκνυσι πάλιν ἐκ τῶν εἰρημένων, ὅτι οὔτε ὕλη, οὔτε εἶδος ὁ τόπος. ὁ τόπος, φησὶν οὐδέν ἐστι τῶν ἐν τόπῳ, παρὰ τὸ εἶναι τόπος. ἡ ὕλη καὶ τὸ εἶδος, στοιχεῖά ἐστι τοῦ ἐν αὐτοῖς, λέγω δὴ τοῦ συνθέτου. καὶ οὐκ εἰσὶν ἕτερα παρ' αὐτό. ὁ τόπος ἄρα, οὔτε ὕλη ἐστὶν, οὔτε εἶδος.

» ΤΙ δέ ποτ' ἐστὶν ὁ τόπος, ὧδ' ἂν γένοιτο φανερόν. λάβωμεν δὲ περὶ αὐτοῦ, ὅσα δοκεῖ ἀληθῶς καθ' αὑτὸ ὑπάρχειν αὐτῷ. ἀξιοῦμεν δὴ τὸν τόπον εἶναι πρῶτον μὲν περιέχον ἐκεῖνο, οὗ τόπος ἐστί. καὶ μηδὲν τοῦ πράγματος εἶναι, ἔτι τὸν πρῶτον τόπον. μήτε ἐλάττω μήτε μείζω. ἔτι μήτε ἀπολείπεσθαι ἑκάστου καὶ χωριστόν. πρὸς δὲ τούτοις. πάντα τόπον ἔχειν τὸ ἄνω καὶ κάτω.

Ἐντεῦθεν λοιπὸν, τί ἐστιν ὁ τόπος βουλόμενος ἀποδοῦναι, πρότερον ἐκτίθεται τὰ κατὰ τὴν κοινὴν ἔννοιαν ὑπάρχοντα τῷ τόπῳ. ἄτακτα ῥεῖ, πόθεν ὅλως κινηθέντες εἰς αὐτὴν ἤλθομεν εἰς ἔννοιαν τοῦ τόπου, καὶ

λόγον ἀναδέξεται. ἔσται οὖν ὁ ἀμφορεὺς, ἀμφορεύς ἅμα καὶ οἶνος· καὶ ὁ οἶνος, οἶνός τε ἅμα καὶ ἀμφορεύς. τοῦτο δὲ γελοῖον. εἶτα τῇ δόξῃ παραστῆναι βουλόμενος, ἵνα ἐκ τοῦ πλείονος ἐλέγξῃ αὐτὴν φησὶν, ὅτι εἰ καὶ τὰ μάλιστα συγχωρήσομεν, διὰ τὸ μέρος εἶναι ἐν μέρει, καὶ ἑκάτερον ἐν τῷ ἑτέρῳ καὶ εἶναι καὶ λέγεσθαι, ὥστε καὶ τὸν ἀμφορέα καὶ οἶνον εἶναι καὶ ἀμφορέα, καὶ τὸν οἶνον, καὶ ἀμφορέα καὶ οἶνον, οὐδ' οὕτως αὐτό τι ἐν ἑαυτῷ ἔσται. ἀλλ' ἑκάτερος αὐτῶν, δέξεται μὲν οὐχ ᾗ οἶνός ἐστιν, ἀλλ' ᾗ ἀμφορεύς· δεχθήσεται δὲ, οὐχ ᾗ ἀμφορεύς ἐστιν, ἀλλ' ᾗ οἶνος. ὥστε οὐδ' οὕτως αὐτό τι ἐν ἑαυτῷ ἔσται, ἀλλὰ ἄλλο ἐν ἄλλῳ. οὕτω δείξας, ὅτι καθ' αὑτὸ οὐδέν ἐστιν αὐτὸ ἐν ἑαυτῷ, ἐφεξῆς δεικνύει, ὅτι οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται. δόξειε γὰρ ἴσως εἰ κατ' ἄλλο ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ εἶναι, καὶ κατὰ συμβεβηκὸς ἐνδέχεσθαι. ἵνα δὲ παρακολουθήσωμεν τῇ ἀποδείξει, προσλαβεῖν δεῖ, τί ποτέ ἐστι τὸ κατὰ συμβεβηκός. ἐπειδὴ καὶ διὰ βραχέων πάνυ καὶ ἀσαφῶς ἐπεξέρχεται τῇ ἀποδείξει. κατὰ συμβεβηκὸς τοίνυν λέγεται ἔχειν τι, ὅπερ αὐτὸ τὸ ἄλλῳ συμβέβηκε. καὶ ἐκεῖνο ὅπερ λέγεται ἔχειν κατὰ συμβεβηκὸς, καθ' ἑαυτὸ ὑπάρχον ᾧ ἐκεῖνο συμβέβηκεν. οἷον λέγεται τὸ λευκὸν κατὰ συμβεβηκὸς κινεῖσθαι, διότι ἡ κίνησις ὑπάρχει καθ' αὑτὸ τῷ σώματι. συμβέβηκε δὲ καὶ τὸ λευκὸν τῷ Σωκράτει. διὰ γὰρ τοῦτο κατὰ συμβεβηκὸς ὑπάρχει τῷ λευκῷ ἡ κίνησις. ἐπειδὴ ᾧ τὸ λευκὸν συμβέβηκε, λέγω δὴ τῷ Σωκράτει, καθ' αὑτὸ ὑπάρχει. εἰ τοίνυν κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ εἴη ὁ ἀμφορεὺς, δεῖ ἄλλο τι καθ' αὑτὸ ὑπάρχειν ἐν αὐτῷ. οἷον τὸν οἶνον, καὶ τὸν ἀμφορέα, συμβεβηκὸς εἶναι τῷ οἴνῳ, ἵνα τῷ τὸν οἶνον καθ' αὑτὸ ὑπάρχειν τῷ ἀμφορεῖ, τὸ συμβεβηκὸς τῷ οἴνῳ ὁ ἀμφορεὺς, κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ ὑπάρχῃ. ἄλλως γὰρ ἀδύνατον κατὰ συμβεβηκὸς ἐν ἑαυτῷ ὑπάρχειν τὸν ἀμφορέα. καὶ μηδεὶς ἀπαιτείτω τὸν λόγον ὅνπερ εἴπομεν ἐπὶ τοῦ κατὰ συμβεβηκὸς, ἀπαραλλάκτως καὶ ἐπὶ τοῦ ἀμφορέως ἁρμόσαι. ἄλλος γὰρ ὁ τρόπος ἐνταῦθα. οὐ γὰρ ἄλλο ἄλλῳ ὑπάρχει κατὰ συμβεβηκὸς, ὥσπερ ἐκεῖ, ἀλλ' αὐτὸ ἐν ἑαυτῷ. ἀλλὰ ζητητέον, ὅπως καὶ ἐπὶ τούτου σώσομεν τὸ κατὰ συμβεβηκός. ἄλλως δὲ, ἀδύνατον σωθῆναι τὴν ἔννοιαν τοῦ κατὰ συμβεβηκὸς, ἢ ὥσπερ εἴπομεν. εἰ τοίνυν ὁ ἀμφορεὺς συμβέβηκε τῷ οἴνῳ, δῆλον ὅτι ἐχώρισε δι' ὅλης αὐτοῦ τῆς οὐσίας. εἰ γὰρ μὴ δι' ὅλου ἐχώρισεν, ἀλλ' ἅπτεται αὐτοῦ κατὰ τὰ πέρατα, οὐκέτι ὡς συμβεβηκὸς ὑπάρχει αὐτῷ. εἰ δὲ δι' ὅλου ἐχώρισε, σῶμα ἄρα διὰ σώματος ἐχώρισε. καὶ ἄλλως φησὶν εἰς τὸ αὐτὸ πάλιν ἀνακυκλήσομεν τὸν λόγον. πάλιν γὰρ αὐτὸς ἐν ἑαυτῷ καθ' αὑτὸ ἔσται ὁ ἀμφορεύς. τί γὰρ διαφέρει ἐξ ἀρχῆς αὐτὸν ἐν ἑαυτῷ ὑπάρχειν λέγειν τὸν ἀμφορέα, ἢ συμβεβηκέναι τῷ οἴνῳ, ὃς καθ' αὑτὸ ὑπάρχει ἐν τῷ ἀμφορεῖ. πάλιν γὰρ διὰ τοῦ οἴνου αὐτὸς ἐν ἑαυτῷ ἔσται, καὶ τοὺς δύο λόγους ἀναδέξεται, τοῦ τε τόπου, καὶ τοῦ ἐν τόπῳ. ὥστε οὐδὲ κατὰ συμβεβηκὸς ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ ὑπάρχειν. ταῦτα εἰπὼν, ἐκ τῶν εἰρημένων τρόπων τοῦ ἔν τινι, καὶ τὴν Ζήνωνος ἀπορίαν ἐπιλύεται. ἠπόρει γὰρ ἐκεῖνος, ὅτι εἰ ὁ τόπος τῶν ὄντων, πᾶν δὲ τὸ ὂν, ἔν τινι ἐστὶ, καὶ ὁ τόπος ἔν τινι ἔσται. ὥστε ἔσται ὁ τόπος ἐν τόπῳ. καὶ τοῦτο ἐπ' ἄπειρον. ταύτην οὖν φησι τὴν ἀπορίαν, ἐκ τῶν εἰρημένων ἡμῖν τρόπων τοῦ ἔν τινι, οὐ χαλεπὸν ἐπιλύσασθαι. καὶ γὰρ εἰ μὴ ἀληθὲς πᾶν τὸ ὄν που εἶναι, πᾶν γε μὴν τὸ φυσικὸν ἀνάγκη εἶναι ἔν τινι, εἰ καὶ μὴ ἐν τόπῳ, κατά τι τῶν τοῦ ἔν τινι σημαινομένων. ὥστε εἰ καὶ ὁ τόπος τῶν φυσικῶν, ἔν τινι πάντως ἔσται. ἐπεὶ οὖν πολλαχῶς τὸ ἔν τινι, ἔσται ὁ τόπος ἔν τινι μὲν, οὐκ ἐν τόπῳ δὲ, ἀλλ' ὡς ἐν ὑποκειμένῳ. οὕτω δὲ καὶ ὁ κυρίως τόπος, λέγω δὴ τὸ πέρας τοῦ περιέχοντος, ἔν τινι μὲν ἔσται. ἐν σώματι γὰρ οὐ μὴν ὡς ἐν τόπῳ. ἀλλ' ὡς πέρας ἐν περατουμένῳ. πάλιν δὲ ἐκ τῶν εἰρημένων, ἕτερόν τι ἀποδείκνυσιν, ὅπερ πολλαχῶς ἤδη ἀπέδειξεν. εἰ γὰρ δέδεικται, ὅτι διὰ τοῦτο αὐτό τι ἐν ἑαυτῷ ἀδύνατον εἶναι, διὰ τὸ ἑτέραν εἶναι τὴν φύσιν τοῦ δεκτικοῦ καὶ ἑτέραν τὴν τοῦ δεδεγμένου, καὶ μὴ δύνασθαι ἓν καὶ τὸ αὐτὸ τοὺς διαφόρους ἀναδέξασθαι λόγους, ἐκ τούτων ἀναφαίνεται, ὅτι οὔτε ὕλην οὔτε εἶδος δυνατὸν εἶναι τὸν τόπον. τὸ μὲν γὰρ ἐν τόπῳ, τοῦ τόπου ἕτερον. ἡ δὲ ὕλη καὶ τὸ εἶδος, οὐκ ἔστιν ἕτερα τοῦ ἐν αὐτοῖς. στοιχεῖα γάρ ἐστι συμπληρωτικὰ αὐτοῦ. ἕτερος ἄρα ὁ τόπος τῆς ὕλης καὶ τοῦ εἴδους. ἔτι δὴ οὖν ἐπακτικῶς σκοποῦσι, τουτέστι δι' ἐπαγωγῆς καὶ εἰς τὰ κατὰ μέρος ἀποβλέπουσι, κατ' οὐδένα τῶν ὁρισμῶν τῶν διαιρουμένων τοῦ ἔν τινι, αὐτό τι ἐν ἑαυτῷ ἐστὶν, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ λόγου δῆλον, ὅτι ἀδύνατον αὐτό τι ἐν ἑαυτῷ εἶναι.

» ΔΕΗΣΕΙ γὰρ ἀμφότερα ἑκάτερον ὑπάρχειν. οἷον, τὸν ἀμφορέα, ἀμφορέα τε καὶ οἶνον εἶναι. καὶ
» τὸν οἶνον, οἶνόν τε καὶ ἀμφορέα, εἴπερ ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ εἶναι.

Εἰ τὸν ἀμφορέα φησὶ τοῦ οἴνου αὐτὸν ἐν ἑαυτῷ καθ' αὑτὸ καὶ πρώτως φήσομεν εἶναι, ὡς ὅλον ἐν ὅλῳ, τοῦτο γάρ ἐστι τὸ πρώτως καὶ καθ' αὑτὸ, ἀνάγκη τὸν ὅλον ὡς ὅλον, καὶ τὸν τοῦ τόπου, καὶ τὸν τοῦ ἐν τόπῳ ἀναδέξασθαι λόγον, μᾶλλον δὲ ἄμφω εἶναι. ἔστι δὲ οἷον τόπος μὲν ὁ ἀμφορεύς, ἐν τόπῳ δὲ ὁ οἶνος, ἢ ἁπλῶς τὸ ὑγρόν. ὥστε ἐπειδὴ ὁ τοῦ οἴνου ἀμφορεὺς, ὅλος αὐτὸς ἐν ἑαυτῷ ἐστὶ, καὶ ὁ ἀμφορεὺς δῆλον ὅτι, λέγω δὴ τὸ κεραμεοῦν ἀγγεῖον, οὐ μόνον ἀμφορεὺς ἔσται, ἀλλὰ καὶ οἶνος. καὶ ὁ οἶνος οὐ μόνον οἶνος, ἀλλὰ καὶ ἀμφορεύς. ὥστε εἰ τοῦτο ἄτοπον, ἀδύνατον καθ' αὑτὸ καὶ πρώτως αὐτό τι ἐν ἑαυτῷ εἶναι.

» ΩΣΤΕ εἰ ὅτι μάλιστα ἐν ἀλλήλοις εἶεν, ὁ μὲν ἀμφορεὺς δέξεται τὸν οἶνον, οὐχ ᾗ αὐτὸς οἶνος, ἀλλ'
» ᾗ ἐκεῖνος. ὁ δὲ οἶνος, ἐνέσται ἐν τῷ ἀμφορεῖ, οὐχ ᾗ ἀμφορεὺς αὐτὸς, ἀλλ' ᾗ ἐκεῖνος ἀμφορεύς. κατὰ μὲν οὖν
» τὸ εἶναι ὅτι ἕτερον, δῆλον. ἄλλος γὰρ ὁ λόγος τοῦ, ἐν ᾧ· καὶ ὁ τοῦ, ἐν τούτῳ.

τὸ ἐν τόπῳ, ἐν ἑαυτῷ εἶναι. ἐπειδὴ μέρος μέν τι αὐτοῦ ἐστιν ὁ τόπος. μέρος δὲ τὸ ἐν τόπῳ. ὃ δὲ τὸ αὐτὸ καὶ ὁ τόπος καὶ τὸ ἐν τόπῳ, αὐτό τι καὶ εἴη ἐν αὐτῷ, ὡς ἐν τόπῳ. ἔχοις δὲ καὶ παράδειγμα προσφυέστερον, τὸ κατὰ τὸ αὐτοκίνητον. ὡς γὰρ λέγεται τὸ ζῷον αὐτοκίνητον, οὕτω καὶ ὁ ἀμφορεὺς τοῦ οἴνου, αὐτὸς ἐν ἑαυτῷ. ὅτι γὰρ τὸ ἐν ᾧ καὶ τὸ ἐν τούτῳ ἀμφότερα τοῦ αὐτοῦ μόρια, τὸ μὲν, λέγοιτο ἐν τόπῳ. τοῦτο δέ ἐστιν ὁ οἶνος. ἐν ᾧ δὲ, ὁ τόπος. τοῦτο δὲ ἦν ὁ ἀμφορεύς. ὁ οἶνος οὖν καὶ ὁ ἀμφορεὺς, μόριά ἐστι τοῦ ὅλου, λέγω δὴ τοῦ ἀμφορέως τοῦ οἴνου. οὐδὲν οὖν τῶν μορίων κεχωρισμένως λεχθείη ἂν ἐν ἑαυτῷ εἶναι, ἀλλὰ τὸ ὅλον ὡς εἴρηται.

» ΠΡΩΤΩΣ δ' οὐκ ἐνδέχεται. οἷον, τὸ λευκὸν ἐν σώματι. ἡ ἐπιφάνεια γὰρ ἐν σώματι. ἡ δ' ἐπιστή-
» μη, ἐν ψυχῇ.

Δ εἰρηκὼς πῶς ἐνδέχεται τὸ αὐτό τι ἐν ἑαυτῷ εἶναι, ὅτι κατ' ἄλλο, νῦν φησιν ὅτι πρώτως οὐκ ἐνδέχεται, οὔτε καθ' αὑτὸ οὔτε κατὰ συμβεβηκός. εἶπεν οὖν πρῶτον τὸ καθ' αὑτὸ δείκνυσιν, ἐνταῦθα τὸ πρώτως καθ' αὑτὸ πρώτως ἀκουστέον. εἰπὼν δὲ ὅτι πρώτως οὐκ ἐνδέχεται, τὰ παραδείγματα οὐκέτι πρὸς τοῦτο ἐπήγαγεν, ἀλλὰ πρὸς τὸ πρότερον. ὅτι λέγονταί τινα ἀπὸ μέρους. εἰπὼν γὰρ, οὕτω μὲν οὖν ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ εἶναι, τουτέστιν ἀπὸ μέρους, πάλιν τὰ παραδείγματα τοῦ ἀπὸ μέρους ἐπήγαγε. διὰ γὰρ τὸ τὴν ἐπιφάνειαν εἶναι ἐν τῷ σώματι, ἐν ᾗ ἐστι τὸ λευκὸν, καὶ τὸ λευκὸν ἐν τῷ σώματι λέγεται εἶναι.

» ΚΑΤΑ ταῦτα δ' αἱ προσηγορίαι μέρη ὄντα ὥς γε ἐν ἀνθρώπῳ.

Α Ἱ προσηγορίαι φησὶν, αἵ τε τοῦ λευκοῦ καὶ τῆς ἐπιστήμης, κατηγοροῦνται τοῦ ὅλου, οὐ πρώτως, ἀλλὰ κατὰ τὴν ἐπιφάνειαν καὶ τὴν ψυχὴν, ἅ τινα μέρη ἐστὶν, οὐ καθ' αὑτὰ, ἀλλ' ὡς ἐν αὐτῷ ὄντα. αὐτὰ μὲν γὰρ καθ' αὑτὰ, ἡ ἐπιφάνεια καὶ ἡ ψυχὴ, ὅλα τινά ἐστιν. ἀλλ' ὡς ἐν ἀνθρώπῳ, μέρη ἐστίν. ἄνθρωπον δὲ λέγω, τὸ ἐκ ψυχῆς καὶ σώματος. ὥστε αἱ κατὰ ταῦτα αἱ προσηγορίαι ὑπάρχουσι τῷ ὅλῳ, ταῦτα δὲ μέρη, ἀπὸ τοῦ μέρους ἄρα τὸ ὅλον ὀνομάζεται.

» Ο ΔΕ ἀμφορεὺς καὶ ὁ οἶνος, χωρὶς μὲν ὄντα, οὐ μέρη, ἅμα δὲ, διότι ὅταν ᾖ μέρη, ἔσται αὐτὸ ἐν αὑ-
» τῷ. οἷον τὸ λευκὸν ἐν ἀνθρώπῳ, ὅτι ἐν τῷ σώματι. καὶ ἐν τούτῳ, ὅτι ἐν τῇ ἐπιφανείᾳ. ἐν δὲ ταύτῃ, οὐκ
» ἔτι κατ' ἄλλο.

Ε ἰ γὰρ τὸ μέρος, ὅλου ἐστὶ μέρος, καὶ τῶν πρός τι ταῦτα, ὅταν ἄρα χωρὶς ᾖ ὁ ἀμφορεὺς καὶ ὁ οἶνος, οὐκ ἂν εἶεν μέρη, ἄσχετά γε ὄντα. ὅταν δὲ συνελθόντα μέρη ἀλλήλων ᾖ, λέγεται αὐτὸ ἐν ἑαυτῷ εἶναι τὸ ὅλον ἀπὸ μέρους. ὥσπερ ὁ αὐτὸς λευκὸς λέγεται, διὰ τὸ σῶμα. καὶ τὸ σῶμα, διὰ τὴν ἐπιφάνειαν. καὶ πάλιν οὖν τοῦ αὐτοῦ τὰ αὐτὰ ἔθηκε παραδείγματα.

» ΚΑΙ ἕτερά γε τῷ εἴδει ταῦτα. καὶ ἄλλην φύσιν ἔχει ἑκάτερον καὶ δύναμιν. ἥ τ' ἐπιφάνεια καὶ
» τὸ λευκόν.

Ε πειδὴ πρώτως ἐν τῇ ἐπιφανείᾳ ἐστὶ τὸ λευκὸν, ἵνα μή τις ὑπολάβῃ ταυτὸν εἶναι τὸ λευκὸν τῇ ἐπιφανείᾳ, καὶ οὕτως αὐτὸ ἐν ἑαυτῷ τι εἶναι, λέγει, ὅτι καὶ τῷ εἴδει καὶ τῇ δυνάμει, ἕτερά ἐστι ταῦτα ἀλλήλων. ἡ μὲν γὰρ ἐπιφάνεια, καί ἐστιν ὑποκείμενον, οὐ μόνον λευκῷ, ἀλλὰ καὶ μέλανι. καὶ ὅλως πλείοσι. τὸ δὲ λευκὸν, μόνως ἐν ὑποκειμένῳ καὶ συνεῖναι τῷ ἐναντίῳ ἀδύνατον. ἕτερα τοίνυν ἕτερα ταῦτα ἀλλήλων, ἄλλο ὂν ἐν ἄλλῳ. λέγοι δ' ἂν φύσιν, ὅτι τὸ μὲν, ποιότης ἐστὶ καὶ χρῶμα. ἡ δὲ ἐπιφάνεια, πέρας σώματος καὶ τοῦ ποσοῦ. δύναμιν δὲ, ὅτι ἡ μὲν, ὑποκείμενον. τὸ δὲ, ὡς ἐν ὑποκειμένῳ.

» ΟΥΤΕ δὴ ἐπακτικῶς σκοποῦσιν, οὐδὲν ἐν αὑτῷ ὁρῶμεν κατ' οὐδένα τῶν διωρισμένων. τῷ τε λό-
» γῳ δῆλον ὅτι ἀδύνατον.

Δ εἰρηκὼς πῶς οἷόν τέ ἐστιν αὐτό τι ἐν ἑαυτῷ εἶναι, ὅτι κατ' ἄλλο, βούλεται νῦν δεῖξαι, ὅτι πρώτως, οὔτε καθ' αὑτὸ ἐνδέχεται, οὔτε κατὰ συμβεβηκός. καὶ πρῶτόν γε ὅτι οὐ καθ' αὑτὸ ἐνδέχεται, δείκνυσι. δείκνυσι δὲ διὰ τῆς ἐπαγωγῆς, καὶ διὰ τοῦ λόγου, καὶ πρῶτόν γε δι' ἐπαγωγῆς. εἰ γὰρ τοσαῦτα ἐστὶ τὰ τοῦ ἔν τινι σημαινόμενα, ὅσα ἀπηριθμησάμεθα, ἐν οὐδενὶ δὲ οἷόν τε εἶναι αὐτό τι ἐν ἑαυτῷ, ἔοικεν ἄρα μηδὲ εἶναι τι ὅλως αὐτὸ ἐν ἑαυτῷ. πάντα γὰρ τὰ τοῦ ἔν τινι σημαινόμενα, ἄλλο ἐν ἄλλῳ ἐστίν. οὐδὲ γὰρ ὅταν λέγωμεν τὸ ὅλον ἐν τοῖς μορίοις, αὐτὸ ἐν ἑαυτῷ λέγομεν εἶναι. ἄλλο γὰρ τὸ ὅλον, καὶ ἄλλο τὰ μέρη. τὸ μὲν γὰρ ἓν καὶ ταυτὸν, σχέσις τί ἐστι τῆς τῶν μορίων συναφῆς, καὶ τὸ ἐπὶ τῇ συναφῇ αὐτῶν ἐπιγινόμενον εἶδος. τὰ δὲ, πλείω, καὶ διαφέροντα. καὶ διὰ τοῦ λόγου δὲ, δείκνυσιν οὕτως. ἄλλος φησὶν ὁ ὁρισμὸς τοῦ ὑποδεκτικοῦ, καὶ ἄλλος ὁ τοῦ ἐν ἐκείνῳ ὄντος. ἄλλως γὰρ ὁρίζεται ὁ τόπος, καὶ ἄλλως τὸ ἐν τῷ τόπῳ. καὶ ἁπλῶς, ἄλλως τὸ ἐν ᾧ, καὶ ἄλλως τὸ ἐν ἐκείνῳ. εἰ τοίνυν αὐτό τι ἐν ἑαυτῷ εἴη, τοὺς διαφέροντας, μᾶλλον δὲ τοὺς ἀντικειμένους δέξεται λόγους. ὃ δὲ δεῖ ἀκριβέστερον εἰπεῖν, αὐτό τι ἔσται κατὰ ταυτὸ τὰ διαφέροντά τε καὶ ἀντικείμενα. δύο μὲν γὰρ ὁρισμοὺς ἐπιδέξασθαι τὸ αὐτὸ, κατ' ἄλλην καὶ ἄλλην ἰδιότητα, οὐκ ἀδύνατον. οἷον τὸν ἄνθρωπον ζῷον λογικὸν θνητὸν, καὶ ζῷον ὀρθοπεριπατητικόν. τοὺς μέντοι ἀντικειμένους λόγους, ἅμα κατὰ ταυτὸν δέξασθαι ἀδύνατον. τῶν πρός τι γὰρ ὁ τόπος, καὶ τὸ ἐν τόπῳ. τὰ δὲ πρός τι τοὐλάχιστον δύο ἐστὶν ἀντικείμενα, καὶ ἀντικειμένους ἔχοντα τοὺς ὁριστικοὺς λόγους. εἰ οὖν ἔσται τι αὐτὸ ἐν ἑαυτῷ, οἷον ὁ τοῦ οἴνου ἀμφορεὺς, αὐτὸς ἐν ἑαυτῷ, δέξεται τοὺς ἀντικειμένους λόγους. καὶ ἐπειδὴ ὁ τόπος μέν ἐστιν ὁ ἀμφορεὺς, ἐν τόπῳ δὲ ὁ οἶνος, τὸ αὐτὸ καὶ τὸν τοῦ τόπου, καὶ τὸν τοῦ ἐν τόπῳ

γὰρ ζῶον, μέρος ὂν τοῦ κοινοῦ, ἐμπεριέχεται ἐν τῷ ὁρισμῷ αὐτοῦ. φησὶ δὲ, καὶ ὡς ἐν βασιλεῖ τὰ τῶν ἑλλήνων. ὁ γὰρ ἄρχων ποιητικὸν αἴτιόν ἐστι τῶν πολιτικῶν πραγμάτων. καὶ ὅμηρος, διὸς δ' ἐν γούνασι κεῖται. καὶ ἡ συνήθεια. πολλάκις γὰρ φαμὲν ἐν τῷ ἄρχοντι εἶναι τὸ ζῆν καὶ ἀποθανεῖν.

» ΠΑΝΤΩΝ δὲ κυριώτατον, τὸ ὡς ἐν ἀγγείῳ. καὶ ὅλως τὸ ἐν τόπῳ.

Β εἰ μὲν ὡς δύο λάβοις, ἕτερον τὸ ὡς ἐν ἀγγείῳ, καὶ ἕτερον τὸ ὡς ἐν τόπῳ, θ' ἐστὶ τὰ ἀπηριθμημένα. εἰ δὲ καθολικώτερον λάβοις, τὸ ὡς ἐν τόπῳ, τοῦ ἀγγείου μερικοῦ τινος ὄντος τόπου, ὀκτὼ εἰσὶ τὰ ὅλα. πλὴν εἴτε οὕτως εἴτε ἐκείνως, δύο εἰσὶ τὰ παραλελειμμένα. τὸ ὡς ἐν χρόνῳ, καὶ τὸ ὡς ἐν ὑποκειμένῳ. ἀκριβῶς δὲ κυριώτατον εἶπε τῶν ἔν τινι, τὸ ὡς ἐν τόπῳ. σαφὴς γὰρ ἐν τούτοις ἡ διάκρισις τοῦ ἐν ᾧ, καὶ τοῦ ἐν τούτῳ.

» ΑΠΟΡΗΣΕΙΕ δ' ἄν τις, ἆρα καὶ αὐτό τι ἐν ἑαυτῷ ἐνδέχεται εἶναι, ἢ οὐδέν. ἀλλὰ πάντα ἢ
» οὐδαμοῦ, ἢ ἐν ἄλλῳ.

Α πηριθμησάμενος τὰ τοῦ ἔν τινι σημαινόμενα, ἀκριβῶς ζητεῖ, εἰ λέγεταί τι καὶ αὐτὸ ἐν ἑαυτῷ εἶναι. καὶ εἰ λέγεται, πότερον ὑφ' ἕνα τῶν ἀπηριθμημένων τρόπων πίπτει, ἢ κατ' ἄλλον τρόπον λέγεται αὐτό τι ἐν ἑαυτῷ εἶναι. ἢ οὐκ ἐνδέχεται φησὶ λέγεσθαι αὐτό τι ἐν ἑαυτῷ εἶναι. ἀλλὰ πᾶν ὅ τί περ ἐστὶν, ἢ ἐν ἄλλῳ ἐστὶν, ἢ οὐδαμοῦ.

» ΔΙΧΩΣ δὲ τοῦτό ἐστιν. ἤτοι καθ' αὑτὸ, ἢ καθ' ἕτερον.

Τ ὸ καθ' αὑτὸ ἐνταῦθα, ἀντὶ τοῦ πρώτως ἀκουστέον. ἴστεον γὰρ, ὅτι τῷ μὲν καθ' αὑτὸ, ἀντίκειται τὸ κατὰ συμβεβηκός. τῷ δὲ πρώτως, τὸ κατ' ἄλλο. καθ' αὑτὸ μὲν οὖν λέγεται ὁ σωκράτης περιπατεῖν. κατὰ συμβεβηκὸς δὲ τὸ λευκὸν, ἢ τὸ φαλακρόν. λέγεται δὲ τὸ πρώτως, καὶ ἀντὶ τοῦ καθ' αὑτὸ, καὶ ἀντὶ τοῦ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ τὸ κατ' ἄλλο. οἷον ὅταν εἴπω, ὅτι ὁ σωκράτης βαδίζει, καθ' αὑτὸ εἶπον καὶ πρώτως. σωκράτην δὲ λέγω, τὸ ἐμψυχώμενον ζῶον. οὐ γὰρ κατ' ἄλλο τι βαδίζει, ἀλλ' ᾗ καθὸ ζῶόν ἐστιν. ὅταν δὲ τοῦ πλοίου κινουμένου, εἴπω τὸν πλωτῆρα κινεῖσθαι, κατὰ συμβεβηκὸς εἶπον, καὶ πρώτως. κατὰ συμβεβηκὸς μὲν, διότι τὸ καθ' αὑτὸ κινούμενον, τὸ πλοῖόν ἐστι. πρώτως δὲ, ὅτι οὐ κατ' ἄλλο, ἀλλ' ὁ πλωτήρ ἐστι κινεῖται. ὅταν δὲ κινῇ τις τῇ βακτηρίᾳ τὴν θύραν, καθ' αὑτὸ κινεῖν λέγεται, καὶ κατ' ἄλλο, ἤτοι δι' ἄλλου. ὅταν δὲ κινοῦντος τῇ βακτηρίᾳ τὴν θύραν, εἴπω, τὸ λευκὸν κινεῖ τὴν θύραν, κατὰ συμβεβηκὸς εἶπον, καὶ κατ' ἄλλο. οὐ μόνον δὲ ὅταν διά τινος μέσου κινῶμέν τι, λεγόμεθα κατ' ἄλλο κινεῖν καὶ οὐ πρώτως, οὐ γὰρ πρώτως κινεῖ τὸ ξύλον ὁ τέκτων, ἀλλὰ πρώτως μὲν τὸ σκέπαρνον, διὰ δὲ τούτου τὸ ξύλον, ἀλλὰ καὶ ὅταν μορίῳ τι ποιῶμεν. οἷον ὅταν κινῇ τὸν δάκτυλον ὁ σωκράτης, ἢ τὸν πόδα ἐν τῷ κοιμᾶσθαι, λέγεται κινεῖσθαι σωκράτης. ἀλλ' οὐ πρώτως κινεῖσθαι, ἀλλὰ κατ' ἄλλο, τῷ τὸν πόδα κινεῖν, ἢ τὸν δάκτυλον. ὥστε οὐδὲ πρώτως ἂν λέγοιτο ὁ σωκράτης ὁρᾶν, εἴγε τὸ πρώτως τοῦτό ἐστιν, ὃ μὴ δι' ἄλλο τι τοῦ λοιποῦ κατηγορεῖται, ἀλλὰ δι' αὑτό. εἰ οὖν σωκράτης ἐστὶ τὸ ὅλον ζῶον, οὐ καθ' ὅλον δὲ αὐτὸ τὸ ζῶον, ὁρᾷ, ἀλλὰ μορίῳ, καθ' αὑτὸ μὲν ὁρᾶν λέγοιτο ἂν ὁ σωκράτης, κατ' ἄλλο δὲ, τουτέστι κατὰ μόριον. καὶ οὐχ ᾗ σωκράτης ἐστί. σωκράτης γὰρ, οὐ κατὰ μόριον, ἀλλὰ καθ' ὅλον τί ἐστιν. ὁρᾷ δὲ, οὐχ ᾗ σωκράτης, ἀλλὰ καθὸ ὄψιν ἔχει. ἐπειδὴ δὲ τῷ πρώτως ἀντικείμενον πολλάκις κατ' ἄλλο λέγουσι, πολλάκις δὲ δι' ἄλλου, ὡς τοῦ αὐτοῦ σημαινομένου δι' ἑκατέρου, εἰ δέοι κυριώτερον χρῆσθαι τοῖς ὀνόμασιν, ὅταν μὲν δι' ὀργάνου μὴ φυσικοῦ τι ποιῶμεν, ὡς ὅταν διὰ τῆς βακτηρίας κινῶμεν τὴν θύραν, εὐλογώτερον τὸ δι' ἄλλου λέγειν. ὅταν δὲ διὰ μορίου, τὸ κατ' ἄλλο. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. φησὶ δὲ ἐνταῦθα ὁ ἀριστοτέλης, ὅτι τὸ αὐτὸ ἐν ἑαυτῷ τι εἶναι, ἢ καθ' αὑτό ἐστιν, ἢ καθ' ἕτερον. τὸ καθ' αὑτὸ, ἀντὶ τοῦ πρώτως λέγων. πρότερον οὖν δείξας, ὅτι κατ' ἄλλο ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ εἶναι, ὕστερον δείκνυσιν, ὅτι πρώτως ἀδύνατον αὐτό τι ἐν ἑαυτῷ εἶναι. καὶ πρώτως, οὔτε καθ' αὑτὸ, οὔτε κατὰ συμβεβηκός.

» ΟΤΑΝ μὲν γὰρ ᾖ μόρια τοῦ ὅλου, τό, τε ἐν ᾧ, καὶ τὸ ἐν τούτῳ, λεχθήσεται τὸ ὅλον ἐν αὑτῷ. λέ-
» γεται γὰρ καὶ κατὰ μέρη. οἷον, λευκὸς, ὅτι ἡ ἐπιφάνεια λευκή. καὶ ἐπιστήμων, ὅτι τὸ λογιστικόν. ὁ μὲν οὖν ἀμφο-
» ρεὺς, οὐκ ἔσται ἐν αὑτῷ, οὐδ' ὁ οἶνος, ὁ δὲ τοῦ οἴνου ἀμφορεὺς ἔσται. ὅτε γὰρ καὶ ἐν ᾧ, ἀμφότερα τοῦ αὐτοῦ μό-
» ρια. οὕτω μὲν οὖν ἐνδέχεται αὐτό τι ἐν αὑτῷ εἶναι.

Π ῶς κατ' ἄλλο αὐτὸ ἐν ἑαυτῷ τι ἔσται, δείκνυσιν ὅτι ἀπὸ μέρους. τῷ γὰρ τοῦ ὅλου τὸ μόριον ἐν θατέρῳ εἶναι μορίῳ, λέγοιτ' ἂν τὸ ὅλον ἐν ἑαυτῷ εἶναι. τοῦτο δὲ καταχρηστικῶς. ἐπειδὴ καὶ ἡ συνήθεια εἴωθεν ἀπὸ τοῦ μέρους τὰ ὅλα καλεῖν. ὡς τὸν σωκράτην ὑποδεδέσθαι. καὶ τὸν σωκράτην λευκὸν εἶναι, ἢ ἐπιστήμονα. καίτοι μόριόν τι ὑποδέδεται, ὡς ὁ πούς. ἢ λευκόν ἐστιν, ὡς ἡ ἐπιφάνεια. ἢ ἐπιστῆμόν ἐστιν, ὡς ἡ ψυχή. οὕτως οὖν καὶ ὁ τοῦ οἴνου ἀμφορεὺς, αὐτὸς ἐν ἑαυτῷ λέγοιτ' ἂν εἶναι, τῷ τοῦ ὅλου μέρος, ἐν μέρει εἶναι. ἀλλὰ γὰρ μὴ διὰ πάντων ἁρμόζειν ἀπαιτεῖται τῷ παραδείγματι. ἐπεὶ μὴ ὥσπερ ὁ ποὺς ὑποδέδεται, καὶ οὕτω τὸ ὅλον λέγεται ὑποδεδέσθαι, τῇ τοῦ μέρους προσηγορίᾳ τοῦ παντὸς ὀνομαζομένου. ὡσαύτως καὶ ἐπὶ τοῦ ἀμφορέως τοῦ οἴνου ἔχει. οὐ γὰρ τῷ τὸ μόριον ἐν ἑαυτῷ εἶναι, οὕτω τὸ ὅλον ἐν ἑαυτῷ λέγεται. ἀλλὰ τοσοῦτον ἔστωσαν τοῦ παραδείγματος χρήσιμον, ὅτι ἀπὸ μέρους πολλάκις τὰ πράγματα ὀνομάζεται. ἐπεὶ δὲ καὶ τοῦ ἀμφορέως τοῦ οἴνου, ἐστὶ μέν τι τοῦ μορίου αὐτοῦ ἐν τόπῳ, οὐκ ἐν ἄλλῳ δέ τινι παρὰ τὸ ὅλον οὐδὲ ἔξωθεν αὐτοῦ, ἀλλ' ἐν ᾧ ὅλῳ ἐστὶ, καὶ ὁ τόπος καὶ τὸ ἐν τόπῳ, διὰ τοῦτο λέγοιτ' ἂν καὶ τὸ ὅλον ἤτοι ὁ τόπος καὶ

λυσα ὅσοι ἐκ τοῦ κακῶς λαμβάνειν τὸ τί ἐστι τοῦ τόπου ἀναφύονται· ὡς εἰ λαμβάνουσιν, ὅτι ὁ τόπος ψιλῶς ἐστι διαστατός. ἐστὶ δὲ αὖ καὶ αὐτόθεν ψευδὲς ἤπερ ὡς ἡ λέγουσι, πᾶν τὸ ὂν ἐν τόπῳ εἶναι. ἢ πᾶν τὸ ὄν, ἢ στοιχεῖον εἶναι, ἢ ἐκ στοιχείων. βούλεται οὖν ὡς εἶπον, ἀποδοῦναι τὸ τί ἐστι τοῦ τόπου. ἀλλ' ἐπειδὴ σαφέστερα ἐστὶ τοῦ τόπου τὰ ἐν τόπῳ, τὰ δὲ ἐν τόπῳ ἔν τινί ἐστι, βούλεται ἀπαριθμήσασθαι τὰ τοῦ ἔν τινι σημαινόμενα, καὶ εἰπεῖν, ποσαχῶς τὸ ἔν τινι λέγεται. καὶ λέγει τοσαυταχῶς τὸ ἔν τινι λέγεσθαι, ὁσαχῶς καὶ ὑπὸ τῶν ἐξηγητῶν αὐτοῦ εἴωθε λέγεσθαι ἐν τῷ τῶν κατηγοριῶν ὑπομνήματι. πλὴν οὐ πάντα ἐκτίθεται τὰ τοῦ ἔν τινι σημαινόμενα, ἀλλ' ἐννέα μόνον. παραλιμπάνει δὲ δύο, τό τε ἐν χρόνῳ, καὶ τὸ ἐν ὑποκειμένῳ. ἅμα δὲ καὶ ζητεῖ, εἰ ἔστι τι αὐτὸ ἐν ἑαυτῷ, εἴτε καθ' ἕν τι τούτων τῶν τοῦ ἔν τινι σημαινομένων, εἴτε κατ' ἄλλον τινὰ τρόπον. δῆλον δὲ ὅτι τῶν φυσικῶν, περὶ ὧν αὐτῷ καὶ ὁ λόγος. ζητεῖ οὖν πότερον ἔστι τι αὐτὸ ἐν ἑαυτῷ, ἢ πᾶν ἀνάγκη ἢ οὐδαμοῦ εἶναι, ἢ ἐν ἄλλῳ. φησὶν οὖν, ὅτι ἐπειδὴ ἔστι τι πρώτως εἶναι, ἔστι δὲ καὶ κατ' ἄλλο, λέγεται γὰρ ὁ Σωκράτης λευκὸς εἶναι, οὐ πρώτως ἀλλὰ κατ' ἄλλο, τῷ τὸ μέρος αὐτοῦ λευκὸν εἶναι, τὸ σῶμα, ἀλλ' οὐδὲ τὸ σῶμα πρώτως λευκόν, ἀλλ' ἡ ἐπιφάνεια πρώτως λευκή, διὰ ταύτην δὲ τὸ σῶμα, καὶ διὰ τοῦτο Σωκράτης λευκός, κατ' ἄλλο οὖν λευκὸς ὁ Σωκράτης οὐ πρώτως. ὁμοίως ὑποδεδέσθαι λέγεται Σωκράτης οὐ πρώτως, ἀλλὰ κατ' ἄλλο, τῷ τὸ μέρος αὐτοῦ ὑποδεδέσθαι, τὸν πόδα. ὁμοίως δὲ καὶ ὁρᾶν λέγεται ἀπὸ μέρους τῶν ὀφθαλμῶν. ἐπεὶ οὖν ἔστι τινὰ εἶναι πρώτως, ἔστι δὲ καὶ ἀπὸ μέρους, ἤτοι ἁπλῶς καὶ κατ' ἄλλο, καὶ τὸ ἐν ἑαυτῷ εἶναι, ἢ πρώτως ἔσται, ἢ ἀπὸ μέρους. πρώτως μὲν οὖν οὐ δυνατὸν εἶναι αὐτό τι ἐν ἑαυτῷ. κατ' ἄλλο δέ, καὶ ἀπὸ μέρους, δυνατόν. ὅταν τοῦ λεγομένου ἐν ἑαυτῷ εἶναι, τὸ μὲν ᾖ ὡς τόπος καὶ τὸ δεδεγμένον, τὸ δὲ ἐν ἐκείνῳ ὄν. ἐπεὶ οὖν τῶν μορίων τοῦ ὅλου, τὸ ἕτερόν ἐστιν ἐν τῷ ἑτέρῳ, λέγοιτο ἂν τὸ ὅλον ἐν ἑαυτῷ εἶναι, οὐ πρώτως, οὐδὲ τῷ ὅλον εἶναι αὐτὸ ἐν ἑαυτῷ, ἀλλὰ τῷ τῶν μορίων αὐτοῦ τὸ ἕτερον ἐν τῷ ἑτέρῳ εἶναι. ὥσπερ γὰρ λέγομεν τὸν ἄνθρωπον αὐτοκίνητον, οὐ τῷ τὸ ὅλον κινεῖν, καὶ τὸ ὅλον κινεῖσθαι, ἀλλὰ τῷ μέρος μέν τι αὐτοῦ κινεῖν, μέρος δέ τι κινεῖσθαι, κινεῖ μὲν γὰρ ἡ ψυχή, κινεῖται δὲ τὸ σῶμα, οὕτως κἂν εἴποις, καὶ αὐτὸν ἐν ἑαυτῷ εἶναι τὸν ἀμφορέα, τῷ μέρος ἐν μέρει εἶναι, τὸν οἶνον ἐν τῷ ἀμφορεῖ. ταύτῃ οὖν μόνως δυνατόν τι αὐτὸ ἐν ἑαυτῷ εἶναι. ἀπὸ μέρους γὰρ ὡς εἶπον, καὶ καταχρηστικῶς. εἰ δὲ γὰρ ὡς ἤδη εἴπομεν, τὴν τοιαύτην ἡ συνήθεια χρῆσιν, τὸ ἀπὸ μέρους τὰ ὅλα καλεῖν. ὡς ὅταν λέγωμεν τὸν Σωκράτην ὑποδεδέσθαι, ἢ ὁρᾶν, ἢ τὸν Σωκράτην αὐτὸν ἐπιστήμονα εἶναι. τῷ γὰρ τὴν ψυχὴν αὐτοῦ ἐπιστήμονα εἶναι, ἢ τὸν ὀφθαλμὸν ὁρᾶν, ἢ τὸν πόδα ὑποδεδέσθαι, οὕτως ἐκ τοῦ μέρους τὸ ὅλον ὀνομάζεται. οὕτως οὖν καὶ αὐτὸ τούτου· τῷ εἶναι μέντοι τῶν τοῦ ὅλου μερῶν ἔν τινι, μὴ ἐν ἄλλῳ μέντοι παρὰ τὸ ὅλον, λέγοιτο ἂν καὶ τὸ ὅλον ἐν ἑαυτῷ εἶναι. ἐπειδὴ οὖν καὶ τὸ μόριον τοῦ ζῴου ἕκαστον, χεῖρας λέγω καὶ πόδας καὶ τὰ λοιπά, ἐν τῷ ὅλῳ ἐστί, λέγοιτο ἂν καὶ τὸ ὅλον ἐν ἑαυτῷ εἶναι, οὐ πρώτως ὡς εἶπον, ἀλλὰ κατ' ἄλλο καὶ καταχρηστικῶς. οὕτως οὖν καὶ ὁ τοῦ οἴνου ἀμφορεὺς λέγοιτο ἂν αὐτὸς ἐν ἑαυτῷ, ὡς ἐν τόπῳ εἶναι. τῷ τὸ μέρος αὐτοῦ, ἐν τῷ λοιπῷ εἶναι ὡς ἐν τόπῳ. τῷ γὰρ μὴ εἶναι τὸ ὅλον, ἕτερον παρὰ τὸν τόπον καὶ τὸ ἐν τόπῳ, ταύτῃ τὸ ὅλον λέγεται αὐτὸ ἐν ἑαυτῷ εἶναι. ταύτῃ μὲν οὖν μόνως ἐνδέχεται αὐτό τι ἐν ἑαυτῷ εἶναι, πρώτως δὲ οὐκ ἐνδέχεται, οὔτε καθ' αὐτὸ οὔτε κατὰ συμβεβηκός. καὶ δείκνυσιν ἐφεξῆς τοῦτο, τῷ τε ἐπαγωγικῷ χρώμενος τρόπῳ, καὶ ἔτι τῷ ἀποδεικτικῷ. ὁ δὲ Ἀλέξανδρος, καὶ ἕτερα σημαινόμενα τοῦ ἔν τινι παρατίθεται, καὶ ἓν μέν, ὡς τὰ ἅμα ὄντα φησί. λέγω δέ, τὰ κατὰ τὰς ἐπιφανείας ἁπτόμενα ἀλλήλων. λέγοιντο γὰρ ἂν ταῦτα ἐν ἀλλήλοις εἶναι. ἀλλὰ δῆλον, ὅτι τὰ ἅμα, πάντες ἢ ὡς ἐν χρόνῳ λέγονται εἶναι, ἢ ὡς ἐν τόπῳ. τὰ οὖν ἀλλήλων ἁπτόμενα, ὡς ἐν τόπῳ λέγεται ἐν ἀλλήλοις. μέρος γάρ ἐστιν αἱ ἐπιφάνειαι καθ' ἃς ἅπτονται ἀλλήλων, τοῦ περιέχοντος αὐτὰ τόπου. ὥστε οὐκ ἔστι τοῦτο ἕτερον σημαινόμενον τοῦ ἔν τινι, παρὰ τοὺς ἀπηριθμημένους τρόπους. καὶ ἕτερον δὲ παρατίθεται σημαινόμενον, οὐκ ἄκομψον. λέγεται γάρ φησιν ἔν τινι καὶ ὡς ὑποκείμενον ἐν συμβεβηκότι. ὥσπερ φαμέν, ἐν καλοῖς εἶναι τὸν δεῖνα, ἢ ἐν κακοῖς. φαμὲν γὰρ οὕτω τὸ ὑποκείμενον ἐν συμβεβηκότι.

ΑΛΛΟΝ δ' ὡς τὸ γένος ἐν τῷ εἴδει. καὶ ὅλως τὸ μέρος τοῦ εἴδους ἐν τῷ τοῦ εἴδους λόγῳ. ἔτι ὡς ὑγίεια, ἐν θερμοῖς καὶ ψυχροῖς. καὶ ὅλως τὸ εἶδος ἐν τῇ ὕλῃ. ἔτι ὡς ἐν βασιλεῖ τὰ τῶν Ἑλλήνων, καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ. ἔτι ὡς ἐν τῷ ἀγαθῷ, καὶ ὅλως ἐν τῷ τέλει. τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα.

Οὐ δεῖ θαυμάζειν, εἰ τὸ γένος λέγεται ἐν τῷ εἴδει εἶναι, τὸ πλέον ἐν τῷ ἐλάττονι. τὰ γὰρ γένη, ἐστὶ μὲν καὶ κοιναί τινες φύσεις πλείοσιν ὑπάρχουσαι, καὶ κατὰ πλειόνων κατηγορούμεναι. γίνεται δὲ καὶ μέρη τῶν εἰδῶν. ὅταν ὡς ἤδη ὑπάρξαντα, ἐν τοῖς εἴδεσι θεωρῆται. ὥστε κατὰ ἄλλην καὶ ἄλλην σχέσιν, τὰ αὐτὰ καὶ καθολικώτερά ἐστι, καὶ μερικώτερα. ὅταν μὲν γὰρ μήπω συμπεπλεγμένα θεωρῆται ταῖς οἰκείαις διαφοραῖς, ὁλικώτερά ἐστιν. ὅταν δὲ συμπλακέντα ἀποτελέσῃ τὰ εἴδη, τότε μέρη τῶν εἰδῶν γίνεται. τοῦ γὰρ ὁρισμοῦ τοῦ ἀνθρώπου, λέγω δὲ τοῦ ζῴου λογικοῦ θνητοῦ, τὸ ζῷον γένος ὄν, μέρος ἐστί. διὰ τοῦτο γοῦν καὶ αὐτὸς εἶπεν, ὅτι ἄλλον δὲ ὡς τὸ γένος ἐν τῷ εἴδει, ἵνα δείξῃ, ὅτι γένος λέγει, οὐ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον, ἀλλὰ τὸ ἤδη συμπεπλεγμένον ταῖς διαφοραῖς, καὶ μέρος τῶν εἰδῶν γινόμενον. διὰ τοῦτο ἐπήγαγε, καὶ ὅλως τὸ μέρος τοῦ εἴδους, ἐν τῷ τοῦ εἴδους λόγῳ. τὸ

ὕλη τόπος, ἐν τόπῳ τὰ εἴδη ἔσονται. καίτοι οὐδὲ αὐτῷ δοκεῖ, ἐν τόπῳ εἶναι τὰ εἴδη, ὡς καὶ Ἀριστοτέλης ἐν τοῖς ἔμπροσθεν εἶπε. χωριστὰ γὰρ αὐτὰ εἶναι ὁ Πλάτων βούλεται. ὥστε ἢ κακῶς τὴν ὕλην τόπον εἶπεν ὁ Πλάτων, ἢ τὰ εἴδη ἀναγκάζεται ἐν τόπῳ λέγειν. ὅπερ αὐτῷ οὐ δοκεῖ. ἐροῦμεν δὲ πρὸς Ἀριστοτέλην, ὅτι πρῶτον μὲν, οὐ τῶν χωριστῶν εἰδῶν ἔλεγεν ὁ Πλάτων τὴν ὕλην τόπον εἶναι, ἅ καί φησι μὴ εἶναι ἐν τόπῳ. οὐδὲ τούτων εἶναι μεθεκτικὴν, ἀλλὰ τῶν φυσικῶν. ἔπειτα εἴπομεν, ὅτι καὶ τὴν ὕλην τόπον ἔλεγεν, οὐ τοιοῦτον τόπον, περὶ οὗ νῦν ἡμᾶς ποιούμεθα τὸν λόγον, ἀλλὰ κατ' ἀναλογίαν. εἴπομεν δὲ πολλάκις, καὶ πῶς ἔλεγε τὰ εἴδη ἀριθμούς. ὅτι διὰ τὸ περιοριστικὸν αὐτῶν, καὶ περατωτικόν. τὸ δὲ, ἃ δεῖ παρεκβάντας εἰπεῖν, εἴρηκε, διότι τὸ μὲν δεῖξαι, ὅτι ἡ ὕλη τόπος οὐκ ἔστιν, ἀκόλουθον ἦν τῇ προκειμένῃ θεωρίᾳ. τὸ μέντοι λέγειν, ὅτι εἰ τόπος εἴη ἡ ὕλη, ἔσονται τὰ εἴδη ἐν τόπῳ, τοῦτο οὐδὲν τῷ παρόντι λόγῳ συμβαλλόμενον ἦν, εἴτε ἐν τόπῳ εἰσὶ τὰ εἴδη, εἴτε μή. δυνατὸν δὲ καὶ τοῦτο, ὡς εἰς τὸ προκείμενον συντελοῦν λαβεῖν. εἰ γὰρ ἄτοπον, τὸ τὰ εἴδη ἐν τόπῳ εἶναι, δῆλον ὅτι οὐκ ἂν εἴη ἡ ὕλη τόπος.

ΕΤΙ πῶς ἂν φέροιτο εἰς τὸν αὑτοῦ τόπον, εἰ ὁ τόπος ἦν ἡ ὕλη ἢ τὸ εἶδος.

Τὸ τέταρτον ἐπιχείρημα. ἐντεῦθεν γὰρ πάλιν ἡ ἀκολουθία πρὸς τὰ προηγούμενα. τὰ γὰρ μεταξὺ, ἐν παρεκβάσει ἦν πρὸς Πλάτωνα. εἰ δὴ ἡ ὕλη ἦν φησι καὶ τὸ εἶδος ὁ τόπος, οὐδὲν ἂν ἐφέρετο ἐπὶ τὸν ἑαυτοῦ τόπον. οὐδὲν γὰρ φέρεται ἐπὶ τὸ εἶδος αὑτοῦ καὶ τὴν ὕλην. ἔστι γὰρ ἤδη ἐν αὐτῷ. ἀλλὰ μὴν φέρεται πᾶν ἐπὶ τὸν ἑαυτοῦ τόπον. ἡ βῶλος κάτω. τὸ πῦρ ἄνω. οὐκ ἄρα ἡ ὕλη καὶ τὸ εἶδος τόπος. τὸν αὐτὸν δὲ καὶ κατηγορικὸν ποιήσας, ἕξεις τὸ πέμπτον ἐπιχείρημα. ἐπὶ τὸν αὑτῶν τόπον πάντα φέρεται. ἐπὶ τὴν ὕλην καὶ τὸ εἶδος, οὐδὲν φέρεται. ὁ τόπος ἄρα, οὔτε ὕλη ἐστὶν, οὔτε εἶδος.

ΑΔΥΝΑΤΟΝ γὰρ οὗ μὴ κίνησις μηδὲ τὸ ἄνω ἢ κάτω ἐστὶ, τόπον εἶναι. ὥστε ζητητέος ἐν τούτοις ὁ τόπος.

Τοῦτο ἕκτον ἐπιχείρημα. ἅμα δὲ καὶ κατασκευὴ τούτου τε τοῦ ἐπιχειρήματος, καὶ τοῦ πρὸ αὐτοῦ. ἔστι δὲ τοῦτο τὸ ἐπιχείρημα. ἐν τῷ τόπῳ τὸ ἄνω ὑπάρχει καὶ τὸ κάτω. ἐν τῇ ὕλῃ καὶ τῷ εἴδει, οὔτε τὸ ἄνω ἐστὶν, οὔτε τὸ κάτω. ὁ τόπος ἄρα, οὔτε ὕλη ἐστὶν, οὔτε εἶδος. τὸ δὲ, ἀδύνατον γὰρ οὗ μὴ κίνησις, κατασκευὴ ἀμφοτέρων τῶν ἐπιχειρημάτων. ἐν ᾧ γὰρ μὴ ἔστι κίνησις, ἐν τούτῳ οὔτε τὸ ἄνω ἔσται καὶ τὸ κάτω, οὔτε φέροιτο ἄν τι ἐπὶ τοῦτο. ἐν δὲ τῷ εἴδει καὶ τῇ ὕλῃ, κίνησις οὐκ ἔστιν. ὥστε οὔτε φέρεταί τι ἐπὶ ταῦτα, οὔτε τὸ ἄνω ἐστὶν ἐν τούτοις καὶ τὸ κάτω. ὥστε ζητητέος ἐν τούτοις ὁ τόπος, ἐν οἷς δηλονότι κίνησίς ἐστι, καὶ ἐν οἷς τὸ ἄνω καὶ τὸ κάτω.

ΕΙ δ' ἐν αὐτῷ ὁ τόπος, δεῖ γὰρ εἴπερ ἢ μορφὴ ἢ ὕλη. ἔσται ὁ τόπος ἐν τόπῳ. μεταβάλλει γὰρ ἅμα τῷ πράγματι καὶ κινεῖται. καὶ τὸ εἶδος, καὶ τὸ ἀόριστον οὐκ ἀεὶ ἐν τῷ αὐτῷ, ἀλλ' ὅπερ καὶ τὸ πρᾶγμα. ὥστε τοῦ τόπου ἔσται τόπος.

Τὸ ἕβδομον ἐπιχείρημα. εἰ τὸ εἶδος καὶ ἡ ὕλη τόπος, ἐν τῷ πράγματι δὲ ἔστι τὸ εἶδος καὶ ἡ ὕλη, καὶ ὁ τόπος ἄρα ἐν τῷ πράγματί ἐστιν. ὅταν οὖν μεταβάλλῃ κατὰ τόπον τὸ πρᾶγμα, τουτέστι τὸ ἐξ ὕλης καὶ εἴδους, καὶ ἐξ ἄλλου τόπου ἄλλον καταλαμβάνῃ τόπον, συμμεταβάλλει αὐτῷ δηλονότι καὶ ἡ ὕλη καὶ τὸ εἶδος. οὐ γὰρ ἂν εἴη τὰ σύνθετα, ἐκεῖ καὶ τὰ συντιθέντα ἁπλᾶ ἐξ ἀνάγκης. οὐ γὰρ μένουσιν ἀεὶ ἐν τῷ αὐτῷ, ἀλλὰ τῷ πράγματι συγκινοῦνται καὶ συμμεταβάλλουσιν. ὥστε εἰ τὸ ὅλον ἐν τόπῳ γίνεται, καὶ ἡ ὕλη καὶ τὸ εἶδος ἐξ ἀνάγκης. ταῦτα δέ ἐστιν ὁ τόπος. ὁ τόπος ἄρα ἐν τόπῳ γίνεται. ὥστε τοῦ τόπου ἔσται τόπος.

ΕΤΙ ὅταν ἐξ ἀέρος ὕδωρ γένηται, ἀπόλωλεν ὁ τόπος. οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ τὸ γενόμενον σῶμα. τίς οὖν ἡ φθορά. ἐξ ὧν μὲν τοίνυν ἀναγκαῖον εἶναί τι τὸν τόπον. καὶ πάλιν ἐξ ὧν ἀπορήσειεν ἄν τις αὐτοῦ περὶ τῆς οὐσίας, εἴρηται.

Τὸ ὄγδοον ἐπιχείρημα. εἰ τὸ εἶδος φησὶν ὁ τόπος, ὅταν τὸ ὕδωρ φθαρῇ, καὶ γένηται ἀήρ, φθαρέντος τοῦ εἴδους, ἔφθαρται δηλονότι καὶ ὁ τόπος. τίς οὖν ἡ τοῦ τόπου φθορά, οὐκ ἂν εἰπεῖν ἔχοιεν. οὐ γὰρ δὴ εἴποιεν, ὅτι οὐκ ἔφθαρται, ἀλλ' ἐν τῷ γινομένῳ σώματι ἐκ τοῦ ὕδατος, ἔστιν ὁ τόπος. λέγω δὴ τῷ ἀέρι. οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐστὶν οὗτος. ἕτερον γὰρ τὸ τοῦ ἀέρος εἶδος. εἰ τοίνυν ἕτερον τὸ εἶδος τοῦ ἀέρος παρὰ τὸ τοῦ ὕδατος, τὸ δὲ εἶδος ὁ τόπος, οὐκ ἐν τῷ αὐτῷ ἄρα τόπῳ τοῦ ὕδατος, ὁ ἀήρ ἐστι.

ΜΕΤΑ δὲ ταῦτα ληπτέον, ποσαχῶς ἄλλο ἐν ἄλλῳ λέγεται. ἕνα μὲν δὴ τρόπον, ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ, καὶ ὅλως τὸ μέρος ἐν τῷ ὅλῳ. ἄλλον δὲ, ὡς τὸ ὅλον ἐν τοῖς μέρεσιν. οὐ γάρ ἐστι παρὰ τὰ μέρη τὸ ὅλον. ἄλλον δὲ τρόπον, ὡς ὁ ἄνθρωπος ἐν ζώῳ, καὶ ὅλως ὡς εἶδος ἐν γένει.

Δείξας ἐν ἀρχῇ, ὅτι ἔστιν ὁ τόπος, εἶτα θελήσας ἀποδοῦναι ἀκολούθως καὶ τὸ τί ἐστι, περιήγαγεν εἰς τοὐναντίον τὸν λόγον. καὶ ἔδειξεν, ὅτι εἰ θελήσομεν τὸ τί ἐστι τοῦ τόπου ἀποδοῦναι, κινδυνεύει μηδὲ ὅλως εἶναι ὁ τόπος. οὕτως ἐφ' ἑκάτερα ἐπιχειρήσας, ἐπειδὴ ἀρχόμενος τοῦ λόγου ἔλεγεν ὅτι ἐκ τῶν ὑπαρχόντων τῷ τόπῳ, οὐ τὸ αὐτό ἐστι λαβεῖν περὶ αὐτοῦ, ἐφεξῆς ἔδειξεν, ἐκ τίνων μὲν δοκεῖ ὕλη εἶναι, ἐκ τίνων δὲ εἶδος. εἶτα διὰ πλειόνων ἀνεσκεύασεν, ὅτι οὔτε ὕλη δύναται εἶναι, οὔτε εἶδος. ταῦτα εἰπὼν, ἀκολούθως ἀνατρέχει ἐπὶ τὸ δεῖξαι τί ἐστιν ὁ τόπος, καὶ τὰ αὐτῷ δοκοῦντα περὶ τοῦ τόπου ἐκτίθεται. τούτου γὰρ δειχθέντος, λέγω δὴ τοῦ τί ἐστιν ὁ τόπος, λύονται πᾶσαι αἱ ἀπορίαι, ἐξ ὧν ἐδόκει μὴ εἶναι ὁ τόπος, καὶ μά-

Τουτέστιν, ἄλλως ἐν τῷ Τιμαίῳ τὴν ὕλην ὀνομάζων, καὶ ἄλλως ἐν τοῖς ἀγράφοις δόγμασι, τουτέστιν ἐν ταῖς ἀγράφοις συνουσίαις. ἐν αὐταῖς γὰρ μέγα καὶ μικρὸν ἐκάλει τὴν ὕλην, ὡς ἐν τοῖς ἔμπροσθεν ὁ Ἀριστοτέλης εἶπε. καὶ εἴπομεν, διατί μέγα καὶ μικρὸν ἡ ὕλη. ἐν δὲ τῷ Τιμαίῳ, μεταληπτικὸν καλεῖ τὴν ὕλην διὰ τὸ τῶν εἰδῶν μεταλαμβάνειν. τὰς δὲ ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπεγράψατο. ὅμως μέντοι τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. εἰ δὲ καὶ διαφόρως φησὶ καλεῖ τὴν ὕλην, ἀλλ' οὖν τὸν τόπον καὶ τὴν ὕλην, ταυτόν φησιν. εἰ γὰρ τὴν ὕλην χώραν φησίν, ἡ δὲ χώρα οὐδὲν ἕτερόν ἐστι παρὰ τὸν τόπον, δῆλον ὅτι ταυτὸν ἔσται τῇ ὕλῃ ὁ τόπος. τῶν οὖν ἄλλων φησὶ πάντων ὅτι μέν ἐστιν ὁ τόπος εἰπόντων, τί δέ ἐστι μηδενός, μόνος ὁ Πλάτων, τί ἐστιν ὁ τόπος εἴρηκεν, ὅτι ἡ ὕλη. εἴπομεν δέ, ὅτι οὐ τοιοῦτον τόπον ἔλεγεν εἶναι τὴν ὕλην, περὶ οὗ νῦν ἡμῖν ὁ λόγος. ἀλλὰ κατ' ἀναλογίαν. διότι ὡς ὁ τόπος τῶν σωμάτων στοιχεῖον, οὕτω καὶ ἡ ὕλη τῶν εἰδῶν.

ΑΛΛΩΣ τε γὰρ τὴν ἀκρότητα ἔχει θεωρίαν. καὶ χωρὶς ἀλλήλων οὐ ῥᾴδιον αὐτὰ διορίζειν.

Εἴτε καὶ ἐντεῦθεν φησὶ τὸ χαλεπὸν τῆς τοῦ τόπου θεωρίας δείκνυται. εἴτε γὰρ ὕλη, εἴτε εἶδος ὁ τόπος, μᾶλλον χαλεπὸς ὁ περὶ αὐτοῦ λόγος. εἰς γὰρ τὰς ἀρχὰς ἀνάγουσιν, ὧν ἡ θεία καθ' αὑτήν τε ἀκρότατη ἐστί, καὶ οὐ ῥᾳδία. καὶ διότι πειρώμεθα, χωρίζοντες ἀλλήλων γινώσκειν, ἃ γινώσκεται χωρὶς ἀλλήλων οὐχ οἷόν τε. τῶν γὰρ πρός τι ἡ ὕλη καὶ τὸ φυσικὸν εἶδος. ἥτε γὰρ ὕλη, πρὸς εἶδος λέγεται. εἴδους γάρ ἐστιν ὕλη. καὶ τὸ φυσικὸν εἶδος ὡσαύτως εἶδός ἐστιν ὕλης.

ΑΛΛΑ μὴν ὅτι γε ἀδύνατον ὁπότερονοῦν τούτων εἶναι τὸν τόπον, οὐ χαλεπὸν ἰδεῖν. τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη, οὐ χωρίζεται τοῦ πράγματος. τὸν δὲ τόπον ἐνδέχεται. ἐν ᾧ γὰρ ἀὴρ ἦν, ἐν τούτῳ πάλιν ὕδωρ ὥς φαμεν γίνεται. ἀντιμεθισταμένων ἀλλήλοις τοῦ τε ἀέρος καὶ ὕδατος, καὶ τῶν ἄλλων σωμάτων ὁμοίως.

Ἐντεῦθεν οὖν ἀνασκευάζει, καὶ δείκνυσι διὰ πλειόνων, ὅτι οὔτε ὕλην, οὔτε εἶδος ἐνδέχεται εἶναι τὸν τόπον. τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕλη, οὐ χωρίζεται τοῦ πράγματος. ὁ τόπος χωρίζεται τοῦ πράγματος. οὔτε ἄρα εἶδος οὔτε ὕλη ὁ τόπος. τὸ σχῆμα δεύτερον. τὴν μὲν οὖν μείζονα πρότασιν, ὡς πρόδηλον οὐ κατασκευάζει. λέγω δὴ ὅτι ἡ ὕλη καὶ τὸ εἶδος οὐ χωρίζεται τοῦ πράγματος. τὴν ἐλάττονα δὲ κατασκευάζει, τὴν ὅτι ὁ τόπος χωρίζεται τοῦ πράγματος. ἐν ᾧ γὰρ πρότερον ἦν ἀήρ, ἐξελθόντος τούτου, ἄλλό τι ἐγγίνεται, ἀντιμεθισταμένων ἀλλήλοις τῶν σωμάτων. ὥστε χωρίζεται τοῦ πράγματος ὁ τόπος. τοῦτο δέ ἐστι τὸ πρῶτον ἐπιχείρημα.

ΩΣΤΕ οὔτε μόριον, οὔτε ἕξις. ἀλλὰ χωριστὸς ὁ τόπος ἐστὶν ἑκάστου.

Μόριον μέν, οἷον χείρ, ἢ πούς, ἢ τῶν ὁμοιομερῶν τι. ἕξις δέ, ἤτοι τὸ εἶδός φησι τὸ οὐσιῶδες, ἢ ἁπλῶς πᾶν εἶδος, καὶ τὸ κατὰ συμβεβηκός. τά τε γὰρ ἀχώριστα, καὶ τὰ χωριστὰ συμβεβηκότα, συμμεταφέρονται τῷ πράγματι. ὁ δὲ τόπος, ἀκίνητόν ἐστι, καὶ τῷ πράγματι οὐ συμμεταβαίνει. ὁμοίως δέ, οὐδὲ τὸ μόριον χωρίζεται τοῦ πράγματος, ἕως ἂν ᾖ μόριον. χωρισθὲν γάρ, εὐθὺς φθείρεται. ὥστε οὐδὲν τοῦ πράγματος ἐστὶν ὁ τόπος. δυνατὸν δὲ μόριον ἀντὶ τοῦ στοιχεῖον ἀκούειν. οἷον τὸ εἶδος καὶ τὴν ὕλην. ὅπερ καὶ μᾶλλον. ἵνα ᾖ συμπέρασμα, τὸ ὥστε οὔτε μόριον οὔτε ἕξις. ἀντὶ τοῦ, δῆλον οὖν ὅτι οὔτε εἶδος οὔτε ὕλη ὁ τόπος. καὶ τί λέγω εἶδος καὶ ὕλη; ἀλλ' οὐδ' ἕξις τίς, τουτέστιν οὔτε συμβεβηκός ἐστί τι τοῦ πράγματος. διότι ὁ μὲν τόπος, χωρίζεται τοῦ πράγματος, μετακινηθέντος. τὰ δὲ συμβεβηκότα, συμμετέρχονται αὐτῷ. καὶ γὰρ τὰ χωριστὰ συμβεβηκότα συμμετέρχονται αὐτῷ, καὶ συμμεταβαίνουσι κατὰ τόπον κινουμένῳ τῷ πράγματι. ὁ δὲ τόπος, οὐ συμμεταβαίνει, ἀλλὰ χωρίζεται αὐτοῦ.

ΚΑΙ γὰρ δοκεῖ τοιοῦτόν τι εἶναι ὁ τόπος, οἷον τὸ ἀγγεῖον. ἔστι γὰρ τὸ ἀγγεῖον, τόπος μεταφορητός. τὸ δ' ἀγγεῖον, οὐδὲν τοῦ πράγματός ἐστιν.

Ἔτι κατασκευάζει ὅτι ὁ τόπος χωρίζεται τοῦ πράγματος. οὐδὲν γάρ φησι διαφέρει ὁ τόπος τοῦ ἀγγείου. καὶ γὰρ τὸ ἀγγεῖον, τόπος ἐστὶ μεταφορητός. ὥσπερ οὖν τοῦ ἀγγείου χωρίζεται τὸ πρᾶγμα. ἕτερον γὰρ τοῦ πράγματος προφανῶς τὸ ἀγγεῖον, οὕτω δὲ καὶ τοῦ τόπου.

Η ΜΕΝ οὖν χωριστός ἐστι τοῦ πράγματος, ταύτῃ μὲν οὐκ ἔστι τὸ εἶδος. ᾗ δὲ περιέχει, ταύτῃ ἕτερος τῆς ὕλης.

Ἐντεῦθεν τὸ β' ἐπιχείρημα μεμερισμένως. ἐκ μὲν τῶν αὐτῶν τοῖς πρότερον δεικνύον, ὅτι οὐκ εἶδος ὁ τόπος. ὅτι δὲ οὐδὲ ὕλη, τῷ τὴν μὲν ὕλην περιέχεσθαι, τὸν δὲ τόπον περιέχειν.

ΔΟΚΕΙ δὲ ἀεὶ τὸ ὄν που αὐτό τε εἶναί τι, καὶ ἕτερόν τι ἐκτὸς αὐτοῦ εἶναι.

Τὸ γ' ἐπιχείρημα. ὁ τόπος ἐκτὸς τοῦ πράγματος, ἑτέρου ὄντος παρ' αὐτόν. ἡ ὕλη καὶ τὸ εἶδος, οὐκ ἔστιν ἐκτὸς τοῦ πράγματος. οὐδὲ ἕτερόν τι τοῦ οὗ ἐστιν ὕλη καὶ εἶδος. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ σύνθετον, ἢ σύνοδος ὕλης καὶ εἴδους. ὁ τόπος ἄρα οὔτε ὕλη ἐστίν, οὔτε εἶδος.

ΠΛΑΤΩΝΙ μέντοι λεκτέον, εἰ δεῖ παρεκβάντας εἰπεῖν, διατί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί, εἴπερ τὸ μεθεκτικὸν ὁ τόπος. εἴτε τοῦ μεγάλου καὶ τοῦ μικροῦ ὄντος τοῦ μεθεκτικοῦ, εἴτε τῆς ὕλης, καθάπερ ἐν τῷ Τιμαίῳ γέγραφεν.

Ἐγκαλεῖ τῷ Πλάτωνι. εἰ γὰρ τόπον φησὶ τὴν ὕλην εἶναι, συμβήσεται καὶ τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη ἐν τόπῳ εἶναι. ἐκ παραλλήλου δὲ ταυτὸν τοὺς ἀριθμοὺς καὶ τὰ εἴδη. εἰ γὰρ μεθεκτικὸν τῶν εἰδῶν ἡ ὕλη, ἡ δὲ

μεταβάλλον τὸ ὕδωρ, καί τοι τῆς ὕλης τῆς αὐτῆς οὔσης. διὰ πάντων οὖν τούτων, δῆλον ὅτι οὔτε ὕλη οὔτε εἶδος δύναται εἶναι ὁ τόπος. ἰστέον δὲ, ὅτι τὸ μὲν καθ' αὑτὸ, ἀντίκειται τῷ κατὰ συμβεβηκός. τὸ δὲ πρώτως τῷ κατ' ἄλλο. ἐνταυθα οὖν τὸ καθ' αὑτὸ, ἀντὶ τοῦ πρώτως εἶπεν. ἐπεὶ οὖν βούλεται ἐξομοιῶσαι τῷ εἴδει τὸν τόπον, τῷ καὶ τὸν τόπον ἕκαστον περιγράφειν καὶ περιορίζειν, ὥσπερ καὶ τὸ εἶδος, λέγεται δὲ ὁ μέν τις κοινὸς τόπος εἶναι, ὁ δὲ ἴδιος ἑκάστου, οὐκ ἔστι δὲ ἡ ὁμοιότης ἡ πρὸς τὸ εἶδος, οὐ κατὰ τὸν κοινὸν τόπον, ἀλλὰ κατὰ τὸν ἴδιον, διὰ τοῦτό φησιν, ἐπειδὴ τῶν ὄντων, τὰ μὲν ἐστὶ πρώτως τοῦτο ὃ λέγεται, τὰ δὲ, κατ' ἄλλο, καὶ ὁ τόπος δηλονότι, ὁ μὲν, ἔσται πρώτως καὶ κυριώτατα, ὁ ἕκαστον ἰδίᾳ περιέχων. ὁ δὲ, κατ' ἄλλο, ὁ κοινός. λεγόμεθα γὰρ ἐν τῷ κόσμῳ εἶναι, διότι ἐν τῷδε τῷ μέρει τοῦ κόσμου. καὶ ἐν τούτῳ, διότι ἐν τῇδε τῇ πόλει. καὶ ἐν ταύτῃ, διότι ἐν τῷδε τῷ οἴκῳ. καὶ ἐν τούτῳ, διότι ἐν τῷ μέρει τοῦ οἴκου, τῷ προσεχῶς ἐμὲ μόνον περιέχοντι. ὅσπερ καὶ κυρίως καὶ πρώτως ἐστὶ τόπος ἐμός. ὁ γὰρ οἶκος, καὶ ἡ πόλις, καὶ ὁ κόσμος, οὐ πρώτως ἐστὶ τόπος ἐμός. ἀλλὰ κατ' ἄλλο. ἡ γὰρ οἰκία τόπος ἐστὶν ἐμὸς, διὰ τὸ μόριον τοῦ οἴκου τὸ περιέχον με. καὶ ἡ πόλις, διὰ τὴν οἰκίαν, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως.

» ΕΙ δή ἐστιν ὁ τόπος, τὸ πρώτως περιέχον ἕκαστον τῶν σωμάτων, πέρας ἄν τι εἴη. ὥστε δόξειεν ἂν τὸ εἶδος καὶ ἡ μορφὴ ἑκάστου, ὁ τόπος εἶναι, ᾧ ὁρίζεται τὸ μέγεθος καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους. τοῦτο γὰρ ἑκάστου πέρας. οὕτω μὲν οὖν σκοποῦσιν, ὁ τόπος τὸ ἑκάστου εἶδός ἐστιν.

T οὐκ ἔστι τὸ πρώτως καὶ προσεχῶς ἕκαστον περιέχον, οὐχ ὁ κοινὸς τόπος. εἰ δὲ τὸ προσεχῶς ἕκαστον περιέχον τόπος ἐστὶ, πέρας τί ἐστι δηλονότι ὁ τόπος. περατοῖ γὰρ τὸ ἐν αὐτῷ. τοιοῦτον δὲ καὶ τὸ εἶδος. ὥστε δόξειεν ἂν ὁ τόπος τὸ εἶδος εἶναι, ᾧ ὁρίζεται τὸ μέγεθος, καὶ ἡ ὕλη ἡ τοῦ μεγέθους. τοῦτο γὰρ ἑκάστου πέρας. τὸ μέγεθος δὲ λέγοι ἂν τὸ σύνθετον, τὸ ἐξ ὕλης καὶ εἴδους. φησὶν οὖν, ὅτι τῷ εἴδει καὶ τὸ σύνθετον ὁρίζεται. τὸ γὰρ ὡρίσθαι αὐτῷ κατὰ τὸ εἶδός ἐστι. καὶ ἡ ὕλη δὲ τοῦ συνθέτου, ἀόριστος οὖσα καθ' αὑτὴν, ὁρίζεται ὑπὸ τοῦ εἴδους. τὸ γὰρ εἶδός ἐστι φησὶ, πέρας καὶ τῆς ὕλης καὶ τοῦ συνθέτου. εἶδος δὲ ἔοικε λέγειν νῦν, τὸ κατὰ τὰ πέρατα. καὶ γὰρ τὸ διάστημα ἀόριστον ὂν καθ' αὑτὸ καὶ ἀπεράτωτον, περατοῦται καὶ ὁρίζεται ὑπὸ τῆς ἐπιφανείας.

» Η ΔΕ δοκεῖ ὁ τόπος εἶναι τὸ διάστημα τοῦ μεγέθους, ἡ ὕλη. τοῦτο γὰρ ἕτερον τοῦ μεγέθους.

T οὐκ ἔστι καθὸ ὁ τόπος διάστημά τι ἐστὶ δεκτικὸν τοῦ μεγέθους, κατὰ τοῦτο ὕλη δοκεῖ εἶναι. ἐν γὰρ τῷ μεγέθει τὸ ἀόριστον διάστημα, ὕλη ἐστὶ τοῦ μεγέθους. ὥσπερ γὰρ ἡ πρώτη ὕλη, τῷ ἄλλοτε ἄλλα εἴδη δέχεσθαι, ἕτερα οὖσα παρ' αὐτὰ δείκνυται, οὐδέποτε δὲ χωρὶς εἴδους ἐστὶν, οὕτω φημὶ, ἐπειδὴ ποτὲ μὲν μεῖζον, ποτὲ δὲ ἔλαττον γίνεται τὸ μέγεθος, ἕτερόν τι ἐστὶν αὐτῷ ὑποκείμενον, τὸ ἁπλῶς μέγεθος. λέγω δὲ διάστημά τι ἀόριστον τῷ ἰδίῳ λόγῳ. ὅπερ ὁ πλάτων, τὸ πλημμελῶς καὶ ἀτάκτως κινούμενόν φησιν. ἀλλὰ τοῦτο, οὔ ποτέ ἐστιν εὑρεῖν χωρὶς ὅρου τινὸς καὶ πέρατος, ὃ καὶ τῷ ἰδίῳ λόγῳ οὐδένα ὅρον ἔχει, οὐδὲ πέρας. ὥσπερ οὖν τοῦτο τὸ ἀόριστον διάστημα, ὕλη ὂν τῶν μεγεθῶν, ἄλλοτε ἄλλο δέχεται μέγεθος, οὕτω δὴ καὶ ὁ τόπος, διάστημά ἐστιν ἄλλοτε ἄλλων μεγεθῶν δεκτικόν. καὶ ταύτῃ, ὕλη δόξειεν ἂν εἶναι. καὶ ὥσπερ τὸ ἀόριστον διάστημα, ἕτερόν ἐστι τοῦ μεγέθους, οἷον τοῦ διπήχεος ἢ τριπήχεος, οὕτω δὴ καὶ ὁ τόπος, ἕτερος τῆς ἐπινοίας ἐν αὐτῷ μεγεθῶν.

» ΤΟΥΤΟ δ' ἐστὶ τὸ περιεχόμενον ὑπὸ τοῦ εἴδους καὶ ὡρισμένον. οἷον ὑπὸ ἐπιπέδου καὶ πέρατος. ἔστι δὲ τοιοῦτον ἡ ὕλη καὶ τὸ ἀόριστον.

E ἰδοποιεῖται γὰρ τὸ ἀόριστον διάστημα τῷ ἐπιπέδῳ. αὐτὸ γὰρ καθ' αὑτὸ ἀόριστον ὂν καὶ ἀπεράτωτον, ὅταν προσλάβῃ ἐπιφάνειαν καὶ πέρας, τοῦτο δέ ἐστι σχήματός τι εἶδος, ὁρίζεται καὶ εἰδοποιεῖται.

» ΟΤΑΝ γὰρ ἀφαιρεθῇ τὸ πέρας καὶ τὰ πάθη τῆς σφαίρας, λείπεται οὐδὲν παρὰ τὴν ὕλην.

T ὁ πέρας, τουτέστιν ἡ ἐπιφάνεια, καὶ τὸ σφαιρικὸν σχῆμα. τὰ δὲ πάθη, τουτέστιν αἱ παθητικαὶ ποιότητες, τὸ χρῶμα. τὸ βάρος. καὶ τὰ λοιπά. τούτων γὰρ ἀφαιρεθέντων, καταλιμπάνεται ἀόριστός τις ὄγκος καὶ ἀπεράτωτος, ὅπερ ἐστὶν ἡ ὕλη. ὕλη δὲ, ἤτοι ἡ πρώτη, ἢ ὅπερ κάλλιον, ἡ ποσωθεῖσα. ἥτις ἐστὶ, τὸ τριχῇ διαστατόν. ὅπερ καθ' αὑτὸ, ἀόριστόν ἐστι καὶ ἀσχημάτιστον. οὐδενὶ γὰρ, οὔτε ὡρισμένῳ ποσῷ, οἷον διπήχει, ἢ τριπήχει. οὔτε ἐσχηματισμένῳ ταυτόν ἐστιν. ὅθεν, ἄλλοτε ἄλλο καὶ μέγεθος, καὶ σχῆμα δέχεται. τοῦτο δὲ καί τινες ὠνόμασαν εἶναι τὴν πρώτην ὕλην.

» ΔΙΟ καὶ ὁ πλάτων τὴν ὕλην καὶ τὴν χώραν τὸ αὐτό φησιν εἶναι ἐν τῷ τιμαίῳ. τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν.

Δ ιὰ ταύτην φησὶ τὴν αἰτίαν, διὰ τὸ προσεοικέναι τῇ ὕλῃ τὸν τόπον, καὶ ὁ πλάτων ἐν τῷ τιμαίῳ τὴν ὕλην φησὶ ταυτὸν εἶναι τῇ χώρᾳ. ἡ δὲ χώρα τόπος ἐστίν. ὥστε ταυτόν φησιν εἶναι τὴν ὕλην τῷ τόπῳ. μεταληπτικὸν δὲ καλεῖ τὴν ὕλην, ὡς ἤδη εἴπον, ὡς τῶν εἰδῶν μεταλαμβάνουσαν. καὶ μόνως μεταλαμβάνουσαν, οὐδαμῶς δὲ μεταλαμβανομένην. εἴπομεν δὲ, πῶς αὐτὴν καὶ χώραν καλεῖ, ὅτι κατὰ ἀναλογίαν. ὥσπερ καὶ αὐτὸς ὁ ἀριστοτέλης, τὴν ψυχὴν τόπον εἰδῶν τῶν διανοητῶν, καὶ τὸν νοῦν τῶν νοητῶν.

» ΑΛΛΟΝ δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν, καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. λέγουσι μὲν γὰρ ἅπαντες εἶναί τι τὸν τόπον. τί δ' ἐστὶν; οὗτος μόνος ἐπεχείρησεν εἰπεῖν. εἰκότως δ' ἐκ τούτων σκοπουμένοις, δόξειεν ἂν εἶναι χαλεπὸν γνωρίσαι, τί ἐστιν ὁ τόπος, εἴπερ τούτων ὁποτερονοῦν ἐστιν, εἴτε ὕλη, εἴτε τὸ εἶδος.

ται, τὴν ὕλην τόπον εἶναι τῶν εἰδῶν τι. πρόδηλον δὲ ὅτι οὐ τοῦτον τόπον, περὶ οὗ νῦν ὁ λόγος ἡμῖν, τὸ δεκτικὸν τῶν συνθέτων σωμάτων τούτων, ἔλεγε τὴν ὕλην ὁ Πλάτων, ἀλλὰ κατὰ ἀναλογίαν τῶν φυσικῶν εἰδῶν, τόπον ἐκάλει τὴν ὕλην. διότι ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ, οὕτως ἅπαν εἶδος φυσικὸν ἐν ὕλῃ. ὥσπερ ἀμέλει καὶ αὐτὸς Ἀριστοτέλης, τὴν ψυχὴν τόπον εἰδῶν καλεῖ ἐν τῇ περὶ ψυχῆς πραγματείᾳ. καὶ εὖ γε γάρ φησιν οἱ λέγοντες τὴν ψυχὴν τόπον εἰδῶν. καὶ τὸν νοῦν, τῶν νοητῶν εἰδῶν τόπον φησίν. οὕτως ἂν καὶ ὁ Πλάτων, τὴν ὕλην τόπον τῶν φυσικῶν εἰδῶν φησιν. εἰ γὰρ ὡς ἔχει τὰ ψυχικὰ εἴδη πρὸς τὴν ψυχήν, οὕτως ἔχει καὶ τὰ φυσικὰ εἴδη πρὸς τὴν ὕλην, ἡ δὲ ψυχὴ τόπος τῶν ψυχικῶν εἰδῶν, καὶ ἡ ὕλη ἄρα τόπος τῶν φυσικῶν εἰδῶν ἂν εἴη, ὡς δεκτικὴ αὐτῶν, καὶ ἔχουσα αὐτὰ συνεσκιασμένα δυνάμει. ἀναλογεῖ γάρ, τὸ μὲν χωριστὸν καὶ ἐξῃρημένον εἶδος πατρί, ἡ δὲ ὕλη μητρί. σπέρματι δέ, οἱ δημιουργικοὶ λόγοι, οἱ ἐκ τοῦ χωριστοῦ εἴδους ἐνδιδόμενοι εἰς τὴν ὕλην. κυήματι δέ, τὰ ἐκ τῶν λόγων τῶν δημιουργικῶν ἀναβλαστάνοντα ἐν τῇ ὕλῃ φυσικὰ εἴδη. διατοῦτο μητέρα τὴν ὕλην, τιθήνην τε καὶ δεξαμενὴν ὁ Τίμαιος ἐκάλεσε. καλεῖ δὲ καὶ μεταληπτικὸν τὴν ὕλην, ὡς τὰ εἴδη πάντα μεταλαμβάνουσαν, καὶ δεχομένην, καὶ μόνως μεταλαμβάνουσαν, μηδαμῶς δὲ μεταλαμβανομένην. πῶς δὲ μέγα καὶ μικρὸν αὐτὴν ἐκάλει, πολλάκις εἴρηται. ὅτι ὡς δεκτικὴν τῶν ἐναντίων. πρώτη δὲ ἐναντίωσις καὶ γενικωτάτη, ἡ κατὰ τὸ μέγα καὶ τὸ μικρόν. ἐπειδὴ καὶ πρῶτον ὀγκοῦται ἡ ὕλη ποσωθεῖσα. τοῦ δὲ ποσοῦ πρώτη ἀντίθεσις, ἡ κατὰ τὸ μέγα καὶ τὸ μικρόν. Οὕτως οὖν ἐκ τῶν ὑπαρχόντων τῷ τόπῳ δείξας, ἐκ τίνων μὲν ὕλη δόξειεν εἶναι, ἐκ τίνων δὲ εἶδος, ἐφεξῆς διὰ πλειόνων ἐπιχειρημάτων δείκνυσιν, ὅτι οὔτε ὕλη δύναται εἶναι ὁ τόπος, οὔτε εἶδος. εἰσὶ γὰρ ἀριθμοῦντι τὰ πάντα ἐπιχειρήματα ὀκτώ. διὰ μὲν οὖν τοῦ πρώτου ἐπιχειρήματος, κοινῷ λόγῳ δείκνυσιν, ὅτι οὔτε ὕλη δύναται εἶναι ὁ τόπος, οὔτε εἶδος, τοιούτῳ λόγῳ. ἡ ὕλη φησὶ καὶ τὸ εἶδος, ἀχώριστά ἐστι τοῦ πράγματος, οὗπερ ἐστὶν ὕλη καὶ εἶδος. ὁ δὲ τόπος χωρίζεται τῶν πραγμάτων, ὧν λέγεται εἶναι τόπος. ὁ τόπος ἄρα, οὔτε εἶδός ἐστιν, οὔτε ὕλη. ὅτι δὲ χωρίζεται τὰ πράγματα τῶν τόπων ἐν οἷς ἐστι, πρόδηλον. ἐν γὰρ τῷ τόπῳ φησίν, ἔνθα πρότερον ἦν ὕδωρ, ἐν τούτῳ ἐξελθόντος τοῦ ὕδατος ἀὴρ γέγονεν. ὥσπερ καὶ ἐν τῷ ἀγγείῳ ἐν ᾧ πρότερον ἦν οἶνος, ἐν τούτῳ ἐξελθόντος, ὕδωρ γίνεται ἢ ἀήρ. καὶ γὰρ τὸ ἀγγεῖόν φησι, τόπος ἐστὶ μεταφορητός, ὥσπερ καὶ ὁ τόπος, οἷον ἀγγεῖον ἀμετακίνητον. ὥσπερ οὖν τὸ ἀγγεῖον, οὐδέν ἐστι τῶν ἐν αὐτῷ, οὐχ ὕλη, οὐκ εἶδος, οὐχ ἕτερόν τι, διότι εἶδος μὲν καὶ ὕλη καὶ τὰ τοιαῦτα ἀχώριστα τοῦ πράγματος, ὁ δὲ κέραμος χωριστός, οὕτω δή φημι καθόλου καὶ ἐπὶ τοῦ τόπου. Τὸ δεύτερον ἐπιχείρημα, μεμερισμένως προφέρεται. τῷ μὲν γὰρ αὐτῷ λόγῳ δείκνυσιν, ὅτι τὸ εἶδος οὐκ ἔστιν ὁ τόπος, εἴγε τὸ μὲν εἶδος ἀχώριστον, ὁ δὲ τόπος χωριστός. ὅτι δὲ οὐδὲ ἡ ὕλη ὁ τόπος, δείκνυσιν οὕτως. ὁ τόπος περιέχει τὰ ἐν αὐτῷ τόπῳ. ἡ ὕλη περιέχεται καὶ οὐ περιέχει. ὁ τόπος ἄρα ὕλη οὐκ ἔστι. Τὸ τρίτον ἐπιχείρημα τοιοῦτον. ὁ τόπος ἔξωθέν ἐστι τοῦ πράγματος οὗ ἂν ᾖ τόπος. ἡ ὕλη καὶ τὸ εἶδος, οὐκ ἔστιν ἐκτὸς τοῦ πράγματος. ὁ τόπος ἄρα οὔτε ὕλη ἐστίν, οὔτε εἶδος. τέταρτον δι' ὑποθετικοῦ συλλογισμοῦ, οὕτως. εἰ ἡ ὕλη καὶ τὸ εἶδος ὁ τόπος, οὐδὲν ἂν ἐφέρετο ἐπὶ τὸν ἑαυτοῦ τόπον. οὐδὲν γὰρ φέρεται ἐπὶ τοῦτο, ἐν ᾧ ἐστιν. ἔστι δὲ ἕκαστον ἐν τῇ ἑαυτοῦ ὕλῃ, καὶ τῷ εἴδει. ἀλλὰ μὴν πάντα φέρεται ἐπὶ τοὺς ἑαυτῶν τόπους. ἡ ὕλη ἄρα καὶ τὸ εἶδος, τόπος οὐκ ἔστι. Τὸ αὐτὸ τοῦτο ἐπιχείρημα, ἔστι καὶ κατηγορικῶς σχηματίσαντας ποιῆσαι πέμπτον συλλογισμόν, οὕτω. τὰ κατὰ φύσιν κινούμενα, ἐπὶ τοὺς οἰκείους φέρεται τόπους. οὐδὲν τῶν κινουμένων ἐπὶ τὴν ὕλην φέρεται ἢ τὸ εἶδος. ὁ τόπος ἄρα οὔτε ὕλη ἐστίν, οὔτε εἶδος. τὸ σχῆμα τρίτον. ὅτι δὲ οὐδὲν κινεῖται ἐπὶ τὴν ὕλην καὶ τὸ εἶδος, προφανές. κινεῖται γάρ τι ἐπὶ τοῦτο, ἐν ᾧ πρότερον οὐκ ἔστι. πᾶν δέ, τὸ εἶναι αὐτό, ἐν τῇ ὕλῃ ἔχει καὶ τῷ εἴδει. Ἕκτον ἐπιχείρημα τοιοῦτον. ἐν τῷ τόπῳ, τὸ ἄνω ὑπάρχει καὶ τὸ κάτω, ἐφ' ἃ καὶ κινεῖται τὰ κινούμενα. ἐν δὲ τῇ ὕλῃ καὶ τῷ εἴδει, οὐχ ὑπάρχει τὸ ἄνω καὶ τὸ κάτω. ὁ τόπος ἄρα, οὔτε ὕλη ἐστίν, οὔτε εἶδος. Ἕβδομον ἐπιχείρημα τοιοῦτον. εἰ τὸ εἶδος φησὶν ἢ ἡ ὕλη τόπος ἐστίν, ἔστι δὲ ἡ ὕλη καὶ τὸ εἶδος ἐν τῷ πράγματι, λέγω δὲ τῷ συνθέτῳ, μεταβάλλει δὲ τὸ πρᾶγμα ἀπὸ τόπου εἰς τόπον, συγκινεῖται δηλονότι καὶ ταῦτα τοῖς πράγμασι, καὶ συμπαραγίνεται οὗπερ ἂν καὶ τὸ πρᾶγμα. ὥστε καὶ ὁ τόπος συμμεταβάλλει τοῖς πράγμασιν, ἀπὸ τόπου εἰς τόπον. πρῶτον μὲν οὖν ἄτοπον, κινεῖσθαι τοὺς τόπους. ἔπειτα συμβήσεται, τὸν τόπον ἐν τόπῳ εἶναι. εἰ γὰρ τὸ σύνθετον ἐν τόπῳ γίνεται, ὅποι ἂν ἐνθένδε ἐκεῖσε μεταβαίνῃ, τὸ δὲ σύνθετον οὐδὲν ἕτερόν ἐστι παρὰ τὴν ὕλην καὶ τὸ εἶδος, δῆλον ὅτι καὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἐν τόπῳ γίνεται. ἡ δὲ ὕλη καὶ τὸ εἶδος, τόπος ἐστίν. ὁ τόπος ἄρα ἐν τόπῳ γίνεται. ἀνάξαις δὲ καὶ ὑπὸ τὸ τέταρτον σχῆμα τὸν συλλογισμόν, οὕτως. ὁ τόπος, ἢ ὕλη ἐστίν, ἢ εἶδος. ἡ ὕλη καὶ τὸ εἶδος, ἐν τῷ συνθέτῳ ἐστίν. οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ σύνθετον, παρὰ τὴν ὕλην καὶ τὸ εἶδος. τὸ σύνθετον μεταβάλλον ἀπὸ τόπου, εἰς ἕτερον γίνεται τόπον. ὁ τόπος ἄρα μεταβάλλων ἀπὸ τόπου, εἰς ἕτερον γίνεται τόπον. εἰ δὲ ἄτοπον τὸν τόπον ἐν τόπῳ γίνεσθαι, ὁ τόπος ἄρα οὔτε ὕλη ἐστίν, οὔτε εἶδος. ταύτῃ γὰρ τῇ ὑποθέσει, τὸ ἄτοπον ἠκολούθησεν. Ὄγδοον ἐπιχείρημα. εἰ τὸ εἶδός φησιν ὁ τόπος, ὅταν φθαρῇ τὸ ὕδωρ καὶ μεταβάλλῃ εἰς ἀέρα, φθείρεται δὲ ἐξ ἀνάγκης καὶ ὁ τοῦ ὕδατος τόπος, εἴπερ τὸ εἶδός ἐστιν ὁ τόπος. καὶ τίς ἂν ἐπινοήσειε φθορὰ τόπου. ὥσπερ γὰρ οὐδὲ γένεσις τόπου ἐστίν, οὕτως οὐδὲ φθορὰ τόπου ἂν εἴη. ἄλλως τε, οὐδὲ ἡ αἴσθησις ὑπαγορεύει ἐφθάρθαι τὸν τοῦ ὕδατος τόπον μεταβαλόντος εἰς ἀέρα. ἐν τούτῳ γὰρ ἄλλο τι γέγονε σῶμα. εἰ δὲ ἡ ὕλη ὁ τόπος, ἐπεὶ δὲ καὶ μένει ἡ αὐτή, μεταβάλλοντος τοῦ ὕδατος εἰς ἀέρα, διατί ἐν ἄλλῳ τόπῳ γίνεται εἰς ἀέρα

τόπος ἐν τόπῳ εἴη ἄν· κἀκεῖνος ἐν ἄλλῳ· καὶ τοῦτο ἐπ' ἄπειρον. ἔστι δὲ τοῦτο ἄτοπον καὶ ἀδύνατον, οὐ πάντα ἄρα τὰ ὄντα ἐν τόπῳ.

ΕΤΙ δ' ὥσπερ ἅπαν σῶμα ἐν τόπῳ, οὕτω καὶ ἐν τόπῳ ἅπαντι σῶμα, πῶς οὖν ἐροῦμεν περὶ τῶν αὐξανομένων; ἀνάγκη γὰρ ἐκ τούτων συναύξεσθαι τὸν τόπον αὐτοῖς, εἰ μήτε ἐλάσσων μήτε μείζων ὁ τόπος ἑκάστου. διὰ μὲν οὖν τούτων, οὐ μόνον τί ἐστιν, ἀλλὰ καὶ εἰ ἔστιν ἀπορεῖν ἀναγκαῖον.

Τὸ τελευταῖον ἐπιχείρημα. ἀξιώματα δὲ δύο ταῦτα προλαμβάνει· τὸ μὲν, ὅτι πᾶν σῶμα ἐν τόπῳ. τοῦτο γὰρ περὶ παντὸς κοινῶς ὁμολόγηται, εἴ γε καὶ τὰ ὄντα πάντα ἐν τόπῳ ἔλεγον. τὸ δὲ λαμβάνει, ὡς ἀκόλουθον, τὸ ἐν παντὶ τόπῳ σῶμα εἶναι. ὁ γὰρ τόπος πρὸς τὸ ἐν τόπῳ λέγεται. δείξει δὲ ἐφεξῆς, ὅτι οὐδὲν κενόν. τούτων οὖν οὕτως ἐχόντων, φησί, τί ἐροῦμεν περὶ τῶν αὐξομένων; τὸ γὰρ προστεθὲν σῶμα, ἢ οὐκ ἔσται ἐν τόπῳ, ὅπερ ἀδύνατον κατὰ τοὺς τὸν τόπον εἰσάγοντας· ἢ ἔν τινι προϋπάρχοντι κενῷ γέγονεν, ὅπερ καὶ αὐτὸ ἐλεγχθήσεται· ἢ ὁ τόπος ηὔξηται, καὶ ἐκ μικροῦ μείζων γέγονεν, ὅπερ καὶ αὐτὸ γελοῖον. τίς γὰρ ἂν ἐπινοηθείη τόπου αὔξησις; ἐκ τούτων οὖν πάντων φησίν, οὐ μόνον τί ἐστιν ὁ τόπος οὐχ εὕρηται, ὅπερ προέκειτο δεῖξαι, ἀλλὰ καὶ περιήλθομεν εἰς τὸ μηδὲ εἶναι ὅλως τὸν τόπον δεικνύναι.

ΕΠΕΙ δὲ, τὸ μὲν, καθ' αὑτὸ, τὸ δὲ κατ' ἄλλο λέγεται· καὶ τόπος ὁ μὲν κοινὸς, ἐν ᾧ ἅπαντα τὰ σώματά ἐστιν, ὁ δ' ἴδιος, ἐν ᾧ πρώτῳ. λέγω δὲ οἷον, σὺ νῦν ἐν τῷ οὐρανῷ, ὅτι ἐν τῷ ἀέρι· οὗτος δ' ἐν τῷ οὐρανῷ· καὶ ἐν τῷ ἀέρι, ὅτι ἐν τῇ γῇ· ὁμοίως δὲ καὶ ἐν ταύτῃ, ὅτι ἐν τῷδε τῷ τόπῳ, ὃς περιέχει οὐδὲν πλέον, ἢ σέ.

Ἐπειδὴ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν, ὅτι ἐκ τῶν ὑπαρχόντων τῷ τόπῳ, οὐ τὸ αὐτό ἐστιν ἀποφήνασθαι περὶ αὐτοῦ. ἀλλ' ἐκ μέν τινων ὑπαρχόντων αὐτῷ, νομισθείη ἂν τὸ εἶδος ἑκάστου εἶναι ὁ τόπος, ἐκ δέ τινων ὕλη, νῦν ἂν τὸ τοῦτο βούλεται δεῖξαι, ἐκ τίνων μὲν, ὕλη ἂν νομισθείη, ἐκ τίνων δὲ εἶδος. εἶτα ἐφεξῆς διὰ πλειόνων ἐπιχειρημάτων δείκνυσιν, ὅτι οὔτε ὕλη δύναται εἶναι, οὔτε εἶδος. ἵνα οὖν δείξῃ, πῶς μὲν εἶδος ἂν ὑπονοηθείη, πῶς δὲ ὕλη, ὅπερ εἴωθεν ἀεὶ ποιεῖν, καὶ νῦν ποιεῖ. λέγω δὴ τὰ διάφορα τοῦ τόπου σημαινόμενα διαιρεῖ· καὶ ἀφορίζεται, τίς ὁ κυρίως τόπος, καὶ περὶ οὗ νῦν ποιούμεθα τὸν λόγον. καὶ ἄλλως γὰρ εἴωθεν ἀεὶ τῶν ὁμωνύμων φωνῶν διαστέλλεσθαι τὰ διάφορα σημαινόμενα, καὶ ἀφορίζεσθαι τὸ προκείμενον, περὶ οὗ ὁ λόγος. τοῦτο οὖν καὶ νῦν ποιεῖ, ἀναγκαῖόν τι ὑπάρχον τῷ περὶ τόπου ποιουμένῳ τὸν λόγον, καὶ ἄλλως εἰς τὸ δεῖξαι, ὅτι ἐκ τῶν ὑπαρχόντων τῷ τόπῳ, ποτὲ μὲν, ὡς εἶδος δόξει εἶναι, ποτὲ δὲ ὕλη. ὁ γὰρ κοινότερον λεγόμενος τόπος, οὐκ ἔχει ἔμφασιν τοῦ νομισθῆναι εἶδος. ἵνα οὖν μάθωμεν, ποσαχῶς λέγεται ὁ τόπος, διαιρέσει χρῆται τοιαύτῃ. ὅτι ὄντος τοῦ μὲν, πρώτως, τοῦ δὲ κατ' ἄλλο, καὶ ὁ τόπος· ὁ μέν τις ἐστὶ πρώτως καὶ κυριώτατα ἑκάστου, ὁ δὲ, κατ' ἄλλο. οἷον λέγεται ὁ ἄνθρωπος καὶ αἰσθητικὸς εἶναι, καὶ νοῦ καὶ ἐπιστήμης δεκτικός. ἀλλ' αἰσθητικὸς μὲν, κατ' ἄλλο. ᾗ γὰρ ζῷον, οὐχ ᾗ αὐτός. νοῦ δὲ καὶ ἐπιστήμης δεκτικὸς ᾗ αὐτός. καὶ ἐπὶ ἄλλων πλείστων ὡσαύτως. καὶ ὁ τόπος οὖν ὁ μέν τις, ἔστι πρώτως καὶ καθ' αὑτὸ, ὁ δὲ, κατ' ἄλλο. λεγόμεθα γάρ φησιν ἐν τῷ οὐρανῷ εἶναι, οὐ πρώτως, ἀλλὰ κατ' ἄλλο, τὸ τὸν οὐρανὸν πάντα τὰ ὄντα περιέχειν. οὐ γὰρ δή γε ἐν τῷ οὐρανῷ εἰμί. ἀλλὰ εἰμὶ μὲν ἐν τῷ ἀέρι· τὸν δὲ ἀέρα ἐν τῷ οὐρανῷ εἶναι, κἀγὼ ἐν τῷ οὐρανῷ λέγομαι εἶναι. κατ' ἄλλο οὖν ἐν τῷ οὐρανῷ εἰμὶ, οὐ πρώτως. ὁμοίως καὶ ἐν τῷ ἀέρι λέγομαι εἶναι, οὐ πρώτως, ἀλλὰ τῷ ἐν τῷδε ἢ τῷδε τῷ μορίῳ αὐτοῦ εἶναι. καὶ ἐν τῇ γῇ δὲ λέγομαι εἶναι, οὐ πρώτως, ἀλλὰ τῷ ἐν μορίῳ αὐτοῦ εἶναι. ὅπερ μέντοι τοῦδε τοῦ μορίου τοῦ ἀέρος προσεχῶς ἐμὲ μόνον περιέχει· καὶ οὗτός ἐστιν ὁ πρώτως καὶ κυριώτατα ἑκάστου τόπος, ὁ προσεχῶς ἓν ἕκαστον περιέχων μόνον, καὶ ἀφορίζων ἀπὸ τῶν ἄλλων. ἔστιν οὖν ὡς ὅρῳ περιλαβεῖν, κυρίως ὁ τόπος, ὁ περιέχων προσεχῶς ἕκαστον τῶν σωμάτων. εἰ δὲ τὸ περιέχον ἕκαστον, τοῦτό ἐστιν ὁ τόπος, πέρας τι ἂν εἴη φησὶν ὁ τόπος. εἰ δὲ ὁ τόπος ἐστὶ, τὸ πρώτως περατοῦν ἕκαστον καὶ ὁρίζον, δόξειεν ἂν τὸ εἶδος εἶναι ὁ τόπος. τοῦτο γὰρ τοῦ εἴδους ἐστὶν ἴδιον, τὸ ὁρίζειν καὶ περατοῦν ἕκαστον, καὶ τῶν λοιπῶν ἀποκρίνειν. ἐκ τούτων μὲν οὖν φησι, δόξειεν ἂν εἶναι τὸ εἶδος, ὁ ἑκάστου τόπος. ἐξ ἄλλων δὲ πάλιν ὑπαρχόντων αὐτῷ, νομισθείη ἂν ὕλη εἶναι. εἰ γάρ ἐστιν ὁ τόπος, διάστημά τι, χωρητικόν τε καὶ μεγεθῶν δεκτικὸν, δόξειεν ἂν ὕλη εἶναι. τοιοῦτον γὰρ καὶ ἡ ὕλη, ἀόριστόν τι οὖσα διάστημα καθ' αὑτήν. ὁρίζεται δὲ ταῖς τῶν μεγεθῶν ἐπιφανείαις καὶ σχήμασι, καὶ τοῖς ἄλλοις πάθεσιν. εἰ γὰρ τῆς σφαίρας φησὶν ἀφέλοιμεν τὰ πάθη, καὶ τὸ σχῆμα καὶ τὰ πέρατα, οὐδὲν ἄλλο περιλείπεται, ἢ διάστημά τι ἀόριστόν τι καὶ ἀπεράτωτον, τοῦτο δέ ἐστιν, ἡ ὀγκωθεῖσα ὕλη. καὶ ὁ τόπος οὖν, τοιοῦτόν τι δοκεῖ εἶναι. ἔστι γὰρ διάστημά τι καθ' αὑτὸ ἀσχημάτιστον καὶ ἄποιον, δεκτικὸν δὲ τῶν ἐσχηματισμένων καὶ πεποιωμένων. καὶ τοιοῦτο δόξειεν ἂν ἡ ὕλη. οὐ μόνον δὲ, ἀλλὰ καὶ ἐκ τοῦ μένοντα εἶναι καὶ τὸν αὐτὸν, πλειόνων εἶναι μεγεθῶν δεκτικὸν, ἄλλοτε ἄλλων. τοῦτο γὰρ μάλιστα τῆς ὕλης οἰκεῖον. διὰ ταῦτά φησι, καὶ ὁ Πλάτων φησὶν ἐν τῷ Τιμαίῳ, τὸ μεταληπτικὸν καὶ τὴν χώραν, ἓν καὶ ταὐτὸν εἶναι. τὸ δὲ μεταληπτικὸν σημαίνει αὐτῷ τὴν ὕλην. εἰ τοίνυν ἡ ὕλη μεταληπτικόν ἐστι, τὸ δὲ μεταληπτικὸν ἡ χώρα ἐστὶν, ἡ δὲ χώρα οὐδὲν ἕτερόν ἐστιν, ἢ ὁ τόπος, τὴν ὕλην ἄρα ὁ Πλάτων, τὸν τόπον ἔλεγεν εἶναι. εἰ δὲ ἐν μὲν τῷ Τιμαίῳ τὴν ὕλην ἄλλως ἐκάλεσε, τὸ μεταληπτικὸν αὐτὴν ὀνομάσας, ἐν δὲ ταῖς ἀγράφοις συνουσίαις, τὸ μέγα καὶ τὸ μικρὸν αὐτὴν καλεῖ, οὐδὲν διαφερόμεθα. πλὴν ὅτι τὸ μεταληπτικὸν, τὴν χώραν καὶ τὸν τόπον εἶναι λέγει. οἱ μὲν οὖν ἄλλοι φησὶ πάντες, μόνον ἀπεφήναντο περὶ τοῦ τόπου, ὅτι ἐστί. μόνος δὲ ὁ Πλάτων, ἐπεχείρησεν εἰπεῖν, τί ἐστι, λέγων, ὅτι ἡ ὕλη ἐστὶν ἡ χώρα καὶ ὁ τόπος. ὁ μὲν οὖν Ἀριστοτέλης ὡς εἴωθε, τὸ φαινόμενον ἐλέγχων, οὕτως ἐγκαλεῖ τῷ Πλάτωνι

τωνι

ἀδύνατον δὲ σῶμα τὸν τόπον εἶναι· ἐν ταὐτῷ γὰρ ἂν εἴη δύο σώματα. ἔτι εἴπερ ἐστὶ σώματος τόπος καὶ χώρα, δηλονότι καὶ ἐπιφανείας, καὶ τῶν λοιπῶν περάτων.

διὰ μὲν οὖν τοῦ διαστήματα τρία ἔχειν, τὴν ἐλάττονα πρότασιν ἔδειξε. διὰ δὲ τοῦ εἰς ὃ εἰσὶ σῶμα πᾶν, τὴν μείζονα. ἦν δὲ ἡ μὲν ἐλάττων, ὁ τόπος τριχῇ διαστατόν. ἡ δὲ μείζων, τὸ τριχῇ διαστατὸν, σῶμα. παρῆκε δὲ τὸ συμπέρασμα, ὡς προφανές. ἦν δὲ, ὁ τόπος ἄρα σῶμα. τὸ δὲ ἑπόμενον ἄτοπον τῷ συμπεράσματι τούτῳ, ὅπερ ἐστὶ καὶ τοῦ δευτέρου συλλογισμοῦ ὑποθετικοῦ ὄντος συμπέρασμα, τοῦτο τίθησιν, εἰπὼν, ἀδύνατον δὲ, σῶμα εἶναι τὸν τόπον. ἦν δὲ ὁ ὑποθετικὸς, τοιοῦτος. εἰ ὁ τόπος σῶμα, δύο σώματα ἐν τῷ αὐτῷ ἂν εἴη. ἀλλὰ μὴν ἀδύνατον δύο ἐν τῷ αὐτῷ εἶναι σώματα. οὐδὲ τὸν τόπον ἄρα δυνατὸν σῶμα εἶναι. τούτου οὖν τοῦ συλλογισμοῦ, τὸ μὲν συνημμένον παρέλειψε. τὸ εἰ σῶμα ὁ τόπος, δύο σώματα ἐν τῷ αὐτῷ ἂν εἴη. τὸ δὲ συμπέρασμα καὶ τὴν πρόσληψιν ἔθηκε. πρῶτον μὲν τὸ συμπέρασμα, εἰπὼν, ἀδύνατον δὲ σῶμα εἶναι τὸν τόπον. εἶτα τὴν πρόσληψιν, εἰπὼν, ἐν ταὐτῷ γὰρ ἂν εἴη δύο σώματα. ὅπερ ταὐτόν ἐστι τῷ, ἀδύνατον δὲ ἐν τῷ αὐτῷ, δύο σώματα εἶναι.

ὉΓΑΡ αὐτὸς ἁρμόσει λόγος. ὅπου γὰρ ἦν πρότερον τὰ τοῦ ὕδατος ἐπίπεδα, ἔσται πάλιν τὰ τοῦ ἀέρος. ἀλλὰ μὴν διαφορὰν οὐδεμίαν ἔχομεν στιγμῆς, καὶ τόπου στιγμῆς.

αὐτός φησι λόγος ὁ περὶ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων, ὃν ἐπήνεγκε, ἁρμόσει εἰς τὸ δεῖξαι, ὅτι εἰ ἔστι τόπος σώματος, καὶ ἐπιφανείας ἔσται, καὶ γραμμῆς, καὶ σημείου.

ὩΣΤΕ εἰ μηδὲ ταύτης ἐστὶν ὁ τόπος ἕτερος, οὐδὲ τῶν ἄλλων οὐθενός. οὐδ' ἔστι τι παρ' ἕκαστον τούτων ὁ τόπος. τί γὰρ ἄν ποτε καὶ θείημεν εἶναι τὸν τόπον.

εἰ μὴ τῆς στιγμῆς φησιν ἕτερός ἐστιν ὁ τόπος, οὐδὲ γραμμῆς δηλονότι οὐδὲ ἐπιφανείας οὐδὲ σώματος. πῶς δὲ οὐχ ἕτερος τῆς στιγμῆς ὁ τόπος. τί γὰρ διοίσει ὁ τῆς στιγμῆς τόπος αὐτῆς τῆς στιγμῆς. μείζων μὲν γὰρ αὐτῆς οὐκ ἔστιν. ᾧ γὰρ περιττεύει μέρει, τούτῳ μηδὲν αὐτῇ περιέχον, οὐδὲ τόπος ἐστὶ κατὰ τοῦτο. ἴσος δὲ ὢν, αὐτὸ τοῦτό ἐστι στιγμή. ὥστε τὸ ὅλον, μία ἔσται στιγμή. ἐφαρμόζουσι γὰρ αἱ στιγμαί. κἂν γὰρ μυρίαι ἐπισυντεθῶσιν, οὐ ποιοῦσι μεῖζον τὸ ὅλον. εἰ δὲ μία εἴη στιγμὴ, οὐκ ἂν εἴη ἕτερον ἡ τοπικὴ στιγμὴ, καὶ ἡ ἐν τόπῳ στιγμή. τὰ αὐτὰ καὶ ἐπὶ γραμμῆς, καὶ ἐπιφανείας ἁρμόζει λέγειν. εἰ τοίνυν μηδενὸς τούτων ἐστὶ τόπος, οὐδὲ σώματος ἂν εἴη. τὸ γὰρ ἐν τόπῳ ὂν, καθ' ὅλον ἑαυτὸ ὀφείλει εἶναι ἐν τόπῳ, ὥσπερ ὁ ἐν τῷ κεράμῳ οἶνος.

ΟΥΤΕ γὰρ στοιχεῖον, οὔτε ἐκ στοιχείων οἷόν τε εἶναι, τοιαύτην ἔχοντα φύσιν. οὔτε τῶν σωματικῶν οὔτε τῶν ἀσωμάτων. μέγεθος μὲν γὰρ ἔχει. σῶμα δ' οὐδέν. ἔστι δὲ τὰ μὲν τῶν αἰσθητῶν σωμάτων στοιχεῖα, σώματα.

ἕκτον τοῦτο ἐπιχείρημα. τοιαύτην ἔχοντα φύσιν, ἀντὶ τοῦ δεκτικὴν σωμάτων, ἔτι καὶ τὸν αὐτὸν μένοντα ἀμετάβλητον, καὶ μηδὲν εἰς τὴν οὐσίαν τῶν σωμάτων συντελοῦντα. τοῦτο δὲ εἶπε, διότι δοκεῖ Πλάτων, τὸν τόπον τὴν ὕλην λέγειν, ὅπερ ἐφεξῆς ἐλέγξει. φυλάττοντας οὖν φησι τὴν ἀληθῆ περὶ τοῦ τόπου ἔννοιαν, ἣν αὐτοφυῶς ἔχομεν, καὶ μὴ καταχρωμένοις τῷ ὀνόματι, χαλεπὸν ἀποδοῦναι τὸ τί ἐστι τοῦ τόπου.

ΕΚ ΔΕ τῶν νοητῶν στοιχείων οὐδὲν γίνεται μέγεθος.

ἀλλὰ μὴν ἡ ὕλη καὶ τὸ εἶδος, στοιχεῖα οὐκ αἰσθητά. τὸ γὰρ σύνθετόν ἐστι, τὸ αἰσθητόν. καὶ ὅμως ἐκ τῆς συνθέσεως αὐτῶν, νοητῶν ὄντων, γίνεται μέγεθος. ἀλλὰ ταῦτα μὲν, οὐδὲ ὑφέστηκέ ποτε ἐνεργείᾳ καθ' αὑτό. περὶ δὲ τῶν ὑφεστηκότων ὁ λόγος. ὑφέστηκε δὲ καὶ ὁ τόπος. οὐχ ἁπλῶς οὖν περὶ παντὸς στοιχείου νοητοῦ φησὶν, ἀλλὰ περὶ στοιχείων, ἅ τινα νοητῶν πραγμάτων ἐστὶ στοιχεῖα, καὶ αὐτὰ δηλονότι νοητὰ ὄντα. ἐκ τούτων οὖν φησι συντιθεμένων, μέγεθος οὐδὲν γίνεται. οἷον ἐξ ὅρων. ἢ ἐκ προτάσεων. νοητὸν γὰρ καὶ τὸ ἐκ τούτων, ὁ συλλογισμός.

ΕΤΙ δὲ, καὶ τίνος ἄν τις θείη τοῖς οὖσιν αἴτιον εἶναι τὸν τόπον. οὐδεμία γὰρ αἰτία ὑπάρχει αὐτῷ τῶν τεττάρων. οὔτε γὰρ ὡς ὕλη τῶν ὄντων. οὐδὲν γὰρ ἐξ αὐτοῦ συνέστηκεν. οὔτε ὡς εἶδος καὶ λόγος τῶν πραγμάτων. οὔθ' ὡς τέλος. οὔτε κινεῖ τὰ ὄντα.

ἐπειδὴ ἐν τῇ κατασκευῇ τῶν περὶ τοῦ τόπου λόγων, ἔλεγεν, ὅτι μεγάλην δύναμιν ἔχει ὁ τόπος, ἐν τούτῳ τῷ ἐπιχειρήματι τὸ ἐναντίον κατασκευάσαι βούλεται, ὅτι οὐδὲν τοῖς οὖσι συντελεῖ. εἰς οὐδὲν γὰρ τῶν αἰτίων ἀναχθῆναι δύναται. ἐκ παραλλήλου δὲ, τὸ εἶδος καὶ λόγος οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ ἑκάστου εἶδος, ἢ ὁ ὁρισμὸς, ὃ τὸ τί ἦν εἶναι σημαίνει.

ΕΤΙ δὲ καὶ αὐτὸς εἰ ἔστι τῶν ὄντων, ποῦ ἔσται. ἡ γὰρ Ζήνωνος ἀπορία ζητεῖ τινὰ λόγον. εἰ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, δηλονότι καὶ τοῦ τόπου τόπος ἔσται. καὶ τοῦτο, εἰς ἄπειρον πρόεισιν.

ἕβδομον ἐπιχείρημα. εἰ πάντα φησὶ τὰ ὄντα ἐν τόπῳ, ἔστι δὲ τῶν ὄντων καὶ ὁ τόπος, καὶ αὐτὸς ἂν ἐν τόπῳ εἴη. καὶ τοῦτο ἐπ' ἄπειρον. ἡ γὰρ Ζήνωνος ἀπορία, ζητεῖ τινὰ λόγον. τουτέστι λύσιν καὶ ἀπολογίαν. ἴσως τοῦ Ζήνωνος τοῦτο ἀποροῦντος, καὶ ἀναιροῦντος ἐκ τῶν ὄντων τὰς τῶν τόπων διαφορὰς, διὰ τὸ καθόλου τὸν τόπον ἀναιρεῖν, διὰ τὸ δεῖξαι ἓν τὸ ὂν ὑπάρχον. αἱ γὰρ τῶν τόπων διαφοραὶ, σαφῶς τὸ πλῆθος τῶν πραγμάτων παρίστησι. ταῦτα δὲ ἐκ στοχασμῶν φαμέν. οὐ γὰρ ἔχομεν εἰπεῖν σαφῶς, τί βουλόμενος ὁ Ζήνων, τοῦτο ἠπόρει. ἴσως δὲ καὶ τὸ ἄπειρον εἰσαγαγεῖν βουλόμενος. εἰ γὰρ ὁ τόπος ἐν τόπῳ, κἀκεῖνος ἐν ἄλλῳ. καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε ἔστι τὸ ἄπειρον. ἢ εἴ τις βούλοιτο ἀγνωμόνως ἀκούειν, ἴσως ὁ Ζήνων ἀναιρῶν τὸν λόγον τὸν λέγοντα, πάντα τὰ ὄντα ἐν τόπῳ εἶναι, τοῦτο ἔλεγεν. ὅτι εἰ πάντα τὰ ὄντα ἐν τόπῳ, καὶ ὁ τόπος δὲ τῶν ὄντων, καὶ ὁ

Εἰ τοίνυν μήτε νοητὸς ἂν ὁ τόπος, μήτε αἰσθητὸς, πάντα δὲ τὰ ὄντα νοητά ἐστιν ἢ αἰσθητὰ, ἔοικεν ἄρα μὴ εἶναι τῶν ὄντων ὁ τόπος. εἰ δέ τις λέγοι, τί κωλύει εἶναι ὡς στοιχεῖον τῶν αἰσθητῶν, μὴ ὄντα αὐτὸν σῶμα, ἐπεὶ καὶ ἡ ὕλη καὶ τὸ εἶδος στοιχεῖά ἐστι τῶν αἰσθητῶν, ἀσώματα ὄντα; φημὶ, ὅτι πρῶτον μὲν εἴρηται, ὅτι ἀδύνατον αὐτὸν ἀδιάστατον εἶναι, διαστημάτων ὄντα χώραν. ἔπειτα διὰ τοῦ ἑξῆς ἐπιχειρήματος τετάρτου ὄντος, δειχθήσεται καθόλου, ὅτι οὐ μόνον ὡς στοιχεῖον ἀδύνατον εἶναι τὸν τόπον, ἀλλὰ καὶ καθόλου κατ' οὐδὲν τῶν τῆς ἀρχῆς σημαινομένων. ἐπειδὴ γὰρ ἔδειξεν, ὅτι οὐ δύναται εἶναι οὔτε στοιχεῖον, οὔτε ἐκ στοιχείων, τὰ δὲ ὄντα πάντα οὐ μόνον στοιχεῖά ἐστι καὶ ἐκ στοιχείων, ἀλλὰ καὶ ἕτερά τινα παρὰ ταῦτα, τὸ γὰρ ποιητικὸν καὶ τελικὸν αἴτιον, οὔτε στοιχεῖά ἐστιν, οὔτε πάντως ἐκ στοιχείων, ἀλλ' ὡς ἀρχή, ὡς εἶναι τὴν κοινοτάτην τῶν ὄντων διαίρεσιν εἰς ἀρχὰς καὶ τὰ ἐξ ἀρχῶν, ἔδειξε δὲ ὅτι ἐξ ἀρχῶν ἀδύνατον εἶναι τὸν τόπον, ἢ γὰρ νοητὸς ἔσται, ἢ σῶμα, οὐδὲν δὲ τούτων ἐνδέχεται αὐτὸν εἶναι. νῦν παραιτεῖται δεῖξαι, ὅτι οὐδ' ὅλως ἀρχή τίς ἐστι τῶν ὄντων καὶ αἰτία ὁ τόπος. τέσσαρα γάρ φησι πάντων τῶν ὄντων τὰ αἴτια. ἡ ὕλη. τὸ εἶδος. τὸ ποιητικόν. τὸ τελικόν. οὐδὲν δὲ τούτων δύναται εἶναι ὁ τόπος. οὐδὲν γὰρ ἐξ αὐτοῦ γίνεται. ἐκ δὲ τῆς ὕλης πάντα γίνεται. καὶ ὁ μὲν τόπος περιέχει, ἡ δὲ ὕλη περιέχεται. οὐκ ἄρα ὡς ὕλη ὁ τόπος. ἀλλ' οὐδὲ εἶδος ὁ τόπος. τὸ μὲν γὰρ εἶδος, συμπληρωτικόν ἐστι τῆς ἑκάστου οὐσίας, καὶ κατὰ τοῦτο ἕκαστον τῶν ὄντων χαρακτηρίζεται. καὶ τὸ ἐκστὰν αὐτοῦ, εὐθὺς καὶ ἔφθαρται. οἷον εἶδός ἐστι τοῦ πυρὸς, τὸ θερμὸν καὶ ξηρὸν, καὶ εἰ ἐκσταίη τούτου τὸ πῦρ, οὐκέτι μένει πῦρ, ἀλλὰ φθείρεται. ἐκστὰν δέ τι τοῦ οἰκείου καὶ κατὰ φύσιν τόπου, οὐδὲν ἧττόν ἐστι, καὶ σώζει τὸ οἰκεῖον εἶδος. τὸ γὰρ πῦρ καὶ κάτω ὂν καὶ ἄνω, οὐδὲν ἧττον πῦρ ἐστι, καὶ κάτω γενόμενον, τοῦ μὲν τόπου ἑαυτοῦ ἐξέστη, τοῦ δὲ εἴδους τοῦ πυρείου οὐκ ἐξέστη. ὥστε οὐδὲ ὡς εἶδος δύναται εἶναι ὁ τόπος. ἀλλ' οὐδὲ ὡς ποιητικὸν αἴτιον. οὐδὲν γὰρ ὁρῶμεν ὑπὸ τόπου δημιουργούμενον. ἀλλ' οὐδὲ ὡς τελικόν. ὃ καὶ παράδοξον. δοκεῖ γὰρ ὡς τέλος τι καὶ ἐφετὸν εἶναι ὁ τόπος. τὸ γὰρ ἐφιέμενόν τινος, βούλεται ἐκεῖνο γενέσθαι οὗ ἐφίεται. οἷον τὸ ἐφιέμενον ἀγαθοῦ, ἀγαθὸν βούλεται γενέσθαι, καὶ τὸ ἐφιέμενον ὑγιείας, ὑγιεινόν. οὐδὲν δὲ τῶν ἐν τόπῳ, τόπος γίνεται. ὥστε οὐδὲ τελικὸν αἴτιον ὁ τόπος. οὐδὲν ἄρα τῶν αἰτίων, δύναται εἶναι ὁ τόπος. δέδεικται δὲ, ὅτι οὐδὲ τῶν αἰτιατῶν. ἔοικεν ἄρα μηδὲ εἶναι ὁ τόπος. Ἴσως δὲ πρὸς τοῦτο ἀπορήσειεν ἄν τις. ἔτι τὸ ἐφιέμενον ἀγαθοῦ, ἐν ἀγαθῷ γενέσθαι βούλεται. καὶ τὸ ἐφιέμενον ὑγιείας, ἐν ὑγιείᾳ εἶναι βούλεται. ὁμοίως δὲ καὶ τὸ ἐφιέμενον τόπου τινὸς, ἐν ἐκείνῳ εἶναι βούλεται. διατί οὖν μὴ ὥσπερ τὸ ἀγαθὸν καὶ ὑγιεία, τέλος τῶν ἐφιεμένων αὐτῶν, οὕτω δὴ καὶ ὁ τόπος, τέλος τῶν ἐν αὐτῷ γενέσθαι βουλομένων. ἠρεμεῖ γοῦν ἕκαστον, καὶ τῆς ἐφέσεως παύεται, ἐν ᾧ ἐφετῷ γενόμενον. ὥσπερ καὶ τὰ παρὰ τόπον κινούμενα, παύεται τῆς κινήσεως, ἐν τῷ κατὰ φύσιν γενόμενα τόπῳ, οὗ καὶ ἐφίεται. πῶς οὖν οὐ τελικὸν αἴτιον ὁ τόπος. Φημὶ οὖν πρῶτον μὲν, ὅπερ ἤδη εἴρηται, ὅτι τὰ ἐφιέμενα τινὸς, τυχόντα αὐτοῦ, ἐκεῖνό τι γίνεται κατὰ δύναμιν, ὅπερ ἐστὶ τὸ ἐφετὸν, καὶ ἐξ αὐτοῦ παρονομάζεται. ἴσως δὲ καὶ τοῦ αὐτοῦ κοινωνεῖ ὀνόματος. ὁ οὖν τοῦ ἀγαθοῦ ἐφιέμενος, τυχὼν ἐκείνου, ἀγαθός τέ ἐστι καὶ ὀνομάζεται. καὶ ὁ τῆς ὑγιείας, ὑγιεινός. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. τὸ δὲ τόπου ἐφιέμενον, οὐ τόπος γίνεται, οὔτε ἐξ αὐτοῦ παρονομάζεται. κἂν γὰρ ὁ τῆς ἀρετῆς ἐφιέμενος, μὴ ἐξ αὐτῆς παρονομάζηται, ἀλλ' οὖν γε τρόπον τινὰ ἐκεῖνο γίνεται, ὅπερ ἐστὶν ἡ ἀρετή. ἔπειτα, τὰ μὲν τελικὰ αἴτια, ἐν αὐτοῖς ἐνθεωρεῖται ὧν ἐστὶ τέλη. ὁ δὲ τόπος, πάντων τῶν ἐν τόπῳ ἐκτός ἐστι, οὐδὲν ἐπικοινωνῶν τῷ πράγματι. ἔπειτά φησι, καὶ ἡ Ζήνωνος ἀπορία ζητεῖ τινα λόγον καὶ ἀπολογίαν. εἰ γὰρ πάντα τὰ ὄντα ἐν τόπῳ, ὡς ἐδόκει τισὶν, ἔστι δὲ καὶ ὁ τόπος τῶν ὄντων, καὶ ὁ τόπος ἄρα ἐν τόπῳ ἔσται. καὶ πάλιν ἐκεῖνος ἐν ἄλλῳ. καὶ τοῦτο ἐπ' ἄπειρον. τοῦτο μὲν οὖν ἐπιχείρημα. ἕκτον δὲ καὶ τελευταῖον τίθησι τὸ ἐκ τῶν αὐξανομένων. εἰ μήτε φησὶ σῶμα ἐνδέχεται εἶναι χωρὶς τόπου, εἴ γε τὰ ὄντα πάντα ἐν τόπῳ εἶναί φασι, μήτε τόπον ἐνδέχεται εἶναι κενὸν σώματος, δείκνυται γὰρ μικρὸν ὕστερον, ὅτι ἀδύνατον εἶναι, τί ἐροῦμεν περὶ τῶν αὐξανομένων. ὅταν γὰρ μεῖζον γίνηται σῶμα αὐξόμενον, τοῦτο πόθεν ὑπάρξει τόπος. πάντα γὰρ ἤδη πεπλήρωται, διὰ τὸ μὴ εἶναι κενόν. ἀνάγκη οὖν μείζονα γίνεσθαι καὶ τὸν τόπον, καὶ συναυξάνεσθαι τῷ σώματι. πῶς οὖν, ἢ πόθεν αὔξεται ὁ τόπος, χαλεπὸν συνιδεῖν. καὶ εἰ τὸ αὐξόμενον, μείζονα τόπον ἐπέχει, καὶ ὁ τόπος ἐπιδέξει μείζονα τόπον. καὶ ἔσται πάλιν ὁ τόπος ἐν τόπῳ, ἔπειτα καὶ ὃν κατέλαβεν, ἢ κενὸς ἦν πρὸ τούτου, ἢ πλήρης σώματος. ἀλλ' οὔτε κενὸν εἶναι δυνατὸν, οὔτε ἐν τῷ αὐτῷ τόπους δύο, καὶ σώματα δύο εἶναι. λείπεται δὴ, τὸ προστιθὲν τῷ ηὐξημένῳ σῶμα μὴ εἶναι ἐν τόπῳ. ὅπερ ἀδύνατον καὶ ἄλογον. εἰ οὖν αὔξεται μὲν τὰ σώματα, τόπος δὲ εἴπερ ἐστὶν, οὔτε κενὸν εἶναι ἐνδέχεται οὔτε σῶμα μὴ ὂν ἐν τόπῳ, ἐν δὲ τῇ τῶν σωμάτων αὐξήσει τούτων θάτερον ἀνάγκη συμβαίνειν, ἔοικεν ἄρα μὴ εἶναι ὅλως ὁ τόπος.

ΟΥ μὴν, ἀλλ' ἔχει γε ἀπορίαν, εἰ ἔστι, τί ἐστι. πότερον ἔστι τις ὄγκος σώματος, ἤ τις ἑτέρα φύσις. ζητητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον.

Ὅτι δὲ καὶ εἶναι τόπον φησὶν ἀπεδείξαμεν, ἀλλ' ὁ περὶ τοῦ τί ἐστι λόγος ἔχει πολλὰς ἀπορίας, ὡς περιίστασθαι πάλιν ἐντεῦθεν ἡμῖν τὸν λόγον, εἰς τὸ μηδ' ὅλως αὐτὸν εἶναι.

ΔΙΑΣΤΗΜΑΤΑ μὲν οὖν ἔχει τρία. μῆκος καὶ πλάτος. καὶ βάθος. οἷς ὁρίζεται σῶμα πᾶν.

ἀδύνατον

ἐν τῷ αὐτῷ δύο ἰσόγκα σώματα χωρηθῆναι, διότι μὴ καὶ τρία καὶ τέτταρα καὶ ἄπειρα. τίς γὰρ ἡ ἀποκλήρωσις. εἰ δὲ τοῦτο, χωρηθήσεται ἡ θάλασσα ἐν τῷ κυάθῳ, καὶ ὁ οὐρανὸς ἐν κέγχρῳ. πᾶν γὰρ πεπερασμένον καταδαπανᾶται, ἴσων πεπερασμένων ὁποιωνοῦν ἀφαιρουμένων. ὥστε εἰ τοῦτο ἀδύνατον, καὶ τὸ ἐν τῷ αὐτῷ ἅμα δύο σώματα εἶναι, ἀδύνατον. ἔπειτα εἰ δυνατὸν σῶμα διὰ σώματος χωρῆσαι, ἔδει τὸν ξέστην τοῦ ὕδατος ἐμβαλλόμενον εἰς δύο ξέστας οἴνου, τὸ ὅλον μὴ τριῶν ξεστῶν ποιεῖν, ἀλλὰ δύο, ὥστε τὸ αὐτὸ φυλάττεσθαι μέτρον τῶν δευτέρων ξεστῶν τοῦ οἴνου. εἰ γὰρ μὴ μόνον αἱ ποιότητές εἰσιν αἱ δι' ἀλλήλων χωροῦσαι, ἀλλὰ καὶ αὐτὰ τὰ σώματα, οἷον τὸ ὕδωρ δι' ὅλης τῆς ποσότητος τοῦ οἴνου ἐχώρησεν, οὐκ ἔδει τὸ ἐξ ἀμφοῖν πλείονα ἐπιλαμβάνειν τόπον. εἰ δὲ ὅλως χωρῶν ὁ ξέστης τοῦ ὕδατος διὰ τῶν δύο ξεστῶν τοῦ οἴνου, πλεῖον τὸ ὅλον ποιεῖ, ἔδει τετραξεστιαῖον γίνεσθαι τὸ ἐξ ἀμφοῖν εἴ γε δι' ὅλων τῶν ξεστῶν ὁ ξέστης ἐχώρησε. ἢ γοῦν πάλιν τῷ ξέστῃ τοῦ ὕδατος ἐμβαλλομένων δύο ξεστῶν οἴνου, ἐπειδὴ αἱ δύο ξέσται διὰ τοῦ ἑνὸς ἐχώρησαν, τὸ ἐξ ἀμφοῖν ξεστιαῖον γενέσθαι. εἰ τοίνυν ἀδύνατον δύο σώματα, ἕνα καὶ τὸν αὐτὸν κατέχειν τόπον, ἐπειδὴ χωρεῖν σῶμα διὰ σώματος ἀδύνατον, ἀδύνατον σῶμα εἶναι τὸν τόπον. ἀλλὰ μὴν οὐδ' ἀσώματον δυνατὸν, ὡς δέδεικται. ἢ γὰρ πάντῃ ἀδιάστατος ἔσται, καὶ οὕτως οὐδ' ὁποσοῦν δέξεται σῶμα. ἢ διχῇ ἢ μοναχῇ διαστατὸς ἔσται, καὶ οὕτως οὐ δέξεται ὅλον καθ' ὅλον ἑαυτὸ τὸ σῶμα. δεῖ δὲ τὸ σῶμα ᾗ σῶμά ἐστιν, ἐν τόπῳ εἶναι. εἰ τοίνυν μήτε σῶμα δυνατὸν εἶναι τὸν τόπον, μήτε ἀσώματον, ἔοικεν ἄρα μηδὲ εἶναι ὅλως ὁ τόπος. εἰ γὰρ ἦν, σῶμα πάντως ἦν, ἢ ἀσώματος. ἔπειτά φησι δι' ὧν ἀπεδείξαμεν ὅτι ἔστιν ὁ τόπος, δι' αὐτῶν τούτων δυνατὸν ἀποδεῖξαι ὅτι οὐκ ἔστι. ἀπεδείκνυτο δὲ μάλιστα διὰ τοῦ α' ἐπιχειρήματος, ἦν δὲ τοιοῦτον. εἰ ὁ τόπος εἷς καὶ ὁ αὐτὸς μένων, πλείονα σώματα ἄλλοτε ἄλλα δέχεται. ὁ δὲ ἓν καὶ τὸ αὐτὸ μένον, πλείονα δέχεται σώματα, τοῦτο καὶ ἔστι, καὶ ἕτερόν ἐστι παρ' ἃ δέχεται. ὁ τόπος ἄρα καὶ ἔστι, καὶ ἕτερόν ἐστι τῶν σωμάτων ὧν δέχεται. τῷ αὐτῷ οὖν τούτῳ ἐπιχειρήματι δυνατὸν δεῖξαι, ὅτι οὐκ ἔστιν ὁ τόπος. ὥσπερ γὰρ, ἔνθα πρότερον ἦν ὕδωρ, ἐκεῖ ὕστερον οἶνος γέγονεν ἢ ἀὴρ ἢ ἕτερόν τι, οὕτω δηλονότι καὶ ἔνθα πρότερον ἦν ἡ τοῦ ὕδατος ἐπιφάνεια, ἐκεῖ καὶ ἡ τοῦ οἴνου γέγονεν ἐπιφάνεια, ἐξελθόντος τοῦ ὕδατος, καὶ ἡ τοῦ ἀέρος, ἐξελθόντος τοῦ οἴνου. ὥστε ἔστι καὶ ἐπιφανείας τόπος. εἷς γὰρ καὶ ὁ αὐτὸς ὢν, ἄλλοτε ἄλλην ἐπιφάνειαν δέχεται. ὡσαύτως δείξομεν, ὅτι καὶ γραμμῆς ἐστι τόπος. εἰ γάρ ἐστιν ἐπιφανείας τόπος, δῆλον ὅτι καὶ τοῦ πέρατος αὐτῆς ἔσται τόπος. λέγω δὴ γραμμῆς. ἐν ᾧ γὰρ πρότερον ἦν τὸ πέρας τῆς ἐπιφανείας τοῦ ὕδατος, ἐν τούτῳ ὕστερον γέγονε τὸ πέρας τῆς ἐπιφανείας τοῦ ἀέρος. εἶτα τοῦ οἴνου. εἶτα ἄλλοτε ἄλλου. ὥστε καὶ γραμμῆς ἔσται τόπος. ἀλλ' εἰ γραμμῆς, καὶ τοῦ πέρατος αὐτῆς, δηλονότι τοῦ σημείου, κατὰ τὸν αὐτὸν λόγον. καὶ ἐπειδὴ ἕτερόν ἐστιν ὁ τόπος, καὶ ἕτερον τὸ ἐν τόπῳ, ἕτερον ἔσται δηλονότι καὶ ἡ στιγμὴ καὶ ὁ τῆς στιγμῆς τόπος, στιγμὴ ὢν καὶ αὐτὸς δηλονότι. τίς οὖν ἡ διαφορὰ στιγμῆς καὶ τόπου τῆς στιγμῆς, οὐδ' ἂν ἐπινοήσειέ τις. σώματος μὲν γὰρ καὶ τόπου σώματος, δυνατὸν λέγειν τινὰ διαφορὰν, κἂν σῶμα ὑπάρχῃ ὁ τόπος. ὅτι τὸ μὲν τοπικὸν σῶμα, ἄποιόν ἐστι. τὸ δὲ ἐν τόπῳ, πεποιωμένον. στιγμῆς δὲ, καὶ τοπικῆς στιγμῆς, οὐδὲ ἐπινοῆσαι διαφορὰν δυνατόν. δυνατὸν μὲν οὖν ἦν τὸ αὐτὸ τοῦτο καὶ ἐπὶ ἐπιφανείας εἰπεῖν καὶ γραμμῆς. ἀλλ' ὡς ἐπὶ σαφεστέρου μᾶλλον, αὐτὸς ἐπὶ τοῦ σημείου γυμνάζει τὸν λόγον. καὶ ἄλλως, εἰ στιγμῆς ἐστι τόπος, ἐπειδὴ τόπου διαφοραὶ κυριώταται δύο, τὸ ἄνω καὶ τὸ κάτω, διὰ ταῦτα δὲ καὶ αἱ λοιπαὶ τέσσαρες, καὶ οὐδὲ κατ' ἐπίνοιάν ἐστι λαβεῖν ἑτέρας τόπου διαφορὰς, δῆλον ὅτι καὶ ὁ τόπος τοῦ σημείου, κατὰ μίαν τῶν διαφορῶν τούτων ἂν διαφέροι. καὶ ἢ ἄνω ἔσται φύσει, ἢ κάτω φύσει. ὥστε καὶ τὸ ἐν αὐτῷ σημεῖον, ἢ βαρὺ ἔσται, ἢ κοῦφον. τὸ γὰρ κατὰ φύσιν ἐν τῷ ἄνω τόπῳ ὑπάρχον, κοῦφόν ἐστι, βαρὺ δὲ τὸ κάτω. ἀδύνατον δὲ, σημεῖον βαρὺ ἢ κοῦφον εἶναι. ὥστε ἀδύνατον σημείου τόπον εἶναι. εἰ δὲ μή ἐστι σημείου τόπος, οὐδὲ γραμμῆς. τὸ γὰρ περιέχον τι, καὶ τὸ πέρας περιέξει τοῦ περιεχομένου. ἐπεὶ οὐδ' ἂν αὐτὸ ἐκεῖνο, ὅλον ὡς ὅλον περιέχοι. ὥστε εἰ μή ἐστι σημείου τόπος, οὐδὲ γραμμῆς. εἰ μὴ γραμμῆς, οὐδὲ ἐπιφανείας. εἰ μὴ ταύτης, οὐδὲ σώματος. εἰ δὲ μὴ σώματος, μηδὲ τινος ἄλλου τῶν φυσικῶν, σχολῇ γέ ποτε ἄλλου τόπος ἂν εἴη. ἔοικεν ἄρα μηδὲ ὅλως εἶναι ὁ τόπος. δευτέρῳ οὖν τούτῳ ἐπιχειρήματι ἀνῄρηται ὁ τόπος. ἔπειτά φησιν, εἰ τῶν ὄντων ἐστὶν ὁ τόπος, ἐπειδὴ τὰ ὄντα πάντα, ἢ νοητά ἐστιν ἢ αἰσθητὰ, καὶ τῶν αἰσθητῶν, τὰ μέν ἐστι στοιχεῖα, τὰ δὲ, ἐκ τῶν στοιχείων, καὶ τῶν νοητῶν πάλιν, τὰ μέν ἐστι στοιχεῖα, τὰ δὲ, ἐκ στοιχείων, ἀνάγκη καὶ τὸν τόπον ὑφ' ἕν τι τούτων πίπτειν. καὶ ἢ νοητὸν εἶναι, ἢ αἰσθητόν. καὶ ὁπότερον ἂν ᾖ, ἢ στοιχεῖον εἶναι, ἢ ἐκ στοιχείων. ἀδύνατον δὲ ἔν τινι τούτων ὑπάρχειν τὸν τόπον. τῶν μὲν γὰρ αἰσθητῶν, λέγω δὴ τῶν φυσικῶν σωμάτων, καὶ τὰ στοιχεῖα τὰ ἐνεργείᾳ ὄντα καὶ ἐν ὑποστάσει, σώματά ἐστι καὶ αὐτὰ, οἷον τὰ δ' ταῦτα. δέδεικται δὲ, ὅτι ἀδύνατον εἶναι τὸν τόπον σῶμα. οὐκ ἄρα τῶν αἰσθητῶν ἐστιν ὁ τόπος, οὔτε ὡς στοιχεῖον, οὔτε ὡς ἐκ στοιχείων. ἀλλ' οὐδὲ τῶν νοητῶν δυνατὸν εἶναι τὸν τόπον. τῶν γὰρ νοητῶν, καὶ τὰ στοιχεῖα νοητά ἐστι. τῶν γὰρ συλλογισμῶν στοιχεῖα, αἱ προτάσεις. καὶ τούτων αἱ συλλαβαί. νοητὰ δὲ ἄμφω. καὶ ἐπὶ τῶν νοημάτων ὡσαύτως. ταῦτα δὲ, παντελῶς ἀδιάστατα κατὰ μέγεθος. οὔτε γὰρ γραμμαὶ, οὔτε ἐπιφάνειαί εἰσιν. οὔτε τριχῇ διέστηκεν. ὁ δὲ τόπος ἄγε ἐστὶ, διάστημά ἐστιν, ἐπειδὴ καὶ διαστημάτων δεκτικός. ὥστε οὐδὲ τῶν νοητῶν ὁ τόπος.

δὲν ὑποστῇ κατὰ δύναμιν, εὐθὺς καὶ θέσιν ἔχει, καὶ τόπον ἀναλογοῦντα τῇ ὑπάρξει αὐτῶν, λέγω δὴ καὶ αὐτὸν κατ' ἐνέργειαν, πολλῷ γε δήπου τὰ φυσικὰ μεγέθη, καὶ ἐν ὑπάρξει ὄντα, φυσικὸν ἂν ἔχοι καὶ τὸν τόπον, καὶ ὑφεστηκότα, οὐκ ἐν σχέσει τινὸς, ἀλλὰ κατὰ φύσιν. ὡς γὰρ ἂν ἔχοι τὸ ἐν τόπῳ, οὕτω καὶ τὸν τόπον ἔχειν ἀνάγκη. εἰ κατ' ἐνέργειαν τὸ ἐν τόπῳ, καὶ ὁ τόπος δήπου κατ' ἐνέργειαν εἴη. εἰ ἐν σχέσει τὸ ἐν τόπῳ ἐστὶ, καὶ ὁ τόπος τοιοῦτος. οὐκοῦν καὶ τῶν φύσει που ὄντων, ὁ τόπος φύσει ἂν εἴη.

» ΕΤΙ οἱ τὸ κενὸν φάσκοντες εἶναι, τόπον λέγουσι. τὸ γὰρ κενὸν τόπος ἂν εἴη ἐστερημένος σώματος.
» ὅτι μὲν οὖν ἐστί τι ὁ τόπος παρὰ τὰ σώματα, καὶ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ, διὰ τούτων ἄν τις
» ὑπολάβοι.

Τὸ τέταρτον τοῦτο ἐστὶν ἐπιχείρημα, ἔνδοξον ὄν. οὐκ ἀναγκαῖον, ὥσπερ καὶ τὸ πέμπτον.

» ΔΟΞΕΙΕ δ' ἂν καὶ Ἡσίοδος ὀρθῶς λέγειν, ποιήσας πρῶτον τὸ χάος. λέγει γοῦν, πάντων μὲν πρώ-
» τιστα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖα εὐρύστερνος, ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νο-
» μίζειν ὥσπερ οἱ πολλοὶ πάντα εἶναί που, καὶ ἐν τόπῳ.

Τὸ πέμπτον ἐστὶν ἐπιχείρημα, ἐκ τῆς Ἡσιόδου μαρτυρίας ληφθέν.

» ΕΙ δ' ἐστὶ τοιοῦτον, θαυμαστή τις ἂν εἴη ἡ τοῦ τόπου δύναμις, καὶ προτέρα πάντων. οὗ γὰρ ἄνευ, τῶν
» ἄλλων οὐδέν ἐστιν, ἐκεῖνο δ' ἄνευ τῶν ἄλλων, ἀνάγκη πρῶτον εἶναι. οὐ γὰρ ἀπόλλυται ὁ τόπος, τῶν ἐν
» αὐτῷ φθειρομένων.

Εἰ τοιοῦτός φησιν ὁ τόπος ἐστὶν, οἷον Ἡσίοδός τε καὶ οἱ ἄλλοι λέγουσι, θαυμαστή τις ἂν εἴη αὐτοῦ ἡ φύσις, καὶ οὐ μόνον τῶν ὄντων ἐστὶν, ἀλλὰ καὶ πρὸ πάντων. εἰ γὰρ δίχα μὲν αὐτοῦ μηδέν ἐστι τῶν ἄλλων, αὐτὸς δὲ πρὸ πάντων προυπῆρξε, δῆλον ὅτι καὶ τῇ φύσει καὶ τῷ χρόνῳ πρότερός ἐστι. συναναιρεῖ γὰρ, καὶ οὐ συναναιρεῖται.

» ΟΥ μὴν ἀλλ' ἔχει γε ἀπορίαν, εἰ ἔστι τί ἐστι. πότερον ὄγκος τις σώματος, ἤ τις ἑτέρα φύσις. ζη-
» τητέον γὰρ τὸ γένος αὐτοῦ πρῶτον.

Δείξας διὰ πέντε ἐπιχειρημάτων, ὅτι ἔστιν ὁ τόπος, μέτεισιν ἀκολούθως ἐπὶ τὸ δεῖξαι τί ἐστι. τοῦτο γὰρ τῶν προβλημάτων τὸ δεύτερον. ἀλλὰ ζητῶν τί ἐστι, περιάγει τὸν λόγον εἰς τὸ δεῖξαι, ὅτι οὐδ' ὅλως ἐστὶν ὁ τόπος. ἵνα δείξῃ ὡς εἶπον, χαλεπὸν ὄντα τὸν περὶ αὐτοῦ λόγον. καὶ ὅτι πεφύκασιν αἱ ἐφ' ἑκάτερα ἐπιχειρήσεις γυμνάζειν τὸν νοῦν, καὶ ἀκριβῆ τῶν πραγμάτων τὴν γνῶσιν ἐντιθέναι, οὐ μόνον αὐτοῦ καθ' αὑτὸ τοῦ προβλήματος κατασκευαζομένου, ἀλλὰ καὶ τῶν ἀναιρεῖν αὐτὸ λόγων ἐπιχειρούντων, ἐλεγχομένων. διὰ πλειόνων οὖν ἐπιχειρημάτων πειρᾶται σαλεύειν τὴν περὶ τοῦ εἶναι τὸν τόπον ὑπόληψιν. οὐ δεῖ δὲ τοὺς ἐφ' ἑκάτερα ἐπιχειροῦντας λόγους ἀπαιτεῖν τὸ ἀναγκαῖον ἔχειν. τοῦτο γὰρ ἀδύνατον. ἀλλὰ τὸ πιθανὸν ἐν αὐτοῖς, οὐ τὸ ἀναγκαῖον πάντως ἀπαιτητέον. ὥστε οὐ δεῖ θαυμάζειν, εἰ καί τινα τῶν ἐπιχειρημάτων, μέχρι τοῦ πιθανοῦ πρόεισι. τότε δὲ οἱ ἐφ' ἑκάτερα λόγοι δύνανται ἔχειν τὸ ἀναγκαῖον, ὅταν τὰ μὴ ὑπάρχοντα τῷ πράγματι ὡς ὑπάρχοντα λαμβάνοντες, οὕτω συλλογίζωνται. ἄρχεται δὲ ὡς εἶπον τοῦ λόγου, ἐκ τῆς τοῦ τί ἐστιν ὁ τόπος ζητήσεως. ἐπεὶ οὖν, ἡ τοῦ τί ἐστι γνῶσις, διὰ τῶν ὁρισμῶν ἡμῖν παραγίνεται, οἱ δὲ ὁρισμοὶ, ἐκ γενῶν εἰσὶ καὶ διαφορῶν, δεῖ φησι πρῶτον τὸ τοῦ τόπου γένος ζητεῖν. ἀνάγκη οὖν τὸν τόπον, ἢ σῶμα εἶναι, ἢ ἀσώματον. πρότερον οὖν δείκνυσιν, ὅτι ἀσώματον οὐκ ἔστι, διὰ τοῦ δεικνύναι, ὅτι ἀνάγκη σῶμα εἶναι τὸν τόπον. εἰ γὰρ τὸ σῶμα, ᾗ σῶμα ἐστὶν, ἐν τόπῳ ἐστὶ, δῆλον ὅτι κατὰ πάσας αὐτοῦ διαστάσεις ἐν τόπῳ ἐστίν. εἰ γὰρ ἡ ἐν μήκει μὲν διάστασις ἐν τόπῳ εἴη, ἄλλη δέ τις μὴ εἴη, οὐχ ᾗ σῶμα, ἐν τόπῳ ἐστὶν, ἀλλ' ᾗ μῆκος ἔχει τυχὸν, ἢ πλάτος. εἰ δὲ τὸ σῶμα ᾗ σῶμα ἐστὶν, ἐν τόπῳ ἐστὶ, κατὰ τὰς τρεῖς διαστάσεις, δῆλον ὅτι ἐστὶν ἐν τόπῳ. ὥστε καὶ ὁ δεκτικὸς τοῦ σώματος τόπος, τριχῆ διέστηκεν. εἰ γὰρ μὴ εἴη τριχῆ διεστηκὼς, ἀλλ' οἷον ἢ διχῆ, ἢ μοναχῇ, οὐ περιέξει τὰς τρεῖς τοῦ σώματος διαστάσεις. ἀνάγκη ἄρα τὸν τόπον τοῦ σώματος, τριχῆ διαστατὸν εἶναι. πᾶν δὲ τὸ τριχῆ διαστατὸν σῶμά ἐστιν. οὗτος γὰρ ὁρισμὸς σώματος, τὸ τριχῆ διαστατόν. καὶ ὁ τόπος ἄρα σῶμά ἐστι. καὶ ἔστιν ὁ συλλογισμὸς, ἐν τετάρτῳ σχήματι. ὁ τόπος, τριχῆ διαστατός. πᾶν τὸ τριχῆ διαστατὸν, σῶμά ἐστιν. ὁ τόπος ἄρα σῶμά ἐστιν. οὕτω δείξας, ὅτι ἀνάγκη σῶμα εἶναι τὸν τόπον, καὶ διὰ τούτου δῆλον, ὅτι οὐκ ἔστιν ἀσώματον, δείκνυσι πάλιν ὅτι οὐδὲ σῶμα δυνατὸν εἶναι τὸν τόπον. εἰ γὰρ εἴη σῶμα ὁ τόπος, δύο σώματα ἐν τῷ αὐτῷ τόπῳ ἔσται. ἀλλὰ μὴν ἀδύνατον δύο σώματα ἐν τῷ αὐτῷ εἶναι. ἀδύνατον ἄρα σῶμα εἶναι τὸν τόπον. κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν. ὃς τῇ ἀναιρέσει τοῦ ἑπομένου, ἀναιρεῖ τὸ ἡγούμενον. πόθεν δέ; ὅτι τὸ συνημμένον ἀληθὲς, λέγω δὴ, τὸ εἰ σῶμα εἴη ὁ τόπος, δύο σώματα ἐν τῷ αὐτῷ εἶναι. τοῦτο οὖν κατασκευάσεις διὰ κατηγορικοῦ συλλογισμοῦ, οὕτω. πᾶν σῶμα, ἐν τόπῳ. πᾶς δὲ τόπος, σῶμα. πᾶν σῶμα ἄρα ἐν σώματι. εἰ δὲ σῶμα ἐν σώματι, δύο ἅμα ἐν τῷ αὐτῷ τόπῳ σώματα ἂν εἴη. ὅτι δὲ ἀδύνατον δύο σώματα ἐν τῷ αὐτῷ εἶναι, μάθοις ἂν ἐντεῦθεν. εἰ γὰρ δυνατὸν ἦν σῶμα διὰ σώματος χωρῆσαι, ὡς δύο ἅμα ἐν τῷ αὐτῷ τόπῳ εἶναι, δυνατὸν ἦν τὸ μέγιστον ἐν τῷ μικροτάτῳ χωρηθῆναι. καὶ ὡς αὐτός φησιν ὁ Ἀριστοτέλης, ἡ θάλασσα ἂν ἐν κυάθῳ ἐχωρήθη, καὶ ὁ οὐρανὸς ἐν κέγχρῳ. δυνατὸν γὰρ τὸ μέγιστον εἰς ἴσα τῷ ἐλαχίστῳ κατατεμεῖν. οἷον τὴν θάλασσαν, εἰς κυαθιαῖα μέρη. εἰ τοίνυν δυνατὸν,

χάος αὐτὸν ὀνομάσας. ὥστε φησὶν, εἰ ταῦτα οὕτως ἔχει, ἔοικεν οὐ μόνον εἶναι ἡ τοῦ τόπου φύσις, ἀλλὰ καὶ θαυμαστή τις εἶναι, καὶ πρώτη τῶν ἄλλων πάντων. συναναιρεῖ γὰρ, καὶ οὐ συναναιρεῖται. μὴ ὄντος μὲν γὰρ τοῦ τόπου, οὐδὲ ἄλλο τι χώραν εἴη, εἴγε πάντα τὰ ὄντα ἐν τόπῳ. εἰ δὲ μὴ τοῦτο, τά γ' οὖν σώματα οὐκ ἂν εἴη, μὴ ὄντος τοῦ τόπου. τῶν σωμάτων δὲ μὴ ὄντων, οὐδὲν κωλύει εἶναι τὸν τόπον. καὶ εἴ τις γε τῷ χρόνῳ μὴ

» βούλοιτο προϋπάρχειν τὸν τόπον, πάντως γ' οὖν τῇ φύσει προϋπάρχειν αὐτὸν ἀνάγκη. Ὁμοίως

» δ' ἀνάγκη καὶ περὶ τοῦ τόπου τὸν φυσικόν. Οὕτω γὰρ καὶ περὶ ἀπείρου ἐζήτησε, καὶ ἐφ' ἑκάτερα ἐπιχείρησεν. εἶτα ἔδειξεν, πῶς μὲν οὐκ ἔστι. πῶς δὲ ἐστί. καὶ πῶς ἐστί. καὶ τί ἐστι. τὸ μὲν ὅλως πῶς ἐστιν, οἷον πότερον καθ' ἑαυτὸν ὑφεστηκεν, ὡς ἐδόκει τοῖς τὸ κενὸν λέγουσιν εἶναι τὸν τόπον, ἢ διάστημα, ἢ ἐν ἄλλῳ τὸ εἶναι ἔχον, ὡς Ἀριστοτέλει δοκεῖ. οὐ γὰρ εἶναι ὑπόστασιν τινὰ κεχωρισμένην, καὶ καθ' ἑαυτὴν ὑφεστηκυῖαν. τὸ δὲ τί ἐστι, πότερον κενὸν, ἢ διάστημα, ἢ πέρας τοῦ περιέχοντος.

» ΤΆ ΤΕ γὰρ ὄντα πάντες ὑπολαμβάνουσιν εἶναί που. τὸ γὰρ μὴ ὂν, οὐδαμοῦ εἶναι. ποῦ γάρ ἐστι τραγέλαφος, ἢ σφίγξ. καὶ τῆς κινήσεως ἡ κοινὴ μάλιστα καὶ κυριωτάτη, κατὰ τόπον ἐστὶν, ἣν καλοῦμεν

» φοράν. ἔχει δὲ πολλὰς ἀπορίας τί ποτέ ἐστιν ὁ τόπος. οὐ γὰρ ταυτὸν φαίνεται θεωροῦσιν ἐξ ἁπάντων

» τῶν ὑπαρχόντων. ἔτι δ' οὐδὲν ἔχομεν οὐδὲν παρὰ τῶν ἄλλων οὔτε προηπορημένον οὔτε προηυπορημένον περὶ αὐτοῦ.

Ὅτι οὕτως ἀναγκαῖος ὁ περὶ τοῦ τόπου λόγος, ὡς κοινὴν εἶναι πάντων τὴν δόξαν, ὅτι εἴ τι ἐστὶ, πάντως ἐν τόπῳ ἐστίν. ὥστε τὸν τὰ ὄντα γνῶναι βουλόμενον, δεῖ καὶ τὸν τόπον εἰδέναι, οὗ ἄνευ ἐκεῖνα εἶναι οὐ δύναται. καὶ κατασκευάζουσι τοῦτο, τὸ πᾶν τὸ ὂν, ἐν τόπῳ εἶναι, κακῶς τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ χρώμενοι. λαμβάνοντες γὰρ, ὅτι τὸ μὴ ὂν, οὐδαμοῦ ἐστι, καὶ ἀληθῆ γε λαμβάνοντες, κακῶς ἐκ τοῦ ἡγουμένου ποιοῦνται τὴν ἀντιστροφὴν, τὸ ὂν εἶναί που.

» ὍΤΙ μὲν οὖν ἐστιν ὁ τόπος, δοκεῖ δῆλον εἶναι, ἐκ τῆς ἀντιμεταστάσεως. ὅπου γάρ ἐστι νῦν ὕδωρ, ἐν

» ταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου, πάλιν ἀὴρ ἔνεστιν. ὅτε δὲ τὸν αὐτὸν τόπον τοῦτον, ἄλλο τι τῶν σω

» μάτων κατέχει, τοῦτο δὴ τῶν ἐγγινομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ. ἐν ᾧ γὰρ

» ἀήρ ἐστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν. ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν εἰς

» ἣν καὶ ἐξ ἧς μετέβαλλον.

Ἐντεῦθεν τὸ πρῶτον ἐπιχείρημα, ὅτι ἔστιν ὁ τόπος. καὶ πρῶτον τίθησι τὴν ἐλάττω τοῦ συλλογισμοῦ πρότασιν. ὅτι ὁ τόπος, ὡς καὶ ὁ αὐτὸς μένων, ἄλλοτε ἄλλων σωμάτων ἐστὶ δεκτικός. ὅπου γάρ ἐστιν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου, πάλιν ἀήρ ἐστι. τοῦτο δὴ τῶν ἐγγινομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ. εἶτα ἕπεται ἡ μείζων πρότασις. ἥτις ἐστὶν αὕτη. ὅπερ ἐν καὶ τὸ αὐτὸ ὑπάρχον ἄλλοτε ἄλλων ἐστὶ δεκτικὸν, καὶ ἔστι, καὶ ἕτερόν ἐστιν ὧν δέχεται. ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν. τοῦτο τοῦ συλλογισμοῦ τὸ συμπέρασμα.

» ἘΤΙ δὲ αἱ φοραὶ τῶν σωμάτων τῶν φυσικῶν καὶ ἁπλῶν οἷον πυρὸς καὶ γῆς καὶ τῶν τοιούτων

» οὐ μόνον δηλοῦσιν ὅτι ἐστί τι ὁ τόπος. ἀλλ' ὅτι καὶ ἔχει τινὰ δύναμιν. φέρεται γὰρ ἕκαστον εἰς τὸν αὑτοῦ

» τόπον μὴ κωλυόμενον. τὸ μὲν ἄνω, τὸ δὲ κάτω.

Τοῦτό ἐστι τὸ δεύτερον ἐπιχείρημα, τὸ ἐκ τῶν ῥοπῶν. ἐπιμελῶς δὲ ἐπὶ τῶν ἁπλῶν γυμνάζει τὸν λόγον. καὶ γὰρ τὰ σύνθετα, κατὰ τὸ ἐπικρατοῦν τῶν ἁπλῶν τὴν φυσικὴν κίνησιν ἔχει.

» ΤΑΥΤΑ δ' ἐστὶ, τόπου μέρη καὶ εἴδη. τό, τε ἄνω καὶ τὸ κάτω. καὶ αἱ λοιπαὶ τῶν ἓξ διαστάσεων.

» ἔστι γὰρ τὰ τοιαῦτα οὐ μόνον πρὸς ἡμᾶς, τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. καὶ τὸ ἄνω καὶ τὸ κάτω. ἡμῖν μὲν

» γὰρ, οὐκ ἀεὶ τὸ αὐτό. ἀλλὰ κατὰ τὴν θέσιν, ὅπως ἂν στραφῶμεν, γίνεται. διὸ ταὐτὸ πολλάκις δεξιὸν καὶ ἀρι

» στερόν ἐστι, καὶ ἄνω καὶ κάτω, καὶ πρόσθεν καὶ ὄπισθεν. ἐν δὲ τῇ φύσει, διώρισται χωρὶς ἕκαστον.

Διάφορον τέως, εἴτε μέρη εἴη ταῦτα, εἴτε εἴδη τοῦ καθόλου τόπου, ἀδιαφόρως κέχρηται. οὐδὲν γὰρ τοῦτο συμβάλλεται πρὸς τὸ προκείμενον. ζητοῦμεν γὰρ νῦν, εἰ ἔστιν ὅλως ὁ τόπος, ἢ μὴ ἔστι. λέγοιεν δ' ἂν μέρη μὲν, οἱ διάστημα αὐτὸν εἶναι λέγοντες, ἢ κενόν. εἴδη δὲ, οἱ πέρας τοῦ περιέχοντος.

» ΟΥ ΓΑΡ ὅτι ἔτυχε τὸ ἄνω ἐστίν, ἀλλ' ὅπου φέρεται τὸ πῦρ καὶ τὸ κοῦφον. ὁμοίως δὲ καὶ τὸ

» κάτω, οὐχ ὅτι ἔτυχεν, ἀλλ' ὅπου τὰ ἔχοντα βάρος καὶ τὰ γεηρά.

Ὅτι ἐν τοῖς φυσικοῖς, οὐκ ἔστι θέσει, τὸ ἄνω καὶ τὸ κάτω, ἀλλὰ φύσει καὶ ὡρισμένον, δῆλον καὶ ἐντεῦθεν. εἰ γὰρ ἄν ἄγγος τις μεταξὺ στέγην ἔχον, ταύτης θέσει οὔσης ἄνω τε καὶ κάτω, ἐὰν ἀφεθῇ κάτωθεν πῦρ ἢ ἄνωθεν βῶλος, οὐ στήσεται ἐν τῷ μέσῳ. ἀλλὰ χωρήσει, τὸ μὲν, ἄνω. ἡ δὲ, κάτω. μὴ εἰργόμενα βίᾳ, ἀλλὰ χώραν τῆς παρόδου λαμβάνοντα.

» ΚΑΙ οὐ τῇ θέσει διαφέροντα μόνον ἀλλὰ καὶ τῇ δυνάμει.

Εἰ γὰρ τῶν πλεῖστον ἀλλήλων διαφερόντων, ἑκάτερος τῶν τόπων δεκτικός, δῆλον ὅτι οὐ μόνον τῇ θέσει, ἀλλὰ καὶ τῇ δυνάμει διαφέρουσιν ἀλλήλων. ὀρεκτὸν γάρ ἐστιν ἑκάτερον, τὸ μὲν τῶν κούφων, τὸ δὲ, τῶν βαρέων.

» ΔΗΛΟΙ δὲ καὶ τὰ μαθηματικά. οὐκ ὄντα γὰρ ἐν τόπῳ, ὅμως κατὰ τὴν θέσιν τὴν πρὸς ἡμᾶς, ἔχει δε

» ξιὰ καὶ ἀριστερά. ὥστε μόνον νοεῖσθαι αὐτῶν τὴν θέσιν, οὐκ ἔχοντα φύσει τούτων ἕκαστον.

Τρίτον ἐπιχείρημα. εἰ γὰρ ταῦτα μὴ ὄντα ἐν τόπῳ, ἐπειδὴ μηδὲ φύσει ὑφέστηκε καθ' ἑαυτά, ὅμως ἐπει

ἐκ τῶν ἐφ' ἑκάτερα ἐπιχειρημάτων, ἔχοιμεν γνῶναι, ποίας μὲν περὶ τοῦ τόπου ὑγιεῖς ἐπιχειρήσεις, ποίας δὲ οὔ. καὶ πῶς μὲν ὑποληπτέον περὶ τοῦ τόπου, πῶς δὲ οὔ. πρότερον οὖν, ἐκ τῶν τινῶν ἐπιχειρημάτων, δεικνύσιν, ὅτι ἔστιν ὁ τόπος. καὶ πρῶτον μὲν, ἐκ τῆς ἀντιμεταστάσεως τῶν σωμάτων. οὗ γάρ φησιν ὕδωρ ὑπῆρχεν, ἐνταῦθα ὑποχωρήσαντος τοῦ ὕδατος, ἀὴρ ἐγένετο. καὶ πάλιν τοῦ ἀέρος ὑποχωρήσαντος, ἐν τῷ αὐτῷ τόπῳ γίνεταί τι σῶμα ἕτερον. ὥσπερ καὶ ἐπὶ τῶν ἀγγείων. τούτου οὖν οὕτως ἔχοντος, συλλογίζεται τὰ περὶ τοῦ τόπου, τοιῶσδε. ὁ τόπος, εἷς καὶ ὁ αὐτὸς μένων διαφόρων σωμάτων ἐστὶ δεκτικός, ἄλλοτε ἄλλου. ὅπερ δὲ ἓν καὶ τὸ αὐτὸ μένον, ἄλλοτε ἄλλων ἐστὶ δεκτικόν τοῦτο καὶ ἔστι τι, καὶ ἕτερόν ἐστι παρ' ἃ δέχεται. τὸ γὰρ μηδαμῆ μηδαμῶς ὄν, οὐδ' ἂν δέξαιτό τι. ἐκ μὲν οὖν τούτου τοῦ ἐπιχειρήματος, ὅτι ἔστι τι ὁ τόπος δεικνύντι. ἐκ δὲ τοῦ δευτέρου, οὐ μόνον ὅτι ἐστὶ δείκνυσι, ἀλλ' ὅτι καὶ φυσικάς τινας δυνάμεις καὶ διαφορὰς ἔχει. ἔστι δὲ τὸ ἐπιχείρημα, ἐκ τῆς ῥοπῆς τῶν φυσικῶν σωμάτων. ἕκαστον γάρ φησι τῶν φυσικῶν σωμάτων ἐπί τινα οἰκεῖον φέρεται τόπον ἀκωλύτως. οἷον τὰ κοῦφα μὲν ἄνω. τὰ δὲ βαρέα κάτω. ὁπηνίκα δὲ, ἢ τὰ μὲν κοῦφα κάτω φέρηται, ἢ τὰ βαρέα ἄνω, παρὰ φύσιν καὶ βίᾳ φέρεται. εἰ τοίνυν τὰ μὲν, ἄνω φέρεται φύσει, τὰ δὲ, κάτω, ἔστιν ἄρα φύσει τὸ ἄνω καὶ κάτω. ταῦτα δὲ τόπου διαφοραὶ, τὸ ἄνω. τὸ κάτω. τὸ δεξιόν. τὸ ἀριστερόν. τὸ ἔμπροσθεν. τὸ ὄπισθεν. ὥστε οὐ μόνον ἔστι τι ὁ τόπος, ἀλλὰ καὶ διαφορὰς ἔχει φυσικάς. οὐ μόνον δὲ, ἀλλὰ καὶ δύναμίν τινα ἔχει σύμφυτον τῶν τόπων ἕκαστος. εἰ γὰρ ἐφίεται ἕκαστον τοῦ κατὰ φύσιν τόπου, δῆλον ὅτι ὁ κατὰ φύσιν ἑκάστῳ τόπος, ὀρεκτόν τι ἐστὶ καὶ ἐφετόν. τὸ δὲ ὀρεκτὸν, ὃ ἔχει τινὰ φυσικὴν δύναμιν, οὕτως ἐστὶν ὀρεκτόν. ταύτης γὰρ ἡ ἔφεσις. εἰ δέ τις εἴποι, ὅτι οὐ τοῦ ἄνω τόπου ἐφίεται τὰ κοῦφα, οὐδὲ τοῦ κάτω τὰ βαρέα, ἀλλὰ τοῦ τὴν ὁλότητα καταλαβεῖν, ἴστω, ὅτι εἰ τοῦτο ἦν, ἔδει μὴ πρὸς ὀρθὰς μόνον τὰ βαρέα φέρεσθαι, ἀλλὰ καὶ ἄλλως ὁπωσοῦν. δυνατὸν γὰρ τῆς γῆς πολλῆς τινος οὔσης, κἂν μὴ πρὸς ὀρθὰς ἀκριβῶς κατεφέρετο τὰ βαρέα, ὅμως μὴ ἐκπίπτειν τῆς ὁλότητος. νῦν δὲ, ἐπειδὴ πρὸς τὸ κέντρον ἡ ῥοπὴ, διὰ τοῦτο πρὸς ὀρθὰς μόνως ἡ κίνησις. ἀμέλει, κἂν ἐν ὀρύγματι μεγάλῳ πέσῃ λίθος κάτεισι κἂν ἐγγυτέρως ἦν ἔχοι ἐπὶ τὴν ὁλότητα φερόμενος, πανταχόθεν γὰρ ἡ γῆ περιέχει, ὅμως πρὸς ὀρθὰς μόνως ποιεῖται τὴν κίνησιν. κἂν εἰ ἐκ τῶν πλαγίων τοῦ ὀρύγματος ἀπορραγείη μόριόν τι, ὡσαύτως πάλιν φέρεται. οὕτω πᾶσι τοῖς βαρέσιν ἐπὶ τὸ κέντρον ἡ ῥοπὴ, καὶ οὐχ ἁπλῶς ἐπὶ τὴν ὁλότητα, ἀλλὰ κἂν φέρηται ἐπὶ τὴν ὁλότητα, διὰ τοῦτο φέρεται ἐπὶ ταύτην, διὰ τὸ ταύτην τὸν κατὰ φύσιν κατειληφέναι τόπον. τὰ αὐτὰ καὶ ἐπὶ τῶν κούφων ἐροῦμεν. καὶ τούτοις γὰρ, εἷς τόπος κατὰ φύσιν, ἡ κοίλη τῆς σεληνιακῆς σφαίρας ἐπιφάνεια. πρὸς ἣν πάλιν πρὸς ὀρθὰς, ἤτοι πρὸς ἴσας γωνίας τοῖς κούφοις ἡ κίνησις. ἔχομεν οὖν καὶ ἐκ τοῦ δευτέρου ἐπιχειρήματος, ὅτι καὶ ἔστι τι ὁ τόπος, καὶ φυσικὰς δυνάμεις τε καὶ διαφορὰς ἔχει. διαφοραὶ δὲ αὐτοῦ αἱ εἰρημέναι ϛ. καὶ οὐ δήπου φησὶν αἱ διαφοραὶ τοῦ τόπου, σχέσει μόνον εἰσὶ, καὶ πρὸς ἡμᾶς. ἡμῖν μὲν γὰρ, καὶ θέσει ἐστὶ τὰ τοιαῦτα. ὅθεν ὁ αὐτὸς δεξιὸς γίνεται καὶ ἀριστερός. καὶ ἔμπροσθεν τὸ αὐτὸ καὶ ὄπισθεν, τινὸς μετακινηθέντος. ἀλλὰ καὶ ἄνω καὶ κάτω, ὡς ἐπὶ τῶν στεγῶν. τὸ μὲν γὰρ ἐπικείμενον ὃ στέγει, κάτω αὐτὸ ἔχει. εἰ δὲ ὑπτιωθείη καὶ ὑποκάτω γένοιτο, ὃ πρότερον κάτω ἦν, ὕστερον ἄνω γέγονεν. ἀλλ' οὐ καὶ πρὸς ἡμᾶς θέσει. τὸ ἄνω καὶ κάτω καὶ τὰ λοιπὰ, ἀλλ' ἐν τῷ παντὶ φύσει ἐστὶ διακεκριμένα κατὰ τὰς κινήσεις τῶν φυσικῶν σωμάτων. κάτω μὲν γάρ φαμεν, ὅπου τὰ βαρέα φύσει φέρεται, ἄνω δὲ ὅπου τὰ κοῦφα. δείκνυσι δὲ ἐν τῷ περὶ οὐρανοῦ, ὅτι καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ, φύσει ἐστὶ τῷ παντί. δεξιὰ μὲν λέγων, τὰ ἄρχοντα τῆς κινήσεως, οἷον τὰ ἀνατολικά. ἐπεὶ καὶ ἐν ἡμῖν ταῦτα δεξιά. ἀριστερὰ δὲ, τὰ ἀντικείμενα. κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν, ἔμπροσθεν μὲν εἶναι τὰ βόρεια. τὰ νότια δὲ, ὄπισθεν. εἰ δέ τις ταῦτα μὴ προοῖτο, τό γοῦν ἄνω καὶ κάτω κατὰ φύσιν εἶναι ἐξ ἀνάγκης δώσει. ταῦτα δὲ, τόπου διαφοραί. ὥστε καὶ ἔστιν ὁ τόπος, καὶ φυσικὰς ἔχει διαφοράς. τὸ τρίτον δὲ ἐπιχείρημα, ἐκ τῶν μαθηματικῶν ἐστι μεγεθῶν. ὅτι γάρ φησιν ὁ τόπος ἐστὶ φύσει, δηλοῦσι μάλιστα τὰ μαθηματικὰ μεγέθη. ἐπειδὴ γὰρ πᾶν μέγεθος ἐκ θέσιν ἐχόντων μορίων ἐστί. τοιαῦτα δέ ἐστι καὶ τὰ μαθηματικὰ μεγέθη, διὰ τοῦτο καὶ αὐτὰ θέσιν τινὰ ἔχει, καὶ κεῖταί που. φαμὲν γὰρ τοῦ τριγώνου τήνδε βάσιν μὲν εἶναι τήνδε. κορυφὴν δὲ τήνδε. πλευρὰς, τὴν μὲν, δεξιὰν, τὴν δὲ ἀριστεράν. ἀλλὰ τούτων μὲν οἱ τόποι, σχέσεις εἰσὶ, καὶ ἐν τῇ ἡμετέρᾳ ἐπινοίᾳ. ὅθεν εἰ στρέψαι τὸ τρίγωνον, ἄλλην ποιεῖ κορυφὴν, καὶ ἄλλην βάσιν. καὶ τὴν τῶν πλευρῶν θέσιν ἐναλλάττει. καὶ τοῦτο εἰκότως. ἐπειδὴ, μὴ καθ' ἑαυτὰ ὑφέστηκεν, ἀλλ' ἐν τῇ ἐπινοίᾳ τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχει. ὥσπερ οὖν τὸ εἶναι κατ' ἐπίνοιαν ἔχει, καὶ οὐ κατὰ φύσιν, οὕτω δὴ καὶ τοὺς τόπους. εἰ τοίνυν ταῦτα ἐν ἐπινοίᾳ τὸ εἶναι ἔχοντα, ἐν ἐπινοίᾳ καὶ τοὺς τόπους ἔχει, εἴ τι ἄρα τῶν ὁμοίων φύσει ὑφέστηκε, φύσει ἂν ἔχοι καὶ τὴν θέσιν τῶν μορίων, καὶ τοὺς τόπους. αὗται μὲν οὖν αἱ ἐπιχειρήσεις, πραγματιώδεις εἰσίν. αἱ δὲ λοιπαὶ δύο, ἔνδοξοι, καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. ἡ μὲν τετάρτη, ἐκ τῶν τὸ κενὸν εἰσαγόντων. εἰ οὖν φησι τὸ κενόν τι ἐστὶ, τὸ δὲ κενὸν οὐδὲν ἕτερον εἶναι λέγουσι καὶ αὐτοὶ, ἢ τόπον ἐστερημένον σώματος, δῆλον ὅτι ἔστι τῶν ὄντων ὁ τόπος. ἡ δὲ πέμπτη, ὅτι καὶ ὁ Ἡσίοδος, οὐ μόνον εἶναί φησι τὸν τόπον, ἀλλὰ καὶ φύσει προϋποστῆναι τῶν ἄλλων. ἤτοι γὰρ πρώτιστα φησί, χάος γένετ', αὐτὰρ ἔπειτα, γαῖ' εὐρύστερνος. ἔοικε γάρ φησι καὶ οὗτος τῶν νομιζόντων, ὅτι οὐδὲν τῶν ὄντων ἐστὶν, ὅτι μὴ ἐν τόπῳ ἐστί. διὰ τοῦτο γοῦν πρὸ πάντων ὑποστῆναί φησι τὸν τόπον. ἀπὸ τῆς χώρας, καὶ τοῦ χωρητικὸν πάντων εἶναι,

ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ ΒΙΒΛΙΟΝ Δ'.

ΟΜΟΙΩΣ δ' ἀνάγκη καὶ περὶ τόπου τὸν φυσικὸν ὥσπερ καὶ περὶ ἀπείρου γνωρίζειν, εἰ ἔστιν ἢ μή. καὶ πῶς ἐστι, καὶ τί ἐστι.

Τὸ μὲν προκείμενον ἐν τούτῳ τῷ βιβλίῳ, περὶ τόπου καὶ χρόνου καὶ κενοῦ διαλαβεῖν. καὶ πρῶτόν γε περὶ τοῦ τόπου. τῇ αὐτῇ δὲ μεθόδῳ κἀνταῦθα κέχρηται. πρότερον γὰρ δείκνυσιν ἀναγκαῖον ὂν τῷ φυσικῷ τὸ περὶ τοῦ τόπου πρόβλημα. ὥσπερ καὶ περὶ τοῦ ἀπείρου ἐποίησε. καὶ σχεδὸν πανταχοῦ ποιεῖ. ὅτι οὖν ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ τόπου λόγος, κατασκευάζει ἐκ τῆς τῶν πολλῶν ἀρχαίας δόξης. τὰ γὰρ ὄντα φησὶ πάντες ὑπολαμβάνουσιν ἐν τόπῳ εἶναι. καὶ κατασκευάζουσι τοῦτο ἐκ τῶν μὴ ὄντων. εἰ γὰρ τὸ μὴ ὂν φασὶν οὐδαμοῦ, τὸ ὂν ἄρα πού. ὡς δὴ μηδὲ εἶναι δυναμένου τινός, ὃ μὴ ἐν τόπῳ ἐστίν. ὅτι μὲν οὖν κακῶς τῇ ἀντιστροφῇ κέχρηνται, ἐκ τῶν πολλάκις εἰρημένων δῆλον. ἐκ τοῦ ἡγουμένου γὰρ ἐποιήσαντο, τὴν σὺν ἀντιθέσει ἀντιστροφήν, δέον ἐκ τοῦ ἑπομένου. εἰ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ ποῦ ἄρα ὄν. καὶ οὕτως ἀληθὴς ἂν ἦν ὁ λόγος. ἀντίκειται δὲ δηλονότι, τῷ μὲν οὐδαμοῦ, τὸ ποῦ. τῷ δὲ μὴ ὄντι, τὸ ὄν. ἀλλ' εἰ καὶ ἐκεῖνοι ἁμαρτάνουσι, πάντα ἁπλῶς τὰ ὄντα ἐν τόπῳ εἶναι ὑπολαμβάνοντες, ἀλλ' οὖν τά γε φυσικὰ σώματα περὶ ὧν τῷ φυσικῷ ὁ λόγος, προδήλως ἐν τόπῳ ἐστίν. ὥρισται γὰρ ὁ ἑκάστου τῶν στοιχείων κατὰ φύσιν τόπος. γῆς, πυρός, καὶ τῶν λοιπῶν. ὥστε ἀναγκαῖος τῷ φυσικῷ, ὁ περὶ τοῦ τόπου λόγος. καὶ ἄλλως, εἰ περὶ κινήσεως τοῦ φυσικοῦ διαλαβεῖν, διότι καὶ περὶ φύσεως, ἡ δὲ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας, πρωτίστη δὲ καὶ τιμιωτάτη τῶν κινήσεων ἐστὶν ἡ κατὰ τόπον, δέδεικται γὰρ ἐν τῷ ἢ ταύτης τῆς πραγματείας, ὡς οὐδεμία τῶν ἄλλων ἄνευ ταύτης εἶναι δύναται, αὕτη δὲ χωρὶς τῶν ἄλλων, τὰ γὰρ οὐράνια ταύτην κινεῖται μόνην, ἀνάγκη ἄρα καὶ περὶ τοῦ τόπου γινώσκειν τὸν φυσικόν, καθ' ὃν ἡ πρωτίστη τῶν κινήσεων γίνεται. εἰ γὰρ σκοπὸς τοῦ φυσικοῦ, ἡ τῶν φυσικῶν σωμάτων κατάληψις, ἕκαστον δὲ τῶν ἁπλῶν σωμάτων ἰδίαν τινὰ κινεῖται κίνησιν τὴν κατὰ τόπον, ἀδύνατον δηλονότι τὴν φύσιν τῶν ἁπλῶν σωμάτων γνῶναι, τὸν μὴ τὰς κατὰ φύσιν αὐτῶν κινήσεις ἐγνωκότα. τὰς δὲ κατὰ φύσιν αὐτῶν κινήσεις γνῶναι ἀδύνατον, τὸν μὴ γνόντα τὸν κατὰ φύσιν ἑκάστου τόπον, ἐφ' ὃν καὶ τὴν κίνησιν ποιεῖται. ὥστε ἀγνοουμένου τοῦ τόπου, ἀγνοηθήσεται καὶ ἡ τῶν ἁπλῶν σωμάτων κατὰ φύσιν κίνησις. ταύτης δὲ ἀγνοουμένης, καὶ αὐτὴ ἡ τῶν ἁπλῶν σωμάτων ἀγνοηθήσεται φύσις. τῶν δ' ἁπλῶν ἀγνοουμένων, καὶ τὰ ἐξ αὐτῶν συγκείμενα ἀγνοηθήσεται. ὥστε τῇ ἀγνοίᾳ τοῦ τόπου, συναναιρεθήσεται καὶ αὐτὴ ἡ τῶν φυσικῶν κατάληψις. ὅτι μὲν οὖν ἀναγκαῖος τῷ φυσικῷ, ὁ περὶ τοῦ τόπου λόγος, ἐντεῦθεν δῆλον. χαλεπὸς δὲ καὶ ἄπορος φησίν, ὁ περὶ τοῦ τόπου λόγος. πρῶτον μέν, διότι εἰς τὰ ὑπάρχοντα τῷ τόπῳ ἀποβλέπουσιν, οὐ τῆς αὐτῆς ἡμῖν ἐκ πάντων φαίνεται φύσεως ὤν. δεῖ μὲν γὰρ τὰς ἀποφάσεις τῶν πραγμάτων καὶ τοὺς ὁρισμοὺς ποιουμένους, ἐκ τῶν ἐνυπαρχόντων αὐτοῖς κατὰ φύσιν ποιεῖσθαι. οἷον ἐπὶ ἀνθρώπου, ἐκ τοῦ λογικοῦ καὶ θνητοῦ καὶ τῶν λοιπῶν. ἐπὶ δὲ τοῦ τόπου, ἐκ τῶν καθ' αὑτὸ ὑπαρχόντων αὐτῷ, διάφορα ἡμῖν περὶ αὐτοῦ δοξάζειν ὑποπίπτει. οἷον ὑπάρχει τῷ τόπῳ, τὸ περιγράφειν καὶ ὁρίζειν τὰ ἐν αὐτῷ ὄντα. ὥσπερ τῷ κεράμῳ τὸν οἶνον. ὅσον οὖν ἐκ τούτου, εἶδος ἂν νομισθείη ὁ τόπος εἶναι. εἶδος γάρ ἐστι, τὸ περατοῦν καὶ ὁρίζειν οἷς ἂν ἐγγένηται. πάλιν ὑπάρχει τῷ τόπῳ, τὸ ἄλλα καὶ ἄλλα δέχεσθαι σώματα, ἑνὸς καὶ τοῦ αὐτοῦ μένοντος τόπου. ὡς ἐπὶ τοῦ κεράμου. ὁ αὐτὸς γὰρ καὶ οἴνου καὶ ὕδατος καὶ ἄλλων μυρίων ἐστὶ δεκτικός. ὅσον οὖν πάλιν ἐπὶ τούτῳ, ὕλη ἂν εἴη ὁ τόπος, καὶ οὐκ εἶδος. ἡ γὰρ ὕλη, μένουσα μία καὶ ἡ αὐτή, ἄλλοτε ἄλλο εἶδος ἐπιδέχεται. ὡς ὁ χαλκός, ποτὲ μὲν τὸ τοῦ ἀνθρώπου, ποτὲ δὲ τὸ τοῦ ἵππου εἶδος δέχεται. διά τι οὖν ταῦτα, ἄπορος ὁ περὶ τοῦ τόπου λόγος. καὶ ὅτι φησὶν οὐδὲν ἔχομεν παρὰ τῶν παλαιῶν, οὔτε προηπορημένον οὔτε προσυνηπορημένον περὶ τοῦ τόπου. οὔτε γὰρ ἠπόρησέ τις ἱκανῶς περὶ αὐτοῦ, ὥστε καὶ ἐπὶ τὴν λύσιν τοῦ ζητουμένου ἡμᾶς ἀναγαγεῖν. τῷ γὰρ ὄντι, ἀρχὴ εὐπορίας ἡ ἀπορία, οὔτε μὴν προσυνηπόρησε. μετά τινος παραμυθίας καὶ κατασκευῆς, ἀποφηνάμενός τι περὶ τοῦ τόπου. ἀλλ' ὅσοι καὶ εἰρήκασί τι περὶ αὐτοῦ, ὅσον ἀποφηνάμενοι, ἐκτὸς ἀπάσης παραμυθίας, πιστεύεσθαι ἠξίωσαν. οἱ μέν, τὸ κενὸν εἶναι νομίσαντες τὸν τόπον, οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον καὶ Μητρόδωρον. οἱ δέ, διάστημά τι. προσεῖπεν οὖν μόνον εἰπόντες, ὅτι τὸ κενόν ἐστιν ὁ τόπος, ἢ ὅτι διάστημά τι, ἀπηλλάγησαν. ταῦτα εἰπὼν ὁ Ἀριστοτέλης, ἐμβάλλει εἰς αὐτὸ τὸ περὶ τοῦ τόπου σκέμμα. καὶ πρῶτον μὲν δείκνυσιν ὅτι ἔστιν ὁ τόπος. εἶτα εἰς τοὐναντίον ἐπιχειρεῖ, ὅτι οὐκ ἔστιν. ἵνα

» σμένον. τὰ μὲν γάρ ἐστιν ἀλόγων, οὐκ ἀναγκαῖα· τὰ δ' ἔχει τινὰς ἀληθεῖς ἑτέρας ἀπαντήσεις. οὔτε γάρ, ἵνα
» ἡ γένεσις μὴ ἐπιλείπῃ, ἀναγκαῖον ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα αἰσθητόν. ἐνδέχεται γὰρ τὴν θατέρου
» φθορὰν γένεσιν θατέρου εἶναι, πεπερασμένου ὄντος τοῦ παντός.

Δ Αἱ λοιποί φησιν ἐντεῦθεν τὰς ἀπορίας ἐπισκέψασθαι, καθ' ἃς τὸ ἄπειρον ἐδόκει μὴ δυνάμει εἶναι μόνον, μηδὲ ἐν τοῖς πεπερασμένοις τὸ εἶναι ἔχειν, ἀλλὰ καὶ ἐνεργείᾳ εἶναι, καὶ ἀφωρισμένον καθ' αὑτό. Τὰ μὲν γὰρ ἀλόγων οὐκ ἀναγκαῖα· τὰ δὲ ἔχει τινὰς ἑτέρας ἀληθεῖς ἀπαντήσεις. τῶν ἀπορειῶν φησὶν ἐξ ὧν τὸ ἄπειρον εἶναι δοκεῖ, τὰ μὲν οὐδὲν ἔχει ἀναγκαστικὸν εἰς τὸ εἶναι τὸ ἄπειρον· τὰ δὲ καὶ ἀληθείας τινὸς ἔχεται, καὶ οὐκ ἐναντιοῦται οἷς ἡμεῖς περὶ τοῦ ἀπείρου διεξετάζομεν. οὔτε γὰρ ὅπως ἡ γένεσις μὴ ἐπιλείπῃ, ὅτι οὐκ ἀνάγκη διὰ τὸ ἀεὶ εἶναι τὴν γένεσιν, τὸ ἄπειρον εἰσάγεσθαι. δυνατὸν γὰρ καὶ πεπερασμένου ὄντος τοῦ παντὸς ἀεὶ γένεσιν εἶναι, ἡ ἄλλου γένεσις, ἄλλου οὖν φθορά.

» ΕΤΙ τὸ ἅπτεσθαι καὶ τὸ πεπεράνθαι, ἕτερον. τὸ μὲν γὰρ πρός τι καὶ τινός (ἅπτεται γὰρ πᾶν τινός), καὶ
» τῶν πεπερασμένων τινὶ συμβέβηκε. τὸ δὲ πεπερασμένον, οὐ πρός τι. οὐδ' ἅψασθαι τῷ τυχόντι τοῦ τυ-
» χόντος ἐστί.

Ϛ Τι καὶ ὁ λόγος ὁ λέγων, ὅτι τὸ πεπερασμένον πρός τι περαίνει, ψευδής ὤν, οὐδὲν ἔχει ἀναγκαῖον. εἰ γὰρ τὸ πεπερασμένον πρός τι ἐπέραινε, ταὐτὸν ἦν τὸ πεπεράνθαι, καὶ τὸ ἅπτεσθαι. νῦν δὲ ἔστι μέν τι πεπερασμένον, ἁπτόμενον μὲν τινὶ οὐδενός. τοιοῦτον δὲ καὶ ἡ ἀπλανής. οὐκ ἄρα ταὐτὸν τὸ πεπεράνθαι τῷ ἅπτεσθαι. οὐδὲ ἄρα τὸ πεπερασμένον πρός τι περαίνει. Τὸ μὲν γὰρ πρός τι καὶ τινός. τὸ ἅπτεσθαί φησι τῶν πρός τι ἐστί. τὸ γὰρ ἁπτόμενον, τινὸς ἅπτεται. τὸ δὲ πεπερασμένον, οὐ πρός τι. ἀλλ' εἰ καὶ συμβέβηκέ τινι τῶν πεπερασμένων τὸ ἅπτεσθαι διὰ τὸ μὴ εἶναι κενόν, ἀλλ' οὖν οὐ ταὐτόν ἐστιν αὐτῷ τὸ ἅπτεσθαι, καὶ τὸ πεπεράνθαι, ἐπεὶ πᾶν πεπερασμένον εὐθὺς καὶ ἁπτόμενον ἦν. νῦν δὲ οὐκ ἔστιν, ὡς εἴρηται. Οὐδὲ ἅψασθαι τῷ τυχόντι τοῦ τυχόντος ἐστίν. ὅτι τὸ ἅπτεσθαι τῶν πρός τι ἐστὶ δείκνυσι τῷ μηδὲν πρὸς τὸ τυχὸν ἅπτεσθαι. οὐδὲ γὰρ τὸ τυχὸν τοῦ τυχόντος ἅπτεται. οὐδὲ γὰρ ἅπτεται γραμμὴ ἐπιφανείας, οὐδὲ ἐπιφάνεια σώματος, οὐδὲ ἅπτεται γραμμὴ φωνῆς, ἀλλὰ γραμμὴ γραμμῆς ἅπτεται, καὶ ἐπιφάνεια ἐπιφανείας. οὐ μόνον δὲ κατὰ τοὺς ἡμετέρους λόγους, οὐ ταὐτόν ἐστι τὸ πεπεράνθαι τῷ ἅπτεσθαι, ἀλλὰ καὶ κατὰ τὰς δημοκρίτου ὑποθέσεις τοῦτο συμβαίνει. αἱ γὰρ ἄτομοι ἐν τῷ κενῷ φερόμεναι πεπερασμέναι μέν εἰσιν, οὐδενὸς δὲ ἅπτονται. καὶ τοῖς ἔξω τοῦ οὐρανοῦ τὸ κενὸν ὑποτιθεμένοις, πεπέρασται μὲν ὁ οὐρανός, ἅπτεται δὲ οὐδενός. οὐκ ἄρα τὸ πεπεράνθαι τῷ ἅπτεσθαι ταὐτόν. ὥστε οὐδὲ τὸ πεπερασμένον πρός τι περαίνει.

» Τὸ δὲ τῇ νοήσει πιστεύειν, ἄτοπον. οὐ γὰρ ἐπὶ τοῦ πράγματος ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις, ἀλλ' ἐπὶ
» τῆς νοήσεως. ἕκαστον γὰρ ἡμῶν νοήσειέ τις πολλαπλάσιον αὐτοῦ αὔξων εἰς ἄπειρον. ἀλλ' οὐ διὰ τοῦτο
» ἔξω τοῦ ἄστεός τίς ἐστιν, ἢ τοῦ τηλικοῦδε μεγέθους ὃ ἔχομεν, ὅτι νοεῖ τις, ἀλλ' ὅτι ἐστί. τοῦτο δὲ συμβέβηκεν.
» ὁ δὲ χρόνος καὶ ἡ κίνησις, ἄπειρά ἐστι. καὶ ἡ νόησις οὐχ ὑπομένοντος τοῦ λαμβανομένου. μέγεθος δέ, οὔ-
» τε τῇ καθαιρέσει, οὔτε τῇ νοητικῇ αὐξήσει ἐστὶν ἄπειρον. ἀλλὰ περὶ μὲν τοῦ ἀπείρου πῶς ἐστι, καὶ πῶς
» οὐκ ἔστι, καὶ τί ἐστιν, εἴρηται.

Ϛ Τι οὐδὲ ἡ ἐκ τῆς νοήσεως ἀπορία ἔχει τι ἀναγκαῖον. Οὐ γὰρ ἐπὶ τοῦ πράγματος ἡ ὑπεροχὴ, καὶ ἔλλειψις, ἀλλ' ἐπὶ τῆς νοήσεως. οὐ διὰ τὸ τὴν νόησιν φησὶν ἄπειρόν τι μέγεθος ἐννοῆσαι, ἤδη καὶ ἀνάγκη τοιοῦτον εἶναι. οὐδὲ γάρ φησιν εἰ νοήσαιμι Σωκράτην ἄπειρον ηὐξημένον, ἤδη ἀνάγκη τὸν Σωκράτην τηλικοῦτον εἶναι, καὶ ὑπερβάλλον τὸ τρίπηχυ μέγεθος ὃ ἔχει, διὰ τὴν νόησιν. οὐδ' ἂν νοήσωμεν αὐτὸν ἔξω τοῦ ἄστεος ὄντα, ἤδη αὐτὸν ἀνάγκη ἔξω εἶναι. οὐδὲ γὰρ τῇ νοήσει τὰ πράγματα ἕπεται. ἀλλὰ τοῖς πράγμασιν ἐπισυμβαίνειν ἥγε ὀρθῶς ἔχουσα νόησις. τὰ ἀκριβέστερα δὲ τῶν ἀντιγράφων οὐκ ἔχει τὸ τοῦ ἄστεος, ἀλλὰ μόνον ἔξω τοῦ τηλικούτου μεγέθους, τουτέστιν οὗ ἔχομεν οἱ ἄνθρωποι. Ὁ δὲ χρόνος καὶ ἡ κίνησις ἄπειρά ἐστι, καὶ ἡ νόησις, οὐχ ὑπομένοντος τοῦ λαμβανομένου. ὅτι ἡ ἐκ τοῦ χρόνου, καὶ τῆς κινήσεως ἀπορία εἰσάγει μὲν τὸ ἄπειρον, ἀλλ' οὐ τοιοῦτον οἷον ἡμεῖς ἀπεδείξαμεν μὴ εἶναι, τὸ ἐνεργείᾳ, καὶ ἀθρόως ὑφεστηκὸς ἄπειρον. οὐ γὰρ ἅμα ὁ χρόνος ἄπειρός ἐστιν ἢ ὑπομένει αὐτοῦ τὸ ληφθέν, ἀλλ' ἀπὸ μέρους ἐν τῷ γίνεσθαι ὑπάρχει αὐτῷ ἡ ἀπειρία. ἀλλὰ κἂν τῇ νοήσει αὐξῆσαι θελήσῃς τὸν χρόνον, οὐδ' οὕτως ἀθρόαν αὐτοῦ τὴν φύσιν λήψῃ, ἀλλ' ἀπὸ μέρους. Μέγεθος δὲ οὔτε τῇ καθαιρέσει, οὔτε τῇ νοητικῇ αὐξήσει ἐστὶν ἄπειρον. ἐπ' ἄπειρον μὲν γὰρ διαιρεῖσθαι τὸ μέγεθος, διαιρεθῆναι δὲ εἰς ἄπειρα ἀδύνατον. ἀλλ' οὐδὲ αὐξηθῆναι ἐπ' ἄπειρον, ὡς δέδεικται. ἔστιν οὖν καὶ ἐν τούτοις τὸ ἄπειρον ἐν τῇ γενέσει, καὶ ἀπὸ μέρους. ὅλον δὲ ἅμα οὐκ ἔστι.

» τοῦ οὐρανοῦ μεῖζον. τὸ δ' ἄπειρον, οὐ ταὐτὸν ἐν κινήσει, καὶ μεγέθει, καὶ χρόνῳ, ὡς καὶ μία τις φύσις. ἀλ-
» λὰ κατὰ τὸ ὕστερον λέγεται, καὶ κατὰ τὸ πρότερον. οἷον κίνησις μὲν, ὅτι πρότερον τὸ μέγεθος ἐφ' οὗ κι-
» νεῖται, ἢ ἀλλοιοῦται, ἢ αὐξάνεται. ὁ χρόνος δὲ, διὰ τὴν κίνησιν. νῦν μὲν οὖν χρώμεθα τούτοις. ὕστερον δὲ
» πειρατέμεθα λέγειν, καὶ τί ἐστιν ἕκαστον. καὶ διότι πᾶν μέγεθος εἰς μεγέθη διαιρετόν.

Διατὶ ἐπ' ἄπειρον αὔξεται τὰ μεγέθη, δείκνυσιν. εἰ γὰρ δυνατὸν ἦν φησὶν ἐπ' ἄπειρον αὔξεσθαι. κἂν ηὔ-
ξητο ἂν ἐνεργείᾳ ἐπ' ἄπειρον, ἀλλὰ μὴν οὐδέν ἐστιν, οὔτε ηὐξημένον, οὔτε αὐξόμενον ἐπ' ἄπειρον. οὐ-
δὲ γάρ ἐστι τοῦ οὐρανοῦ μεῖζον, οὐδ' ἄρα δυνατόν τι ἐπ' ἄπειρον αὔξεσθαι. ὡς γὰρ ἐν τοῖς ἔμπροσθεν,
ἐπὶ μὲν τῶν γινομένων, καὶ φθειρομένων, οὐδὲν θαυμαστὸν τὸ δυνάμει μὴ ἐκβῆναι εἰς ἐνέργειαν, ἐπὶ δὲ
τοῖς ὅλοις φύσεως ἀϊδίου οὔσης, εἴγε ἦν τὸ δυνάμει ἐπ' ἄπειρον, ἀνάγκη πᾶσα, καὶ τὸ ἐνεργείᾳ εἶναι,
ἀλλὰ μὴν τὸ ἑπόμενον οὐκ ἔστιν, οὐδὲ τὸ ἡγούμενον ἄρα. Απορήσειε δ' ἄν τις. τί οὖν καὶ τῇ ὅλῃ φύσει
ἐστὶ τὸ δύνασθαι ἐπ' ἄπειρον διαιρεῖσθαι. πῶς οὖν οὐδὲ ἐστὶν ἐνεργείᾳ ἐπ' ἄπειρον διαιρετόν. εἰ γὰρ ἡ φύ-
σις τὴν τοιαύτην ἐποίησεν δύναμιν, διατί μὴ καὶ τῇ ἐνεργείᾳ ἐποίησε. φημὶ οὖν ὅτι οὐκ εἰς ἄπειρον φα-
μὲν δυνάμει διαιρετικὸν εἶναι. τοῦτο γὰρ οὐδὲ δυνάμει ἐστὶν ἐν τοῖς μεγέθεσιν, ἀλλὰ ἐπ' ἄπειρον. τοῦτο
οὖν αὐτοῦ ἐστὶν ἐνέργεια, τὸ μὴ λῆξαι ποτὲ τεμνόμενον. οὐκ οὖν οὐδὲ λήγει. ἔστι οὖν δυνάμει μὲν πρὶν
αὔξηται διαιρεῖσθαι. ἐνεργείᾳ δὲ, ὅταν ἤδη διαιρεῖται. εἰ δὲ λέγοις ὅτι οὐδὲν τῶν ἐπ' ἄπειρον διαιρεῖ-
σθαι ἐνέργειαν ἔχει. οὐ γὰρ δυνάμεθα ἐπ' ἄπειρον διαιρεῖν, ἀλλ' ἱστάμεθά ποτε. ἀλλὰ τοῦτο τῆς ἡμετέ-
ρας ἐστὶν ἀσθενείας, οὐ τῆς τοῦ πράγματος φύσεως. ἡ γὰρ φύσις ἐποίησεν ἡμῖν τὰ μεγέθη τοιαῦτα, ὡς μη-
δέποτε ἰσχύειν τῷ ἑαυτοῦ λόγῳ τὴν τομὴν. καὶ αὐτὴ δὲ ἡ φύσις διαιρεῖ τοσοῦτον. ὅσον αὐτῇ χρειῶδες εἰς
δημιουργίαν, καὶ ἄλλως ἐποίησεν ἡ φύσις, ἐπ' ἄπειρον τὰ μεγέθη διαιρετὰ, ἵνα ἔξῃ καθ' οἱονδήποτε
τι σημεῖον διαιρεῖν τὴν οὐσίαν. ὃ ἄρα δυνάμει ἔχει τὰ μεγέθη τοῦτο, καὶ ἐνεργείᾳ ἔχειν δύναται. οὐ
μόνον δὲ ἐπὶ τῆς αὐξήσεως, ἀλλὰ καὶ ἐπὶ τῆς διαιρέσεως.

» ΟΥΚ ἀφαιρεῖται δὲ ὁ λόγος, οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν. ἀναιρῶν οὕτως εἶναι τὸ ἄ-
» πειρον, ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξησιν ὡς ἀδιεξίτητον. οὐδὲ γὰρ νῦν δέονται τοῦ ἀπείρου, οὐδὲ
» χρῶνται. ἀλλὰ μόνον, εἶναι ὅσην ἂν βούλωνται, πεπερασμένην.

Ὅτι δὲ τὰς ἀρχὰς γεωμετρικὰς ἀναιρεῖ. λέγοντες μηδὲν εἶναι κατ' ἐνέργειαν ἄπειρον, ἵνα ἔξῃ λαβεῖν
αὐτοῖς ὅσην ἂν βούλωνται πεπερασμένην. ἐὰν οὖν δοθῇ αὐτοῖς ὅσην ζητοῦσιν, οὐδὲ τοῦ ἀπείρου δεήσονται.

» ΤΩ δὲ μεγίστῳ μεγέθει, τὸν αὐτόν ἐστι τετμῆσθαι λόγον ὁπηλικονοῦν μέγεθος ἕτερον.

Καλῶς δὲ ὁ ἀλέξανδρος ἐνταῦθά φησιν. ὅτι δείξας ὁ ἀριστοτέλης ὁποίου ἀπείρου οὐ προσδέονται εἰς
τὰς δείξεις οἱ γεωμέτραι, ὅτι τοῦ κατὰ τὴν ἔκτασιν ἀπείρου οὐ δέονται, νῦν λέγει ποίῳ χρῶνται, ὅτι
τῷ κατὰ διαίρεσιν ἀπείρῳ χρῶνται. ἔστι γάρ φησι τῷ μεγίστῳ μεγέθει κατὰ τὸν αὐτὸν λόγον ὁπηλικο-
νοῦν ἄλλο μέγεθος τμηθῆναι.

» ὭΣΤΕ πρὸς μὲν τὸ δεῖξαι, ἐκείνοις οὐθὲν διοίσει. τὸ ἄπειρον τὸ δὲ εἶναι, ἐν τοῖς οὖσιν ἔσται με-
» γέθεσιν.

Δῆλον φησὶν ἐκ τῶν εἰρημένων, ὅτι πρὸς μὲν τὰς ἀποδείξεις, οὐδὲν διοίσει τοῖς γεωμέτραις, εἴτε ἐστὶν, εἴτε
μή ἐστιν ἐκείνως τὸ ἄπειρον. λέγω δὲ τὸ κατὰ τὴν ἔκτασιν, τὸ δὲ ὅλως εἶναι τῷ ἀπείρῳ ἐν οὐδενὶ ἄλλῳ
ἐστὶν, ἢ ἐν τοῖς ἐνεργείᾳ ὑπάρχουσι μεγέθεσι. ταῦτα δέ ἐστι τὰ πεπερασμένα. ἔστι δὲ ἐν αὐτοῖς κατὰ τὴν
διαίρεσιν δῆλον ὅτι.

» ΕΠΕΙ δὲ τὰ αἴτια διῄρηται τετραχῶς, φανερὸν ὅτι ὡς ὕλη τὸ ἄπειρον αἴτιόν ἐστι. καὶ ὅτι τὸ μὲν
» εἶναι αὐτῷ, στέρησίς ἐστι. τὸ δὲ καθ' αὑτὸ ὑποκείμενον, τὸ συνεχὲς καὶ αἰσθητόν. φαίνονται δὲ πάντες καὶ
» οἱ ἄλλοι, ὡς ὕλῃ χρώμενοι τῷ ἀπείρῳ. διὸ καὶ ἄτοπον τὸ περιέχον ποιεῖν αὐτὸ, ἀλλὰ μὴ τὸ περιεχόμενον.

Ζητεῖ δὲ τούτων ἐν ποίῳ τῶν αἰτίων τὸ ἄπειρον, καὶ φησὶν ἐν τοῖς ὑλικοῖς αἰτίοις. εἴρηται γὰρ καὶ ἐν ἀρχῇ
ὅτι εἰ ἔστι τὸ ἄπειρον, ἀρχὴ ἔσται, καὶ οὐκ ἐξ ἀρχῆς. καὶ ὅτι τῷ μὲν εἶναι αὐτῷ στέρησίς ἐστι. τὸ δὲ καθ' αὑ-
τὸ ὑποκείμενον, τὸ συνεχὲς καὶ αἰσθητόν. ἐντεῦθεν δείκνυσιν ὅτι ἡ ὕλη τὸ ἄπειρον. δείκνυσι δὲ τοῦτο δι-
χῶς, ἔκ τε τῆς φύσεως αὐτῆς τοῦ ἀπείρου, καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. ἡ γὰρ ὕλη φησὶ στέρησίς
ἐστι τῷ ἰδίῳ λόγῳ. οὐδὲ γὰρ οἴκοθεν ἔχει εἶδος. καὶ τὸ ἄπειρον δὲ ἐν στερήσει. ὅρου γὰρ καὶ πέρατος αἴτιον
τὸ εἶδος. ὥστε ὕλη ἂν εἴη τὸ ἄπειρον. ἀλλ' εἰ καὶ ἐν στερήσει τὸ ἄπειρον, καὶ περὶ τὴν ὕλην. ἀλλ' οὖν καθ' αὑ-
τὸ, οὔτε ὑφέστηκεν, οὔτε τῇ ἐπ' ἄπειρον διαιρέσει ὑπόκειται. ἀλλὰ τὸ αἰσθητὸν σῶμά ἐστι, τὸ καθ' αὑτὸ
ὑφεστηκὼς, καὶ τῇ ἐπ' ἄπειρον διαιρέσει ὑποκείμενον. δεῖ γὰρ ἐνεργείᾳ εἶναι τὸ διαιρεθησόμενον. πῶς
οὖν φαμὲν κατὰ τὴν ὕλην γίνεσθαι τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. ὅτι τοῦ συνθέτου σώματος ἐπ'
ἄπειρον τεμνομένου, ἐπειδὴ μὴ κατὰ τὸ εἶδος ἡ τομὴ γίνεται. γίνεται γὰρ ἐκεῖνο ταυτὸν, ἀνάγκη κατὰ
τὴν ὕλην γίνεσθαι τὴν διαίρεσιν. ἀλλὰ κατὰ τὴν ὕλην εἰδοπεποιημένην, καὶ ἐνεργείᾳ τι οὖσαν. καὶ οἱ ἀρ-
χαῖοι δὲ πάντες φασὶν ὅσοι τὸ ἄπειρον εἶναι ὑπέθεντο. ἐξ αὐτοῦ γὰρ γίνεται, καὶ εἰς αὐτὸν ἀναλύεσθαι πάν-
τα. τοῦτο δὲ οἱ μὲν τὸν ἀέρα εἶναι. οἱ δὲ τὸ ὕδωρ. οἱ δ' ἄλλο τι ἔφασαν.

» ΛΟΙΠΟΝ δὲ ἐπελθεῖν, καθ' οὓς λόγους τὸ ἄπειρον εἶναι δοκεῖ. οὐ μόνον δυνάμει, ἀλλ' ὡς ἀφορισ-

αὐτὴν δὲ αἰτίαν καὶ ἐπὶ τὸ μεῖζον πέρας οὐκ ἔχει. ἡ γὰρ σύνθεσις ἐστὶ μονάδων. οὐδὲν δὲ κωλύει ἐπ᾽ ἄπειρον τὰς μονάδας ἐπισυντίθεσθαι ἀλλήλαις, ἀεὶ τὰς ληφθείσας διπλασιάζοντα. εἰκότως οὖν οὐκ ἔχει πέρας ἐπὶ τὴν αὔξησιν. τοῦτο δὲ αὐτὸ συμβέβηκε διὰ τὴν τοῦ ἀπείρου φύσιν ἥτις ὑπάρχει ἐν τῇ ἐπ᾽ ἄπειρον τῶν μεγεθῶν τομῇ. διὰ γὰρ τὴν ἐπ᾽ ἄπειρον τῶν μεγεθῶν τομὴν ἡ ἐπ᾽ ἄπειρον αὔξησις τοῦ ἀριθμοῦ γίνεται. διότι δὲ ἡ τομὴ τοῦ συνεχοῦς εἰς τὰς μονάδας ἔρχεται, διὰ τοῦτο καὶ τὸ ἔσχατον τοῦ ἀριθμοῦ ἡ μονάς ἐστιν. ἐν γὰρ ὂν τὸ συνεχὲς οὕτω διαιρεῖται. πῶς δέ φησι τὸ ἓν ἀδιαίρετον εἶναι, ὅτι περ ἐν ἡ. ἅμα οὖν ὅ φαμεν, τὸ ζῶον ἓν γένος ὂν διαιρεῖσθαι εἰς πλείονα εἴδη. ἃ γὰρ καθὸ γένος, διαιρεῖται εἰς εἴδη, καθὸ ἅμα ἓν διαιρεῖται, καὶ ἐπὶ τοὺς συνεχοῦς δὲ ὁ αὐτὸς λόγος. τὸ γὰρ συνεχὲς ἐν ἐστὶ καθὸ συνεχές. ἓν γὰρ ξύλον φερόμενον, καὶ εἷς λίθος. πάλιν δὲ τὸ συνεχὲς, ἣ συνεχὲς, ἐπ᾽ ἄπειρόν ἐστι διαιρετόν. τὸ ἓν ἅμα καθὸ ἓν, ἐπ᾽ ἄπειρον ἐστὶ διαιρετόν. ὅλως γὰρ ἡ διαίρεσις, τίνος ἐστὶν ἄλλου, ἢ τοῦ ἑνός. τὰ γὰρ πολλὰ διῄρηται ἤδη, καὶ οὐ διαιρεῖται. φημὶ οὖν ὅτι καὶ τὸ γένος, καὶ τὸ συνεχὲς οὐ μόνον ἕν ἐστιν, ἀλλὰ καὶ δυνάμει πολλά. ὡς μὲν γὰρ ἓν ἑκάτερον, ταύτῃ ἀδιαίρετόν ἐστιν. ἃ γὰρ ἡ ἓν διαιρεῖτο, εἰς πολλὰ ἂν ὅμως διαιρεθείη, οἷον τὸ γένος εἰς γένη, καὶ τὸ πηχυαῖον εἰς πλείω πηχυαῖα. ὡς μέντοι δυνάμει πολλὰ, ἐμπεριέχει γὰρ ἐν ἑαυτῷ καὶ τὸ γένος πολλὰ εἴδη, καὶ τὸ συνεχὲς πολλὰ συνεχῆ, ταύτῃ διαιρεῖται. ἡ δὲ μονὰς ἐν τοῖς ἀριθμοῖς μόνως ἕν ἐστι, καὶ οὐδαμῶς πολλά. ὥστε καὶ πάντῃ ἀδιαίρετος. ἀσφαλέστερον δὲ ἴσως καὶ αὐθις ζητεῖν, εἰ τῷ ὄντι τὸ ἓν καθὸ ἓν ἀδιαίρετόν ἐστιν.

Ο Δ᾽ ἀριθμός ἐστιν ἓν ἀεὶ πλείω, καὶ ποσὰ ἄττα. ὥστε ἀνάγκη στῆναι ἐπὶ τὸ ἀδιαίρετον.

Τουτέστιν οὐκ ἄλλο ἐστὶν ἀριθμὸς, ἢ μονὰς πολλάκις ληφθεῖσα. τὸ δὲ καὶ ποσὰ ἄττα, τὸ αὐτὸ ἐκ παραλλήλου, τουτέστι πόσαι τινὲς μονάδες. εἰ τοίνυν οὐδὲν ἄλλο ἐστὶν ἀριθμὸς, ἢ μονάδες πλείους, ἀνάγκη τὴν διαίρεσιν αὐτοῦ εἰς τὴν μονάδα καταντῆσαι. ἐξ ὧν γὰρ συγκεῖταί τι, εἰς ταῦτα καὶ διαλύεται. ἀδιαίρετος γὰρ ἡ μονάς. ὁ γὰρ εἷς ἄνθρωπος κατ᾽ αὐτὸ τοῦτο, ἀδιαίρετος. εἰ γὰρ καὶ εἰς μόρια διαιρεῖται, ἀλλ᾽ οὐ κατ᾽ αὐτὰ ἔχει τὸ εἷς εἶναι. εἰ δὲ ἡ τομὴ τοῦ ἀριθμοῦ ἐπὶ τὸ ἀδιαίρετον ἵσταται, ἔστιν ἄρα πέρας τι αὐτοῦ ἐπὶ τὸ ἔλαττον.

ΤΑ γὰρ δύο καὶ τρία παρώνυμα ὀνόματά ἐστιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἀριθμῶν ἕκαστος.

Ὅτι ὁ ἀριθμὸς οὐδὲν ἕτερόν ἐστιν, ἢ σύνθεσις μονάδων, κατασκευάζει ἐκ τῶν ὀνομάτων τῶν ἀριθμῶν. ἐκ γὰρ τῶν τριῶν μονάδων, παρωνύμως ὁ τρία ἀριθμὸς εἴρηται, καὶ ἐκ τῶν δύο δύο, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ὥστε οὐδὲν ἕτερόν ἐστι παρὰ τὰς μονάδας.

ΕΠΙ δὲ τὸ πλεῖον ἀεὶ ἐστὶ νοῆσαι. ἄπειροι γὰρ αἱ διχοτομίαι τοῦ μεγέθους.

Δείξας ὅτι ἔστι πέρας ἐπὶ τὸ ἔλαττον τοῦ ἀριθμοῦ, δείκνυσι νῦν ὅτι ἐπὶ τὸ μεῖζον οὐκ ἔστι. ἀεὶ γὰρ τοῦ ληφθέντος, μείζονα ἐστὶ νοῆσαι ἀριθμόν. εἶτα καὶ τὴν αἰτίαν συντόμως ἐπήγαγε πόθεν ὑπάρχει τοῦτο τῷ ἀριθμῷ, ὅτι διὰ τὴν ἐπ᾽ ἄπειρον τομὴν τῶν μεγεθῶν.

ΩΣΤΕ δυνάμει μὲν ἐστὶν ἐνεργείᾳ δ᾽ οὔ.

Εἰ γὰρ μηδέποτε πέρας ἴσχει ὁ ἀριθμὸς ἐπὶ τὸ πλέον, ἀλλὰ δυνατὸν ἀεὶ τοῦ ληφθέντος μείζονα λαβεῖν, καλῶς εἴρηται πρὸς ἡμῶν, ὅτι ἐνεργείᾳ μὲν οὐκ ἔστι τὸ ἄπειρον δυνάμει δὲ ἐστίν. ἀεὶ γὰρ ὁ ἐνεργείᾳ ληφθεὶς ἀριθμὸς πεπέρασται, ἀλλ᾽ ἡ αὔξησις πέρας οὐκ ἔχει.

ΑΛΛ᾽ ἀεὶ ὑπερβάλλει τὸ λαμβανόμενον παντὸς ὡρισμένου πλήθους.

Τὸ ὡρισμένου ἀντὶ τοῦ εἰλημμένου. παντὸς οὖν τοῦ εἰλημμένου φησὶν ὑπερβάλλει ὁ ληφθησόμενος, καὶ οὐκ ἐκλείπει ἡ λῆψις.

ΑΛΛ᾽ οὐ χωριστὸς ὁ ἀριθμὸς οὗτος τῆς διχοτομίας. οὐδὲ μένει ἡ ἀπειρία, ἀλλὰ γίνεται, ὥσπερ καὶ ὁ χρόνος, καὶ ὁ ἀριθμὸς τοῦ χρόνου.

Ἐπειδὴ ἀντιδιέστειλε τῷ συμβαίνοντι ἐπὶ τῶν μεγεθῶν τὰ συμβαίνοντα ἐπὶ τοῦ ἀριθμοῦ, διὰ τοῦτό φησιν, ὅτι ταῦτα οὐχ ὡς δυναμένου χωρίζεσθαι τοῦ ἀριθμοῦ, οὐδὲ ὡς ἕτερον ὄντα παρὰ τὰ ἀριθμητὰ, ἀλλὰ τῷ λόγῳ χωρίζομεν τὰ τῇ φύσει ἀχώριστα. καὶ οὐχ ὥσπερ τὰ τμήματα τοῦ συνεχοῦς μένει, οὕτω δὲ καὶ αὐξομένου τοῦ ἀριθμοῦ δηλονότι οἱ πρότεροι ἀριθμοὶ μένουσιν, ἀλλ᾽ ὥσπερ ὁ χρόνος ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει, οὕτω καὶ ὁ τοῦ χρόνου ἀριθμός. τὸ γὰρ ληφθὲν μόριόν ἐστι τοῦ πρότερον μὴ ἱσταμένου. οὕτω δὴ καὶ ἐπὶ τοῦ ἀριθμοῦ, ἐν τῷ γίνεσθαι ἡ αὔξησις αὐτοῦ τὸ εἶναι ἔχει. τῶν γὰρ εἴκοσι ληφθέντων οὐδὲν τὰ δέκα. ὥστε ἡ τοῦ ἀριθμοῦ ἀπειρία οὐκ ἐν τῷ μένειν, ἀλλ᾽ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχει.

ΕΠΙ δὲ τῶν μεγεθῶν, τοὐναντίον ἐστί. καὶ διαιρεῖται μὲν γὰρ εἰς ἄπειρα τὸ συνεχές. ἐπὶ δὲ τὸ μεῖζον οὐκ ἔστιν ἄπειρον.

Ἐπεὶ ὅτι ἀντιπεπονθότως ἔχει ὁ ἀριθμὸς τοῖς μεγέθεσι, καὶ δείξας ὅπως ἔχει ὁ ἀριθμὸς καὶ τὰς αἰτίας προσθεὶς, μέτεισιν ἐπὶ τὸ δεῖξαι, καὶ τὰ τῷ μεγέθει συμβαίνοντα, ὅτι ἐπὶ μὲν τὸ ἔλαττον πέρας οὐκ ἔχει, ἐπὶ δὲ τὸ μεῖζον ἔχει.

ΟΣΟΝ γὰρ ἐνδέχεται δυνάμει εἶναι, καὶ ἐνεργείᾳ ἐνδέχεται τοσοῦτον εἶναι. ὥστε ἐπεὶ ἄπειρον οὐδέν ἐστι μέγεθος αἰσθητὸν, οὐκ ἐνδέχεται παντὸς ὑπερβολὴν εἶναι ὡρισμένου μεγέθους. εἴη γὰρ ἄν τι

οὐδὲ γὰρ ἐπειδὴ γένεσίς ἐστιν ἀεὶ, διὰ τοῦτο δεῖ ἄπειρον εἶναί τι σῶμα ἐξ οὗ γίνεται τὰ γινόμενα. ἔ-
ξεστι γὰρ εἶναι τὴν ἄλλου γένεσιν ἄλλου φθορὰν, καὶ ἡ ἄλλου φθορὰ ἄλλου γένεσις. δυνατὸν πεπερασμένον εἶναι τὸ
πᾶν, γένεσιν δὲ καὶ φθορὰν ταύτην μηδέποτε ὑπολείπειν. ὥστε οὐδὲν ἀναγκαῖον ἡ τοιαύτη ἔχει ἀπό-
δειξις. οὔτε γὰρ τὸ ἐνεργείᾳ ἄπειρον διὰ ταύτην ἀνάγκη εἶναι, οὔτε τὸ δυνάμει, οὔτε τὸ ἀπὸ μέρους, ἀλλ' οὐ-
δὲ ἡ λέγουσα πᾶν πεπερασμένον πρός τι περαίνειν. ψεύδεται γὰρ τοῦτο. οὐ γὰρ ταυτόν ἐστι τὸ πεπερᾶσθαι
καὶ τὸ ἅπτεσθαι, τῷ ὅτι ἀνάγκη ἦν πᾶν τὸ πεπερασμένον εὐθὺς καὶ τινὸς ἅπτεσθαι ἔξωθεν, καὶ ὑπ'
αὐτοῦ περιγράφεσθαι. νῦν δὲ οὐ ταυτὸν τὸ πεπεράνθαι τῷ ἅπτεσθαι. τὸ μὲν γὰρ ἅπτεσθαι τῶν πρός τι
ἐστί. τὸ γὰρ ἁπτόμενον τινὸς ἅπτεται. ἁπτόμενον γὰρ ἅπτεται. ὥστε τὸ ἁπτόμενον πρὸς ἄλλο τι ἔξωθεν
αὐτοῦ καὶ ἕτερον λέγεται. τὸ δὲ πεπερασμένον οὐ πρὸς ἄλλο λέγεται, ἀλλὰ πρὸς ἑαυτό. οὕτως οὐδὲ
τὸ πεπερασμένον πρὸς ἄλλο ἔχει τὴν ἀναφορὰν, καὶ τὴν σχέσιν. ἀφὴ μὲν γὰρ τῷ ἄλλο τι θιγγάνειν ἄλλου
λέγεται. πέρας δὲ ἐν τῷ αὐτό τι ἔσχατον ἔχειν. ὥστε εἰ μὴ ταυτὸν τὸ ἅπτεσθαι τῷ πεπεράνθαι, οὐκ ἀ-
νάγκη τὸ πεπερασμένον πρός τι περαίνειν. ἀλλά τινα μὲν τῶν πεπερασμένων δύναται πρός τι περαί-
νειν, καὶ ἅπτεσθαί τινος ἔξωθεν, οὐ μὴν οὐδὲ τούτοις ταυτὸν τὸ ἅπτεσθαι τῷ πεπεράνθαι ἐστίν. ἀλλὰ συμ-
βέβηκε τῷ πεπερασμένῳ τὸ ἅπτεσθαι, διότι κενὸν οὐκ ἔστιν. ὅσα μὲν κατὰ τὸ ἐντὸς ἑαυτῶν πεπέρα-
σται, πάντως καὶ ἅπτεταί τινος. διότι ὡς εἶπον κενὸν οὐδέν ἐστιν. ὅσα δὲ ἔξωθεν πεπέρασται, πάντα δὲ τὰ
ὄντα τοιαῦτά ἐστιν, οὐκ ἀνάγκη καὶ ἅπτεσθαί τινος. ὅσα μὲν γὰρ ἔξωθεν πεπερασμένα, καὶ ἅπτεταί τι-
νος, οὐχ ὅλα ἐστὶν ἀλλὰ μέρη τοῦ παντός. ἅπτεται οὖν ταῦτα, οὐ καθότι πέρας ἔχει, ἀλλὰ καθὸ μέρη ἐστὶ
τοῦ ὅλου. οὐδὲν δὲ κενὸν ἐν τῷ παντί. εἴ τι δὲ καὶ κυρίως ὅλον ἐστὶ καὶ πᾶν, τοῦτο οὐκ ἀνάγκη πρός τι ἕτερον πε-
ραίνειν, μᾶλλον δὲ ἀδύνατον, ἐπεὶ οὐκ ἂν εἴη κυρίως ὅλον. τοιαύτη δέ ἐστιν ἡ ἀπλανής, πεπερασμένη
μὲν οὖσα, ἐπειδὴ καὶ σφαῖρα, πᾶν δὲ σχῆμα πεπερασμένον δηλονότι, ἅπτεται δὲ ἔξωθεν οὐδενός, διότι
μηδέ ἐστί τι αὐτῆς ἔξω. οὐδὲ οὗτος ἄρα ὁ λόγος ἀναγκαῖόν τι ἔχει πρὸς τὸ εἶναι τὸ ἄπειρον. ἀλλ' οὐδὲ ὁ
ἐκ τῆς νοήσεως. ἡ μὲν γὰρ νόησις δύναται τῷ ὄντι τῷ ληφθέντι μεγέθει ἀεὶ προστιθέναι ἔξωθεν ἄλλο. καὶ οὐ-
δέποτε ἀπολείπει τοῦτο ποιοῦσα. οὐ μὴν ἀνάγκη τῇ νοήσει τῇ ἡμετέρᾳ τὴν τῶν πραγμάτων ἀκολουθεῖν φύ-
σιν. τοὐναντίον δὲ μᾶλλον ἀνάγκη τῇ φύσει τῶν πραγμάτων ἀληθῆ νόησιν ἕπεσθαι. οὐδὲ γὰρ ἐπειδὴ νοῆ-
σαι δυνατὸν Σωκράτην ἔξω Ἀθηνῶν εἶναι, ἤδη ἀνάγκη ἔξω Ἀθηνῶν αὐτὸν εἶναι. οὐδὲ ἐπειδὴ δυνατὸν νοῆ-
σαι αὐτὸν ἑκατοντάπηχυν, ἤδη ἀνάγκη καὶ τοιοῦτον αὐτὸν εἶναι. οὐ γὰρ ὅ,τι ἂν βουληθῶμεν νοῆσαι, ἤδη
τοῦτο καὶ ἔστι. φαντάζονται γοῦν πολλοὶ ἑαυτοὺς βασιλέας εἶναι, καὶ κυρίους πάσης τῆς γῆς, ἀλλ' οὐκ
ἀνάγκη τῇ νοήσει αὐτῶν ἀκολουθεῖν τὰ πράγματα. οὕτω γοῦν εἰ καὶ δυνάμεθα νοεῖν σῶμά τι ἐπ' ἄπει-
ρον ηὐξημένον, οὐκ ἀνάγκη τοιοῦτόν τι σῶμα εἶναι. οὗτοι μὲν οὖν οἱ λόγοι ἀναγκαῖον οὐδὲν ἔχουσι πρὸς
τὸ δεῖν εἶναι τὸ ἄπειρον. εἰ δὲ ἕτεροι β', ὅ, τε ἐκ τῆς ἀπειρίας τοῦ χρόνου καὶ ὁ ἐκ τῆς ἐπ' ἄπειρον τῶν
μεγεθῶν τομῆς, ἔχουσι μὲν τὸ εὔλογον, οὐ μὴν ἀνάγκη εἰ μὴ εἴη κατ' ἐνέργειαν ἄπειρον σῶμα, ἀναιρεῖ-
σθαι ἢ τὴν ἐπ' ἄπειρον τοῦ χρόνου αὔξησιν, ἢ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. οὐδὲ γὰρ οὕτως ἐστὶν
ὁ χρόνος ἄπειρος ἢ ἡ τῶν μεγεθῶν διαίρεσις τῷ ἅμα εἶναι ἢ τὸν χρόνον, ἢ τὰς διαιρέσεις τὰς συνε-
χοῦς, ἀλλὰ τῷ ἀεὶ μέρος λαμβάνεσθαι καὶ μὴ ὑπολείπειν, καὶ δυνάμει εἶναι ἐν αὐτοῖς τὸ ἄπειρον καὶ
οὐκ ἐνεργείᾳ, ὥστε τὸ μὲν ἀπὸ μέρους ὑφεστηκέναι τὸ ἄπειρον καὶ δυνάμει εἶναι. ὥστε ἐπειδὴ οὕτως
εἶναι τὸ ἄπειρον δυνάμει λέγω καὶ οὐκ ἐνεργείᾳ, καὶ ἀπὸ μέρους καὶ οὐκ ἀθρόον, διὰ τοῦτο οὐδὲν ἄ-
τοπον μηδὲ τὴν νόησιν ὑπολείπειν. οὐδὲ γὰρ αὐτὴ δύναται ἀθρόον νοῆσαι, ἐπεὶ πεπερασμένον αὐτὸ ἐννοεῖ
ἀλλ' ἀεὶ τῷ ληφθέντι πεπερασμένῳ ὄντι πεπερασμένον ἄλλο προστίθησι, μέχρις ἂν ἀποκαμοῦσα παύ-
σηται. ὥστε συγχωρήσομεν αὐτῇ δυνάμει μὲν ἐπ' ἄπειρον αὔξειν, ἐνεργείᾳ δὲ οὔ. καὶ πεπερασμένον μὲν
ἀεὶ τὸ εἶναι τὸ λαμβανόμενον, ἄπειρον δὲ οὐδέποτε, κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν
μὲν μὴ εἶναι δοκεῖν ἄπειρον, τουτέστιν εὐλόγως καὶ ἀκολούθως τοῖς παρ' ἡμῶν, περὶ τοῦ ἀπείρου εἶναι
λεγομένοις. ὅτι περιέχεται μὲν τὸ ἄπειρον, περιέχει δὲ τὸ ὅλον καὶ τὸ πᾶν. τέμνεσθαι μὲν οὖν τὸ μέγε-
θος, ἐπειδὴ πᾶσα τομὴ ἐντὸς τῶν περάτων γίνεται, εἰκότως οὐδέποτε ὑπολείπει. περιεχόμενον γὰρ αὐ-
τὸ ὑπὸ τῶν περάτων τὸ ἄπειρον ἐνδίδωσι τῇ τομῇ τὴν ἐπ' ἄπειρον πρόοδον. ἐπ' ἄπειρον δὲ προστίθε-
σθαι οὐκ ἐνδέχεται. ἡ γὰρ πρόσθεσις ἔξωθεν γίνεται. τῷ δὲ ὅλῳ καὶ παντὶ προσθεῖναι, ἀδύνατον. ὥστε
ὅταν ἡ προσθήκη εἰς τοῦτο καταντήσῃ, εἰκότως παύεται. εὐλόγως δὲ καὶ τὸ ἐν μὲν τῷ ἀριθμῷ εἶναι
ἐπὶ τὸ ἐλάχιστον πέρας. τῷ τὸν μὲν ἀριθμὸν κατὰ μὲν τὸ ἐλάχιστον πεπεράνθαι. πέρας γὰρ τοῦ ἀριθ-
μοῦ ἐπὶ τὸ ἔσχατον ἡ μονάς. κατὰ δὲ τὸ μεῖζον μηδὲν ἔχει πέρας. παντὸς γὰρ τοῦ ληφθέντος ἀριθμοῦ
μείζονα ἔχω λαβεῖν. ἐπὶ δὲ τῶν μεγεθῶν ἀντιπεπονθότως ἔχει. ἐπὶ μὲν γὰρ τὸ μεῖζον, πεπέρασται τῷ
μεγέθει. ἐπὶ δὲ τὸ ἐλάχιστον, οὐκ ἔστι λαβεῖν τὸ ἔσχατον. καὶ τὰς αἰτίας ἐπάγει. αἴτιον δὲ ὅτι τὸ ἕν ἐστιν
ἀδιαίρετον, ὅπερ ἂν ᾖ ἕν τι. τοῦ τὸν ἀριθμὸν ἐπὶ τὸ ἐλάχιστον πέρας ἔχειν αἴτιον τὸ μηδὲν ἄλλο εἶναι
τὸν ἀριθμὸν, ἢ πλῆθος μονάδων. ἐπεὶ οὖν διαιρούμενος ὁ ἀριθμὸς καταντᾷ εἰς ἔσχατόν τι τὴν μονά-
δα. ἐξ οὗ γὰρ σύγκειταί τι, εἰς αὐτὸ καὶ διαλύεται. ἡ δὲ μονὰς καθὸ μονὰς, ἀδιαίρετόν ἐστιν, εἰκότως
οὐκ ἐπ' ἄπειρον πρόεισιν ἐπὶ τὸ ἐλάχιστον. ἵσταται γὰρ ἡ διαίρεσις εἰς μονάδα καταντήσασα διὰ τὴν

διὰ ταῦτα μὲν οὐκ ἐπ᾽ ἄπειρον ἡ τοῦ ἀριθμοῦ διαίρεσις, ἡ δὲ πρόσθεσις ἐπ᾽ ἄπειρον δήπως, διότι αὐθις σύνθετος ἐκ μονάδων. ἐπεὶ οὖν δυνατὸν ἐπ᾽ ἄπειρον ἑαυτῇ αὐτὴν συντιθέναι τὴν μονάδα, δήπως ἡ ἐπ᾽ ἄπειρον αὔξησις τοῦ ἀριθμοῦ ἠκολούθησε. τὸ δὲ μέγεθος οὐκέτι σύγκειται ἐκ ἑνάδων, ἀλλ᾽ ἐκ μεγεθῶν. καὶ ἡ διαίρεσις οὖν, οὐδέποτε καταντᾷ εἰς ἀδιαίρετα. ἀλλ᾽ ἀεὶ εἰς μεγέθη πεφυκότα διαιρεῖσθαι. καὶ οὕτως ἐπ᾽ ἄπειρον ἡ τομή. ἡ δὲ αὔξησις οὐκ ἐπ᾽ ἄπειρον. καταντᾷ γὰρ εἰς τὸ ὅλον καὶ τέλειον. οὐ γὰρ ἐνδέχεται τοῦ οὐρανοῦ τι εἶναι μεῖζον. ὅπερ τὸ κυρίως ἐστὶν ὅλον καὶ πᾶν. διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν ἐναντίως ἔχει ὁ ἀριθμὸς τοῖς μεγέθεσι. ἀκόλουθον δὲ τοῦτο τοῖς προαποδεδειγμένοις περὶ τοῦ ἀπείρου. οὐ γὰρ δὴ καθ᾽ αὑτὸν ὁ ἀριθμὸς τὸ ἄπειρον ἔχει, ἀλλὰ διὰ τὴν ὕλην. ἡ γὰρ ἐπ᾽ ἄπειρον τῶν μεγεθῶν τομὴ κατὰ τὴν ὕλην γινομένη, αἰτία τῆς ἐπ᾽ ἄπειρον αὐξήσεως τοῦ ἀριθμοῦ. διὰ τοῦτο δὲ καὶ εἰς ἔσχατον τὴν μονάδα καταντᾷ, ὅτι ἐν τὸ συνεχὲς πρὶν διαιρεθῆ, ὅπερ ἦν δυνάμει ἄπειρον, καὶ τῆς αὐξήσεως τοῦ ἀριθμοῦ τῆς ἐπ᾽ ἄπειρον αὐτοῦ διαιρέσει αἴτιον γέγονεν. ἐν πᾶσι γοῦν τὸ ἄπειρον διὰ τὴν ὕλην. ἐφεξῆς ζητεῖ, ἐπειδὴ ἐν πλείοσι τὸ ἄπειρον, λέγομεν γὰρ καὶ τὸ μέγεθος ἄπειρον τῷ ἐπ᾽ ἄπειρον διαιρεῖσθαι, καὶ κίνησιν ἄπειρον, καὶ χρόνον ἄπειρον, πῶς ἔχει ἐν τούτοις τὸ ἄπειρον. ἀλλὰ κατὰ τὸ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν. ὡς γὰρ ἂν ἔχωσι τάξεως τὰ ὑποκείμενα, λέγω δὴ τὸ μέγεθος, ἡ κίνησις, ὁ χρόνος, οὕτως ἔχει καὶ τὸ ἄπειρον ἐν τούτοις. ἔστιν οὖν πρώτως τὸ μέγεθος συνεχές. διὰ τοῦτο καὶ ἡ κίνησις ἡ ἐπ᾽ αὐτοῦ γινομένη συνεχής, εἴτε φορὰ εἴη, εἴτε ἀλλοίωσις, εἴτε αὔξησις. διὰ δὲ τὴν κίνησιν, καὶ ὁ χρόνος συνεχής. ἔστιν οὖν καὶ τὸ ἄπειρον πρώτως μὲν ἐν τῷ μεγέθει. διὰ δὲ τὸ μέγεθος, ἐν τῇ κινήσει. διὰ δὲ τὴν κίνησιν, ἐν τῷ χρόνῳ. καὶ νῦν μὲν ταῦτα ὡς ὡμολογημένα λαμβάνει, ὅτι τὸ μέγεθος συνεχές, καὶ εἰς μέγεθος καὶ οὐκ εἰς ἀδιαίρετα μερίζεται. καὶ ὅτι διὰ τὸ μέγεθος ἡ κίνησις, καὶ διὰ ταύτην ὁ χρόνος. ὕστερον δὲ καὶ ἀποδείξει ταῦτα ἐν τῷ ἕκτῳ λόγῳ ταύτης τῆς πραγματείας. μετὰ ταῦτά φησιν ὅτι οὐκ ἀφαιρούμεθα τὰς γεωμετρικὰς ἀρχὰς καὶ ἀποδείξεις, ἀναιροῦντες τὸ κατ᾽ ἐνέργειαν ἄπειρον ἐκ τῶν ὄντων. ἠπόρησε γὰρ ἄν τις ὅτι εἰ τὰ μαθήματα ἐξ ἀφαιρέσεως ἀπὸ τῶν φυσικῶν. κέχρηνται γὰρ οἱ γεωμέτραι ὡς ἀρχῇ τινι τῷ λαμβάνειν ἄπειρον εὐθεῖαν. συνεχῶς γάρ φασιν ἐκβεβλήσθω καὶ δὴ ἐπ᾽ ἄπειρον. οὐ δοθέντος προΐασιν αἱ γεωμετρικαὶ ἀποδείξεις. ἀνῃρημένης οὖν τῆς ἀπείρου εὐθείας, ᾗ τινι ὡς ἀρχῇ κέχρηνται οἱ γεωμέτραι ἐν ταῖς ἀποδείξεσιν, ἀνῃρημέναι ἔσονται καὶ αἱ γεωμετρικαὶ ἀποδείξεις. ἄτοπον δὲ τὰς καλλίστας, καὶ ἀκριβεστάτας τῶν ἐπιστημῶν ἀνελεῖν. ταύτην οὖν τὴν ἀπορίαν ὁ Ἀριστοτέλης ἀγχινούστατα πάνυ ἐπιλυόμενός φησιν, ὅτι οὐκ ἀφαιρούμεθα αὐτοὺς τὰς ἀποδείξεις δείξαντες μὴ εἶναι ἄπειρον μέγεθος κατ᾽ ἐνέργειαν. οὐδὲ γὰρ χρῶνται τῷ ἀπείρῳ ἐν ταῖς ἀποδείξεσιν οἱ γεωμέτραι, ἀλλὰ διὰ τοῦτο λαμβάνουσι τὴν ἄπειρον, ἵνα ἐξ αὐτῆς ὅσην ἂν βούλωνται ἀφαιρεῖν πεπερασμένην δυνηθῶσι. ὥστε ἄν γε δοθείη αὐτοῖς ὅσην βούλοιντο λαβεῖν, οὐδὲν ἂν τῆς ἀπείρου ἐδεήθησαν. τεκμήριον δὲ μέγιστον τοῦ μηδὲ πρὸς τὰς γεωμετρικὰς ἀποδείξεις συμβάλλεσθαι τὴν ἄπειρον εὐθεῖαν, ὅτι λαβόντες ἐξ αὐτῆς ἣν ἐβουλήθησαν πεπερασμένην, ταύτῃ συγκέχρηνται ἐν τῇ ἀποδείξει τοῦ προκειμένου θεωρήματος. τῷ δ᾽ ἀπείρῳ, οὔ. ἐὰν οὖν ἡ μεγίστη εὐθεῖα δοθῇ αὐτοῖς. οἷον ἡ τοῦ παντὸς διάμετρος, οὐκ ἔτι τῆς ἀπείρου δεηθήσονται. ἐκ ταύτης γὰρ ἐξέσται ἀφαιρεῖν ὅσην ἂν βούλωνται. ὥστε εἰ μὲν προσεχρῶντο τῷ ἀπείρῳ ἐν ταῖς ἀποδείξεσι, τῷ ὄντι ἀφῄρητο αὐτοὺς τῆς ἐπιστήμης ὁ ἀναιρῶν λόγος τὸ ἄπειρον. εἰ δὲ μὴ κέχρηνται, οὐκ ἔτι. ἐφεξῆς ζητεῖ, ὑπὸ ποῖον τῶν αἰτίων ἀνακτέον τὸ ἄπειρον. ἐπειδὴ γὰρ ἔδειξεν ὅτι εἰ ἔστι τὸ ἄπειρον ἀνάγκη πᾶσαν ἀρχὴν αὐτὸ εἶναι, οὐκ ἐξ ἀρχῆς, ἐδείχθη δὲ ὅτι εἰ τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον οὐκ ἔστιν, ἀλλ᾽ οὖν ἔστι τὸ κατὰ τὴν διαίρεσιν, καὶ τὴν ἀντεστραμμένην πρόσθεσιν, ζητεῖ δήπως ὑπὸ ποίαν τῶν ἀρχῶν δεῖ ἀναγαγεῖν τὸ ἄπειρον. αἱ δὲ ἀρχαὶ τέσσαρες, ἡ ὕλη, τὸ εἶδος, τὸ ποιητικόν, τὸ τελικόν. φησὶν οὖν ὅτι ὡς ὕλη ἐστὶν ἀρχὴ τὸ ἄπειρον. δείκνυσι δὲ καὶ ἐκ τοῦ λόγου, καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. ὅτι μὲν γὰρ τὸ εἶδος οὐ δύναται εἶναι, πρόδηλον. ὅρος γὰρ καὶ πέρας ἐστὶ τὸ εἶδος. τὸ δὲ ἄπειρον ἀόριστον, καὶ ἀδιεξίτητον. ἀλλ᾽ οὐδὲ ὡς ποιητικὸν αἴτιον. τὸ μὲν γὰρ ποιητικὸν αἴτιον, ἐνεργείᾳ δεῖ εἶναι, τὸ δὲ ἄπειρον δυνάμει ἐστί. δῆλον δὲ ὅτι οὐδὲ τὸ τελικόν. πρῶτον μὲν ὅτι εἰς ταυτὸν ἔρχεται πολλάκις τὸ εἶδος τῷ τέλει. ἔπειτα ὅτι τὸ μὲν τελικὸν τέλος ἐστὶ καὶ πέρας οὗ ἂν ᾖ. τὸ δὲ ἄπειρον τέλος οὐκ ἔχει. λείπεται οὖν ὑλικὸν αἴτιον εἶναι τὸ ἄπειρον. καὶ τοῦτο δήπως. ἡ μὲν γὰρ ὕλη ἐν στερήσει καθ᾽ αὑτό, καὶ ἡ ὕλη δὲ ἐν στερήσει, τὸ ἄπειρον ἄρα ἡ ὕλη. καὶ πάντες δέ φησιν ὅσοι τὸ ἄπειρον εἶναι ὑπέθεντο, ὡς ὕλην αὐτὸ ὑπέθεντο. τὸν γὰρ ἀέρα, ἢ τὸ ὕδωρ, ἢ τὸ μεταξύ, ἢ ὅ, τι οὖν ἄλλο ἄπειρον ἔλεγον, ἐξ οὗ ὡς ἐξ ὕλης γενέσθαι τὰ γινόμενα. ταῦτα εἰπών, πρὸς τῷ πέρατι λοιπὸν τοῦ βιβλίου τὰς ἀπορίας ἐπιλύεται, ἐξ ὧν ἐδόκει ἀναγκαίως εἶναι ἐν τοῖς οὖσι τὸ ἄπειρον, ἵνα μὴ μένουσαι αἱ ἀπορίαι ἐνοχλῶσι τοὺς πολλούς. ἦσαν δὲ πέντε τὸν ἀριθμόν. πρώτη μὲν ἡ ἐκ τοῦ χρόνου ἀπειρίας. δευτέρα ἡ ἐκ τῆς ἐπ᾽ ἄπειρον τῶν μεγεθῶν διαιρέσεως. τρίτη ἡ ἐκ τῆς ἀγενεσίας. τετάρτη ἡ ἐκ τοῦ τὸ πεπερασμένον ἀεὶ πρός τι περαίνειν. πέμπτη ἦν καὶ μάλιστα ἔλεγε τοὺς πολλοὺς πείθειν ὅτι ἔστι τὸ ἄπειρον, ἡ ἐκ τῆς νοήσεως, τῷ μηδέποτε ἴσχειν πέρας τὴν νόησιν, ἀλλὰ δύνασθαι ἀεὶ τοῦ νοηθέντος ἕτερόν τι ἐπινοεῖν ἔξω. τούτων οὖν φησι τῶν ἀποριῶν, αἱ μὲν οὐδὲν ἔχουσιν ἀναγκαῖον, οὔτε πρὸς τὸ ἐνεργείᾳ εἶναι τὸ ἄπειρον, οὔτε πρὸς τὸ κατὰ μέρος, οὔτε πρὸς τὸ δυνάμει. καὶ πρώτη καὶ ἡ ἐκ τῆς ἀγενεσίας.

ὁμοιότης ἐπάγει. ἔστι γὰρ τὸ ἄπειρον τῆς τοῦ μεγέθους τελειότητος ἡ ὕλη, καὶ δυνάμει ὅλον, ἐντελεχείᾳ δὲ οὔ. μέγεθος φησὶ τὸ συνθετόν. τῆς οὖν μεγέθους τελειότητός φησι, τουτέστι τοῦ εἴδους, καθ' ὃ ἕκαστον τὸ εἶναι καὶ τὴν ἑαυτοῦ ἔχει τελειότητα, ὕλη ἐστὶ τὸ ἄπειρον. ἔστι δὲ ἡ ὕλη δυνάμει ὅλον καὶ τέλειον, τουτέστιν εἶδος, ἐντελεχείᾳ δὲ οὔ. καθ' αὑτὴν μὲν γὰρ οὐδὲν ἄπειρος καὶ ἀόριστος. δυνάμει δὲ ὅλον τι καὶ τέλειον. δεκτικὴ γὰρ τοῦ εἴδους, ἐξ οὗ τὸ συνθετόν. ὃ οὖν αὐτῇ ὑπάρχει δυνάμει φησί, τοῦτο ὡς ἐνεργείᾳ ὑπάρχον κατηγοροῦσιν. ὅτι δὲ ἐν τῇ ὕλῃ τὸ ἄπειρον, δείκνυσι διὰ τῶν ἑξῆς. ἡ γὰρ ἐπ' ἄπειρον φησὶ τομὴ τοῖς μεγέθεσιν, καὶ ἡ ἀντιστρέφουσα ἐν ταύτῃ πρόσθεσις ἐκ τῆς ὕλης ὑπάρχει. καθ' ἑαυτὰ γὰρ ἀδιαίρετα ἐστὶ τὰ εἴδη. τοῦτο μὲν οὖν καθ' αὑτὸ τῇ ὕλῃ ὑπάρχει. τὸ δὲ εἶναι ὅλον τι, καὶ τέλειον ὅταν εἰς ὅρον ἔλθῃ, οὐ καθ' αὑτήν, ἀλλὰ κατὰ τὸ ἄλλο αὐτῇ ὑπάρχει. τουτέστι κατὰ τὸ εἶδος.

ΚΑΙ οὐχ ὑπερέχει, ἀλλ' ὑπερέχεται ᾗ ἄπειρον.

Ὁρίζεται γὰρ ὑπὸ τοῦ εἴδους ἡ ὕλη, καὶ περατοῦται τὸ ἄπειρον. τὸ δὲ ὁριζόμενον καὶ περατούμενον οὐ περιέχει, ἀλλὰ περιέχεται. εἰ δὲ περιέχεται, φανερὸν ὅτι οὐχ ὅλον τι τὸ ἄπειρον ὡς ἐκεῖνοι ἔλεγον, τοὐναντίον δὲ μόριον τοῦ ὅλου ὅπερ συγκεῖται ἐκ τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου.

ΔΙΟ καὶ ἄγνωστον ᾗ ἄπειρον. εἶδος γὰρ οὐκ ἔχει ἡ ὕλη. ὥστε φανερόν, ὅτι μᾶλλον ἐν μορίου λόγῳ ἐστὶ τὸ ἄπειρον, ἢ ἐν ὅλου. μόριον γὰρ ἡ ὕλη τοῦ ὅλου, ὥσπερ ὁ χαλκὸς τοῦ χαλκοῦ ἀνδριάντος.

Εἰ γὰρ ἑκάστου γνῶσις κατὰ τὸ εἶδος, ἀνείδεος δὲ ἡ ὕλη, εὔδηλον ὅτι καὶ ἄγνωστος. διὸ καὶ ὁ Πλάτων, νόθῳ λογισμῷ ληπτὴν αὐτὴν εἶπε, διότι κατ' ἐπιβλητικὰς αὐτὴν γνῶναι ἀδύνατον, ἐξ ἀφαιρέσεως δὲ τῶν εἰδῶν εἰς ἔννοιαν αὐτῆς ἐρχόμεθα. ὥστε καὶ ὁ τρόπος τῆς γνώσεως αὐτῆς φόρτος ἐκ τῶν εἰδῶν ὑπάρχει.

ΕΠΕΙ εἴ γε περιέχει ἐν τοῖς αἰσθητοῖς καὶ ἐν τοῖς νοητοῖς τὸ μέγα καὶ τὸ μικρόν, ἔδει περιέχειν τὰ νοητά. ἄτοπον δὲ καὶ ἀδύνατον, τὸ ἄγνωστον καὶ τὸ ἄπειρον περιέχειν καὶ ὁρίζειν. κατὰ λόγον δὲ συμβαίνει καὶ τό, κατὰ πρόσθεσιν μὲν μὴ εἶναι δοκεῖν ἄπειρον οὕτως, ὥστε παντὸς ὑπερβάλλειν μεγέθους, ἐπὶ τὴν διαίρεσιν δὲ εἶναι. περιέχεται γὰρ ὡς ἡ ὕλη ἐντός, καὶ τὸ ἄπειρον. περιέχει δὲ τὸ εἶδος. εὐλόγως δὲ καὶ τό, ἐν μὲν τῷ ἀριθμῷ εἶναι ἐπὶ τὸ ἐλάχιστον πέρας, ἐπὶ δὲ τὸ πλεῖον ἀεὶ παντὸς ὑπερβάλλειν πλήθους. ἐπὶ δὲ τῶν μεγεθῶν τοὐναντίον. ἐπὶ μὲν γὰρ τὸ ἔλαττον, παντὸς ὑπερβάλλειν μεγέθους. ἐπὶ δὲ τὸ μεῖζον, μὴ εἶναι μέγεθος ἄπειρον. αἴτιον δ' ὅτι τὸ ἓν ἐστὶν ἀδιαίρετον, ὅ, τι ἂν ἓν ᾖ, οἷον ἄνθρωπος, εἷς ἄνθρωπος καὶ οὐ πολλά.

Διὰ τούτων πιστοῦται ὅτι καλῶς εἶπε τὴν ὕλην περιέχεσθαι καὶ οὐ περιέχειν. εἰ γὰρ ὁμοίως ἐν τοῖς νοητοῖς, ὥσπερ καὶ ἐν τοῖς αἰσθητοῖς ἐστὶ τὸ ἄπειρον, εὔλογον ὥσπερ ἐν τοῖς αἰσθητοῖς περιέχει, οὕτω καὶ ἐν τοῖς νοητοῖς περιέχειν. τοῦτο δὲ ἀδύνατον τὰ ὅρου καὶ γνώσεως αἴτια ὑπὸ τοῦ ἀγνώστου καὶ ἀορίστου περιέχεσθαι. οὐκ ἄρα περιέχει τὸ ἄπειρον ὡς ἐκεῖνοι ἔλεγον. τὸ δὲ μέγα καὶ μικρὸν ἐν τῇ ὕλῃ ἐστὶν ᾗ τὸ ἄπειρον ἀπέδωκε τὸ μέγα δὲ καὶ μικρὸν ὁ Πλάτων τὴν ὕλην ἐκάλει. Κατὰ λόγον δὲ συμβαίνει καὶ τὸ κατὰ πρόσθεσιν μὲν μὴ εἶναι δοκεῖν ἄπειρον οὕτως ὥστε παντὸς ὑπερβάλλειν μεγέθους. ἐν τοῖς ἑξῆς θεωρήματα πλείονα βούλεται παραδοῦναι ἀκόλουθα ταῖς περὶ τοῦ ἀπείρου αὐτοῦ δεδομέναις ἀρχαῖς. καὶ πρῶτον μὲν ὅτι συμφώνως τοῖς παρ' ἡμῶν ἀποδεδειγμένοις περὶ τοῦ ἀπείρου ἀρχαῖς συμβαίνει εἶναι ἐπὶ τῆς διαιρέσεως καὶ τῆς προσθέσεως. λέγω δὲ τὸ ἐπὶ μὲν τὴν διαίρεσιν μὴ εἶναι λαβεῖν τὸ ἐλάχιστον μέγεθος, ἀλλ' ἐνδέχεσθαι παντὸς ὡρισμένου ἔλαττον λαβεῖν. ἐπὶ δὲ τὴν πρόσθεσιν μηκέτι ἐγχωρεῖν παντὸς μεῖζον λαβεῖν, διὰ τὸ ὡρίσθαι ἐν τῷ παντὶ τὸ μέγιστον μέγεθος. τοῦτο δέ ἐστι τὸ τοῦ κόσμου σῶμα. δέδεικται γὰρ ὅτι οὐκ ἔστιν ἐπὶ τὴν ἔκτασιν ἄπειρον μέγεθος. αἴτιον δὲ τούτου τό, μὴ περιέχειν ἀλλὰ περιέχεσθαι τὸ ἄπειρον, περιέχειν δὲ τὸ ὅλον καὶ τέλειον. τοῦτο δέ ἐστι τὸ εἶδος. ἐπεὶ γὰρ ἡ μὲν πρόσθεσις ἔξωθεν γίνεται, ἡ δὲ διαίρεσις ἐντὸς τῶν πράτων, διὰ τοῦτο ἔξωθεν μὲν ἐπ' ἄπειρον προσθεῖναι ἀδύνατον, διότι ὅρος ἐστὶ τὸ εἶδος καὶ πέρας. δεῖ οὖν τὴν αὔξησιν ἐλθοῦσαν εἰς τὸ εἶδος, στῆναι. οὐ γὰρ ἔστιν, ἔξωθεν τοῦ εἴδους ἐστίν, ὃ περιέχει αὐτό. ἡ δὲ ὕλη ἐντός ἐστι περιεχομένη τοῦ περιορισμοῦ, ἐνδίδωσιν ἀφ' ἑαυτῆς τῇ τομῇ τὴν ἀπειρίαν. ὅθεν ἐν τῇ διαιρέσει τὸ μὲν εἶδος πολλάκις ἀπολείπει διὰ τὸ ὅρον τινὰ ἔχειν ὥσπερ ἐπὶ τὸ μεῖζον, οὕτω καὶ ἐπὶ τὸ ἔλαττον. εἴρηται γὰρ ὡς οὐκ ἐν παντὶ μεγέθει τὰ εἴδη πεφύκασιν ἵστασθαι. ἡ δὲ τομὴ οὐκ ἀπολείπει διὰ τὴν ὕλην. εὐλόγως δὲ φησὶ συμβέβηκε καὶ τὸ τὸν ἀριθμὸν ἐπὶ μὲν τὸ ἐλάχιστον ὡρίσθαι. εἰς τὴν μονάδα γὰρ ἐσχάτην καταντᾷ ἐπὶ τὸ ἔλαττον ὅπερ ἐστὶν ἀδιαίρετον. ἐπὶ δὲ τὸ μεῖζον, οὐδὲν ἔχειν πέρας. ἐπ' ἄπειρον γάρ ἐστιν αὔξειν τὸν ἀριθμόν. ἐπὶ δὲ τῶν μεγεθῶν ἐναντίως συμβέβηκεν. ἐπὶ μὲν τὸ μεῖζον, πέρας εἶναι. ἐπὶ δὲ τὸ ἔλαττον, οὐδὲν πέρας. αἴτιον δέ, ὅτι ὁ μὲν ἀριθμὸς ἐξ ἀδιαιρέτων σύγκειται. ἐξ ὧν δὲ σύγκειταί τι, εἰς αὐτὰ καὶ διαλύεται. διαιρεῖται δὲ ὁ ἀριθμὸς εἰς τὰς μονάδας. αὗται δὲ καθὸ μονάδες, ἀδιαίρετοι. πᾶν γὰρ ἕν, καθὸ ἕν, ἀδιαίρετον. ὁ γὰρ ἄνθρωπος καθὸ εἷς ἄνθρωπος, ἀδιαίρετος. εἰ γὰρ καὶ διαιρεῖται ὡς μέγεθος, ἀλλ' οὐχ ὡς ἄνθρωπος διαιρεῖται. οὐ γὰρ εἰς ἀνθρώπους διαιρεῖται, ἀλλὰ εἰς τὰ μόρια. ἀλλ' οὐ κατὰ τοῦτο εἷς ἐστιν, ἀλλὰ καθὸ ἐκ τούτων συνέχει τὸ ἓν τι εἶδος, ὅπερ εἰς ὁμοειδῆ οὐκέτι διαιρεῖται. εἰ τοίνυν ἡ μὲν μονὰς ἀδιαίρετον, διαιρεῖται δὲ ὁ ἀριθμὸς εἰς μονάδας, στήσεται δηλονότι ἡ διαίρεσις. καὶ ἔσται τὸ ἔσχατον αὐτῆς καὶ τὸ πέρας ἡ μονάς.

Ἐν τῇ συνηθείᾳ οἱ πολλοὶ δηλοῦσιν ὅτι. πῶς δὲ καθ' ὁμοιότητα ἀπείρους λέγουσι, καὶ οὐ κυρίως, ἐπάγει. ὅτι οὐ μόνον δεῖ φησὶ τοῦτο ὑπάρχειν τῷ ἀπείρῳ, τὸ ἀεί τι τοῦ ληφθέντος ἔξω εἶναι λαβεῖν, ἀλλὰ καὶ τὸ μηδὲ τὸ αὐτὸ λαμβάνειν. ὅπερ οὐχ ὑπάρχει τῷ δακτυλίῳ.

» ΑΠΕΙΡΟΝ μὲν οὖν τοῦτ' ἔστιν, οὗ κατὰ τὸ ποσὸν λαμβάνουσιν, ἀεί τι λαβεῖν ἔξω ἐστίν. οὗ δὲ μη-
» δὲν ἔξω, τοῦτ' ἔστι τέλειον καὶ ὅλον. οὕτω γὰρ ὁριζόμεθα τὸ ὅλον, οὗ μηθὲν ἄπεστιν. οἷον ἄν-
» θρωπον ὅλον, ἢ κιβώτιον.

Δεῖ προσυπακοῦσαι τῷ κατὰ τὸ ποσὸν λαμβάνουσι τό, τι μέρος, ἵνα ᾖ ἄπειρον μὲν οὖν οὗ κατὰ τὸ ποσὸν λαμβάνουσί τι μέρος, ἀεί τι λαμβάνειν ἐστὶν ἔξω. καὶ ἔστιν οὗτος ὁ τοῦ ἀπείρου ὁρισμός. ὥστε εἰ τοῦτο μέν ἐστι τὸ ἄπειρον, ὅλον δέ ἐστι καὶ πᾶν καὶ τέλειον οὗ μηδέν ἐστιν ἔξω, οὐκ ἄρα ὅλον καὶ τέλειον τὸ ἄπειρον. ἐπί τε γὰρ τῶν ἀριθμῶν ἐπ' ἄπειρον αὐξομένων, ἀεὶ τοῦ ληφθέντος ἐστὶν ἔξω λαβεῖν ἕτερον ἀριθμόν, καὶ ἐπὶ τῆς τομῆς τῶν μεγεθῶν, ἀεὶ τῆς ληφθείσης τομῆς ἔστι λαβεῖν ἔξω τομὴν ἑτέραν. καὶ καλῶς εἶπε κατὰ τὸ ποσόν. οὐ γὰρ κατ' εἶδος γίνεται ἡ διαίρεσις. τὸ αὐτὸ γοῦν εἶδος ἐν ἑκάστῳ τῶν διαιρεθέντων ὁρᾶται. ἢ γραμμαὶ γὰρ πάντα τὰ τμήματά ἐστιν, ἢ ἐπιφάνειαι, ἢ σώματα. καὶ ἄλλως οὐκ ἐπὶ πάντων ἐν τῇ διαιρέσει σώζεται τὸ εἶδος. αὐτὸς γὰρ ἔδειξεν ἐν τοῖς ἔμπροσθεν, ὅτι οὐκ ἐν τῷ τυχόντι μεγέθει, τὸ τυχὸν εἶδος δύναται εἶναι. διόπερ ἐν τῇ διαιρέσει οὐ μέχρι παντὸς σώζεται τὸ εἶδος, ἀλλὰ προϊοῦσα ἡ διαίρεσις φθείρει αὐτό. τὴν γοῦν σάρκα διελεῖν μὲν ἔστιν ἐπ' ἄπειρον, ὡς μέγεθος, ὡς μέντοι σάρκα οὐκ ἔτι. ἀπορήσειε δ' ἄν τις, μήποτε ὁ τοῦ ἀπείρου ὁρισμὸς ἁρμόσει καὶ ἐπὶ τοῦ ὅλου, καὶ τοῦ τελείου, καὶ καθόλου ἐπὶ παντὸς πεπερασμένου. καὶ ἐπὶ τοῦ τελείου γὰρ ἔξεστιν εἰπεῖν, ὅτι τέλειόν ἐστιν οὗ κατὰ τὸ ποσὸν λαμβάνοντι μόριον, ἀεί τι ἐστὶ λαβεῖν ἔξω. εἰ γὰρ κατὰ διχοτομίαν λάβω τὰ μόρια, ἐπ' ἄπειρον ἔξεσται λαβεῖν τῶν ληφθέντων ἔξω. ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀληθὲς ἐπὶ τῶν πεπερασμένων. ἐπὶ μὲν γὰρ τοῦ ἀπείρου οὐχ ἁπλῶς τόδε, ἢ τόδε μόριον ἐὰν λάβω οὐ διέξειμι. ἀλλ' ὁποιονοῦν μόριον λάβω. ἐπὶ δὲ τοῦ πεπερασμένου οὐχ οὕτως. ἐὰν γὰρ ὡρισμένον τι μόριον ἀεὶ λαμβάνω, καταναλίσκω τὸ ὅλον. καὶ ἄλλως οὐκ ἀληθὲς ἐπὶ τοῦ πεπερασμένου τὸ ἀεὶ τοῦ ληφθέντος μορίου εἶναί τι λαβεῖν ἔξω. εἰ γὰρ τὰ ἴσα τοῖς μέρεσι λάβω μόρια, οὐκ ἔτι ἐνδέχεται ἔξω τούτων ἕτερόν τι λαβεῖν. ἐπὶ δὲ τοῦ ἀπείρου τὸ ἔσχατον λαβεῖν οὐκ ἔστιν. ὥστε εἰ καὶ ἐπί τινος λήψεως μορίου τὸ αὐτὸ καὶ ἐπὶ τοῦ πεπερασμένου συμβαίνει, ἀλλ' οὐκ ἐπὶ πάσης ὥσπερ ἐπὶ τοῦ ἀπείρου ἔχει. συμβαίνει δὲ ὅλως τοῦτο κατά τι, καὶ ἐπὶ τῶν πεπερασμένων. διὸ μετέχουσι τοῦ ἀπείρου. ὥστε κἂν ἐξῇ ἐπὶ τοῦ τελείου κατά τινα λῆψιν ἀεί τι τοῦ ληφθέντος ἔξω λαμβάνειν, οὐχ ᾗ τέλειόν ἐστι, τοῦτο αὐτῷ συμβέβηκεν, ἀλλ' ᾗ τοῦ ἀπείρου μετέχει.

» ΩΣΠΕΡ δὲ ὁριζόμεθα τὸ καθ' ἕκαστον, οὕτω καὶ τὸ κυρίως. οἷον τὸ ὅλον, οὗ μηθέν ἐστιν ἔξω. οὗ δ'
» ἔστιν ἀπουσία ἔξω, οὐ πᾶν ὅ τι ἂν ἀπῇ.

Ὥσπερ φησὶν ἐπὶ τῶν κατὰ μέρος ὅλων, οἷον ἀνθρώπου, ἢ πλοίου, ὅλον λέγομεν οὗ μηθὲν ἄπεστι τῶν συμπληρούντων τὸ ὑποκείμενον, οὕτω δὲ καὶ ἐπὶ τοῦ κυρίως ὅλου λέγω τοῦ παντός, ὅλον φαμὲν εἶναι καὶ πᾶν οὗ μηδέν ἐστιν ἔξω. οἷον ὁ κόσμος ὅλος, οὗ μηδὲν τῶν συντελούντων εἰς συμπλήρωσιν τοῦ κόσμου ἔξω ἐστίν. οὕτω γάρ ἐστιν ὁ κυρίως ὅλος, καὶ τὸ κυρίως πᾶν. ὡς ἐὰν ἀπῇ γε ὅτι αὐτοῦ, κἂν τὸ τυχὸν ᾖ, οὐχ ὅλον οὐδὲ πᾶν.

» ΤΟ ὅλον δὲ καὶ τέλειον, ἢ τὸ αὐτὸ πάμπαν, ἢ σύνεγγυς τὴν φύσιν ἐστί. τέλειον δ' οὐθὲν μὴ ἔχον τέλος.
» τὸ δὲ τέλος, πέρας. διὸ βέλτιον οἰητέον παρμενίδην μελίσσου εἰρηκέναι. ὁ μὲν γὰρ τὸ ἄπειρον ὅλον φη-
» σίν. ὁ δὲ τό, ὅλον πεπεράνθαι, μεσσόθεν ἰσοπαλές.

Τὸ μὲν γὰρ ὅλον ἐπὶ τοῦ συνεχοῦς λέγεται, ὡς λέγομεν ὅλον ξύλον, καὶ ὅλον ἄρτον. τὸ δὲ πᾶν ἐπὶ τοῦ διωρισμένου, ὡς λέγομεν πάντας ἀνθρώπους. τὸ δὲ τέλειον κοινῶς ἐφ' ἑκατέρου, ᾧ μηδὲν ἐλλείπει τῶν μερῶν. εἰ τοίνυν τὸ μὲν ὅλον, καὶ τὸ πᾶν οὐ ταυτόν, τὸ δὲ τέλειον ἀμφοτέροις ταυτόν, οὐ πάντη ταυτὸν τὸ ὅλον τῷ τελείῳ. καὶ ἔτι τὸ μὲν ὅλον πρὸς τὴν τῶν μερῶν πάντων σύνοδον λέγεται, τὸ δὲ τέλειον πρὸς τὴν ἀπόληψιν τοῦ τέλους. ἀμφότερα μέντοι κατὰ τοῦ αὐτοῦ κατηγορεῖται. καὶ ταύτῃ εἴπερ καὶ ταυτὸν δόξειεν εἶναι ἄμφω κατὰ πάντα.

» ΟΥ γὰρ λίνον λίνῳ ἐστὶ συνάπτειν, τῷ παντί τε καὶ ὅλῳ τὸ ἄπειρον.

Τὰ ἀσύγκλωστά φησι συγκλώθει ὁ μέλισσος, καὶ τὸ λίνον λίνῳ κατὰ τὴν παροιμίαν, ἅπερ πέφυκε συν-
δυάζεσθαι. οὐ γὰρ οἷόν τε ἐστὶ τὸ ὅλον καὶ πᾶν, ἅμα καὶ ἄπειρον εἶναι, ὡς δέδεικται.

» ΕΠΕΙ ἐντεῦθέν γε λαμβάνουσι τὴν σεμνότητα κατὰ τοῦ ἀπείρου. τό, πάντα περιέχειν καὶ τὸ πάντα
» ἐν ἑαυτῷ ἔχειν. διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ ὅλῳ. ἔστι γὰρ τὸ ἄπειρον, τῆς τοῦ μεγέθους τελειότητος ὡς
» ὕλη, καὶ τὸ δυνάμει ὅλον, ἐντελεχείᾳ δ' οὔ. διαιρετὸν δέ, ἐπί τε τὴν καθαίρεσιν καὶ τὴν ἀντεστραμμένην
» πρόσθεσιν. ὅλον δὲ καὶ πεπερασμένον, οὐ καθ' αὑτό, ἀλλὰ κατ' ἄλλο.

Διὰ τοῦτό φησι τὸ ἄπειρον ὅλον καὶ τέλειον εἶπον, ἵνα σεμνὸν αὐτὸ ἀποδείξωσιν, ὡς πληροῦν, καὶ πάντα περιέχον. εἶτα ἐφεξῆς καὶ τὴν αἰτίαν τῆς ἀπάτης αὐτῶν λέγει πόθεν ἠπατήθησαν, ὥστε τὸ ἄπειρον ὅλον καὶ τέλειον εἶναι λέγειν. ἔχει γάρ φησιν ὁμοιότητά τινα πρὸς τὸ τέλειον καὶ τὸ ὅλον. τὴς δὲ ὕ

σφενδόνην οὓς καλοῦσι κρίκους, ὁμοιομερεῖς ὄντας ἑαυτοῖς, οὐκ ἔχουσι πέρας τι ὡρισμένον. ἀλλ' ἀεὶ τοῦ ληφθέντος μορίου ἔστι τι ἔξω ὁμοειδὲς λαβεῖν. καὶ διὰ τοῦτο ἐπειδὴ ἔχουσί τινα πρὸς τὸ ἄπειρον ὁμοιότητα, ἀπείρους τοὺς τοιούτους καλοῦσιν. ἄλλως γὰρ οὐ πάντῃ τῷ ἀπείρῳ ἐοίκασιν. οὐ γὰρ τοῦτο μόνον ὑπάρχειν δεῖ τῷ ἀπείρῳ, τὸ ἀεί τι αὐτοῦ ἔξω εἶναι τοῦ λαμβανομένου, ἀλλὰ καὶ τὸ μηδέποτε δὶς τὸ αὐτὸ λαμβάνειν. ὅπερ οὐχ ὑπάρχει τῷ δακτυλίῳ. πολλάκις γὰρ τὸ αὐτὸ λαμβάνομεν, ὅσας ἂν καὶ τὰς περιστροφὰς ποιησώμεθα. ἔτι φησὶ καλοῦσι τὸ ἄπειρον τέλειον καὶ ὅλον, καὶ πάντα περιέχον, σεμνύνοντες αὐτὸ ταύτῃ. ἐγὼ δὲ τοὐναντίον φημί. τὸ καὶ ὅλον, καὶ ὅλον καὶ τέλειον, οὐκ ἄπειρον. ὅλον μὲν γάρ ἐστιν οὗ μηδέν ἐστιν ἔξω τῶν συμπληρούντων αὐτό. οἷον ἄνθρωπον ὅλον φαμὲν οὗ μηδὲν ἄπεστι τῶν μορίων. τὸ δὲ ἄπειρον ἐλέγομεν οὗ ἀεί τι ἐστὶν ἔξω. ἀλλὰ καὶ τὸ τέλειόν φησιν ἤτοι ταὐτόν ἐστι τῷ ὅλῳ, ἢ ἐγγύς. ἀγῶνα γὰρ τέλειόν φαμεν τὸν εἰς τέλος ἀνυσθέντα, καὶ ᾧ μηδὲν ἐλλείπει τῶν συμπληρούντων αὐτόν. καὶ τέλειον ἄνθρωπον τὸν εἰς τὸ τέλος τῆς φύσεως ἀφιγμένον. καὶ λέγω δὴ τὰς τελείας τε καὶ ἐσχάτας τῆς φύσεως ἐνεργείας, εἰς ἃς τὸ ἔργον τῆς φύσεως ἀποτελευτᾷ. τὸ δὲ ἄπειρον ἐναντίως ἔχει. ἄπειρον γάρ ἐστιν οὗ μηδέν ἐστι πέρας, ἀλλ' ἀεί τι ἐλλείπει ἔξω. συμπλέκει οὖν ἐκ τούτων συλλογισμὸν τοιοῦτον. τὸ ὅλον τέλειον. τὸ τέλος ἔχον, πέρας ἔχει. τὸ πέρας ἔχον, οὐκ ἄπειρον. τὸ ὅλον οὐκ ἄπειρον. ὥστε πάλιν εἰς τὸ ἐναντίον περιῆλθεν αὐτοῖς ὁ λόγος. ἐκεῖνοι μὲν γὰρ τέλειον καὶ ὅλον ἔλεγον εἶναι τὸ ἄπειρον. αὐτὸ δὲ τοὐναντίον ἔδειξεν, ὅτι τὸ τέλειον καὶ ὅλον, οὐκ ἄπειρον. δείξει δὲ ἐφεξῆς, καὶ ὅτι οὐ περιέχει πάντα ὡς αὐτοὶ ἔλεγον, ἀλλὰ τοὐναντίον περιέχεται. καὶ ὅτι ἐν μορίου μᾶλλον λόγῳ, τὸ ἄπειρον ἢ ἐν ὅλου. διὰ τοῦτο οὖν φησι βέλτιον οἰητέον Παρμενίδην τοῦ Μελίσσου λέγειν. Μέλισσος μὲν γάρ φησι τὸ ὅλον ἄπειρον εἶναι, τὰ ἀσύγκλωστα συγκλώθων. Παρμενίδης δὲ πεπεράνθαι τὸ ὅλον φησί. μεσσόθεν γὰρ εἶναί φησιν ἰσοπαλές, τουτέστιν ἴσον ἐκ τοῦ μέσου πανταχόθεν ἀπέχον, ἵνα σφαιρικὸν αὐτὸ δείξῃ. τὸ δὲ σφαιρικόν, καὶ πᾶν ἁπλῶς ὃ ἐσχημάτισται, πεπερασμένον ἐστί. ταῦτα εἰπὼν ἐφεξῆς τὴν αἰτίαν τῆς πλάνης αὐτῶν ἐκτίθεται. δι' ἣν εἰς ταὐτὸν ἤγαγον τῷ τελείῳ καὶ ὅλῳ, τὸ ἄπειρον. φησὶ γὰρ ὅτι ἡ ὕλη καθ' αὑτὴν ἀόριστος οὖσα, καὶ ἄπειρός ἐστι. ἄπειρος δὲ λέγω, διότι μηδένα ὅρον ἔχει οἰκεῖον, μηδὲ εἶδος. τοὐναντίον δέ, καὶ τοῖς εἴδεσι σκιδασμοῦ, καὶ ἀοριστίας, καὶ τῆς ἐπ' ἄπειρον διαιρέσεως ἐστὶν αἰτία. ἀμερεῖς γὰρ ὄντας τοὺς λόγους τῶν εἰδῶν καθ' αὑτοὺς δεξαμένη διίστησι. τὸν γὰρ τοῦ μεγέθους λόγον ἀμερῆ ὄντα τῷ οἰκείῳ λόγῳ δεξαμένη καὶ διαστήσασα εἰς ἀοριστίας ἐξήγαγε, καὶ τῆς ἐπ' ἄπειρον τομῆς αἰτία αὐτῷ γέγονεν. ὁμοίως δὲ καὶ τοῖς ἄλλοις εἴδεσιν ἡ ἧττον, ἢ μᾶλλον σκεδασμοῦ αἰτία γέγονεν. ἡ μὲν οὖν ὕλη τοιαύτη. τὸ δὲ εἶδος πέρας τι ἐστί, καὶ ὅλον. περατοῖ γὰρ καὶ περιγράφει τὴν ὕλην, καὶ ὅλον τι καὶ τέλειον ποιεῖ. ὃ αὖ παραγίνεται. τὸν γὰρ χαλκὸν ὡς ὕλην ὄντα χαλκοῦ ἀνδριάντος, καὶ κατὰ τοῦτο ἀόριστόν τινα ὄντα, καὶ οὐκ αὖ ὅλον ἢ τέλειον κληθέντα παραγινόμενον [illegible] τὸ τοῦ ἀνδριάντος εἶδος ἐν πλείονι ἢ ἐλάττονι περιορίζει, καὶ τέλειόν τι πρᾶγμα καὶ ὅλον ποιεῖ, ἀνδριάντα ὅλον, ἢ λέβητα ὅλον. οὕτως οὖν καὶ ἐπὶ τῆς ὕλης κυριώτερον ἢ καὶ τῶν εἰδῶν λεχθείη ἄν. ἐπεὶ οὖν τι καὶ τέλειον τὸ εἶδος, ἡ δὲ ὕλη ἀόριστός τε, καὶ ταύτῃ ἐπ' ἄπειρον, ἔστι δὲ ἡ ὕλη δυνάμει τὰ εἴδη, πολλάκις δὲ τὰ δυνάμει τοῖς τῶν ἐνεργείᾳ ὄντων ὀνόμασι καλοῦμεν. τὸν γοῦν χαλκὸν φαμὲν ἀνδριάντα εἶναι, μήπω πολλάκις τὸ εἶδος ἀπειληφότα. καὶ τὸ ξύλον κλίνην. τοὺς πυροὺς ἄρτον. καὶ τὸ σπέρμα ἄνθρωπον. διὰ τοῦτο ἐκεῖνοι ἅπερ τῷ εἴδει προσῆκε, ταῦτα τῆς ὕλης κατηγόρησαν, διὰ τὸ εἶναι αὐτὴν δυνάμει πάντα. ὅτι δὲ ἐν τῇ ὕλῃ τὸ ἄπειρον, δῆλον ἐκ τῆς τῶν μεγεθῶν διαιρέσεως. οὐ γὰρ κατὰ τὸ εἶδος γίνεται ἡ διαίρεσις. φυλάττεται γοῦν καὶ μετὰ τὴν διαίρεσιν τὸ τοῦ χαλκοῦ, ἢ τὸ τοῦ ξύλου, ἢ τὸ τῆς σαρκὸς εἶδος, ἀλλὰ κατὰ τὸ ὑποκείμενον, ἐν ᾧ καὶ τὸ εἶδος τὴν διάστασιν ἔσχε. ἄπειρον μὲν οὖν καθ' αὑτὸ ἡ ὕλη, περατοῦται δὲ καὶ ὅρον δέχεται ὑπὸ τοῦ εἴδους περιγραφομένη. εἰ τοίνυν τὸ μὲν περατοῖ, ἡ δὲ περατοῦται, περιέχει δὲ τὸ περατοῦν, τὰ δὲ περατούμενα περιέχεται, ἀνάπαλιν τοὐναντίον αὐτοῖς συμβαίνει. περιέχεσθαί φημι καὶ οὐ περιέχειν τὸ ἄπειρον ὡς ᾤοντο. καὶ ὡς μόριόν τι τοῦ συνθέτου ἡ ὕλη ἐστίν, ἢ τίς ἐστι τὸ ἄπειρον, οὐκ ἂν εἴη ὅλον. τὸ γὰρ μόριον οὐχ ὅλον. εὐλόγως δὲ καὶ ἄγνωστος ἡ ὕλη, διότι καὶ ἄπειρος. τὸ γὰρ ἄπειρον κατὰ τὴν ἑαυτοῦ φύσιν ἄγνωστον. δείξας δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὅτι τοὐναντίον ἢ ἔλεγον ὑπάρχει, λέγω δὴ ὅτι οὐ περιέχει τὸ ἄπειρον, ἀλλὰ περιέχεται, καὶ ὅτι μόριον μᾶλλόν ἐστι καὶ οὐχ ὅλον, δείκνυσι τὸ αὐτὸ τοῦτο καὶ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. εἰ γὰρ περιέχει φησὶ τὸ ἄπειρον, ἔστι δὲ οὐ μόνον ἐν τοῖς αἰσθητοῖς, ἀλλὰ καὶ ἐν τοῖς νοητοῖς. εἶναι γὰρ αὐτὸ καὶ ἐν ταῖς ἰδέαις ὁ Πλάτων ἐτίθετο, ὁ λόγος ὥσπερ ἐν τοῖς αἰσθητοῖς περιέχει, οὕτω δὴ καὶ ἐν τοῖς νοητοῖς περιέχει. ἄτοπον δέ φησι καὶ ἀδύνατον τὰ γνωστικὰ αἴτια, καὶ αὐτὰ γνώσεις ὄντα, καὶ πᾶσιν ὅρους ὄντα, ὑπὸ τοῦ ἀγνώστου κατὰ φύσιν, λέγω δὴ τοῦ ἀπείρου, περιέχεσθαι. εἰ καὶ οὕτως. εἰ πάντα φασὶ περιέχειν τὸ ἄπειρον, ἐν τοῖς πᾶσι δὲ καὶ τὰ νοητά, οὐ μόνον τὰ ἐγκόσμια τῶν νοητῶν, ἀλλὰ καὶ τὰ ὑπερκόσμια, δῆλον ὡς καὶ τὰ νοητὰ περιέχοιτ' ἂν τὸ ἄπειρον, εἰ καὶ πάντα ἁπλῶς. εἰ γοῦν τὰ ἐγκόσμια.

ΚΑΘ' ὁμοιότητα μέν τινα λέγοντες, οὐ μὴν κυρίως. δεῖ γὰρ τοῦτό τε ὑπάρχειν, καὶ μηδέποτε τὸ αὐτὸ λαμβάνεσθαι. ἐν δὲ τῷ κύκλῳ οὐ γίνεται οὕτως, ἀλλ' ἀεὶ τὸ ἐφεξῆς μόνον ἕτερον.

» κατὰ διαίρεσιν.

Ε ἐπειδὴ ὡς ἐπὶ τοῦ κατὰ διαίρεσιν ἀπείρου τὸν λόγον ἐποιήσατο, διὰ τοῦτο προσέθηκεν, ὅτι ὡσαύτως ἐροῦμεν καὶ ἐπὶ τοῦ κατὰ τὴν πρόσθεσιν ἀπείρου. ὁμοίως γὰρ ἔσται καὶ δυνάμει, καὶ ἐνεργείᾳ, ὡς παρ' ἐκείνῳ. διατὶ δὲ ἐν αὐτῷ καὶ ἐπὶ τούτου ἀρμόζουσι λόγοι τὴν αἰτίαν ἐποιήσατο, ἣν ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηκεν. αὕτη δέ ἐστιν ὅτι τὸ αὐτὸ τρόπον τινά ἐστι τῷ κατὰ τὴν διαίρεσιν. πῶς δὲ τὸ αὐτὸ, εἴπομεν, ὅτι μιᾷ καὶ τῇ αὐτῇ διαιρέσει, ᾧ μὲν προστίθεται, τοῦ δὲ ἀφαιρεῖ. εἰ τοίνυν τὸ αὐτό ἐστι, τὰ αὐτὰ ἂν ἁρμόσειε καὶ ἐπ' αὐτοῦ λέγειν. ἀλλ' οὐ καθάπαξ τὸ αὐτό. διὰ τοῦτο γὰρ καὶ προσέθηκε τρόπον τινά. τὶς οὖν ἡ διαφορὰ, προστίθησι.

» ΑΕΙ μὲν γάρ τι αὐτοῦ ἔξω ἔσται λαμβάνειν. οὐ μέντοι ὑπερβάλλει παντὸς ὡρισμένου μεγέθους, ὥσ-
» περ ἐπὶ τὴν διαίρεσιν, καὶ ὑπερβάλλει παντὸς ὡρισμένου, καὶ ἔσται ἔλαττον. ὥστε δὴ παντὸς ὑπερβάλ-
» λειν κατὰ τὴν πρόσθεσιν, οὐδὲ δυνάμει οἷόν τε εἶναι. εἴπερ μή ἐστι κατὰ συμβεβηκὸς ἐντελεχείᾳ ἄπει-
» ρον. ὥσπερ φασὶν οἱ φυσιολόγοι τὸ ἔξω σῶμα τοῦ κόσμου οὗ ἡ οὐσία ἀὴρ, ἢ ἄλλο τι τοιοῦτον ἄπειρον. ἀλ-
» λ' εἰ μὴ οἷόν τε εἶναι ἄπειρον ἐντελεχείᾳ σῶμα αἰσθητὸν οὕτω, φανερὸν ὅτι οὐδὲ δυνάμει ἂν εἴη κατὰ
» πρόσθεσιν. ἀλλ' ἢ ὥσπερ εἴρηται, ἀντεστραμμένως τῇ διαιρέσει. ἐπεὶ καὶ Πλάτων διὰ τοῦτο ἄπειρα δύο
» ἐποίησεν, ὅτι καὶ ἐπὶ τὴν αὔξην δοκεῖ ὑπερβάλλειν, καὶ εἰς ἄπειρον ἰέναι, καὶ ἐπὶ τὴν καθαίρεσιν.

Ε ἴ κοινόν φησι τῷ διαιρουμένῳ, καὶ ᾧ τὸ διαιρετὸν προστίθεται, τὸ ἀεί τι τοῦ γινομένου ἔξω εἶναι λαβεῖν ἕτερον. ἀεὶ τε γὰρ ἔξω τῆς διαιρέσεώς ἐστιν ἑτέραν διαίρεσιν λαβεῖν, καὶ τῆς προσθέσεως ὁμοίως ἀεί τι ἔξω ἑτέραν προσθήκην ποιήσασθαι. ὅταν τῷ αὐτῷ λόγῳ ἡ διαίρεσις γίνεται, ὡς ἤδη εἴπομεν, ἀλλ' οὖν ἔστι τις διαφορὰ ἔν τε τῷ αὐξομένῳ, καὶ ἐν τῷ μειουμένῳ. διότι τὸ μὲν μειούμενον ἐπ' ἄπειρον ἐνδέχεται μειοῦσθαι. οὐκ ἔστι γὰρ ἐλάχιστον μέγεθος, διότι πᾶν μέγεθος διαιρετόν. καὶ διὰ τοῦτό ἐστι παντὸς ὡρισμένου μεγέθους τὸ ἔλαττον λαβεῖν, καὶ οὐδέποτε ἐπιλείπει ἡ μείωσις. ἐπὶ μέντοι τοῦ αὐξομένου, οὐκ ἐνδέχεται παντὸς ὡρισμένου μεγέθους τὸ αὐξόμενον ὑπερβαλεῖν. ἔστι γὰρ τὸ μέγιστον ἐν τῷ παντὶ σῶμα ὁ κόσμος, οὗ μεῖζον μέγεθος ἀδύνατον εἶναι. ὥστε παντὸς μὲν ὡρισμένου μεγέθους δυνατὸν λαβεῖν τὸ ἔλαττον, εἰ καὶ μὴ ἐνεργείᾳ, ἀλλ' οὖν δυνάμει. παντὸς δὲ ὡρισμένου μεγέθους τὸ μεῖζον λαβεῖν, οὐδὲ δυνάμει ἐνδέχεται. τοῦ γὰρ οὐρανοῦ οὐδὲ δυνάμει ἐνδέχεται μεῖζον εἶναί τι σῶμα. δέδεικται γὰρ ἀδύνατον εἶναί τι σῶμα ἄπειρον. οἷον οἱ φυσικοὶ ἔλεγον εἶναι ἔξω τοῦ οὐρανοῦ. ὅπερ ἢ ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλο εἶναι ἔλεγον. εἰ τοίνυν δέδεικται ὅτι τὸ οὕτως ἄπειρον ἀδύνατον εἶναι, δῆλον ὅτι οὐδὲ δυνάμει ἐνδέχεται παντὸς ὡρισμένου μεῖζον λαβεῖν. τοῦτο γὰρ συνέβαινεν μὲν εἰ οἷόν τε ἦν ἐνεργείᾳ ἄπειρον εἶναι σῶμα. τὸ μὲν γὰρ παντὸς ὡρισμένου ἔλαττον λαμβάνειν, εἰ καὶ μὴ δυνατὸν εἶναι ἐνεργείᾳ, ἀλλ' οὖν γε ὅσον ἐπὶ τῇ φύσει τῶν μεγεθῶν οὐκ ἀδύνατον. εἴγε πᾶν μέγεθος εὐθὺς καὶ διαιρετόν. τὸ μέντοι παντὸς ὡρισμένου μεῖζον λαμβάνειν, διὰ τὸ μὴ δύνασθαι εἶναι ἄπειρον σῶμα, οὐδὲ δυνάμει ἐνδέχεται εἶναι. ἐπεὶ καὶ Πλάτων διὰ τοῦτο δύο τὰ ἄπειρα ἐποίησε. καὶ ἐπὶ τὴν αὔξησιν δοκεῖ ὑπερβάλλειν, καὶ εἰς ἄπειρον, διὰ τοῦτό φησι διότι τὸ ἄπειρον ἐπὶ τὴν διαίρεσίν ἐστι, καὶ ἐπὶ τὴν αὔξησιν. διὰ τοῦτο καὶ ὁ Πλάτων δύο τὰ ἄπειρα ἐποίει μέγα, καὶ τὸ μικρόν. ὧν τὸ μέγα μὲν τὸ ἐπὶ τὴν αὔξησιν ἔλεγε. τὸ μικρὸν δὲ τὸ ἐπὶ τὴν ἀντεστραμμένην ταύτῃ διαίρεσιν.

» ΠΟΙΗΣΑΣ μέντοι δύο, οὐ χρῆται. οὔτε γὰρ ἐν τοῖς ἀριθμοῖς, τὸ ἐπὶ τὴν καθαίρεσιν ἄπειρον
» ὑπάρχει, ἡ γὰρ μονὰς ἐλάχιστον. οὔτ' ἐπὶ τὴν αὔξην. μέχρι γὰρ δεκάδος ποιεῖ τὸν ἀριθμόν.

Ε γκαλεῖ τῷ Πλάτωνι, ὅτι δύο λέγων εἶναι τὰ ἄπειρα τὸ μέγα, καὶ τὸ μικρὸν, οὐδετέρῳ χρῆται ἐν ταῖς ἀρχαῖς. ἀρχαὶ δὲ κατ' αὐτὸν οἱ ἀριθμοί. οὐκ ἔστι δὲ ἐν τοῖς ἀριθμοῖς τούτοις, οὔτε τὸ κατὰ διαίρεσιν ἄπειρον, οὔτε τὸ κατὰ πρόσθεσιν. τὸ μὲν γὰρ κατὰ διαίρεσιν ἄπειρον, οὐκ ἔχουσιν οἱ ἀριθμοί. ἵσταται γὰρ ἡ τομὴ εἰς τὴν μονάδα. τὸ δὲ κατὰ πρόσθεσιν, ἐπ' ἄπειρον αὔξεσθαι αὐτὸς οὐ δίδωσι. μέχρι γὰρ δεκάδος αὔξεσθαί φησι τὸν ἀριθμόν. τὴν δὲ δεκάδα αὖθις εἰς ἑαυτὴν ἀνακυκλεῖσθαι. σημειωτέον δὲ ὅτι αὐτὸς ἐν τοῖς ἔμπροσθεν ἔλεγε τὸ μέγα καὶ τὸ μικρὸν, τὸ ἀόριστον καὶ τὴν ὕλην σημαίνειν τῷ Πλάτωνι. νῦν δὲ ὡς ἐπὶ τῶν ἀριθμῶν αὐτοῦ λέγοντος, οὕτως ἐπιλαμβάνεται τοῦ λόγου. ὡς δηλονότι πανταχοῦ τὸ φαινόμενον ἐλέγχει, καὶ οὐ τὴν διάνοιαν τῶν ἀρχαίων.

» ΣΥΜβαίνει δὲ τοὐναντίον εἶναι ἄπειρον, ἢ ὡς λέγουσιν. οὐ γὰρ οὗ μηδὲν ἔξω, ἀλλ' οὗ ἀεί τι ἔξω ἐστί,
» τοῦτο ἄπειρόν ἐστι. σημεῖον δέ. καὶ γὰρ τοὺς δακτυλίους ἀπείρους λέγουσι τοὺς μὴ ἔχοντας σφενδόνην,
» ὅτι ἀεί τι ἔξω ἐστὶ λαμβάνειν.

Δ είξας πῶς μέν ἐστι τὸ ἄπειρον πῶς δὲ οὐκ ἔστιν, ὡς μὲν οἱ φυσικοὶ ἔλεγον, οὐκ ἔστι ἄπειρόν τι σῶμα ἐπὶ τὴν ἔκτασιν, κατὰ διαίρεσιν δὲ καὶ τὴν ἀντεστραμμένην πρόσθεσίν ἐστι, νῦν βούλεται καὶ τὸν τοῦ ἀπείρου ὅρον ὃν ἀπεδίδοσαν οἱ φυσικοὶ ἐλέγξαι. ἐκεῖνοι μὲν γὰρ ὁριζόμενοι τὸ ἄπειρον, ἔλεγον ὅτι ἄπειρόν ἐστιν οὗ μηδέν ἐστι λαβεῖν ἔξω. ἐγὼ δέ φησι τοὐναντίον φημὶ, ὅτι ἄπειρόν ἐστι. οὗ τοῦ ληφθέντος ἀεί τι ἔστι λαβεῖν ἔξω. τοὺς γὰρ δακτυλίους φησὶ τοὺς μὴ ἔχοντας σφενδόνην ἀπείρους καλοῦσι, διότι μὴ ἔχουσιν ὡρισμένον τι πέρας. ἡ γὰρ σφενδόνη ἡ ἀπομονάδης οὖσα τῷ ὅλῳ, οἷον πέρας ἐστὶν ἡ ἀρχή. ὅσοι δὲ μὴ ἔχουσι

» Η γὰρ διαιρούμενον ὁρᾶται, ταύτῃ προστιθέμενον φαίνεται πρὸς τὸ ὡρισμένον.

Ωρισμένον ἐκάλεσε τὸ ἥμισυ τοῦ μεγέθους τὸ ἄτμητον, ἢ τὸ ἀεὶ ἀδιαίρετον μένον, ἢ ὅτι εἰ καὶ ἐπ' ἄπειρον ἔχει τὴν αὔξησιν, ἀλλ' οὖν ἀδύνατον παντὸς ὑπερβάλλειν μεγέθους τὸ αὐξόμενον, ἀλλ' ἔστι τι μεῖζον μέγεθος. οὐ γὰρ ὥσπερ τὸ ἐλάχιστον οὐκ ἔστι λαβεῖν, ἀλλ' ἐπ' ἄπειρον πρόεισι τὸ μειούμενον, οὕτω καὶ τὸ μεῖζον ἐπ' ἄπειρον πρόεισιν, ἀλλ' ὥρισται τὸ μέζον ἐν τῷ παντὶ σώματι, ὁ κόσμος. καὶ διὰ τοῦτο οὖν ὡρισμένον ἐκάλεσε τὸ αὐξόμενον.

» ΕΝ γὰρ τῷ πεπερασμένῳ μεγέθει ἂν λαβών τις ὡρισμένον προσλαμβάνῃ τῷ αὐτῷ λόγῳ, μὴ τὸ αὐ-
» τό τι μέγεθος τοῦ ὅλου περιλαμβάνων, οὐ διέξεισι τὸ πεπερασμένον. ἂν δ' οὕτως αὔξῃ τὸν λόγον, ὥστε
» ἀεί τι τὸ αὐτὸ περιλαμβάνειν μέγεθος, διέξεισι· διὰ τὸ πᾶν τὸ πεπερασμένον ἀναιρεῖσθαι ὁτῳοῦν ὡρι-
» σμένῳ.

Σαφῶς εἶπεν ὅτι ἡ διαίρεσις ἐπ' ἄπειρον προϊοῦσα μία οὖσα καὶ ἡ αὐτή, τὸ μὲν ἐπ' ἄπειρον μειοῖ, τὸ δὲ ἐπ' ἄπειρον αὔξει, οὐκ ἐπὶ πάσης δὲ διαιρέσεως τοῦτο συμβαίνει, ὥστε τὸ μὲν ἐπ' ἄπειρον μειοῦσθαι, τὸ δὲ ἐπ' ἄπειρον αὔξεσθαι, νῦν λέγει ποία μὲν διαίρεσις ἐπ' ἄπειρον πρόεισι, ποία δὲ οὔ. ἐὰν μὲν γάρ φησι λαβόντι μέγεθος, οἷον πηχυαῖον, ὡρισμένον τι μόριον ἐξ αὐτοῦ τέμῃς, οἷον τὸ δέκατον, ἢ τὸ ἥμισυ, ἔστω δὲ τὸ ἥμισυ. καὶ πάλιν τὸ καταληφθὲν, λέγω δὴ τὸ ἥμισυ πηχυαῖον τῷ αὐτῷ λόγῳ τέμῃς, τουτέστι τῷ ἡμίσει, καὶ πάλιν τὸ καταλιμπανόμενον διχοτομῇς, τοῦτο ἐπ' ἄπειρον αὐξήσεις. ἐὰν μηδὲ τῷ αὐτῷ λόγῳ τέμνῃς, οἷον ἀεὶ τὸ ἥμισυ ἀφαιρῶν ἢ τὸ δέκατον, ἢ ἄλλον τινὰ τὸν αὐτὸν λόγον, ἀλλ' ἀεὶ ὡρισμένον τι μέγεθος ἀφαιρῇς τοῦ τεμνομένου, τὸ αὐτὸ μέγεθος οἷον δακτυλιαῖον, μὴ κατὰ τὸν αὐτὸν λόγον λαμβάνων, καταδαπανήσεις τέμνων τὸ ὅλον, καὶ ἀπολείψει ἡ τομή. οἷον εἰ μυριοπήχου λάβῃς μέγεθος, καὶ τούτου ἀφαιρῇς ἀεὶ ὡρισμένον τι μέγεθος, οἷον δακτυλιαῖον, ἀπολείψει τὸ ὅλον τεμνόμενον, καὶ οὕτως οὔτε ἡ διαίρεσις οὔτε ἡ πρόσθεσις ἐπ' ἄπειρον ἔσται αὐτῆς γραμμῆς, ἣν ἔχει τῷ λόγῳ τὸ μέγεθος. ἐὰν μὲν γὰρ τὸ αὐτὸ μέγεθος ἀεὶ διαιρῇς, οὐ κατὰ τὸν αὐτὸν λόγον διαιρήσεις, ἀλλ' ἀεὶ κατὰ μείζονα λόγον. ἐὰν δὲ τὸν αὐτὸν λόγον ἐν τῇ διαιρέσει φυλάττῃς, οὐ τὸ αὐτὸ μέγεθος ἀφαιρήσεις, ἀλλ' ἀεὶ ἔλαττον. οἷον εἰ δεκάπηχυ ξύλον εἴη, καὶ ἀφέλῃς τούτου τὸ δέκατον, οἷον τὸν ἕνα πῆχυν, εἰ μὲν ἐκ τοῦ καταλειφθέντος ἀεὶ τὸ ἴσον ἀφέλῃς μέγεθος, αὔξεις τὸν λόγον. ἐκ γὰρ τῶν ἐννέα πηχῶν πῆχυν ἀφελὼν, οὐκέτι τὸ δέκατον ἀφελεῖς, ἀλλὰ τὸ ἔνατον. μεῖζον δὲ ὁ τοῦ ἐνάτου λόγος μέρος πρὸς τὸ ὅλον, ἢ ὁ τοῦ δεκάτου. ὁμοίως ἐὰν ἐκ τῶν καταλειφθέντων ὀκτὼ πηχῶν τὸν πῆχυν ἀφέλῃς, πάλιν αὔξεις τὸν λόγον. ὄγδοον γὰρ ἀφεῖλον, καὶ οὕτως ἀεὶ ποιοῦντες, ἀπολείψει ἡ διαίρεσις. ἐὰν δὲ ἐκ τοῦ δεκαπήχεος ξύλου ἀφελὼν τὸν πῆχυν, τουτέστι τὸ δέκατον, ἐκ τῶν καταλειφθέντων τῶν ἐννέα πηχῶν τὸν αὐτὸν λόγον ἀφελεῖν βούλῃ, οὐκέτι πηχυαῖον ἀφαιρήσεις μέγεθος, ἀλλ' ἧττον. καὶ οὕτως ἀεὶ ποιῶν, τὸν αὐτὸν μὲν φυλάττων λόγον ἐν τῇ τομῇ, οὐ τὸ αὐτὸ δὲ μέγεθος ἀφαιρῶν οὐδέποτε καταδαπανήσεις τὸ ὅλον.

» ΑΛΛΩΣ μὲν οὖν οὐκ ἔστιν· οὕτως δ' ἔστι τὸ ἄπειρον· δυνάμει τε καὶ ἐπὶ καθαιρέσει. καὶ ἐντε-
» λεχείᾳ δ' ἔστιν· ὡς τὴν ἡμέραν εἶναι λέγομεν καὶ τὸν ἀγῶνα. καὶ δυνάμει οὕτως ὡς ἡ ὕλη. καὶ οὐ καθ'
» αὑτό, ὡς τὸ πεπερασμένον.

Ὅτι γὰρ ἐνεργείᾳ οὐκ ἔστιν ἄπειρόν τι σῶμα δέδεικται. δυνάμει δὲ ἐστί φησι τὸ ἄπειρον. πῶς δὲ δυνάμει, προστέθεικεν. ὅτι τὸ κατὰ τὴν διαίρεσιν ἄπειρον. ὅπερ ταυτόν ἐστι τῷ κατὰ τὴν πρόσθεσιν ἀπείρῳ, ἀντεστραμμένως ὡς ἤδη εἴρηκεν. οὐ μόνον δέ φησι δυνάμει ἐστὶ τὸ ἄπειρον, ἀλλὰ καὶ ἐνεργείᾳ. ὥσπερ τὴν ἡμέραν λέγομεν ἐνεργείᾳ παρεῖναι, οὐ τῷ πᾶσαν ἅμα εἶναι, ἀλλὰ τῷ μόριόν τι αὐτῆς. ὁμοίως δὲ καὶ τὰ ὀλύμπια παρεῖναι ἐνεργείᾳ τῷ μόριόν τι αὐτῶν ἐνεργείᾳ εἶναι, ἢ πυγμὴν, ἢ πάλην, ἢ ἕτερόν τι. οὕτω δὲ καὶ τὴν ἐπ' ἄπειρον διαίρεσιν, ἐνεργείᾳ παρεῖναι. οὐ τῷ ἅμα πᾶσαν εἶναι, ἀλλὰ τῷ μόριόν τι διαιρεῖσθαι, εἶτα ἐπειδὴ τὸ αὐτὸ καὶ δυνάμει εἶπεν εἶναι, καὶ ἐνεργείᾳ, καὶ ὅπως μὲν ἔστιν ἐνεργείᾳ ἐπιστώσατο ἐκ τοῦ κατὰ τὴν ἡμέραν, καὶ τὸν ἀγῶνα παραδείγματος, πῶς δὲ τὸ αὐτὸ τοῦτο δυνάμει ἐστὶν, οὐκέτι κατεσκεύασε, διὰ τοῦτο ἀναλαμβάνει τὸν περὶ τοῦ δυνάμει λόγον. καὶ φησὶν, ὅτι οὕτω δυνάμει λέγω τὸ ἐπ' ἄπειρον διαιρετὸν, ὥσπερ καὶ τὴν ὕλην λέγομεν δυνάμει εἶναι πάντα τὰ εἴδη. ὥσπερ οὖν ὅταν λέγωμεν τὴν ὕλην πάντα εἶναι δυνάμει, οὐ τοῦτο φαμὲν, ἢ ὅτι πάντα ἅμα ποτὲ ἐνεργείᾳ γενήσεται, ἢ ὅτι οὐδὲν εἶδος ἔχει ἐνεργείᾳ. ἀλλ' ὅτι ἔχει μέν τι εἶδος ἐνεργείᾳ, πέφυκε δὲ καὶ πάντα δέχεσθαι κατὰ μέρος, ἅμα δὲ οὐδέποτε, οὕτω καὶ τὸ δυνάμει ἐπ' ἄπειρον διαιρετὸν, ὅτι ἀδύνατον μὲν ἐπ' ἄπειρον διαιρεῖσθαι, κατὰ μέρος μέντοι ἀεὶ ὑπάρχουσιν αἱ διαιρέσεις, ἅμα δὲ οὐδέποτε, καὶ οὐ καθ' αὑτὸ πεπερασμένον. ὥσπερ γὰρ ἡ ὕλη εἰ καὶ δέχεται τὸ εἶδος, ἀλλ' οὐ καθ' αὑτὸ, καὶ ἐν τῷ λόγῳ τῆς οὐσίας αὐτῆς ὑπάρχει τὸ εἶδος, ἀλλ' οἷον ἐπισυμβέβηκε τῇ οὐσίᾳ αὐτῆς. οὕτω δὲ καὶ τῷ ἀπείρῳ ὑπάρχει τὸ πεπερασμένον οὐ καθ' αὑτό. εἰ γὰρ καὶ συνέβη τὸ ἐπ' ἄπειρον διαιρετὸν πεπερασμένον εἶναι, οὐχ ᾗ τὸ ἄπειρον ἔχει ταύτῃ πεπέρασται, ἀλλ' ἡ ἐπισυμβέβηκε τῷ ἀπείρῳ τὸ πεπερασμένον. ὡς γὰρ αὐτὸς ἐφεξῆς ἐρεῖ, ἡ ὕλη ἐστὶ τοῦ μεγέθους τὸ ἄπειρον. ἀσόμεθα δὲ ἐν ἐκείνοις.

» ΚΑΙ κατὰ πρόσθεσιν δὲ οὕτως ἄπειρον δυνάμει ἐστὶν, ὃ ταυτὸ λέγομεν τρόπον τινὰ εἶναι τῷ

κατὰ

τὸ ἄπειρον, τῷ ἀεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμβανόμενον εἶναι μὲν ἀεὶ πεπερασμένον, ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον. τουτέστι καθόλου καὶ κοινῶς ἐν οἷς ὑπάρχει τὸ ἄπειρον, εἴτε ἐν ἀριθμοῖς, εἴτε ἐν μεγέθεσι, καὶ ἕτερον αὐτοῦ μόριον λαμβάνεσθαι, καὶ ἀεὶ τὸ ληφθὲν πεπερασμένον εἶναι, οὐδέποτε δὲ τὸ αὐτό, ἀλλ᾽ ἀεὶ ἄλλο καὶ ἄλλο. τοῦ γὰρ ἀριθμοῦ αὐξομένου, ἀεὶ ἄλλο καὶ ἄλλο ἔστι λαβεῖν μόριον. ὁμοίως δὲ καὶ ἐπὶ τῆς διχοτομίας ἅμα μὲν ὅλον τεμεῖν ἀδύνατον, ἀλλὰ ἀεὶ μὲν ἕτερον, καὶ ἕτερόν ἐστι τὸ τεμνόμενον, καὶ τὰ τμηθέντα πάντα πεπερασμένα μόρια. ἡ μὲν οὖν κοινωνία αὕτη. ἀπορήσαι δ᾽ ἄν τις πρὸς τὸν λόγον, πῶς φησὶν ἀεὶ τὸ λαμβανόμενον τοῦ ἀπείρου μόριον πεπερασμένον ἐστίν. ἐπὶ μὲν γὰρ τοῦ ἀριθμοῦ, καὶ τῆς διαιρέσεως τῶν μεγεθῶν, ἀρχομένων ἀπὸ μονάδος ἀληθὴς ὁ λόγος. ἀεὶ γὰρ πεπερασμέναι καὶ αἱ τομαὶ τοῖς μεγέθεσι, καὶ αἱ μονάδες τοῦ ἀριθμοῦ. ἐπὶ δὲ τοῦ χρόνου, καὶ τῶν ἀνθρώπων οὐκέτι. εἰ γὰρ ἀΐδιος ὁ κόσμος, οὐ πᾶν μόριον οὔτε τῆς ἀπειρίας τοῦ χρόνου, οὔτε τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων λαμβανόμενον πεπερασμένον ἐστίν. ἐὰν γὰρ λάβω πάντα τὸν γενόμενον χρόνον μέχρι σήμερον, ἢ πάντας τοὺς αἰῶνας, οὐκ ἂν εἴη ὁ τούτων ἀριθμὸς πεπερασμένος, μερῶν ὄντων τῶν καθ᾽ ἑαυτὰ ἀπείρων. ἢ τοίνυν οὐκ ἄναρχος ὁ κόσμος, ἵνα μὴ ἄπειρος ἢ ἐπὶ θάτερον ὁ χρόνος, καὶ ὁ τῶν ἀνθρώπων ἀριθμός, ἢ ἔξεστι λαμβάνειν ἡμῖν τοῦ ἀπείρου μόριόν τι καὶ αὐτὸ ἄπειρον, ἢ κατ᾽ ἀριθμόν, ἢ κατὰ τὴν διαίρεσιν τῶν μεγεθῶν. εἰ γὰρ ἀριθμὸν ἔξεστι λαβεῖν ἐπὶ θάτερα ἄπειρον, διεξιτητὸν ἂν εἴη τὸ ἄπειρον. πᾶς γὰρ ἀριθμὸς ἀπὸ μονάδος ἄρχεται, καὶ μόνως τὸ ἄπειρον ἐπὶ τοῦ ἀριθμοῦ κατὰ θάτερον, καὶ ἄλλως τοῦ Ἀριστοτέλους συμφώνως τῷ ἐπὶ τῶν ἀριθμῶν συμβαίνοντι λέγοντος, ὅτι ἀεὶ τὸ ληφθὲν τοῦ ἀπείρου πεπερασμένον ἐστί. εἰ οὖν λέγοι τις ὅτι δυνατὸν λαβεῖν τὸ κατὰ θάτερον ἄπειρον, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἔξεστιν ἄπειρον ἀριθμὸν ἐνεργείᾳ γενέσθαι. ἀναποδίζοντος γὰρ ἀπὸ ἐνεστῶτος ἐνιαυτοῦ ἐπὶ τὸ παρεληλυθός, εὑρίσκω ὅτι ἄπειρός τις ἀριθμὸς ἐνιαυτῶν κατ᾽ ἐνέργειαν ἐκβέβηκε. καίτοι ἀδύνατον, οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τῇ φύσει, ἄπειρόν τινα διεξελθεῖν ἀριθμόν. ἀδιεξίτητον γὰρ κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ ἄπειρον. καὶ εἰ τὸ ἐπὶ θάτερον ἄπειρον ἐνδέχεται ἐκβῆναι ἐνεργείᾳ, διὰ τί μὴ καὶ τὸ ἐπὶ θάτερον. καὶ συμβήσεται δὲ οὐ μόνον πολλαπλασιάζεσθαι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀεὶ αὔξεσθαι, καὶ ἄπειρον ἀπείρου μεῖζον εἶναι. τοῦ γὰρ ἀριθμοῦ τῶν ἐνιαυτῶν ἀπείρου ὄντος, ὁ τῶν μηνῶν ἀριθμὸς πολλαπλασιάζει τὸ ἄπειρον. δωδεκάκις γὰρ ἕξει τὸ ἄπειρον. ἀλλὰ μὴν ὁ τῶν ἡμερῶν πολλῷ πλέον. ὁ δὲ τῶν ὡρῶν ἔτι πολὺ μᾶλλον. καίτοι ἀδύνατον πολλαπλασιάζεσθαι τὸ ἄπειρον. ἀλλὰ μὴν καὶ αὔξεσθαι καθ᾽ ἑκάστην συμβαίνει τὸν τοῦ ἀπείρου ἀριθμόν, τῇ γενέσει τοῦ χρόνου. εἰ τοίνυν ἀδύνατον ἢ αὔξεσθαι, ἢ πολλαπλασιάζεσθαι, τὸ ἄπειρον, ἢ ἐνεργείᾳ ἄπειρον ἀριθμὸν γενέσθαι, ἀδύνατον ἄναρχον εἶναι τὸν χρόνον. ταῦτα μὲν διὰ τὸ εἰπεῖν Ἀριστοτέλην, ὅτι ἀεὶ τὸ λαμβανόμενον τοῦ ἀπείρου πεπερασμένον ἐστί. καὶ ἀληθῶς γε λέγει. τῇ γὰρ ἑαυτοῦ φύσει τὸ ἄπειρον ἀδιεξίτητον.

» ἜΤΙ τὸ εἶναι πλεοναχῶς λέγεται, ὥστε τὸ ἄπειρον οὐ δεῖ λαμβάνειν ὡς τόδε τι. οἷον ἄνθρωπον,
» ἢ οἰκίαν. ἀλλ᾽ ὡς ἡ ἡμέρα λέγεται, καὶ ὁ ἀγών. οἷς τὸ εἶναι, οὐχ ὡς οὐσία τις γέγονεν, ἀλλ᾽ ἀεὶ ἐν γενέσει
» ἢ φθορᾷ. καὶ πεπερασμένον, ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον.

Τὸ ἐντεῦθεν μέχρι τοῦ, ἀλλὰ ἀεί γε ἕτερον καὶ ἕτερον, οὐκ ἔστιν ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων. τὰ αὐτὰ γάρ ἐστι τοῖς εἰρημένοις ἀπαραλλάκτως. περιγραπτέον οὖν αὐτά.

» ἈΛΛ᾽ ἐν μὲν τοῖς μεγέθεσιν, ὑπομένοντος τοῦ ληφθέντος τοῦτο συμβαίνει. ἐπὶ δὲ τῶν ἀριθμῶν, καὶ
» τοῦ χρόνου, φθειρομένων, οὕτως, ὥστε μὴ ὑπολείπειν. τὸ δὲ κατὰ πρόσθεσιν, τὸ αὐτό πώς ἐστι καὶ τὸ κατὰ
» διαίρεσιν. ἐν γὰρ τῷ πεπερασμένῳ κατὰ πρόσθεσιν γίνεται ἀντεστραμμένως.

Εἰπὼν τὴν κοινωνίαν τοῦ ἀπείρου τοῦ ἐν τῷ μεγέθει, καὶ τῷ ἀριθμῷ, λέγω δὲ τοῦ κατὰ τὴν διαίρεσιν, καὶ τὴν αὔξησιν, βούλεται νῦν τὴν διαφορὰν αὐτῶν εἰπεῖν. καὶ φησὶν ὅτι ἐπὶ μὲν τοῦ χρόνου, καὶ τῶν ἀνθρώπων τοῦ ἀπείρου μέρος φθείρεται, καὶ οὐχ ὑπομένει. ἐφθάρη γὰρ πᾶς ὁ παρεληλυθὼς χρόνος καὶ οἱ ἄνθρωποι. ἐπὶ δὲ τῆς διαιρέσεως τῶν μεγεθῶν, οὐ φθείρεται τὰ λαμβανόμενα τμήματα, ἀλλ᾽ ὑπομένει ὅθεν καὶ προστίθεται ἀντεστραμμένως θατέρῳ μορίῳ τοῦ διαιρουμένου. Τὸ δὲ κατὰ πρόσθεσιν τὸ αὐτό ἐστι πῶς, καὶ οὐ κατὰ διαίρεσιν. εἰπὼν τήν τε κοινωνίαν, καὶ τὴν διαφορὰν τοῦ χρόνου, καὶ τῶν ἀνθρώπων. ἀνθρώπους δὲ ὅταν εἴπω, ἁπλῶς πάντα τὰ ἄτομά φημι, τά τε ἐπὶ τῶν ἐμψύχων, καὶ τὰ ἐπὶ τῶν ἀψύχων, ἐκ τοῦ κρείττονος πάντα περιλαμβάνων. εἰπὼν οὖν τοῦ ἀπείρου τοῦ ἐν τούτοις τήν τε κοινωνίαν, καὶ τὴν διαφορὰν ἣ πρὸς τὸ ἐν τοῖς μεγέθεσι κατὰ διαίρεσιν.

λείπει τι.

ἐὰν λάβω πεπερασμένον τὸ μέγεθος. εἶτα τοῦτο διέλω δίχα, προσθήσω δὲ τῇ διχοτομίᾳ θατέρου τμήματος. ἐφ᾽ ὅσον κατὰ θάτερον ἡ διαίρεσις γίνεται, ἐπὶ τοσοῦτον ἡ πρόσθεσις κατὰ θάτερον. εἰ οὖν ἡ διαίρεσις ἐπ᾽ ἄπειρον, καὶ ἡ πρόσθεσις ἂν εἴη ἐπ᾽ ἄπειρον. ἀλλ᾽ ἀντεστραμμένως. ὃ γὰρ ἀφαιροῦμεν ἐκείνου, τούτῳ προστίθεμεν, ὥστε ταυτό πως εἶναι τὸ κατὰ διαίρεσιν ἄπειρον τῷ κατὰ πρόσθεσιν. ἐν μιᾷ γὰρ καὶ τῇ αὐτῇ διαιρέσει ἄμφω γίνεται.

» ΟΤΙ δὲ εἰ μὴ ἔστιν ἄπειρον ἁπλῶς, πολλὰ ἀδύνατα συμβαίνει, δῆλον. τοῦ τε γὰρ χρόνου ἔσται τις
» ἀρχὴ καὶ τελευτή. καὶ τὰ μεγέθη οὐ διαιρετὰ εἰς μέγεθος. καὶ ἀριθμὸς οὐκ ἔσται ἄπειρος.

Τὸ μὲν οὖν κατὰ μέγεθος ἄπειρον δέδεικται, ὅτι οὐκ ἐνδέχεται εἶναι. εἰ δὲ ἄλλον φησὶ μηδένα τρόπον ἐνδέχεται εἶναι τὸ ἄπειρον, πολλὰ ἀδύνατα συμβήσεται.

» ΟΤΑΝ δὲ διωρισμένων οὕτω μηδετέρως φαίνηται ἐνδέχεσθαι, διαιτητοῦ δεῖ. καὶ δῆλον, ὅτι πὼς
» μὲν ἔστι, πὼς δ᾽ οὔ.

Ὅταν φησὶ καὶ τὸ μὴ εἶναι τὸ ἄπειρον, εὔλογον φαίνηται, ὁμοίως δὲ καὶ τὸ εἶναι, διαιτητοῦ τοῖς λόγοις δεῖ, τὴν ἐν ἑκάστῳ ἀλήθειαν καὶ τὸ ψεῦδος διακρίνοντος. καὶ δῆλον ὅτι πὼς μὲν ἔστι πὼς δὲ οὔ. εἰ γὰρ μὴ κατά τι μὲν ἦν τὸ ἄπειρον κατά τι δὲ οὔ, οὐκ ἂν ἐδόκει ἑκάτερος τῶν λόγων ἔχειν τὸ εὔλογον.

» ΛΕΓΕΤΑΙ δὲ τὸ εἶναι, τὸ μὲν δυνάμει, τὸ δὲ ἐντελεχείᾳ. καὶ τὸ ἄπειρον, ἔστι μὲν προσθέσει,
» ἔστι δὲ καὶ ἀφαιρέσει. τὸ δὲ μέγεθος, ὅτι μὲν κατ᾽ ἐνέργειαν οὐκ ἔστιν ἄπειρον, εἴρηται. διαιρέσει δ᾽ ἐστίν.
» οὐ γὰρ χαλεπὸν ἀνελεῖν τὰς ἀτόμους γραμμάς. λείπεται οὖν δυνάμει εἶναι τὸ ἄπειρον. οὐ δεῖ δὲ τὸ δυ-
» νάμει ὂν λαμβάνειν, ὥσπερ εἰ δυνατὸν τοῦτ᾽ ἀνδριάντα εἶναι, ὡς καὶ ἔσται τοῦτ᾽ ἀνδριάς, οὕτω καὶ ἄπει-
» ρόν τι ὃ ἔσται ἐνεργείᾳ. ἀλλ᾽ ἐπεὶ πολλαχῶς τὸ εἶναι, ὥσπερ ἡ ἡμέρα ἐστὶ καὶ ὁ ἀγὼν τῷ ἀεὶ ἄλλο καὶ
» ἄλλο γίνεσθαι, οὕτω καὶ τὸ ἄπειρον. καὶ γὰρ ἐπὶ τούτων ἐστὶ καὶ δυνάμει καὶ ἐνεργείᾳ. ὀλύμπια γάρ ἐστι
» καὶ τῷ δύνασθαι τὸν ἀγῶνα γίνεσθαι, καὶ τῷ γίνεσθαι.

Ἐντεῦθεν διαιτᾷ τοῖς λόγοις. καὶ προλαμβάνει ὅτι τῶν μὲν ὄντων, τὰ μέν ἐστι δυνάμει, τὰ δὲ ἐντελεχείᾳ, ὡς πολλαχοῦ δέδεικται. καὶ ὅτι τὸ ἄπειρον ἔστιν ἐν τοῖς μεγέθεσι κατὰ πρόσθεσιν, καὶ διαίρεσιν. ἓν δὲ ἦν τῶν τοῦ ἀπείρου σημαινομένων, τὸ κατὰ πρόσθεσιν καὶ διαίρεσιν. ταῦτα προειληφὼς δείκνυσιν ἐφεξῆς, πῶς μέν ἐστι, πῶς δὲ οὐκ ἔστι τὸ ἄπειρον. καὶ φησὶν ὅτι ἐν μεγέθεσιν ἄπειρον ἐνεργείᾳ μὲν οὐκ ἔστι, δυνάμει δέ ἐστι, τῷ εἶναι πᾶν μέγεθος ἐπ᾽ ἄπειρον διαιρετόν. ὅτι γὰρ οὐ σύγκειται ἡ γραμμὴ ἐξ ἀτόμων γραμμῶν, ὅπερ ὁ λύσαι θέλοντες τὴν Ζήνωνος ἀπορίαν κακῶς ὑπέθεντο ὡς ἐν τῷ πρώτῳ εἴρηται, οὐ χαλεπόν φησι δεῖξαι. ὁλόκληρον γὰρ βιβλίον πρὸς Ξενοκράτην αὐτῷ γέγραπται περὶ ἀτόμων γραμμῶν, ὅτι ἀδύνατον ἄτομα εἶναι μεγέθη. εἰ γὰρ δέδεικται τοῖς γεωμέτραις τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν, ἀδύνατον δήπου γραμμὴν εἶναι ἄτομον, ἢ ἐξ ἀτόμων συγκεῖσθαι. εἰ γὰρ συγκέοιτο ἐκ τῶν ἀτόμων, οὐ τμηθήσεται δίχα. δέδεικται δὲ καὶ ὅτι πᾶν τὸ ἐξ ἀτόμων συγκείμενον, ταυτὸν δὲ εἰπεῖν ἀμερῶν, καὶ αὐτὸ ἀμερὲς ἔσται. εἴπομεν δὲ καὶ ἐν τῷ πρώτῳ λόγῳ, ὅτι τινὲς τὸν Ξενοκράτην ὑποτίθενται τὰς ἀτόμους εἰσηγεῖσθαι γραμμάς, καὶ ἐδείξαμεν ὡς ψευδὴς ἡ ὑπόνοια. λείπεται οὖν καὶ δυνάμει εἶναι τὸ ἄπειρον. εἰ γὰρ δέδεικται ὅτι ἐντελεχείᾳ εἶναι ἀδύνατον, ἔστι δὲ καὶ τὸ μέγεθος διαιρετόν, δῆλον ὅτι δυνάμει ἔσται, καὶ οὐκ ἐνεργείᾳ. οὐ δεῖ δὲ τὸ δυνάμει λαμβάνειν τὸ ἐσόμενον. οὐκ ἐπειδὴ δυνάμει εἴπον τὸ ἄπειρον εἶναι κατὰ τὴν διαίρεσιν, ἤδη νομιστέον, ὅτι πάντως ἐκβήσεται τὸ δυνάμει τοῦτο εἰς ἐνέργειαν. ὥσπερ φαμὲν τὸν χαλκὸν δυνάμει ἀνδριάντα εἶναι, καὶ τὴν δύναμιν ταύτην ἐκβαίνειν ποτὲ εἰς ἐνέργειαν, οὐχ οὕτω καὶ ἐπὶ τοῦ ἀπείρου. οὐ γὰρ ἔσται ποτὲ εἰς ἄπειρα διῃρημένον. τοῦτο γὰρ οὐδὲ δυνάμει ὑπάρχει ἐν τοῖς μεγέθεσιν. ἀλλ᾽ ἐπεὶ τὸ εἶναί φησι πολλαχῶς. τουτέστι τὸ ἐνεργείᾳ εἶναι λεγόμενον. τὸ μὲν ἀθρόαν ἔχει τὴν ἐνέργειαν, ὡς αὐτὸς ἵππος καὶ τὰ ὅμοια. τὸ δὲ κατὰ μέρος γινομένην, καὶ μηδέποτε ἀεὶ ἅμα παροῦσαν. τοιαῦτα δέ ἐστι τὰ ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα, ὡς ἡμέρα ἀγὼν καὶ τὰ ὅμοια. οὕτω φημὶ καὶ τὸ ἄπειρον ἐνεργείᾳ εἶναι, οὐ τὸ ἅμα ὅλον εἶναι, ἀλλὰ τὸ μόριόν τι αὐτοῦ ἀεὶ παρεῖναι. οὕτω καὶ ἄπειρόν τι ὃ ἔσται ἐνεργείᾳ. οὐχ οὕτω λέγει φησὶ τὸ ἄπειρον δυνάμει, ὡς λέγω τὸν χαλκὸν δυνάμει ἀνδριάντα. τὸν μὲν γὰρ χαλκὸν οὕτω λέγει δυνάμει, ὡς καὶ ἐσόμενον ποτὲ ἐνεργείᾳ. τὸ δὲ ἄπειρον, οὐχ οὕτω δυνάμει, ὃ ἔσται καὶ ἐνεργείᾳ, ἀλλὰ ἐν τῷ δυνάμει ἀεὶ διαμένειν. καὶ γὰρ ἐπὶ τούτων ἐστὶ καὶ δυνάμει, καὶ ἐνεργείᾳ. ἐπὶ τοῦ ἀγῶνος δηλονότι καὶ τῆς ἡμέρας. πρὶν γὰρ ἐπιτελεσθῆ, δυνάμει ἐστίν. ἀρξάμενα δὲ γίνεσθαι, ἐνεργείᾳ. ἀλλ᾽ οὕτως ἐνεργείᾳ, ὡς κατὰ μέρος ὑπάρχοντα. δυνατὸν δὲ τὸ δυνάμει, καὶ ἐν αὐτῷ τῷ ἐνεργεῖσθαι λαβεῖν. ἔστι μὲν γὰρ ἐνεργείᾳ ἡ ἡμέρα ὡς ἤδη παροῦσα. δυνάμει δὲ ὡς μὴ ἅμα οὖσα, ἀλλ᾽ ἔτι ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσα.

» ΑΛΛΩΣ δὲ ἔν τε τῷ χρόνῳ δῆλον τὸ ἄπειρον, καὶ ἐπὶ τῶν ἀριθμῶν, καὶ ἐπὶ τῆς διαιρέσεως
» τῶν μεγεθῶν. ὅλως μὲν γὰρ οὕτως ἐστὶ τὸ ἄπειρον, τῷ αἰεὶ ἄλλο καὶ ἄλλο λαμβάνεσθαι, καὶ τὸ λαμ-
» βανόμενον μὲν ἀεὶ πεπερασμένον εἶναι, ἀλλ᾽ ἀεί γε ἕτερον καὶ ἕτερον.

Εἰπὼν πῶς ἐστι τὸ ἄπειρον, ὅτι τῷ γίνεσθαι κατὰ μέρος, ὅπερ ἐπί τε τῆς τῶν μεγεθῶν διαιρέσεως συμβαίνει, καὶ ἐπὶ τοῦ χρόνου, καὶ τοῦ ἀριθμοῦ. αὔξεται γὰρ καὶ ὁ χρόνος, καὶ καθόλου ὁ ἀριθμὸς δυνάμει ἐπ᾽ ἄπειρον, ἐνεργείᾳ δὲ οὐδέποτε, ὥσπερ καὶ ἡ τῶν μεγεθῶν διαίρεσις. ἀλλ᾽ ἔχουσί τινά φησι ταῦτα διαφορὰν πρὸς ἄλληλα. ἐπί τε γὰρ τῶν ἀνθρώπων καὶ τοῦ χρόνου φησὶν ἐπ᾽ ἄπειρον αὐξομένων. ἄλλως τὸ ἄπειρον ὑπάρχει, καὶ ἄλλως ἐπὶ τῆς τῶν μεγεθῶν διαιρέσεως. εἶτα προθέμενος εἰπεῖν τὴν διαφορὰν αὐτῶν, πρότερον τὴν κοινωνίαν ἐκτίθεται, εἶτα τὴν διαφορὰν αὐτῶν. καὶ φησίν. ὅλως μὲν γὰρ οὕτως εἶναι

τὸ ἄπειρον

θαι. τὴν διαίρεσιν, ἀλλ' ὅτι γίνεται ἀπὸ μέρους, τοῦ ὑπολειπομένου, ἀεὶ δυναμένου διαιρεθῆναι. οὕτω δὲ καὶ ἡ ἐπ' ἄπειρον, τοῦ ἀριθμοῦ αὔξησις τῷ ἀεὶ δύνασθαι, μείζονα τοῦ ληφθέντος λαβεῖν ἀριθμὸν, ὡς τῷ διεξελθεῖν ἐνεργείᾳ τὴν ἐπ' ἄπειρον αὔξησιν, ἔφθαρκας οὐδὲν τὸ ἄπειρον. στήσας γὰρ τὴν αὔξησιν, πέρας τῷ ἀπείρῳ προσέθηκας. οὐ μόνον δὲ ἐν τῷ ἀριθμῷ ἐστὶ τὸ κατὰ τὴν αὔξησιν ἄπειρον, ἀλλὰ καὶ ἐν τοῖς μεγέθεσιν, οὐχ οὕτως ὥστε παντὸς ὑπερβαλεῖν μεγέθους τὸ αὐξανόμενον. τοῦτο γὰρ ἀδύνατον. ἀδύνατον γὰρ σῶμά τι μεῖζον τοῦ κόσμου γενέσθαι, ἀλλ' ἡ αὔξησις γίνοιτο ἀντεστραμμένως τῇ διαιρέσει. ἐὰν γὰρ πεπερασμένην εὐθεῖαν λαβὼν διχοτομήσω. εἶτα ἐπειδὰν θάτερον χωρίσω τῇ διαιρέσει, ἐφ' ὅσον τέμνω θάτερον, προστιθῶ τῷ λοιπῷ, ὥσπερ ἡ θατέρου μορίου διαίρεσις ἐπ' ἄπειρον γίνεται, οὕτω καὶ ἡ θατέρου αὔξησις ἐπ' ἄπειρον πρόεισιν, ἀλλ' ἀντεστραμμένως. ὃ γὰρ ἀφαιροῦμεν ἐκείνου προστίθεμεν τῷ λοιπῷ. καὶ οὕτως οὔτε ἡ αὔξησις λήγει, οὔτε τὸ αὐξόμενον μεῖζον παντὸς γίνεται μεγέθους, ἀλλ' οὐδὲ ἴσον αὐτοῦ ὅλον τοῦ διαιρουμένου μεγέθους. ἀεὶ γὰρ καταλιμπάνεταί τι μέγεθος, ὃ ἦν μόριον τοῦ ὅλου, ὃ τὴν διαίρεσιν ἐνδέχεται. Ὅλως δὲ φανερὸν, ὅτι ἀδύνατον τὸ, ἄπειρον ἅμα λέγειν σῶμα καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν. ἀδύνατόν φησι τὸ ὑποτιθέμενον σῶμα ἄπειρον εἶναι, ἅμα καὶ ἑκάστου τῶν φυσικῶν σωμάτων ὑποτίθεσθαι τόπον. εἰ τοίνυν πρόδηλος ἑκάστου τῶν φυσικῶν σωμάτων ὁ τόπος, ἀδύνατον ἄρα ἄπειρον εἶναι σῶμα. ὅτι δὲ ἀδύνατον παντὸς φυσικοῦ σώματος ἐν τόπῳ ὄντος ἄπειρον εἶναι σῶμα, ἐφεξῆς δείκνυσιν.

» ΑΔΥΝΑΤΟΝ δὲ ἑκάτερον ὁποτερονοῦν, ἢ τὸ ἥμισυ, ἑκάτερον πεπονθέναι.

Τουτέστιν ἑκάτερον τῶν ἡμίσεων, ἑκάτερον τῶν παθῶν πεπονθέναι. καὶ τὸ μὲν βαρὺ εἶναι, τὸ δὲ κοῦφον.

» ΠΩΣ γὰρ διελεῖς, ἢ πῶς τοῦ ἀπείρου ἔσται, τὸ μὲν ἄνω, τὸ δὲ κάτω. ἢ ἔσχατον καὶ μέσον.

Εἰ γὰρ ὅλως ἀφορίσεις τοῖς τόποις τούτου ἀπείρου μόρια, εὐθὺς αὐτὸ καὶ πεπερασμένον ποιεῖς. πῶς γὰρ οἷόν τε τοῦ ἀπείρου, τὸ μὲν ἄνω εἶναι, τὸ δὲ κάτω. πόθεν γὰρ ποῖ τὸ ἄνω. ὁμοίως δὲ καὶ τὸ κάτω. καὶ ἄλλως εἰ ἕξει τὸ ἄνω, εὐθὺς καὶ ἔσχατον ἕξει καὶ μέσον. τὸ γὰρ ἄνω καὶ κάτω ἔσχατα, μέσον δὲ τὸ ὑπὸ τούτων περιεχόμενον. ὃ δὲ μέσα καὶ ἔσχατα ἔχει, οὐκ ἄπειρον.

» ΕΤΙ πᾶν σῶμα αἰσθητὸν ἐν τόπῳ. τόπου δὲ εἴδη καὶ διαφοραὶ, τὸ ἄνω, τὸ κάτω, τὸ ἔμπροσθεν,
» τὸ ὄπισθεν, καὶ δεξιὸν καὶ ἀριστερόν. καὶ ταῦτα οὐ μόνον πρὸς ἡμᾶς καὶ θέσει ἐστὶν, ἀλλὰ καὶ ἐν αὐτῷ
» τῷ ὅλῳ διώρισται. ἀδύνατον δ' ἐν τῷ ἀπείρῳ εἶναι ταῦτα.

Ἕτερον ἐπιχείρημα. εἰ πᾶν σῶμά φησιν ἐν τόπῳ, τόπου δὲ διαφοραὶ αἱ εἰρημέναι ἕξ, ἀνάγκη καὶ τὸ ἄπειρον κατὰ τοὺς διῃρῆσθαι τούτοις τόποις. τοῦτο δὲ ἀδύνατον. εὐθὺς γὰρ πεπεράνθαι τοῦτο ἀνάγκη.

» ΑΠΛΩΣ δ' εἰ ἀδύνατον τόπον εἶναι ἄπειρον, ἐν τόπῳ δὲ πᾶν σῶμα, ἀδύνατον ἄπειρον εἶναί τι σῶμα.

Τρίτον ἐπιχείρημα. ἀδύνατόν φησι τὸν τόπον ἄπειρον εἶναι. πᾶς γὰρ τόπος περατοῖ τὸ ἐν τόπῳ, καὶ περιέχει αὐτό. τὸ δὲ περατοῦν, μᾶλλον δὲ αὐτὸ πέρας ὂν τοῦ ἐν αὐτῷ οὐκ ἄπειρον. καὶ ἄλλως, εἰ τόπου διαφοραὶ τὸ ἄνω, καὶ κάτω, ἀδύνατον εἶναι τόπον ἄπειρον. εἰ γὰρ εἴη ὁποτεροσοῦν ἄπειρος, οὐ συγχωρήσει τῷ ἄλλῳ εἶναι. ἀδύνατον δὲ ἢ μόνον εἶναι τὸ ἄνω, ἢ μόνον τὸ κάτω. πῶς γὰρ ὅλως ὁ ἄπειρος τόπος, ἢ ἄνω λεχθείη, ἢ κάτω. εἰ τοίνυν πεπερασμένοι οἱ τόποι, πᾶν δὲ σῶμα ἐν τόπῳ, πᾶν ἄρα σῶμα πεπερασμένον.

» ΑΛΛΑ μὴν, τό γε ποῦ, ἐν τόπῳ. καὶ τὸ ἐν τόπῳ, ποῦ.

Τὸ τέταρτον ἐπιχείρημα. ἔστι δὲ συνεχὲς τοῖς πρὸ αὐτοῦ. ἐπειδὴ γὰρ ἔδειξεν ὅτι ἀδύνατον, ἢ ἄνω, ἢ κάτω εἶναι τὸ ἄπειρον, ἢ ἔν τινι τῶν ἄλλων τόπων, ἵνα μή τις εἴπῃ, ὅτι ἐν τούτοις μὲν οὐκ ἔστιν, ἐν τόπῳ δὲ ἁπλῶς ἐστὶ, διὰ τοῦτό φησιν ἐν τούτοις, ὅτι ἀνάγκη ἐφ' ὧν κατηγορεῖται τὸ γένος, καὶ τούτων καὶ τῶν εἰδῶν τι κατηγορεῖσθαι. καὶ ἔμπαλιν. ἐστὶ δὲ γένος μὲν τὸ ἐν τόπῳ, εἶδος δὲ τὸ ποῦ. ὅταν γὰρ εἴπω ποῦ, ὡρισμένον τινὰ τόπον σημαίνω, ἢ τὸν ἄνω, ἢ τὸν κάτω.

» ΕΙ οὖν μηδὲ ποσὸν οἷόν τ' εἶναι τὸ ἄπειρον. ποσὸν γάρ τι ἔσται, οἷον δίπηχυ, ἢ τρίπηχυ. ταῦτα γὰρ σημαίνει τὸ ποσὸν, οὕτω καὶ τὸ ἐν τόπῳ, ὅτι ποῦ. τοῦτο δὲ, ἢ ἄνω, ἢ κάτω, ἢ ἐν ἄλλῃ τινὶ διαστάσει τῶν ἕξ.
» τούτων δ' ἕκαστον, πέρας τί ἐστιν. ὅτι μὲν οὖν ἐνεργείᾳ οὐκ ἔστι σῶμα ἄπειρον, φανερὸν ἐκ τούτων.

Παραδείγματι τῷ τοῦ ποσοῦ κέχρηται. τὸ μὲν οὖν πρότερον ποσὸν ὀξυτόνως ἀναγνωστέον. σημαίνει γὰρ τὸ τοῦ ποσοῦ γένος. τὸ δὲ δεύτερον βαρυτόνως, ποσὸν, ὡς νόθον. σημαίνει δὲ τὸ ὡρισμένον ποσόν. οἷον τὸ δίπηχυ, ἢ τὸ τρίπηχυ, ὡς αὐτὸς εἶπεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ ἕκαστον, ὅπερ ἔχει γένος τι κατηγορούμενον, ἕξει καὶ τῶν εἰδῶν πάντως τι τῶν ὑπὸ τὸ γένος κατηγορούμενον. οὐδὲν γάρ ἐστι χρῶμα, ὃ μὴ πάντως, ἢ λευκόν ἐστιν, ἢ μέλαν, ἢ τῶν ἄλλων τι τῶν τοῦ χρώματος εἰδῶν. καὶ τὸ ἄπειρον εἰ ἔσται ἐν τόπῳ, πάντως καὶ ἔν τινι τῶν τοῦ τόπου εἰδῶν ἔσται, ἢ ἄνω, ἢ κάτω. ἀλλὰ μὴν ἀδύνατον ἔν τινι τούτων εἶναι, ὡς δέδεικται. οὐδὲ ἐν τόπῳ ἄρα ὅλως. ἀλλὰ μὴν πᾶν σῶμα ἐν τόπῳ, ἀδύνατον ἄρα ἄπειρον εἶναί τι σῶμα. ὥσπερ γὰρ οὐδὲ ποσὸν οἷόν τε εἶναι, ὃ μὴ πάντως, ποσὸν τί ἐστι φημὶ δὲ δίπηχυ, ἢ τρίπηχυ, οὕτως οὐδὲ ἐν τόπῳ οἷόν τε εἶναι, ὃ μὴ που ἐστί. λέγω δὲ ποῦ, οἷον τὸ ἄνω, ἢ τὸ κάτω. ὃ δὲ μὴ ἐνδέχεται εἶναι ποῦ, τοῦτο οὐδὲ ἐνδέχεται ἐν τόπῳ εἶναι.

ἀπογίνεται. καὶ ἄλλας δὲ καὶ μὴ ἁπλῶς τὸν χρόνον γίνεσθαί φασιν, ἀλλ' οὖν τινὰ χρόνον γίνεσθαι οὐκ ἀρνήσονται. οἷον τόνδε τὸν ἐνιαυτόν. ἐπεὶ οὐδὲ ἄνθρωπον μὲν γίνεσθαι ἁπλῶς, τινὰ δὲ ἄνθρωπον γίνεσθαί φασι. καὶ δῆλον δὲ ὧν καὶ φθείρονται πάντα τὰ μερικά. ἐπεὶ οὖν γίνεται ἥδε ἡ ἡμέρα, ἢ ὅδε ὁ ἐνιαυτὸς, δεῖ πάντως ἐν χρόνῳ γίνεσθαι, εἴγε πᾶν ἁπλῶς τὸ γινόμενον, ἐν χρόνῳ γίνεται. δεῖ οὖν ἄλλον εἶναι χρόνον ἐν ᾧ ἡ ἡμέρα γενήσεται. ἔσονται οὖν ἅμα δύο χρόνοι. οἷον ἡμέραι δύο. καὶ τίς ἡ πρὸς ἄλληλα αὐτῶν διαφορά. ἀλλὰ ταῦτα καὶ λέγειν γέλωτος ἄξια. ὅτι δὲ οὐ δέδεικται ἐξ ἀνάγκης ἀΐδιος οὖσα ἡ κίνησις, ἱκανῶς ἐν τοῖς σχολίοις τοῦ ὀγδόου τῆσδε τῆς πραγματείας ἐδείξαμεν. ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν. διαιρῶν τοὺς περὶ τοῦ ἀπείρου λόγους ὁ Ἀριστοτέλης, διαίρεσιν τῶν ὄντων παραδίδωσι τοιαύτην. τῶν ὄντων φησὶ τὰ μέν ἐστι δυνάμει, τὰ δὲ ἐνεργείᾳ. καὶ τῶν δυνάμει τὰ μὲν, οὕτως ἐστὶν, ὡς δύνασθαι ποτὲ ὅλα δι' ὅλων ἐκβῆναι εἰς ἐνέργειαν, καὶ παντελῶς ἀπολέσαι τὸ δυνάμει. τὰ δὲ ἃ μηδέποτε τελείως ἀπολύσει τὸ δυνάμει, ἀλλ' ἐν τούτῳ ἕστηκεν ἐν ᾧ ἀεὶ δυνάμει. παράδειγμα τοῦ μὲν προτέρου, ὁ δυνάμει γραμματικὸς γενόμενος ἐνεργείᾳ. τοῦ δὲ δευτέρου, ὡς ὅταν λέγωμεν δυνάμει εἶναι τὴν ὕλην πάντα. τοῦτο γὰρ οὐδέποτε ὅλη δι' ὅλης ἐνεργείᾳ γίνεται, ὥστε μηκέτι μηδὲν ἔχειν δυνάμει. κἂν γὰρ ἓν εἶδος δέξηται, τὰ ἄλλα πάντα δυνάμει ἐστί. πάλιν, τῶν ἐνεργείᾳ, τὰ μὲν οὕτως ἐστὶν, ὡς ὅλα δι' ὅλων ἀπολαβεῖν τὴν ἐνέργειαν. τὰ δὲ μὴ οὕτως, ὥσπερ λέγομεν τὴν ἡμέραν ἐνεργείᾳ παρεῖναι, καὶ τὸν ἀγῶνα, οὐ τῷ ἅμα ὅλην εἶναι τὴν ἡμέραν, ἀλλὰ τῷ κατὰ μέρος. ὁμοίως καὶ τὸν ἀγῶνα τὸ πυγμὴν εἶναι, ἢ πάλην, ἢ ἄλλον τινὰ ἆθλον. τούτων οὕτως ὄντων ὅτι μὲν κατὰ μέγεθος οὐκ ἔστιν τὸ ἄπειρον σῶμά τι ὂν ἀδιεξίτητον τῷ μεγέθει, ἱκανῶς δέδεικται. ἔστι δὲ τὸ κατὰ διαίρεσιν, καὶ τὴν ἀντεστραμμένην ταύτῃ πρόσθεσιν ἄπειρον. φαμὲν γὰρ τὰ συνεχῆ, δυνάμει ἐπ' ἄπειρον εἶναι διαιρετά. οὐχ οὕτω δὲ δυνάμει, ὥσπερ τὸν χαλκὸν λέγομεν δυνάμει ἀνδριάντα εἶναι ἐσόμενον ποτὲ ἐνεργείᾳ ἀνδριάντα. οὐ γὰρ ἂν γένοιτό ποτε ἄπειρον ἐνεργείᾳ. ἐπὶ μὲν γὰρ τοῦ χαλκοῦ, καὶ τοῦ ἀνδριάντος παύεται ἡ δύναμις ἐπελθούσης τῆς ἐνεργείας. ὁ γὰρ γενόμενος ἀνδριὰς, οὐκέτι ἔχει δύναμιν ἀνδριὰς γενέσθαι. λέγεται γὰρ ἐπὶ τῶν τοιούτων τὸ δυνάμει πρὸς τὸ ἐνεργείᾳ. διόπερ οἷόν τε τὸ δυνάμει προσλαβεῖν εἰς τὴν ἐνέργειαν εἰς ἣν καὶ λέγεται. ἐφ' ὧν δὲ τὸ εἶναι ἐν τούτῳ ἐστὶν ἐν τῷ δυνάμει εἶναι, ἀδύνατον ποτὲ προσλαβεῖν εἰς τὴν τοιαύτην ἐνέργειαν, ὡς ἀποβαλεῖν πάντῃ τὸ δυνάμει. ὥσπερ καὶ ἐπὶ τῆς ὕλης ἔχει. λέγεται γοῦν πάντα δυνάμει εἶναι. ἀλλ' οὐδέποτε πρόεισιν εἰς τὴν τοιαύτην ἐνέργειαν, ὡς πάντῃ τῷ δυνάμει ἀφανίσαι. ὡσαύτως καὶ ἐπὶ τοῦ ἀπείρου ἔχει. λέγεται γὰρ τὸ μέγεθος ἐπ' ἄπειρον εἶναι διαιρετὸν, οὐχ ὡς ἐκβησομένου ποτὲ τούτου, ἀλλ' ὡς ἀεὶ ἐν γενέσει θεωρουμένου. ταυτὸν οὖν τὸ δυνάμει, καὶ ἐνεργείᾳ εἶναι ἐπὶ τοῦ ἀπείρου. ἀλλ' ἐνεργείᾳ οὕτως, ὥσπερ φαμὲν ἐνεργείᾳ εἶναι τὸν ἀγῶνα, καὶ τὴν ἡμέραν, οὐ τῷ πᾶσαν ἐκβεβηκέναι, ἀλλὰ κατὰ μέρος γίνεσθαι. οὕτως οὖν καὶ τὸ ἄπειρον ἐνεργείᾳ, ὡς ἀεὶ μέν τι μέρος αὐτοῦ παρεῖναι, ἀεὶ δὲ τοῦ ληφθέντος ἔξω δύνασθαι λαβεῖν ἕτερον. εἴ τις οὖν ἐντελεχείᾳ οὕτως βούλεται εἶναι τὸ ἄπειρον, ὡς εἶδός τι ὂν, καὶ μορφὴν, καὶ πᾶν εἰλῆφθαι, οὗτος οὐδὲν ἄλλο, ἢ πέρας ζητεῖ τοῦ ἀπείρου, μᾶλλον δὲ φθοράν. εἰ γὰρ τὸ ἐπ' ἄπειρον διαιρετὸν ὅλον ἅμα παρεῖναι βούλεται τῷ μεγέθει, ὡς μηδὲν ὑπολείπεσθαι ἔτι ὃ δύναιτο διαιρεθῆναι, ἔφθειρε τὸ ἐπ' ἄπειρον διαιρετόν. ὥστε ἡ τοιαύτη ἐντελέχεια φθορά ἐστι τοῦ οὗ ἐστιν ἐντελέχεια. τοῦτο δὲ ἀδύνατον. πᾶσα γὰρ ἐντελέχεια σώζειν ὀφείλει τὸ ὑποκείμενον. ὥσπερ τοίνυν τὴν τοῦ κινητοῦ ἐντελέχειαν, ᾗ κινητὸν, φυλάττουσαν ἐπιδείκνυμεν τὴν δύναμιν τοῦ κινεῖσθαι, οὕτως ἡ ἐντελέχεια τοῦ ἀπείρου καὶ τελειότης τὸ δύνασθαι ἀεὶ προσωτέρω ἰέναι, καὶ μὴ ἐπιλιπεῖν. εἰ δὲ παύσαιτό ποτε ἡ δύναμις αὕτη. παύσεται παραχρῆμα καὶ τὸ ἄπειρον εἶναι. καθάπερ γὰρ οἷς ἐν τῷ γίνεσθαι τὸ εἶναί ἐστι, ταῦτα παυόμενα τοῦ γίνεσθαι, οὐδ' ἔστιν, ἔτι ὡς ὁ ἀγὼν, καὶ ἡ ἡμέρα, καὶ ὁ χρόνος, καὶ ἡ φλὸξ, οὕτως ἂν ἡμῖν, ὅτι δύναται τὸ μέγεθος ἐπ' ἄπειρον διαιρεῖσθαι, ἐνεργείᾳ τις ἐκβεβηκέναι τὸ ἄπειρον βούλοιτο, εὐθὺς ἔφθειρε τὸ ἐπ' ἄπειρον διαιρετόν. τὸ γὰρ ἄπειρον, οὐδέποτε ἀποπεραιοῦται. εἰ γὰρ ἀποπερατώσεις τὰς τομὰς πεπερασμένας, οὐκ ἀπείρους ἐποίησας. οὐ γὰρ φαμὲν εἰς ἄπειρα διαιρετὸν εἶναι τὸ μέγεθος, ἀλλ' ἐπ' ἄπειρον διαιρετόν. ταῦτα δὲ πλεῖστον διαφέρει. τὸ μὲν γὰρ εἰς ἄπειρα διαιρεῖσθαι ἀδύνατον. ἄλλο γὰρ ἑαυτοῦ ἐστι διαιρετικόν. ὃ γὰρ διῄρηται, οὐκ εἰς ἄπειρα πάντως. διεξελθεῖν γὰρ τὸ ἄπειρον ἀδύνατον. πᾶν δὲ τὸ διεξιτητὸν, εὐθὺς καὶ πεπερασμένον. καὶ ἄλλως δὲ εἰς ἄπειρα διαιρεῖται, καὶ σύγκειται ἐξ ἀπείρων. τὸ δὲ ἐξ ἀπείρων συγκείμενον ἄπειρον. τοῦτο δὲ ὅτι ἀδύνατον εἶναι, ἀρτίως ἐπαυσάμεθα λέγοντες. τὸ δὲ διαιρεῖσθαι ἐπ' ἄπειρον, οὐδὲν κωλύει, ἀεὶ τέμνεσθαι δυναμένου τοῦ λοιποῦ. δυνατὸν δὲ τὸ δυνάμει, καὶ τὸ ἐνεργείᾳ. θεωρεῖσθαι ἐπὶ τοῦ ἀπείρου οὕτως, ὥσπερ καὶ ἐπὶ τοῦ δυνάμει ἀνδριάντος καὶ τοῦ ἐνεργείᾳ. ὅτε γὰρ μήπω ἤρξατο διαιρεῖσθαι, οὕτως ἐστὶ δυνάμει ἐπ' ἄπειρον δυνάμει, ὡς ὁ χαλκὸς δυνάμει ἀνδριάς. ὅταν δὲ ἀρχὴν λάβῃ ἡ διαίρεσις, τότε γίνεται ἐνεργείᾳ ἐπ' ἄπειρον διαιρετὸν, ὡς ὁ χαλκὸς ἐνεργείᾳ ἀνδριάς. πλὴν οὐχ ἅμα ὡς ἐπὶ τοῦ χαλκοῦ τὸ ἐνεργείᾳ, ἀλλ' ὡς ἐπὶ τοῦ ἀγῶνος, καὶ τῆς ἡμέρας, καὶ τῆς [illegible] κατὰ μέρος παρεῖναι. μηδεὶς οὖν ζητείτω τὴν ἐντελέχειαν τοῦ ἀπείρου τοιαύτην ὡς κλίνης, καὶ οἰκίας. ἀλλ' ὡς εἶπον, τοῦ ἀγῶνος, καὶ τῆς ἡμέρας. οὐ γὰρ ὡς ἀθρόαν, οὐδ' ὡς ἅμα δυναμένην γενέσθαι.

οὕτως ἔχειν ἀνάγκη, καὶ τὴν κίνησιν. εἰ οὖν μήτε τῶν κινουμένων σωμάτων, μήτε τὴν κατὰ κύκλον ἐνδέχεται τὴν κίνησιν ἄπειρον εἶναι, δῆλον ὅτι οὐδὲ ἄπειρον τόπον εἶναι ἐνδέχεται, οὐδὲν ἄρα σῶμα ἄπειρόν ἐστι. ταῦτα εἰπὼν, καὶ διὰ πάντων τούτων δείξας, ὅτι ἀδύνατον σῶμά τι ἐνεργείᾳ ἄπειρον εἶναι, ἐφεξῆς εἰς τὸ ἐναντίον ἐπιχειρεῖ. εἰ γάρ φησι μηδαμῆ μηδαμῶς εἴη τὸ ἄπειρον, πολλὰ ἀδύνατα συμβαίνει, ὥσπερ καὶ πρότερον εἶπεν. οὔτε γὰρ χρόνος φησὶν ἀΐδιος ἔσται. τὸ γὰρ λέγειν ὡς ἤρξατό ποτε ὁ χρόνος γενέσθαι, οὐδὲν ἄλλο λέγειν ἐστὶν, ἢ ὅτι χρόνος ἦν ὅτε χρόνος οὐκ ἦν. πάντα γὰρ τὰ γινόμενα ἐν χρόνῳ γίνεται, καὶ τὸ ποτὲ χρόνου κατηγορεῖται. δείκνυται δὲ καὶ κίνησις οὖσα ἀΐδιος, ἧς παρακολούθημα ὁ χρόνος. ἐν μὲν οὖν τοῦτο ἄτοπον μὴ παραδεχομένοις μηδαμῶς τὸ ἄπειρον. ἕτερον δὲ, ὅτι οὐκ ἔσονται τὰ συνεχῆ ἐπ' ἄπειρον διαιρετά. καὶ τρίτον, ὅτι οὐκ ἀπολείψει αὐξόμενος ὁ ἀριθμός. εἰ τοίνυν φησὶ καὶ οἱ ἀνασκευάζοντες τὸ ἄπειρον λόγοι, καὶ οἱ εἰσάγοντες ἀληθεῖς, διαιτητοῦ χρήζουσι τοῦ διαιτήσοντος ἐναντίοις λόγοις, καὶ δείξοντος κατὰ τί μὲν ἀληθεῖς εἰσὶ κατὰ τί δὲ οὔ. εἰ γὰρ μὴ κατά τι μὲν ὑπῆρχε τὸ ἄπειρον, κατά τι δὲ οὐχ ὑπῆρχεν, οὐκ ἂν ἔδοξεν ἑκάτερος τῶν λόγων ἀληθὴς εἶναι. ταῦτα εἰπὼν, ἐφεξῆς διαιτᾷ τῷ λόγῳ διαίρεσιν τῶν ὄντων ποιούμενος.

ΠΑΡΕΚΒΑΣΙΣ.

Α Ἀλλὰ πρότερον τὰ περὶ τοῦ χρόνου ῥηθέντα ἐπισκεψόμεθα. εἰ τῷ λέγειν ὅτι ἦν ποτε ὅτε οὐκ ἦν χρόνος ἄτοπόν τι ἀκολουθεῖ, τὸ εἶναι χρόνον ὅτε οὐκ ἦν χρόνος, καὶ διὰ τοῦτο ψευδής ἡ ἀπόφασις αὕτη, διότι καὶ τὸ ἦν, καὶ τὸ ποτὲ χρονικὰ προσρήματα λέγομεν ὑπάρχειν περὶ τοῦ χρόνου, ἀνάγκη δήπου τὴν κατάφασιν ταύτην ἀληθῆ ὑπάρχειν, καὶ μηδὲν αὐτὴν ἐπεσθαι ἄτοπον λέγω δὴ τὴν λέγουσαν ὅτι ἦν ποτε ὅτε ἦν χρόνος. ἐπὶ παντὸς γὰρ ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθής. ἀλλ' ἐπεὶ τὸ ποτὲ, καὶ τὸ ἦν χρόνου ἐστὶ δηλωτικὸν, οὐδὲν ἄλλο λέγει ἡ κατάφασις ἢ ὅτι ἦν χρόνος ὅτε ἦν χρόνος. τίς οὖν τῶν χρόνων τούτων ἡ διαφορά, τοῦ τε ὄντος, καὶ τοῦ ἐν ἐκείνῳ ὄντος, οὐδὲ βουλομένοις πλάσαι δυνατόν. ὥσπερ γὰρ εἴ τις εἴποι, ἦν ποτε ὅτε ἦν σωκράτης, εἶπεν ἕτερόν τι τὸν χρόνον, καὶ ἕτερον τὸν σωκράτην τὸν ἐν τῷ χρόνῳ γενόμενον, οὕτω δήπου καὶ ὅταν εἴπῃ, ἦν ποτε, ὅτε ἦν χρόνος, ἕτερον ἐν ἑτέρῳ φησὶν εἶναι χρόνον. δεῖ οὖν τὸν μὲν ὑποκεῖσθαι τὸν δὲ ἐν ἐκείνῳ εἶναι. εἰ δέ τις ἐρεῖ ὅτι ἐπὶ τοῦ αὐτοῦ φέρει τὸ ἦν καὶ τὸ ποτὲ, καὶ τὸ χρόνος, ἴστω μὲν τὸν γέλωτα ὀφλισκάνων, καὶ τὴν κατάφασιν ἀναιρῶν τὸ αὐτὸ ποιῶν ὑποκείμενον, καὶ κατηγορούμενον. ὥσπερ γὰρ εἴ τις λέγοι ὅτι ἦν σωκράτης, ὅτε ἦν σωκράτης, καταγέλαστος ἂν εἴη, ὁ κατάφασιν λέγων, ἐν ᾗ πάντως δεῖ τὸν ὑποκείμενον ὅρον ἕτερον εἶναι τοῦ κατηγορουμένου, ἀλλὰ μένει καὶ τὴν αὐτὴν φωνὴν αὐτὴν εἰς ἑαυτὴν κυκλουμένην, οὕτω δήπου ὁ λέγων, ὅτι ἦν ποτε ὅτε ἦν χρόνος, εἰ νομίζει τὸν αὐτὸν ἐν τῷ ὑποκειμένῳ χρόνον λαμβάνειν καὶ ἐν τῷ κατηγορουμένῳ, τὸν αὐτὸν ὀφλήσει γέλωτα. καὶ ἄλλως, εἰ ἡ κατάφασις, καὶ ἡ ἀπόφασις τοὺς αὐτοὺς ὅρους ἔχουσιν ἀπαραλλάκτως, ἐπὶ δὲ τῆς ἀποφάσεως τὸ ἦν, καὶ ποτὲ χρόνον ἐξειλήφασι προϋπάρχοντα τοῦ χρόνου, τοὺς αὐτοὺς δήπου καὶ ἐν τῇ καταφάσει φυλακτέον. ἔσται οὖν χρόνος ἐν ᾧ ἕτερός τις ὑπῆρχε χρόνος. τίς οὖν ἐστιν. ἀλλ' ἀδύνατον. ὅσα οὖν ἐπὶ τοῖς σημείοις τούτοις συλλογισμοῖς, ψευδὴς ἔσται ἡ ἀπόφασις, ἐπειδὴ καὶ τῇ ἀποφάσει καὶ τῇ καταφάσει ἄτοπόν τι ἠκολούθησεν. αἴτιον δέ ἐστι τῆς πλάνης γέγονε τὸ μὴ συνιδεῖν, ὅτι ἀδύνατον ἐστὶ κατηγορηθῆναί τι τινὸς ἐκτὸς χρονικῆς τινος ἐμφάσεως διὰ τὴν ἀσθένειαν τὴν ἡμετέραν οὐδὲ ἐπὶ αὐτῶν τῶν θείων. πῶς δὲ καὶ οὐ καταγέλαστον τὸ νομίζειν ὅτι τὸ ἦν, καὶ τὸ ἐστι, πάντως ἐπὶ χρόνου κατηγορεῖται, οὐχὶ δὲ καὶ ἐπὶ ὑπάρξεως, ὡς ὅταν λέγω ὅτε ἦν σωκράτης ἦν τὸ λύκειον, εἰ καὶ συνεμφαίνεταί πως ὁ χρόνος. λέγομεν δήπου καὶ θεὸν εἶναι, καὶ οὐ δήπου χρόνον αὐτοῦ κατηγοροῦμεν. κἂν λέγωσι τὸ ἐπὶ θεοῦ εἶναι ἀντιδιαστέλλεσθαι πρὸς τὰ λοιπὰ μέρη τοῦ χρόνου, ἀλλ' οὖν γε ἡ φωνὴ αὕτη πρὸς ἀντιδιαστολὴν τοῦ ἦν καὶ τοῦ ἔσται λέγεται. ἀλλ' ὅμως ἡ διάνοια διορθοῦται τὴν τῆς φωνῆς ἀσθένειαν. οὕτως οὖν καὶ ὅταν λέγω ὅτι ἦν ὅτε οὐκ ἦν χρόνος. τὸ γὰρ ποτὲ ὡς μᾶλλον κατηγορηθῆναι δυνάμενον σιωπῶ, τὸ δὲ ἦν ἐπὶ τινος ὑπάρξεως οὐ χρόνου φέρω, ὅτι ἦν φέρε ἀπεῖρον αἰὼν, ἢ ἄλλαι τινὲς οὐσίαι θεῖαι. καὶ διορθοῦμαι τὴν ἀσθένειαν τῆς φωνῆς τοιῷδέ τρόπῳ, ἐπειδὴ τὸ ἦν ἐν μέν ἐστι κατὰ τὴν φωνὴν, τῷ δὲ λόγῳ οὐχ ἕν. σημαίνει μὲν γὰρ καὶ τὴν ὕπαρξιν οὗ ἂν κατηγορῆται πράγματος. σημαίνει δὲ καὶ χρόνου τι μόριον τὸ παρεληλυθός. ὅσον μὲν γὰρ αὐτοῦ ὕπαρξιν δηλοῖ, τοῦτο λαμβάνω. ὅσον δὲ χρονικὸν τμῆμα, οὐκέτι. ὥσπερ οὖν καὶ ἐπὶ τοῦ ἐστι, τὸ μέν φασι σημαίνειν τὸ ἀδιάστατον, ὃ καὶ ἐπὶ θεοῦ κατηγορεῖται, τὸ δὲ χρόνου τι μέρος, καίτοι τῆς φωνῆς αὐτῆς καθ' αὑτὴν τὸ τμῆμα τοῦ χρόνου σημαινούσης, ὅμως ἐκ τῶν ὑποκειμένων καθ' ὧν κατηγορεῖται τὴν διαστολὴν τῶν σημαινομένων ἐποιησάμεθα, οὕτω φημὶ καὶ ἐπὶ τοῦ ἦν, ἐπεὶ σημαίνει καὶ χρόνον, καὶ ὕπαρξιν, ὅταν λέγω ὅτι ἦν ὅτε οὐκ ἦν χρόνος, τὸ ἦν ὑπάρξεως τινὸς οὐ χρόνου κατηγορῶ. δυνατὸν δὲ καὶ τὰς καταγελαστοὺς ταύτας κακοπραγμοσύνας ἐκφεύγειν λέγοντας οὐκ ἦν ἀεὶ χρόνος. δυνατὸν μὲν οὖν ἦν ἐπὶ πλεῖον τὸ ἄτοπον τούτων τῶν λόγων ἐλέγξαι, ἀλλ' ὡς ἐν παρεκβάσει ἱκανὰ καὶ ταῦτα, τὸ δὲ λέγειν ὅτι πᾶν τὸ γενόμενον, ἐν χρόνῳ γίνεται καὶ τοῦτο ψεῦδος. γενόμενον δὲ λέγω πᾶν ἁπλῶς τὸ πρότερον μὲν μὴ ὂν, ὕστερον δὲ ὄν. ὅτι δὲ ἀπαιτεῖ ταῦτα [illegible], αὐτὸς ὁ ἀριστοτέλης ἐν τοῖς τελευταίοις ταύτης τῆς πραγματείας δείκνυσι. τοιαῦτα δέ ἐστι τὰ σημεῖα, αἱ ἁφαί, οὐ μόνον, ἀλλὰ καὶ τὰ εἴδη πάντα. ἀχρόνως γὰρ καὶ ἐγγίνεται τοῖς ὑποκειμένοις καὶ

ἔσται κάτω, εἰ δὲ κοῦφον ὅλον ἄνω ἢ κάτω, ὡς σαφὲς ἔχον τὸ ἄτοπον, οὐδὲ κατασκευάζει. πρῶτον μὲν
ὅτι βαρέα ἐστὶ τὰ σώματα, ἀλλὰ καὶ κοῦφα. ἔπειτα εἰ μόνον τὸν ἄνω καθέξει τόπον, ἐλλείψει ὁ κά-
τω, εἰ δὲ τὸν κάτω, ἐλλείψει ὁ ἄνω. πῶς οὖν ἄπειρον ὃ ἅμα πάντας περιλαμβάνει τόπους, κατασκευά-
ζει. μᾶλλον δὲ ἀπάγει εἰς ἄτοπον τὴν ὑπόθεσιν τὴν λέγουσαν, τὸ μὲν αὐτοῦ εἶναι βαρύ, τὸ δὲ κοῦφον.
εἰ γὰρ τὸ μὲν αὐτοῦ εἴη βαρύ, τὸ δὲ κοῦφον, τὸ μὲν ἔσται ἄνω, τὸ δὲ κάτω. πῶς οὖν διέλῃς φησὶ τὸ ἄπειρον
ἵνα καὶ ἀποδῷς μόριον ἑκατέρῳ; πότερον τὸ μὲν ἥμισυ βαρὺ ἐρεῖς, τὸ δὲ ἥμισυ κοῦφον, ἢ ὁποσονοῦν ἄλ-
λως. καὶ πῶς οἷόν τε, τοῦ ἀπείρου ἥμισυ, ἢ δίμοιρον λαβεῖν, ἢ ὅλως μόριον; ἔπειτα πῶς δυνατὸν ὅλως
ἐν τῷ ἀπείρῳ εἶναι τὸ ἄνω καὶ κάτω. πόθεν γὰρ ἀρξάμενος μέχρι τίνος ἀφοριεῖς τὸ ἄνω, καὶ τὸ κάτω
ὁμοίως. ἀδύνατον γὰρ τοῦτο ἐπὶ τοῦ ἀπείρου. καὶ εἰ ὅλως ἔχει τὸ ἄνω καὶ κάτω, ἕξει τὰ ἔσχατα. ἔσχατα
γὰρ ταῦτα. εἰ δὲ ἔχει ἔσχατον, οὐκ ἂν εἴη ἄπειρον. δυνατὸν δὲ ἐνταῦθα εἰπεῖν ἅπερ καὶ ἐπὶ τῶν δυνάμε-
ων, ὅτι ἢ καὶ πεπερασμέναι ἔσονται, ἢ ἄπειροι. καὶ ἥξουσιν οἱ πρότερον λόγοι. πρῶτον μὲν οὖν ἐπι-
χείρημα τοῦτο. δεύτερον δὲ πάλιν ἀπὸ τῶν τόπων. πᾶν φησι φυσικὸν σῶμα ἐν τόπῳ ἐστί, τόπου δὲ δια-
φοραὶ ἕξ. κυριώτατοι μὲν τῶν τόπων δύο, ὁ ἄνω, καὶ ὁ κάτω. ἕτεροι δὲ παρὰ τούτους δ'. ἔμπροσθεν ὄ-
πισθεν, δεξιὰ ἀριστερά. πρῶτον δὲ εἶπον τὸν ἄνω καὶ κάτω, διότι συναναιροῦσι, καὶ οὐ συναναιροῦνται.
μὴ ὄντων γὰρ τούτων, οὐδὲ οἱ λοιποὶ εἶναι δύνανται. ἐκείνων δὲ μὴ ὄντων, τούτοις οὐδὲν κωλύει εἶναι.
ὄντος μὲν γὰρ πλάτους, ἢ βάθους, ἀνάγκη πᾶσα καὶ μῆκος εἶναι. μήκους δὲ ὄντος, οὐκ ἀνάγκη καὶ τὰ λοι-
πά. δείκνυσι δὲ ταῦτα ἐν τῇ περὶ οὐρανοῦ πραγματείᾳ ἀκριβέστερον. ἓξ οὖν αἱ διαφοραὶ τοῦ τόπου, καὶ
αὗται φύσει οὐδὲ μόνον θέσει εἰσί, καὶ πρὸς τὴν ἡμετέραν σχέσιν, ἀλλὰ καὶ ἐν τῷ παντὶ κατὰ φύσιν εἰσί.
καὶ ὁ μὲν ἄνω καὶ κάτω, προφανῶς. δεξιὰ δὲ καὶ ἀριστερά, ἐν μὲν τοῖς μερικοῖς πρόδηλος. φύσει γὰρ τὰ
μὲν τῶν μορίων ἐστὶ δεξιά, τὰ δὲ ἀριστερά. καὶ ἐν τῷ παντὶ δὲ δεξιὰ μὲν τὰ ἀνατολικά, ὡς ἄρχοντα τῆς
κινήσεως, ἀριστερὰ δὲ τὰ ἐναντία. οὕτω καὶ ὁ ποιητὴς αὐτὰ καλεῖ. φησὶ γὰρ εἴτ' ἐπὶ δεξιὰ ἴωσι πρὸς ἠῶ
τ' ἠέλιόν τε. εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα. ταῦτα μὲν οὖν δεξιά, καὶ ἀριστερά. κατ' ἀνα-
λογίαν δὲ ἔμπροσθεν μὲν τὰ βόρεια, ὄπισθεν δὲ τὰ νότια. ἀνάγκη οὖν εἰ ἐστὶ σῶμα ἄπειρον, ἐν τόπῳ
εἶναι τοῦτο. ἐν τόπῳ δὲ ὄν, κατὰ ταύτας τὰς διαστάσεις διεστάναι. ἀδύνατον δὲ ἐν τῷ ἀπείρῳ σώματι
ταύτας λαβεῖν τὰς διαφοράς. τί γὰρ τῶν τοῦ ἀπείρου τινὶ τῶν τόπων ἀφοριεῖς. εὐθὺς γὰρ ἀνάγκη πεπε-
ρασμένον εἶναι συνδιαιρούμενον κατὰ μόρια ταῖς τῶν τόπων διαφοραῖς. ἢ γὰρ τινὰ τῶν μορίων ἄπειρα
ἔσονται, τινὰ δὲ πεπερασμένα, ἢ πάντα ἄπειρα, ἢ πάντα πεπερασμένα. καὶ εἰ μὲν πάντα πεπερασμένα, καὶ
τὸ ἐκ πάντων ἄρα πεπέρασται. εἰ δὲ τῶν λοιπῶν θάτερον εἴη, ἢ πολλαπλασιασθήσεται τὸ ἄπειρον, ἢ αὐξηθή-
σεται. τρίτον, πᾶς τόπος φύσει πεπέρασται. πέρας γάρ ἐστι τοῦ περιέχοντος. εἰ οὖν πᾶν σῶμα ἐν τόπῳ, πᾶς δὲ
τόπος πεπέρασται πᾶν ἄρα σῶμα πεπέρασται. καὶ ἀποφατικῶς, εἰ πᾶν σῶμα ἐν τόπῳ, τόπος δὲ ἄπει-
ρος οὐκ ἔστιν, οὐδὲν ἄρα σῶμα ἄπειρόν ἐστι. τέταρτον τίθησιν ἐπιχείρημα τοιοῦτον. ἐφ' ὧν φησὶ τὸ γένος
κατηγορεῖται, ἀνάγκη πᾶσα καὶ τῶν εἰδῶν τι κατηγορεῖσθαι. οὐδὲν γάρ ἐστι γένος τι αὐτὸ καθ' αὑτό,
ἀλλ' ἐν τοῖς εἴδεσι θεωρεῖται. οὐδὲ ἔστι ζῶόν τι ὃ μὴ πάντως ἄνθρωπός ἐστιν, ἢ ἵππος, ἢ ἕτερόν τι τῶν
κατ' εἶδος ζώων. οὐκοῦν εἰ ἐν τόπῳ τὸ ἄπειρον, πάντως καὶ ἔν τινι τῶν τοῦ τόπου εἰδῶν ἔσται, ἢ ἐν τῷ κά-
τω, ἢ ἐν τῷ ἄνω, ἢ ἔν τινι τῶν ἄλλων. οὐ γὰρ ἔστι τόπος τις παρὰ τοὺς εἰρημένους. δέδεικται δὲ πολλάκις
ὅτι ἀδύνατον τὸ ἄπειρον ἔν τινι τούτων εἶναι. οὕτω μὲν οὖν ἐνταῦθα. ἐν δὲ τῇ περὶ οὐρανοῦ πραγματείᾳ
πολλοῖς ἐπιχειρήμασι κατασκευάζει, ὅτι οὐδὲ τὴν κύκλῳ κίνησιν ἐνδέχεται ἄπειρον εἶναι, ἐπεὶ μηδὲ
αὐτὸν τὸν κύκλον. ἐξ ὧν δύο ἢ τρία μνημονεύσομεν, ὅσα εἰς νόησιν ἐστὶ προχειρότερα, καὶ τοῖς μὴ διὰ γεωμε-
τρικῆς ἠγμένοις θεωρίας. δέδεικται οὖν ἐν γεωμετρίᾳ, ὅτι ἐὰν δύο εὐθεῖαι ἀπὸ ἑνὸς σημείου ἐκβληθ-
ῶσιν ἐπ' ἄπειρον, τὸ μεταξὺ αὐτῶν διάστημα, ἐπ' ἄπειρον αὐξηθήσεται. καὶ εἰ γινομένας κατ' ἐνέρ-
γειαν ἀπείρους νοεῖς τὰς εὐθείας, καὶ τὸ μεταξὺ αὐτῶν διάστημα κατ' ἐνέργειαν ἄπειρον ἔσται. τούτου
οὕτως ἔχοντος, ἐὰν νοήσῃς ἀπὸ τοῦ κέντρου τῆς γῆς δύο εὐθείας ἐκβαλλομένας μίαν μὲν ἐπὶ τὸ μεσου-
ράνισμα, ἑτέραν δὲ ἐπὶ τὴν ἀνατολήν, εἰ μὲν τὸ μεταξὺ αὐτῶν διάστημα ἄπειρον εἴη, ἐπειδὴ ἐν ἓξ ὥραις
τὴν τοιαύτην διάστασιν κινεῖται ὁ ἥλιος, λέγω τὴν ἀπὸ τῆς ἀνατολῆς ἐπὶ τὸ μεσουράνισμα, ἐν πεπερα-
σμένῳ χρόνῳ ἄπειρον διάστημα κινηθήσεται. ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄπειρον τὸ μεταξὺ τῶν εὐθειῶν
διάστημα, ἀλλὰ πεπερασμένον. τὰ αὐτὰ δὲ πάλιν συμβήσεται, κἂν εἰ ἀπὸ τοῦ κέντρου ἐπὶ τὸ μεσουρά-
νισμα, καὶ ἐπὶ τὴν δύσιν δύο εὐθείας ἐκβάλωμεν. οὐκοῦν καὶ τὸ ἀπὸ τοῦ μεσουρανίσματος ἐπὶ τὴν δύ-
σιν πεπερασμένον ἔσται. τὰ αὐτὰ δὲ καὶ ἐπὶ τοῦ λοιποῦ ἡμισφαιρίου συμβαίνει. οὐκ ἄρα οὐδὲ τὴν κύκλῳ
κίνησιν ἐνδέχεται ἄπειρον εἶναι. δείκνυσι δὲ τὸ αὐτὸ καὶ οὕτως, ὥσπερ φησὶν οὐκ ἔστιν εἰπεῖν τρίγωνον ἄ-
πειρον, ἢ τετράγωνον, ἀλλὰ ᾧ εἰπεῖν ταῦτα, σχήματά τινα ἐννοῶ, τὸ μὲν ὑπὸ τριῶν, ὅρων τὸ δὲ ὑπὸ
τεσσάρων περατούμενον, οὕτως οὐδὲ κύκλον ἄπειρον οἷόν τε λέγειν, οὐδὲ ἁπλῶς σχῆμα. αὐτὴ γὰρ τοῦ
σχήματος ἡ ἔννοια, ὅρου καὶ πέρατός ἐστι σημαντική. εἰ οὖν μηδὲ κύκλον εἰπεῖν ἄπειρον ἐνδέχεται,
πολλῷ μᾶλλον οὐδὲ ἡ κατὰ κύκλον κίνησις ἄπειρος ἔσται. ὡς γὰρ ἔχει τὸ ἐφ' ᾧ γίνεται ἡ κίνησις,

ἀποδοθῆναι. ὅλως δὲ εἰ τὸ ἄπειρον πέφυκεν ἐν ἑαυτῷ εἶναι, καὶ αὐτὸ ἑαυτοῦ εἶναι τόπον, ἔδει καὶ τῶν μερῶν ἕκαστον αὐτὸ ἑαυτοῦ εἶναι τόπον, καὶ ἐν ἑαυτῷ εἶναι. ὁμοειδεῖς γὰρ οἱ τόποι τοῦ τε ὅλου, καὶ τοῦ μέρους ὡς ἤδη εἴρηται. εἰ τοίνυν τοῦ ἀπείρου τόπος τὸ ἐν ἑαυτῷ εἶναι, καὶ τοῦ μέρους αὐτοῦ ὁ αὐτὸς ἂν εἴη τόπος. τῆς δὲ ἀκινησίας αἴτιον, τὸ ἐν ἑαυτῷ εἶναι, καὶ αὐτὸν ἑαυτοῦ εἶναι τόπον, καὶ τὰ μέρη αὐτοῦ σὺν τοῖς ὅλοις τῷ ὅλῳ, οὐδὲν κωλύει τὸ μὲν πῦρ κάτω εἶναι, τὴν δὲ γῆν ἄνω. ἐν ἑαυτῷ γάρ ἐστιν ἑκάτερον τούτων, ὅπου δ' ἂν ᾖ, τοῦτο δὲ ἀδύνατον. οὐδ' ἄρα οὗτος κατὰ φύσιν τόπος τοῖς μέρεσι, οὐδὲ τῷ ὅλῳ ἄρα. ὁ γὰρ αὐτὸς κατ' εἶδος τοῦ ὅλου καὶ τοῦ μέρους, τοῦτο δὲ ὅτι ἐν αὐτῷ τοῦτο φησίν, ὅτι στηρίζει ἑαυτὸ τὸ ἄπειρον, ὅτι οὐκ ἐν τόπῳ ἐστὶν οὐδὲ ὑπὸ ἄλλου περιέχεται, ἀλλ' ἐν ἑαυτῷ ἐστι. ὡς ὅπου ἄν τι ᾖ πέφυκεν ἐνταῦθα εἶναι. τοῦτο ἀσυνακόλουθον φησίν. ὡς δὲ φησι παντὸς ὅπου δ' ἂν ᾖ, ἐκεῖ καὶ πεφυκότος εἶναι. οὕτω τοῦτό φησιν. εἰ γὰρ τὸ ἐν ἑαυτῷ εἶναι αἴτιον τῆς μονῆς, κἂν μὴ ἄνω τὸ πῦρ, ἀλλὰ κάτω, μένοι ἂν ἐν τῷ κάτω τόπῳ διὰ τὸ ἐν ἑαυτῷ εἶναι. τοῦτο ψεῦδος. ὡσαύτως καὶ ἡ κρεμαμένη βῶλος, οὐ πέφυκεν ἐν μετεώρῳ εἶναι, ἀλλὰ κάτω. εἰ οὖν μὴ κατὰ φύσιν ἦν ὁ ἑκάστου τόπος ἀφωρισμένος, οὐδὲν μᾶλλον τὴν γῆν καὶ τὸ πῦρ ἄνω ἢ κάτω μένειν ἔδει.

ΤΟ γὰρ ἐν ἑαυτῷ στηριζόμενον καὶ ἐν αὑτῷ ὄν, ἀκίνητον εἶναι ἀνάγκη. ἀλλὰ διὰ τί οὐ πέφυκε κινεῖσθαι, λεκτέον. οὐ γὰρ ἱκανὸν τὸ, οὕτως εἰπόντα, ἀπηλλάχθαι. εἴη γὰρ ἂν καὶ ὁτιοῦν ἄλλο, οὐ κινούμενον. ἀλλὰ πεφυκέναι οὐδὲν κωλύει. ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται. οὐδ' εἰ ἄπειρος ἦν, εἰργομένη μέντοι ὑπὸ τοῦ μέσου. ἀλλ' οὐχ ὅτι οὐκ ἔστιν ἄλλο οὗ ἐνεχθήσεται, μένει ἂν ἐπὶ τοῦ μέσου. ἀλλ' ὅτι οὐ πέφυκεν οὕτω. καίτοι ἐξείη ἂν λέγειν ὅτι στηρίζει ἑαυτήν. εἰ οὖν μηδ' ἐπὶ τῆς γῆς τοῦτο αἴτιον ἀπείρου οὔσης, ἀλλ' ὅτι βάρος ἔχει. τὸ δὲ βαρὺ μένει ἐπὶ τοῦ μέσου, ἡ δὲ γῆ ἐπὶ τοῦ μέσου, ὁμοίως καὶ τὸ ἄπειρον μένοι ἂν ἐν αὑτῷ διά τινα ἄλλην αἰτίαν. καὶ οὐχ ὅτι ἄπειρον καὶ στηρίζει αὐτὸ αὑτό.

Εἰ καὶ τοῦτό φησι δοθείη, τὸ ὑφ' ἑαυτοῦ στηριζόμενον, καὶ ἐν ἑαυτῷ ὄν, διὰ τὸ ὑπὸ μηδενὸς περιέχεσθαι, ἐξ ἀνάγκης ἀκίνητον εἶναι, καὶ διὰ τὸ μὴ ἔχειν ὅπου κινηθῇ, ἀλλὰ κἂν μὴ ἔχῃ ποῦ κινηθῇ, πεφυκέναι γε αὐτὸ κινεῖσθαι οὐδὲν κωλύει. ἔδει οὖν τῆς κατὰ φύσιν ἀκινησίας ἀποδοῦναι τὴν αἰτίαν, καὶ μὴ τὴν κατὰ βίαν, καὶ παρὰ φύσιν. ἐπεὶ καὶ ἡ γῆ οὐ φέρεται, οὐδ' εἰ ἄπειρος ἦν, εἰργομένη μέντοι ἀπὸ τοῦ μέσου, ὥσπερ φησίν, εἰ ἄπειρος ἦν ἡ γῆ, οὐ διὰ τὸ ἄπειρος εἶναι, καὶ μὴ ἔχειν ὅπου κινηθῇ, διὰ τοῦτο οὐκ ἐκινεῖτο, ἀλλ' ὅτι εἰργμένη ἐστὶν ἀπὸ τοῦ μέσου. καίτοι ἐξὸν ἦν λέγειν ὅτι διὰ τοῦτο ἀκίνητός ἐστιν, ὅτι στηρίζει ἑαυτὴν καὶ ὑπ' οὐδενὸς περιέχεται. ἀλλ' ἐλέγχει, τὸ μὴ εἶναι τῆς ἀκινησίας αὐτῇ αἴτιον τοῦτο τὸ [illegible], καὶ ἔχουσάν γε ποῦ κινηθῆναι, ὅμως μὴ κινεῖσθαι. οὕτως οὖν κἂν μὴ κινῆται τὸ ἄπειρον, λεκτέον φυσικὴν αἰτίαν τῆς ἀκινησίας αὐτοῦ. ἣν γὰρ ἀποδέδωκε τοῦ μεγέθους ἐστίν.

ἍΜΑ δὲ δῆλον, ὅτι κἂν ὁτιοῦν δέοι μέρος μένειν, ὡς γὰρ τὸ ἄπειρον ἐν ἑαυτῷ μένει στηρίζον, οὕτω κἂν ὁτιοῦν ληφθῇ μόριον, ἐν ἑαυτῷ μενεῖ. τοῦ γὰρ ὅλου καὶ τοῦ μέρους, ὁμοειδεῖς οἱ τόποι. οἷον ὅλης γῆς, καὶ βώλου, κάτω. καὶ παντὸς πυρὸς καὶ σπινθῆρος, ἄνω. ὥστε εἰ τοῦ ἀπείρου τόπος τὸ ἐν ἑαυτῷ, καὶ τοῦ μέρους ὁ αὐτός, μενεῖ ἄρα ἐν ἑαυτῷ.

Εἰ γὰρ αἴτιον τῷ ὅλῳ τῆς ἀκινησίας τὸ ἐν ἑαυτῷ εἶναι, τοῦτο καὶ τῷ μέρει ἔδει εἶναι ἀκινησίας αἴτιον. ὁ γὰρ αὐτὸς τόπος τοῦ ὅλου, καὶ τοῦ μέρους. εἰ μὲν οὖν καὶ τῷ μέρει κατὰ φύσιν ἐστὶ στηρίζειν ἑαυτό, πάντα ἂν ἀκίνητα ἦν. εἰ διὰ τὸ πεπηρῶσθαι τὸ μέρος διὰ τοῦτο κινεῖται, οὐδὲ τῷ ὅλῳ ἄρα κατὰ φύσιν ὑπάρχει τὸ ἀκίνητον, ἀλλὰ διὰ τὸ μὴ ἔχειν ποῦ κινηθῆναι.

ὍΛΩΣ δὲ φανερόν, ὅτι ἀδύνατον ἅμα ἄπειρον λέγειν σῶμα, καὶ τόπον τινὰ εἶναι τοῖς σώμασιν. εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει, ἢ κουφότητα. καὶ εἰ μὲν βαρύ, ἐπὶ τὸ μέσον ἔχει τὴν φορὰν φύσει. εἰ δὲ κοῦφον, ἄνω. ἀνάγκη γὰρ καὶ τὸ ἄπειρον σῶμα.

Δείξας ἐκ τῶν δυνάμεων, καὶ ἐκ τῶν τόπων ὅτι ἀδύνατον εἶναι ἄπειρον σῶμα. νῦν καὶ ἐκ τῶν ῥοπῶν αὐτὸ κατασκευάζει, καθὼς τὰ φυσικὰ σώματα κινοῦνται. δύο γὰρ εἴδη κινήσεων ἐν τῷ παντί, ἥ τε κατ' εὐθεῖαν, καὶ ἡ κύκλῳ. καὶ τῆς κατ' εὐθεῖαν, ἡ μὲν ἄνω ἡ τῶν κούφων. ἡ δὲ κάτω, ἡ τῶν βαρέων. ἐὰν οὖν δειχθῇ, ὅτι οὔτε τῶν κατ' εὐθεῖαν κινουμένων σωμάτων, οὔτε τῶν κύκλῳ, ἄπειρον καὶ μίαν κινεῖται κίνησιν, ἀλλὰ πᾶσα μία κίνησις πεπερασμένη, δῆλον ὅτι οὐδὲ τόπος ἄπειρος ἔσται. τόπου δὲ ἀπείρου μὴ ὄντος, οὐδὲ φυσικὸν σῶμα ἄπειρόν ἐστι. πᾶν γὰρ σῶμα ἐν τόπῳ. ἐνταῦθα μὲν οὖν δείκνυσι, ὅτι οὐκ ἔστιν κατ' εὐθεῖαν κίνησις ἄπειρος. ἐν δὲ τῇ περὶ οὐρανοῦ, ὅτι οὐδὲ κυκλοφορικὴν κίνησιν ἄπειρον εἶναι ἐνδέχεται. εἰ δὲ πᾶν σῶμα, ἢ κύκλῳ κινεῖται, ἢ κατ' εὐθεῖαν. ἀμφότεραι δὲ πεπερασμέναι, αἱ κινήσεις καὶ τὰ κινούμενα ἀνάγκη πεπερασμένα εἶναι. ὅπερ εἶπον ἐνταῦθα δείκνυσι, ὡς οὐχ οἷόν τε τῶν εὐθυφορικῶν σωμάτων ἄπειρον εἶναι, καὶ πρῶτον μὲν δείκνυσι δι' ὑποθετικοῦ συλλογισμοῦ. εἰ γάρ ἐστι φησὶν ἄπειρόν τι σῶμα αἰσθητόν, ἢ βάρος, ἢ κουφότητα ἔχει, ἀλλὰ μὴν ἀδύνατον βάρος ἔχειν, ἢ κουφότητα τὸ ἄπειρον σῶμα, οὐδὲ εἶναι ἄρα ὅλως δυνατὸν τὸ ἄπειρον σῶμα τῶν κατ' εὐθεῖαν κινουμένων. πρόσθες δέ, ὅτι ἀδύνατον τὸ ἄπειρον σῶμα, βάρος ἔχειν, ἢ κουφότητα. ὅτι εἰ μὲν βαρὺ εἴη φησὶν ὅλον

ποι. κενὸν γάρ ἐστιν. οὔτε πλεῖον τοῦ τόπου σῶμα εἶναι. ἔσται γὰρ σῶμα οὐκ ἐν τόπῳ. Καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα. τοῦτο καθ' αὑτό ἐστι, καὶ αὐτὴ χωρὶς μάχης δύναμιν ἔχει. εἰ γὰρ ἐξ ἀπείρων ἐστὶν συγκεῖται τὸ ἄπειρον, ἀνάγκη καὶ τὰ στοιχεῖα ἄπειρα εἶναι. ἔδειξε δὲ τοῦτο ἀδύνατον καὶ ἐν τοῖς πρὸς Ἀναξαγόραν λόγοις ἐν τῷ πρώτῳ βιβλίῳ. δείξει δὲ καὶ ἐν τῷ περὶ οὐρανοῦ, καὶ μάλιστα ἐν τῷ περὶ γενέσεως. εἴρηται γὰρ ὅτι εἰ τὰ στοιχεῖα ἄπειρα εἴη, πρῶτον μὲν διπλασιασθήσεται τὸ ἄπειρον μετὰ τῶν ὑποκειμένων. ἔπειτα ἀναιρεθήσεται γένεσις, καὶ καθόλου πᾶσα μεταβολή. δεῖ γὰρ ἀπείρους μεταβολὰς εἶναι, ἵνα γένηταί τινος γένεσις. Εἰ δὲ τοῦτο ἀδύνατον, τουτέστιν εἰ ἀδύνατον ἀπείρους εἶναι τοὺς τόπους. συναπτέον οὖν τῷ καὶ οἱ τόποι ἄπειροι, τὸ εἰ δὲ τοῦτο ἀδύνατον, καὶ τὰ ἑξῆς. ἅμα δὲ οὐδὲ ἄπειρον ἔσται τὸ σῶμα, τῷ οὔτε γὰρ ὁ τόπος ἅπας μείζων, ἢ ὁ τόπος, καὶ τὰ ἑξῆς. εἶτα τὸ, ἅμα δὲ οὐδὲ ἄπειρον ἔσται τὸ σῶμα. ἢ ὅσον ἐνδέχεται τὸ σῶμα εἶναι, συναπτέον τῷ ἔτι οὔτε τὸ σῶμα μεῖζον. ὡς συμπέρασμα γάρ ἐστι τοῦτο τῶν ἄλλων. εἰ γὰρ οὔτε ὁ τόπος μείζων τοῦ σώματος, οὔτε τὸ σῶμα μεῖζον τοῦ τόπου, πεπέρασται δὲ πᾶς τόπος, καὶ τὸ σῶμα πεπεράνθαι ἀνάγκη. οὐδὲν ἄρα σῶμα ἄπειρον ἔσται.

» ΑΝΑΞΑΓΟΡΑΣ δ' ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς. στηρίζειν γὰρ αὐτὸ αὑτό φησι τὸ ἄπειρον. τοῦτο δὲ ὅτι ἐν αὑτῷ. ἄλλο γὰρ οὐθὲν περιέχει. ὡς ὅπου ἄν τι ᾖ, πεφυκὸς ἐνταῦθα εἶναι. τοῦτο δ' οὐκ ἀληθές. εἴη γὰρ ἄν τι που βίᾳ, καὶ οὐχ οὗ πέφυκεν. εἰ οὖν ὅτι μάλιστα μὴ κινεῖται τὸ ὅλον,

Ἀναξαγόρας φησὶν ἄτοπον αἰτίαν ἀποδίδωσι τῆς μονῆς, καὶ ἀκίνητον εἶναι τὸ ἄπειρον. ὅπερ ἦν κατ' αὐτὸν τὸ ἐκ πασῶν τῶν ὁμοιομερειῶν συγκείμενον ἀπείρων οὐσῶν, ὅπερ τὸν νοῦν ἀπό τινος χρόνου ἄρξασθαι διακρίνειν ἔλεγε. τῷ οὖν ὅλον τοῦτο μίγμα ἀκίνητον εἶναι, ὁ Ἀναξαγόρας αἰτίαν τῆς ἀκινησίας τοιαύτην ἀπεδίδου. οὐ γὰρ τῷ εἶναι ἐν τῷ κατὰ φύσιν τόπῳ, ταύτῃ ἀκίνητον εἶναι. οὐδὲ γὰρ εἶναι ὅλως ἐν τόπῳ ἔλεγεν, ἵνα μὴ ταύτῃ δοὺς καὶ πεπερασμένον ποιήσῃ. ἀλλ' αἴτιον εἶναι τῆς ἀκινησίας τὸ αὐτὸ ἑαυτὸ στηρίζειν, τουτέστιν ἑαυτῷ ἀντιβαίνειν, καὶ εἰς ἑαυτὸ ἐπερείδεσθαι. τοῦτο δὲ ὑπάρχειν αὐτῷ διὰ τὸ μηδ' ἔν τινι εἶναι μηδὲ περιέχεσθαι, ἀλλ' αὐτὸ ἐν ἑαυτῷ εἶναι, καὶ αὐτὸ ἑαυτοῦ τόπον ὑπάρχειν. τοῦτο δέ φησι λέγει, ὡς δέον πᾶν ὅπου ἂν ᾖ, ἐκεῖ καὶ πεφυκὸς εἶναι. εἰ γὰρ μή ἐστι τὸ αἴτιον τῆς στάσεως ὁ κατὰ φύσιν τόπος, ἀλλὰ τὸ στηρίζειν ἑαυτὸ, καὶ ἐν ἑαυτῷ εἶναι, δυνατὸν γῆ δήπου καὶ ἀλλαχοῦ εἶναι, καὶ ἵστασθαι, εἰ ἐν ἑαυτῇ εἴη. ἐὰν οὖν τῷ λόγῳ μεταθείσω τὴν γῆν, καὶ ἀνάγω αὐτὴν μέχρι τοῦ ὑπεκκαύματος, ἐπειδὴ κἀκεῖ ἐν ἑαυτῇ ἐστι, καὶ ἑαυτὴν στηρίζει, δύναται δήπου καὶ ἀκίνητον εἶναι. τοῦτο δὲ ἀδύνατον. οἰσθήσεται γὰρ ἕως ἂν τὸν κατὰ φύσιν καταλάβῃ τόπον. αὐτὸς δέ ἐστιν ὁ μέσος. οὐκ ἄρα οὐδὲ νῦν τὸ ἑαυτὸ στηρίζειν αἴτιον τῆς μονῆς. καὶ ἄλλως, οὐ τὸ ἑαυτὸ στηρίζειν καὶ ἐν ἑαυτῷ εἶναι, καὶ ὑπὸ μηδενὸς περιέχεσθαι, τοῦτο ἤδη καὶ κατὰ φύσιν ἀκίνητον ποιήσει τὸ ἄπειρον. τοὐναντίον γὰρ βιαίου μονῆς τοῦτο αἴτιον. διὰ γάρ τι τὴν ἀπειρίαν, καὶ τῷ μὴ ἔχειν ποῦ κινηθῆναι, οὐ κινεῖται· ἀλλ' οὐ διὰ τὸ μὴ πεφυκέναι κινεῖσθαι. ἄδηλον γὰρ εἰ παρούσης χώρας κρέμνοιτ' ἄν. διὰ τοῦτο γὰρ καὶ τὴν γῆν κατὰ φύσιν μένειν, καὶ μὴ κινεῖσθαι φαμὲν, διότι καὶ τόπου ὑπάρχοντος πανταχόθεν, ὅμως οὐδαμοῦ κινεῖται. ἐπεὶ οὖν ἔχουσα τὸ κινηθῆναι, ὅμως οὐ κινεῖται, διὰ τοῦτο τῆς μονῆς αὐτῆς αἴτιον τὸ πεφυκέναι ἐν τῷ μέσῳ εἶναι. ὥσπερ οὖν εἰ καθ' ὑπόθεσιν ἐποιήσαμεν ἄπειρον τὴν γῆν αὐξήσαντες αὐτὴν, καὶ ἀκίνητος καὶ τότε ἦν ὡς νῦν ἔχει. δῆλον μὲν ἦν λέγειν, ὅτι αὐτὴ ἑαυτὴν στηρίζει, καὶ ἐν ἑαυτῇ ἐστι, καὶ ὑπ' οὐδενὸς περιέχεται, ἀλλ' οὖν οὐ τοῦτο τῆς κατὰ φύσιν ἀκινησίας αὐτῆς αἴτιον ἦν, ἀλλ' ὅτι ἠρεμεῖν ἦν ὑπὸ τοῦ μέσου, καὶ περὶ ἑαυτὸν νεύειν ἔχειν, οὕτω φημὶ καὶ περὶ τοῦ ἀπείρου, ὅτι κἂν ἑαυτὸ στηρίζῃ, καὶ ὑπὸ μηδενὸς περιέχηται, τοῦτο οὐ κατὰ φύσιν αἴτιόν ἐστι τῆς κατὰ φύσιν ἀκινησίας. τοὐναντίον δὲ καὶ βίαιος ἡ μονή. πόθεν γὰρ δῆλον ὅτι εἰ εἶχε τόπον οὐκ ἐκινεῖτο; ἔδει οὖν τὸν Ἀναξαγόραν φυσικὴν αἰτίαν ἀποδοῦναι τῆς ἀκινησίας τοῦ ἀπείρου. ἡ γὰρ ὑπ' αὐτοῦ ἀποδοθεῖσα αἰτία οὐ τῆς φύσεώς ἐστι τοῦ ἀπείρου. ὅπερ ἐστὶ μίγμα τὸ ἐκ πάντων, ἀλλὰ τοῦ μεγέθους. ὃ γὰρ κατὰ φύσιν ἦν τῷ ἀπείρῳ τὸ ἀκινητίζειν, καὶ ἑκάστῳ τῶν μορίων τοῦτο δήπου ἂν εἴη κατὰ φύσιν. ὃ γὰρ τῇ ὅλῃ γῇ κατὰ φύσιν ἐστὶ, τοῦτο καὶ τῶν μορίων ἑκάστῳ. καὶ ὅπερ τῷ ὅλῳ ὕδατι, ὡς τοιᾷδε φύσει, κατὰ φύσιν ἐστὶ, καὶ συμπληρωτικὸν τῆς οὐσίας αὐτοῦ, τοῦτο καὶ κυάθῳ ἑνί. πότερον οὖν καὶ ἑκάστῳ τῶν μορίων κατὰ φύσιν ἐστὶ τὸ στηρίζειν αὐτὸ, καὶ ἐν ἑαυτῷ εἶναι, ἢ οὔ. εἰ μὲν γὰρ κατὰ φύσιν, καὶ τὰ μόρια πάντα ἀκίνητα ἀεὶ ἦν. ἀλλὰ τοῦτο, οὐδὲ αὐτῷ δοκεῖ, οὐδὲ ἡ αἴσθησις συγχωρεῖ. εἰ δὲ ὅτι πεπέρασται τὰ μόρια, διὰ τοῦτο διά τί ἐστι καὶ κινεῖσθαι, οὐ κατὰ φύσιν ἄρα τοῦ σώματος τὸ μὴ κινεῖσθαι ὑπάρχει τῷ ὅλῳ, ἐπεὶ καὶ τοῖς μορίοις ἂν τοῦτο ὑπῆρχεν, εἴπερ ὁμοιομερὲς τὸ μίγμα. ὁμοίως γὰρ πάντα παντὶ ὑπάρχει. ἀλλὰ διὰ τὸ μέγεθος. τοῦτο δὲ οὐκ ἔστι φυσικὴν αἰτίαν

ἀποδοῦναι

καὶ εἰδὴ τῷ ἄνω, καὶ εἰδὴ τὸ κάτω. ἀλλὰ τοῦτο ἀδύνατον. τὰς ἐναντίας γὰρ οὕτως ἅμα κινεῖσθαι.

ΤΙΣ οὖν καὶ ποῦ ἡ μονὴ καὶ ἡ κίνησις αὐτῆς. ἢ πανταχοῦ μενεῖ. οὐ κινηθήσεται ἄρα. ἢ πανταχοῦ κινηθήσεται. οὐκ ἄρα στήσεται,

Τουτέστι ἢ ποῦ καὶ εἰς τίνα τόπον κινήσεται, ἢ ἐν ποίῳ τόπῳ στήσεται. εἰ ἠρεμεῖ φησί, πανταχοῦ ἠρεμήσει. οὐ γὰρ δὴ ὅταν εἰς τὸν οἰκεῖον παραγένηται τόπον τότε ἠρεμεῖ, ὅταν πᾶς οἰκεῖος. πανταχοῦ γὰρ ἠρεμήσει. εἰ δὲ τοῦτο, ὅλως οὐ κινηθήσεται. πάλιν εἰ κινηθήσεται, πανταχοῦ ὁμοίως κινηθήσεται, διότι πάλιν ὁ πᾶς ἐστιν αὐτῷ οἰκεῖος τόπος. ἀλλ᾽ ἐὰν καὶ συγχωρήσω τῷ πάντη κινεῖσθαι, πῶς ἐκφυγεῖν δυνατὸν τὸ μηδέποτε στήσεσθαι αὐτὸ κινούμενον.

ΕΙ δ᾽ ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι. καὶ πρῶτον μὲν, οὐχ ἓν τὸ σῶμα τοῦ παντός. ἀλλ᾽ ἢ τῷ ἅπτεσθαι. ἔπειτα ἤτοι πεπερασμένα ταῦτ᾽ ἔσται, ἢ ἄπειρα τῷ εἴδει.

Δείξας ὅτι ἁπλοῦν οὐκ ἔστι, νῦν δείκνυσιν ὅτι οὐδὲ σύνθετον. εἰ τοίνυν ἐξ ἀνομοιοειδῶν, ἀνάγκη καὶ τοὺς τόπους τούτων πλείονας εἶναι. τῶν ἑτεροειδῶν γὰρ ἕτεροι καὶ οἱ τόποι. εἰ δὲ τοῦτο, πρῶτον μὲν οὖν ἄτοπον, μὴ εἶναι τὸ τοῦ παντὸς σῶμα συνεχές, ἀλλ᾽ ἐξ ἁπτομένων εἶναι. πῶς δὲ τοῦτο συμβαίνει ἔφθην εἰπών. ὅτι εἰ μὴ κεκραμένα εἴη τὰ ἑτεροειδῆ, ἀεὶ ἐν τῷ παρὰ φύσιν ἔσονται. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ δεῖ ἕκαστον τὸν ἑαυτοῦ τόπον καταλαβεῖν, ἐξ ἁπτομένων ἔσται τὸ ἄπειρον. ἀλλ᾽ οὐδὲν φυσικὸν σῶμα τοιοῦτόν ἐστι.

ΚΑΙ πεπερασμένα μὲν οὐχ οἷόν τε. ἔσται γὰρ τὰ μὲν ἄπειρα, τὰ δ᾽ οὔ, εἰ τὸ πᾶν ἄπειρον. οἷον, τὸ πῦρ, ἢ τὸ ὕδωρ. φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις, καθάπερ εἴρηται πρότερον. καὶ διὰ τοῦτο, οὐθεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησεν οὐδὲ γῆν, τῶν φυσιολόγων. ἀλλ᾽ ἢ ὕδωρ, ἢ ἀέρα, ἢ τὸ μέσον αὐτῶν. ὅτι τόπος ἑκατέρου, δῆλος ἦν διωρισμένος. ταῦτα δ᾽ ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω.

Ἀδύνατόν φησιν ἐκ πεπερασμένων εἰδῶν συγκεῖσθαι τὸ ἄπειρον. ἀνάγκη γὰρ ἕν τι τῶν ὑπὸ τὸ εἶδος τοῦτο ἄπειρον εἶναι, ἢ πλήθει, ἢ μεγέθει. εἰ γὰρ τὰ ὑπὸ πάντα τὰ εἴδη ἄτομα πεπερασμένα εἴη, καὶ τὸ ἐκ πάντων ἔσται πεπερασμένον. εἰ δὲ πάλιν πάντα, ἢ τινὰ εἴη ἄπειρα, διπλασιασθήσεται, ἢ πολλαπλασιασθήσεται τὸ ἄπειρον. λείπεται οὖν τὰ ὑφ᾽ ἓν εἶδος ἄτομα ἄπειρα εἶναι. ἀλλὰ καὶ τοῦτο ἀδύνατον. πρῶτον μὲν γὰρ καὶ ἐνταῦθα αὔξησις τοῦ ἀπείρου γίνεται, προστιθεμένων τοῖς ἀπείροις τῶν πεπερασμένων. ἔπειτα ὅπερ ἔναγχος ἐλέγομεν, καταδαπανηθήσεται τὰ πεπερασμένα ὑπὸ τοῦ ἀπείρου. ἄπειρος γὰρ ἡ ἐν ἀπείρῳ δύναμις. Καὶ διὰ τοῦτο οὐδεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησεν. ἐλλιπέστερον εἴρηται τὸ ἐπιχείρημα. ὡς γὰρ εἶπον, ἐκ τῶν παρ᾽ αὐτοῖς ὁμολογουμένων θέλων ἐλέγξαι τὴν ὑπόθεσιν, ταῦτα προσέθηκε. δέον γὰρ οὕτως εἰπεῖν, καὶ ἄλλως οὐχ οἷόν τε ἓν τῶν στοιχείων ἄπειρον εἶναι ἐν τῇ συνθέσει, διότι τῶν μὲν στοιχείων ἕκαστον ὁ κατὰ φύσιν ὥρισται τόπος, τὸ δὲ ἄπειρον ὡρισμένον τόπον οὐκ ἔχει. ὥστε οὐκ ἂν εἴη ἓν τῶν στοιχείων ἄπειρον. ὅτι δὲ τοῦ ἀπείρου τόπος ἀόριστος, δηλοῦσι καὶ οἱ φυσικοί. διὰ τοῦτο γὰρ οὐδεὶς τὸ ἓν καὶ ἄπειρον πῦρ ἐποίησε. καὶ τὰ ἑξῆς. Ταῦτα δὲ ἐπαμφοτερίζει τῷ ἄνω καὶ κάτω. καίτοι ἔδει συνιδεῖν αὐτοὺς ὅτι οὐ μόνον ὕδωρ, καὶ ἀὴρ ἐν τοῖς ἀλλοτρίοις ὁρᾶται τόποις, ἀλλὰ καὶ γῆ καὶ πῦρ. πολλαχοῦ γοῦν κρατῆρες πυρὸς ἀναδίδονται, ὡς ἔν τε τῇ Αἴτνῃ, καὶ ἐν τῇ Κιλικίᾳ. καὶ τοὺς κεραυνίτας φασὶ λίθους ἄνω συνισταμένους κάτω φέρεσθαι. ἀλλὰ δῆλον ὡς οὐχ οἷόν τε ἐν τοῖς ἀλλοτρίοις τόποις κατ᾽ ἐνέργειαν οὕτω φέρεσθαι. ἀλλ᾽ ὡς γινόμενα, ἐπειδὴ πᾶν εἰς πᾶν μεταβάλλει.

ΕΙ δ᾽ ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα. εἰ δὲ τοῦτ᾽ ἀδύνατον, καὶ πεπερασμένοι οἱ τόποι, καὶ τὸ ὅλον πεπεράνθαι ἀναγκαῖον. ἀδύνατον γὰρ μὴ ἀπαρτίζειν τὸν τόπον, καὶ τὸ σῶμα. οὔτε γὰρ ὁ τόπος ὁ πᾶς μείζων, ἢ ὅσον ἐνδέχεται τὸ σῶμα ἅμα εἶναι. ἅμα δ᾽ οὐδ᾽ ἄπειρον ἔσται τὸ σῶμα. οὔτε τὸ σῶμα μεῖζον, ἢ ὁ τόπος. ἢ γὰρ κενὸν ἔσται τι, ἢ σῶμα οὐδαμοῦ πεφυκὸς εἶναι.

Ἐπὶ τὴν ἑτέραν μετέβη ὑπόθεσιν τὴν ἄπειρα τὰ εἴδη ὑποτιθεμένην, ἀπείρων δηλονότι καὶ τῶν ἀτόμων ὄντων, εἴγε τοὐλάχιστον ἓν ἄτομον ὑφ᾽ ἓν εἶδος τελεῖ. εἰ οὖν ἄπειρα εἴη κατ᾽ εἶδος τὰ συντιθέντα τὸ ἄπειρον, ἐπειδὴ τῶν διαφόρων κατ᾽ εἶδος διάφοροι καὶ οἱ τόποι, ἀνάγκη καὶ τοὺς τόπους ἀπείρους εἶναι. τοῦτο δέ φησιν ἀδύνατον. οἱ γὰρ φυσικοὶ πάντες τόποι πεπερασμένοι εἰσί. εἰ δὲ πεπερασμένοι οἱ τόποι, ἐξ ἀνάγκης καὶ τὰ ἐν αὐτοῖς σώματα πεπερασμένα εἰσί. πεπερασμένων δὲ ὄντων τῶν σωμάτων, καὶ τὸ ἐκ πάντων πεπερασμένον ἀνάγκη εἶναι. διατί δὲ εἰ τῷ ἀριθμῷ πεπερασμένοι οἱ τόποι καὶ τὰ ἐν αὐτοῖς σώματα πεπερασμένα ἀνάγκη εἶναι, οὐ μόνον ἀριθμῷ, ἀλλὰ καὶ μεγέθει; ὅτι πᾶς τόπος πεπέρασται κατὰ μέγεθος. περιέχει γὰρ τὸ ἐν τόπῳ σῶμα. πεπερασμένου δὲ ὄντος τοῦ τόπου, καὶ τὸ ἐν αὐτῷ σῶμα πεπεράνθαι ἀνάγκη. οὔτε γάρ φησι πλείονα τοῦ σώματος ἐγχωρεῖ εἶναι τὸν τό-

» Ο ΓΑΡ τόπος ἄπειρος τοῦ συγγενοῦς αὐτοῦ σώματος. πότερον οὖν καθέξει τὸν τοῦ ὅλου τόπον,
» καὶ πῶς.

Τουτέστιν εἰ τὸ ἄπειρον εἴη γῆ, τὸ μέρος αὐτῆς οἷον ἡ βῶλος πότερον ἀεὶ κινηθήσεται, ἢ ἀεὶ μενεῖ. δόξει γὰρ ἑκάτερον ὑπάρχειν ἐξ ἀνάγκης. εἰ γὰρ φέρεται μὲν τὸ μέρος ἔνθα καὶ τὸ ὅλον, ὁμοίως δὲ καὶ ἵσταται ἐν τούτῳ ἐν ᾧ καὶ τὸ ὅλον, ὁ δὲ τόπος τοῦ συγγενοῦς σώματος, αὐτῆς λέγω δὴ τῆς τοῦ ἀπείρου ὁλότητος, ἄπειρός ἐστιν, ἔστι δὲ καὶ τοῦ μέρους ὁ αὐτὸς οὗτος ἐξ ἀνάγκης τόπος, εἰ μὲν πέφυκεν ἐν τῷ οἰκείῳ τόπῳ κινεῖσθαι τὸ τοῦ ἀπείρου μέρος, ἐπειδὴ ἄπειρος ὁ τόπος αὐτοῦ, πέφυκεν κινεῖσθαι, ἵστασθαι δὲ μᾶλλον ἐν τοῖς φυσικοῖς, ἢ κινεῖσθαι. οὐ γὰρ κατὰ τὸ ποσὸν, ἐλέγομεν γὰρ τὸν αὐτὸν εἶναι τοῦ ὅλου, καὶ τοῦ μορίου τόπον. οὐ γὰρ ὁ πᾶς ἐν ᾧ ἐστὶν ἡ πᾶσα γῆ, ὁ αὐτὸς οὗτος καὶ τῆς βώλου ἐστίν. ἔσται γὰρ οὕτω τῷ ὅλῳ τὸ μέρος ἴσον. ἀλλ' ὁ αὐτὸς τῷ εἴδει. οἷον ὁ κάτω. ὥσπερ οὖν εἰ νοήσαις τὴν γῆν αὐξηθεῖσαν [illegible] τὴν σεληνιακὴν σφαῖραν, ἐρεῖς μὲν πάντα τὸν ἐντὸς τῆς σφαίρας ἐκείνης τῆς γῆς εἶναι τόπον. οὐχ ἁπλῶς δὲ ὅτι πᾶς ἐστιν αὐτῆς κατὰ φύσιν, ἀλλὰ κατὰ φύσιν μὲν τὸ περὶ τὸ κέντρον ἐστί, συμβαίνει δὲ διὰ τὸ μέγεθος κατὰ συνέχειαν ἐπὶ πολὺ πόρρω τοῦ κέντρου αὐτὴν διήκειν ὑφ' ἑαυτῆς ἀνεχομένην. ἐπεὶ καὶ τὰ νῦν περὶ τὴν κυρτὴν τῆς γῆς ἐπιφάνειαν μέρη αὐτῆς, καθ' ἣν καὶ τὴν οἴκησιν ἔχομεν, οὐχ ὡς πεφυκότα τοσοῦτον διεστάναι, οὕτως οὐ πέφυκε μένειν δίχα τινὸς βίας ἐν παντὶ τόπῳ ἐν ᾧ καὶ ἐστίν, ἀλλὰ ἀναδέχεται ὑπὸ τοῦ συγγενοῦς σώματος. ὥστε καὶ εἰ ηὐξήνθη μέχρι τοῦ οὐρανοῦ, ὡς περιλαβεῖν καὶ τὸν τῶν κούφων σωμάτων τόπον, ἐλέχθη ἂν ὁμοίως πᾶς μὲν ὁ ἐντὸς τῆς σφαίρας εἶναι τόπος αὐτῆς ὡς ὅλης, οὐ μέντοι ὡς ἐν παντὶ πεφυκυίας μένειν, καὶ χωρὶς τοῦ ὑπὸ κέντρου περιήγεσθαι(?). ἡ οὖν βῶλος εἰ μὲν οὕτω λέγοιτο ἐν παντὶ τούτῳ τῷ τόπῳ κινεῖσθαι, ὡς ἐκ τῆς ἐπιφανείας τοῦ οὐρανοῦ πεφυκέναι φέρεσθαι μέχρι τοῦ κέντρου, ὀρθῶς λέγεται. εἰ δὲ λέγεις, διὰ τὸ περιέχειν τὴν γῆν πάντα καὶ τὸν ἄνω καὶ τὸν κάτω τόπον, διὰ τοῦτο καὶ ἡ βῶλος πάντη φέρεσθαι ὀφείλει ὁμοίως ἄνω τε καὶ κάτω, διὰ τὸ πάντη εἶναι τὴν ὁλότητα αὐτῆς, οὐκέτι εὔλογον. οὐδὲ νῦν ἐπειδὴ ἡ ὁλότης τῆς γῆς μέχρι τῆς ἐπιφανείας τοῦ περιέχοντος αὐτὴν ἀέρος διήκει, καὶ ἔστιν αὐτῆς τῆς ὅλης τόπος ὁ ἐντεῦθεν μέχρι τοῦ κέντρου, διὰ τοῦτο δήπου ὀφείλει ἡ βῶλος πάντη κατὰ τοῦτον τὸν τόπον φέρεσθαι. οὐδὲ γὰρ ἡ ἐν τῷ κέντρῳ βῶλος, κἂν λάβοι χώραν, κινηθείη ἂν ἐκεῖθεν ἐπὶ τὴν ἐπιφάνειαν τῆς γῆς. οὕτως οὖν καὶ ἐπὶ τοῦ ἀπείρου, οὐκ ἄλογον τὸ λέγειν, ὅτι τὸ μέρος αὐτοῦ πάντη ὠθήσεται διὰ τὸ ἄπειρον τὸν πάντα κατέχειν τόπον. εἴγε ὅλως φυσικήν τινα ῥοπὴν ἔχει τὸ ἄπειρον. ἀλλ' ἢ οὐδεμίαν ῥοπὴν ἔχει φυσικὴν, καὶ οὕτω πάντη ἀκίνητόν ἐστιν. ἢ εἰ ὅλως ἔχει ῥοπὴν, οὐκ εὔλογον τὸ λέγειν, ὅτι πάντη τὸ μέρος ἢ στήσεται, ἢ ὠθήσεται. ὥσπερ οὐδὲ νῦν ἐπὶ τῆς γῆς εἴρηται. ἀλλ' ἔστι καὶ πρὸς ταῦτα εἰπεῖν, ὅτι νῦν μὲν τῆς γῆς οὔσης πεπερασμένης, καὶ τοῦ τόπου τοῦ περιέχοντος αὐτὴν, ἔστι ταῦτα εἰπεῖν ἅπερ εἴπομεν. εἰ μέντοι ἄπειρός τις εἴη τόπος, πῶς ἔστι τὸ ἄπειρον διελόντα εἰπεῖν, τοῦτον μὲν εἶναι τὸν κατὰ φύσιν τόπον, ἐκεῖνον δὲ μή. ὡς γὰρ αὐτὸς ἐν τοῖς ἔμπροσθεν εἶπε, πῶς ἔστι τοῦ ἀπείρου, τὸ μὲν ἄνω εἰπεῖν, τὸ δὲ κάτω, ἢ ἔμπροσθεν, καὶ ὄπισθεν. ταῦτα γὰρ πρὸς ἑαυτὸ ἄπειρον ὁμοίως ἔχει. οὐκ ἄρα ἔστι τοῦ ἀπείρου τόπου ἀφορίσαι τὸ μόριόν τι, ὃ σημαίνει(?) εἰπεῖν ὡς οὗτος ἂν ὁ κατὰ φύσιν τόπος τοῦ ἀπείρου σώματος. ὥσπερ νῦν φαμὲν τὸ κέντρον τῶν βαρέων εἶναι τὸν κατὰ φύσιν τόπον. λείπεται οὖν τὸν ἄπειρον πάντα τόπον κατὰ φύσιν εἶναι λέγειν τόπον τοῦ ἀπείρου σώματος. εἰ δὲ πᾶς ἂν αὐτοῦ κατὰ φύσιν, ἕψεται ταῦτα τὰ ὑπὸ τοῦ Ἀριστοτέλους ῥηθέντα(?). ὥστε εἰ μὴ ὁμοιομερὲς, ἀκίνητον ἔσται. ἀδύνατον τὸ ἀκίνητον εἶναι. ὡς μόνον ἑπόμενον τὸ ὁμοιομερὲς εἶναι λαμβάνειν. εἰ γὰρ ἁπλοῦν καὶ μονοειδὲς τὸ ἄπειρον, ἔστιν αὐτοῦ ὁ πᾶς οἰκεῖος τόπος. ὁ αὐτὸς δὲ καὶ τοῦ μέρους. οὐδὲν δὲ ἐν τῷ οἰκείῳ τόπῳ κινεῖται τῶν εὐθυφορητῶν σωμάτων. οὐκ ἄρα κινήσεται τὸ τοῦ ἀπείρου μόριον. τοῦτο μὲν οὖν εὐλόγως. ἀκολουθεῖ τῇ ὑποθέσει τὸ ἀκίνητον εἶναι τὸ τοῦ ἀπείρου μόριον ἐν τῷ οἰκείῳ τόπῳ ὄν. οὗτος δέ ἐστιν ἄπειρος. εἰ δὲ τοῦτό τις μὴ δώσει ἀκίνητον αὐτὸ εἶναι διὰ τὸ μὴ ἀπελθεῖν τὴν κίνησιν, δώσει πάντως τὸ ἀεὶ φέρεσθαι. τοῦτο γὰρ αὐτὸ σημαίνει τὸ ἢ ἀεὶ ὠθήσεται, ὡς ἑπομένου τῇ ἀναιρέσει τοῦ ἀεὶ ἵστασθαι, τὸ ἀεὶ κινεῖσθαι. ὁ γὰρ λόγος δέδεικται ἀκίνητον, εἴ τις τοῦτο μὴ παραδέχοιτο, δειχθήσεται ἐξ ἀνάγκης ὅτι ἀεικίνητόν ἐστιν. εἰ γὰρ πέφυκεν ἐν τῷ ἰδίῳ κινεῖσθαι τόπῳ, ὡς ἡ ὑπόθεσις, τόπος δὲ αὐτοῦ ἐστιν ὅσπερ καὶ τοῦ παντὸς, οὗτος δὲ ἄπειρός ἐστιν, ἐν τῷ ἀπείρῳ ἄρα τόπῳ κινεῖται. ὥστε οὐ στήσεται. ἐν γὰρ ἀπείρῳ ἡ κίνησις, καὶ οὐδὲν μᾶλλον ὧδε, ἢ ὧδε ὠθήσεται, ἀλλ' ὁμοίως πανταχοῦ. καίτοι ἀδύνατον. τί γὰρ μᾶλλον κάτω, ἢ ἄνω, ἢ ὁπουοῦν. ἀδύνατόν φησι τὸ ἀεὶ κινεῖσθαι εἶτα καὶ ἐπήγαγε πῶς ἀδύνατον. τί γὰρ μᾶλλον ἄνω, ἢ κάτω ἅμα, καὶ κατὰ ταυτὸν κινήσεται. εἰ γὰρ πᾶς μὲν οἰκεῖός ἐστιν αὐτῷ τόπος, ἔστι δὲ τῷ παντὶ τὸ ἄνω, καὶ τὸ κάτω. τοῦτο γὰρ ἐκ τῆς ἐναργείας λαμβάνω, οὐδὲν μᾶλλον ἅμα, καὶ κατὰ ταυτὸν ἄνω, ἢ κάτω κινήσεται. εἴγε πανταχοῦ πέφυκε φέρεσθαι. τοῦτο δὲ ἀδύνατον, ἅμα τὰς ἐναντίας κινεῖσθαι. οὐδ' ἄρα κινήσεται. εἰ γὰρ διὰ τὸ ἔχειν τὴν ἐπὶ πάντα τόπον ὁρμὴν, ἅμα τῇ ἐκστάσει(?) τῆς ὁλότητος φέρεται ἐφ' ὅπερ ἡ ὁρμὴ ἄγει, φέρεται δὲ ἐπὶ πᾶν ὁμοίως, ἀδύνατον δὲ τοῦτο γενέσθαι, ἀδύνατον ἄρα καὶ κινηθῆναι. ἀνάγκη γὰρ εἰ κινεῖται, οὕτως κινηθῆναι. πότερον οὖν καθέξει τὸν ὅλον τόπον καὶ πῶς. τουτέστιν ἄρα διὰ τοῦ ἐπὶ πάντα τόπον πεφυκέναι φέρεσθαι, ἅμα πανταχοῦ κινηθήσεται,

τῶν σωμάτων ἀφωρισμένον τινὰ καταλήψεται τόπον· τὰ μὲν βαρέα τὸν κάτω, τὰ δὲ κοῦφα τὸν ἄνω. εἰ δὲ τοῦτο οὕτως ἔχει, ἀδύνατον ἕν τι τῶν στοιχείων τῶν συντιθέντων τὸ ἄπειρον αὐτὸ ἄπειρον εἶναι κατὰ μέγεθος· οἷον πῦρ, ἢ γῆν. εἰ γὰρ ἄπειρον εἴη, οὐχ ἕξει ἀφωρισμένον τινὰ τόπον. ἑκάστου δὲ τῶν φυσικῶν σωμάτων ἀφωρισμένος τόπος. οὐκ ἄρα δυνατὸν ἕν τι τῶν συντιθέντων τὸ ἄπειρον, αὐτὸ κατὰ μέγεθος ἄπειρον εἶναι. οὐχ ἕξει γὰρ ἀφωρισμένον τόπον τὸ ἄπειρον. διὰ τοῦτο γοῦν φησι, καὶ οἱ φυσικοὶ ὅσοι ἄπειρον εἶναι σῶμα ὑπέθεντο, οὔτε πῦρ, οὔτε γῆν ὑπέθεντο εἶναι τὴν ἀρχὴν ἣν καὶ ἄπειρον εἶναι ἔλεγον. ἀλλ᾽ ἢ ἀέρα, ἢ ὕδωρ, ἢ τὸ μεταξύ. γῆς μὲν γὰρ καὶ πυρὸς ἀφωρισμένος τόπος. ἡ μὲν γὰρ ἀεὶ κάτω, τὸ δὲ ἄνω. ἀέρος δὲ καὶ ὕδατος δοκεῖ ὁ τόπος ἀόριστος εἶναι. ἐν τε γοῦν τοῖς κοιλώμασι τῆς γῆς ἀήρ τε καὶ ὕδωρ ὑπάρχει· καὶ ἐν τοῖς ὑπὲρ τὴν γῆν τόποις ἀμφότερα ὁμοίως ὁρῶνται. φαίνεται γοῦν, καὶ ὕδωρ κάτωθεν ἀναδιδόμενον. ἐπεὶ οὖν ὁ τοῦ ἀπείρου τόπος ἀόριστος, ἐδόκουν δὲ αὐτοῖς καὶ τούτων οἱ τόποι ἀόριστοι εἶναι, εἰκότως ἐν τούτοις τὸ ἄπειρον ἀπέθεντο. εἰ τοίνυν ἀόριστον μὲν δεῖ εἶναι τὸν τοῦ ἀπείρου τόπον, οὐδὲν δὲ τῶν φυσικῶν σωμάτων ἀόριστον ἔχει τόπον, ἀδύνατον ἕν τι τούτων ἄπειρον εἶναι. οὐκ ἄρα οὐδὲ ἐκ πεπερασμένων εἰδῶν, ἀπείρων δὲ ἀτόμων δυνατὸν εἶναι τὸ ἄπειρον. μήποτε οὖν ἐξ ἀπείρων καὶ εἰδῶν, καὶ ἀτόμων εἰδῶν, ἑνὸς ἀτόμου ὑφ᾽ ἕκαστον εἶδος πληθύοντος. ἵν᾽ οὕτως εὔλογωτέρα γίνηται ἡ ὑπόθεσις; ὅτι οὖν οὐδὲ τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν. πρῶτον μὲν γὰρ διπλασιασθήσεται τὸ ἄπειρον, εἴγε ἄπειρα μὲν τὰ εἴδη ἐξ ὧν τὸ ἄπειρον συνέστηκεν, ἐπεὶ δὲ τὰ διάφορα κατ᾽ εἶδος διαφόροις καὶ τοὺς τόπους κεκλήρωται, ἀνάγκη καὶ τοὺς τόπους αὐτῶν ἀπείρους εἶναι. τοῦτο δὲ ἀδύνατον. πεπερασμένοι γὰρ οἱ τόποι, οἱ μὲν πρῶτοι, καὶ κυριώτατοι δύο, ὁ ἄνω, καὶ ὁ κάτω. οἱ πάντες δὲ ἕξ, οὗτοί τε, καὶ ὁ εἰς δεξιὰ, καὶ ἀριστερὰ, καὶ ἔμπροσθεν, καὶ ὄπισθεν. εἰ τοίνυν πεπερασμένοι οἱ φυσικοὶ τόποι, ἀδύνατον ἄπειρα εἶναι τὰ στοιχεῖα, εἴγε συνδιαιροῦνται τοῖς εἴδεσι τῶν στοιχείων καὶ οἱ τόποι. οὐ μόνον δέ φησι τοῖς εἴδεσι διῃρημένοι οἱ τόποι, ἀλλὰ καὶ τῇ διαστάσει. εἰ τοίνυν καὶ μεγέθει, καὶ ἀριθμῷ πεπερασμένοι οἱ τόποι, καὶ τὰ σώματα ἐν αὐτοῖς πεπερασμένα ἔσται. οὐδὲ γὰρ σῶμα μεῖζον εἶναι τοῦ τόπου δυνατὸν, ὥσπερ οὐδὲ τόπον μείζονα τοῦ σώματος. εἰ μὲν γὰρ ὑπερβάλλει τὸν τόπον τὸ σῶμα, συμβήσεται μὴ πᾶν σῶμα ἐν τόπῳ εἶναι. ἡ τὸ λοιπὸν ἐν κενῷ ἔσται, ἢ οὐδαμοῦ. τὸ μὲν οὖν εἶναι μηδαμοῦ καταγέλαστον. κενὸν δὲ ὅτι οὐκ ἔστιν ἐν τοῖς οὖσι, δείξει ἐν τῷ ἐφεξῆς βιβλίῳ. ὁμοίως καὶ εἰ ὁ τόπος μείζων ἐστὶ τοῦ σώματος, συμβήσεται πάλιν κενὸν εἶναι. ἀπορήσειε δ᾽ ἄν τις πῶς φησιν ἀπείρων ὄντων τῶν εἰδῶν ἀπείρους εἶναι καὶ τοὺς τόπους. τί γὰρ κωλύει ὥσπερ νῦν δύο μόνον οἱ τόποι ὁ ἄνω, καὶ ὁ κάτω, ἐν ἑκατέρῳ δὲ πλείονα εἶναι σώματα εἴδει, κωλύει, καὶ πλείονα τὸν αὐτὸν δέξασθαι; ἀλλὰ πρὸς ταῦτά φημι. πῶς οἷόν τε τὰ ἄπειρα τοῖς πεπερασμένοις διανεῖμαι; τοῦτο γὰρ ἀδύνατον. ἢ γὰρ ἐν ἑκατέρῳ τῷ τόπῳ ἄπειρα ἔσονται εἴδη, ἢ ἐν ἑκατέρῳ πεπερασμένα, ἢ ἐν τῷ μὲν ἄπειρα ἐν δὲ τῷ ἑτέρῳ πεπερασμένα. εἰ μὲν οὖν ἐν ἑκατέρῳ πεπερασμένα εἴη, καὶ τὸ ἐξ ἀμφοῖν πεπερασμένον ἔσται. εἰ δὲ ἐν ἑκατέρῳ ἄπειρα, διπλασιασθήσεται τὸ ἄπειρον, καὶ αὐτὸ ἑαυτοῦ διπλάσιον ἔσται. εἰ δὲ ἐν τῷ μὲν ἄπειρα ἐν θατέρῳ δὲ πεπερασμένα, αὐξηθήσεται τὸ ἄπειρον τῇ προσθήκῃ τῶν πεπερασμένων, καὶ αὐτὸ ἑαυτοῦ μεῖζον ἔσται. καὶ ἄλλως οὐ καθέξει πάντα τόπον τὸ ἄπειρον, εἴπερ τὰ ἄπειρα ἐν τινὶ μὲν τόπῳ ἔσται, ἐν τινὶ δὲ μή. οὐκ ἄρα δυνατὸν πεπερασμένους εἶναι τοὺς τόπους τῶν ἀπείρων εἰδῶν. ὁ γὰρ αὐτὸς δύο ἀτόπων, τὸ αὐτὸ καὶ ἐπὶ πλειόνων ἐρῶ. εἰ δὲ ἀπείρους τόπους εἶναι ἀδύνατον, καὶ εἴδη δηλονότι ἄπειρα τὰ ἐν τούτοις ἐσόμενα ἀδύνατον εἶναι. ὥστε εἰ μήτε συνθετὸν, μήτε ἁπλοῦν δυνατὸν εἶναι τὸ ἄπειρον, ὅλως ἄρα εἶναι οὐ δυνατόν. ἔχεις οὖν καὶ ἐκ τῆς τῶν τόπων διαφορᾶς ἀνῃρημένον τὸ ἄπειρον. πᾶν φησι γὰρ τὸ αἰσθητὸν ποῦ εἶναι. τὸ πρῶτον λῆμμα, ὅτι πᾶν σῶμα φυσικὸν ἐν τόπῳ ἐστί. φυσικὸν δὲ τὸ ἐν γενέσει, καὶ φθορᾷ. νῦν γὰρ εἴ τι τοιοῦτον ἄπειρόν ἐστι ζητοῦμεν, ὅπερ στοιχεῖόν ἐστι τῶν γινομένων καὶ φθειρομένων. διὰ φαμὲν νῦν τὰ τέσσαρα τῶν ἄλλων πάντων εἶναι στοιχεῖα, καὶ ἐξ αὐτῶν τὰ γίνεσθαι, καὶ εἰς αὐτὰ ἀναλύεσθαι. ζητεῖ οὖν ὁ λόγος μήποτέ ἐστι παρὰ τούτων ἕτερόν τι, ἢ ἕν τι τούτων, ἢ ἄλλο παρὰ ταῦτα ἄπειρον ὂν τῷ μεγέθει. ἐξ οὗ ταῦτα στοιχεῖα, καὶ τὰ λοιπὰ τὴν γένεσιν ἔχει. πᾶν οὖν τὸ τοιοῦτον σῶμα ἐν τόπῳ ἐστίν, οὐ μέντοι ἁπλῶς πᾶν. ἡ μὲν οὖν ἀπλανὴς οὐκ ἔστιν ἐν τόπῳ, ἐπεὶ μηδέ ἐστί τι τὸ περιέχον αὐτὴν, μήτε σῶμα, μήτε κενὸν ἀλλὰ ἐν τῷ ἐν ἑαυτῇ ἐστὶν οἷον τόπος τῆς οὐσίας ἑαυτῆς, καὶ ὁ αὐτὸς τοῦ μορίου, καὶ αὐτῆς. τὸ δεύτερον ἀξίωμα, ὅτι ὥσπερ ὁ τοῦ ὅλου τόπος ὁ αὐτὸς, οὕτω καὶ τοῦ μορίου ἐστὶ τόπος ὁ αὐτός. ὁ αὐτὸς δὲ δηλονότι οὐ τῷ ποσῷ, ἀλλὰ τῷ εἴδει, ἢ ὁ ἄνω, ἢ ὁ κάτω. ὥσπερ γὰρ εἰ τὴν ὅλην γῆν ἐκστήσαις τοῦ κέντρου, οἰσθήσεται μέχρι τοσούτου μέχρις ἂν τὸ κέντρον καταλάβῃ, οὕτω καὶ ἡ βῶλος ἄνωθεν ἀφεθῆ, τὴν ῥοπὴν αὐτὴν τὸ αὐτὸ ἔχει.

ΩΣΤΕ εἰ μὲν ὁμοειδὲς, ἢ ἀκίνητον ἔσται, ἢ ἀεὶ οἰσθήσεται. καίτοι ἀδύνατον. τί γὰρ μᾶλλον κάτω ἢ ἄνω, ἢ ποῦ. λέγω δὲ, οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινηθήσεται, ἢ ποῦ μενεῖ.

Ἐνταῦθα αἱ κατασκευαὶ τοῦ μὴ εἶναι τὸ ἄπειρον. καὶ πρῶτον ὅτι ἁπλοῦν οὐκ ἐνδέχεται εἶναι. τοῦτο γάρ φησιν ὁμοειδές. τὸ δὲ, ἢ ἀκίνητον ἔσται, ἢ ἀεὶ οἰσθήσεται, οὐ περὶ τοῦ ὅλου φησὶν ἀπείρου, ἀλλὰ περὶ τοῦ μορίου αὐτοῦ. καὶ ἐδήλωσεν ἐφεξῆς τοῖς παραδείγμασιν, ἐπὰν λέγῃ δὲ εἰ βῶλος εἴη, ποῦ αὕτη κινηθήσεται.

ἡ βῶλος, καὶ ἔστι καὶ πέφυκεν ὁμοίως· καὶ ἔνθα ἂν πέφυκεν ἡ ὁλότης εἶναι τοῦ πυρὸς, ἐκεῖ πέφυκεν καὶ ὁ σπινθὴρ εἶναι. τούτων οὖν προειλημμένων, δείκνυσιν ὅτι ἀδύνατον ἁπλοῦν τι φυσικὸν σῶμα εἶναι τὸ ἄπειρον. περὶ γὰρ τούτου ἡ ζήτησις ἐν τῷ παρόντι, ὡς πολλάκις εἶπον, εἰ ἔστιν ἐν τοῖς φυσικοῖς σώμασιν ἄπειρόν τι κατὰ τὴν ἔκτασιν. περὶ γὰρ τοῦ ἔξω τοῦ οὐρανοῦ ὅτι οὐδέν ἐστιν ἔξω αὐτοῦ οὔτε σῶμα, οὔτε κενὸν, οὔτε ἕτερόν τι, ἐν τῇ περὶ οὐρανοῦ δείξει πραγματείᾳ. ὅτι οὖν φυσικὸν σῶμα ἁπλοῦν οὐκ ἐνδέχεται ἄπειρον εἶναι κατὰ τὴν ἔκτασιν, δείκνυσι τοῦτον τὸν τρόπον. εἰ γὰρ εἴη ἄπειρον σῶμα, δῆλον ὅτι τὸν πάντα καθέξει τόπον. εἰ δὲ τὸν πάντα καθέξει, ὁ πᾶς ἂν εἴη αὐτοῦ οἰκεῖος, τόπος. εἰ γὰρ δὴ μὴ οἰκεῖος εἴη, ἐν τῷ παρὰ φύσιν ἔσται ἀεί. οὐδὲν δέ ἐστι τῶν ὄντων ἀεὶ ἐν τῷ παρὰ φύσιν. μᾶλλον γὰρ οὐκ ἔσται τι εἰ ἀεὶ ἐν τῷ παρὰ φύσιν ἔσται. ὥστε ἄλλος ἂν εἴη τόπος οἰκεῖος τοῦ ἀπείρου. ἀλλ' εἰ ὁ πᾶς τόπος τοῦ ὅλου ἀπείρου οἰκεῖός ἐστι, δῆλον ὅτι καὶ τοῦ μέρους ὁ αὐτὸς ἂν εἴη οἰκεῖος τόπος. τὸ μὲν οὖν ὅλον ὅτι ἀκίνητον ἔσται, πρόδηλον. οὐ γὰρ ἕξει που κινηθῆναι ἄπειρον ὂν, καὶ τὸν πάντα καταλαβὸν τόπον, δεήσει γὰρ αὐτῷ ἄλλου ἀπείρου τόπου, εἰ μέλλει κινεῖσθαι. περὶ δὲ τοῦ μέρους ἐρήσομαι, εἰ λάβω μόριόν τι τοῦ ἀπείρου, πότερον κινηθήσεται, ἢ οὔ. εἰ μὲν οὖν μὴ κινήσεται, οὐκ ἂν εἴη φυσικόν τι σῶμα τὸ ἄπειρον. οὐδὲν γάρ ἐστι τῶν φυσικῶν, ὃ καὶ κατὰ τὰ ἄλλα, καὶ κατὰ τὰ μέρη ἀκίνητόν ἐστι. εἰ δὲ κινήσεται, ποῦ ὠθήσεται; ἢ πανταχοῦ, ἐπειδὴ καὶ ὁ πᾶς αὐτῷ οἰκεῖός ἐστι τόπος. οὐδὲν οὖν μᾶλλον κάτω, ἢ ἄνω κινήσεται, εἴγε ὁμοίως ἔχει τὴν ῥοπὴν ἐπί τε τὸ ἄνω, καὶ τὸ κάτω· ἐφεξῆς γὰρ καὶ τοῦτο ἐπισκεψόμεθα. ἀναγκαίως οὖν ἤτοι ἅμα πανταχοῦ ἔσται τὸ μόριον, καὶ κατὰ μίαν καὶ τὴν αὐτὴν κίνησιν ἐν παντὶ γενήσεται τόπῳ. εἰ γὰρ ἔχει τὴν ἐπὶ πάντα ῥοπὴν, ὥσπερ ἡ βαρύτης φέρει ἅπαν ἐπὶ τὸ κάτω κινεῖ, οὕτως ἅμα καὶ ἡ κουφότης ἐπὶ τὸ ἄνω. ἢ οὖν ἅμα τὸν πάντα καταλήψεται τόπον τὸ μόριον, ὅπερ ἀδύνατον, ἢ στήσεται ἀνθελκόμενον ἐπὶ τοὺς ἐναντίους τόπους, ἢ διασπασθήσεται. καὶ πάλιν ἐπὶ τῶν διασπασθέντων μορίων, ἡ αὐτὴ ζήτησις. ἔχομεν γὰρ ἐκ τῆς ἐναργείας ὅτι τοῦ ὅλου καὶ τοῦ μορίου ὁ αὐτὸς τόπος. ἄλλως τε εἰ κινήσεται, μέχρι ποῦ ὠθήσεται. κινεῖται μὲν γὰρ τῶν φυσικῶν τι καὶ ἐν γενέσει ἕκαστον, ὅταν ἐκστῇ τοῦ κατὰ φύσιν τόπου. καὶ μέχρι τοσούτου κινεῖται μέχρις ἂν ἐπιλάβηται τοῦ κατὰ φύσιν· ἐς ὃν γενόμενον ἵσταται. εἰ τοίνυν ὅλως κινεῖται τὸ μόριον τοῦ ἀπείρου, κινεῖται δὲ ἐν τῷ κατὰ φύσιν τόπῳ, ὁ δὲ πᾶς τόπος οἰκεῖος καὶ κατὰ φύσιν αὐτῷ, ἐπειδὴ καὶ τῷ ὅλῳ, μέχρι ποῦ ὠθήσεται. οὐ γὰρ μᾶλλον ὡδὶ, ἢ ὡδὶ στήσεται, παντὸς ὁμοίως κατὰ φύσιν αὐτῷ ὄντος. ἢ τοίνυν πανταχοῦ πέφυκε μένειν, ἐπειδὴ πᾶν ἐν ᾧ κατὰ φύσιν ὂν τόπῳ τότε ἠρεμεῖ. πᾶς δὲ ὁμοίως κατὰ φύσιν αὐτῷ τόπος. ὥστε πανταχοῦ ὑπομενεῖ, καὶ οὕτως οὐδαμοῦ κινηθήσεται, ἀλλ' ἀκίνητον ἔσται. ἢ πανταχοῦ πέφυκε φέρεσθαι, καὶ οὐδαμοῦ στήσεται. ἑκάτερον δὲ ἀδύνατον. οὔτε γὰρ κίνησις οὐδεμία ἀΐδιος πλὴν τῆς κύκλῳ. ἀλλὰ πᾶσα κίνησις ἕνεκά του ἐστίν. ἕνεκα γὰρ τοῦ τὸν οἰκεῖον καταλαβεῖν τόπον τὸ κινούμενον. κύκλῳ δὲ κινεῖσθαι τὸ ἄπειρον, οὐ δυνατόν. ἅμα γὰρ τῷ κύκλον εἰπεῖν, πεπερασμένον εἶπον. πᾶν γὰρ τὸ ἐσχηματισμένον, πεπέρανται. καὶ διὰ τοῦτο οὐ δυνατὸν τὸ ἄπειρόν τι τῆς κυκλοφορουμένης εἶναι οὐσίας. ἄτοπον οὖν καὶ τὸ ἀεὶ κινεῖσθαι τὸ μόριον. διότι γὰρ μὴ καὶ πάντα ἀεὶ κινεῖται. εἰ δὲ πάντα, καὶ τὸ ἐκ πάντων. ἀδύνατον ἄρα κινηθῆναι τὸ ἄπειρον. καλῶς γοῦν καὶ ὁ Μέλισσος ἀπάγει τοῦ ἀπείρου τὴν κίνησιν. τό, τε μηδὲν τοῦ ἀπείρου κινεῖσθαι μόριον ἀδύνατον. οὔτε γὰρ φυσικὸν ἔσται σῶμα. τό, τε τὴν κίνησιν ἀναιρεῖν τοῦ παντὸς, πρᾶγμα οὕτως ἐναργὲς, καὶ ὑπὸ τῆς αἰσθήσεως μαρτυρούμενον, ἄλογον καὶ οὐδενὸς ἐλέγχου δεόμενον. εἴτε οὖν μὴ κινεῖται φυσικὸν ὂν σῶμα, ἄτοπον. εἴτε κινεῖται, τὰ εἰρημένα ἀκολουθήσει ἄτοπα. ἀδύνατον ἄρα ἁπλοῦν τι σῶμα εἶναι τὸ ἄπειρον. ἀλλ' εἰ σύνθετον εἴη τὸ ἄπειρον, ἐξ ἐναντίων δηλονότι σύγκειται. τοιοῦτον γὰρ πᾶν τὸ φυσικὸν σῶμα. ὥστε καὶ οἱ τόποι τῶν συνθέτων διάφοροί τε καὶ ἐναντίοι. ἐπεὶ οὖν πᾶν σῶμα φυσικὸν σύνθετον ὂν κατὰ κρᾶσιν συντίθεται, συμβήσεται ἐν τῷ παρὰ φύσιν εἶναι τόπῳ τὰ σύνθετα, ὡς ἔχει καὶ ἐπὶ τῶν ἡμετέρων σωμάτων, καὶ πάντων τῶν λοιπῶν. τὸ γὰρ ἐν ἡμῖν πῦρ, καὶ ἀὴρ βίᾳ καὶ ἐν τῷ παρὰ φύσιν μένει τόπῳ. συμβήσεται οὖν καὶ τὰ πολλὰ τῶν συντιθέντων τὸ ἄπειρον ἀεὶ ἐν τῷ παρὰ φύσιν εἶναι τόπῳ. ἀΐδιον γὰρ τὸ ἄπειρον. ἀλλ' ἀδύνατον ἀεί τι ἐν τῷ παρὰ φύσιν εἶναι. μᾶλλον γὰρ οὐκ ἔσται τι εἰ ἀεί τι ἐν τῷ παρὰ φύσιν ἔσται. εἰ τοίνυν διακριθήσεται ποτὲ καὶ ὠθήσεται ἕκαστον ἐν τῷ κατὰ φύσιν τόπῳ, συμβήσεται ἐξ ἁπλῶν μένον εἶναι τὸ ἄπειρον. οὐδὲν δὲ φυσικὸν σῶμα σύνθετον, ἐξ ἁπλῶν μένον ἐστίν· οὕτω δὲ οὐδὲ ἔτι εἶναι καὶ συνεχὲς σῶμα τὸ ἄπειρον. πᾶν δὲ φυσικὸν σῶμα συνεχές. καὶ ἄλλως, εἰ σύνθετόν ἐστι τὸ ἄπειρον, ἤτοι ἐξ ἀπείρων εἰδῶν, καὶ ἐξ ἀπείρων ἀτόμων σύγκειται, ἢ ἐκ πεπερασμένων μὲν εἰδῶν ἀπείρων δὲ ἀτόμων. εἰ μὲν οὖν ἐκ πεπερασμένων μὲν εἰδῶν, ἀπείρων δὲ ἀτόμων, ἀνάγκη τὰ ὑπὸ ἓν εἶδος ἄτομα ἄπειρα εἶναι. οὐ γὰρ ἂν ἄλλως πεπερασμένων τῶν εἰδῶν ἄπειρον εἴη τὸ ἐξ αὐτῶν. ἀλλ' εἰ ἄπειρα, τῶν δὲ ἀπείρων ἄπειρος καὶ ἡ δύναμις, ὡς ἐν ἀρχῇ εἴρηται, καταναλώσει τὰ λοιπὰ δηλονότι, καὶ οὕτω πάλιν ἁπλοῦν ἔσται τὸ ὅλον καὶ οὐ σύνθετον. ἀλλ' ἐπειδὴ ἤθετο ἐκ τῶν δυνάμεων πάλιν ἐπιχειρήσεις, προθέμενος δὲ ἦν ἐκ τῶν τόπων δεῖξαι, ὅτι οὐ δυνατὸν εἶναι τὸ ἄπειρον, διὰ τοῦτο ἐκ τῆς κατὰ τοὺς τόπους διαφορᾶς βουλόμενος τὴν ὑπόθεσιν ἀνελεῖν, μάρτυρας αὐτοὺς τοὺς θεμένους τὸ ἄπειρον τῶν ἑαυτοῦ λόγων ἐπικαλεῖται, δυνάμενα ταῦτα λέγων. ἕκαστον τῶν φυσι-

σωμάτων, εἴτε τῶν συνεγνωσμένων ἡμῖν, εἴτε ὅ, τι δήποτε ἄλλο ἄπειρον εἶναι, κοινῷ φησι λόγῳ δείξομεν. ὅτι δὲ οὐδ᾽ ἄλλο τι σῶμα αἰσθητόν ἐστι, περὶ οὗ καὶ ποιούμεθα τὸν λόγον ἕτερον ὂν τῶν στοιχείων, καὶ ἀρχὴ αὐτῶν ἰδία, καὶ πρότερον, καὶ ὑποκείμενον αὐτοῖς, δείξωμεν. καὶ δείκνυσιν ὅτι οὐδὲν τοιοῦτον αἰσθητὸν ἡ αἴσθησις, ἢ τῶν γινομένων ὑποκείμενον, ἢ τῶν φθειρομένων ἔχαπεν.

» ΟΥΔΕ δὲ πῦρ, οὐδ᾽ ἄλλο τῶν στοιχείων οὐθὲν ἄπειρον ἐνδέχεται εἶναί τι. ὅλως γὰρ καὶ χωρὶς
» τοῦ ἄπειρον εἶναί τι αὐτῶν, ἀδύνατον τὸ πᾶν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι, ἢ γίνεσθαι ἕν τι αὐτῶν. ὥσπερ
» ἡράκλειτός φησιν ἅπαντα γίνεσθαί ποτε πῦρ. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνὸς, οἷον ποιοῦσι παρὰ τὰ
» στοιχεῖα οἱ φυσικοί.

Δ δείξας ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ μεταξὺ, μέτεισιν ἐπὶ τὸ δεῖξαι, ὅτι οὐδὲ ὅλως ἄλλο τι σῶμα ἁπλοῦν καὶ ἀρχὴν, ἄπειρον εἶναι δυνατόν. εἶτα τοῦτο προθέμενος, ἐπί τι καθολικώτερον ἀνάγει τὸν λόγον. τί γὰρ λέγω φησὶν ἄπειρον εἶναι ἕν τι τῶν ἁπλῶν ὅλως γὰρ ὅτι ἀδύνατον ἕν τι εἶναι, καὶ ἁπλοῦν. τὴν ἀρχὴν τῶν ὄντων, εἴτε ἄπειρον εἴη τοῦτο, εἴτε πεπερασμένον δείξομεν, ἐκ πολλοῦ δεικνὺς τοῦ περιόντως, ὅτι ἓν εἶναι, καὶ ἁπλοῦν τὸ ἄπειρον ἀδύνατον, εἴ γε μηδὲ ὅλως ἓν εἶναι τὸ στοιχεῖον οἷόν τε ἁπάντων, εἴτε ἄπειρον, εἴτε πεπερασμένον. εἰ γὰρ ἕν τι εἴη τὸ στοιχεῖον, ἀναιρεθήσεται καθόλου γένεσις, καὶ πᾶσα μεταβολή. εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἄρα ἐνδέχεται ἓν εἶναι τὸ στοιχεῖον. εἰ μὲν γὰρ ἕν τι τῶν τεσσάρων εἴη, οἷον τὸ πῦρ κατὰ τὸν ἡράκλειτον, ἢ εἴ τι ἄλλο, ἕξει μὲν ἐν ἑαυτῷ ἐναντιότητός τι μόριον. οἷον τὸ θερμόν. καὶ οὕτω γε οὐδὲν ἴσως αὐτὸ κωλύσει μεταβάλλειν εἰς τοὐναντίον, ἐξ ἐναντίου. ἀλλ᾽ οὐκέτι φυλάξει τὴν ἐναντίωσιν. ἐν τῇ μεταβολῇ καθ᾽ ἣν ἐστὶν, οἷον εἰ πῦρ εἴη, οὐ διατηρήσει τὴν θερμότητα, ἀπολιπὸν δὲ δέξεται τὴν ψυχρότητα. οὕτω δὲ οὐκέτ᾽ ἂν σώζοιτο πῦρ. δεῖ δὲ σώζεσθαι τὴν πρώτην ἀρχὴν, καὶ ἀμετάβλητον εἶναι. καὶ τί δήποτε μὴ ὁ ἀὴρ μᾶλλον στοιχεῖον, ἢ τὸ πῦρ. οὐδὲν γὰρ μᾶλλον τὸ πῦρ εἰς τὸν ἀέρα μεταβάλλει, ἢ ὁ ἀὴρ εἰς τὸ πῦρ. ἀδύνατον ἄρα ἕν τι τῶν ἁπλῶν εἶναι στοιχείων. πολλῷ ἄρα μᾶλλον ἄπειρον ἀδύνατον εἶναι ἕν τι τῶν ἁπλῶν. ἐπειδὴ τὸ ἄπειρον εἰ ἔστιν, πάντως ἀρχή ἐστι, καὶ πρῶτον στοιχεῖον. ὅτι μὲν οὖν ἕν τι τῶν τεσσάρων στοιχείων εἶναι τὸ ἄπειρον ἀδύνατον, δέδεικται. ὅτι δὲ οὐ τὸ μεταξὺ, ὥσπερ ἀναξίμανδρος ἔλεγεν, ἤδη μὲν δέδεικται, τῇ αὐτῇ δὲ τοῖς λοιποῖς μεθόδῳ καὶ νῦν δειχθήσεται. εἰ γὰρ πρὸς οὐδὲν τῶν τεσσάρων ἐναντίωσιν ἔχει ἐκεῖνο τὸ μεταξὺ, οὐδ᾽ ἂν εἰς τοῦτό τι μεταβάλλει. οὕτω δὲ οὐδ᾽ ἂν ἐξ αὐτοῦ τι γένοιτο. μάταιον οὖν ἔσται. οὐδὲν δὲ μάταιον τῶν ἀϊδίων. τάχα οὖν τις εἴποι, ὅτι καὶ ἡμεῖς τοῖς ἀναξιμάνδρου περιπίπτομεν ἀτόποις, τὴν ὕλην αὐτήν τινος ἐναντιώσεως ποιοῦντες. ἢ πολὺ τὸ διάφορον αὐτό τι μεταβάλλειν, καὶ ἐν αὐτῷ γίνεσθαι τὰς μεταβολάς. αὐτὸ μὲν οὖν τι μεταβάλλειν οὐχ οἷόν τε, εἰ μή τινα ἔχει καὶ ἐναντίωσιν. ἐν αὐτῷ δὲ γίνεσθαι τὰς μεταβολὰς τῶν ἐναντίων εἰς τὰ ἐναντία οὐδεὶς κωλύσει λόγος. οὕτω δὲ ἡ μία καὶ μία οὖσα ἡ ὕλη, ἐνυπάρχει παντὶ τῷ γινομένῳ. ὅπερ τοῖς ἐν τῷ στοιχείῳ ὑποτιθεμένοις οὐ σώζεται. καὶ ἡμεῖς μὲν αὐτὴν οὔ φαμεν καθ᾽ αὑτὴν ὑφίστασθαι δίχα πάσης ποιότητος, ἀεὶ δὲ πάντως ὑπό τινος εἴδους συνειλῆφθαι. καὶ διὰ τοῦτο ἐπειδὴ ἔχει τινὰ ποιότητα, ταύτης ὑπὸ τῆς ἐναντίας πασχούσης, γίνεσθαι φαμὲν τὰ πράγματα, καὶ μεταβάλλειν. ἀναξίμανδρον μέντοι ἐνεργείᾳ ὑφίστασθαι λέγοντα καθ᾽ αὑτὸ τὸ ἄπειρον σῶμα, ἀνάγκη πᾶσα τὸ, αὐτὸ ὑπό τινος ὑποτίθεσθαι πάσχειν. εἰ γὰρ ὁ πάσχων ὑπὸ τοῦ ἐναντίου πάσχει, μηδὲν δέ ἐστιν ἐκείνῳ ἐναντίον διὰ τὸ μηδὲ ὅλως πεποιῶσθαι αὐτὸ κατά τινα ἐναντίωσιν, ἀνάγκη δήπου μηδὲ πάσχειν τι αὐτὸ ὑπό τινος. ὥστε οὐδὲ γίνεσθαί τι ἐξ αὐτοῦ.

» ΠΑΝ γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς ἐναντίον. οἷον, ἐκ θερμοῦ εἰς ψυχρόν.

Τ οὕτω κατασκευή ἐστι τοῦ μὴ δύνασθαί τι τῶν ἁπλῶν στοιχείων εἶναι ἄπειρον μήτε ἕν τι τῶν τεσσάρων, μήτε τὸ μεταξύ. εἰ γὰρ εἴη ἕν τι στοιχεῖον, πῶς ἂν ἡ γένεσις εἴη ἢ φθορὰ, πάσης μεταβολῆς ἐξ ἐναντίου εἰς ἐναντίον οὔσης. πῶς δὲ ἀδύνατον, ἐδείξαμεν.

» ΔΕΙ δὲ περὶ παντὸς, καὶ ἐκ τῶνδε σκοπεῖν, εἰ ἐνδέχεται, ἢ οὐκ ἐνδέχεται εἶναι σῶμα ἄπειρον αἰσθητόν.

Γ ἐπειδὴ ὡς ἐπὶ πυρὸς καὶ τοῦ μεταξὺ ἐποιήσατο τὸν λόγον. ἐμνήσθη γὰρ ἡρακλείτου, τὸ πῦρ ἀρχὴν τιθεμένου, καὶ λέγοντος, διὰ τοῦτο καὶ πάντα ποτὲ εἰς αὐτὸ ἀναλυθήσεσθαι, ἐκπυρωθήσεσθαι γὰρ ποτὲ τὸ πᾶν, διὰ τοῦτο προστέθεικεν, ὅτι τοῖς αὐτοῖς δείξεις ὅτι οὐδὲ τῶν ἄλλων οὐδὲν δυνατὸν εἶναι ἄπειρον.

» ΟΤΙ δὲ ὅλως ἀδύνατον εἶναι σῶμα ἄπειρον αἰσθητὸν, ἐκ τῶνδε δῆλον. πέφυκε γὰρ πᾶν τὸ αἰσθη-
» τὸν, πού εἶναι. καὶ ἔστι τόπος τις ἑκάστου. καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός. οἷον, ὅλης τε τῆς γῆς καὶ μιᾶς
» βώλου, καὶ πυρὸς καὶ σπινθῆρος.

Δ δείξας ἐκ τῶν φυσικῶν δυνάμεων, ὅτι ἀδύνατον εἶναί τι σῶμα ἄπειρον, νῦν βούλεται καὶ ἐκ τῶν φυσικῶν τόπων κατασκευάσαι τὸ αὐτὸ τοῦτο. κέχρηται δὲ πάλιν τῇ αὐτῇ διαιρέσει. ὅτι τὸ ἄπειρον ἤτοι ἁπλοῦν ἐστιν, ἢ σύνθετον. καὶ πρότερον δείκνυσιν, ὅτι οὐ δυνατὸν ἁπλοῦν εἶναι. πρότερον δὲ δύο τινὰ προλαμβάνει ἀξιώματα. πρῶτον μὲν, ὅτι πᾶν τὸ αἰσθητὸν σῶμα, τουτὸν δὲ ἅπαν τὸ φυσικὸν, ἐν τόπῳ ἐστίν. ἕκαστον γὰρ τῶν τεσσάρων στοιχείων ἀφωρισμένον τινὰ κατείληφε τόπον. δεύτερον, ὅτι ὃς ἂν τοῦ ὅλου τόπος ἐστὶν, ὁ αὐτὸς οὗτος καὶ τοῦ μορίου ἐστὶ τόπος. ἔνθα γὰρ ἡ πᾶσα γῆ πέφυκεν εἶναι, ἐκεῖ δήπου καὶ

θέντα ἰσάζειν πως, ἵνα καὶ σώζηται. ἀδύνατον ἅμα ἕν τι αὐτῶν εἶναι ἄπειρον.

ΕΙ γὰρ ὁποσονοῦν λείπεται ἡ ἐν ἑνὶ σώματι δύναμις θατέρου, οἷον εἰ τὸ πῦρ πεπέρανται, ὁ δ' ἀὴρ ἄπειρος, ἔστι δὲ τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος τῇ δυνάμει ὁποσαπλασιονοῦν, μόνον δὲ ἀριθμόν τινα ἔχον, ὅμως φανερὸν, ὅτι τὸ ἄπειρον ὑπερβαλεῖ καὶ φθερεῖ τὸ πεπερασμένον.

Α διαρθρωτέα ἡ λέξις. ἔστι δὲ ὁ νοῦς οὗτος. εἰ γάρ φησι τὸ μὲν εἴη ἄπειρον, οἷον ὁ ἀήρ. τὸ δὲ πεπερασμένον, οἷον τὸ πῦρ. κἂν πάνυ ἐλάττων εἴη ἡ ἐν τῷ ἀπείρῳ δύναμις τῆς ἐν τῷ ἑτέρῳ θατέρου. ἐὰν δὴ δύο ἐξ αὐτῶν ἴσα μόρια λάβω κατὰ μέγεθος, τὸ μὲν τοῦ ἀέρος, τὸ δὲ τοῦ πυρός, κἂν πάνυ σφοδρότερον ᾖ τὸ τοῦ πυρὸς μόριον κατὰ τὴν δύναμιν τῆς ἐν τῷ ληφθέντι μορίῳ τοῦ ἀέρος δυνάμεως, ἀλλ' οὖν ἐπειδὴ παντὸς πεπερασμένου πρὸς πεπερασμένον ἐστὶ λόγος, ἕξει πάντως λόγον τινὰ ἡ σφοδρότης τῆς δυνάμεως τοῦ ληφθέντος μορίου τοῦ πυρὸς πρὸς τὴν τοῦ ἀέρος, οἷον δεκαπλασίονα, ἢ ἑκατονταπλασίονα. εἰ τοίνυν ἐν τῷ ἴσῳ ὄγκῳ εὕρωμεν ἑκατονταπλασίονα τυχὸν τὴν τοῦ πυρὸς δύναμιν, ἐὰν λάβω ἑκατονταπλασίονα τοῦ ἀέρος ὄγκον, ἐξισάζω τὰς δυνάμεις. ἐπεὶ οὖν ὑπόκειται ὁ μὲν ἀὴρ ἄπειρος, τὸ δὲ πῦρ πεπερασμένον. οὐκ ἔστι δὲ λόγος τοῦ ἀπείρου πρὸς τὸ πεπερασμένον, οὐδ' ἡ ἐν τῷ ἀπείρῳ δύναμις ἕξει λόγον τινὰ πρὸς τὴν ἐν τῷ πεπερασμένῳ. ὡς γὰρ ἔχουσιν οἱ ὄγκοι πρὸς ἀλλήλους, οὕτως ἔχουσι καὶ αἱ δυνάμεις. εἰ οὖν μηδένα λόγον ἔχουσι πρὸς ἀλλήλους οἱ ὄγκοι, οὐδ' ἄρα αἱ δυνάμεις λόγον τινὰ ἕξουσι πρὸς ἀλλήλας. οὐκ ἄρα ἕξει λόγον τινὰ ἡ ἐν τῷ ἀπείρῳ δύναμις πρὸς τὴν ἐν τῷ πεπερασμένῳ, ἀλλ' ὑπερβαλεῖ πάντα. ὑπερβαλοῦσα δὲ φθερεῖ τὰ λοιπά.

ΕΚΑΣΤΟΝ δ' ἄπειρον εἶναι, ἀδύνατον. σῶμα γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν. ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός. ὥστε τὸ ἄπειρον σῶμα πανταχῇ ἔσται διεστηκὸς εἰς ἄπειρον. ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι ἐνδέχεται τὸ ἄπειρον σῶμα, οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ' ἁπλῶς.

Β ἐπὶ τὴν ἑτέραν μετέβη ὑπόθεσιν, ὅτι οὐδὲ πάντα ἄπειρα δυνατὸν εἶναι τὰ συντιθέντα τὸ ἄπειρον. εἰ γὰρ σῶμά φησιν ἐστὶ τὸ πάντῃ διεστηκός, τουτέστι τὸ πάσας ἔχον τὰς διαστάσεις, καὶ ἄπειρον ἂν εἴη σῶμα τὸ πάντῃ ἀπεράντως διεστηκός. ὥστε ἄλλῳ εἶναι οὐ δώσει χώραν σώματι τὸν ὅλον κατειληφὸς τόπον. οὐ λέγω ἀπείρῳ, ἀλλ' οὐδὲ πεπερασμένῳ, κἂν βραχύτατον ᾖ. καὶ τί κωλύει μὴ κατὰ πᾶσαν διάστασιν ἄπειρον εἶναι, ἀλλὰ τὴν κατὰ μῆκος μόνον, ἵνα καὶ ἄλλοις δῷ χώραν. ἀλλὰ τοῦτο πλασματῶδες. διατί γὰρ εἴγε ἐστὶν ἄπειρον, μὴ πάντῃ ἐστὶν ἄπειρον καὶ ἄλλως οὐδεὶς τοιοῦτον ὑπέθετο εἶναι ἄπειρον, ἀλλὰ πάντες τὸ πάντῃ ἄπειρον. εἰ γὰρ ὅλως πέφυκεν εἶναι τὸ ἄπειρον, οὐ μᾶλλον τῇδε, ἢ τῇδε πέφυκεν εἶναι, ἀλλὰ πάντῃ. Ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι τὸ ἄπειρον σῶμα ἐνδέχεται. δείξας, ὅτι ἀδύνατον σύνθετον εἶναι τὸ ἄπειρον, νῦν ὅτι οὐδὲ ἁπλοῦν εἶναι ἐνδέχεται δείκνυσι. τοῦτο γὰρ ἦν ἀπολοιπὸν τῆς ὅλης διαιρέσεως. οὔτε ἕν τι τῶν στοιχείων, οὔτε τὸ μεταξὺ τούτων, ὥσπερ ὁ Ἀναξίμανδρος ἔλεγεν.

ΕΙΣΙ γάρ τινες οἳ τοῦτο ποιοῦσι τὸ ἄπειρον, ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, ὅπως μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν. ἔχουσι γὰρ πρὸς ἄλληλα ἐναντίωσιν. οἷον, ὁ μὲν ἀήρ, ψυχρός. τὸ δ' ὕδωρ, ὑγρόν. τὸ δὲ πῦρ θερμόν. ὧν εἰ ἦν ἄπειρον, ἔφθαρτο ἂν ἤδη τἆλλα. νῦν δ' ἕτερόν φασιν εἶναι τὸ ἐξ οὗ ταῦτα.

Ο Ἀναξίμανδρος δεῖν μὲν οἰόμενος ἄπειρον εἶναι τὴν ἀρχὴν διὰ τὴν ἀειγενεσίαν, ἵνα μὴ ἐπιλείπῃ, μή πως ἐπιστήσας τῇ ἀνακάμψει τῶν πραγμάτων, ὅτι ἐξ οὗ τι γίνεται, εἰς τοῦτο καὶ ἀναλύεται, συνεωρακὼς δὲ ὅτι ἐν τοῖς τέτταρσι στοιχείοις οὔσης τινὸς ἐναντιώσεως πρὸς τὰ λοιπά, εἰ ὑπόθοιτο ἓν αὐτῶν εἶναι τὴν ἀρχήν, ἐπειδὴ ἀνάγκη ταύτην ἄπειρον εἶναι, ἄπειρος δὲ οὖσα φθείρει τὰ λοιπὰ ἀπείρου οὔσης τῆς ἐν αὐτῷ δυνάμεως, οὐδὲν μὲν τούτων ὑπέθετο εἶναι τὴν ἀρχήν, ἕτερον δὲ εἶναι παρὰ ταῦτα τὴν ἀρχὴν ἐξ οὗ καὶ τὰ στοιχεῖα, καὶ τὰ λοιπὰ τὴν γένεσιν ἔχει. τοῦτο δὲ τὸ μεταξύ πως εἶναι αὐτῶν ὑπέθετο, ἵνα τῇ πρὸς τὰ ἐναντία κοινωνίᾳ σώζηται μᾶλλον τὰ λοιπὰ τὴν γένεσιν ἔχοντα, ἢ φθείρηται ὑπὸ τῆς ἐν αὐτῷ τῷ ἀπείρου δυνάμεως. διατοῦτο καὶ τῶν ἄλλων ὅσοι μὲν ἢ τὸν ἀέρα ὑπέθεντο, ἢ τὸ ὕδωρ ἄπειρον εἶναι ὑπέθεντο τοῦτο διὰ τὸ μὴ ὁρᾶν. ἀμυδροτέραν οὖσαν τὴν ἐν αὐτῷ δύναμιν, καὶ μὴ φθείρειν νομίζειν τὰ λοιπά, κἂν ἄπειρον ᾖ τῷ μεγέθει. Ἡράκλειτος μέντοι τὸ πῦρ ὑποθέμενος ἀρχήν, διὰ τὸ σφοδρότατον εἶναι τὴν ἐν αὐτῷ δύναμιν, οὐχ ὑπέθετο τοῦτο ἄπειρον εἶναι τῇ δυνάμει. μὴ γὰρ ἂν ὑποστῆναί τι τῶν ἄλλων τὸν τυχόντα χρόνον. ὁπότε καὶ πεπερασμένον ὑποθέμενος φησὶ πάντα ποτὲ ἐκπυρωθήσεσθαι ἀναλυθέντα εἰς πῦρ. Οἷον ὁ μὲν ἀὴρ ψυχρός. ὡς ἐν ὑποθέσει ψυχρὸν εἶπε τὸν ἀέρα. δείκνυσι γὰρ αὐτὸς ἐν τῇ περὶ γενέσεως, ὅτι θερμός ἐστιν.

ΑΔΥΝΑΤΟΝ δ' εἶναι τοιοῦτον, οὐχ ὅτι ἄπειρον. περὶ τούτου μὲν γὰρ κοινόν τι λεκτέον ἐπὶ παντὸς ὁμοίως καὶ ἀέρος, καὶ ὕδατος, καὶ ὁτουοῦν. ἀλλ' ὅτι οὐκ ἔστι τοιοῦτον αἰσθητὸν σῶμα παρὰ τὰ καλούμενα στοιχεῖα. ἅπαν γὰρ ἐξ οὗ ἐστι, καὶ διαλύεται εἰς τοῦτο. ὥστε ἦν ἂν ἐνταῦθα παρὰ ἀέρα καὶ πῦρ καὶ γῆν καὶ ὕδωρ, ἄλλο τι. φαίνεται δ' οὐδέν.

Δ ἐπειδὴ οὔσης τῆς προκειμένης θεωρίας μιᾶς μὲν εἰ ἐνδέχεται σῶμα εἶναί τι ἕτερον παρὰ τὰ τέσσαρα. ἑτέρας δέ, εἰ ὅλως ἔστι τι τῶν ἁπλῶν ἄπειρον, ὁποῖον δήποτε ᾖ, ὅτι μὲν οὐκ ἐνδέχεται ἕν τι τῶν ἁπλῶν

ἄπειρον, κοινῶς δείκνυσιν. εἰ γὰρ ἓν ἐστὶ τὸ στοιχεῖον, οὐχ ἕξει τὰς ἐναντίας δυνάμεις. ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ εἴη. ἀδύνατον δὲ ἐν τῷ αὐτῷ τὰ ἐναντία εἶναι. εἴτε μὴ ἔχει τὰς ἐναντίας δυνάμεις, ἀναιρεθήσεται γένεσις καὶ φθορὰ, καὶ καθόλου πᾶσα μεταβολή. ἐξ ἐναντίου γὰρ εἰς ἐναντίον πᾶσα μεταβολή. οἷον, ἢ ἐκ θερμοῦ εἰς ψυχρὸν, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν. ὥστε εἰ μὴ δυνατὸν ὅλως ἓν τι καὶ ἁπλοῦν στοιχεῖον εἶναι, ὡς ἀρχὴν, δῆλον ὅτι οὐδὲ ἄπειρον τοῦτο εἶναι δυνατόν. ὁ αὐτὸς γὰρ λόγος ἐπὶ τοῦ ἀπειρομένου, καὶ ἐπὶ τοῦ πεπερασμένου.

» ΑΛΛΑ μὴν οὐδ᾽ ἀριθμὸς οὕτως, ὡς κεχωρισμένος καὶ ἄπειρος. ἀριθμητὸν γὰρ ὁ ἀριθμὸς, ἢ τὸ ἔ-
» χον ἀριθμόν. εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι, καὶ διεξελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον. φυσι-
» κῶς δὲ μᾶλλον θεωροῦσιν ἐκ τῶνδε. οὔτε γὰρ σύνθετον οἷόν τε εἶναι, οὔτε ἁπλοῦν. σύνθετον μὲν οὖν οὐκ
» ἔσται τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα εἴη. ἀνάγκη γὰρ πλείω εἶναι, καὶ ἰσάζειν ἀεὶ
» τἀναντία, καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον.

Η τοῦτό φησιν, ὅτι ὁ ἀριθμὸς, ὅ, τι ἐπὶ τῶν δακτύλων, καὶ ὁ αὐτός φημι ὁ ἀριθμὸς, ὅτε ἐπὶ τῶν πραγμάτων αὐτῶν λαμβανόμενος. λέγω δὲ τῶν ἀριθμητῶν πεπέρασται πάντως. διότι ἀριθμητὸν ἑκάτερος. τὸ δὲ ἀριθμητὸν ἐνδέχεται διεξελθεῖν. καὶ ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρος. πρὸς δὲ ταύτην τὴν ἐξήγησιν τὸ, ἢ τὸ ἔχον ἀριθμὸν, ἀντὶ καὶ τὸ ἔχον ἀριθμόν. ἢ οὖν τοῦτό φησιν, ἢ ὅπερ καὶ μᾶλλον, ὅτι οὐδεὶς ἀριθμὸς χωριστὸς τῶν ἀριθμητῶν, ἀλλὰ πᾶς ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς ἔχει τὸ εἶναι. τὰ δὲ ἀριθμητὰ ἐνδέχεται διεξελθεῖν. καὶ τὸν ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. ὥστε οὐκ ἄπειρος. εἰ δὲ τοῦτο οὕτως ἔχει, ἀδύνατον ἄρα τὸν χρόνον μὴ ἀπό τινος ἀρχῆς ἦρχθαι, ἢ ὅλως τὸν κόσμον ἀΐδιον εἶναι. εἰ γὰρ ἀΐδιος ὁ κόσμος, δῆλον ὅτι ὁ γινόμενος τῶν ἀνθρώπων ἀριθμὸς ἄπειρος ἔσται, καὶ ἄπειρος ἐνεργείᾳ. πάντες γὰρ δηλονότι ἐνεργείᾳ γεγόνασιν. ὥστε ἐνδέχεται εἶναι ἀριθμὸν ἄπειρον. οὐ μόνον δὲ, ἀλλὰ καὶ διεξιτὸν ἔσται τὸ κατ᾽ ἐνέργειαν ἄπειρον. εἰ γὰρ πᾶσαι μὲν αἱ τῶν ἀνθρώπων μονάδες ἐνεργείᾳ γεγόνασι μέχρι νῦν, καὶ ἐσμὲν ἡμεῖς οἷον πέρας τῶν πρὸ ἡμῶν ἐνεργείᾳ ἀπείρων γινομένων, δῆλον ὅτι ἐνεργείᾳ διεξιτὸν τὸ ἄπειρον γέγονεν. οὐ μόνον δὲ τοῦτο ἕψεται τὸ ἄτοπον τῇ ὑποθέσει ταύτῃ, ἀλλὰ καὶ τοῦ ἀπείρου ἔσται τι μεῖζον. μᾶλλον δὲ τὸ κατ᾽ ἐνέργειαν ἄπειρον, ἐπ᾽ ἄπειρον αὐξηθήσεται, εἴγε τοῦ ὅπισθεν καθ᾽ ἑκάστην γενεὰς παρὰ προγόνοις λαμβανόντων, ἀεὶ μὲν τῶν πρὸ αὐτῶν γινομένοις ἀπείροις ὄντας κατ᾽ ἐνέργειαν εὑρίσκει. τούτοις δὲ ἀεὶ οἱ ἐφεξῆς προστιθέμενοι πλείονα ποιοῦσι τὸν ἀριθμόν. ἡ δὲ πρόσθεσις ἐπ᾽ ἄπειρον γίνεται, εἴγε ἄφθαρτος ὁ κόσμος. ἐπ᾽ ἄπειρον ἄρα αὐξηθήσεται τὸ ἄπειρον. πρὸς δὲ τούτῳ συμβήσεται καὶ ἀπειράκις εἶναι τὸ ἄπειρον. ἕκαστον γὰρ γένος ἀνθρώπων ἀπείρους ἕξει τοὺς προγεγεννημένους ἀνθρώπους. οἷον φέρε τὸ ἐμόν. τὸ αὐτὸ καὶ ἐπὶ πάντων ἀνθρώπων. τούτοις δὲ προσθήσομεν καὶ τὸ τῶν ἵππων καὶ τῶν ἄλλων ζώων καὶ φυτῶν τὸ πλῆθος, καὶ τὰς κινήσεις ἑκάστης σφαίρας, συμβήσεταί που πάντως ἀπειράκις, ἢ πολλάκις εἶναι τὸ ἄπειρον ἐνεργείᾳ. πάντα γὰρ ὅσα κατηριθμήσαμεν, ἐνεργείᾳ γέγονεν. ὥστε εἰ ταῦτα ἀδύνατα, λέγω δὴ τὸ ἐνεργείᾳ ἄπειρον ἐκβεβηκέναι, τὸ τοῦ ἀπείρου εἶναί τι μεῖζον καὶ ἀπειρότερον, καὶ μὴ ἐπιλείπειν τοῦτο αὐξόμενον, καὶ αὐτὸ αὐτοῦ εἶναι μεῖζον γινόμενον, ἀδύνατον ἄρα τὸν χρόνον, ἢ ὅλως τὸν κόσμον ἀΐδιον εἶναι. πρὸς ταῦτα δὲ πάνυ ἀνοήτως τις ἀπαντῶν ἔλεγεν, ὡς οὐδὲ κωλύει τὸ ἐπὶ θάτερα εἶναι ἄπειρον, ἐκεῖνο μὴ συνεωρακὼς, ὡς οὐκ ἔστιν ἐπὶ ἀριθμοῦ λέγειν τὸ ἐπὶ θάτερα ἄπειρον, ἀλλ᾽ ἐπὶ μόνου τοῦ συνεχοῦς τοῦτο ὑποτιθέμεθα ἐν ταῖς γεωμετρικαῖς μεθόδοις. τὸ γὰρ ἐπὶ τοῦ ἀριθμοῦ ἄπειρον, οὐδὲν ἄλλο ἐστὶν, ἢ μονάδων ἀπειρία. ὅλως δὲ καὶ ἐπὶ τοῦ συνεχοῦς εἰ διεξιτὸν τὸ ἐπὶ θάτερα ἄπειρον, πάντως που καὶ ἐπὶ τὸ λοιπὸν διεξιτὸν ἔσται. τίς γὰρ ἡ ἀποκλήρωσις τὸ μὲν τῶν μερῶν αὐτοῦ διεξιτὸν εἶναι, τὸ δὲ μή. ἔλεγε δὲ καὶ τὸ ἄπειρον μὴ δύνασθαι ἀθρόον ἅμα κατὰ τὸν αὐτὸν ὑφεστηκέναι χρόνον, κατὰ μέρος δὲ μὴ εἶναι ἀδύνατον εἰς ἐνέργειαν ἐκβῆναι. καίτοι γε οὐ τὸ οὕτως ἄπειρον ὡς ἀθρόον ὑφιστάμενος, ἀριστοτέλης ἐλέγχει. ἀλλ᾽ ἁπλῶς τὸ ἐνεργείᾳ ἄπειρον. τί δὲ διαφέρει, εἴπερ ὅλως κατὰ φύσιν ἀδιεξίτητόν ἐστι τὸ ἄπειρον, ἢ ὡς ἀθρόον εἶναι, ἢ ὡς κατὰ μέρος γινόμενον. ἐγὼ δέ φημι μᾶλλον ἐνδέχεσθαι, ὡς ἐνεστηκὸς εἶναι τὸ κατὰ πλῆθος ἄπειρον, ἢ ὡς παρεληλυθὸς, ὅτι τὸ μὲν ἐνεστηκὸς, οὐ πάντως διεξιτὸν ἀνάγκη εἶναι, τὸ δὲ παρεληλυθὸς ἐξ ἀνάγκης διεξιτόν ἐστιν. ὅπερ ἀδύνατον. καὶ τὸ ἐνεστηκὸς μὲν, οὔτε αὐξάνεσθαι, οὔτε ἀπειράκις ἄπειρον εἶναι ἀνάγκη. τῷ δὲ παρεληλυθότι τὸ αὐτὸ συμβαίνει, ὥσπερ εἴπομεν. τὸν δὲ περὶ τούτων ἐντελέστερον λόγον ἰδίᾳ ἐπισκεψόμεθα. Σύνθετον μὲν οὖν οὐκ ἔστι τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα εἴη. εἰ σύνθετον ἐστί φησι τὸ ἄπειρον, ἢ ἐκ πεπερασμένων ἐστὶ τὸ πλήθει ἢ ἐξ ἀπείρων. ἐξ ἀπείρων μὲν, ἀδύνατον εἶναι. δέδεικται γὰρ ὅτι ἄπειρα εἶναι τὰ στοιχεῖα ἀδύνατον. ἀλλ᾽ οὐδὲ ἐκ πεπερασμένων κατὰ τὸ πλῆθος δυνατὸν εἶναι τὸ ἄπειρον. ἀνάγκη μὲν γὰρ ἐναντία εἶναι τὰ συντιθέντα αὐτό. δεῖ δὲ ἐν τῇ συνθέσει ἰσάζειν τὰ ἐναντία, εἴγε μὴ μέλλοι ὑπὸ τοῦ ἐπικρατοῦντος φθείρεσθαι. εἰ τοίνυν ἐκ πεπερασμένων κατὰ πλῆθος συγκέοιτο τὸ ἄπειρον, εἰ μὲν καὶ κατὰ τὸ μέγεθος πάντα πεπέρασται, καὶ τὸ μέγεθος. εἰ μὲν οὖν ἓν ἦν ἄπειρον, ἐπειδὴ τὸ ἄπειρον ἄπειρον ἔχει καὶ τὴν δύναμιν, φθείροι δήπου τὰ λοιπά. δεῖ δὲ τὰ στοιχεῖα

ἀλλήλων. καί τοι ὁ ὅλος ὡς ὅλος δρᾷ ἀήρ, τὰ δ᾽ ἄλλα οὐκ ἔδει πάντως πάσχειν, μιᾶς οὔσης τῆς τοῦ ἀέρος ὁλότητος. ὅπερ ἐναργῶς μὴ συμβαῖνον ὁρῶμεν. ὅτι μὲν οὖν ἐλάττονος ὑποτεθείσης τῆς ἐν τῷ ἀπείρῳ δυνάμεως, οὐ πάντως ἀνάγκη φθείρεσθαι αὐτῷ τὰ λοιπά, μάλιστα εἴγε πολλὴ ὑφειμένη εἴη διὰ τὸ μηδὲ συναυξάνεσθαι τῷ ποσῷ τὸ ποιόν, μετρίως ὡς πρὸς τὴν παροῦσαν χρείαν εἴρηται. ὅτι δὲ τῷ ὄντι ἀδύνατον εἶναί τι σύνθετον σῶμα ἔχον ἕν τι τῶν στοιχείων ἄπειρον ὂν κατὰ τὴν ἔκτασιν, δείξαιμεν οὕτως, προλάβωμεν δὲ ἐκεῖνο, ὅτι τῶν ποιούντων καὶ πασχόντων, εἰ μὲν ἰσάζοιεν αἱ δυνάμεις, ἴσων μὲν ὄντων τῶν μεγεθῶν, ἢ οὐδὲν δράσουσιν εἰς ἄλληλα, ἢ ἴσως ὑπ᾽ ἀλλήλων πείσονται. εἰ δὲ μὴ ἰσαζούσης τῆς δυνάμεως, τὸ μὲν μεῖζον ᾖ κατὰ μέγεθος, τὸ δὲ ἔλαττον, πείσεται τὸ ἔλαττον μέγεθος ὑπὸ τοῦ μείζονος διὰ τὴν εἰρημένην ἤδη αἰτίαν. εἰ γὰρ καὶ τὸ τῷ μεγέθει ἔλαττον δρᾷ τι ἀλλὰ πλεῖον πείσεται ἢ ποιήσει. τούτου οὖν οὕτως ἔχοντος, φημὶ μὴ δυνατὸν σῶμά τι φυσικὸν ἄπειρον ὂν κατὰ μέγεθος σύνθετον εἶναι. ἀνάγκη γὰρ πάντα τὰ συντιθέντα αὐτὸ στοιχεῖα ἰσάζειν πως κατὰ τὰς δυνάμεις. εἰ γὰρ μὴ ἰσάζοιεν, κρᾶσις ἐξ αὐτῶν οὐκ ἔσται, ἀλλὰ μεταβαλεῖ τὸ ἐπικρατοῦν τὰ λοιπὰ εἰς ἑαυτό. καὶ τοῦτο ἐναργὲς ἀπὸ τῶν φυσικῶν πάντων σωμάτων, καὶ μάλιστα τῶν ζώων. ὥστε καὶ τὰ συντιθέντα τὸ ἄπειρον ἀνάγκη ἐξισάζειν ταῖς δυνάμεσιν. εἰ μὲν οὖν ἐκ πεπερασμένων τῷ μεγέθει σύγκειται, καὶ τὸ ὅλον πεπερασμένον ἔσται. εἰ δὲ ἕν τι τῶν συντιθέντων ἄπειρόν ἐστι τῷ μεγέθει, ἐπειδὴ ἡ σύνθεσις τῶν φυσικῶν κατὰ κρᾶσιν ἐστὶ καὶ οὐ κατὰ παράθεσιν. τεχνητὰ γὰρ τὰ κατὰ παράθεσιν συντιθέμενα, ἐπὶ δὲ τῶν κατὰ κρᾶσιν συντιθεμένων ὅλα δι᾽ ὅλων χωρεῖ τὰ στοιχεῖα, ταύτῃ δὲ καὶ διαφέρει μέρος στοιχείου τῷ τὸ μὲν στοιχεῖον δι᾽ ὅλου χωρεῖν οὗ ἐστι στοιχεῖον, τὸ δὲ μέρος οὔ, ἀνάγκη ἄρα καὶ ἐπὶ τοῦ προκειμένου οὕτως ἔχειν. ἀλλὰ συνεκτείνεσθαι τῷ ἀπείρῳ τὰ πεπερασμένα ἀδύνατον. φθάνει γὰρ ἐξίτηλα γενέσθαι καὶ φθαρῆναι, ὥσπερ εἴ τις ξεστιαῖον ἀέρα ἢ πῦρ συνεκτείναι ἐθέλοι κατὰ τὸν ξέστην ὕδατος, ἢ χοῦν οἴνου τῇ θαλάττῃ πάσῃ. φθάσει γὰρ τὸ ὅλον φθαρῆναι πρὶν τινὰ κρᾶσιν γενέσθαι. καὶ τί λέγω εἰ ἐξισάζοιεν αἱ δυνάμεις. κἂν γὰρ πολλαπλασίως ὑπερέχῃ τοῦ πεπερασμένου, ἐπειδὴ οὐδένα λόγον ἔχει πρὸς τὸ ἄπειρον τὸ πεπερασμένον, ἀνάγκη πᾶν τὸ συνεκτεινόμενον τῷ ἀπείρῳ θᾶττον φθαρῆναι πρὶν κραθῆναι. ἄπειρον γὰρ ἂν εἴη, καὶ αὐτὸ εἰ συνεκτείνηται τῷ ἀπείρῳ. ἀδύνατον ἄρα φυσικὸν σῶμα σύνθετον εἶναι, ἑνὸς τῶν συντιθέντων ἀπείρου ὄντος κατὰ μέγεθος. εἰ δέ τις εἴποι κατὰ παράθεσιν εἶναι τὴν σύνθεσιν, μάλιστα μὲν οὐ φυλάττει τὴν ὑπόθεσιν. περὶ γὰρ φυσικοῦ σώματος ὁ λόγος. ἔπειτα καὶ ἐδείξαμεν ὅτι κἂν ἰσοσθενὲς κατὰ τὴν δύναμιν παρατεθῇ μείζονί τινι μέγεθος, φθείρεται πάντως. καὶ τὸν λόγον ἀποδεδώκαμεν. ἐπεὶ καὶ κρύσταλλος εἰς μεγάλην πυρκαϊὰν ἐμβληθεὶς, φθάσει φθαρῆναι πρὶν δρᾶσαί τι αἰσθητῶς εἰς τὸ πῦρ. ὅτι μὲν οὖν ἄπειρον εἶναι τῶν στοιχείων τῶν συνθέτων τὸ ἄπειρον σῶμα ἀδύνατον, ἱκανῶς δέδεικται. ὅτι δὲ οὐδὲ πλείονα οὐδὲ πάντα, δείκνυσιν οὕτως. εἰ τοῦτό ἐστί φησι σῶμα τὸ πάντῃ διεστηκὸς, τουτέστι τὸ κατὰ πᾶσαν διάστασιν ἐπ᾽ ἄπειρον ἐκτεινόμενον, εἰ δὴ πάσας τὰς διαστάσεις κατείληφεν, οὐ δώσει χώραν ἄλλῳ εἶναι. ὥστε ἀδύνατον δύο ἢ πλείω ἄπειρα εἶναι. τοῦτο δὲ καὶ ἐπὶ τῆς προτέρας αὐτὸ ἥρμοζεν ὑποθέσεως λέγειν. εἰ γὰρ ὅλως ἕν τί ἐστιν ἄπειρον τὸν πάντα κατείληφε τόπον, ἀδύνατον ἄλλο τι εἶναι κἂν βραχύτατον ᾖ. δυνατὸν δὲ δεῖ καὶ τοῖς ἐκεῖ ἐλέγχοις χρήσασθαι καὶ ἐπὶ τούτων. λέγω δὴ εἰ μὴ πάντα τὰ συντιθέντα εἴη ἄπειρα ἀλλὰ τινά, ἀδύνατον ἄρα ἄπειρον σῶμα φυσικὸν εἶναι. καὶ τοῦτο εὐλόγως τοῖς προαποδεδειγμένοις ἠκολούθηκεν. εἰ γὰρ δέδεικται ὅτι εἴπερ ἐστὶ τὸ ἄπειρον πάντως ἐστὶν ἀρχή, οὐκ ἐξ ἀρχῆς, οὐδεμία δὲ ἀρχὴ κυρίως καὶ πρώτη σύνθετός ἐστιν, εἰκότως οὐδὲ ἄπειρον σύνθετον εἶναι ἐνδέχεται. μήποτε οὖν ἁπλοῦν ἐστιν. ἀλλὰ καὶ τοῦτο ἀδύνατον. εἰ γὰρ ἁπλοῦν ἐστι τὸ ἄπειρον, ἢ ἕν τι τούτων ἐστὶ τῶν στοιχείων, οἷον ἀὴρ ἢ ὕδωρ ἢ τῶν ἄλλων τι, ἢ ἕτερόν τι παρὰ ταῦτα, οἷον ἔλεγε τὸ μεταξὺ εἶναι Ἀναξίμανδρος. ὅτι μὲν οὖν οὔτε ἕν τι τῶν στοιχείων, οὔτε ἕτερόν τι παρὰ ταῦτα ἄπειρον εἶναι σῶμα δυνατὸν, κοινῷ τινι λόγῳ ἐλέγχει. ὅτι δὲ ὅλως ἀδύνατον σῶμά τι εἶναι ἕτερον τῶν στοιχείων μεταξὺ αὐτῶν ὂν καὶ ἀρχὴ τῶν ἄλλων, πρῶτον δείκνυσιν. εἰ γὰρ ἦν τί φησι μεταξὺ τῶν στοιχείων σῶμα εἴτε ἄπειρον εἴτε πεπερασμένον ἐξ οὗ τὰ ἄλλα τὴν γένεσιν ἔχει, ἐπειδὴ πᾶν ἐξ οὗ γίνεται εἰς τοῦτο καὶ διαλύεται, ἔδει καὶ τὰ στοιχεῖα φθειρόμενα εἰς αὐτὸ ἀναλύεσθαι. εἰ δὲ εἰς αὐτὸ ἀνελύετο, καὶ ἐφαίνετο ἂν τοῦτο ὅ,τι ποτὲ ἦν. ὡς γὰρ ὁ ἀὴρ ἐκ πυρὸς ἢ ὕδατος γινόμενος πάντως καὶ εἰς ταῦτα ἀναλύεται καὶ φαινόμενος ἐναργῶς, οὕτω κἀκεῖνα ἔδει φαίνεσθαι. ἀλλ᾽ οὐ φαίνεται ἕτερόν τι στοιχεῖον παρὰ τὰ τέσσαρα. οὐδ᾽ ἄρα ἐστίν. ἡ μὲν γὰρ ὕλη δυνάμει ἐστὶ καὶ τὰ ἐξ ὕλης γινόμενα, ὡς ἐξ ὕλης δυνάμει οὔσης γίνεται. οὐ γάρ ἐστιν ἐνεργείᾳ ἡ ὕλη, ἀλλ᾽ ἀεὶ εἰδοπεποιημένη ἐστί. καὶ διὰ τοῦτο καὶ τὰ ἀναλυόμενα εἰς αὐτὴν δυνάμει, εἰς τὴν ὕλην ἀναλύεται. καὶ εἰκότως οὐ φαίνεται, ἅτε μὴ οὖσα ἐνεργείᾳ. οὐδέποτε γάρ ἐστι κεχωρισμένη τῶν εἰδῶν. οὗτοι δὲ ἐνεργείᾳ φασὶν εἶναι τὸ μεταξύ. ὥστε καὶ ἔδει αὐτὸ φαίνεσθαι. ταῦτα δέ φησιν οὐχ ὡς οὐκ οὔσης μεταξύ τινος οὐσίας τῶν ἐναντίων. ἀνάγκη γὰρ πᾶσαν τὴν μεταβολὴν τὴν εἰς τὰ ἐναντία διά τινων μεσοτήτων γίνεσθαι. οὐ γὰρ ἄμεσος ἡ εἰς τὰ ἐναντία μεταβολή. ἀλλ᾽ οὐκ ἔστιν ὡρισμένον τι τοῦτο τὸ μεταξὺ, οὐδὲ στοιχεῖον τῶν ἄλλων, ἀλλ᾽ ὁδός τις ἐπὶ τὸ ἐναντίον. ὅτι δὲ οὐδ᾽ ὅλως ἐγχωρεῖ ἕν τι εἶναι στοιχεῖον ἁπλοῦν, εἴτε πῦρ, εἴτε ἀὴρ ᾖ, εἴτε ὁποιοῦν ἄλλο, καὶ τοῦτο κἂν ᾖ τι πεπερασμένον ἢ κἂν

τοσαύτη ἐστὶν ἡ ὑπεροχὴ τοῦ ποιοῦ πρὸς τὸ ποιὸν, ὅση ἡ ὑπεροχὴ τοῦ ποσοῦ πρὸς τὸ ποσὸν, ἀλλὰ πολὺ ἐλάττων ἡ τοῦ ποιοῦ ὑπεροχή. ἀλλ᾽ ὅμως ἐπειδὴ μὴ συναύξεται τῷ ποσῷ τὸ ποιὸν, δρᾷ μᾶλλον ἡ λυχνιαία φλὸξ εἰς τὸν ἀέρα σφοδροτέρα οὖσα, ἢ πάσχει ὑπ᾽ αὐτοῦ. ἀλλὰ κἂν τὸν ψυχρὸν ἀέρα μὴ περικλείσω μέχρι τῆς πόλεως, ἀλλ᾽ ἐπεκτείνω ἐπὶ πάντα τὸν κόσμον, ὥστε τὸν ἐν παντὶ τῷ κόσμῳ ἀέρα κατεψύχθαι ὁμοίως, οὐδὲν πλέον πείσεται ἡ λυχνιαία φλόξ. εἴγε καὶ νῦν τῆς καθ᾽ ἡμᾶς πάσης οἰκουμένης κατεψυγμένης, οὐδὲν ἡ περιεχομένη λυχνιαία φλὸξ πάσχει. ὥστε κἂν ἐπ᾽ ἄπειρον αὐξήσω τὸν ψυχρὸν ἀέρα, τὸ αὐτὸ συμβήσεται. ἔληφθω δὲ μὴ τοσοῦτον κατεψυγμένος, καὶ πεπαχυσμένος ὁ ἀὴρ, ὡς ἤδη ψεκάδας εἶναι, καὶ ὕδωρ. ἐπεὶ οὐκ ἀσθενέστερον τὸ ψυχρὸν λαμβάνομεν. ἀλλ᾽ ὀξίζον, ἢ οὐ πολὺ διαφέρον. ὅθεν καὶ μᾶλλον ποιεῖ, ἢ πάσχει κατὰ τὸν εἰρημένον τρόπον τῇ τοῦ ὁμοειδοῦς πολλοῦ ὄντος βοηθείᾳ. ὡς, εἰ καὶ ἀσθενέστερον ᾖ, οὐδὲν πείσεται κἂν ἄπειρον ᾖ. ἐπεὶ καὶ τῇ γῇ παρακειμένη λυχνιαία φλὸξ, δρᾷ μὲν εἰς αὐτὴν, πάσχει δὲ οὐδέν. καίτοι γε εἰ σφοδρότερον ἐγένετο τῇ τοῦ ποσοῦ αὐξήσει τὸ ποιὸν, ἐπεὶ τὸ μηδέν ἐστιν ἡ λυχνιαία φλὸξ πρὸς ὅλην τὴν γῆν, ἔδει πολλαπλασίονα εἶναι τὴν ὅλης τῆς γῆς ψύξιν τῆς λυχνιαίας θερμότητος. ὅπερ οὐχ ὁρῶμεν γινόμενον. καὶ τοῦτο εἰκότως. οὔτε γὰρ ὁ ἀὴρ, οὔτε ἡ γῆ καθ᾽ ὅλα ἑαυτὰ δρῶσιν εἰς τὰ παρακείμενα, ἀλλὰ καθ᾽ ἃ μόνα μόρια ἅπτονται τῶν παρακειμένων. ὅθεν ἀσθενεστέρας οὔσης τῆς ποιότητος, πάσχει μᾶλλον ὑπὸ τῆς παρακειμένης φλογὸς, ἢ ποιεῖ εἰς αὐτήν. τί οὖν ἄτοπον καὶ εἰ ἐν τινι τῶν συνθέτων τὸ ἄπειρον στοιχείων ἄπειρον μὲν ᾖ κατὰ μέγεθος, σφοδροτέρας δὲ ποιότητος ἐλλειπόντων ἄλλων πάσχειν μᾶλλον ὑπὸ τοῦ πεπερασμένου σφοδροτέραν ἔχοντος τὴν δύναμιν, ἢ ποιεῖν εἰς αὐτό. οὐ γὰρ καθ᾽ ὅλον αὐτὸ τὸ ἄπειρον δρᾷ εἰς τὸ πεπερασμένον, ἀλλὰ κατὰ τὸ παρακείμενον αὐτῷ μόριον. ὥσπερ οὐδὲ ὁ ἀὴρ ὁ περιέχων τὴν λυχνιαίαν φλόγα, καθ᾽ ὅλον ἑαυτὸν δρᾷ εἰς αὐτήν. ἐπεὶ τῷ ὄντι ἔσβεσεν ἂν τῷ πλήθει, καὶ τῇ συνεχείᾳ τῆς πάθους. πλειόνων γὰρ εἰς τὸ αὐτὸ συνεχῶς δρώντων, συμβαίνει ἀκμάζουσαν μὲν ἀεὶ τὴν ἐν τῷ ποιοῦντι δύναμιν ὑπάρχουσαν, κἂν ἀμυδρὰ ᾖ, ἢ ἐκβεβηκυῖα. παύει δὲ τὴν ἐν τῷ πάσχοντι. κἂν σφοδρότερον, ἢ μᾶλλον πάσχειν, ἢ ποιεῖν τὴν σφοδροτέραν ὑπὸ τῆς ἀμυδροτέρας. ἐν γοῦν λυχνιαίᾳ φλογὶ ῥανὶς ἐλαίου συνεχῶς ἐπιχεομένη, σβέσειεν ἂν τὴν φλόγα. εἰ τοίνυν μὴ καθ᾽ ὅλον ἑαυτὸ δρᾷ τὸ ἄπειρον, ἀλλὰ κατὰ τὸ παρακείμενον τῷ πεπερασμένῳ μορίῳ, ἔστι δὲ ἀμυδροτέρα ἡ ἐν αὐτῷ δύναμις, οὐδὲν μὲν δράσει εἰς τὸ πεπερασμένον. τὸ ἐναντίον δὲ, πείσεται ὑπ᾽ αὐτοῦ, καὶ ἀεὶ μὲν αὐξηθήσεται τὸ πεπερασμένον. οὔτε δὲ τὸ ἄπειρον ἐλάττω, οὔτε τὸ πεπερασμένον ἄπειρον γενήσεται. ἡ μὲν οὖν πρὸς τὸν λόγον ἔνστασις ἐπὶ τοσοῦτον. Ἐπιχειροῦσι δὲ λύειν αὐτοὶ τοιούτῳ τρόπῳ. πρῶτον γάρ φασι ψεῦδος τὸ τὰς φυσικὰς δυνάμεις μὴ καθ᾽ ὅλας ἑαυτὰς δρᾷν κἂν ἐν πολλῷ ὦσιν ὑποκειμένῳ. αἱ γοῦν ῥοπαί φασι προφανῶς τοιαῦται. ἐὰν οὖν δικαλίφιαῖον ἐπιτεθῇ βάρος τινὶ, ἅπτεται μὲν ὁ ὄγκος, οὐ καθ᾽ ὅλον ἑαυτὸν ᾧ ἂν ἐπιτεθῇ, ἀλλὰ κατὰ μόριον, μᾶλλον δὲ κατὰ τὴν ἐπιφάνειαν, δρᾷ δὲ καθ᾽ ὅλην τὴν δύναμιν τὴν ἐν τῷ παντὶ ὄγκῳ. τὴν γὰρ θλίψιν καθ᾽ ὅλην τὴν ῥοπὴν ποιεῖται. ἐὰν γοῦν ἀποτέμῃς κατὰ τὸ μέρος τὸ μὴ ἁπτόμενον τοῦ βαστάζοντος μόριον τοῦ ὄγκου, οἷον λιτρῶν δύο, καίτοι τῆς αὐτῆς πάλιν ἐπιφανείας ἁπτομένης τοῦ βαστάζοντος, ἡ θλίψις οὐχ ὁμοία γίνεται. ὡς δὴ καὶ τῆς ῥοπῆς τῆς ἐν τῷ ἀποκοπέντι μέρει, εἰ καὶ μὴ ἥπτετο τῷ μέρει ἐκείνῳ τοῦ βαστάζοντος, δρώσης τι μετὰ τοῦ παντὸς, οὕτως ἄρα ὅλη ὡς ὅλη ἐν τῷ σώματι ποιεῖν δύναμις πέφυκε, κἂν μὴ καθ᾽ ὅλον αὐτὸ ἅπτεται τὸ ποιοῦν τοῦ πάσχοντος. ὁμοίως καὶ ἐπὶ τῶν ὠθούντων, ἢ ἑλκόντων, ἅπτεται μὲν τοῦ ἑλκομένου, ἢ ὠθουμένου μόριόν τι τοῦ ὠθοῦντος, ἢ ἕλκοντος, οἷον χείρ. ἕλκει δὲ οὐχ ἡ ἐν τῇ χειρὶ μόνον δύναμις, ἀλλ᾽ ἡ ὅλου ὡς ὅλου τοῦ ζώου. δρῶσι γὰρ πολλὰ καὶ πάσχει κατὰ ὅλα τοῖς μέρεσι. τοῖς γὰρ ποσὶν βαδίζομεν ὅλοι κινούμενοι, καὶ οἰκοδομοῦμεν ταῖς χερσὶ καθ᾽ ὅλους αὐτοὺς ἐνεργοῦντες, καὶ ἐπὶ πολλῶν ἄλλων ὡσαύτως. εἰ τοίνυν οὕτω ταῦτα ἔχει, καὶ τὰ θερμαίνοντα ἄρα, καὶ ψύχοντα, καὶ ξηραίνοντα, καὶ ὑγραίνοντα, καὶ ἐπὶ τῶν ἄλλων παθητικῶν ποιοτήτων, κἂν κατὰ μέρη ἅπτηται τὰ ποιοῦντα, ἀλλ᾽ οὖν καθ᾽ ὅλην τὴν ἐν αὐτοῖς δύναμιν ἐνεργεῖ. καθ᾽ ὅλην δὲ ἐνεργοῦντα, ἀπείρου ὄντος τοῦ ὑποκειμένου, συναύξεσθαι ἀνάγκη καὶ τὴν δραστήριον δύναμιν. ἄπομεν γὰρ ὡς ὅταν τι πλείοσι μορίοις εἰς ἓν καὶ τὸ αὐτὸ δρᾷ ἔλαττον ὂν πολὺ κατὰ μέγεθος, κἂν ὑφεῖται τῇ δυνάμει τὸ ποιοῦν, ἀλλ᾽ οὖν περιέστι τῷ πλήθει τῶν δρώντων μορίων πολλῶν ὄντων. εἰ δὲ ταῦτα, ἀεὶ τὸ μεῖζον πλεῖον δράσει. τὸ ἄπειρον ἄρα ἄπειρον ἕξει τὴν δραστήριον δύναμιν. Ἀλλὰ πρὸς ταῦτα ἐροῦμεν, ὅτι οὐχ ὅπερ ἐπὶ τῶν ῥοπῶν συμβαίνει, τοῦτο ἀνάγκη καὶ ἐπὶ τῶν βασιλικῶν ποιοτήτων συμβαίνειν. οὐδὲ γὰρ τὸ αὐτὸ εἶδος ποιότητος θερμότης, καὶ βαρύτης. ἡ μὲν γὰρ θερμότης, καὶ ψυχρότης, καὶ αἱ ὅμοιαι, δραστικαί εἰσι, καὶ ἀλλοιωτικαὶ ποιότητες. κουφότης δὲ καὶ βαρύτης, κατὰ τόπον κινητικαί. οὐκ ἀνάγκη δὲ τοῖς διαφόροις κατ᾽ εἶδος δυνάμεσι τὰ αὐτὰ ὑπάρχειν. ἰδοὺ γοῦν καὶ τὸ σχῆμα, ποιότης μὲν, οὐδαμῶς δὲ παθητική. ἐναργῶς μὲν οὖν ὁρῶμεν μὴ καθ᾽ ὅλον ἑαυτὸν ἀέρα δρῶντα εἰς ἡμᾶς, ἀλλὰ κατὰ μόνον τὸν προσεχῶς περιέχοντα. ἐπεὶ τὰ αὐτὰ πάσχειν ἔδει ἀλλήλοις πάθη τοὺς ἐν σκυθίᾳ, καὶ τοὺς ἐν τῇ αἰθιοπίᾳ. καὶ τί λέγω τοὺς πλεῖστον ἀλλήλων διεστῶτας. τοὺς γοῦν ἐν τῷ αὐτῷ τόπῳ ὄντας, διάφορα πάσχοντα ὁρῶμεν, ὅταν οἱ μὲν ὑπὸ τὴν ὕλην τοῦ ἡλίου ἑστῶσιν, οἱ δὲ ὑπὸ σκιάν, γραμμῆς πολλάκις διοριζούσης μόνον αὐτοὺς ἀπ᾽

πλῆθος τοῦ ποιοῦ. δυναμικώτεραι γὰρ γίνονται αἱ ποιότητες, ὅταν ἀθρόαι ὦσιν αἱ ὁμοειδεῖς. καὶ τοῦτο δῆλον, καὶ ἐπὶ τῶν ῥοπῶν ἐστιν ἰδεῖν σαφέστερον. ἐὰν γὰρ δύο λιτριαῖα βάρη συνάψῃς ἅμα, τὸ ἐξ ἀμφοῖν συγκείμενον βαρύτερον ἀμφοτέρων ἔσται. οὐ γὰρ μόνον διλιτριαῖον ἕξει βάρος, ἀλλὰ πλεῖον. ὡσαύτως κἂν διλιτριαῖον μέγεθος μερίσῃς εἰς δύο ἴσα, οὐχ ἕξει ἑκάτερον τῶν μερῶν λίτρας βάρος, ἀλλ' ἧττον. οὕτως ἄρα συνιόντα μὲν τὰ ὁμοειδῆ δυναμικώτερα γίνεται. διαιρούμενα δὲ, ἀσθενέστερα. ὁμοίως καὶ ἐν ταῖς κινήσεσιν, ὅσῳ ἂν πλείω ἐπισυνθῇς βάρη, θᾶττον κινεῖται. καὶ διῃρημένα μὲν πέντε τυχὸν λιτριαῖα σώματα κἂν ἅπτηται ἀλλήλων, οὐ ταχεῖαν οὕτω τὴν κίνησιν ποιήσεται. συναχθέντα δὲ καὶ εἰς ἓν ἀχθέντα θᾶττον πάνυ κινηθήσεται. ὁμοίως καὶ ἐπὶ τῶν κούφων. ὥσπερ δ' ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τοῦ θερμοῦ ἔχει καὶ ψυχροῦ, καὶ τῶν λοιπῶν ἐναντιώσεων. ἐὰν γοῦν τὸ αὐτὸ ξύλον ἐν μικρᾷ τε, καὶ μεγάλῃ φλογὶ ἐμβάλῃς, θᾶττον ἐν τῇ μεγάλῃ ἐμβληθὲν καταδαπανηθήσεται, ἢ ἐν τῇ μικρᾷ. ὥστε κἂν ᾖ ἔλαττον τῇ ποιότητι τὸ ἄπειρον, ἀλλ' οὖν τῷ μεγέθει καὶ τῇ ἐπ' ἄπειρον συνθέσει τῶν ὁμοιομερῶν, ἐπ' ἄπειρον καὶ τὸ ποιὸν αὐξηθήσεται. εἰ γὰρ ἐπισυντεθέντα τὰ μόρια ῥώννυσι τὴν ποιότητα καὶ αὔξει, ἐπ' ἄπειρον δήπου συντιθέμενα, ἐπ' ἄπειρον αὐξήσει. ὥστε ἄπειρος ἔσται ἐξ ἀνάγκης ἡ ἐν τῷ ἀπείρῳ δύναμις. ἄπειρος δὲ οὖσα, φθείρει τὰ λοιπὰ ἐξ ἀνάγκης. οὐκ ἄρα δυνατὸν ἐστὶν εἶναι ἄπειρον.

Φέρεται δὲ πρὸς τοῦτον τὸν λόγον ἔνστασις τοιαύτη, ὅτι οὐκ ἀνάγκη συναύξεσθαι τῷ ποσῷ τὸ ποιόν. οὐδὲ γὰρ εἰ λάβοι διλιτριαῖον σῶμα ψιμυθίου ἔχον τοσόνδε μέτρον λευκότητος, εἶτα τοῦτο πολυπλασιάσω, ἐπισυνθεὶς πολλὰ ἴσῳ μεγέθει ἤδη τὸ ὅλον λευκότερον ποιῶ. ἀλλ' οὐδ' εἰ μεγάλην βῶλον εἰς μόρια κατατέμω, ἀμυδροτέρα γίνεται ἡ ἐν τοῖς μορίοις λευκότης τῆς ἐν τῷ ὅλῳ λευκότητος. ἀλλ' οὐδὲ εἰ εἰς δεξαμενὴν πλείονα ὕδατα ὁμοειδῆ ἐπιχέω, τὸ ὅλον ἑκάστου τῶν μερῶν ψυχρότερον γίνεται. ὁμοίως οὐδ' ἂν εἰ τεθερμασμένα πλείω ἅμα ἐμβληθείη ἑκάστου τῶν μερῶν τὸ ὅλον θερμότερον γίνεται. εἰ δὲ φαίνεται τὸ αὐτὸ ξύλον ὑπ' ἐλάττονος μὲν φλογὸς ἐν πλείονι χρόνῳ καιόμενον, ὑπὸ πλείονος δὲ ἐν ἐλάττονι, οὐχ ὡς τῆς καυστικῆς ποιότητος σφοδροτέρας γινομένης τοῦτο συμβαίνει, ἀλλ' ἐπειδὴ πᾶν τὸ πάσχον ὑπό τινος ἐπὶ τῶν ὁμοΰλων πάντως καὶ ἀντιδρᾷ εἰς τὸ ποιοῦν. τὸ δὲ μικρότερον πάντως πάσχει ὑπὸ τοῦ μείζονος, ἢ ποιεῖ εἰς αὐτὸ, οὐ διὰ τὸ σφοδροτέραν εἶναι τὴν τοῦ πλείονος ποιότητα, ἀλλ' ὅτι δυσπαθέστερόν ἐστι συνηγμένον ἕκαστον, ἢ διεσπασμένον τῆς ὁλότητος. ὥσπερ οὖν εὐπαθέστερον γίνεται διεσπασμένον, οὕτω δυσπαθέστερον ἀθρόον ὑφεστηκός. καὶ τοῦτο εὐλόγως συμβαίνει. ἐπεὶ γάρ ἐστιν ἐν τῷ πολλῷ μεγέθει πολλὰ μόρια ὁμοειδῆ, ἕκαστον δὲ δηλονότι δραστήριον ἔχει δύναμιν, ὅταν τὸ παρατεθὲν ἐναντίον μικρὸν ὂν δράσῃ τι εἰς τὸ μόριον, εὐθὺς τὰ παρακείμενα ὁμοειδῆ τοῦ παθόντος μόρια ἁπτόμενα αὐτοῦ τοῦ παθόντος, δρᾷ καὶ αὐτὰ εἰς αὐτὸ, καὶ οὐκ ἐᾷ μεταβληθῆναι. ἀλλ' ἅμα τῷ παθεῖν εἰς τὴν ἀρχαίαν ἀποκαθίστησι φύσιν. καὶ ταύτῃ συμβαίνει πάσχοντος μὲν τοῦ παρατεθέντος ἐναντίου, μὴ ἰσχύοντος δὲ εἰς τὰ ποιοῦντα μόρια ἀντιδρᾶσαι. ἐξ οὗ συνέβαινεν ἀσθενεστέραν μὲν τὴν δραστήριον αὐτῶν γενέσθαι δύναμιν, θάττονα δὲ γίνεσθαι τὴν μεταβολήν. οἷόν τι λέγω. ὑποκείσθω πυρκαϊὰ μεγάλη, ἐπέχουσα βάθος δέκα πήχεων. ὅταν οὖν εἰς ταύτην ἐμβληθῇ μικρὸν ξύλον, δρᾷ μὲν πάντως καὶ τὸ ξύλον εἰς τινὰ μόρια τῆς πυρκαϊᾶς, οἷς παρετέθη. οἷον εἰς πῆχυν ἕνα. ἀλλ' ἐπειδὴ τοῦ παθόντος τούτου πήχεως τοῦ πυρὸς εἰσὶ συμφυεῖς ἕτεροι ὁμοειδεῖς μηδὲν πεπονθότες, ἔχοντες καὶ αὐτοὶ δηλονότι τὴν δραστήριον δύναμιν, εὐθὺς δρῶσιν εἰς τὸ ἀρξάμενον πάσχειν, καὶ ἀποκαθιστῶσιν εἰς τὴν αὐτοῦ φύσιν, καὶ τὸ μὲν ἁπτόμενον τοῦ ξύλου πῦρ βοηθούμενον ὑπὸ τῶν παρακειμένων ὁμοειδῶν οὐ πάσχει τι ὑπὸ τοῦ ξύλου. τὸ μέντοι ξύλον μικρὸν ὂν καὶ πανταχόθεν πάσχον μὲν ὑπὸ τοῦ πυρὸς, ἀντιδρᾶσαι δὲ μὴ δυνάμενον, θάττονα ποιεῖται τὴν μεταβολήν. εἰ δέ γε ἐν μικρᾷ πυρκαϊᾷ μέγα ξύλον ἐμβληθῇ, διὰ τὸ μᾶλλον ποιεῖν ἢ πάσχειν, χρονιωτέραν ποιεῖται τὴν μεταβολήν. τὸ γὰρ πάσχον τοῦ πυρὸς οὐκ ἔχει τὸ παρακείμενον ὁμοειδὲς καὶ βοηθοῦν, καὶ ἐπανάγον τὴν πεπονθυῖαν δύναμιν. διὰ ταύτην οὖν τὴν αἰτίαν αὐξόμενον τὸ ποσὸν δραστικώτερον δοκεῖ εἶναι, οὐ διότι τὸ ποιὸν τῷ ποσῷ συναύξεται. καὶ γὰρ ἄλλως ἄλογόν ἐστι, καὶ αἴτημα παντελῶς τὸ, τῷ ποσῷ δεῖν λέγειν συναύξεσθαι καὶ τὸ ποιόν. οὕτω γὰρ ἔδει πάντως ἐπὶ τῶν ὁμοειδῶν τὸ τὸν μείζονα ὄγκον ἔχον, σφοδροτέραν ἔχειν τὴν δύναμιν. νῦν δὲ οὐκ ἀνάγκη. τὸ πέπερι γοῦν πλείονα ἔχει κατὰ τὴν θερμὴν ποιότητα δύναμιν τῆς μεγάλης ῥαφανίδος. καὶ μή τις εἴπῃ ὅτι ἄλλο καὶ ἄλλο εἶδος θερμότητος. αὐτὸ γοῦν τοῦτο πρόκειται δεῖξαι, ὅτι τοῦ θερμοῦ ᾗ θερμόν ἐστι, μηδὲν διαφέροντος, ἐπιτείνεσθαι συμβαίνει αὐτὸ καὶ ἀνίεσθαι οὐ πρὸς τὸ μέγεθος τῶν ὄγκων, ἀλλὰ πρὸς τὴν ἐπιτηδειότητα τῶν δεχομένων. οὐκ ἄρα τῷ ποσῷ τὸ ποιὸν πέφυκε συναύξεσθαι. εἰ δὲ μὴ τῷ ποσῷ τὸ ποιὸν συναύξεται, οὐκ ἀνάγκη εἰ τὸ ἓν τῶν συμπληρούντων τὸ ἄπειρον στοιχείων, ἄπειρον μὲν εἴη κατὰ τὸ μέγεθος, τῷ δὲ ποιῷ ὑφειμένον εἴη τῶν ἄλλων κατὰ τὸ δραστήριον, συναύξεσθαι τὸ ποιὸν τῇ ἀπειρίᾳ τοῦ μεγέθους. ἀλλ' ὥσπερ δυνατὸν ἐπὶ πολὺ τοῦ ὄγκου αὐξομένου μὴ συναύξεσθαι τὴν δύναμιν, οὕτω δήπου κἂν ἐπ' ἄπειρον αὐξηθῇ, οὐδὲν πλέον ἐπιταθήσεται. καὶ τούτου καὶ ἐκ τῆς ἐναργείας ἡ πίστις. ὑποκείσθω γὰρ ὁ περὶ τὴν πόλιν πᾶσαν ἀὴρ κατεψυγμένος ἄγαν. ἁπτέσθω δὲ λυχνιαία φλόξ. καίτοι εἰ τῷ ποσῷ τὸ ποιὸν συναύξεται, ἔδει κατασβεσθῆναι τὴν λυχνιαίαν φλόγα ὑπὸ τοῦ ἀέρος. οὐ γὰρ δήπου

τοσαύτη

δεύτερον, ἐκ τῶν τόπων τῶν σωμάτων· τοῦ ἄνω τοῦ κάτω, καὶ πρός τι, ἐκ τῶν ῥοπῶν· βαρέος λέγω καὶ κούφου· καὶ τελευταῖον, καὶ ἐξ ἄλλων τινῶν οἰκείων. πρῶτον μὲν οὖν ἐκ τῶν φυσικῶν δυνάμεων ἐλέγχει τὸ ἄπειρον. προάγει δὲ κατὰ διαίρεσιν τὸν λόγον. εἰ γάρ ἐστι σῶμα ἄπειρον, ἀνάγκη πᾶσα, ἢ ἁπλοῦν εἶναι τοῦτο, ἢ σύνθετον. ἀλλ' εἴτε ἁπλοῦν ἄν, εἴτε σύνθετον, ἀδύνατον αὐτὸ ἄπειρον εἶναι. ὅλως ἄρα ἄπειρον σῶμα οὐκ ἔστι. πρότερον δὲ δείκνυσιν, ὅτι σύνθετον σῶμα οὐκ ἐνδέχεται ἄπειρον εἶναι. εἰ γὰρ σύνθετον ἄν, ἢ ἐξ ἀπείρων ἔσται στοιχείων συγκείμενον, ἢ ἐκ πεπερασμένων. ἐξ ἀπείρων μὲν οὖν ἀδύνατον. ἔν τε γὰρ τῷ πρώτῳ λόγῳ δέδεικται, ὅτι ἀδύνατον ἄπειρα εἶναι στοιχεῖα. δείξει δὲ καὶ ἐν τῷ περὶ οὐρανοῦ, καὶ μάλιστα ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς. εἰ γὰρ ἄπειρά φησι τὰ στοιχεῖα, ἀνάγκη πᾶσα, καὶ τὰς ἐναντιώσεις ἀπείρους εἶναι. εἰ γὰρ μὴ ἄπειροι εἶεν αἱ ἐναντιώσεις αἱ γεννῶσαι τὰ στοιχεῖα, ἀλλὰ πεπερασμέναι, πᾶσα ἀνάγκη, καὶ τὰ ἐξ αὐτῶν συγκείμενα πεπερασμένα εἶναι. αἱ γὰρ συμπλοκαὶ πεπερασμέναι γίνονται. εἰ δὲ ἄπειροι ἔσονται αἱ ἐναντιώσεις, ἐπειδὴ ἑκάστη ἐναντίωσις δύο περιέχει ποιότητας· τὰ γὰρ ἐναντία τοὐλάχιστον δύο ἐστί, συμβαίνει διπλάσια εἶναι τὸ ἄπειρον. ὅπερ ἄτοπον. ἀδύνατον ἄρα ἄπειρα εἶναι τὰ στοιχεῖα. ὥστε οὐ δυνατὸν ἐξ ἀπείρων εἶναι. εἰ δὲ ἐκ πεπερασμένων κατὰ πλῆθος, ἢ ἕν τι ἐξ αὐτῶν ἐστι κατὰ μέγεθος ἄπειρον, ἢ πλείονα, ἢ πάντα, ἢ οὐδὲ ἕν. εἰ μὲν οὖν μηδὲν αὐτῶν εἴη ἄπειρον, πεπερασμένα ἔσται ὥστε ἀνάγκη, ἢ ἕν, ἢ πλείονα, ἢ πάντα ἄπειρα εἶναι. καὶ πρῶτόν γε δείκνυσιν ὅτι ἀδύνατον ἕν τι αὐτῶν εἶναι ἄπειρον. καὶ τούτου μὲν δειχθέντος, συναποδεδειγμένον ἔσται, ὅτι οὐδὲ πλείονα δυνατὸν εἶναι ἄπειρα. εἰ δὲ πλείονα, πολλῷ μᾶλλον πάντα. ὅμως δείξει ἰδίᾳ, ὅτι οὐδὲ πλείονα δυνατὸν εἶναι. ὅτι οὖν οὐκ ἐνδέχεται ἕν τι εἶναι ἄπειρον τῶν στοιχείων ἐξ ὧν τὸ ἄπειρον σύγκειται, δείκνυσιν οὕτως. ἅπαν σῶμα φυσικὸν περὶ ὧν καὶ ποιούμεθα τὸν λόγον, δύναμίν τινα σύμφυτον ἔχει ἐν ἑαυτῷ, ἢ θερμότητα, ἢ ψυχρότητα, ἢ ξηρότητα, ἢ ὑγρότητα. ἀνάγκη οὖν πᾶσα, εἴ τι ἐστὶ σῶμα σύνθετον, ἰσάζειν κατὰ τὰς δυνάμεις τὰ συντεθέντα αὐτῷ. ἵνα οὕτως ἕν τι κρᾶμα ἐξ αὐτῶν γένηται· μηδενὸς ἐπικρατεστέρου γινομένου, ἀλλὰ τοῦ ἑκάστου ἀμβλέως ὑπὸ τῆς θατέρου ἐναντίας δυνάμεως κεκλασμένης. εἰ γὰρ ἐπικρατέστερον εἴη ἕν τι ἐξ αὐτῶν, φθείρει τὰ λοιπά, καὶ μεταβάλλει εἰς ἑαυτό. ἐὰν τοίνυν τὸ ἄπειρον σύνθετον ὂν ἕν τι ἔχῃ τῶν συνθέτων ἄπειρον, ἐπειδὴ πᾶσα ἀνάγκη τὸ ἄπειρον τῷ ὄγκῳ σῶμα ἄπειρον ἔχειν καὶ τὴν δύναμιν, ἀπείρου οὔσης ἐν τῷ ἀπείρῳ τῆς δυνάμεως, καταδαπανήσει αὐτὴ τὰ λοιπά, καὶ μεταβαλεῖ εἰς ἑαυτήν. καὶ οὕτω πάλιν τὸ ὅλον ἁπλοῦν ἔσται καὶ ἀσύνθετον. κἂν γὰρ τὸ ἄπειρον ἐν ἴσῳ ὄγκῳ ἀσθενεστέραν ἔχῃ τὴν δύναμιν, καὶ μὴ οὕτω σφοδρὰν ὡς τὸ πεπερασμένον, ἀλλ' οὖν ἐπειδὴ ἐν μεγέθει ἐστὶν ἀπείρῳ, ὑπερβαλεῖ ταύτῃ παντὸς πεπερασμένου καὶ φθερεῖ τὴν ἐν αὐτῷ πεπερασμένην δύναμιν, κἂν σφοδροτέρα ᾖ. ὑποκείσθω γὰρ ἐν τῷ ἀπείρῳ ἕν τι τῶν συνθέτων αὐτῷ. οἷον τὸ ὕδωρ ἄπειρον ὂν κατὰ μέρος. ἕτερον δὲ τὸ πῦρ πεπερασμένον κατὰ μέγεθος. καὶ ἔστω ἡ μὲν ἐν τῷ ὕδατι, οἷον ἡ ψυχρά, πολλῷ ἀσθενεστέρα οὖσα τῆς ἐν τῷ πυρί, λέγω δὴ τῆς θέρμης, ἐν τῷ ἴσῳ ὄγκῳ. ἐὰν μὲν οὖν λάβω δύο ἰσόγκα σώματα ἐξ ἀμφοῖν, οἷον ξέστην ἀφ' ἑκάστου, ἐπειδὴ ἡ ἐν τῷ ξέστῃ τοῦ πυρὸς θερμότης σφοδροτέρα ἐστίν, ἤπερ ἡ ἐν τῷ ξέστῃ τοῦ ὕδατος ψῦξις ψυχρά, καταδαπανήσει δηλονότι ἡ θερμότης τὴν ψῦξιν. δύο γὰρ οὐσῶν ἐναντίων δυνάμεων, νικᾶται ἡ ἐλάττων ὑπὸ τῆς μείζονος. καὶ ἔστω ἡ ἐν τῷ ἰσόγκῳ πυρὶ θερμότης δεκαπλασίως θερμοτέρα οὖσα, ἤπερ ἡ ἐν τῷ ἴσῳ ὕδατι ψῦξις ψυχρά. ἀλλ' εἰ καὶ δραστικωτέρα ἐστὶ τοσούτοις μέτροις ἡ ἐν τῷ ἰσόγκῳ πυρὶ θερμότης, ἐὰν δεκαπλασιάσω τὸν ὄγκον τοῦ ὕδατος, καὶ λάβω δέκα ξέστας ὕδατος, ἐξισωθήσεται ἡ ἐν τοῖς δέκα ξέσταις τοῦ ὕδατος ψῦξις τῇ θερμότητι τῇ ἐν τῷ ξέστῃ τοῦ πυρός. ἐπεὶ οὖν τὸ πῦρ σφοδροτέραν ἔχον δύναμιν ὑπόκειται τῷ ὄγκῳ πεπερασμένον εἶναι, πάντως δὲ πεπερασμένου πρὸς πεπερασμένον ἐστί τις λόγος, ἕξει δηλονότι, καὶ ἡ ὁλότης τοῦ πυρὸς πρὸς τὸ μόριον αὐτῆς τὸ ληφθὲν λόγον τινά. ἔστω οὖν μυριοπλασίων. ἐπεὶ οὖν ὁ ξέστης τοῦ πυρὸς ἴσην δύναμιν εἶχε τοῖς δέκα ξέσταις τοῦ ὕδατος, δυνατὸν δήπου καὶ τῇ ὁλότητι τοῦ πυρὸς ἀνάλογον τῷ μέρει ἐκ τοῦ ἀπείρου ὕδατος λαβεῖν. ἐὰν οὖν λάβω δέκα μυριάδας ξεστῶν ὕδατος, ἐξισωθήσεται ἡ ψῦξις ἡ ἐν τούτοις τῇ θερμότητι τῇ ἐν ταῖς μυρίαις ξέσταις τοῦ πυρός. ἐπεὶ οὖν ἄπειρον ὑπόκειται τὸ ὕδωρ, τοῦ δὲ ἀπείρου πρὸς τὸ πεπερασμένον οὐδείς ἐστι λόγος, ἀπειροπλασίων δηλονότι ἔσται ἡ ἐν τῷ ὅλῳ ὕδατι ψῦξις τῆς ἐν τῷ ληφθέντι αὐτοῦ μέρει ψύξεως. ἥτις καὶ ἰσάζουσα ἦν τῇ θερμότητι τῇ ἐν τῇ ὁλότητι τοῦ πυρός. εἰ δὲ τοῦτο, ἡ ἐν τῷ ὅλῳ ἄρα ὕδατι ψῦξις ἀπειροπλασίων ἔσται τῆς δυνάμεως τῆς ἐν τῷ ὅλῳ πυρὶ θερμότητος. καταδαπανήσει ἄρα αὐτὴν καὶ μεταβαλεῖ, καὶ οὕτως ἔσται ἁπλοῦν τὸ ὅλον καὶ οὐ σύνθετον. ἀδύνατον ἄρα ἕν τι αὐτῶν εἶναι ἄπειρον. καὶ τοῦτο καὶ ἐξ αὐτῆς τῆς ἐναργείας δῆλον. μικρὸν μὲν οὖν ὕδωρ ἐμβληθὲν λαμπάδι μεγάλῃ φθείρεται, καὶ εἰς τὴν τοῦ πυρὸς οὐσίαν μεταβάλλει. εἰ δὲ ἡ λαμπὰς ἐκείνη εἰς δεξαμενὴν ὕδατος ἐμβληθῇ, τοὐναντίον πάσχει. φθείρεται γὰρ καὶ μεταβάλλει. καίτοι σφοδροτέρα γε ἡ τοῦ πυρὸς θερμότης τῆς τοῦ ὕδατος ψύξεως, εἴπερ τοῦ μὲν ὕδατος ἡ ψῦξις στοιχειώδης, τοῦ δὲ διακαιομένου πυρὸς ἡ θερμότης ὑπερβολή ἐστι τῆς στοιχειώδους θερμότητος. ὥσπερ καὶ ἡ τοῦ κρυστάλλου ψῦξις, ὑπερβολή ἐστι τῆς στοιχειώδους ψύξεως. ἀλλ' ὅμως καίτοι σφοδροτέρας οὔσης τῆς δυνάμεως τοῦ πυρὸς διὰ τὸ πολὺ εἶναι τὸ ποσὸν τοῦ ὕδατος, καίτοι τῆς ποιότητος τῆς ἐν ὕδατι ἠρεμαιοτέρας οὔσης, ὅμως περιγίνεται τῆς τοῦ πυρὸς θερμότητος ἡ ἐν τῷ ὕδατι ψῦξις διὰ τὸ

οὕτως οὐσίαν τὸ ἄπειρον λέγει ἐν τῷ λόγῳ τοῦ ἀπείρου τὸ εἶναι ἔχουσαν, τούτῳ πῶς οὐκ ἂν εἴη καὶ τῶν μερῶν ἕκαστον ἄπειρον. ὡς γὰρ τὸ μέρος τοῦ ὕδατος ὕδωρ ἐστὶν ἐπειδὴ τὸν αὐτὸν ἔχει λόγον, οὕτω καὶ τοῦ ἀπείρου τὸ μέρος ἄπειρον. ἐπεὶ οὖν πολλὰ τὰ μέρη, μᾶλλον δὲ ἐπειδὴ καὶ τῶν μερῶν ἕκαστον ἐπ᾽ ἄπειρον διαιρετὸν, ἀνάγκη εἶναι ἀπειράκις τὸ αὐτὸ ἄπειρον. ὅπερ ἄτοπον.

» ΕΙ΄ΠΕΡ οὐσία τὸ ἄπειρον, καὶ μὴ καθ᾽ ὑποκειμένου. ὥστ᾽ ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν. πολ-
» λὰ δ᾽ ἄπειρα εἶναι τὸ αὐτὸ ἀδύνατον.

T ὁ καθ᾽ ὑποκειμένου ἀντὶ τοῦ ἐν ὑποκειμένῳ. τουτέστιν εἴπερ οὐσία ἐστὶ καὶ μὴ συμβεβηκός.

» . ΑΛΛΑ μὴν, ὥσπερ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου. εἴγε οὐσία ἐστὶ καὶ ἀρχή. ἀμέ-
» ριστον ἄρα καὶ ἀδιαίρετον. ἀλλ᾽ ἀδύνατον τοῦτο ἐντελεχείᾳ ὂν ἄπειρον. ποσὸν γάρ τι εἶναι ἀναγκαῖον.
» κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει οὕτω τὸ ἄπειρον. ἀλλ᾽ εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἀρ-
» χὴν λέγειν ἀλλ᾽ ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα, ἢ τὸ ἄρτιον. ὥστε ἀτόπως ἂν ἀποφαίνοιντο, οἱ λέγοντες
» ἐκεῖνο καθάπερ οἱ πυθαγόρειοί φασιν.

T οὕτω συνεχὲς τῷ ἀνωτέρω ῥητῷ. ἔστιν οὖν ἡ ὅλη τοῦ ῥητοῦ σύνταξις αὕτη. μετὰ τὸ, εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ᾽ ὑποκειμένου, σύναπτοι ἐφεξῆς, ὥσπερ γὰρ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου, εἴγε ἐστὶν οὐσία τις καὶ ἀρχή. εἶτα σύναπτον, ὥστε ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν. πολλὰ δὲ ἄπειρα τὸ αὐτὸ εἶναι ἀδύνατον. εἶτα πάλιν σύναπτον, ἀμέριστον ἄρα καὶ ἀδιαίρετον.

» ΑΜΑ γὰρ οὐσίαν ποιοῦσι τὸ ἄπειρον, καὶ μερίζουσιν.

K ακῶς φησιν οἱ ἀποφαινόμενοι αὐτὸ οὐσίαν εἶναι τὸ ἄπειρον. συμβαίνει γὰρ αὐτοῖς τὸ αὐτὸ μεριστὸν, καὶ ἀμέριστον ποιεῖν, καὶ οὐσίαν καὶ συμβεβηκός. οὐσίαν μὲν γὰρ αὐτὸ λέγουσιν εἶναι. λέγοντες δὲ αὐτὸ ἄπειρον, εὐθὺς καὶ ποσὸν ποιοῦσιν, ἐπειδὴ τὸ ἄπειρον διαιρετόν. ἀλλὰ μὴν εἴγε οὐσία ἐστὶ τὸ ἄπειρον, δέδεικται, ὅτι ἀδιαίρετον ἔσται. ὥστε τὸ ἀδιαίρετον διαιρετὸν ποιοῦσι, καὶ τὴν οὐσίαν συμβεβηκός.

» ΑΛΛ᾽ ἴσως αὕτη μὲν ἐστι καθόλου ἡ ζήτησις μᾶλλον, εἰ ἐνδέχεται τὸ ἄπειρον καὶ ἐν τοῖς μαθημα-
» τικοῖς εἶναι, καὶ ἐν τοῖς νοητοῖς, καὶ ἐν τοῖς μηδὲν ἔχουσι μέγεθος. ἡμεῖς δ᾽ ἐπισκοποῦμεν περὶ τῶν αἰσθη-
» τῶν, καὶ περὶ ὧν ποιούμεθα τὴν μέθοδον, ἆρ᾽ ἔστιν ἐν αὐτοῖς, ἢ οὐκ ἔστι σῶμα ἄπειρον ἐπὶ τὴν αὔξησιν.

B ἐπειδὴ ἔδειξεν ὅτι οὐ δυνατὸν τὸ ἄπειρον οὐσίαν εἶναι, ἄπειρον λέγων τὸ κατὰ τὴν ἔκτασιν, οὐ τοιοῦτον δ᾽ ἐκεῖνοι ἄπειρον ἐν ταῖς ἰδέαις ὑπετίθεντο, τὸ περὶ τούτου φησὶ ζητεῖν εἰ ἔστιν οὐσία τις ἀπείρου καὶ αὐτὴ, εἴτε ἐν τοῖς μαθήμασιν ἐστὶν, εἴτε ἐν τοῖς εἴδεσι, κοινοτέρας ἂν εἴη πραγματείας ζητῆσαι τῆς σκοπούσης περὶ τῶν ἀρχῶν πάντων τῶν ὄντων ᾗ ὄντα ἐστί. τῆς δὲ προκειμένης μεθόδου ἴδιον φυσικῆς οὔσης τὸ ζητῆσαι εἰ ἔστι σῶμα ἄπειρον κατὰ τὴν ἔκτασιν, μήτε ἀρχὴν ἔχον κατὰ μέγεθος, μήτε πέρας. ὅτι οὖν οὐκ ἔστι τοιοῦτόν τι σῶμα οἷον καὶ οἱ φυσικοὶ ὑπετίθεντο, ἐφεξῆς προτίθεται δεῖξαι.

» ΛΟΓΙΚΩΣ μὲν οὖν σκοπουμένοις, ἐκ τῶν τοιῶνδε δόξειεν ἂν οὐκ εἶναι. εἰ γάρ ἐστι σώματος λό-
» γος τὸ, ἐπιπέδῳ ὡρισμένον, οὐκ ἂν εἴη σῶμα ἄπειρον, οὔτε νοητὸν, οὔτε αἰσθητόν.

Δ είξας ὅτι οὐκ ἔστι τὸ ἄπειρον οὕτως ὡς οὐσία αὐτὸ καθ᾽ αὑτὸ οὐκ ἐν τούτῳ οὐσιωμένον ἐν τῷ ἄπειρον εἶναι ὥσπερ οἱ πυθαγόρειοι ἔλεγον, λοιπὸν προτίθεται νῦν δεῖξαι, ὅτι οὐδ᾽ οὕτως ἐστὶ τὸ ἄπειρον ὥσπερ οἱ φυσικοὶ ἔλεγον, οὐκ οὐσιῶσθαι μέν τι ἐν τῷ ἀπείρῳ, ἀλλ᾽ εἶναι μὲν τὴν οὐσίαν ἕτερόν τι, οἷον ὕδωρ ἢ ἀέρα, ἢ τὸ μεταξύ. τοῦτο δὲ κατὰ τὸ μέγεθος ἄπειρον εἶναι. ὅτι οὖν οὐκ ἔστιν οὐδ᾽ οὕτω τὸ ἄπειρον, πρότερον μὲν ὥς φησι λογικῶς δείκνυσι, τουτέστι πιθανῶς, καὶ ἐξ ἐνδόξων. ἢ λογικῶς φησὶν ἀντὶ τοῦ κοινοτέρως. ἐφαρμόσει γὰρ ἡ δεῖξις αὕτη οὐ μόνον ἐπὶ τῶν φυσικῶν σωμάτων, ἀλλὰ καὶ ἐπὶ τῶν μαθηματικῶν. διὰ τοῦτο οὖν λογικῶς φησιν. ἔπειτα καὶ ἀναγκαστικώτερον ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. ἔστιν οὖν ἡ λογικὴ ἐπιχείρησις τοιαύτη. οἱ γεωμέτραι ὁρίζονται τὸ σῶμα, λέγοντες ὅτι σῶμά ἐστι τὸ ἐπιπέδῳ ὡρισμένον. τὸ δὲ ἄπειρον οὐχ ὥρισται ἐπιπέδῳ. σῶμα ἄρα ἄπειρον οὐκ ἔστι. τὸ δὲ σχῆμα δεύτερον. οὐ μόνον δέ φησι σῶμα ἄπειρον οὐκ ἔστιν, ἀλλ᾽ οὐδὲ ἀριθμὸν ἐνδέχεται εἶναι ἄπειρον. οὐδεὶς γὰρ ἀριθμός φησι χωριστός ἐστι καθ᾽ αὑτόν. ἀλλὰ πᾶς ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς ἐστι. τὸ δὲ ἀριθμητὸν ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρος. δύο δὲ ἐν τούτῳ ὄντων συλλογισμῶν, ὁ μὲν πρῶτος, ἐν πρώτῳ σχήματι. ὁ δὲ δεύτερος ἐν δευτέρῳ. ὁ ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς, τὰ ἀριθμητὰ ἐνδέχεται διεξελθεῖν, καὶ τὸν ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. ὁ ἀριθμὸς ἄρα οὐκ ἔστιν ἄπειρος. τὰ μὲν οὖν λογικὰ ἐπιχειρήματα τοιαῦτα. λογικὰ δὲ αὐτὰ εἶπε, διότι ὡς εἶπον, οὐκ ἔστιν ἀναγκαστικὰ, ἀλλ᾽ ἐξ ἐνδόξων. οὐδὲ γὰρ ἂν δοῖεν οἱ τὸ ἄπειρον εἶναι τιθέμενοι ὁρισμὸν εἶναι σώματος καθόλου τὸ, ἐπιπέδῳ ὡρισμένον. ὥσπερ εἰ τύχοι οὐδὲ τὸ μῆκος ἔχον καὶ πλάτος καὶ βάθος, οὐδὲ τὸ ὄφει ἀντιπληπτόν. οὐ γὰρ πᾶν περιλαμβάνει σῶμα οὗτος ὁ ὁρισμός. οὕτως οὖν οὐδὲ τὸ, ἐπιπέδῳ ὡρισμένον. ἔστι γὰρ καὶ τὸ ἄπειρον σῶμα ὃ μὴ ἐπιπέδῳ ὥρισται οἷον τὸ οὐράνιον. οὐ γὰρ ἡ ἐκτὸς ὥρισται ἐπιφάνεια. ἀλλ᾽ οὐδ᾽ ἂν δοῖεν πάλιν πάντα ἀριθμὸν ἀριθμητὸν εἶναι. εἶναι γὰρ καὶ ἄπειρον ἀριθμόν. ἐντεῦθεν μεταβαίνει ἐπὶ τὰ φυσικώτερά τε καὶ ἀναγκαστικώτερα τῶν ἐπιχειρημάτων. δείκνυσι δὲ ὅτι οὐκ ἐνδέχεται ἄπειρον σῶμα εἶναι ἐκ τῶν φυσικῶν δυνάμεων τῶν παθητικῶν φημι καὶ ποιητικῶν. θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ. καὶ

δεύτερον

θος. ἀδιαίρετον δὲ ὄν, οὐδὲν τούτων ἔσται. ἕκαστον γὰρ τούτων, διαιρετόν. ἀδύνατον ἄρα τὸ οὕτως ὂν ἄπειρον, ἀδιαίρετον εἶναι. εἰ τοίνυν μήτε διαιρετὸν μήτε ἀδιαίρετον δυνατὸν εἶναι τὸ ἄπειρον, οὐσίαν γε ὄν, ἔοικε μηδ' ὅλως εἶναι οὐσία τὸ ἄπειρον. εἰ δὲ μὴ ἔστιν οὐσία, συμβεβηκὸς ἔσται. εἰ δὲ συμβεβηκός, τὸ ἄπειρον οὐκ ἂν εἴη ἀρχὴ ὡς οἱ πυθαγόρειοι ὑπετίθεντο. ἀλλ' αὐτὴ μὲν φησὶν ἡ ζήτησις, ἔοικε κοινοτάτη εἶναι καὶ οὐ τῆς προκειμένης πραγματείας. εἰ ἔστι τις κοινὴ τοῦ ἀπείρου φύσις ἥτε ἐν τοῖς μαθήμασιν ὑπάρχουσα καὶ ἡ ἐν τοῖς αἰσθητοῖς καὶ ἐν τοῖς χωριστοῖς ἀσωμάτοις. καὶ αὐτὴ πότερον οὐσία τίς ἐστι νοητή, ἢ τί ποτε ἄλλο. διὸ ταύτην μὲν ὑπερθώμεθα τὴν ζήτησιν. εἰς δὲ τὴν προκειμένην καὶ μᾶλλον ἁρμόζουσαν ἡμῖν αὖθις ἐπιστρέψωμεν, εἰ ἔστι σῶμα αἰσθητὸν ἄπειρον κατὰ μέγεθος καὶ ἀδιεξίτητον. τοιοῦτον γὰρ καὶ οἱ φυσικοὶ ὑπετίθεντο εἶναι.

» Η ὃ μόγις. ἢ ὃ πεφυκὸς ἔχειν, μὴ ἔχει διέξοδον ἢ πέρας. ἔτι ἄπειρον ἅπαν, ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ διαίρεσιν, ἢ ἀμφοτέρως.

Η ὃ μόγις τὸ τρίτον σημαινόμενον. ἢ ὃ πεφυκὸς ἔχειν, μὴ ἔχει διέξοδον ἢ πέρας. τὸ τέταρτον σημαινόμενον. λέγω δὴ τὸ ἐπὶ τοῦ κύκλου. τὸ δὲ πεφυκὸς ἔχειν διέξοδον ἢ καὶ πέρας, ἀντὶ τοῦ, δυνατὸν διεξελθεῖν τὸν ὅλον κύκλον, ἢ καὶ ἀποπερατῶσαι. ἀλλ' ἐπειδὴ μὴ ἔχει κατ' ἐνέργειαν τι σημεῖον εἰλημμένον, διὰ τοῦτο συμβαίνει ἀδιεξίτητον εἶναι τὸν κύκλον, ἢ τὸ ἐπ' αὐτοῦ κινούμενον μὴ ἔχον πέρας ποῦ στῇ.

» ΧΩΡΙΣΤΟΝ μὲν οὖν εἶναι τὸ ἄπειρον τῶν αἰσθητῶν, αὐτό τι ὂν ἄπειρον οὐχ οἷόν τε.

Τὸ ἄπειρον δηλονότι περὶ οὗ καὶ ὁ λόγος, τὸ τῇ ἐκτάσει ἄπειρον. τοῦτο οὖν αὐτὸ καθ' αὑτὸ εἶναι οὐσίαν ὂν ἀδύνατον. πάντως γὰρ τὸ τοιοῦτον ἄπειρον οὐχ ἕτερόν ἐστι παρὰ τὰ αἰσθητά. ἀλλ' ἢ ὕδωρ ἐστίν, ἢ ἀήρ, ἤ τι τῶν τοιούτων, ὥσπερ καὶ ὑπετίθεντο αὐτὸ οἱ φυσικοὶ εἶναι.

» ΕΙ γὰρ μήτε μέγεθός ἐστι, μήτε πλῆθος, ἀλλ' οὐσία αὐτό ἐστι τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται. τὸ γὰρ διαιρετὸν, ἢ μέγεθος ἔσται ἢ πλῆθος. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ ὡς ἡ φωνὴ ἀόρατος. ἀλλ' οὐχ οὕτως οὔτε φασὶν εἶναι οἱ φάσκοντες εἶναι τὸ ἄπειρον, οὔτε ἡμεῖς ζητοῦμεν, ἀλλ' ὡς ἀδιεξίτητον.

Τὸ πρῶτον ἐπιχείρημα ὅτι οὐκ ἔστι τὸ ἄπειρον οὐσία. εἰ γάρ φησι μήτε εἴη μέγεθος, μήτε πλῆθος τὸ ἄπειρον, ἅπερ τοῦ ποσοῦ ἐστιν εἴδη, ἀλλ' οὐσία ἐστὶ καθ' αὑτό, οὐχ ἕξει διαίρεσιν. ἡ γὰρ διαίρεσις τοῦ ποσοῦ. ὥστε ἀδιαίρετον. ἀλλ' εἰ ἀδιαίρετον, οὐδὲ ἄπειρον, οἷον ἡμεῖς ζητοῦμεν ἄπειρον, καὶ περὶ οὗ οἱ φυσικοὶ διελέγοντο. εἰ μὴ οὕτως, ὡς ἡ στιγμὴ ἄπειρον ἢ τὸ ποιόν, τῷ μηδὲ πεφυκέναι διάστασιν ἔχειν.

» ΕΙ δὲ κατὰ συμβεβηκός ἐστι τὸ ἄπειρον, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων ᾗ ἄπειρον. ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου. καίτοι ἡ φωνή ἐστιν ἀόρατος.

Ἐπειδὴ ἔδειξεν ὅτι οὐ δυνατὸν οὐσίαν εἶναι τὸ ἄπειρον, διὰ τοῦτο μεταξὺ παρεμβάλλει ἔλεγχόν τινα τῆς ἑτέρας ὑποθέσεως, τῆς λεγούσης συμβεβηκὸς εἶναι τὸ ἄπειρον. εἰ γὰρ ἔστι μὲν τὸ ἄπειρον, οὐσία δὲ οὐκ ἔστι, λείπεται συμβεβηκὸς αὐτὸ εἶναι. ἀλλ' εἰ συμβεβηκός, οὐκ ἂν εἴη στοιχεῖον τὸ ἄπειρον, ἀλλ' ἐκεῖνο ᾧ τοῦτο συμβέβηκεν. ὥσπερ οὐδὲ τὸ ἀόρατον στοιχεῖον τῆς διαλέκτου, ἀλλ' ἡ φωνὴ ᾗ τοῦτο συμβέβηκεν.

» ΕΤΙ πῶς ἐνδέχεται εἶναί τι αὐτὸ ἄπειρον, εἴπερ μὴ καὶ ἀριθμὸν ἢ μέγεθος, ὧν ἐστι καθ' αὑτὸ πάθος τι τὸ ἄπειρον. ἔτι γὰρ ἧττον ἀνάγκη, ἢ τὸν ἀριθμόν, ἢ τὸ μέγεθος.

Μεταβαίνει εἰς τὸ δεῖξαι πάλιν ὅτι οὐκ οὐσία τὸ ἄπειρον. καὶ ἡ ἐπιχείρησις ἐκ τοῦ μᾶλλον. εἰ τὸ ὑποκείμενον φύσει τινὶ μᾶλλον ὑφέστηκε καθ' αὑτὸ ἢ τὸ συμβεβηκὸς ἐκείνῳ, ὁ δὲ ἀριθμὸς ὑποκείμενον τῷ ἀπείρῳ οὐχ ὑφέστηκε καθ' αὑτόν, πολλῷ γε δήπου τὸ ἄπειρον ὃ τῷ ἀριθμῷ συμβέβηκεν, οὐκ ἂν ὑποσταίη καθ' αὑτό. εἰ δὲ μὴ ἔστι τῶν καθ' αὑτὸ ὑφεστηκότων, οὐδ' ἂν οὐσία εἴη.

» ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ ἄπειρον ὡς ἐνεργείᾳ ὄν, καὶ ὡς οὐσίαν, καὶ ἀρχήν. ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον τὸ λαμβανόμενον, εἰ μεριστόν. τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον τὸ αὐτό.

Ἕτερον ἐπιχείρημα ὅτι ἀδύνατον τὸ ἄπειρον οὐσίαν τε εἶναι καὶ ἀρχὴν τῶν ὄντων. ἀνάγκη γὰρ πᾶσα εἰ ἀρχή ἐστι τὸ ἄπειρον, ἁπλοῦν τι εἶναι αὐτὸ καὶ μηδὲν ἔχον ὑποκείμενον. εἰ γὰρ εἴη σύνθετον ἢ ὅλως ὑποκείμενόν τι ἔχοι, οὐκέτι ἂν εἴη ἀρχή. ἀλλὰ ἢ τὸ ὑποκείμενον, ἢ ἐκεῖνα ἐξ ὧν συνέστηκεν. ἁπλοῦν γάρ τι ἡ ἀρχή. εἰ οὖν τοιοῦτόν ἐστι τὸ ἄπειρον ἁπλοῦν τι καὶ μηδὲν ἔχον ὑποκείμενον, ἀλλ' οἷον ψυχὴ ἢ νοῦς, ταὐτὸν ἔσται ἐπ' αὐτοῦ τὸ ἄπειρον, καὶ τὸ ἀπείρῳ εἶναι. ἐπὶ μὲν γὰρ τῶν συνθέτων, ἄλλο ἐστὶν ἕκαστον, τὸ τόδε εἶναι, καὶ ἄλλο τὸ ᾧ τόδε, ὡς εἴρηται καὶ ἐν κατηγορίαις. τὸ μὲν γὰρ τόδε εἶναι, τὸ σύνθετον σημαίνει. ὡς ὅταν εἴπω τὸ ζῷον. τὸ δὲ ζῴῳ εἶναι, τὸ εἶδος. δηλοῖ δὲ καθὸ καὶ ἐστὶ τῷ ζῴῳ τὸ εἶναι. ἐπὶ δὲ τῶν ἁπλῶν, ταυτόν ἐστιν εἰπεῖν ψυχὴν καὶ ψυχῇ εἶναι. οὐδὲ γὰρ τῷ λόγῳ διῄρηται εἰς πλείονα. καὶ νοῦν καὶ νῷ εἶναι. εἰ τοίνυν τοιαύτη ἐστὶν ἡ τοῦ ἀπείρου φύσις ὡς ταὐτὸν εἶναι αὐτὴ τὸ ἄπειρον καὶ ἀπείρῳ εἶναι, ἅπαν ἂν αὐτοῦ μέρος ἄπειρον ἔσται. εἰ μὲν γὰρ τὸ αὐτὸ δέξεται λέγειν τῷ ὅλῳ τὸ μέρος, καὶ τὸ μέρος δήπουθεν ἄπειρον ἔσται. εἰ δὲ ἕτερον, οὐκ ἂν εἴη ἁπλοῦν, ἀλλ' ἐξ ἀνίσων μᾶλλον δὲ ἀνομοίων συγκείμενον. ὥσπερ οὐδὲ ὁ ἄνθρωπος ἁπλοῦν, ἐκ ζῴου καὶ λογικοῦ καὶ θνητοῦ συγκείμενος. εἰ μὲν οὖν τις ἀριθμὸν ἢ μέγεθος ποιεῖ ἄπειρον, οὐκ ἀνακολουθήσει τούτῳ, τὸ καὶ τὰ μέρη τοῦ ἀπείρου ἄπειρα ποιεῖν. ὑποτίθησι γὰρ τῷ ἀπείρῳ ἑτέραν φύσιν. οἷον τὸν ἀριθμὸν ἢ τὸ μέγεθος. καὶ οὐδέν γε κωλύει τὸ μέρος τοῦ ἀριθμοῦ ἀριθμὸν μὲν εἶναι, ἄπειρον δὲ μή. οὐ γὰρ ταὐτὸν ἀριθμῷ τε εἶναι καὶ ἀπείρῳ εἶναι. ἀριθμὸς μὲν γὰρ τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. ἄπειρον δέ, ποσὸν ἀδιεξίτητον. ὁμοίως καὶ ἐπὶ τῶν μεγεθῶν. ὅτι δὲ

διεξελθεῖν αὐτὸν, αὐτοῦ γε πάντως ἀποπερατουμένου, καὶ ὑπὸ γῆς πανταχοῦ περιοριζομένου. ὁμοίως καὶ ἡ ἐρυ-
θρὰ θάλασσα ἄπειρος διὰ τὴν αὐτὴν αἰτίαν. λέγομεν γοῦν καὶ ἡμεῖς ὁπηνίκα μακρὰν ὁδὸν ὁδεύομεν ἀπει-
ρηκότες, ὡς ἄπειρος αὕτη ἡ ὁδὸς. λέγεται δὲ καὶ τέταρτον τρόπον ἄπειρον ὃ πέφυκε μὲν ἔχειν πέρας, οὐκ ἔχει
δέ. τοιοῦτον δέ ἐστιν ὁ κύκλος. δυνατὸν μὲν γὰρ λαβεῖν κατ' ἐνέργειαν σημεῖον ἐν αὐτῷ, κἀκεῖθεν τὴν ἀρχὴν
ποιήσασθαι. ἀλλ' αὐτός οὐκ ἔχει ὡρισμένον τι σημεῖον κατ' ἐνέργειαν. ὅθεν γὰρ ἂν βουληθῶ, λαμβάνω τὴν
ἀρχήν. ἐπεὶ καὶ ὁ γράφων τὸν κύκλον κέντρῳ καὶ διαστήματι, οὐκ ἐξ ὡρισμένου σημείου τὴν ἀρχὴν ποιεῖται,
ἀλλ' ὅθεν ἂν βουληθῇ. καὶ ὁ κινούμενος δὲ ἐπὶ κύκλου δύναται ὅθεν ἂν βουληθῇ ἄρξασθαι τῆς κινήσεως. οὕτως οὖν
ὁ κύκλος ἄπειρος μὴ ἔχων μὲν οἴκοθεν πέρας, καὶ διὰ τοῦτο λεγόμενος ἄπειρος, δυνάμενος δὲ ἐν τῇ παρ' ἄλλου
χρήσει λαβεῖν. πέμπτον ἔτι τοῦ ἀπείρου σημαινόμενον, τὸ κατὰ πρόσθεσίν φησιν, ἢ διαίρεσιν, ἢ ἀμφότερα. κατὰ
πρόσθεσιν δὲ ὡς ἐπὶ τοῦ ἀριθμοῦ, καὶ τοῦ χρόνου. λέγομεν γὰρ ἄπειρον εἶναι τὸν ἀριθμὸν, τῷ ἐπ' ἄπειρον
αὔξεσθαι δύνασθαι. ἔστι γὰρ παντὸς τοῦ ληφθέντος ἀριθμοῦ μείζονα λαβεῖν. δι' αὐτὸ δὲ τοῦτο καὶ τὸν χρόνον. αὐ-
ξῆσαι δυνατόν. κατὰ διαίρεσιν δὲ διὰ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν διχοτομίαν. ἀμφοτέρως δὲ, ὡς εἰ νοήσαις
μίαν εὐθεῖαν. εἶτα ταύτην διχοτομουμένην. καὶ πάλιν τὸ ἕτερον μέρος διχοτομούμενον. καὶ τὸ μέρος τῷ μέρει
προστιθέμενον. τοῦ δὲ, ἀφαιρούμενον οὕτω γὰρ ἐπ' ἄπειρον τὸ μὲν, αὔξεται. τὸ δὲ, μειοῦται. τοσαυταχῶς οὖν τοῦ ἀ-
πείρου λεγομένου, ζητεῖ νῦν ὁ λόγος περὶ τοῦ δευτέρου σημαινομένου τοῦ κατὰ τὴν ἔκτασιν ἀπείρου, εἰ ἔστιν ἢ μὴ τοιοῦ-
τόν τι ἄπειρον ἐν τοῖς οὖσιν, οἷον καὶ οἱ φυσικοὶ εἶναι ὑποτίθενται. εἰ γάρ τις κατὰ τὰ λοιπὰ σημαινόμενα λέγει
εἶναι τὸ ἄπειρον, οὐ διαστόμεθα. δίδομεν γὰρ καὶ ἡμεῖς τὰ τοιαῦτα εἶναι τοῦ ἀπείρου σημαινόμενα. ὅτι δὲ τὸ
κατὰ τὴν ἔκτασιν ἄπειρον οὐκ ἔστι, πρόκειται διελέγξαι. καὶ πρότερον τοὺς οὐσίαν αὐτὸ λέγοντας εἶναι τὸ ἄπει-
ρον διελέγχει. εἰ γὰρ λέγουσι μὴ ἄλλο τι ὂν εἶτα ἄπειρον, ἀλλ' αὐτὸ ἄπειρον, καὶ οὐσίαν εἶναι τοιαύτην ὥσπερ
ἀέρος καὶ πυρὸς, οὕτω δὲ καὶ ἀπείρου, τοῦτο οὖν φησιν, ἢ διαιρετὸν ἔσται, ἢ ἀδιαίρετον. εἰ μὲν οὖν διαιρετὸν, ἢ
κατὰ μέγεθος ἔσται διαιρετὸν, ἢ κατὰ πλῆθος. πᾶν γὰρ τὸ διαιρούμενον κατὰ ἓν τούτων τῶν εἰδῶν διαιρεῖται. εἰ δὲ τοῦτο,
ποσὸν ἔσται, οὐκ οὐσία. τοῦ γὰρ ποσοῦ ἄμφω ταῦτα εἴδη, τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ὥστε οὐκ οὐσία ἔσται
καθ' αὑτὴν τὸ ἄπειρον. εἰ δὲ ἀδιαίρετον, οὐκ ἂν εἴη ἄπειρον, οἷον ἡμεῖς ζητοῦμεν, καὶ οἷον οἱ φυσικοὶ παντε-
ὑποτίθενται εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον. ὅπερ διαιρετὸν πάντως ἐστὶ μέγεθός τι ὄν. εἰ μὴ ἄρα ὡς τὴν
στιγμὴν, καὶ τὴν ποιότητα ἄπειρον εἶναι φαμέν. ἀλλ' ἡμῖν περὶ τοῦ τοιούτου οὐδεὶς λόγος. ἀλλ' εἰ ὡς ἀδιεξίτη-
τον καὶ ἀτελεύτητον κατὰ τὴν ἔκτασιν εἶναι ἄπειρον, οὔπω δυνατὸν τοιοῦτον ἄπειρον οὐσίαν εἶναι. ταῦτα εἰ-
πὼν, μεταβαίνει ἐν μέσῳ πρὸς τοὺς συμβεβηκὸς ἄλλῳ εἶναι λέγοντας τὸ ἄπειρον. εἶτα εὐθὺς ἀναφέρει
πρὸς τὸ προκείμενον. εἰ γὰρ συμβεβηκός φησιν εἴη τὸ ἄπειρον ἄλλῳ, οὐκ ἂν εἴη τῶν ὄντων ἀρχὴ τὸ ἄπειρον,
ἀλλ' ἐκεῖνο ᾧ τὸ ἄπειρον συμβέβηκεν. ὥσπερ γὰρ λέγομεν τὴν φωνὴν στοιχεῖον μὲν εἶναι τῆς διαλέκτου, λέ-
γομεν δὲ τὴν φωνὴν εἶναι ἀόρατον, καὶ οὐκέτι ἀναγκαζόμεθα λέγειν καὶ τὸ ἀόρατον στοιχεῖον εἶναι τῆς διαλέ-
κτου, διότι μὴ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τῇ φωνῇ τὸ ἀόρατον, οὕτω φημὶ καὶ ἐπὶ τοῦ ἀ-
πείρου. οὐκ ἐπειδὴ συμβέβηκεν ἄλλῳ, οἷον ἀέρι, ὕδατι, ὅπερ καθ' αὑτό ἐστιν ἀρχὴ τῶν πραγμάτων, διὰ
τοῦτο φήσαιμι ἂν καὶ τὸ ἄπειρον τῶν ὄντων ἀρχὴν εἶναι. εἰ γὰρ καὶ κατὰ συμβεβηκὸς αὐτό τις εἴποι εἶναι ἀρχὴν
οὐδὲν μᾶλλον ἀρχὴν ἀποδείκνυσι. τὰ γὰρ κατὰ συμβεβηκὸς τινὸς αἴτια, οὐδ' ὅλως ἐστὶν αἴτια. ὥσπερ λέ-
γεται καὶ τὸ φαλακρὸν αἴτιον εἶναι τῆς οἰκίας, οὐδαμῶς ὂν αἴτιον. οὐ γὰρ ᾗ φαλακρὸς ὁ οἰκοδόμος, ᾠκοδό-
μησεν. ὅθεν κἂν μὴ φαλακρὸς ᾖ, οὐδὲν ἧττον ᾠκοδόμησεν ἄν. οὐκ ἄρα οὐδὲ τὸ ἄπειρον ἀρχή. ἀλλὰ
μὴν δέδεικται ὅτι εἴγε ἐστὶν, ἀδύνατον αὐτὸ μὴ ἀρχὴν εἶναι. οὐδ' ἄρα οὐδὲ κατὰ συμβεβηκὸς δυνατὸν
εἶναι τὸ ἄπειρον. ἀλλὰ τοῦτο μὲν προϊὼν δείξει ἐν τελειοτέροις. ἐπιχειρεῖται δὲ τὸ προκείμενον, ὅτι ἀδύ-
νατον αὐτὸ καθ' αὑτὸ τὸ ἄπειρον οὐσίαν εἶναι. ἡ δὲ ἐπιχείρησις, ἐκ τοῦ μᾶλλον. τὸ ἄπειρόν φησι τῷ μεγέθει
ὑπάρχει, καὶ τῷ ἀριθμῷ. εἰ τοίνυν ταῦτα μᾶλλον ὀφείλοντα καθ' αὑτὰ ὑπάρχειν, ὁ ἀριθμὸς καὶ τὸ μέγε-
θος ὡς ὑποκείμενα τῷ ἀπείρῳ, ὅμως καὶ αὐτὰ ἄλλοις ὑπάρχουσιν. ἄλλοις γὰρ ἐπισυμβέβηκε τὸ μέγεθος
καὶ ὁ ἀριθμός. τῇ οὐσίᾳ γὰρ, αὐτὰ καθ' αὑτὰ ὑποστῆναι μὴ δυνάμενα. πολλῷ γε δήπου τὸ ἄπειρον οὐκ ἂν
ὑπάρξαι καθ' αὑτό. συμβέβηκε γὰρ τὸ ἄπειρον τῷ μεγέθει καὶ τῷ ἀριθμῷ. ἅπερ καὶ αὐτὰ συμβέβηκε τῇ
οὐσίᾳ. ἔστιν οὖν ὑποθετικὸς ὁ συλλογισμός. εἰ τὸ ἄπειρον καθ' αὑτὸ ὑπάρχει οὐσία ὂν, πολλῷ μᾶλλον ὁ
ἀριθμὸς καὶ τὸ μέγεθος. εἰ τοίνυν τὰ μᾶλλον καθ' αὑτὸ ὀφείλοντα ὑπάρχειν ὁ ἀριθμὸς καὶ τὸ μέγεθος ὅμως
οὐχ ὑπάρχει, πολλῷ γε δήπου τὸ ἄπειρον. ἔτι φησὶν εἰ τὸ ἄπειρον ἐνεργείᾳ ὂν οὐσία ἐστὶν, ἢ διαιρετὸν πά-
λιν ἔσται, ἢ ἀδιαίρετον. ἀλλ' εἰ μὲν διαιρετὸν, διαιρεθήσεται πάντως, ὥσπερ καὶ τὰ ὁμοιομερῆ. ὥσπερ οὖν ὁ ἀὴρ
εἰς ἀέρας διαιρεῖται, καὶ τὸ ὕδωρ εἰς ὕδατα, οὕτω καὶ τὸ ἄπειρον ἐν τούτῳ οὐσιωμένον, ἐν τῷ ἄπειρον εἶναι,
εἰς ἄπειρα διαιρεθήσεται. ὥστε συμβήσεται ἕκαστον αὐτοῦ μέρος ἄπειρον εἶναι. ἔσται οὖν τὸ αὐτὸ πολλὰ
ἄπειρα, μᾶλλον δὲ ἄπειρα, εἴγε καὶ τῶν μειόνων ἕκαστον διαιρετόν. ὅπερ ἀδύνατον. εἰ δὲ διαιρούμενον μὴ εἰς ἄ-
πειρα διαιρεθείη, ἀνομοιομερὲς ἔσται τὸ ἄπειρον. εἰ δὲ τοῦτο, οὐκ ἔσται οὐδὲ ἁπλοῦν, οὐδὲ ἀρχή. ἀρχαὶ γὰρ αὐτοῦ
τὰ ἀνομοιομερῆ. ἁπλοῦν δὲ δεῖ εἶναι τὸ ἄπειρον, ἐπειδὴ καὶ ἀρχή. ἡ δὲ ἀρχὴ, ἁπλῆ. εἰ γὰρ σύνθετος, οὐκ αὐτὴ
ἀρχή. ἀλλ' ἐκεῖνα ἐξ ὧν συνέστηκεν. ἀλλ' οἱ τὸ ἄπειρον ὑποτιθέμενοι, ἀρχὴν αὐτό φασιν. εἰ δὲ ἀδιαίρε-
τον, οὐδὲ ἄπειρον ἔσται. τὸ γὰρ ἄπειρον περὶ οὗ νῦν ποιούμεθα τὴν ζήτησιν, ἢ τὸ κατὰ μέγεθός ἐστιν ἢ κατὰ τὸ πλῆ-

» πρῶτον αἴτιον τῶν ὄντων πάντων εἶναι ὑποτίθενται. οὕτω δηλαδὴ καὶ Ἀναξαγόρας μὲν τὸν νοῦν ἀρ-
» χὴν τῶν ὄντων πάντων ὑποτίθεται. Ἐμπεδοκλῆς δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν.

ΧΡΩΝΤΑΙ γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ. ἔτι τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθοράν, εἰ ἄπειρον εἴη ὅθεν ἀφαιρεῖται τὸ γιγνόμενον. ἔτι τῷ τὸ πεπερασμένον, ἀεὶ πρός τι περαίνειν. ὥστε ἀνάγκη μηδὲν εἶναι πέρας, εἰ ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον. μάλιστα δὲ καὶ κυριώτατον ὃ τὴν κοινὴν ποιεῖ ἀπορίαν πᾶσι. διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν, καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι καὶ τὰ μαθηματικὰ μεγέθη, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. ἀπείρου δ' ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ, καὶ κόσμοι. τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα, ἢ ἐνταῦθα.

Τουτέστι τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. ἔχουσι γὰρ πᾶσαν τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν. καὶ ἀπὸ τῆς δοθείσης εὐθείας ἐλάττονα ἀφελεῖν. ἐπεὶ γοῦν τοῦ τριγώνου τῶν δύο πλευρῶν ἐλάττων ἡ λοιπή, ἀεὶ δεῖν ἀφαιροῦνται ἀπὸ τῆς μείζονος τὴν ἐλάττω ἄγειν ἐκ τῆς τομῆς τῇ ἐλάττονι παράλληλον εὐθεῖαν, καὶ ποιεῖν τρίγωνον. καὶ τοῦτο ἐπ' ἄπειρον.

» ΩΣΤΕ εἴπερ μηδαμοῦ, καὶ πανταχοῦ ἀνάγκη εἶναι τὸν ὄγκον.

Τίς ἡ ἀναπλήρωσις ἐν ἑνὶ μὲν μέρει τοῦ κενοῦ εἶναι σῶμα, μὴ πανταχοῦ δὲ εἶναι; εἴπερ τὸ κενὸν τόπος ἐστὶν ἐστερημένος σώματος.

» ΑΜΑ δ' εἰ καὶ ἔστι κενόν, καὶ τόπος δ' ἄπειρος καὶ σῶμα ἄπειρον ἀναγκαῖον εἶναι. τὸ γὰρ ἐνδέ-
» χεσθαι τοῦ εἶναι οὐθὲν διαφέρει ἐν τοῖς ἀϊδίοις. ἔχει δ' ἀπορίαν ἡ περὶ τούτου θεωρία. καὶ γὰρ μὴ εἶναι
» τιθεμένοις πολλὰ ἀδύνατα συμβαίνει, καὶ εἶναι. ἔτι δὲ πῶς ἐστί· πότερον ὡς οὐσία, ἢ ὡς συμβεβη-
» κὸς καθ' αὑτὸ φύσει τινί, ἢ οὐδετέρως.

Ἐπειδὴ πρότερον τὸ ἀναπληρωτικὸν μόνον εἶναι τοῦ λόγου ἤλεγξε, νῦν καὶ κατασκευάζει αὐτὸ τοῦτο. ὅτι ἀνάγκη εἶναι ἄπειρον κενοῦ ἀπείρου ὑποκειμένου. οὐδὲν γὰρ ἄλλο φασὶν εἶναι τὸ κενόν, ἢ τόπον ἐστερημένον σώματος. πᾶς δὲ τόπος σώματός ἐστι δεκτικός. εἰ δὲ ἀΐδιος οὗτος, οὐδὲν μᾶλλον δυνάμει ἐστὶ δεκτικὸς σώματος, ἢ ἐνεργείᾳ.

» ΑΛΛ' οὐδὲν ἧττον δεῖ ἄπειρον ἢ ἄπειρα καὶ πλήθει.

Οὐκ ἀνάγκη φησὶ τὸ ἄπειρον ὑποτίθεσθαι αὐτὸ ἢ οὐσίαν ἢ συμβεβηκὸς καθ' αὑτὸ ἢ ἁπλῶς. ὅπως γὰρ ἂν αὐτὸ ὑποθώμεθα, οὐδὲν κωλύει εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον. ὅπερ διαιρούμενον ποιεῖ τὸ κατὰ πλῆθος ἄπειρον.

» ΜΑΛΙΣΤΑ δὲ φυσικοῦ ἐστὶ σκέψασθαι, εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον.

Ἔχεις ἐνταῦθα τὸν σκοπὸν τῶν ἐφεξῆς περὶ ποίου ἀπείρου διαλέγεται. ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιωμένου. εἴ τε γάρ ἐστί τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι ἢ φυσικὸν σῶμα ἄποιον, ἢ τι τοιοῦτον, ἐν τῇ περὶ οὐρανοῦ ζητήσει. καὶ δείξει ὅτι ἀδύνατον ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι. νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι σῶμα ἐπ' ἄπειρον ἐκτείνεσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου ὅτι οὐ δυνατὸν εἶναι ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν καὶ Δημόκριτον λόγοις. δείξει δὲ ἀκριβέστερον καὶ ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς.

» ΠΡΩΤΟΝ οὖν διοριστέον, ποσαχῶς λέγεται τὸ ἄπειρον. ἕνα μὲν οὖν τρόπον, τὸ ἀδύνατον διελθεῖν, τῷ
» μὴ πεφυκέναι διιέναι, ὥσπερ ἡ φωνὴ ἀόρατος. ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ἀπείρου λόγος, καὶ ὅτι εἰκότως οἱ φυσικοὶ τὸ ἄπειρον ἀρχὴν αἰτίαν τοῦ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν λοιπὸν εἰσβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου. εἶθ' οὕτω δείκνυσι ποῖα μὲν τῶν ἀπείρου σημαινομένων ἐστί, ποῖον δὲ οὐκ ἔστι. ἐπιστήμονος γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι καὶ λέγειν ποῖα μὲν συγχωρεῖ, ποῖα δὲ οὔ. λέγεται φησὶ τὸ ἄπειρον τετραχῶς. καθ' ἕνα μὲν τρόπον λέγεται ἄπειρον, τὸ μὴ πεφυκὸς ὅλως ἔχειν πέρας, ἀλλ' οἷον ἀπέρατον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι. ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον λέγομεν, τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δ' ἐστὶ τὸ σημεῖον, καὶ αἱ ποιότητες. ἄπειρα γὰρ ταῦτα. τὸ μὲν σημεῖον ὅτι πέρας ὄν, αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμεγέθες εἶναι. οὐ γὰρ δὴ τῷ καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν. ὁμοίως δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης, τῷ μηδὲ ὅλως πόρον ἔχειν. δεύτερον δέ, ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν, μηδὲ περατοῦσθαι τὸ μέγεθος. περὶ οὗ καὶ πρόκειται αὐτῷ σκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος ἐν τοῖς οὖσιν εἴτε καὶ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν δὲ διὰ δυσχέρειαν οὐ καταλαμβάνεται. τοῦτο δὲ συμβαίνει διχῶς. ἢ διὰ τὸ ποσόν, ἢ διὰ τὸ ποιόν. ἄν τε γὰρ ἡ τραχεῖα ἡ ὁδὸς καὶ δύσβατος καὶ σκολιότητα ἔχουσα, λέγομεν τὴν τοιαύτην ὁδὸν ἄπειρον, τῷ μὴ δύνασθαι ἡμᾶς περαίνειν ἐπ' αὐτῆς πειρᾶσθαι. οὕτως οὖν ἄπειρον λέγομεν τὸν λαβύρινθον, οὐ τῷ μὴ ἔχειν πέρας τι τῆς ὁδοῦ, ἀλλὰ τῷ σκολιὸν εἶναι καὶ διὰ τοῦτο δυσέκβατον. λέγομεν καὶ διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν, ἄπειρον ὁδόν. ὥσπερ φαμὲν τὸν ὠκεανὸν ἄπειρον εἶναι, διὰ τὸ μὴ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν

ἢ ἄπειρόν ἐστιν. εἰ μὲν οὖν ἄπειρον, αὐτόθεν ἐστὶν ἄπειρον. εἰ δὲ πεπερασμένον, ὑπό τινος περατωθήσεται· καὶ τοῦτο ἐπ' ἄπειρον. εἰ γὰρ τὸ λαμβανόμενον ὑπό τινος ἄλλου περατοῦται, ἀνάγκη οὐδὲν εἶναι πέρας τῶν λαμβανομένων, εἰ ἀεὶ τὸ λαμβανόμενον πεπέρασται· ὥστε ἀνάγκη ἐκ τῆς προσθέσεως τὸ ἄπειρον εἰσάγεσθαι. πέμπτον δὲ καὶ κυριώτατόν ἐστιν αἴτιον, ὅπερ καὶ μάλιστα τοῖς εἰρημένοις παρέχει τὴν πιθανότητα, τὸ τὴν νόησιν φύσει μὴ ἐλλείπειν· τουτέστι μὴ προσίεσθαι πέρας καὶ τέλος, μηδὲ ὑπολιμπάνειν τῷ ἀεὶ τοῦ ληφθέντος ἔξω τι ἄλλο φαντάζεσθαι. διὰ γὰρ τοῦτο καὶ τὸν ἀριθμὸν ἄπειρον ὑπολαμβάνομεν, καὶ τὴν τῶν σωμάτων τομὴν ἐπ' ἄπειρον, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. οὐ γὰρ ἔχει στῆναι ἡ φαντασία· ἀλλ' ὅταν ὑπερβῇ τὸν οὐρανόν, ζητεῖ κενὸν ἔξωθεν ἄπειρον, ἢ σῶμα. καὶ εἰ μὲν σῶμα ἄπειρον ἐπινοήσειεν, αὐτόθεν τὸ ἄπειρον εἶναι μέγεθος ὑπέθετο. εἰ δὲ κενὸν ἄπειρον ἐπινοήσας, εὐθὺς καὶ σῶμα ἄπειρον ἀνάγκη συνάγεσθαι. ἐντεῦθεν καὶ ὁ Δημόκριτος ἀπείρους εἶναι κόσμους ὑπέθετο, ὑποτιθέμενος κενὸν εἶναι ἄπειρον. τίς γὰρ ἡ ἀποκλήρωσις, τόδε μὲν τὸ τοῦ κενοῦ μέρος ὑπὸ κόσμου πληρωθῆναι, ἄλλα δὲ μή. ὥστε εἰ ἐν τινὶ μέρει τοῦ κενοῦ κόσμος ἐστί, καὶ ἐν παντὶ ἄρα τῷ κενῷ. ἀπείρου οὖν ὄντος τοῦ κενοῦ, ἄπειροι ἔσονται καὶ οἱ κόσμοι. οὐ μόνον δὲ τῷ ἀλόγῳ τῆς ἀποκληρώσεως ἐλέγχει τὸ εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἐκ τοῦ λόγου. τὸ γὰρ κενὸν οὐδὲν ἕτερόν φασιν, ἢ τόπον ἐστερημένον σώματος. εἰ δὲ τοῦτο, πᾶς δὲ τόπος δεκτικός ἐστι σώματος, καὶ τὸ κενὸν ἄρα πᾶν πέφυκε δέχεσθαι. εἰ δὲ πέφυκεν, ἀνάγκη πάντα ἢ δέχεσθαι ἤδη, ἢ δέξασθαι. ἀπείρου οὖν ὄντος τοῦ κενοῦ, ἄπειρον ἔσται καὶ τὸ ἐν αὐτῷ σῶμα. ἐπὶ γὰρ τῶν ἀϊδίων φησὶν οὐδὲν διαφέρει τὸ δύνασθαι τῆς ἐνεργείας. ἐπὶ μὲν γὰρ τῶν γινομένων καὶ φθειρομένων, δυνατὸν μὴ ἀχθῆναι τὸ δυνάμει εἰς τὴν ἐνέργειαν, φθάσαντος φθαρῆναι τοῦ πράγματος πρὶν τελειωθῆ ἡ ἐν αὐτῷ δύναμις ἀχθεῖσα εἰς τὴν ἐνέργειαν. ἐπὶ δὲ τῶν ἀϊδίων, εἴ τι ἐστὶν ὅλως δυνάμει, ἀνάγκη πάντως καὶ ἐνεργείᾳ αὐτὸ γενέσθαι. μάτην γὰρ ἂν ἔχει τὴν δύναμιν, εἰ μηδέποτε ἀχθείη εἰς ἐνέργειαν. ὥστε εἴ τι τῶν ἀϊδίων δυνάμει ἐστί, πάντως ἔσται ποτὲ καὶ ἐνεργείᾳ. ὃ δ' εἰ μηδέποτε γένοιτο, οὐδ' ἂν ἐνδέχοιτο γενέσθαι. ὥστε οὐδὲ δυνάμει ἦν. τὸ γὰρ δυνάμει τοῦτό ἐστιν, ὃ ἐνδέχεται γενέσθαι ἐνεργείᾳ. διόπερ οὐδὲ κυρίως ἐπὶ τῶν ἀϊδίων τὸ ἐνδεχόμενον. οὐ γὰρ ἔχει τὴν ἐπ' ἄμφω ῥοπήν, ἀλλ' ἐξ ἀνάγκης ἐστὶν ἀεί. τὸ γὰρ ἐνδέχεσθαι ἐπὶ τούτων οὐδὲν διαφέρει τοῦ εἶναι. οὐδὲ γὰρ ἔχει τὸ ἄλλοτε ἄλλως. ὥστε εἰ ἄπειρόν ἐστι κενόν, καὶ σῶμα ἄπειρον ἐξ ἀνάγκης ἔσται. οὕτω γοῦν καὶ λέγουσιν οἱ μὲν κόσμους, οἱ δὲ ἀέρα ἄπειρον, οἱ δὲ ὕδωρ, ἢ τὸ μεταξύ. ταῦτα εἰπών, ἐφεξῆς φησίν, ὅτι ἀπορίας δὴ πολλὰς ἔχει ὁ περὶ τοῦ ἀπείρου λόγος· εἴτε θῶμεν εἶναι τὸ κενόν, εἴτε καὶ μή. εἴτε γὰρ μὴ ἔστιν ἄπειρον, ἀναιρήσομεν τὴν ἐπ' ἄπειρον τοῦ χρόνου πρόοδον, καὶ τοῦ ἀριθμοῦ τὴν αὔξησιν, καὶ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. εἴτε ἐστί, ζητήσεως ἄξιον, πότερον οὐσία ἐστίν, ἢ συμβεβηκός. καὶ εἰ συμβεβηκός, καθ' αὑτὸ συμβεβηκός, ἢ οὐ καθ' αὑτό, ἀλλ' ἁπλῶς συμβεβηκός. ἀφορίζεται δὲ καὶ περὶ ποίου ἀπείρου ποιεῖται τὸν λόγον· ὅτι τοῦ κατὰ μέγεθος ἀπείρου. τοῦτο γάρ ἐστι μάλιστα φυσικοῦ ζητῆσαι, εἴτε ἐστὶ σῶμα ἄπειρον κατὰ τὴν ἔκτασιν, εἴτε μή.

ΑΠΑΝΤΑ γὰρ ἢ ἀρχή, ἢ ἐξ ἀρχῆς. τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή· εἴη γὰρ ἂν αὐτοῦ πέρας. ἔτι δὲ καὶ ἀγέννητον καὶ ἄφθαρτον, ὡς ἀρχή τις οὖσα.

Ἅπαντα τὰ ὄντα ὅσα μὴ μάτην ὑπέστη, κατὰ τὸ συμβεβηκός, ἢ ἀρχῆς λόγον ἐπέχουσιν, ἢ ἐξ ἀρχῆς εἰσί. τὰ γὰρ μάτην ὄντα δύναται μηδὲ πρός τι τοιοῦτον εἶναι, δι' αὐτὸ τοῦτο τὸ μάτην. τὸ δὲ ἄπειρον οὐ μάτην· ἀΐδιον γάρ. ὥστε ἀρχή, ἢ ἐξ ἀρχῆς.

ΤΟ ΤΕ γὰρ γενόμενον, ἀνάγκη λαβεῖν τέλος· καὶ τελευτὴ πάσης ἐστὶ φθορᾶς. διὸ καθάπερ λέγομεν, οὐ ταύτης ἀρχή, ἀλλ' αὕτη τῶν ἄλλων εἶναι δοκεῖ.

Εἰ τὸ γινόμενον ἀνάγκη φθαρῆναι, τὰ δὲ φθειρόμενα πέρας ἔχει τὸ κατὰ μέγεθος εἰς ὃ ἡ φθορὰ καταλήγει, ἀεὶ τῶν ἀφθαρτοτέρων προφθειρομένων, οὐδὲν ἄρα γενητὸν ἄπειρον. καὶ ὅτι οὐδὲν κατ' οὐσίαν γινόμενον ἀθρόαν ἔχει τὴν προαγωγήν, ὥσπερ τινὰ τῶν ἀλλοιουμένων, ἀλλὰ κατὰ μόριον. ὥστε εἰ ἔστι τὸ ἄπειρον, ἀνάγκη καὶ ἀγέννητον αὐτὸ εἶναι, καὶ ἄφθαρτον.

ΚΑΙ περιέχειν ἅπαντα, καὶ πάντα κυβερνᾶν, ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπειρον ἄλλας αἰτίας, οἷον νοῦν, ἢ φιλίαν. καὶ τοῦτ' εἶναι τὸ θεῖον· ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, ὥσπερ φησὶν ὁ Ἀναξίμανδρος, καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων. τοῦ δ' εἶναί τι ἄπειρον, ἡ πίστις ἐκ πέντε μάλιστ' ἂν συμβαίνοι σκοποῦσιν. ἔκ τε τοῦ χρόνου· οὗτος γὰρ ἄπειρος· καὶ ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως.

Ὅσοι φησὶ τῶν παλαιῶν φυσιολόγων μὴ ἀπέβλεψαν εἰς τὸ ποιητικὸν αἴτιον, ὥσπερ Ἀναξαγόρας μὲν εἰς τὸν νοῦν ὃν ποιητικὸν εἶναι αἴτιον ἔλεγεν, Ἐμπεδοκλῆς δὲ εἰς τὸ νεῖκος καὶ τὴν φιλίαν, οὗτοι ἣν ὑπέθεντο ὕλην εἶναι τῶν πάντων, ἄπειρόν τε αὐτὴν ὑπέθεντο τῷ μεγέθει, καὶ ἀγέννητον, καὶ ἄφθαρτον· καὶ ταύτην εἶναί τι θεῖον, ὅπερ καὶ διακυβερνᾷ πάντα, καὶ ἐπιστατοῦν τῇ τῶν ὅλων συστάσει, ἀθάνατόν γε ὂν καὶ ἀνώλεθρον. ὅπερ Ἀναξιμένης μὲν τὸν ἀέρα εἶναι ἔλεγε, Θαλῆς δὲ τὸ ὕδωρ, Ἀναξίμανδρος δὲ τὸ μεταξύ, καὶ ἄλλος ἄλλο. καὶ οὐδέν γε θαυμαστόν φησιν ἐν τῇ καθ' ἡμᾶς περιόδῳ, τοὺς πρώτους μὴ ἐπιστήσαντας τῇ ἐφεστηκυίᾳ τῶν ὅλων δυνάμει ἐν τοῖς στοιχείοις, ὅπερ ἂν ὑπέθεντο ἕκαστος αἴτιον τοῖς ἄλλοις εἶναι, τοῦτο εὐθὺς καὶ θεὸν ὑποποιῆσαι. ὥσπερ οὖν αὐτοὶ εἰς τὸ ὑλικὸν μόνον ἀποβλέψαντες, τοῦτο

μόνον

παράγοντος καὶ τοῦ παραγομένου εἶναι, ἀλλὰ συμβαίνει τινὰ τοῖς προϊοῦσιν ἅπερ μὴ ὑπάρχει τῷ προσεχῶς παρά-
γοντι. οἷον τί λέγω. τὸ φῶς τὸ ἐν τῷ ἀέρι πρόοδόν ἐστι τοῦ ἡλίου. καὶ δῆλον ὅτι ἐστί τις πολλὴ ὁμοιότης,
καὶ ἡ κατ' οὐσίαν κοινωνία τούτου πρὸς τὸ ἐν τῷ ἡλίῳ. οὐ γὰρ δὴ ὁμώνυμά ἐστι μόνον τὰ φῶτα ταῦτα, ἀλ-
λὰ ἐν τῇ προόδῳ αὐτοῦ συμβαίνει τινὰ πάθη τῷ προϊόντι φωτί, ἅπερ οὐκ ἔστιν ἐν τῷ ἡλίῳ. οἷον τὸ συσχηματί-
ζεσθαι τοῖς τόποις οὓς φωτίζει. τὸ ἔχειν ἀντιπαρατεταγμένον τὸν σκότον. καὶ ἄλλα μυρία. ὥσπερ οὖν ἐν-
ταῦθα τῷ ἀπὸ τοῦ ἡλίου φωτὶ προϊόντι αὐτοῦ συμβαίνει μὴ ἐξ ἀνάγκης τινά, οὐ μέντοι διὰ τοῦτο τὰ συμπλη-
ρωτικὰ τῆς οὐσίας αὐτοῦ ἐκεῖθεν ἐκ τοῦ ἡλίου ἔχει, οὕτω φημὶ καὶ ἐπὶ τῶν εἰδῶν τῶν ἐν τῇ ὕλῃ. ἅπερ
μὲν συμπληρωτικὸν ἔχει τῆς οὐσίας τὰ σύνθετα, ἐκ τῶν ἁπλῶν ἔχει. αὐτοῦ συμβαίνειν δὲ τῇ προόδῳ αὐ-
τῶν τῇ ἐν τῇ ὕλῃ τινά, ἃ μὴ ἐν τοῖς πρωτοτύποις ὑπάρχει, οἷον τὸ διαιρετόν, τὸ φθαρτόν, καὶ ὅσα τοι-
αῦτα, οὐδὲν ἀδύνατον. εἰ τοίνυν τὸ ἄπειρον ᾗ ἄπειρόν ἐστι γίνεται ἐξ ἀρχῶν τινῶν οἷον τῆς εἰδικῆς τε καὶ
ὑλικῆς, ἀνάγκη πάσας τὰς κατ' οὐσίαν αὐτῷ ὑπαρχούσας ἐνεῖναι τῶν ἁπλῶν εἶναι, ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῷ εἴ-
δει. ὥστε κἂν ἐκ τῆς ὕλης μὴ ἔχῃ τὸ ἄπειρον αὐτὸ τοῦτο τὸ ἄπειρον εἶναι, ἀνάγκη πάντως ἐκ τοῦ εἴδους
αὐτὸ ἔχειν. οὐ γάρ ἐστιν αὐτοῦ ἁπλῶς πάθος τι, ἀλλ' ἐν τούτῳ τὸ εἶναι ἔχει. ὅταν δὲ λέγωμεν ὅτι τὸ γινό-
μενον ἐξ οὐ τοιοῦδε γίνεται, καὶ ὅτι πᾶν ἐκ τῆς στερήσεως αὐτοῦ γίνεται, ἐπειδὴ τὸ γινόμενον ἡ ὕλη ἐστίν,
ὃ δὲ γίνεται τὸ εἶδος, διὰ τοῦτο οὕτω φαμέν. ἐπεί τοι γε εἰ πρὸς τὸ εἶδος τὸ χωριστὸν ἀποβλέψωμεν καὶ
τὴν τούτου πρόοδον καὶ ἔλλαμψιν τὴν ἐν τῇ ὕλῃ γινομένην, ἀνάγκη πᾶσα τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου γίνε-
σθαι. ἀλλ' ἐπεὶ ὡς εἶπον τὸ γινόμενον ἀλλοιοῦται, ἀλλοίωσις γάρ τις καὶ μεταβολὴ ἡ γένεσις, ἀλλοιοῦ-
ται δὲ οὐ τὸ εἶδος, ἀλλ' ἡ ὕλη ἐπιτηδεία γινομένη εἰς τὴν τοῦ εἴδους ὑποδοχήν, ἡ δὲ ὕλη ἀεὶ ἐν στερήσει,
διὰ τοῦτο ἀληθὲς τό, πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε τοιόνδε γίνεσθαι. ἀλλὰ πάλιν τῷ λόγῳ παραδείγ-
ματα μάχεται. ὅτι μὲν γὰρ ἐκ τῶν τεσσάρων στοιχείων τὰ σύνθετα πάντα κεκραμένων ἀλλήλοις, κοι-
νὸν ὁμολόγημα. τὰς μέντοι φυσικὰς ἰδιότητας τὰς ἐν τοῖς συνθέτοις ἐνυπαρχούσας, ἀδύνατον λόγῳ
ταῖς δυνάμεσι τῶν ἁπλῶν ἀποδοῦναι. οἷον κατὰ ποίαν δύναμιν τῶν ἁπλῶν ἡ ὁ μαγνῆτις λίθος
ἕλκει τὸν σίδηρον. ἢ ὁ τούτῳ ἀντιπαθὴς λεγόμενος ἐκφυσᾷ καὶ ἀπωθεῖ. καὶ πολλάκις ἀμφότερα ἐν μιᾷ,
καὶ τῇ αὐτῇ βώλῳ κατὰ ἕτερον καὶ ἕτερον μόριον. καὶ τῶν βοτανῶν καὶ λίθων αἱ ἄπειροι δυνάμεις, ἔτι
τε καὶ τῶν μορίων τῶν ζώων. καὶ ἐπὶ πάντων καθόλου τῶν ἀντιπαθείᾳ τινὶ τῇ ἀφῇ μόνον δρώντων.
ἀλλὰ πάλιν πρὸς τοῦτό τις τῶν ἐκ φιλοσοφίας ἐρεῖ, μὴ ὡς τοῖς ἰατροῖς δοκεῖ τὰς δυνάμεις πάσας τοῖς
συνθέτοις ἐκ τῶν ἁπλῶν εἶναι, ἀλλ' ὕλης λόγον ἐπέχειν τὴν τῶν ἁπλῶν κρᾶσιν. ταύτῃ δὲ τῇ ὕλῃ τοιῶσδε
ἢ τοιῶσδε κραθείσῃ ἐπιγίνεται ἐκ τῆς ὅλης δημιουργίας τὰ εἴδη. ταῦτα μὲν οὖν πέρα τοῦ μέτρου παρεξέ-
βημεν. διόπερ ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῶν προκειμένων. δείξας ὁ ἀριστοτέλης ὅτι ἀναγκαίως
ὑποτιθέμενοι τὸ ἄπειρον, καὶ ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναί φησι καὶ ἀγένητον καὶ ἄφθαρτον, καὶ τοῦτο
εἰκότως. εἴτε γὰρ γένοιτο πάντως ἀπό τινος ἀρχῆς, ἄρχεται γίνεσθαι. οἷον πρότερον εἰ τύχοι τῶν ὁμοιο-
μερῶν ἡ σὰρξ καὶ τῶν ὀργανικῶν ἡ καρδία, καὶ ἐπὶ τῶν φυτῶν αἱ ῥίζαι. τοῦ δὲ ἀπείρου ἀρχὴ οὐκ ἔστι. πέρας γὰρ
ὡς ἤδη εἴρηται ἡ ἀρχή. εἴτε φθείροιτο, πάντως εἴς τι τελευταῖον φθαρήσεται. τὰ γὰρ φθειρόμενα πάντα οὕ-
τω φθείρεται, πρότερον μὲν τῶν εὐπαθεστέρων φθειρομένων, εἶτα τῶν ἧττον εὐπαθεστέρων, καὶ τελευταῖον τῶν δυσ-
παθεστέρων. καὶ οὕτως μέχρις οὗ εἰς τὸ ἔσχατον καταντήσει τὸ φθειρόμενον. ὥστε καὶ ἀγένητον ἀνάγκη εἶναι
τὸ ἄπειρον καὶ ἄφθαρτον. ταῦτα εἰπὼν ἐφεξῆς τὰς αἰτίας λέγει δι' ἃς ἠναγκάσθησαν ἐν τοῖς οὖσιν
ὑποθέσθαι τὸ ἄπειρον. εἰσὶ δὲ αὗται πέντε. πρώτη μέν, ὁ χρόνος ἐπ' ἄπειρον αὐξόμενος. δευτέρα
ἐκ τῆς ἐπ' ἄπειρον τομῆς τῶν μεγεθῶν. καὶ ἐκ τοῦ τὸ τρίγωνον τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας
ἔχειν. εἰ γὰρ ἀφέλοις ἐκ τῶν δύο πλευρῶν ἴσην τῇ μιᾷ, καὶ ἀγάγοις ἐκ τοῦ σημείου καθὸ ἔτεμες τὴν ἴσην
τῇ ἐλάττονι, παράλληλον εὐθεῖαν τῇ ἐλάττονι ἕως τῆς ἴσης ἐκ τῶν δύο ἀφελοῦ, ποιεῖς ἔλαττον τρίγωνον. καὶ
πάλιν ἐπειδὴ τούτου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι, τὸ αὐτὸ ποιήσας, ποιήσεις πάλιν ἔλαττον
τρίγωνον. καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε ἡ τομὴ τῶν μεγεθῶν ἐπ' ἄπειρον. δεῖ δὲ ὀρθογώνιον τὸ τρίγωνον
ποιῆσαι. δῆλον γὰρ ὅτι ποτὲ ἐπὶ τῶν ἄλλων ἡ ἀφαίρεσις ποιήσει ἰσόπλευρον τρίγωνον, καὶ οὐκ ἔτι ἔσται
ἀφελεῖν ἀπὸ τῆς ἑτέρας τὴν ἑτέραν. οὐκέτι γὰρ πίπτει ἐντὸς τοῦ τριγώνου ἡ τομή. μὴ πίπτουσα δέ, οὐκ
ἔστιν ἀεὶ γράφειν ἐντὸς τρίγωνον. εἰ δὲ λάβωμεν ὀρθογώνιον τρίγωνον καὶ τὴν ἀφαίρεσιν ἐκ τῆς ὑποτει-
νούσης τὴν ὀρθὴν γωνίαν ποιησώμεθα, ἀεί τε ἡ διαίρεσις ἐντὸς τοῦ τριγώνου πεσεῖται. μείζων γάρ ἐστιν ἀεὶ
ἡ ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν ἑκατέρας τῶν λοιπῶν. καὶ οὕτως ἀεὶ τοῦ γινομένου ὀρθογωνίου ὄντος ἀεὶ
ἔστι λαμβάνειν ἐκ τῆς ὑποτεινούσης ἴσην τῇ ἐλάττονι. καὶ οὕτως ἐπ' ἄπειρον ἐντὸς καταγράφειν τρίγωνα.
ἀεὶ δὲ ἐκ τῶν δύο ἀφελεῖς ἅμα, καὶ ἐπὶ παντὸς τριγώνου ὑγιὴς ἔσται ὁ λόγος. τρίτη αἰτία τοῦ νομίσαι αὐτοὺς
εἶναι τὸ ἄπειρον, τὸ δεῖν εἶναι τὴν ἀειγενεσίαν. εἰ μὴ γὰρ εἴη ἄπειρόν τι ἐξ οὗ ἀφαιρεῖται τὰ γινόμενα, ἐπι-
λείψει ἡ γένεσις. διὰ τὸ μὴ ἐπιστῆσαι ὅτι οὐδὲν εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν φθείρεται, ἀλλ' ἡ ἄλλου φθορὰ ἄλ-
λου ἐστὶ γένεσις, καὶ εἰς ἄλληλα ἡ τῶν στοιχείων ἀνάλυσις. δ' φησὶ τὸ νομίζειν ὅτι πᾶν τὸ πεπερασμένον ἀεὶ πρός
τι περαίνει, τουτέστιν ὅτι πᾶν τὸ πεπερασμένον ὑπό τινος περατοῦται. ὥστε τὸ περαῖνον καὶ αὐτὸ πεπεράσθαι

ἔχομεν συναποδεδειγμένον ὅτι οὐδὲ τὴν τελικήν, οὐδὲ τὴν ποιητικήν. ὅτι μὲν οὖν οὐκ ἔχει τὴν ὑλικὴν ἀρχὴν τὸ ἄπειρον, δείξομεν οὕτως. εἰ ἔχει ὕλην τὸ ἄπειρον, ἢ πεπερασμένη ἐξ ἀνάγκης ἔσται, ἢ ἄπειρος. εἰ μὲν οὖν πεπερασμένη, καὶ τὰ ἑξῆς συγκείμενα πεπερασμένα ἔσται. οὐδὲν γὰρ πεπερασμένην ἔχον ὕλην, ἄπειρόν ἐστιν. εἰ δὲ ἄπειρος ἡ ὕλη, ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον, καὶ ἐξ αὐτῆς τὰ ἄλλα, οὐκ αὐτὸ ἐκ τῶν ἄλλων. κἂν ἔχοι δέ τι τὸ ἄπειρον, οὐ δι' αὐτὸ ἔχει, ἀλλὰ τῷ τὴν ἀρχὴν αὐτοῦ ἐξ ἧς συνέστηκεν ἄπειρον εἶναι. οὐκ ἄρα δυνατὸν ὑλικὴν ἔχειν ἀρχὴν τὸ ἄπειρον. εἴτε γὰρ ἄπειρος εἴη, τὸ ζητούμενον ἔχομεν, ὅτι ἀρχὴ τὸ ἄπειρον. εἴτε πεπερασμένη, καὶ τὸ ἐξ αὐτῆς πεπερασμένον ἔσται. ἀλλ' οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται. πρῶτον γὰρ ἀεὶ τὸ εἶδος περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων. ἀόριστον δὲ τὸ ἄπειρον. ἔπειτα τὸ εἶδος, ἢ ἄπειρον ἔσται, ἢ πεπερασμένον. καὶ πάλιν τὰ αὐτὰ ἕψεται. οὐκ ἄρα οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται τὸ ἄπειρον. εἰ δὲ ταύτας οὐχ ἕξει, οὐδὲ τὴν ποιητικὴν καὶ τελικήν. τὸ γὰρ ποιητικὸν ὅτι ποιεῖ, εἰς ὕλην καὶ εἶδός τι ποιεῖ. εἰ τοίνυν οὐκ ἔχει εἶδος οὐδὲ ὕλην, οὐδὲ ποιητικὸν ἕξει αἴτιον. νῦν δὲ δῆλον, ὅτι περὶ φυσικῶν τὸν λόγον σκοποῦμεν ἃ πάντως ἐξ ὕλης ἐστί. δι' αὐτὸ δὲ τοῦτο οὐδὲ τελικὸν ἕξει, διότι τὸ εἶδος πρὸς τὸ τέλος ἐστί, καὶ ταυτὸν τῷ εἴδει τὸ τέλος κατὰ τὸ ὑποκείμενον, ὡς εἴρηται ἔμπροσθεν. ὥστε εἰ ἀδύνατον ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει. ὅλως ἄρα ἀρχὴν οὐχ ἕξει. λείπεται οὖν αὐτὸ ἀρχὴν εἶναι. Τὰ μὲν οὖν δεικνύντα ὅτι ἀρχὴ τὸ ἄπειρον, καὶ ὅτι οὐ δυνατὸν ἀρχὴν αὐτὸ ἔχειν, ταῦτα. ἔχει δὲ ἀπορίαν ὁ λόγος. πρῶτον μὲν πῶς ἔφη τὴν ὕλην τοῦ ἀπείρου ἐξ ἀνάγκης ἢ πεπερασμένην εἶναι ἢ ἄπειρον. εἰ γὰρ δεῖ τὴν ὕλην παντελῶς ἀνείδεον εἶναι, ἀμεγέθη τε καὶ ἄποσον, οὔτε πεπερασμένη δηλονότι ἔσται, οὔτε ἄπειρος, ἀλλ' ἐκφεύξεται τὴν διαίρεσιν. ὥσπερ οὐδὲ τὸ σημεῖον ἀνάγκη ἢ πεπερασμένον εἶναι ἢ ἄπειρον. οὐ γὰρ κατ' αὐτό φασιν ἡ διαίρεσις. πῶς δὲ εἰ ὅλως καὶ πεπερασμένη ἡ ὕλη, καὶ τὸ ἐξ αὐτῆς πεπερασμένον ἔσται. οὐδὲ γὰρ ἐπειδὴ καὶ ἡ ὕλη ἀσώματος καὶ ἀμεγέθης, καὶ τὰ εἴδη καθ' αὑτὰ ἀσώματα καὶ ἀμεγέθη, ἤδη καὶ τὸ ἐξ αὐτῶν συγκείμενον ἀσώματον ἔσται καὶ ἀμεγέθες. καὶ ὥσπερ εἰ γένοιτο τοῦτο τὸ αἰσθητὸν σῶμα, ἐξ οὐ σώματος γενήσεται, ἐπειδὴ καὶ πᾶν τὸ γινόμενον ἐκ τῆς στερήσεως ἑαυτοῦ γίνεται, ἐξ οὐ τοιοῦδε γάρ, οὕτω δὲ δηλονότι καὶ εἰ τὸ ἄπειρον γενητόν ἐστιν εἴτε κατὰ χρόνον εἴτε κατ' αἰτίαν, ἐξ οὐ τοιοῦδε γενήσεται. ὥστε ἐξ οὐκ ἀπείρου γενήσεται. γίνεται δὲ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους. ἐπειδὴ καὶ πάντα τὰ ἄλλα. οὐκ ἄρα ἀνάγκη ταῦτα ἄπειρα εἶναι. ἀλλ' οὐδὲ πεπερασμένα διὰ τὴν εἰρημένην αἰτίαν. Ἐπιλύονται δὲ τὴν ἀπορίαν τούτῳ τῷ τρόπῳ. οὐδέν φασιν ἐν τοῖς συνθέτοις ὃ μὴ ὑπάρχει τοῖς ἁπλοῖς. εἰ γὰρ καὶ ἡ ὕλη μέγεθος οὐκ ἔστιν, ἀλλ' οὖν τὸ εἶδος τοῦ σώματος ὃ ἀχρόνως αὐτῇ γίνεται τῇ ὕλῃ, τοιοῦτόν ἐστιν ἐξ οὗ τῷ συνθέτῳ ὑπάρχει τὸ μεγέθει εἶναι. καὶ οὐ τοῦτό φημι ὅτι μέγεθός ἐστιν αἰσθητὸν τὸ εἶδος τοῦ σώματος, ἀλλ' ὅτι τῷ οἰκείῳ λόγῳ χωριστὸν ὕλης ἐστὶ μέγεθος, ὅσπερ λόγος ἐνδυόμενος τῇ ὕλῃ τὸ αἰσθητὸν ποιεῖ μέγεθος. οὕτω καὶ εἰ ἔστι τι ἄπειρον ἐξ ὕλης καὶ εἴδους, δεῖ τὸ ἄπειρον τοῦτο ἐν ταῖς ἀρχαῖς εἶναι. μὴ γὰρ ἐχουσῶν τῶν ἀρχῶν τοῦτο, οὐδ' ἂν τὸ ἐξ αὐτῶν ἔχοι. ὥστε εἰ καὶ μὴ ἐν τῇ ὕλῃ δυνατὸν ὑποθέσθαι τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, ἀλλ' οὖν ἐν τῷ εἴδει γε ἀνάγκη. πρὸς τοῦτο δὲ πάλιν ἐρεῖ τις ὅτι εἰ πάντα τὰ ἐν τῷ συνθέτῳ ἀνάγκη καὶ ἐν τοῖς ἁπλοῖς εἶναι, ἔστι δὲ τὸ σῶμα ἐπ' ἄπειρον διαιρετόν, ἕξει καὶ ἤτοι ἡ ὕλη ἢ τὸ εἶδος τὸ εἰς ἄπειρον διαιρετόν. ἀλλ' οὔτε τὸ εἶδος διαιρετόν ἐστι. λέγομεν γοῦν ἀμερὲς εἶναι τὸ εἶδος τῷ οἰκείῳ λόγῳ. μερίζεσθαι δὲ καὶ διΐστασθαι ἐν τῇ ὕλῃ γινόμενον. ἀλλὰ καὶ αὐτὴν πάλιν τὴν ὕλην φαμὲν ἀμεγέθη εἶναι καὶ ἀδιάστατον. οὐκ ἄρα ἐν τοῖς ἁπλοῖς τὸ διαιρετόν, εἰ μὴ ἄρα δυνάμει. ἀλλὰ τοῦτο οὐδὲν πρὸς τὸν λόγον. περὶ γὰρ τοῦ κατ' ἐνέργειαν ἀπείρου νῦν ἡμῖν ὁ λόγος. πάλιν ἐστὶ τὸ λευκὸν ἐν σώματι φημὶ διακριτικὸν ὄψεως, καὶ ὅμως αὐτὸ καθ' αὑτὸ τὸ εἶδος τοῦ λευκοῦ οὔτε τὸ στοιχειῶδες, μήπω δὲ συμπλακὲν τῇ ὕλῃ, οὔτε τὸ ἐν τῷ δημιουργῷ τοιοῦτόν ἐστι. πάλιν ἐστὶν ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν. ἀλλ' ὅμως οὔτε ἡ ἰδέα αὐτὴ τοῦ ἀνθρώπου θνητή ἐστιν, οὔτε δὲ ἡ ὕλη. ὅλως δὲ τὰ ἐν τῷ δημιουργῷ εἴδη οὐ τοιαῦτα φαμέν. οἷον, τὸ τοῦ σώματος εἶδος οὐ τριχῇ διαστατόν. οὐδὲ τὸ τοῦ ποσοῦ εἶδος, συνεχὲς ἢ διωρισμένον. ἢ ζῷον λογικὸν θνητὸν τὸ τοῦ ἀνθρώπου. ἀλλὰ λόγους τούτων καὶ αἰτίας. Πρὸς ταῦτά φασιν, ὅτι πάντων μέν ἐστι τὶς ὁμοιότης κατ' οὐσίαν ἔν τε τοῖς εἴδεσι τοῖς ἐν τῷ δημιουργῷ καὶ ἐν τοῖς ἐξ αὐτῶν προϊοῦσι μέχρι τῆς ὕλης. οὐδὲ γὰρ ἁπλῶς ὁμωνύμως ἄνθρωπος τοῦτο κἀκεῖνο, ἀλλ' ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐν οἷς ἐστι καὶ οὐσιώδης τις κοινωνία πρὸς τὰ ἀφ' ὧν ἐστι, καὶ διαφορά. ὥσπερ ἀπὸ τῆς ὑγιείας τὸ ὑγιεινὸν σιτίον. εἰ γὰρ πρὸς ἐκεῖνο ἀφορῶν ὁ δημιουργὸς ποιεῖ τὰ ἐνταῦθα, δεῖ δέ που πολλὴν τὴν κατ' οὐσίαν κοινωνίαν εἶναι. οὐ γὰρ δὴ ὡς ζωγράφος ἀφορῶν εἰς τὸν ἄνθρωπον, ἄνθρωπον μὲν τῷ ὄντι ποιεῖ, ἀπομιμεῖται δὲ τὰ κατὰ συμβεβηκὸς τῷ σώματι ὑπάρχοντα. οἷον χρώματα καὶ σχήματα. οὕτω καὶ ὁ δημιουργὸς μιμήματα μόνον ἁπλῶς καὶ μηδεμίαν κοινωνίαν ἔχοντα πρὸς τὰ ἐκεῖ εἴδη ποιεῖ τὰ ἐνταῦθα, ἀλλ' οὐσιωδῶς ἐκεῖνα ἐν τούτοις ἀπομάττεται, ὥσπερ καὶ ἡ σφραγὶς ἐν τῷ κηρῷ τὸν ἐν αὐτῇ χαρακτῆρα. οὔσης οὖν ἐν αὐτοῖς τῆς κατ' οὐσίαν ὁμοιότητος, εἴ τι μὲν τοῖς συνθέτοις ὑπάρχει συμπληρωτικὸν τῆς οὐσίας, καὶ οἱονεὶ στοιχεῖον καὶ πλήρωμα τοῦ ὅλου συγκρίματος, πάντως ἐκ τῶν ἁπλῶν ὑπάρχει. τῶν δὲ εἰδῶν προϊόντων ἐκεῖθεν μέχρι τῆς ὕλης, ἐπειδὴ ἀνάγκη πάντως ὕφεσίν τινα τὰ

σωμάτων, εἴτε τῶν συνεγνωσμένων ἡμῖν, εἴτε ὅ, τι δήποτε ἄλλο ἄπειρον εἶναι, κοινῷ φυσικῷ λόγῳ δείξομεν. ὅτι δὲ οὐδ' ἄλλο τι σῶμα αἰσθητόν ἐστι, περὶ οὗ καὶ ποιούμεθα τὸν λόγον ἕτερον ὂν τῶν στοιχείων, καὶ ἀρχὴ αὐτῶν ἰδία, καὶ πρότερον, καὶ ὑποκείμενον αὐτοῖς, δείξωμεν. καὶ δεικνύντα ὅτι οὐδὲν τοιοῦτον αἴδιον ἢ αἰσθητὸν, ἢ τῶν γινομένων ὑποκείμενον, ἢ τῶν φθειρομένων ἔσχατον.

» ΟΥΔΕ δὴ πῦρ, οὐδ' ἄλλο τῶν στοιχείων οὐθὲν ἄπειρον ἐνδέχεται εἶναί τι. ὅλως γὰρ καὶ χωρὶς
» τοῦ ἄπειρον εἶναί τι αὐτῶν, ἀδύνατον τὸ πᾶν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι, ἢ γίνεσθαι ἕν τι αὐτῶν. ὥσπερ
» ἡράκλειτός φησιν ἅπαντα γίνεσθαί ποτε πῦρ. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνὸς, οἷον ποιοῦσι παρὰ τὰ
» στοιχεῖα οἱ φυσικοί.

Δ δείξας ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ μεταξὺ, μέτεισιν ἐπὶ τὸ δεῖξαι, ὅτι οὐδὲ ὅλως ἄλλο τι σῶμα. ἁπλοῦν καὶ ἀρχὴν, ἄπειρον εἶναι δυνατόν. εἶτα τοῦτο προθέμενος, ἐπί τι καθολικώτερον ἀνάγει τὸν λόγον. τὸ γὰρ λέγω φησὶν ἄπειρον εἶναι ἕν τι τῶν ἁπλῶν ὅλως γὰρ ὅτι ἀδύνατον ἕν τι εἶναι, καὶ ἁπλοῦν. τὴν ἀρχὴν τῶν ὄντων, εἴτε ἄπειρον εἴη τοῦτο, εἴτε πεπερασμένον δείξομεν, ἐκ πολλοῦ δεικνὺς τοῦ περιόντος, ὅτι ἓν εἶναι, καὶ ἁπλοῦν τὸ ἄπειρον ἀδύνατον, εἴγε μηδὲ ὅλως ἓν εἶναι τὸ στοιχεῖον οἷόν τε ἁπάντων, εἴτε ἄπειρον, εἴτε πεπερασμένον. εἰ γὰρ ἕν τι εἴη τὸ στοιχεῖον, ἀναιρεθήσεται καθόλου γένεσις, καὶ πᾶσα μεταβολή. εἰ δὲ τοῦτο ἄτοπον, οὐκ ἄρα ἐνδέχεται ἓν εἶναι τὸ στοιχεῖον. εἰ μὲν γὰρ ἕν τι τῶν τεσσάρων εἴη, οἷον τὸ πῦρ κατὰ τὸν ἡράκλειτον, ἢ ἄλλο τι, ἕξει μὲν ἐν ἑαυτῷ ἐναντιότητός τι μόριον. οἷον τὸ θερμόν. καὶ οὕτω γε οὐδὲν ἴσως αὐτὸ κωλύσει μεταβάλλειν εἰς τοὐναντίον, ἐξ ἐναντίου. ἀλλ' οὐκέτι φυλάξει τὴν ἐναντίωσιν. ἐν τῇ μεταβολῇ καθ' ἣν ἐστὶν, οἷον εἰ πῦρ εἴη, οὐ διατηρήσει τὴν θερμότητα, ἀπολιπὸν δὲ δέξεται τὴν ψυχρότητα. οὕτω δὲ οὐκέτ' ἂν σώζοιτο πῦρ. δεῖ δὲ σώζεσθαι τὴν πρώτην ἀρχὴν, καὶ ἀμετάβλητον εἶναι. καὶ τί δήποτε μὴ ὁ ἀὴρ μᾶλλον στοιχεῖον, ἢ τὸ πῦρ. οὐδὲν γὰρ μᾶλλον τὸ πῦρ εἰς τὸν ἀέρα μεταβάλλει, ἢ ὁ ἀὴρ εἰς τὸ πῦρ. ἀδύνατον ἄρα ἕν τι τῶν ἁπλῶν εἶναι στοιχεῖον. πολλῷ ἄρα μᾶλλον ἄπειρον ἀδύνατον εἶναι ἕν τι τῶν ἁπλῶν. ἐπειδὴ τὸ ἄπειρον εἰ ἔστιν, πάντως ἀρχὴ ἐστὶ, καὶ πρῶτον στοιχεῖον. ὅτι μὲν οὖν ἕν τι τῶν τεσσάρων στοιχείων εἶναι τὸ ἄπειρον ἀδύνατον, δέδεικται. ὅτι δὲ οὐ τὸ μεταξὺ, ὥσπερ ἀναξίμανδρος ἔλεγεν, ἤδη μὲν δέδεικται, τῇ αὐτῇ δὲ τοῖς λοιποῖς μεθόδῳ καὶ νῦν δειχθήσεται. εἰ γὰρ πρὸς οὐδὲν τῶν τεσσάρων ἐναντίωσιν ἔχει ἐκεῖνο τὸ μεταξὺ, οὐδ' ἂν εἰς τοῦτό τι μεταβάλλοι. οὕτω δὲ οὐδ' ἂν ἐξ αὐτοῦ τι γίνοιτο. ἀργὸν οὖν ἔσται. οὐδὲν δὲ ἀργὸν τῶν αἰδίων. τάχα οὖν τις εἴποι, ὅτι καὶ ἡμᾶς τοῖς ἀναξιμάνδρου περιπίπτομεν ἀτόποις, τὴν ὕλην ἄνευ πάσης ἐναντιώσεως ποιοῦντες. ἢ πολὺ τὸ διάφορον αὐτό τι μεταβάλλειν, καὶ ἐν αὐτῷ γίνεσθαι τὰς μεταβολάς. αὐτὸ μὲν οὖν τι μεταβάλλειν οὐχ οἷόν τε, εἰ μή τινα ἔχει καὶ ἐναντίωσιν. ἐν αὐτῷ δὲ γίνεσθαι τὰς μεταβολὰς τῶν ἐναντίων εἰς τὰ ἐναντία οὐδεὶς κωλύσει λόγος. οὕτω δὲ ἡμῖν καὶ μία οὖσα ἡ ὕλη, ἐνυπάρχει παντὶ τῷ γινομένῳ. ὅπερ τοῖς ἐν τῷ στοιχείῳ ὑποτιθεμένοις οὐ σώζεται. καὶ ἡμᾶς μὲν αὐτὴν οὔ φαμεν καθ' αὑτὴν ὑφίστασθαι δίχα πάσης ποιότητος, ἀεὶ δὲ πάντως ὑπό τινος εἴδους συγκατειλῆφθαι. καὶ διὰ τοῦτο ἐπειδὴ ἔχει τινὰ ποιότητα, ταύτης ὑπὸ τῆς ἐναντίας πασχούσης, γίνεσθαι φαμὲν τὰ πράγματα, καὶ μεταβάλλειν. ἀναξίμανδρος μέντοι ἐνεργείᾳ ὑφίστασθαι λέγοντα καθ' αὑτὸ τὸ ἄπειρον σῶμα, ἀνάγκη πᾶσα τὸ, αὐτὸ ὑπό τινος ὑποτίθεσθαι πάσχειν. εἰ γὰρ ὁ πάσχων ὑπὸ τοῦ ἐναντίου πάσχει, μηδὲν δὲ ἐστὶν ἐκείνῳ ἐναντίον διὰ τὸ μηδὲ ὅλως πεποιῶσθαι αὐτὸ κατά τινα ἐναντίωσιν, ἀνάγκη δήπου μηδὲ πάσχειν τι αὐτὸ ὑπό τινος. ὥστε οὐδὲ γενήσεταί τι ἐξ αὐτοῦ.

» ΠΑΝ γὰρ μεταβάλλει ἐξ ἐναντίου εἰς ἐναντίον. οἷον, ἐκ θερμοῦ εἰς ψυχρόν.

Τ οὕτω κατεσκεύασεν ἐκ τοῦ μὴ δύνασθαί τι τῶν ἁπλῶν στοιχείων εἶναι ἄπειρον μήτε ἕν τι τῶν τεσσάρων, μήτε τὸ μεταξύ. εἰ γὰρ εἴη ἕν τι στοιχεῖον, πῶς ἂν ἡ γένεσις εἴη ἢ φθορὰ, πάσης μεταβολῆς ἐξ ἐναντίου εἰς ἐναντίον οὔσης. πῶς δὲ ἀδύνατον, ἐδείξαμεν.

» ΔΕΙ δὲ περὶ παντὸς, καὶ ἐκ τῶνδε σκοπεῖν, εἰ ἐνδέχεται, ἢ οὐκ ἐνδέχεται εἶναι σῶμα ἄπειρον αἰσθητόν.

Ε ἐπειδὴ ὡς ἐπὶ πυρὸς καὶ τοῦ μεταξὺ ἐποιήσατο τὸν λόγον. ἐμνήσθη γὰρ ἡρακλείτου, τὸ πῦρ ἀρχὴν τιθεμένου, καὶ λέγοντος, διὰ τοῦτο καὶ πάντα ποτὲ εἰς αὐτὸ ἀναλυθήσεσθαι, ἐκπυρωθήσεσθαι γάρ ποτε τὸ πᾶν διὰ τοῦτο προσέθηκεν, ὅτι τοῖς αὐτοῖς δείξεις ὅτι οὐδὲ τῶν ἄλλων οὐδὲν δυνατὸν εἶναι ἄπειρον.

» ΟΤΙ δὲ ὅλως ἀδύνατον εἶναι σῶμα ἄπειρον αἰσθητὸν, ἐκ τῶνδε δῆλον. πέφυκε γὰρ πᾶν τὸ αἰσθη-
» τὸν, πού εἶναι. καὶ ἔστι τόπος τὶς ἑκάστου. καὶ ὁ αὐτὸς τοῦ μορίου καὶ παντός. οἷον, ὅλης τε τῆς γῆς καὶ μιᾶς
» βώλου, καὶ πυρὸς καὶ σπινθῆρος.

Δ δείξας ἐκ τῶν φυσικῶν δυνάμεων, ὅτι ἀδύνατον εἶναί τι σῶμα ἄπειρον, νῦν βούλεται καὶ ἐκ τῶν φυσικῶν τόπων κατασκευάσαι τὸ αὐτὸ τοῦτο. κέχρηται δὲ πάλιν τῇ αὐτῇ διαιρέσει. ὅτι τὸ ἄπειρον ἤτοι ἁπλοῦν ἐστὶν, ἢ σύνθετον. καὶ πρότερον δείκνυσιν, ὅτι οὐ δυνατὸν ἁπλοῦν εἶναι. πρότερον δὲ δύο τινὰ προλαμβάνει ἀξιώματα. πρῶτον μὲν, ὅτι πᾶν τὸ αἰσθητὸν σῶμα, ταυτὸν δὲ εἰπεῖν τὸ φυσικὸν, ἔν τινι τόπῳ ἐστίν. ἕκαστον γὰρ τῶν τεσσάρων στοιχείων ἀφωρισμένον τινὰ κατείληφε τόπον. δεύτερον, ὅτι ὃς ἂν τοῦ ὅλου τόπος ἐστὶν, ὁ αὐτὸς οὗτος καὶ τοῦ μορίου ἐστὶ τόπος. ἔνθα γὰρ ἡ πᾶσα γῆ πέφυκεν εἶναι, ἐκεῖ δήπου καὶ

θέντα ἰσάζειν πως, ἵνα καὶ σῴζηται. ἀδύνατον ἅμα ἕν τι αὐτῶν εἶναι ἄπειρον.

ΕΙ γὰρ ὁποσονοῦν λείπεται ἡ ἐν θατέρῳ σώματι δύναμις θατέρου. οἷον, εἰ τὸ πῦρ πεπέρασται, ὁ δ' ἀὴρ ἄπειρος, ἔστι δὲ τὸ ἴσον πῦρ τοῦ ἴσου ἀέρος τῇ δυνάμει ὁποσαπλασιονοῦν, μόνον δὲ ἀριθμόν τινα ἔχον, ὅμως φανερὸν, ὅτι τὸ ἄπειρον ὑπερβαλεῖ καὶ φθερεῖ τὸ πεπερασμένον.

Ἀδιάρθρωτος ἡ λέξις. ἔστι δὲ ὁ νοῦς οὗτος. εἰ γάρ φησι τὸ μὲν, εἴη ἄπειρον. οἷον ὁ ἀήρ. τὸ δὲ πεπερασμένον. οἷον τὸ πῦρ. κἂν πάνυ ἐλάττων εἴη ἡ ἐν τῷ ἀπείρῳ δύναμις τῆς ἐν τῷ ἑτέρῳ θατέρου. ἐὰν δὴ δύο ἐξ αὐτῶν ἴσα μόρια λάβω κατὰ μέγεθος, τὸ μὲν τοῦ ἀέρος. τὸ δὲ τοῦ πυρός, κἂν πάνυ σφοδρότερον ᾖ τὸ τοῦ πυρὸς μόριον κατὰ τὴν δύναμιν τῆς ἐν τῷ ληφθέντι μορίῳ τοῦ ἀέρος δυνάμεως, ἀλλ' οὖν ἐπειδὴ παντὸς πεπερασμένου πρὸς πεπερασμένον ἐστὶ λόγος, ἕξει πάντως λόγον τινὰ ἡ σφοδρότης τῆς δυνάμεως τοῦ ληφθέντος μορίου τοῦ πυρὸς πρὸς τὴν τοῦ ἀέρος, οἷον δεκαπλασίονα, ἢ ἑκατονταπλασίονα. εἰ τοίνυν ἐν τῷ ἴσῳ ὄγκῳ εὕρωμεν ἑκατονταπλασίονα τυχὸν τὴν τοῦ πυρὸς δύναμιν, ἐὰν λάβω ἑκατονταπλασίονα τοῦ ἀέρος ὄγκον, ἐξισάζω τὰς δυνάμεις. ἐπεὶ οὖν ὑπόκειται ὁ μὲν ἀὴρ ἄπειρος, τὸ δὲ πῦρ πεπερασμένον. οὐκ ἔστι δὲ λόγος τοῦ ἀπείρου πρὸς τὸ πεπερασμένον, οὐδ' ἡ ἐν τῷ ἀπείρῳ δύναμις ἕξει λόγον τινὰ πρὸς τὴν ἐν τῷ πεπερασμένῳ. ὡς γὰρ ἔχουσιν οἱ ὄγκοι πρὸς ἀλλήλους, οὕτως ἔχουσι καὶ αἱ δυνάμεις. εἰ οὖν μηδένα λόγον ἔχουσι πρὸς ἀλλήλους οἱ ὄγκοι, οὐδ' ἄρα αἱ δυνάμεις λόγον τινὰ ἕξουσι πρὸς ἀλλήλας. οὐκ ἄρα ἕξει λόγον τινὰ ἡ ἐν τῷ ἀπείρῳ δύναμις πρὸς τὴν ἐν τῷ πεπερασμένῳ, ἀλλ' ὑπερβαλεῖ πάντα. ὑπερβάλλουσα δὲ φθερεῖ τὰ λοιπά.

ΕΚΑΣΤΟΝ δ' ἄπειρον εἶναι, ἀδύνατον. σῶμα γάρ ἐστι τὸ πάντῃ ἔχον διάστασιν. ἄπειρον δὲ τὸ ἀπεράντως διεστηκός. ὥστε τὸ ἄπειρον σῶμα πανταχῇ ἔσται διεστηκὸς εἰς ἄπειρον. ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι ἐνδέχεται τὸ ἄπειρον σῶμα, οὔτε ὡς λέγουσί τινες τὸ παρὰ τὰ στοιχεῖα, ἐξ οὗ ταῦτα γεννῶσιν, οὔθ' ἁπλῶς.

Ἐπὶ τὴν ἑτέραν μετέβη ὑπόθεσιν, ὅτι οὐδὲ πάντα ἄπειρα δυνατὸν εἶναι τὰ συντιθέντα τὸ ἄπειρον. εἰ γὰρ σῶμά φησιν ἐστὶ τὸ πάντῃ διεστηκός, τουτέστι τὸ πάσας ἔχον τὰς διαστάσεις, καὶ ἄπειρον ἂν εἴη σῶμα τὸ πάντῃ ἀπεράντως διεστηκός. ὥστε ἄλλῳ εἶναι οὐ δώσει χώραν σώματι τὸν ὅλον καταληφθὸς τόπον. οὐ λέγω ἀπείρῳ, ἀλλ' οὐδὲ πεπερασμένῳ, κἂν βραχύτατον ᾖ. καὶ τί κωλύει μὴ κατὰ πᾶσαν διάστασιν ἄπειρον εἶναι, ἀλλὰ τὴν κατὰ μῆκος μόνον, ἵνα καὶ ἄλλοις δῷ χώραν. ἀλλὰ τοῦτο πλασματῶδες. διατί γὰρ εἴγε ἐστὶν ἄπειρον, μὴ πάντῃ ἐστὶν ἄπειρον καὶ ἄλλως οὐδεὶς τοιοῦτον ὑπέθετο εἶναι ἄπειρον, ἀλλὰ πάντες τὸ πάντῃ ἄπειρον. εἰ γὰρ ὅλως πέφυκεν εἶναι τὸ ἄπειρον, οὐ μᾶλλον τῇδε, ἢ τῇδε πέφυκεν εἶναι, ἀλλὰ πάντῃ. Ἀλλὰ μὴν οὐδὲ ἓν καὶ ἁπλοῦν εἶναι τὸ ἄπειρον σῶμα ἐνδέχεται. δείξας, ὅτι ἀδύνατον σύνθετον εἶναι τὸ ἄπειρον, νῦν ὅτι οὐδὲ ἁπλοῦν εἶναι ἐνδέχεται δείκνυσι. τοῦτο γὰρ ἦν ἀπολειπὸν τῆς ὅλης διαιρέσεως. οὔτε ἓν τι τῶν στοιχείων, οὔτε τὸ μεταξὺ τούτων, ὥσπερ Ἀναξίμανδρος ἔλεγεν.

ΕΙΣΙ γάρ τινες οἳ τοῦτο ποιοῦσι τὸ ἄπειρον, ἀλλ' οὐκ ἀέρα ἢ ὕδωρ, ὅπως μὴ τἆλλα φθείρηται ὑπὸ τοῦ ἀπείρου αὐτῶν. ἔχουσι γὰρ πρὸς ἄλληλα ἐναντίωσιν. οἷον, ὁ μὲν ἀήρ, ψυχρός. τὸ δ' ὕδωρ, ὑγρόν. τὸ δὲ πῦρ θερμόν. ὧν εἰ ἦν ἓν ἄπειρον, ἔφθαρτο ἂν ἤδη τἆλλα. νῦν δ' ἕτερόν φασιν εἶναι τὸ ἐξ οὗ ταῦτα.

Ὁ Ἀναξίμανδρος δεῖν μὲν οἰόμενος ἄπειρον εἶναι τὴν ἀρχὴν διὰ τὴν ἀειγενεσίαν, ἵνα μὴ ἐπιλείπῃ, μήπως ἐπιστήσας τῇ ἀνακάμψει τῶν πραγμάτων, ὅτι ἐξ οὗ τι γίνεται, εἰς τοῦτο καὶ ἀναλύεται, συνεωρακὼς δὲ ὅτι ἐν τοῖς τέτταρσι στοιχείοις οὔσης τινὸς ἐναντιώσεως πρὸς τὰ λοιπά, εἰ ὑπόθοιτο ἓν αὐτῶν εἶναι τὴν ἀρχήν, ἐπειδὴ ἀνάγκη ταύτην ἄπειρον εἶναι, ἄπειρος δὲ οὖσα φθείρει τὰ λοιπὰ ἀπείρου οὔσης τῆς ἐν αὐτῷ δυνάμεως, οὐδὲν μὲν τούτων ὑπέθετο εἶναι τὴν ἀρχήν, ἕτερον δὲ εἶναι παρὰ ταῦτα τὴν ἀρχὴν ἐξ οὗ καὶ τὰ στοιχεῖα, καὶ τὰ λοιπὰ τὴν γένεσιν ἔχει. τοῦτο δὲ τὸ μεταξύ πως εἶναι αὐτῶν ὑπέθετο, ἵνα τῇ πρὸς τὰ ἐναντία κοινωνίᾳ σῴζηται μᾶλλον τὰ λοιπὰ τὴν γένεσιν ἔχοντα, ἢ φθείρηται ὑπὸ τῆς ἐν αὐτῷ ἀπείρου δυνάμεως. διατοῦτο καὶ τῶν ἄλλων ὅσοι μὲν ἢ τὸν ἀέρα ὑπέθεντο, ἢ τὸ ὕδωρ ἄπειρον εἶναι ὑπέθεντο τοῦτο διὰ τὸ μὴ ὁρᾶν. ἀμυδροτέραν οὖσαν τὴν ἐν αὐτῷ δύναμιν, καὶ μὴ φθείρειν νομίζειν τὰ λοιπά, κἂν ἄπειρον ᾖ τῷ μεγέθει. Ἡράκλειτος μέντοι τὸ πῦρ ὑποθέμενος ἀρχήν, διὰ τὸ σφοδροτάτην εἶναι τὴν ἐν αὐτῷ δύναμιν, οὐχ ὑπέθετο τοῦτο ἄπειρον εἶναι τῇ δυνάμει. μὴ γὰρ ἂν ὑποστῆναί τι τῶν ἄλλων τὸν τυχόντα χρόνον. ὁ ποτὲ καὶ πεπερασμένον ὑποθέμενος φησὶ πάντα ποτὲ ἐκπυρωθήσεσθαι ἀναλυθέντα εἰς πῦρ. Οἷον ὁ μὲν ἀὴρ ψυχρός. ὡς ἐν ὑποθέσει ψυχρὸν εἶπε τὸν ἀέρα. δείκνυσι γὰρ αὐτὸς ἐν τῷ περὶ γενέσεως, ὅτι θερμός ἐστιν.

ΑΔΥΝΑΤΟΝ δ' εἶναι τοιοῦτον, οὐχ ὅτι ἄπειρον. περὶ τούτου μὲν γὰρ κοινόν τι λεκτέον ἐπὶ παντὸς ὁμοίως καὶ ἀέρος, καὶ ὕδατος, καὶ ὁτουοῦν. ἀλλ' ὅτι οὐκ ἔστι τοιοῦτον αἰσθητὸν σῶμα παρὰ τὰ καλούμενα στοιχεῖα. ἅπαν γὰρ ἐξ οὗ ἐστι, καὶ διαλύεται εἰς τοῦτο. ὥστε ἦν ἂν ἐνταῦθα παρὰ ἀέρα καὶ πῦρ καὶ γῆν καὶ ὕδωρ, ἄλλο τι. φαίνεται δ' οὐθέν.

Διττῆς οὔσης τῆς προκειμένης θεωρίας μιᾶς μὲν εἰ ἐνδέχεται σῶμα εἶναί τι ἕτερον παρὰ τὰ τέσσαρα. ἑτέρας δέ, εἰ ὅλως ἔστι τι τῶν ἁπλῶν ἄπειρον, ὁποῖον δήποτε ᾖ, ὅτι μὲν οὐκ ἐνδέχεται ἕν τι τῶν ἁπλῶν

ἄπειρον, κοινῶς διάκεινται. εἰ γὰρ ἓν ἐστὶ τὸ στοιχεῖον, οὐχ ἕξει τὰς ἐναντίας δυνάμεις. ἐπεὶ τὰ ἐναντία ἐν τῷ αὐτῷ ἂν εἴη. ἀδύνατον δὲ ἐν τῷ αὐτῷ τὰ ἐναντία εἶναι. εἴτε μὴ ἔχει τὰς ἐναντίας δυνάμεις, ἀναιρεθήσεται γένεσις καὶ φθορά, καὶ καθόλου πᾶσα μεταβολή. ἐξ ἐναντίου γὰρ εἰς ἐναντίον πᾶσα μεταβολή. οἷον, ἢ ἐκ θερμοῦ εἰς ψυχρόν, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν. ὥστε εἰ μὴ δυνατὸν ὅλως ἓν τι καὶ ἁπλοῦν στοιχεῖον εἶναι, ὡς ἀρχήν, εὔδηλον ὅτι οὐδὲ ἄπειρον τοῦτο εἶναι δυνατόν. ὁ αὐτὸς γὰρ λόγος ἐπὶ τοῦ ἀπείρου φερομένου, καὶ ἐπὶ τοῦ πεπερασμένου.

» ΑΛΛΑ μὴν οὐδ᾽ ἀριθμὸς οὕτως, ὡς κεχωρισμένος καὶ ἄπειρος. ἀριθμητὸν γὰρ ὁ ἀριθμός, ἢ τὸ ἔ-
» χον ἀριθμόν. εἰ οὖν τὸ ἀριθμητὸν ἐνδέχεται ἀριθμῆσαι, καὶ διεξελθεῖν ἂν εἴη δυνατὸν τὸ ἄπειρον. φυσι-
» κῶς δὲ μᾶλλον θεωροῦσιν ἐκ τῶνδε. οὔτε γὰρ σύνθετον οἷόν τε εἶναι, οὔτε ἁπλοῦν. σύνθετον μὲν οὖν οὐκ
» ἔσται τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα εἴη. ἀνάγκη γὰρ πλείω εἶναι, καὶ ἰσάζειν ἀεὶ
» τἀναντία, καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον.

Η τοῦτό φησιν, ὅτι ὁ ἀριθμός, ὅ, τε ἐπὶ τῶν δακτύλων, καὶ ὁ αὐτός φημι ὁ ἀριθμός, ὅτε ἐπὶ τῶν πραγμάτων αὐτῶν λαμβανόμενος. λέγω δὲ τῶν ἀριθμητῶν πεπέρασται πάντως. διότι ἀριθμητὸν ἑκάτερος. τὸ δὲ ἀριθμητὸν ἐνδέχεται διεξελθεῖν. καὶ ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρος. πλὴν δὲ ταύτην τὴν ἐξήγησιν τό, ἢ τὸ ἔχον ἀριθμόν, ἀντὶ καὶ τὸ ἔχον ἀριθμόν. εἰ οὖν τοῦτό φησιν, ἢ ὅπερ καὶ μᾶλλον, ὅτι οὐδεὶς ἀριθμὸς χωριστὸς τῶν ἀριθμητῶν, ἀλλὰ πᾶς ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς ἔχει τὸ εἶναι. τὰ δὲ ἀριθμητὰ ἐνδέχεται διεξελθεῖν. καὶ τὸν ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. ὥστε οὐκ ἄπειρος. εἰ δὲ τοῦτο οὕτως ἔχει, ἀδύνατον ἄρα τὸν χρόνον μὴ ἀπό τινος ἀρχῆς ἤρχθαι, ἢ ὅλως τὸν κόσμον ἀΐδιον εἶναι. εἰ γὰρ ἀΐδιος ὁ κόσμος, δῆλον ὅτι ὁ γινόμενος τῶν ἀνθρώπων ἀριθμὸς ἄπειρος ἔσται, καὶ ἄπειρος ἐνεργείᾳ. πάντες γὰρ δηλονότι ἐνεργείᾳ γεγόνασιν. ὥστε ἐνδέχεται εἶναι ἀριθμὸν ἄπειρον. οὐ μόνον δέ, ἀλλὰ καὶ διεξιτητὸν ἔσται τὸ κατ᾽ ἐνέργειαν ἄπειρον. εἰ γὰρ πᾶσαι μὲν αἱ τῶν ἀνθρώπων μονάδες ἐνεργείᾳ γεγόνασι μέχρι νῦν, καὶ ἐσμὲν ἡμεῖς οἷον πέρας τῶν πρὸ ἡμῶν ἐνεργείᾳ ἀπείρων γινομένων, δῆλον ὅτι ἐνεργείᾳ διεξιτητὸν τὸ ἄπειρον γέγονεν. οὐ μόνον δὲ τοῦτο ἕψεται τὸ ἄτοπον τῇ ὑποθέσει ταύτῃ, ἀλλὰ καὶ τοῦ ἀπείρου ἔσται τι μεῖζον. μᾶλλον δὲ τὸ κατ᾽ ἐνέργειαν ἄπειρον, ἐπ᾽ ἄπειρον αὐξηθήσεται, εἴγε τὸ ὄπισθεν καθ᾽ ἑκάστην γενεὰν παρὰ προγόνοις λαμβάνων, ἀεὶ μὲν τοὺς πρὸ αὐτῶν γινομένους ἀπείρους ὄντας κατ᾽ ἐνέργειαν εὑρίσκομεν. τούτοις δὲ ἀεὶ οἱ ἐφεξῆς προστιθέμενοι πλείονα ποιοῦσι τὸν ἀριθμόν. ἡ δὲ πρόσθεσις ἐπ᾽ ἄπειρον γίνεται, εἴγε ἄφθαρτος ὁ κόσμος. ἐπ᾽ ἄπειρον ἄρα αὐξηθήσεται τὸ ἄπειρον. πλὴν δὲ τούτῳ συμβήσεται καὶ ἀπειράκις εἶναι τὸ ἄπειρον. ἕκαστον γὰρ γένος ἀνθρώπων ἀπείρους ἕξει τοὺς προγεγενημένους ἀνθρώπους. οἷον φέρε τὸ ἐμόν. τὸ αὐτὸ καὶ ἐπὶ πάντων ἀνθρώπων. τούτοις δὲ προσθείημεν καὶ τὸ τῶν ἵππων καὶ τῶν ἄλλων ζώων καὶ φυτῶν τὸ πλῆθος, καὶ τὰς κινήσεις ἑκάστης σφαίρας, συμβήσεταί που πάντως ἀπειράκις, ἢ πολλάκις εἶναι τὸ ἄπειρον ἐνεργείᾳ. πάντα γὰρ ὅσα κατηριθμήσαμεν, ἐνεργείᾳ γέγονεν. ὥστε εἰ ταῦτα ἀδύνατα, λέγω δὴ τὸ ἐνεργείᾳ ἄπειρον ἐκβεβηκέναι, τὸ τοῦ ἀπείρου εἶναί τι μεῖζον καὶ ἀπειρότερον, καὶ μὴ ἐπιλείπειν τοῦτο αὐξόμενον, καὶ αὐτὸ αὐτοῦ εἶναι μεῖζον γινόμενον, ἀδύνατον ἄρα τὸν χρόνον, ἢ ὅλως τὸν κόσμον ἀΐδιον εἶναι. πρὸς ταῦτα δὲ πάνυ ἀνοήτως τις ἀπαντῶν ἔλεγε, ὡς οὐδὲ κωλύει τὸ ἐπὶ θάτερα εἶναι ἄπειρον, ἐκεῖνο μὴ συνεωρακώς, ὡς οὐκ ἔστιν ἐπὶ ἀριθμοῦ λέγειν τὸ ἐπὶ θάτερα ἄπειρον, ἀλλ᾽ ἐπὶ μόνου τοῦ συνεχοῦς τοῦτο ὑποτιθέμεθα ἐν ταῖς γεωμετρικαῖς μεθόδοις. τὸ γὰρ ἐπὶ τοῦ ἀριθμοῦ ἄπειρον, οὐδὲν ἄλλο ἐστίν, ἢ μονάδων ἀπειρία. ὅλως δὲ καὶ ἐπὶ τοῦ συνεχοῦς εἰ διεξιτητὸν τὸ ἐπὶ θάτερα ἄπειρον, πάντως που καὶ ἐπὶ τὸ λοιπὸν διεξιτητὸν ἔσται. τίς γὰρ ἡ ἀποκλήρωσις τὸ μὲν τῶν μερῶν αὐτοῦ διεξιτητὸν εἶναι, τὸ δὲ μή. ἔλεγε δὲ καὶ τὸ ἄπειρον μὴ δύνασθαι ἀθρόον ἅμα κατὰ τὸν αὐτὸν ὑφεστηκέναι χρόνον, κατὰ μέρος δὲ μὴ εἶναι ἀδύνατον εἰς ἐνέργειαν ἐκβῆναι. καίτοι γε οὐ τὸ οὕτως ἄπειρον ὡς ἀθρόον ὑφιστάμενος, ἀριστοτέλης ἐλέγχει. ἀλλ᾽ ἁπλῶς τὸ ἐνεργείᾳ ἄπειρον. τί δὲ διαφέρει, εἴπερ ὅλως κατὰ φύσιν ἀδιεξίτητόν ἐστι τὸ ἄπειρον, ἢ ὡς ἀθρόον εἶναι, ἢ ὡς κατὰ μέρος γινόμενον. ἐγὼ δέ φημι μᾶλλον ἐνδέχεσθαι, ὡς ἐνεστηκὸς εἶναι τὸ κατὰ πλῆθος ἄπειρον, ἢ ὡς παρεληλυθός, ὅτι τὸ μὲν ἐνεστηκός, οὐ πάντως διεξιτητὸν ἀνάγκη εἶναι, τὸ δὲ παρεληλυθὸς ἐξ ἀνάγκης διεξιτητόν ἐστιν. ὅπερ ἀδύνατον. καὶ τὸ ἐνεστηκὸς μέν, οὔτε αὔξεσθαι, οὔτε ἀπειράκις ἄπειρον εἶναι ἀνάγκη. τῷ δὲ παρεληλυθότι τὸ αὐτὸ συμβαίνει, ὥσπερ εἴπομεν. τὸν δὲ περὶ τούτων ἐντελέστερον λόγον ἰδίᾳ ἐπισκεψόμεθα. Σύνθετον μὲν οὖν οὐκ ἔστι τὸ ἄπειρον σῶμα, εἰ πεπερασμένα τῷ πλήθει τὰ στοιχεῖα εἴη. εἰ σύνθετον ἐστί φησι τὸ ἄπειρον, ἢ ἐκ πεπερασμένων ἐστὶ τὸ πλήθει ἢ ἐξ ἀπείρων. ἐξ ἀπείρων μέν, ἀδύνατον εἶναι. δέδεικται γὰρ ὅτι ἄπειρα εἶναι τὰ στοιχεῖα ἀδύνατον. ἀλλ᾽ οὐδὲ ἐκ πεπερασμένων κατὰ τὸ πλῆθος δυνατὸν εἶναι τὸ ἄπειρον. ἀνάγκη μὲν γὰρ ἐναντία εἶναι τὰ συντιθέντα αὐτό. δεῖ δὲ ἐν τῇ συνθέσει ἰσάζειν τὰ ἐναντία, εἴγε μὴ μέλλοι ὑπὸ τοῦ ἐπικρατοῦντος φθείρεσθαι. εἰ τοίνυν ἐκ πεπερασμένων κατὰ πλῆθος συγκέοιτο τὸ ἄπειρον, εἰ μὲν καὶ κατὰ τὸ μέγεθος πάντα πεπέρασται, καὶ τὸ μέγεθος. εἰ μὲν οὖν ἓν εἴη ἄπειρον, ἐπειδὴ τὸ ἄπειρον ἄπειρον ἔχει καὶ τὴν δύναμιν, φθείροι δήπου τὰ λοιπά. δεῖ δὲ τὰ στοιχεῖα

ἀλλήλων. καί τοι εἰ ὅλος ὡς ὅλος δρᾷ ἀὴρ, τὰ αὐτὰ ἂν εἴδη πάντας πάσχειν, μιᾶς οὔσης τῆς τοῦ ἀέρος
ὁλότητος. ὅπερ ἐναργῶς μὴ συμβαῖνον ὁρῶμεν. ὅτι μὲν οὖν ἐλάττονος ὑποτιθεμένης τῆς ἐν τῷ ἀπεί-
ρῳ δυνάμεως, οὐ πάντως ἀνάγκη φθείρειν αὐτὸ τὰ λοιπὰ, μάλιστα εἴγε πολλὴ ὑφειμένη εἴη διὰ τὸ μη-
δὲ συναύξεσθαι τῷ ποσῷ τὸ ποιὸν, μετρίως ὡς πρὸς τὴν παροῦσαν χρείαν εἴρηται. ὅτι δὲ τῷ ὄντι ἀ-
δύνατον εἶναί τι σύνθετον σῶμα ἔχον ἕν τι τῶν στοιχείων ἄπειρον ὂν κατὰ τὴν ἔκτασιν, δείξεις οὕτως.
προλάβωμεν δὲ ἐκεῖνο, ὅτι τῶν ποιούντων καὶ πασχόντων, εἰ μὲν ἰσάζοιεν αἱ δυνάμεις, ἴσων μὲν ὄν-
των τῶν μεγεθῶν, ἢ οὐδὲν δράσουσιν εἰς ἄλληλα, ἢ ἴσως ὑπ' ἀλλήλων πείσονται. εἰ δὲ μὴ ἰσάζουσι τῆς
δυνάμεως, τὸ μὲν μεῖζον ἢ κατὰ μεγέθη, τὸ δὲ ἔλαττον, πείσεται τὸ ἔλαττον μέγεθος ὑπὸ τοῦ μείζονος
διὰ τὴν εἰρημένην ἤδη αἰτίαν. εἰ γὰρ καὶ τὸ τῷ μεγέθει ἔλαττον δρᾷ τι ἀλλὰ πλεῖον πείσεται ἢ ποιή-
σει. τούτου οὖν οὕτως ἔχοντος, φημὶ μὴ δυνατὸν σῶμά τι φυσικὸν ἄπειρον ὂν κατὰ μέγεθος σύνθετον
εἶναι. ἀνάγκη γὰρ πάντα τὰ συντιθέντα αὐτὸ στοιχεῖα ἰσάζειν πως κατὰ τὰς δυνάμεις. εἰ γὰρ μὴ ἰσάζοιεν, κρά-
σις ἐξ αὐτῶν οὐκ ἔσται, ἀλλὰ μεταβαλὸν τὸ ἐπικρατοῦν τὰ λοιπὰ εἰς ἑαυτό. καὶ τοῦτο ἐναργὲς ἐπὶ τῶν
φυσικῶν πάντων σωμάτων, καὶ μάλιστα τῶν ζώων. ὥστε καὶ τὰ συντιθέντα τὸ ἄπειρον ἀνάγκη ἐξισά-
ζειν ταῖς δυνάμεσιν. εἰ μὲν οὖν ἐκ πεπερασμένων τῷ μεγέθει σύγκειται, καὶ τὸ ὅλον πεπερασμένον ἔ-
σται. εἰ δὲ ἕν τι τῶν συντιθέντων ἄπειρόν ἐστι τῷ μεγέθει, ἐπειδὴ ἡ σύνθεσις τῶν φυσικῶν κατὰ κρᾶσίν ἐστι
καὶ οὐ κατὰ παράθεσιν. τεχνητὰ γὰρ τὰ κατὰ παράθεσιν συντιθέμενα, ἐπὶ δὲ τῶν κατὰ κρᾶσιν συντιθε-
μένων ὅλα δι' ὅλων χωρεῖ τὰ στοιχεῖα, ταύτῃ δὲ καὶ διαφέρει μέρος στοιχείου τῷ τὸ μὲν στοιχεῖον δι' ὅλου
χωρεῖν οὗ ἂν ᾖ στοιχεῖον, τὸ δὲ μέρος οὔ, ἀνάγκη ἄρα καὶ ἐπὶ τοῦ προκειμένου οὕτως ἔχειν. ἀλλὰ συνεκ-
τείνεσθαι τῷ ἀπείρῳ τὰ πεπερασμένα ἀδύνατον. φθάνει γὰρ ἐξίτηλα γίνεσθαι καὶ φθαρῆναι, ὥσπερ οὖν
εἰ ξεστιαῖον ἀέρα ἢ πῦρ συνεκτείναις ἐπὶ τὸν ξέστην ὕδατος, ἢ χοῦν οἴνου τῇ θαλάττῃ πάσῃ. φθάνει
γὰρ τὸ ὅλον φθαρῆναι πρὶν τινὰ κρᾶσιν γενέσθαι. καὶ τί λέγω εἰ ἐξισάζοιεν αἱ δυνάμεις. κἂν γὰρ πολλῷ
ὑπερέχῃ τοῦ πεπερασμένου, ἐπειδὴ οὐδένα λόγον ἔχει πρὸς τὸ ἄπειρον τὸ πεπερασμένον, ἀνάγκη πᾶ-
σαν συνεκτεινόμενον τῷ ἀπείρῳ θᾶττον φθαρῆναι πρὶν κραθῆ. ἄπειρον γὰρ ἂν εἴη, καὶ αὐτὸ εἰ συνε-
κτείνηται τῷ ἀπείρῳ. ἀδύνατον ἄρα φυσικὸν σῶμα σύνθετον εἶναι. ἑνὸς τῶν συντιθέντων ἀπεί-
ρου ὄντος κατὰ μέγεθος. εἰ δέ τις εἴποι κατὰ παράθεσιν εἶναι τὴν σύνθεσιν, μάλιστα μὲν οὐ φυλάττει τὴν ὑπό-
θεσιν. περὶ γὰρ φυσικοῦ σώματος ὁ λόγος ἔπειτα ἐδείξαμεν ὅτι κἀκ. ἰσοσθενὲς κατὰ τὴν δύναμιν πα-
ρατεθῇ μείζονι τινὶ μέγεθος, φθείρεται πάντως. καὶ τὸν λόγον ἀποδεδώκαμεν. ἐπεὶ καὶ κρύσταλλος εἰς
μεγάλην πυρκαϊὰν ἐμβληθεὶς, φθάνει φθαρῆναι πρὶν δρᾶσαι τι αἰσθητῶς εἰς τὸ πῦρ. ὅτι μὲν οὖν
ἄπειρον εἶναι τῶν στοιχείων τῶν συνθέτων τὸ ἄπειρον σῶμα ἀδύνατον, ἱκανῶς δέδεικται. ὅτι δὲ οὐδὲ
πλείονα οὐδὲ πάντα, δείκνυσιν οὕτως. εἰ τοῦτό ἐστι φησὶ σῶμα τὸ πάντῃ διεστηκὸς, τουτέστι τὸ κατὰ πᾶσαν
διάστασιν ἐπ' ἄπειρον ἐκτεινόμενον, εἰ δὴ πάσας τὰς διαστάσεις κατείληφεν, οὐ δύναται χώραν ἄλλο εἶναι.
ὥστε ἀδύνατον δύο ἢ πλείω ἄπειρα εἶναι. τοῦτο δὲ καὶ ἐπὶ τῆς προτέρας αὐτὸ ἥρμοζεν ὑποθέσεως
λέγειν. εἰ γὰρ ὅλως ἕν τί ἐστιν ἄπειρον τὸν πάντα κατείληφε τόπον, ἀδύνατον ἄλλο τι εἶναι κἂν βραχύ-
τατον ᾖ. δυνατὸν δὲ ἐστὶ καὶ τοῖς ἐκεῖ ἐλέγχοις χρήσασθαι καὶ ἐπὶ τούτων. λέγω δὴ εἰ μὴ πάντα τὰ συντι-
θέντα εἴη ἄπειρα ἀλλὰ τινὰ, ἀδύνατον ἄρα ἄπειρον σῶμα φυσικὸν εἶναι. καὶ τοῦτο εὐλόγως τοῖς
προαποδεδειγμένοις ἠκολούθηκεν. εἰ γὰρ δέδεικται ὅτι εἴπερ ἐστὶ τὸ ἄπειρον πάντως ἐστὶν ἀρχὴ, οὐκ ἐξ
ἀρχῆς, οὐδεμία δὲ ἀρχὴ κυρίως καὶ πρώτη σύνθετός ἐστιν, εἰκότως οὐδὲ ἄπειρον σύνθετον εἶναι ἐνδέχε-
ται. μήποτε οὖν ἁπλοῦν ἐστιν. ἀλλὰ καὶ τοῦτο ἀδύνατον. εἰ γὰρ ἁπλοῦν ἐστι τὸ ἄπειρον, ἢ ἕν τι τούτων
ἐστὶ τῶν στοιχείων. οἷον ἀὴρ ἢ ὕδωρ ἢ τῶν ἄλλων τι, ἢ ἕτερόν τι παρὰ ταῦτα, οἷον ἔλεγε τὸ μεταξὺ εἶναι
Ἀναξίμανδρος. ὅτι μὲν οὖν οὔτε ἕν τι τῶν στοιχείων, οὔτε ἕτερόν τι παρὰ ταῦτα ἄπειρον εἶναι σῶμα δυ-
νατὸν, κοινῷ τινι λόγῳ ἐλέγχει. ὅτι δὲ ὅλως ἀδύνατον σῶμά τι εἶναι ἕτερον τῶν στοιχείων μεταξὺ αὐ-
τῶν ὂν καὶ ἀρχὴ τῶν ἄλλων, πρῶτον δείκνυσιν. εἰ γὰρ ἦν τί φησι μεταξὺ τῶν στοιχείων σῶμα εἴτε ἄπει-
ρον εἴτε πεπερασμένον ἐξ οὗ τὰ ἄλλα τὴν γένεσιν εἶχεν, ἐπειδὴ πᾶν ἐξ οὗ γίνεται εἰς τοῦτο καὶ διαλύ-
εται, ἔδει καὶ τὰ στοιχεῖα φθειρόμενα εἰς αὐτὸ ἀναλύεσθαι. εἰ δὲ εἰς αὐτὸ ἀνελύετο, καὶ ἐφαίνετο ἂν
τοῦτο ὅ, τί ποτε ἦν. ὡς γὰρ ὁ ἀὴρ ἐκ πυρὸς ἢ ὕδατος γινόμενος πάντως καὶ εἰς ταῦτα ἀναλύεται καὶ φαι-
νόμενος ἐναργῶς, οὕτω κἀκεῖνα ἔδει φαίνεσθαι. ἀλλ' οὐ φαίνεται ἕτερόν τι στοιχεῖον παρὰ τὰ τέσσα-
ρα. οὐδ' ἄρα ἐστίν. ἡ μὲν γὰρ ὕλη δυνάμει ἐστὶ καὶ τὰ ἐξ ὕλης γινόμενα, ὡς ἐξ ὕλης δυνάμει οὔσης γίνε-
ται. οὐ γάρ ἐστιν ἐνεργείᾳ ἡ ὕλη, ἀλλ' ἀεὶ εἴδει πεποιημένη ἐστί. καὶ διὰ τοῦτο καὶ τὰ ἀναλυόμενα εἰς αὐτὴν
δυνάμει, εἰς τὴν ὕλην ἀναλύεται. καὶ ἐκεῖ πως οὐ φαίνεται, ἅτε μὴ οὖσα ἐνεργείᾳ. οὐδέποτε γάρ ἐστι κε-
χωρισμένη τῶν εἰδῶν. οὗτοι δὲ ἐνεργείᾳ φασὶν εἶναι τὸ μεταξύ. ὥστε καὶ ἔδει αὐτὸ φαίνεσθαι. ταῦτα δὲ
φησιν οὐχ ὡς οὐκ οὔσης μεταξύ τινος οὐσίας τῶν ἐναντίων. ἀνάγκη γὰρ πᾶσαν τὴν μεταβολὴν τὴν εἰς τὰ ἐν-
αντία διά τινων μεσοτήτων γίνεσθαι. οὐ γὰρ ἄμεσος ἡ εἰς τὰ ἐναντία μεταβολή. ἀλλ' οὐκ ἔστιν ὡρισμένον τι
τοῦτο τὸ μεταξὺ, οὐδὲ στοιχεῖον τῶν ἄλλων, ἀλλ' οὐδέ τις αὐτὸ ἐναντίον. ἔτι δὲ οὐδ' ὅλως ἐγχωρεῖ ἕν τι
εἶναι στοιχεῖον ἁπλοῦν, εἴτε πῦρ, εἴτε ἀὴρ ᾖ, εἴτε ὁποιοῦν ἄλλο, καὶ τοῦτο κἂν τι πεπερασμένον ᾖ κἄν τι

τοσαύτη ἐστὶν ἡ ὑπεροχὴ τοῦ ποιοῦ πρὸς τὸ ποιόν, ὅση ἡ ὑπεροχὴ τοῦ ποσοῦ πρὸς τὸ ποσόν, ἀλλὰ πολὺ ἐλάττων ἡ τοῦ ποιοῦ ὑπεροχή. ἀλλ' ὅμως ἐπειδὴ μὴ συναύξεται τῷ ποσῷ τὸ ποιόν, δρᾷ μᾶλλον ἡ λυχνιαία φλὸξ εἰς τὸν ἀέρα σφοδροτέρα οὖσα, ἢ πάσχει ὑπ' αὐτοῦ. ἀλλὰ κἂν τὸν ψυχρὸν ἀέρα μὴ περιλάσω μέχρι τῆς πόλεως, ἀλλ' ἐπεκτείνω ἐπὶ πάντα τὸν κόσμον, ὥστε τὸν ἐν παντὶ τῷ κόσμῳ ἀέρα κατεψύχθαι ὁμοίως, οὐδὲν πλέον πείσεται ἡ λυχνιαία φλόξ. εἴγε καὶ νῦν τῆς καθ' ἡμᾶς πάσης οἰκουμένης κατεψυγμένης, οὐδὲν ἡ περιεχομένη λυχνιαία φλὸξ πάσχει. ὥστε κἂν ἐπ' ἄπειρον αὐξήσω τὸν ψυχρὸν ἀέρα, τὸ αὐτὸ συμβήσεται. εἰλήφθω δὲ μὴ τοσοῦτον κατεψυγμένος, καὶ πεπαχυσμένος ὁ ἀήρ, ὡς ἤδη ψεκάδας εἶναι, καὶ ὕδωρ. ἐπεὶ οὐκ ἀσθενέστερον τὸ ψυχρὸν λαμβάνομεν. ἀλλ' ὀξίζον, ἢ οὐ πολὺ διαφέρον. ὅθεν καὶ μᾶλλον ποιεῖ, ἢ πάσχει κατὰ τὸν εἰρημένον τρόπον τῇ τοῦ ὁμοειδοῦς πολλοῦ ὄντος βοηθείᾳ. ὡς, εἰ καὶ ἀσθενέστερον ἦν, οὐδὲν πάσχοι κἂν ἄπειρον ᾖ. ἐπεὶ καὶ τῇ γῇ παρακειμένη λυχνιαία φλόξ, δρᾷ μὲν εἰς αὐτήν, πάσχει δὲ οὐδέν. καίτοι γε εἰ σφοδρότερον ἐγίνετο τῇ τοῦ ποσοῦ αὐξήσει τὸ ποιόν, ἐπεὶ τὸ μηδέν ἐστιν ἡ λυχνιαία φλὸξ πρὸς ὅλην τὴν γῆν, ἔδει πολλαπλασίονα εἶναι τὴν ὅλης τῆς γῆς ψύξιν τῆς λυχνιαίας θερμότητος. ὅπερ οὐχ ὁρῶμεν γινόμενον. καὶ τοῦτο εἰκότως. οὔτε γὰρ ὁ ἀήρ, οὔτε ἡ γῆ καθ' ὅλα ἑαυτὰ δρῶσιν εἰς τὰ παρακείμενα, ἀλλὰ καθ' ἃ μόνα μόρια ἅπτονται τῶν παρακειμένων. ὅθεν ἀσθενεστέρας οὔσης τῆς ποιότητος, πάσχει μᾶλλον ὑπὸ τῆς παρακειμένης φλογός, ἢ ποιεῖ εἰς αὐτήν. τί οὖν ἄτοπον καὶ εἰ ἔν τινι τῶν συντεθέντων ἐξ ἀπείρων στοιχείων ἄπειρον μὲν ᾖ κατὰ μέγεθος, σφοδρότητι δὲ ποιότητος ἐλαττόνων ἄλλων πάσχειν μᾶλλον ὑπὸ τοῦ πεπερασμένου σφοδροτέραν ἔχοντος τὴν δύναμιν, ἢ ποιεῖν εἰς αὐτό. οὐ γὰρ καθ' ὅλον αὐτὸ τὸ ἄπειρον δρᾷ εἰς τὸ πεπερασμένον, ἀλλὰ κατὰ τὸ παρακείμενον αὐτῷ μόριον. ὥσπερ οὐδὲ ὁ ἀὴρ ὁ περιέχων τὴν λυχνιαίαν φλόγα, καθ' ὅλον ἑαυτὸν δρᾷ εἰς αὐτήν. ἐπεὶ τῷ ὄντι ἔσβεσεν ἂν τῷ πλήθει, καὶ τῇ συνεχείᾳ τοῦ πάθους. πλειόνων γὰρ εἰς τὸ αὐτὸ συνεχῶς δρώντων, συμβαίνει ἀκμάζουσαν μὲν ἀεὶ τὴν ἐν τῷ ποιοῦντι δύναμιν ὑπάρχουσαν, κἂν ἀμυδρὰ ᾖ, ἢ ἐκβεβηκυῖα. παρεῖ δὲ τὴν ἐν τῷ πάσχοντι. κἂν σφοδρότερον, ἢ μᾶλλον πάσχειν, ἢ ποιεῖν τὴν σφοδροτέραν ὑπὸ τῆς ἀμυδροτέρας. ἐν γοῦν λυχνιαίᾳ φλογὶ ῥανὶς ἐλαίου συνεχῶς ἐπιχεομένη, σβέσειεν ἂν τὴν φλόγα. εἰ τοίνυν μὴ καθ' ὅλον ἑαυτὸ δρᾷ τὸ ἄπειρον, ἀλλὰ κατὰ τὸ παρακείμενον τῷ πεπερασμένῳ μορίῳ, ἔστι δὲ ἀμυδροτέρα ἡ ἐν αὐτῷ δύναμις, οὐδὲν μὲν δράσει εἰς τὸ πεπερασμένον. τὸ ἐναντίον δέ, πείσεται ὑπ' αὐτοῦ, καὶ ἀεὶ μὲν αὐξηθήσεται τὸ πεπερασμένον. οὔτε δὲ τὸ ἄπειρον ἐλάττων, οὔτε τὸ πεπερασμένον ἄπειρον γενήσεται. ἡ μὲν οὖν πρὸς τὸν λόγον ἔνστασις ἐπὶ τοσοῦτον.

Ἐπιχειροῦσι δὲ λύειν ἄλλοι τοιούτῳ τρόπῳ. πρῶτον γάρ φασι ψεῦδος τὸ τὰς φυσικὰς δυνάμεις μὴ καθ' ὅλας ἑαυτὰς δρᾶν κἂν ἐν πολλῷ ὦσιν ὑποκειμένῳ. αἱ γοῦν ῥοπαί φασι προφανῶς τοιαῦται. ἐὰν οὖν δεκαλίτριον ἐπιτεθῇ βάρος τινί, ἅπτεται μὲν ὁ ὄγκος, οὐ καθ' ὅλον ἑαυτὸν ᾧ ἂν ἐπιτεθῇ, ἀλλὰ κατὰ μόριον, μᾶλλον δὲ κατὰ τὴν ἐπιφάνειαν, δρᾷ δὲ καθ' ὅλην τὴν δύναμιν τὴν ἐν τῷ παντὶ ὄγκῳ. τὴν γὰρ πίλησιν καθ' ὅλην τὴν ῥοπὴν ποιεῖται. ἐὰν γοῦν ἀποτέμῃς κατὰ τὸ μέρος τὸ μὴ ἁπτόμενον τοῦ βαστάζοντος μόριον τοῦ ὄγκου, οἷον λιτρῶν δύο, καίτοι τῆς αὐτῆς πάλιν ἐπιφανείας ἁπτομένης τοῦ βαστάζοντος, ἡ πίλησις οὐχ ὁμοία γίνεται. ὡς δὲ καὶ τῆς ῥοπῆς τῆς ἐν τῷ ἀποκοπέντι μέρει, εἰ καὶ μὴ ἥπτετο τῷ μέρει ἐκείνῳ τοῦ βαστάζοντος, δρώσης τι μετὰ τοῦ παντός, οὕτως ἄρα ὅλη ὡς ὅλη ἐν τῷ σώματι ποιεῖν δύναμις πέφυκε, κἂν μὴ καθ' ὅλον αὐτὸ ἅπτεται τὸ ποιοῦν τοῦ πάσχοντος. ὁμοίως καὶ ἐπὶ τῶν ὠθούντων, ἢ ἑλκόντων, ἅπτεται μὲν τοῦ ἑλκομένου, ἢ ὠθουμένου μόριόν τι τοῦ ὠθοῦντος, ἢ ἕλκοντος, οἷον χείρ. ἕλκει δὲ οὐχ ἡ ἐν τῇ χειρὶ μόνον δύναμις, ἀλλ' ἡ ὅλου ὡς ὅλου τοῦ ζῴου. δρῶσι γὰρ πολλὰ καὶ πάσχει κατὰ ὅλα τοῖς μέρεσι. τοῖς γὰρ ποσὶ βαδίζομεν ὅλοι κινούμενοι, καὶ οἰκοδομοῦμεν ταῖς χερσὶ καθ' ὅλους αὐτοὺς ἐνεργοῦντες, καὶ ἐπὶ πολλῶν ἄλλων ὡσαύτως. εἰ τοίνυν οὕτω ταῦτα ἔχει, καὶ τὰ θερμαίνοντα ἄρα, καὶ ψύχοντα, καὶ ξηραίνοντα, καὶ ὑγραίνοντα, καὶ ἐπὶ τῶν ἄλλων παθητικῶν ποιοτήτων, κἂν κατὰ μέρη ἅπτηται τὰ ποιοῦντα, ἀλλ' οὖν καθ' ὅλην τὴν ἐν αὐτοῖς δύναμιν ἐνεργεῖ. καθ' ὅλην δὲ ἐνεργοῦντα, ἀπείρου ὄντος τοῦ ὑποκειμένου, συναύξεσθαι ἀνάγκη καὶ τὴν δραστήριον δύναμιν. εἴπομεν γὰρ ὡς ὅταν τι πλείοσι μορίοις εἰς ἓν καὶ τὸ αὐτὸ δρᾷ, ἔλαττον ὂν πολὺ κατὰ μέγεθος, κἂν ὑφῆται τῇ δυνάμει τὸ ποιοῦν, ἀλλ' οὖν περιέσται τῷ πλήθει τῶν δρώντων μορίων πολλῶν ὄντων. εἰ δὲ ταῦτα, ἀεὶ τὸ μεῖζον πλεῖον δράσει. τὸ ἄπειρον ἄρα ἄπειρον ἕξει τὴν δραστήριον δύναμιν. Ἀλλὰ πρὸς ταῦτα ἐρεῖ τις, ὅτι οὐχ ὅπερ ἐπὶ τῶν ῥοπῶν συμβαίνει, τοῦτο ἀνάγκη καὶ ἐπὶ τῶν βασιλικῶν ποιοτήτων συμβαίνειν. οὐδὲ γὰρ τὸ αὐτὸ εἶδος ποιότητος θερμότης, καὶ βαρύτης. ἡ μὲν γὰρ θερμότης, καὶ ψυχρότης, καὶ αἱ ὅμοιαι, δραστικαί εἰσι, καὶ ἀλλοιωτικαὶ ποιότητες. κουφότης δὲ καὶ βαρύτης, κατὰ τόπον κινητικαί. οὐκ ἀνάγκη δὲ ταῖς διαφόροις κατ' εἶδος δυνάμεσι τὰ αὐτὰ ὑπάρχειν. ἰδοὺ γοῦν καὶ τὸ σχῆμα, ποιότης μέν, οὐδαμῶς δὲ παθητική. ἐναργῶς μὲν οὖν ὁρῶμεν μὴ καθ' ὅλον ἑαυτὸν ἀέρα δρῶντα εἰς ἡμᾶς, ἀλλὰ κατὰ μόνον τὸν προσεχῶς περιέχοντα. ἐπεὶ τὰ αὐτὰ πάσχειν ἔδει ἀλλήλοις πάθη τοὺς ἐν σκυθίᾳ, καὶ τοὺς ἐν τῇ αἰθιοπίᾳ. καὶ τί λέγω τοὺς πλεῖστον ἀλλήλων διεστῶτας. τοὺς γοῦν ἐν τῷ αὐτῷ τόπῳ ὄντας, διάφορα πάσχοντα ὁρῶμεν, ὅταν οἱ μὲν ὑπὸ τὴν εἵλην τοῦ ἡλίου ἑστῶσιν, οἱ δὲ ὑπὸ σκιᾷ, γραμμῆς πολλάκις διοριζούσης μόνον αὐτοὺς ἀπ'

πλῆθος τοῦ ποσοῦ. δυναμικώτεραι γὰρ γίνονται αἱ ποιότητες, ὅταν ἀθρόαι ὦσιν αἱ ὁμοειδεῖς. καὶ τοῦτο δῆλον, καὶ ἐπὶ τῶν ῥοπῶν ἐστιν ἰδεῖν σαφέστερον. ἐὰν γὰρ δύο λιτριαῖα βάρη συνάψῃς ἅμα, τὸ ἐξ ἀμφοῖν συγκείμενον βαρύτερον ἀμφοτέρων ἔσται. οὐ γὰρ μόνον διλιτριαῖον ἕξει βάρος, ἀλλὰ πλεῖον. ὡσαύτως κἂν διλιτριαῖον μέγεθος μερίσῃς εἰς δύο ἴσα, οὐχ ἕξει ἑκάτερον τῶν μερῶν λίτρας βάρος, ἀλλ᾽ ἧττον. οὕτως ἄρα συνιόντα μὲν τὰ ὁμοειδῆ δυναμικώτερα γίνεται. διαιρούμενα δὲ, ἀσθενέστερα. ὁμοίως καὶ ἐν ταῖς κινήσεσιν, ὅσῳ ἂν πλείω ἐπισυντεθῇς βάρη, θᾶττον κινεῖται. καὶ διῃρημένα μὲν πέντε τυχὸν λιτριαῖα σώματα κἂν ἅπτηται ἀλλήλων, οὐ ταχεῖαν οὕτω τὴν κίνησιν ποιήσεται. συναχθέντα δὲ καὶ εἰς ἓν ἀχθέντα θᾶττον πάνυ κινηθήσεται. ὁμοίως καὶ ἐπὶ τῶν κούφων. ὥσπερ δὲ ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τοῦ θερμοῦ ἔχει καὶ ψυχροῦ, καὶ τῶν λοιπῶν ἐναντιώσεων. ἐὰν γοῦν τὸ αὐτὸ ξύλον ἐν μικρᾷ τε, καὶ μεγάλῃ φλογὶ ἐμβάλῃς, θᾶττον ἐν τῇ μεγάλῃ ἐμβληθὲν καταδαπανηθήσεται, ἢ ἐν τῇ μικρᾷ. ὥστε κἂν ᾖ ἔλαττον τῇ ποιότητι τὸ ἄπειρον, ἀλλ᾽ οὖν τῷ μεγέθει καὶ τῇ ἐπ᾽ ἄπειρον συνθέσει τῶν ὁμοιομερῶν, ἐπ᾽ ἄπειρον καὶ τὸ ποιὸν αὐξηθήσεται. εἰ γὰρ ἐπισυντεθέντα τὰ μόρια ῥώννυσι τὴν ποιότητα καὶ αὔξει, ἐπ᾽ ἄπειρον δήπου συντιθέμενα, ἐπ᾽ ἄπειρον αὐξήσει. ὥστε ἄπειρος ἔσται ἐξ ἀνάγκης ἡ ἐν τῷ ἀπείρῳ δύναμις. ἄπειρος δὲ οὖσα, φθείρει τὰ λοιπὰ ἐξ ἀνάγκης. οὐκ ἄρα δυνατὸν ἐστὶ εἶναι ἄπειρον.

Φέρεται δὲ πρὸς τοῦτον τὸν λόγον ἔνστασις τοιαύτη, ὅτι οὐκ ἀνάγκη συναύξεσθαι τῷ ποσῷ τὸ ποιόν. οὐδὲ γὰρ εἰ λάβοι διλιτριαῖον σῶμα ψιμμυθίου ἔχον τοσόνδε μέτρον λευκότητος, εἶτα τοῦτο πολυπλασιάσω, ἐπισυνθεὶς πολλὰ ἴσα μεγέθει ἤδη τὸ ὅλον λευκότερον ποιῶ. ἀλλ᾽ οὐδὲ εἰ μεγάλην βῶλον εἰς μόρια κατατέμω, ἀμυδροτέρα γίνεται ἡ ἐν τοῖς μορίοις λευκότης τῆς ἐν τῷ ὅλῳ λευκότητος. ἀλλ᾽ οὐδὲ εἰ εἰς δεξαμενὴν πλείονα ὕδατα ὁμοειδῆ ἐπιχέω, τὸ ὅλον ἑκάστου τῶν μερῶν ψυχρότερον γίνεται. ὁμοίως οὐδ᾽ ἂν εἰ τεθερμασμένα πλείω ἅμα ἐμβληθείη ἑκάστου τῶν μερῶν τὸ ὅλον θερμότερον γίνεται. εἰ δὲ φαίνεται τὸ αὐτὸ ξύλον ὑπ᾽ ἐλάττονος μὲν φλογὸς ἐν πλείονι χρόνῳ καιόμενον, ὑπὸ πλείονος δὲ ἐν ἐλάττονι, οὐχ ὡς τῆς καυστικῆς ποιότητος σφοδροτέρας γινομένης τοῦτο συμβαίνει, ἀλλ᾽ ἐπειδὴ πᾶν τὸ πάσχον ὑπό τινος ἐπὶ τῶν ὁμοΰλων πάντως καὶ ἀντιδρᾷ εἰς τὸ ποιοῦν. τὸ δὲ μικρότερον πάντως πάσχει ὑπὸ τοῦ μείζονος, ἢ ποιεῖ εἰς αὐτό, οὐ διὰ τὸ σφοδροτέραν εἶναι τὴν τοῦ πλείονος ποιότητα, ἀλλ᾽ ὅτι δυσπαθέστερόν ἐστι συνηγμένον ἕκαστον, ἢ διεσπασμένον τῆς ὁλότητος. ὥσπερ οὖν εὐπαθέστερον γίνεται διεσπασμένον, οὕτω δυσπαθέστερον ἀθρόον ὑφεστηκός. καὶ τοῦτο εὐλόγως συμβαίνει. ἐπεὶ γάρ ἐστιν ἐν τῷ πολλῷ μεγέθει πολλὰ μόρια ὁμοειδῆ, ἕκαστον δὲ δηλονότι δραστήριον ἔχει δύναμιν, ὅταν τὸ παρατεθὲν ἐναντίον μικρὸν ὂν δράσῃ τι εἰς τὸ μόριον, εὐθὺς τὰ παρακείμενα ὁμοειδῆ τοῦ παθόντος μόρια ἁπτόμενα αὐτοῦ τοῦ παθόντος, δρᾷ καὶ αὐτὰ εἰς αὐτό, καὶ οὐκ ἐᾷ μεταβληθῆναι. ἀλλ᾽ ἅμα τῷ παθεῖν εἰς τὴν ἀρχαίαν ἀποκαθίστησι φύσιν. καὶ ταύτῃ συμβαίνει πάσχοντος μὲν τοῦ παρατεθέντος ἐναντίου, μὴ ἰσχύοντος δὲ εἰς τὰ τοσαῦτα μόρια ἀντιδρᾶσαι, ἐξ οὗ συνέβαινεν ἀσθενεστέραν μὲν τὴν δραστήριον αὐτῶν γενέσθαι δύναμιν, θάττονα δὲ γενέσθαι τὴν μεταβολήν. οἷόν τι λέγω. ὑποκείσθω πυρκαϊὰ μεγάλη, ἐπέχουσα βάθος δέκα πήχεων. ὅταν οὖν εἰς ταύτην ἐμβληθῇ μικρὸν ξύλον, δρᾷ μὲν πάντως καὶ τὸ ξύλον εἰς τινὰ μόρια τῆς πυρκαϊᾶς, οἷς παρετέθη. οἷον εἰς πῆχυν ἕνα. ἀλλ᾽ ἐπειδὴ τοῦ παθόντος τούτου πήχεος τοῦ πυρὸς εἰσὶ συμφυεῖς ἕτεροι ὁμοειδεῖς μηδὲν πεπονθότες, ἔχοντες καὶ αὐτοὶ δηλονότι τὴν δραστήριον δύναμιν, εὐθὺς δρῶσιν εἰς τὸ ἀρξάμενον πάσχειν, καὶ ἀποκαθιστῶσιν εἰς τὴν αὐτοῦ φύσιν, καὶ τὸ μὲν ἁπτόμενον τοῦ ξύλου πῦρ βοηθούμενον ὑπὸ τῶν παρακειμένων ὁμοειδῶν οὐ πάσχει τι ὑπὸ τοῦ ξύλου. τὸ μέντοι ξύλον μικρὸν ὂν καὶ πανταχόθεν πάσχον μὲν ὑπὸ τοῦ πυρὸς, ἀντιδρᾶσαι δὲ μὴ δυνάμενον, θάττονα ποιεῖται τὴν μεταβολήν. εἰ δέ γε ἐν μικρᾷ πυρκαϊᾷ μέγα ξύλον ἐμβληθῇ, διὰ τὸ μᾶλλον ποιεῖν ἢ πάσχειν, χρονιωτέραν ποιεῖται τὴν μεταβολήν. τὸ γὰρ πάσχον τοῦ πυρὸς οὐκ ἔχει τὸ παρακείμενον ὁμοειδὲς καὶ βοηθοῦν, καὶ ἐπανάγον τὴν πεπονθυῖαν δύναμιν. διὰ ταύτην οὖν τὴν αἰτίαν αὐξόμενον τὸ ποσὸν δραστικώτερον δοκεῖ εἶναι, οὐ διότι τὸ ποιὸν τῷ ποσῷ συναύξεται. καὶ γὰρ ἄλλως ἄλογόν ἐστι, καὶ αἴτημα παντελῶς τὸ, τῷ ποσῷ δεῖν λέγειν συναύξεσθαι καὶ τὸ ποιόν. οὕτω γὰρ ἔδει πάντως ἐπὶ τῶν ὁμοειδῶν τὸ τὸν μείζονα ὄγκον ἔχον, σφοδροτέραν ἔχειν τὴν δύναμιν. νῦν δὲ οὐκ ἀνάγκη. τὸ πέπερι γοῦν πλείονα ἔχει κατὰ τὴν θερμὴν ποιότητα δύναμιν τῆς μεγάλης ῥαφανίδος. καὶ μή τις εἴπῃ ὅτι ἄλλο καὶ ἄλλο εἶδος θερμότητος. αὐτὸ γοῦν τοῦτο πρόκειται δεῖξαι, ὅτι τοῦ θερμοῦ ᾗ θερμόν ἐστι, μηδὲν διαφέροντος, ἐπιτείνεσθαι συμβαίνει αὐτὸ καὶ ἀνίεσθαι οὐ πρὸς τὸ μέγεθος τῶν ὄγκων, ἀλλὰ πρὸς τὴν ἐπιτηδειότητα τῶν δεχομένων. οὐκ ἄρα τῷ ποσῷ τὸ ποιὸν πέφυκε συναύξεσθαι. εἰ δὲ μὴ τῷ ποσῷ τὸ ποιὸν συναύξεται, οὐκ ἀνάγκη εἰ τὸ ἓν τῶν συμπληρούντων τὸ ἄπειρον στοιχείων, ἄπειρον μὲν εἴη κατὰ τὸ μέγεθος, τῷ δὲ ποιῷ ὑφειμένον εἴη τῶν ἄλλων κατὰ τὸ δραστήριον, συναύξεσθαι τὸ ποιὸν τῇ ἀπειρίᾳ τοῦ μεγέθους. ἀλλ᾽ ὥσπερ δυνατὸν ἐπὶ πολὺ τὸν ὄγκον αὐξομένου μὴ συναύξεσθαι τὴν δύναμιν, οὕτω δήπου κἂν ἐπ᾽ ἄπειρον αὐξηθῇ, οὐδὲν πλέον ἐπιταθήσεται. καὶ τούτου καὶ ἐκ τῆς ἐναργείας ἡ πίστις. ὑποκείσθω γὰρ ὁ περὶ τὴν πόλιν πᾶσαν ἀὴρ κατεψυγμένος ἄγαν. ἀπτέσθω δὲ λυχνιαία φλόξ. καίτοι εἰ τῷ ποσῷ τὸ ποιὸν συναύξεται, ἔδει κατασβεσθῆναι τὴν λυχνιαίαν φλόγα ὑπὸ τοῦ ἀέρος. οὐ γὰρ δήπου

δεύτερον, ἐκ τῶν τόπων τῶν σωμάτων· τοῦ ἄνω τοῦ κάτω, καὶ προσέτι, ἐκ τῶν ῥοπῶν· βαρέος λέγω καὶ κούφου. καὶ τελευταῖον, καὶ ἐξ ἄλλων τινῶν οἰκείων. πρῶτον μὲν οὖν ἐκ τῶν φυσικῶν δυνάμεων ἐλέγχει τὸ ἄπειρον. προάγει δὲ κατὰ διαίρεσιν τὸν λόγον. εἰ γάρ ἐστι σῶμα ἄπειρον, ἀνάγκη πᾶσα, ἢ ἁπλοῦν εἶναι τοῦτο, ἢ σύνθετον. ἀλλ' εἴτε ἁπλοῦν ἂν, εἴτε σύνθετον, ἀδύνατον αὐτὸ ἄπειρον εἶναι. ὅλως ἄρα ἄπειρον σῶμα οὐκ ἔστι. πρότερον δὲ δείκνυσιν, ὅτι σύνθετον σῶμα οὐκ ἐνδέχεται ἄπειρον εἶναι. εἰ γὰρ σύνθετον ἦν, ἢ ἐξ ἀπείρων ἔσται στοιχείων συγκείμενον, ἢ ἐκ πεπερασμένων. ἐξ ἀπείρων μὲν οὖν ἀδύνατον. ἔν τε γὰρ τῷ πρώτῳ λόγῳ δέδεικται, ὅτι ἀδύνατον ἄπειρα εἶναι στοιχεῖα. δείξει δὲ καὶ ἐν τῷ περὶ οὐρανοῦ, καὶ μάλιστα ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς. εἰ γὰρ ἄπειρα φησὶ τὰ στοιχεῖα, ἀνάγκη πᾶσα, καὶ τὰς ἐναντιώσεις ἀπείρους εἶναι. εἰ γὰρ μὴ ἄπειροι εἶεν αἱ ἐναντιώσεις αἱ γεννῶσαι τὰ στοιχεῖα, ἀλλὰ πεπερασμέναι, πᾶσα ἀνάγκη, καὶ τὰ ἐξ αὐτῶν συγκείμενα πεπερασμένα εἶναι. αἱ γὰρ συμπλοκαὶ πεπερασμέναι γίνονται. εἰ δὲ ἄπειροι ἔσονται αἱ ἐναντιώσεις, ἐπειδὴ ἑκάστη ἐναντίωσις δύο περιέχει ποιότητας· τὰ γὰρ ἐναντία τοὐλάχιστον δύο ἐστί, συμβήσεται διπλασιασθῆναι τὸ ἄπειρον. ὅπερ ἄτοπον. ἀδύνατον ἄρα ἄπειρα εἶναι τὰ στοιχεῖα. ὥστε οὐ δυνατὸν ἐξ ἀπείρων εἶναι. εἰ δὲ ἐκ πεπερασμένων κατὰ πλῆθος, ἢ ἕν τι ἐξ αὐτῶν ἔσται κατὰ μέγεθος ἄπειρον, ἢ πλείονα, ἢ πάντα, ἢ οὐδὲ ἕν. εἰ μὲν οὖν μηδὲν αὐτῶν εἴη ἄπειρον, πεπερασμένα ἔσται. ὥστε ἀνάγκη, ἢ ἕν, ἢ πλείονα, ἢ πάντα ἄπειρα εἶναι. καὶ πρῶτόν γε δείκνυσιν ὅτι ἀδύνατον ἕν τι αὐτῶν εἶναι ἄπειρον. καὶ τούτου μὲν δειχθέντος, συναποδεδειγμένον ἔσται, ὅτι οὐδὲ πλείονα δυνατὸν εἶναι ἄπειρα. εἰ δὲ πλείονα, πολλῷ μᾶλλον πάντα. ὅμως δείξει ἰδίᾳ, ὅτι οὐδὲ πλείονα δυνατὸν εἶναι. ὅτι οὖν οὐκ ἐνδέχεται ἕν τι εἶναι ἄπειρον τῶν στοιχείων ἐξ ὧν τὸ ἄπειρον σύγκειται, δείκνυσιν οὕτως. ἅπαν σῶμα φυσικὸν περὶ οὗ καὶ ποιούμεθα τὸν λόγον, δύναμίν τινα σύμφυτον ἔχει ἐν ἑαυτῷ, ἢ θερμότητα, ἢ ψυχρότητα, ἢ ξηρότητα, ἢ ὑγρότητα. ἀνάγκη οὖν πᾶσα, εἴπερ ἐστὶ σῶμα σύνθετον, ἰσάζειν κατὰ τὰς δυνάμεις τὰ συντεθέντα αὐτῷ, ἵνα οὕτως ἕν τι κρᾶμα ἐξ αὐτῶν γένηται. μηδενὸς ἐπικρατεστέρου γενομένου, ἀλλὰ τῆς ἑκάστου ἀμετρίας ὑπὸ τῆς θατέρου ἐναντίας δυνάμεως κεκολασμένης. εἰ γὰρ ἐπικρατέστερον εἴη ἕν τι ἐξ αὐτῶν, φθείρει τὰ λοιπά, καὶ μεταβάλλει εἰς ἑαυτό. ἐὰν τοίνυν τὸ ἄπειρον σύνθετον ὂν ἕν τι ἔχῃ τῶν συνθέτων ἄπειρον, ἐπειδὴ πᾶσα ἀνάγκη τὸ ἄπειρον τῷ ὄγκῳ σῶμα ἄπειρον ἔχειν καὶ τὴν δύναμιν, ἀπείρου οὔσης ἐν τῷ ἀπείρῳ τῆς δυνάμεως, καταδαπανήσει αὐτὴ τὰ λοιπά, καὶ μεταβαλεῖ εἰς ἑαυτήν. καὶ οὕτω πάλιν τὸ ὅλον ἁπλοῦν ἔσται καὶ ἀσύνθετον. κἂν γὰρ τὸ ἄπειρον ἐν ἴσῳ ὄγκῳ ἀσθενεστέραν ἔχῃ τὴν δύναμιν, καὶ μὴ οὕτω σφοδρὰν ὡς τὸ πεπερασμένον, ἀλλ' οὖν ἐπειδὴ ἐν μεγέθει ἐστὶν ἀπείρῳ, ὑπερβαλεῖ ταύτῃ παντὸς πεπερασμένου, καὶ φθερεῖ τὴν ἐν αὐτῷ πεπερασμένην δύναμιν, κἂν σφοδροτέρα ᾖ. ὑποκείσθω γὰρ ἐν τῷ ἀπείρῳ ἕν τι τῶν συνθέτων αὐτῷ. οἷον τὸ ὕδωρ ἄπειρον ὂν κατὰ μέρος. ἕτερον δὲ τὸ πῦρ πεπερασμένον κατὰ μέγεθος. καὶ ἔστω ἡ μὲν ἐν τῷ ὕδατι, οἷον ἡ ψυχρά, πολλῷ ἀσθενεστέρα οὖσα τῆς ἐν τῷ πυρί, λέγω δὴ τῆς θέρμης, ἐν τῷ ἴσῳ ὄγκῳ. ἐὰν μὲν οὖν λάβω δύο ἰσόογκα σώματα ἐξ ἀμφοῖν, οἷον ξέστην ἀφ' ἑκάστου, ἐπειδὴ ἡ ἐν τῷ ξέστῃ τοῦ πυρὸς θερμότης σφοδροτέρα ἐστίν, ἤπερ ἡ ἐν τῷ ξέστῃ τοῦ ὕδατος ψῦξις ψυχρά, καταδαπανήσει δηλονότι ἡ θερμότης τὴν ψῦξιν. δύο γὰρ οὐσῶν ἐναντίων δυνάμεων, νικᾶται ἡ ἐλάττων ὑπὸ τῆς μείζονος. καὶ ἔστω ἡ ἐν τῷ ἰσόγκῳ πυρὶ θερμότης δεκαπλασίως θερμοτέρα οὖσα, ἤπερ ἡ ἐν τῷ ἴσῳ ὕδατι ψῦξις ψυχρά. ἀλλ' εἰ καὶ δραστικωτέρα ἐστὶ τοσούτοις μέτροις ἡ ἐν τῷ ἰσόγκῳ πυρὶ θερμότης, ἐὰν δεκαπλασιάσω τὸν ὄγκον τοῦ ὕδατος, καὶ λάβω δέκα ξέστας ὕδατος, ἐξισωθήσεται ἡ ἐν τοῖς δέκα ξέσταις τοῦ ὕδατος ψῦξις τῇ θερμότητι τῇ ἐν τῷ ξέστῃ τοῦ πυρός. ἐπεὶ οὖν τὸ πῦρ σφοδροτέραν ἔχον δύναμιν ὑπόκειται τῷ ὄγκῳ πεπερασμένον εἶναι, πάντως δὲ πεπερασμένου πρὸς πεπερασμένον ἐστί τις λόγος, ἕξει δηλονότι, καὶ ἡ ὁλότης τοῦ πυρὸς πρὸς τὸ μόριον αὐτῆς τὸ ληφθὲν λόγον τινά. ἔστω οὖν μυριοπλάσιον. ἐπεὶ οὖν ὁ ξέστης τοῦ πυρὸς ἴσην δύναμιν εἶχε ταῖς δέκα ξέσταις τοῦ ὕδατος, δυνατὸν δήπου καὶ τῇ ὁλότητι τοῦ πυρὸς ἀνάλογον τῷ μέρει ἐκ τοῦ ἀπείρου ὕδατος λαβεῖν. ἐὰν οὖν λάβω δέκα μυριάδας ξεστῶν ὕδατος, ἐξισωθήσεται ἡ ψῦξις ἡ ἐν τούτοις τῇ θερμότητι τῇ ἐν ταῖς μυρίαις ξέσταις τοῦ πυρός. ἐπεὶ οὖν ἄπειρον ὑπόκειται τὸ ὕδωρ, τοῦ δὲ ἀπείρου πρὸς τὸ πεπερασμένον οὐδείς ἐστι λόγος, ἀπειροπλασίων δηλονότι ἔσται ἡ ἐν τῷ ὅλῳ ὕδατι ψῦξις τῆς ἐν τῷ ληφθέντι αὐτοῦ μέρει ψύξεως. ἥτις καὶ ἰσάζουσα ἦν τῇ θερμότητι τῇ ἐν τῇ ὁλότητι τοῦ πυρός. εἰ δὲ τοῦτο, ἡ ἐν τῷ ὅλῳ ἄρα ὕδατι ψῦξις ἀπειροπλασίων ἔσται τῇ δυνάμει τῆς ἐν τῷ ὅλῳ πυρὶ θερμότητος. καταδαπανήσει ἄρα αὐτὴν καὶ μεταβαλεῖ, καὶ οὕτως ἔσται ἁπλοῦν τὸ ὅλον καὶ οὐ σύνθετον. ἀδύνατον ἄρα ἕν τι αὐτῶν εἶναι ἄπειρον. καὶ τοῦτο καὶ ἐξ αὐτῆς τῆς ἐναργείας δῆλον. μικρὸν μὲν οὖν ὕδωρ ἐμβληθὲν λαμπάδι μεγάλῃ φθείρεται, καὶ εἰς τὴν τοῦ πυρὸς οὐσίαν μεταβάλλεται. εἰ δὲ ἡ λαμπὰς ἐκείνη εἰς δεξαμενὴν ὕδατος ἐμβληθῇ, τοὐναντίον πάσχει. φθείρεται γὰρ καὶ μεταβάλλει. καίτοι σφοδροτέρα γε ἡ τοῦ πυρὸς θερμότης τῆς τοῦ ὕδατος ψύξεως, εἴπερ τοῦ μὲν ὕδατος ἡ ψῦξις στοιχειώδης, τοῦ δὲ διακαινικοῦ πυρὸς ἡ θερμότης ὑπερβολή ἐστι τῆς στοιχειώδους θερμότητος. ὥσπερ καὶ ἡ τοῦ κρυστάλλου ψῦξις, ὑπερβολή ἐστι τῆς στοιχειώδους ψύξεως. ἀλλ' ὅμως καίτοι σφοδροτέρας οὔσης τῆς δυνάμεως τοῦ πυρὸς διὰ τὸ πολὺ εἶναι τὸ ποσὸν τοῦ ὕδατος, καίτοι τῆς ποιότητος τῆς ἐν ὕδατι ἠρεμαιοτέρας οὔσης, ὅμως περιγίνεται τῆς τοῦ πυρὸς θερμότητος ἡ ἐν τῷ ὕδατι ψῦξις διὰ τὸ

οὕτως οὐσίαν τὸ ἄπειρον λέγει ἐν τῷ λόγῳ τοῦ ἀπείρου τὸ εἶναι ἔχουσαν, τούτου πῶς οὐκ ἂν εἴη καὶ τῶν μερῶν ἕκαστον ἄπειρον. ὡς γὰρ τὸ μέρος τοῦ ὕδατος ὕδωρ ἐστὶν ἐπειδὴ τὸν αὐτὸν ἔχει λόγον, οὕτω καὶ τοῦ ἀπείρου τὸ μέρος ἄπειρον. ἐπεὶ οὖν πολλὰ τὰ μέρη, μᾶλλον δὲ ἐπειδὴ καὶ τῶν μερῶν ἕκαστον ἐπ' ἄπειρον διαιρετὸν, ἀνάγκη εἶναι ἀπειράκις τὸ αὐτὸ ἄπειρον. ὅπερ ἄτοπον.

» ΕΙΠΕΡ οὐσία τὸ ἄπειρον, καὶ μὴ καθ' ὑποκειμένου. ὥστ' ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν. πολλὰ δὲ ἄπειρα εἶναι τὸ αὐτὸ ἀδύνατον.

T ὁ καθ' ὑποκειμένου ἀντὶ τοῦ ἐν ὑποκειμένῳ. τουτέστιν εἴπερ οὐσία ἐστὶ καὶ μὴ συμβεβηκός.

» ΑΛΛΑ μὴν, ὥσπερ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου. εἴγε οὐσία ἐστὶ καὶ ἀρχή. ἀμέριστον ἄρα καὶ ἀδιαίρετον. ἀλλ' ἀδύνατον τοῦτο ἐντελεχείᾳ ὂν ἄπειρον. ποσὸν γάρ τι εἶναι ἀναγκαῖον. κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει οὕτω τὸ ἄπειρον. ἀλλ' εἰ οὕτως, εἴρηται ὅτι οὐκ ἐνδέχεται αὐτὸ ἀρχὴν λέγειν ἀλλ' ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα, ἢ τὸ ἄρτιον. ὥστε ἀτόπως ἂν ἀποφαίνοιντο, οἱ λέγοντες ἐκεῖνο καθάπερ οἱ πυθαγόρειοί φασιν.

T οὕτω συνεχὲς τῷ ἀνωτέρω ῥητῷ. ἔστιν οὖν ἡ ὅλη τοῦ ῥητοῦ σύνταξις αὕτη. μετὰ τὸ, εἴπερ οὐσία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου, σύναπτοι ἐφεξῆς, ὥσπερ γὰρ ἀέρος ἀὴρ μέρος, οὕτω καὶ ἄπειρον ἀπείρου, εἴγε ἐστὶν οὐσία τις καὶ ἀρχή. εἶτα σύναπτοι, ὥστε ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν. πολλὰ δὲ ἄπειρα τὸ αὐτὸ εἶναι ἀδύνατον. εἶτα πάλιν σύναπτοι, ἀμέριστον ἄρα καὶ ἀδιαίρετον.

» ΑΜΑ γὰρ οὐσίαν ποιοῦσι τὸ ἄπειρον, καὶ μερίζουσιν.

K εἰκότως φησὶν οἱ ἀποφαινόμενοι αὐτὸ οὐσίαν εἶναι τὸ ἄπειρον. συμβαίνει γὰρ αὐτοῖς τὸ αὐτὸ μεριστὸν, καὶ ἀμέριστον ποιεῖν, καὶ οὐσίαν καὶ συμβεβηκός. οὐσίαν μὲν γὰρ αὐτὸ λέγουσιν εἶναι. λέγοντες δὲ αὐτὸ ἄπειρον, εὐθὺς καὶ ποσὸν ποιοῦσιν, ἐπειδὴ τὸ ἄπειρον διαιρετόν. ἀλλὰ μὴν εἴγε οὐσία ἐστὶ τὸ ἄπειρον, δέδεικται, ὅτι ἀδιαίρετον ἔσται. ὥστε τὸ ἀδιαίρετον διαιρετὸν ποιοῦσι, καὶ τὴν οὐσίαν συμβεβηκός.

» ΑΛΛ' ἴσως αὕτη μὲν ἐστὶ καθόλου ἡ ζήτησις μᾶλλον, εἰ ἐνδέχεται τὸ ἄπειρον καὶ ἐν τοῖς μαθηματικοῖς εἶναι, καὶ ἐν τοῖς νοητοῖς, καὶ ἐν τοῖς μηδὲν ἔχουσι μέγεθος. ἡμεῖς δὲ ἐπισκοποῦμεν περὶ τῶν αἰσθητῶν, καὶ περὶ ὧν ποιούμεθα τὴν μέθοδον, ἆρ' ἔστιν ἐν αὐτοῖς, ἢ οὐκ ἔστι σῶμα ἄπειρον ἐπὶ τὴν αὔξησιν.

B ἐπειδὴ ἔδειξεν ὅτι οὐ δυνατὸν τὸ ἄπειρον οὐσίαν εἶναι, ἄπειρον λέγων τὸ κατὰ τὴν ἔκτασιν, οὐ τοιοῦτον δὲ ἐκεῖνοι ἄπειρον ἐν ταῖς ἰδέαις ὑπετίθεντο, τὸ περὶ τούτου φησὶ ζητεῖν εἰ ἔστιν οὐσία τις ἀπείρου καὶ αὐτή, εἴτε ἐν τοῖς μαθήμασίν ἐστιν, εἴτε ἐν ταῖς εἴδεσι, κοινοτέρας ἂν εἴη πραγματείας ζητῆσαι τῆς σκοπούσης περὶ τῶν ἀρχῶν πάντων τῶν ὄντων ᾗ ὄντα ἐστί. τῆς δὲ προκειμένης μεθόδου ἴδιον φυσικῆς οὔσης τὸ ζητῆσαι εἰ ἔστι σῶμα ἄπειρον κατὰ τὴν ἔκτασιν, μήτε ἀρχὴν ἔχον κατὰ μέγεθος, μήτε πέρας. ὅτι οὖν οὐκ ἔστι τοιοῦτόν τι σῶμα οἷον καὶ οἱ φυσικοὶ ὑπετίθεντο, ἐφεξῆς προτίθεται δεῖξαι.

» ΛΟΓΙΚΩΣ μὲν οὖν σκοπουμένοις, ἐκ τῶν τοιῶνδε δόξειεν ἂν οὐκ εἶναι. εἰ γάρ ἐστι σώματος λόγος τὸ, ἐπιπέδῳ ὡρισμένον, οὐκ ἂν εἴη σῶμα ἄπειρον, οὔτε νοητὸν, οὔτε αἰσθητόν.

Δ είξας ὅτι οὐκ ἔστι τὸ ἄπειρον οὕτως ὡς οὐσία αὐτὸ καθ' αὑτὸ οὐκ ἐν τούτῳ οὐσιωμένον ἐν τῷ ἄπειρον εἶναι ὥσπερ οἱ πυθαγόρειοι ἔλεγον, λοιπὸν προτίθεται νῦν δεῖξαι, ὅτι οὐδ' οὕτως ἐστὶ τὸ ἄπειρον ὥσπερ οἱ φυσικοὶ ἔλεγον, οὐκ οὐσιοῦσθαι μέν τι ἐν τῷ ἀπείρῳ, ἀλλὰ εἶναι μὲν τὴν οὐσίαν ἑτερόν τι, οἷον ὕδωρ ἢ ἀέρα, ἢ τὸ μεταξύ. τοῦτο δὲ κατὰ τὸ μέγεθος ἄπειρον εἶναι. ὅτι οὖν οὐκ ἔστιν οὐδ' οὕτω τὸ ἄπειρον, πρότερον μὲν ὥς φησι λογικῶς δείκνυσι, τουτέστι πιθανῶς, καὶ ἐξ ἐνδόξων. ἢ λογικῶς φησὶν ἀντὶ τοῦ κοινοτέρως. ἐφαρμόσει γὰρ ἡ δεῖξις αὕτη οὐ μόνον ἐπὶ τῶν φυσικῶν σωμάτων, ἀλλὰ καὶ ἐπὶ τῶν μαθηματικῶν. διὰ τοῦτο οὖν λογικῶς φησιν. ἔπειτα καὶ ἀναγκαστικώτερον ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. ἔστιν οὖν ἡ λογικὴ ἐπιχείρησις τοιαύτη. οἱ γεωμέτραι ὁρίζονται τὸ σῶμα, λέγοντες ὅτι σῶμά ἐστι τὸ ἐπιπέδῳ ὡρισμένον. τὸ δὲ ἄπειρον οὐχ ὥρισται ἐπιπέδῳ. σῶμα ἄρα ἄπειρον οὐκ ἔστι. τὸ δὲ σχῆμα δεύτερον. οὐ μόνον δέ φησι σῶμα ἄπειρον οὐκ ἔστιν, ἀλλ' οὐδὲ ἀριθμὸν ἐνδέχεται εἶναι ἄπειρον. οὐδεὶς γὰρ ἀριθμός φησι χωριστός ἐστι καθ' αὑτόν. ἀλλὰ πᾶς ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς ἐστί. τὸ δὲ ἀριθμητὸν ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. οὐδεὶς ἄρα ἀριθμὸς ἄπειρος. δύο δὲ ἐν τούτῳ ὄντων συλλογισμῶν, ὁ μὲν πρῶτος, ἐν πρώτῳ σχήματι. ὁ δὲ δεύτερος ἐν δευτέρῳ. ὁ ἀριθμὸς ἐν τοῖς ἀριθμητοῖς, τὰ ἀριθμητὰ ἐνδέχεται διεξελθεῖν, καὶ τὸν ἀριθμὸν ἄρα ἐνδέχεται διεξελθεῖν. τὸ δὲ ἄπειρον οὐκ ἐνδέχεται διεξελθεῖν. ὁ ἀριθμὸς ἄρα οὐκ ἔστιν ἄπειρος. τὰ μὲν οὖν λογικὰ ἐπιχειρήματα τοιαῦτα. λογικὰ δὲ αὐτὰ εἶπε, διότι ὡς εἶπον, οὐκ ἔστιν ἀναγκαστικὰ, ἀλλ' ἐξ ἐνδόξων. οὐδὲ γὰρ ἂν δοῖεν οἱ τὸ ἄπειρον εἶναι τιθέμενοι ὁρισμὸν εἶναι σώματος καθόλου τὸ, ἐπιπέδῳ ὡρισμένον. ὥσπερ εἰ τύχοι οὐδὲ τὸ μῆκος ἔχον καὶ πλάτος καὶ βάθος, οὐδὲ τὸ ὄν τι ἀντιτυπόν. οὐ γὰρ πᾶν περιλαμβάνει σῶμα οὗτος ὁ ὁρισμός. οὕτως οὖν οὐδὲ τὸ, ἐπιπέδῳ ὡρισμένον. ἔστι γὰρ καὶ τὸ ἄπειρον σῶμα ὃ μὴ ἐπιπέδῳ ὥρισται οἷον τὸ οὐράνιον. οὐ γὰρ ἡ ἐκτὸς ὥρισται ἐπιφάνεια. ἀλλ' οὐδ' ἂν δοῖεν πάλιν πάντα ἀριθμὸν ἀριθμητὸν εἶναι. εἶναι γὰρ καὶ ἄπειρον ἀριθμόν. ἐντεῦθεν μεταβαίνει ἐπὶ τὰ φυσικώτερά τε καὶ ἀναγκαστικώτερα τῶν ἐπιχειρημάτων. δείκνυσι δὲ ὅτι οὐκ ἐνδέχεται ἄπειρον σῶμα εἶναι ἔκ τε τῶν φυσικῶν δυνάμεων τῶν παθητικῶν φημι καὶ ποιητικῶν. θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ. καὶ

δεύτερον

θος. ἀδιαίρετον δὲ ὄν, οὐδὲν τούτων ἔσται. ἕκαστον γὰρ τούτων, διαιρετόν. ἀδύνατον ἄρα τὸ οὕτως ὂν ἄπειρον, ἀδιαίρετον εἶναι. εἰ τοίνυν μήτε διαιρετὸν μήτε ἀδιαίρετον δυνατὸν εἶναι τὸ ἄπειρον, οὐσίαν γε ὄν, ἔοικε μηδ᾽ ὅλως εἶναι οὐσία τὸ ἄπειρον. εἰ δὲ μή ἐστιν οὐσία, συμβεβηκὸς ἔσται. εἰ δὲ συμβεβηκός, τὸ ἄπειρον οὐκ ἂν εἴη ἀρχὴ ὡς οἱ Πυθαγόρειοι ὑπετίθεντο. ἀλλ᾽ αὕτη μέν φησιν ἡ ζήτησις, ἔοικε κοινοτάτη εἶναι καὶ οὐ τῆς προκειμένης πραγματείας. εἰ ἔστι τίς κοινὴ τοῦ ἀπείρου φύσις ἥ τε ἐν τοῖς μαθήμασιν ὑπάρχουσα καὶ ἡ ἐν τοῖς αἰσθητοῖς καὶ ἐν τοῖς χωριστοῖς ἀσωμάτοις. καὶ αὕτη πότερον οὐσία τίς ἐστι νοητή, ἢ τί ποτε ἄλλο. διὸ ταύτην μὲν ὑπερθώμεθα τὴν ζήτησιν. εἰς δὲ τὴν προκειμένην καὶ μᾶλλον ἁρμόζουσαν ἡμῖν ἐπιστρέψωμεν, εἰ ἔστι σῶμα αἰσθητὸν ἄπειρον κατὰ μέγεθος καὶ ἀδιεξίτητον. τοιοῦτον γὰρ καὶ οἱ φυσικοὶ ὑπετίθεντο εἶναι.

Η ὃ μόγις. ἢ ὃ πεφυκὸς ἔχειν, μὴ ἔχει διέξοδον ἢ πέρας. ἔτι ἄπειρον ἅπαν, ἢ κατὰ πρόσθεσιν, ἢ κατὰ διαίρεσιν, ἢ ἀμφοτέρως.

Η ὃ μόγις τὸ τρίτον σημαινόμενον. ἢ ὃ πεφυκὸς ἔχειν, μὴ ἔχει διέξοδον ἢ πέρας. τὸ τέταρτον σημαινόμενον. λέγω δὴ τὸ ἐπὶ τοῦ κύκλου. τὸ δὲ πεφυκὸς ἔχειν διέξοδον, ἢ καὶ πέρας. αὐτὸ τοῦτο, δυνατὸν διεξελθεῖν τὸν ὅλον κύκλον, ἢ καὶ ἀποπερατῶσαι. ἀλλ᾽ ἐπειδὴ μὴ ἔχει κατ᾽ ἐνέργειαν τὶ σημεῖον εἰλημμένον, διὰ τοῦτο συμβαίνει ἀδιεξίτητον εἶναι τὸν κύκλον, ἢ τὸ ἐπ᾽ αὐτοῦ κινούμενον μὴ ἔχον πέρας ποῦ στῇ.

ΧΩΡΙΣΤΟΝ μὲν οὖν εἶναι τὸ ἄπειρον τῶν αἰσθητῶν, αὐτό τι ὂν ἄπειρον οὐχ οἷόν τε.

Τὸ ἄπειρον δηλονότι περὶ οὗ καὶ ὁ λόγος, τὸ τῇ ἐκτάσει ἄπειρον. τοῦτο οὖν αὐτὸ καθ᾽ αὑτὸ εἶναι οὐσίαν ὂν ἀδύνατον. πάντως γὰρ τὸ τοιοῦτον ἄπειρον οὐχ ἕτερόν ἐστι παρὰ τὰ αἰσθητά. ἀλλ᾽ ἢ ὕδωρ ἐστίν, ἢ ἀήρ, ἤ τι τῶν τοιούτων, ὥσπερ καὶ ὑπετίθεντο αὐτὸ οἱ φυσικοὶ εἶναι.

ΕΙ γὰρ μήτε μέγεθός ἐστι, μήτε πλῆθος, ἀλλ᾽ οὐσία αὐτό ἐστι τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται. τὸ γὰρ διαιρετόν, ἢ μέγεθος ἔσται ἢ πλῆθος. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ ὡς ἡ φωνὴ ἀόρατος. ἀλλ᾽ οὐχ οὕτως οὔτε φασὶν εἶναι οἱ φάσκοντες εἶναι τὸ ἄπειρον, οὔτε ἡμεῖς ζητοῦμεν, ἀλλ᾽ ὡς ἀδιεξίτητον.

Τὸ πρῶτον ἐπιχείρημα ὅτι οὐκ ἔστι τὸ ἄπειρον οὐσία. εἰ γάρ φησι μὴ εἴη μέγεθος, μήτε πλῆθος τὸ ἄπειρον, ἅπερ τοῦ ποσοῦ ἐστιν εἴδη, ἀλλ᾽ οὐσία ἐστὶ καθ᾽ αὑτό, οὐχ ἕξει διαίρεσιν. ἡ γὰρ διαίρεσις τοῦ ποσοῦ. ὥστε ἀδιαίρετον. ἀλλ᾽ εἰ ἀδιαίρετον, οὐδὲ ἄπειρον, οἷον ἡμεῖς ζητοῦμεν ἄπειρον, καὶ περὶ οὗ οἱ φυσικοὶ διελέγοντο. εἰ μὴ οὕτως, ὡς ἡ στιγμὴ ἄπειρον ἢ τὸ ποιόν, τῷ μηδὲ πεφυκέναι διάστασιν ἔχειν.

ΕΙ δὲ κατὰ συμβεβηκός ἐστι τὸ ἄπειρον, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων ᾗ ἄπειρον. ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνή ἐστιν ἀόρατος.

Ἐπειδὴ ἔδειξεν ὅτι οὐ δυνατὸν οὐσίαν εἶναι τὸ ἄπειρον, διὰ τοῦτο μεταξὺ παρεμβάλλει ἔλεγχόν τινα τῆς ἑτέρας ὑποθέσεως, τῆς λεγούσης συμβεβηκὸς εἶναι τὸ ἄπειρον. εἰ γὰρ ἔστι μὲν τὸ ἄπειρον, οὐσία δὲ οὐκ ἔστι, λείπεται συμβεβηκὸς αὐτὸ εἶναι. ἀλλ᾽ εἰ συμβεβηκός, οὐκ ἂν εἴη στοιχεῖον τὸ ἄπειρον, ἀλλ᾽ ἐκεῖνο ᾧ τοῦτο συμβέβηκεν. ὥσπερ οὐδὲ τὸ ἀόρατον στοιχεῖον τῆς διαλέκτου, ἀλλ᾽ ἡ φωνὴ ᾗ τοῦτο συμβέβηκεν.

ΕΤΙ πῶς ἐνδέχεται εἶναί τι αὐτὸ ἄπειρον, εἴπερ μὴ καὶ ἀριθμὸν ἢ μέγεθος, ὧν ἐστι καθ᾽ αὑτὸ πάθος τι τὸ ἄπειρον. ἔτι γὰρ ἧττον ἀνάγκη, ἢ τὸν ἀριθμόν, ἢ τὸ μέγεθος.

Μεταβαίνει εἰς τὸ δεῖξαι πάλιν ὅτι οὐκ οὐσία τὸ ἄπειρον. καὶ ἡ ἐπιχείρησις ἐκ τοῦ μᾶλλον. εἰ τὸ ὑποκείμενόν φησί τινι μᾶλλον ὑφέστηκε καθ᾽ αὑτὸ ἢ τὸ συμβεβηκὸς ἐκείνῳ, ὁ δὲ ἀριθμὸς ὑποκείμενον τῷ ἀπείρῳ οὐχ ὑφέστηκε καθ᾽ αὑτόν, πολλῷ γε δήπου τὸ ἄπειρον ὃ τῷ ἀριθμῷ συμβέβηκεν, οὐκ ἂν ὑποσταίη καθ᾽ αὑτό. εἰ δὲ μὴ ἔστι τῶν καθ᾽ αὑτὸ ὑφεστηκότων, οὐδ᾽ ἂν οὐσία εἴη.

ΦΑΝΕΡΟΝ δὲ καὶ ὅτι οὐκ ἐνδέχεται εἶναι τὸ ἄπειρον ὡς ἐνεργείᾳ ὄν, καὶ ὡς οὐσίαν, καὶ ἀρχήν. ἔσται γὰρ ὁτιοῦν αὐτοῦ ἄπειρον τὸ λαμβανόμενον, εἰ μεριστόν. τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον τὸ αὐτό.

Ἕτερον ἐπιχείρημα ὅτι ἀδύνατον τὸ ἄπειρον οὐσίαν τε εἶναι καὶ ἀρχὴν τῶν ὄντων. ἀνάγκη γὰρ πᾶσα εἰ ἀρχή ἐστι τὸ ἄπειρον, ἁπλοῦν τι εἶναι αὐτὸ καὶ μηδὲν ἔχον ὑποκείμενον. εἰ γὰρ ἂν σύνθετον ἢ ὅλως ὑποκείμενόν τι ἔχοι, οὐκέτι ἂν εἴη ἀρχή. ἀλλὰ ἢ τὸ ὑποκείμενον, ἢ ἐκεῖνα ἐξ ὧν συνέστηκεν. ἁπλοῦν γάρ τι ἡ ἀρχή. εἰ οὖν τοιοῦτόν ἐστι τὸ ἄπειρον ἁπλοῦν τι καὶ μηδὲν ἔχον ὑποκείμενον, ἀλλ᾽ οἷον ψυχὴ ἢ νοῦς, ταὐτὸν ἔσται ἐπ᾽ αὐτοῦ τὸ ἄπειρον, καὶ τὸ ἀπείρῳ εἶναι. ἐπὶ μὲν γὰρ τῶν συνθέτων, ἄλλο ἐστὶν ἑκάστῳ τό, τόδε εἶναι, καὶ ἄλλο τὸ τόδε, ὡς εἴρηται καὶ ἐν Κατηγορίαις. τὸ μὲν γὰρ τόδε εἶναι, τὸ σύνθετον σημαίνει. ὡς ὅταν εἴπω τὸ ζῷον. τὸ δὲ ζῴῳ εἶναι, τὸ εἶδος. δηλοῖ δὲ καθὸ καὶ ἔστι τῷ ζῴῳ τὸ εἶναι. ἐπὶ δὲ τῶν ἁπλῶν, ταυτόν ἐστιν εἰπεῖν ψυχὴν καὶ ψυχῇ εἶναι. οὐδὲ γὰρ τῷ λόγῳ διῄρηται εἰς πλείονα. καὶ νοῦν καὶ νῷ εἶναι. εἰ τοίνυν τοιαύτη ἐστὶν ἡ τοῦ ἀπείρου φύσις ὡς ταὐτὸν εἶναι αὐτὴν τὸ ἄπειρον καὶ ἀπείρῳ εἶναι, ἅπαν ἂν αὐτοῦ μέρος ἄπειρον ἔσται. εἰ μὲν γὰρ τὸν αὐτὸν δέξεται λόγον τῷ ὅλῳ τὸ μέρος, καὶ τὸ μέρος δήπουθεν ἄπειρον ἔσται. εἰ δὲ ἕτερον, οὐκ ἂν εἴη ἁπλοῦν, ἀλλ᾽ ἐξ ἀνίσων μᾶλλον δὲ ἀνομοίων συγκείμενον. ὥσπερ οὐδὲ ὁ ἄνθρωπος ἁπλοῦν, ἐκ ζῴου καὶ λογικοῦ καὶ θνητοῦ συγκείμενος. εἰ μὲν οὖν τις ἀριθμὸν ἢ μέγεθος ποιεῖ ἄπειρον, οὐκ ἀνακολουθήσει τούτῳ, τὸ καὶ τὰ μέρη τοῦ ἀπείρου ἄπειρα ποιεῖν. ὑποτίθησι γὰρ τῷ ἀπείρῳ ἑτέραν φύσιν. οἷον τὸν ἀριθμὸν ἢ τὸ μέγεθος. καὶ οὐδέν γε κωλύει τὸ μέρος τοῦ ἀριθμοῦ ἀριθμὸν μὲν εἶναι, ἄπειρον δὲ μή. οὐ γὰρ ταὐτὸν ἀριθμῷ τε εἶναι καὶ ἀπείρῳ εἶναι. ἀριθμὸς μὲν γὰρ τὸ ἐκ μονάδων συγκείμενον πλῆθος. ἄπειρον δέ, ποσὸν ἀδιεξίτητον. ὁμοίως καὶ ἐπὶ τοῦ μεγέθους. ὅτι δὲ

διεξελθεῖν αὐτόν, ἀλλ' οὔ γε πάντως ἀπὸ περατουμένου, καὶ ὑπὸ γῆς πανταχοῦ περιεχομένου. ὁμοίως καὶ ἡ ἐρυθρὰ θάλασσα ἄπειρος διὰ τὴν αὐτὴν αἰτίαν. λέγομεν γοῦν καὶ ἡμεῖς ὁπηνίκα μακρὰν ὁδὸν ὁδεύομεν ἀπειρηκότες, ὡς ἄπειρος αὕτη ἡ ὁδός. λέγεται δὲ κατὰ τέταρτον τρόπον ἄπειρον ὃ πέφυκε μὲν ἔχειν πέρας, οὐκ ἔχει δέ. τοιοῦτον δέ ἐστιν ὁ κύκλος. δυνατὸν μὲν γὰρ λαβεῖν κατ' ἐνέργειαν σημεῖον ἐν αὐτῷ, κἀκεῖθεν τὴν ἀρχὴν ποιήσασθαι. ἀλλ' αὐτὸς οὐκ ἔχει ὡρισμένον τι σημεῖον κατ' ἐνέργειαν. ὅθεν γὰρ ἂν βουληθῶ, λαμβάνω τὴν ἀρχήν. ἐπεὶ καὶ ὁ γράφων τὸν κύκλον κέντρῳ καὶ διαστήματι, οὐκ ἐξ ὡρισμένου σημείου τὴν ἀρχὴν ποιεῖται, ἀλλ' ὅθεν ἂν βουληθῇ. καὶ ὁ κινούμενος δὲ ἐπὶ κύκλου δύναται ὅθεν ἂν βουληθῇ ἄρξασθαι τῆς κινήσεως. οὕτως οὖν ὁ κύκλος ἄπειρος μὴ ἔχων μὲν οἴκοθεν πέρας, καὶ διὰ τοῦτο λεγόμενος ἄπειρος, δυνάμενος δὲ ἐν τῇ πρὸς ἄλλο σχέσει λαβεῖν. πέμπτον ἔτι τοῦ ἀπείρου σημαινόμενον, τὸ κατὰ πρόσθεσίν φησιν, ἢ διαίρεσιν, ἢ ἀμφότερα. κατὰ πρόσθεσιν δὲ ὡς ἐπὶ τοῦ ἀριθμοῦ, καὶ τοῦ χρόνου. λέγομεν γὰρ ἄπειρον εἶναι τὸν ἀριθμόν, τῷ ἐπ' ἄπειρον αὔξεσθαι δύνασθαι. ἔστι γὰρ παντὸς τοῦ ληφθέντος ἀριθμοῦ μείζονα λαβεῖν. διὰ τὸ αὐτὸ δὲ τοῦτο καὶ τὸν χρόνον αὐξῆσαι δυνατόν. κατὰ διαίρεσιν δὲ διὰ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν διχοτομίαν. ἀμφοτέρως δέ, ὡς εἰ νοήσαις μίαν εὐθεῖαν. εἶτα ταύτην διχοτομουμένην. καὶ πάλιν τὸ ἕτερον μέρος διχοτομούμενον. καὶ τὸ μέρος τῷ μέρει προστιθέμενον. τοῦ δέ, ἀφαιρούμενον· οὕτω γὰρ ἐπ' ἄπειρον τὸ μέν, αὔξεται· τὸ δέ, μειοῦται. τοσαυταχῶς οὖν τοῦ ἀπείρου λεγομένου, ζητεῖ νῦν ὁ λόγος περὶ τοῦ δευτέρου σημαινομένου τοῦ κατὰ τὴν ἔκτασιν ἀπείρου, εἰ ἔστιν ἢ μὴ τοιοῦτόν τι ἄπειρον ἐν τοῖς οὖσιν, οἷον καὶ οἱ φυσικοὶ εἶναι ὑποτίθενται. εἰ γάρ τις κατὰ τὰ λοιπὰ σημαινόμενα λέγει εἶναι τὸ ἄπειρον, οὐ διοισόμεθα. δίδομεν γὰρ καὶ ἡμεῖς τὰ τοιαῦτα εἶναι τοῦ ἀπείρου σημαινόμενα. ὅτι δὲ τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον οὐκ ἔστι, πρόκειται διελέγξαι. καὶ πρότερον τοὺς οὐσίαν αὐτὸ λέγοντας εἶναι τὸ ἄπειρον διελέγχει. εἰ γὰρ λέγουσι μὴ ἄλλο τι ὂν εἶτα ἄπειρον, ἀλλ' αὐτὸ ἄπειρον, καὶ οὐσίαν εἶναι τοιαύτην ὥσπερ ἀέρος καὶ πυρός, οὕτω δὲ καὶ ἀπείρου, τοῦτο οὖν φησιν, ἢ διαιρετὸν ἔσται, ἢ ἀδιαίρετον. εἰ μὲν οὖν διαιρετόν, ἢ κατὰ μέγεθος ἔσται διαιρετόν, ἢ κατὰ πλῆθος. πᾶν γὰρ τὸ διαιρούμενον κατὰ ἓν τούτων τῶν εἰδῶν διαιρεῖται. εἰ δὲ τοῦτο, ποσὸν ἔσται, οὐκ οὐσία. τοῦ γὰρ ποσοῦ ἄμφω ταῦτα εἴδη, τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ὥστε οὐκ οὐσία ἔσται καθ' αὑτὴν τὸ ἄπειρον. εἰ δὲ ἀδιαίρετον, οὐκ ἂν εἴη ἄπειρον, οἷον ἡμεῖς ζητοῦμεν, καὶ οἷον οἱ φυσικοὶ πάντες ὑποτίθενται εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον. ὅπερ διαιρετὸν πάντως ἐστὶ μέγεθός τι ὄν. εἰ μὴ ἄρα ὡς τὴν στιγμήν, καὶ τὴν ποιότητα ἄπειρον εἶναι φαμέν. ἀλλ' ἡμῖν περὶ τοῦ τοιούτου οὐδεὶς λόγος. ἀλλ' εἰ ὡς ἀδιεξίτητον καὶ ἀτελεύτητον κατὰ τὴν ἔκτασιν εἶναι ἄπειρον, οὐκέτι δυνατὸν τοιοῦτον ἄπειρον οὐσίαν εἶναι. ταῦτα δὲ εἰπών, μεταβαίνει ἐν μέσῳ πρὸς τοὺς συμβεβηκὸς ἄλλῳ εἶναι λέγοντας τὸ ἄπειρον. εἶτα εὐθὺς ἐπαναφέρει πρὸς τὸ προκείμενον. εἰ γὰρ συμβεβηκός φησιν εἴη τὸ ἄπειρον ἄλλῳ, οὐκ ἂν εἴη τῶν ὄντων ἀρχὴ τὸ ἄπειρον, ἀλλ' ἐκεῖνο ᾧ τὸ ἄπειρον συμβέβηκεν. ὥσπερ γὰρ λέγομεν τὴν φωνὴν στοιχεῖον μὲν εἶναι τῆς διαλέκτου, λέγομεν δὲ τὴν φωνὴν εἶναι ἀόρατον, καὶ οὐκέτι ἀναγκαζόμεθα λέγειν καὶ τὸ ἀόρατον στοιχεῖον εἶναι τῆς διαλέκτου, διότι μὴ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τῇ φωνῇ τὸ ἀόρατον, οὕτω φημὶ καὶ ἐπὶ τοῦ ἀπείρου. οὐκ ἐπειδὴ συμβέβηκεν ἄλλῳ, οἷον ἀέρι, ὕδατι, ὅπερ καθ' αὑτό ἐστιν ἀρχὴ τῶν πραγμάτων, διὰ τοῦτο φήσαιμι ἂν καὶ τὸ ἄπειρον τῶν ὄντων ἀρχὴν εἶναι. εἰ γὰρ καὶ κατὰ συμβεβηκὸς αὐτό τις εἴποι εἶναι ἀρχήν, οὐδὲν μᾶλλον ἀρχὴν ἀποδείκνυσι. τὰ γὰρ κατὰ συμβεβηκὸς τινὸς αἴτια, οὐδ' ὅλως ἐστὶν αἴτια. ὥσπερ λέγεται καὶ τὸ φαλακρὸν αἴτιον εἶναι τῆς οἰκίας, οὐδαμῶς ὂν αἴτιον. οὐ γὰρ ᾗ φαλακρὸς ὁ οἰκοδόμος, ᾠκοδόμησεν. ὅθεν κἂν μὴ φαλακρὸς ἦν, οὐδὲν ἧττον ᾠκοδόμησεν ἄν. οὐκ ἄρα οὐδὲ τὸ ἄπειρον ἀρχή. ἀλλὰ μὴν δέδεικται ὅτι εἴγε ἐστίν, ἀδύνατον αὐτὸ μὴ ἀρχὴν εἶναι. οὐδ' ἄρα οὐδὲ κατὰ συμβεβηκὸς δυνατὸν εἶναι τὸ ἄπειρον. ἀλλὰ τοῦτο μὲν προϊὼν δείξει ἐντελέστερον. ἐπανέρχεται δὲ εἰς τὸ προκείμενον, ὅτι ἀδύνατον αὐτὸ καθ' αὑτὸ τὸ ἄπειρον οὐσίαν εἶναι. ἡ δὲ ἐπιχείρησις, ἐκ τοῦ μᾶλλον. τὸ ἄπειρόν φησι τῷ μεγέθει ὑπάρχει, καὶ τῷ ἀριθμῷ. εἰ τοίνυν ταῦτα μᾶλλον ὀφείλοντα καθ' αὑτὰ ὑπάρχειν, ὁ ἀριθμὸς καὶ τὸ μέγεθος ὡς ὑποκείμενα τῷ ἀπείρῳ, ὅμως καὶ αὐτὰ ἄλλοις ὑπάρχουσιν. ἄλλοις γὰρ ἐπισυμβέβηκε τὸ μέγεθος καὶ ὁ ἀριθμός. τῇ οὐσίᾳ γάρ, αὐτὰ καθ' αὑτὰ ὑποστῆναι μὴ δυνάμενα. πολλῷ γε δήπου τὸ ἄπειρον οὐκ ἂν ὑπάρξαι καθ' αὑτό. συμβέβηκε γὰρ τὸ ἄπειρον τῷ μεγέθει καὶ τῷ ἀριθμῷ. ὥσπερ καὶ αὐτὰ συμβέβηκε τῇ οὐσίᾳ. ἔστιν οὖν ὑποθετικὸς ὁ συλλογισμός. εἰ τὸ ἄπειρον καθ' αὑτὸ ὑπάρχει οὐσία ὄν, πολλῷ μᾶλλον ὁ ἀριθμὸς καὶ τὸ μέγεθος. εἰ τοίνυν τὸ μᾶλλον καθ' αὑτὸ ὀφεῖλον ὑπάρχειν ὁ ἀριθμὸς καὶ τὸ μέγεθος ὅμως οὐχ ὑπάρχει, πολλῷ γε δήπου τὸ ἄπειρον. ἔτι φησὶν εἰ τὸ ἄπειρον ἐνεργείᾳ ὂν οὐσία ἐστίν, ἢ διαιρετὸν πάλιν ἔσται, ἢ ἀδιαίρετον. ἀλλ' εἰ μὲν διαιρετόν, διαιρεθήσεται πάντως, ὥσπερ καὶ τὰ ὁμοιομερῆ. ὥσπερ οὖν ὁ ἀὴρ εἰς ἀέρας διαιρεῖται, καὶ τὸ ὕδωρ εἰς ὕδατα, οὕτω καὶ τὸ ἄπειρον ἐν τούτῳ οὐσιωμένον, ἐν τῷ ἄπειρον εἶναι, εἰς ἄπειρα διαιρεθήσεται. ὥστε συμβήσεται ἕκαστον αὐτοῦ μέρος ἄπειρον εἶναι. ἔσται οὖν τὸ αὐτὸ πολλὰ ἄπειρα, μᾶλλον δὲ ἄπειρα, εἴγε καὶ τῶν μερῶν ἕκαστον διαιρετόν. ὅπερ ἀδύνατον. εἰ δὲ διαιρούμενον μὴ εἰς ἄπειρα διαιρεθείη, ἀνομοιομερὲς ἔσται τὸ ἄπειρον. εἰ δὲ τοῦτο, οὐκ ἔσται οὐδὲ ἁπλοῦν, οὐδὲ ἀρχή. ἀρχαὶ γὰρ αἱ τῶν ἀνομοιομερῶν. ἁπλοῦν δὲ δεῖ εἶναι τὸ ἄπειρον, ἐπειδὴ καὶ ἀρχή. ἡ δὲ ἀρχή, ἁπλῆ. εἰ γὰρ σύνθετος, οὐκ αὐτὴ ἀρχή. ἀλλ' ἐκεῖνα ἐξ ὧν συνέστηκεν. ἀλλ' οἱ τὸ ἄπειρον ὑποτιθέμενοι, ἀρχὴν αὐτό φασιν. εἰ δὲ ἀδιαίρετον, οὐδὲ ἄπειρον ἔσται. τὸ γὰρ ἄπειρον περὶ οὗ νῦν ποιούμεθα τὴν ζήτησιν, ἢ τὸ κατὰ μέγεθός ἐστιν ἢ κατὰ τὸ πλῆ-

θος,

πρῶτον αἴτιον τῶν ὄντων πάντων εἶναι ὑποτίθενται. οὕτω δὴ λαβεῖν καὶ Ἀναξαγόρας μὲν τὸν νοῦν ἀρχὴν τῶν ὄντων πάντων ὑποτίθεται. Ἐμπεδοκλῆς δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν.

ΧΡΩΝΤΑΙ γὰρ καὶ οἱ μαθηματικοὶ τῷ ἀπείρῳ. ἔτι τῷ οὕτως ἂν μόνως μὴ ὑπολείπειν γένεσιν καὶ φθοράν, εἰ ἄπειρον εἴη ὅθεν ἀφαιρεῖται τὸ γιγνόμενον. ἔτι τῷ τὸ πεπερασμένον, ἀεὶ πρός τι περαίνειν. ὥστε ἀνάγκη μηδὲν εἶναι πέρας, εἰ ἀεὶ περαίνειν ἀνάγκη ἕτερον πρὸς ἕτερον. μάλιστα δὲ καὶ κυριώτατον ὃ τὴν κοινὴν ποιεῖ ἀπορίαν πᾶσι. διὰ γὰρ τὸ ἐν τῇ νοήσει μὴ ὑπολείπειν, καὶ ὁ ἀριθμὸς δοκεῖ ἄπειρος εἶναι καὶ τὰ μαθηματικὰ μεγέθη, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. ἀπείρου δ' ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ καὶ κόσμοι. τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα, ἢ ἐνταῦθα.

Τοῦτ' ἔστι τῇ ἐπ' ἄπειρον τῶν μεγεθῶν τομῇ. ἔχουσι γὰρ πᾶσαν τὴν δοθεῖσαν εὐθεῖαν δίχα τεμεῖν. καὶ ἀπὸ τῆς δοθείσης εὐθείας ἐλάττονα ἀφελεῖν. ἐπεὶ γοῦν τοῦ τριγώνου τῶν δύο πλευρῶν ἐλάττων ἡ λοιπή, ἀεὶ δεῖν ἀφαιροῦντα ἀπὸ τῆς μείζονος τὴν ἐλάττω ἄγειν ἐκ τῆς τομῆς τῇ ἐλάττονι παράλληλον εὐθεῖαν, καὶ ποιεῖν τρίγωνον. καὶ τοῦτο ἐπ' ἄπειρον.

ΩΣΤΕ εἴπερ μοναχοῦ, καὶ πανταχοῦ ἀνάγκη εἶναι τὸν ὄγκον.

Τίς ἡ ἀποκλήρωσις ἐν ἑνὶ μὲν μέρει τοῦ κενοῦ εἶναι σῶμα, μὴ πανταχοῦ δὲ εἶναι; εἴπερ τὸ κενὸν τόπος ἐστὶν ἐστερημένος σώματος.

ΑΜΑ δ' εἰ καὶ ἔστι κενόν, καὶ τόπος δ' ἄπειρος καὶ σῶμα ἄπειρον ἀναγκαῖον εἶναι. τὸ γὰρ ἐνδέχεσθαι τοῦ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις. ἔχει δ' ἀπορίαν ἡ περὶ τοῦ ἀπείρου θεωρία. καὶ γὰρ μὴ εἶναι πολλὰ ἀδύνατα συμβαίνει, καὶ εἶναι. ἔτι δὲ ποσαχῶς ἐστί. πότερον ὡς οὐσία, ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί, ἢ οὐδετέρως.

Ἐπειδὴ πρότερον τῷ ἀποκληρωτικὸν μόνον εἶναι τὸν λόγον ἤλεγχε, νῦν καὶ κατασκευάζει αὐτὸ τοῦτο. ὅτι ἀνάγκη εἶναι ἄπειρον κενοῦ ἀπείρου ὑποκειμένου. οὐδὲν γὰρ ἄλλο φασὶν εἶναι τὸ κενόν, ἢ τόπον ἐστερημένον σώματος. πᾶς δὲ τόπος σώματός ἐστι δεκτικός. εἰ δὲ ἀΐδιος οὗτος, οὐδὲν μᾶλλον δυνάμει ἐστὶ δεκτικὸς σώματος, ἢ ἐνεργείᾳ.

ΑΛΛ' οὐδὲν ἧττον οὐδὲν ἄπειρον ἢ ἄπειρα καὶ πλήθει.

Οὐκ ἀνῃρεῖ φησι τὸ ἄπειρον τὸ ὑποτίθεσθαι αὐτὸ ἢ οὐσίαν ἢ συμβεβηκὸς καθ' αὑτὸ ἢ ἁπλῶς. ὅπως γὰρ ἂν αὐτὸ ὑποθώμεθα, οὐδὲν κωλύει εἶναι τὸ κατὰ τὴν ἔκτασιν ἄπειρον. ὅπερ διαιρούμενον ποιεῖ τὸ κατὰ πλῆθος ἄπειρον.

ΜΑΛΙΣΤΑ δὲ φυσικοῦ ἐστι σκέψασθαι, εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον.

Ἔχεις ἐνταῦθα τὸν σκοπὸν τοῦ ἐφεξῆς περὶ ποίου ἀπείρου διαλέγεται. ὅτι αἰσθητοῦ, τουτέστι φυσικοῦ τοῦ κατὰ τὰς φυσικὰς ποιότητας πεποιωμένου. εἴτε γάρ ἐστί τι ἔξω τοῦ οὐρανοῦ ἕτερόν τι φυσικὸν σῶμα ἄποιον, ἢ τι τοιοῦτον, ἐν τῇ περὶ οὐρανοῦ ζητήσει. καὶ δείξει ὅτι ἀδύνατον ὅλως ἔξω τοῦ οὐρανοῦ σῶμα εἶναι. νῦν δὲ ζητεῖ εἰ δυνατὸν φυσικόν τι σῶμα ἐπ' ἄπειρον ἐκτείνεσθαι. περὶ δὲ τοῦ κατὰ πλῆθος ἀπείρου ὅτι οὐ δυνατὸν εἶναι ἔδειξε καὶ ἐν τῷ πρώτῳ βιβλίῳ ἐν τοῖς πρὸς Ἀναξαγόραν καὶ Δημόκριτον λόγοις. δείξει δὲ ἀκριβέστερον καὶ ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς.

ΠΡΩΤΟΝ οὖν διοριστέον, ποσαχῶς λέγεται τὸ ἄπειρον. ἕνα μὲν οὖν τρόπον, τὸ ἀδύνατον διελθεῖν, τῷ μὴ πεφυκέναι διιέναι, ὥσπερ ἡ φωνὴ ἀόρατος. ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον.

Δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ἀπείρου λόγος, καὶ ὅτι εἰκότως οἱ θέμενοι τὸ ἄπειρον ἀρχὴν αἰτίαν τοῦ εἶναι ὑπέθεντο τῶν ὄντων, ἐντεῦθεν λοιπὸν ἐμβάλλει εἰς τὴν περὶ αὐτοῦ σκέψιν. ἐπειδὴ δὲ πολλαχῶς τὸ ἄπειρον λέγεται, πρότερον ἐκτίθεται τὰ σημαινόμενα τοῦ ἀπείρου. εἶθ' οὕτω δείκνυσι ποῖα μὲν τοῦ ἀπείρου σημαινόμενά ἐστι, ποῖον δὲ οὐκ ἔστιν. εἰωθὼς ἐπιμελὴς γὰρ τὸ τὰ σημαινόμενα τῶν ὁμωνύμων φωνῶν διορίζεσθαι καὶ λέγειν ποῖα μὲν συγχωρεῖ, ποῖα δὲ οὔ. λέγεται φησὶ τὸ ἄπειρον πενταχῶς. καθ' ἕνα μὲν τρόπον λέγεται ἄπειρον, τὸ μὴ πεφυκὸς ὅλως ἔχειν πέρας, ἀλλ' οἷον ἀπέρατον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι. ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον λέγομεν, τῷ μηδὲ ὅλως πεφυκέναι ὑποπίπτειν τῇ ὄψει. τοιοῦτον δ' ἐστὶ τὸ σημεῖον, καὶ αἱ ποιότητες. ἄπειρα γὰρ ταῦτα. τὸ μὲν σημεῖον ὅτι πέρας ὄν, αὐτὸ πέρας οὐκ ἔχει, τῷ παντελῶς ἀμέγεθες εἶναι. οὐ γὰρ δὴ τῷ καταλαμβάνεσθαι αὐτοῦ τὰ πέρατα διὰ τὴν ἐπ' ἄπειρον ἔκτασιν. ὁμοίως δὲ καὶ τὸ λευκὸν καὶ καθόλου ἡ ποιότης, τῷ μηδὲ ὅλως πόρον ἔχειν. δεύτερον δέ, ἄπειρον λέγεται τὸ διέξοδον ἔχον ἀτελεύτητον, οὗπερ οὐκ ἔστι ποτὲ πέρας εὑρεῖν, οὐ τῷ μὴ δύνασθαι ἡμᾶς αὐτὸ διεξελθεῖν, ἀλλὰ τῷ αὐτὸ μηδέποτε ἀπολήγειν κατὰ τὴν ἔκτασιν, μηδὲ περατοῦσθαι τὸ μέγεθος. περὶ οὗ καὶ πρόκειται αὐτῷ σκέψασθαι, εἰ ἔστι τοιοῦτόν τι μέγεθος ἐν τοῖς οὖσιν ἤτε καὶ μή. τρίτον δὲ λέγομεν ἄπειρον, ὃ πέρας μὲν ἔχει, ἡμῖν δὲ διὰ διαφορὰν οὐ κατείληπται. τοῦτο δὲ συμβαίνει διχῶς. ἢ διὰ τὸ ποσόν, ἢ διὰ τὸ ποιόν. ἄν τε γὰρ ἡ τραχεῖα ἡ ὁδὸς καὶ δύσβατος καὶ σκολιότητα ἔχουσα, λέγομεν τὴν τοιαύτην ὁδὸν ἄπειρον, τῷ μὴ δύνασθαι ἡμᾶς περαίνειν ἐπ' αὐτῆς ποιεῖσθαι. οὕτως οὖν ἄπειρον λέγομεν τὸν λαβύρινθον, οὐ τῷ μὴ ἔχειν πέρας τι τῆς ὁδοῦ, ἀλλὰ τῷ σκολιὸν εἶναι καὶ διὰ τοῦτο δυσέκβατον. λέγομεν καὶ διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν, ἄπειρον ὁδόν. ὥσπερ φαμὲν τὸν ὠκεανὸν ἄπειρον εἶναι, διὰ τῷ δύνασθαι ἡμᾶς διὰ τὸ πολλὴν εἶναι τὴν ἔκτασιν

τὸ ἄπειρόν ἐστιν. εἰ γὰρ μὴ ἦν ἄπειρον, αὐτὸ ἔτι ἐστὶν ἄπειρον. εἰ δὲ πεπέρασμένον, ὑπό τινος περαίνεσθαι καὶ τοῦτο εἰς ἄπειρον. εἰ γὰρ τὸ λαμβανόμενον ὑπό τινος ἄλλου περατοῦται, ἀνάγκη οὐδὲν εἶναι πέρας τοῦ λαμβανομένου, εἰ ἀεὶ τὸ λαμβανόμενον πεπέρασται. ὥστε ἀνάγκη ἐκ τοῦ περαίνειν τὸ ἄπειρον εἰσάγεσθαι. πέμπτον δὲ καὶ κυριώτατόν ἐστιν αἴτιον, ὅπερ καὶ μάλιστα τοῖς εἰρημένοις παρέχει τὴν ἀπορίαν, τὸ τὴν νόησιν φησὶ μὴ ἐλλείπειν. τουτέστι μὴ προσίεσθαι πέρας καὶ τέλος, μηδὲ ὑπολιμπάνειν τῷ ἀεὶ τοῦ ληφθέντος ἔξω τι ἄλλο φαντάζεσθαι. διὰ γὰρ τοῦτο καὶ τὸν ἀριθμὸν ἄπειρον ὑπολαμβάνομεν, καὶ τὴν τῶν σωμάτων τομὴν ἐπ' ἄπειρον, καὶ τὸ ἔξω τοῦ οὐρανοῦ. οὐ γὰρ ἔχει στάσιν ἡ φαντασία. ἀλλ' ὅταν ὑπερβῇ τὸν οὐρανόν, ζητεῖ κενὸν ἔξωθεν ἄπειρον, ἢ σῶμα. καὶ εἰ μὲν σῶμα ἄπειρον ἐννοήσειεν, αὐτόθεν τὸ ἄπειρον εἶναι μέγεθος ὑπέθετο. εἰ δὲ κενὸν ἄπειρον ἐννοήσειεν, εὐθὺς καὶ σῶμα ἄπειρον ἀνάγκη συνάγεσθαι. οὕτω καὶ ὁ Δημόκριτος ἀπείρους εἶναι κόσμους ὑπέθετο, ὑποθέμενος κενὸν εἶναι ἄπειρον. πῶς γὰρ ἡ αὐτὴ κληρώσεως, τὸ δὲ μὲν τὸ τοῦ κενοῦ μέρος ὑπὸ κόσμου πληρωθήσεται, ἄλλα δὲ μή. ὥστε ἐν παντὶ μέρει τοῦ κενοῦ κόσμος ἐστί, καὶ ἐν παντὶ ἄρα τὸ κενόν. ἀπείρου οὖν ὄντος τοῦ κενοῦ, ἄπειροι ἔσονται καὶ οἱ κόσμοι. οὐ μόνον δὲ τῷ ἀλόγῳ τῆς ἀποκληρώσεως ἐλέγχει τὸ εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἐκ τοῦ λόγου. τὸ γὰρ κενὸν οὐδὲν ἕτερόν φασιν, ἢ τόπον ἐστερημένον σώματος. εἰ δὲ τοῦτο, πᾶς δὲ τόπος δεκτικός ἐστι σώματος, καὶ τὸ κενὸν ἄρα πᾶν πέφυκε δέχεσθαι. εἰ δὲ πέφυκεν, ἀνάγκη πάντα ἢ δέχεσθαι ἤδη, ἢ δέξασθαι. ἀπείρου οὖν ὄντος τοῦ κενοῦ, ἄπειρον ἔσται καὶ τὸ ἐν αὐτῷ σῶμα. ἐπὶ γὰρ τῶν ἀϊδίων φησὶν οὐδὲν διαφέρει τὸ δύνασθαι τοῦ ἐνεργεῖν. ἐπὶ μὲν γὰρ τῶν γινομένων καὶ φθειρομένων, δυνατὸν μὴ ἀχθῆναι τὸ δυνάμει εἰς τὴν ἐνέργειαν, φθάσαντος φθαρῆναι τοῦ πράγματος πρὶν τελειωθῆναι ἡ ἐν αὐτῷ δύναμις ἀχθῆναι εἰς τὴν ἐνέργειαν. ἐπὶ δὲ τῶν ἀϊδίων, εἴ τι ἐστὶν ὅλως δυνάμει, ἀνάγκη πάντα καὶ ἐνεργείᾳ αὐτὸ γενέσθαι. μάταιον γὰρ ἀεὶ ἕξει τὴν δύναμιν, εἰ μηδέποτε ἀχθείη εἰς ἐνέργειαν. ὥστε εἴ τι τῶν ἀϊδίων δυνάμει ἐστί, πάντως ἔσται ποτὲ καὶ ἐνεργείᾳ. ὃ δὲ μηδέποτε γένοιτο, οὐδ' ἂν ἐνδέχοιτο γενέσθαι. ὥστε οὐδὲ δυνάμει ἦν. τὸ γὰρ δυνάμει τοῦτό ἐστιν, ὃ ἐνδέχεται γενέσθαι ἐνεργείᾳ. διόπερ οὐδὲ κυρίως ἐπὶ τῶν ἀϊδίων τὸ ἐνδεχόμενον. οὐ γὰρ ἔχει τὴν ἐπ' ἀμφότερα ῥοπήν, ἀλλ' ἐξ ἀνάγκης ἐστὶν ἀεί. τὸ γὰρ ἐνδέχεσθαι ἐπὶ τούτων οὐδὲ διαφέρει τοῦ εἶναι. οὐδὲ γὰρ ἔχει τὸ ἄλλοτε ἄλλως. ὥστε εἰ ἄπειρόν ἐστι κενόν, καὶ σῶμα ἄπειρον ἐξ ἀνάγκης ἔσται. οὕτω γοῦν καὶ λέγουσιν οἱ μὲν κόσμους, οἱ δὲ ἀέρα ἄπειρον, οἱ δὲ ὕδωρ, ἢ τὸ μεταξύ. ταῦτα οὖν πάντα, ἐφεξῆς φησίν, ὅτι ἀπορίας δὴ πολλὰς ἔχει ὁ περὶ τοῦ ἀπείρου λόγος. εἴτε θείημεν εἶναι τὸ κενόν, εἴτε καὶ μή. εἴτε γὰρ μή ἐστιν ἄπειρον, ἀκυρώσομεν τὴν ἐπ' ἄπειρον τοῦ χρόνου πρόοδον, καὶ τοῦ ἀριθμοῦ τὴν αὔξησιν, καὶ τὴν ἐπ' ἄπειρον τῶν μεγεθῶν τομήν. εἴτε ἐστί, ζητήσεως ἄξιον, πότερον οὐσία ἐστίν, ἢ συμβεβηκός. καὶ εἰ συμβεβηκός, καθ' αὑτὸ συμβεβηκός, ἢ οὐ καθ' αὑτό, ἀλλ' ἁπλῶς συμβεβηκός. ἀφορίζεται δὲ καὶ περὶ ποῖον ἄπειρον ποιεῖται τὸν λόγον. ὅτι τοῦ κατὰ μέγεθος ἀπείρου. τοῦτο γάρ ἐστι μάλιστα φυσικοῦ ζητῆσαι, εἴτε ἐστὶ σῶμα ἄπειρον κατὰ τὴν ἔκτασιν, εἴτε μή.

» ἍΠΑΝΤΑ γὰρ ἢ ἀρχή, ἢ ἐξ ἀρχῆς. τοῦ δὲ ἀπείρου οὐκ ἔστιν ἀρχή. εἴη γὰρ ἂν αὐτοῦ πέρας. ἔτι δὲ
» καὶ ἀγένητον καὶ ἄφθαρτον, ὡς ἀρχή τις οὖσα.

Ἅπαντα τὰ ὄντα ὅσα μὴ μάτην ὑπέστη, κατὰ τὸ συμβεβηκός, ἢ ἀρχῆς λόγον ἐπέχουσιν, ἢ ἐξ ἀρχῆς εἰσί. τὰ γὰρ μάτην ὄντα δύναται μηδὲ πρός τι τούτων εἶναι δι' αὐτὸ τοῦτο τὸ μάτην. τὸ δὲ ἄπειρον οὐ μάτην. ἀΐδιον γάρ. ὥστε ἀρχή, ἢ ἐξ ἀρχῆς.

» ΤΟ ΤΕ γὰρ γενόμενον, ἀνάγκη λαβεῖν τέλος. καὶ τελευτὴ πάσης ἐστὶ φθορᾶς. διὸ καθάπερ λέγο-
» μεν, οὐ ταύτης ἀρχή, ἀλλ' αὕτη τῶν ἄλλων εἶναι δοκεῖ.

Εἰ τὸ γινόμενον ἀνάγκη φθαρῆναι, τὰ δὲ φθειρόμενα πέρας ἔχει τὸ κατὰ μέγεθος εἰς ὃ ἡ φθορὰ καταλήγει, ἀεὶ τῶν εὐφθαρτοτέρων προφθειρομένων, οὐδὲν ἄρα γεννητὸν ἄπειρον. καὶ ὅτι οὐδὲν κατ' οὐσίαν γινόμενον ἀθρόαν ἔχει τὴν προσαγωγήν, ὥσπερ τινὰ τῶν ἀλλοιουμένων, ἀλλὰ κατὰ μόριον. ὥστε εἰ ἔστι τὸ ἄπειρον, ἀνάγκη καὶ ἀγέννητον αὐτὸ εἶναι, καὶ ἄφθαρτον.

» ΚΑΙ περιέχειν ἅπαντα, καὶ πάντα κυβερνᾶν, ὥς φασιν ὅσοι μὴ ποιοῦσι παρὰ τὸ ἄπειρον ἄλλας
» αἰτίας, οἷον νοῦν, ἢ φιλίαν. καὶ τοῦτ' εἶναι τὸ θεῖον. ἀθάνατον γὰρ καὶ ἀνώλεθρον, ὥσπερ φησὶν ὁ Ἀναξί-
» μανδρος, καὶ οἱ πλεῖστοι τῶν φυσιολόγων. τοῦ δ' εἶναί τι ἄπειρον, ἡ πίστις ἐκ πέντε μάλιστα ἂν συμβαίνοι
» σκοποῦσιν. ἔκ τε τοῦ χρόνου. οὗτος γὰρ ἄπειρος. καὶ ἐκ τῆς ἐν τοῖς μεγέθεσι διαιρέσεως.

Ὅσοι φησὶ τῶν πάλαι φυσιολόγων μὴ ἀπέβλεψαν εἰς τὸ ποιητικὸν αἴτιον, ὥσπερ Ἀναξαγόρας μὲν εἰς τὸν νοῦν ὃν ποιητικὸν εἶναι αἴτιον ἔλεγεν, Ἐμπεδοκλῆς δὲ εἰς τὸ νεῖκος, καὶ τὴν φιλίαν, οὗτοι ἣν ὑπέθεντο ὕλην εἶναι τῶν πάντων, ἄπειρόν τε αὐτὴν ὑπέθεντο τῷ μεγέθει, καὶ ἀγέννητον, καὶ ἄφθαρτον. καὶ ταύτην εἶναί τι θεῖον, ὅπερ καὶ διακυβερνᾷ πάντα, καὶ ἐπιστατεῖ τῇ τῶν ὅλων συστάσει, ἀθάνατόν γε ὂν καὶ ἀνώλεθρον. ὅπερ Ἀναξιμένης μὲν τὸν ἀέρα εἶναι ἔλεγε. Θαλῆς δὲ τὸ ὕδωρ. Ἀναξίμανδρος δὲ τὸ μεταξύ, καὶ ἄλλος ἄλλο. καὶ οὐδέν γε θαυμαστόν φησιν ἐν τῇ καθ' ἡμᾶς περιόδῳ, τοὺς πρώτους μὴ ἐπιστήσαντας τῇ ἐφεστηκυίᾳ τῶν ὅλων δυνάμει τῶν στοιχείων, ὅπερ αὐτοὶ ὑπώπτευον ἕκαστος αἴτιον τοῖς ἄλλοις τοῦ εἶναι, τοῦτο εὐθὺς καὶ θεὸν ὑπονοῆσαι. ὥσπερ οὖν αὐτοὶ εἰς τὸ ὑλικὸν μόνον ἀποβλέψαντες, τοῦτο

παραγόντος καὶ τοῦ παραγομένου εἶναι, ἀλλὰ συμβαίνει τινὰ τοῖς προϊοῦσιν ἅπερ μὴ ὑπάρχει τῷ προάγοντι. οἷόν τι λέγω. τὸ φῶς τὸ ἐν τῷ ἀέρι πρόεισιν ἐκ τοῦ ἡλίου. καὶ δῆλον ὅτι ἐστί τις πολλὴ ὁμοιότης, καὶ ἡ κατ' οὐσίαν κοινωνία τούτου πρὸς τὸ ἐν τῷ ἡλίῳ. οὐ γὰρ δὴ ὁμώνυμά ἐστι μόνον τὰ φῶτα ταῦτα, ἀλλὰ ἐν τῇ προόδῳ ἀλλὰ συμβαίνει τινὰ πάθη τῷ προϊόντι φωτί, ἅπερ οὐκ ἔστιν ἐν τῷ ἡλίῳ. οἷον τὸ σχηματίζεσθαι τοῖς τόποις οὓς φωτίζει. τὸ ἔχειν ἀντιπαρατεταγμένον τὸν σκότον. καὶ ἄλλα μυρία. ὥσπερ οὖν ἐνταῦθα τῷ ἀπὸ τοῦ ἡλίου φωτὶ προϊόντι ἀλλὰ συμβαίνει μὲν ἐξ ἀνάγκης τινά, οὐ μέντοι διὰ τοῦτο τὰ συμπληρωτικὰ τῆς οὐσίας αὐτοῦ ἐκεῖθεν ἐκ τοῦ ἡλίου ἔχει, οὕτω φημὶ καὶ ἀλλὰ τῶν εἰδῶν τῶν ἐν τῇ ὕλῃ. ἅπερ μὲν συμπληρωτικὸν ἔχει τῆς οὐσίας τὰ σύνθετα, ἐκ τῶν ἁπλῶν ἔχει. ἀλλὰ συμβαίνειν δὲ τῇ προόδῳ αὐτῶν τῇ ἐν τῇ ὕλῃ τινά, ἃ μὴ ἐν τοῖς πρωτοτύποις ὑπάρχει, οἷον τὸ διαιρετόν, τὸ φθαρτόν, καὶ ὅσα τοιαῦτα, οὐδὲν ἀδύνατον. εἰ τοίνυν τὸ ἄπειρον ᾗ ἄπειρόν ἐστι γίνεται ἐξ ἀρχῶν τινῶν οἷον τῆς εἰδικῆς τε καὶ ὑλικῆς, ἀνάγκη πᾶσα τὰ κατ' οὐσίαν αὐτῷ ὑπάρχοντα ἔν τινι τῶν ἁπλῶν εἶναι, ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῷ εἴδει. ὥστε κἂν ἐκ τῆς ὕλης μὴ ἔχῃ τὸ ἄπειρον αὐτὸ τοῦτο τὸ ἄπειρον εἶναι, ἀνάγκη πᾶσα ἐκ τοῦ εἴδους αὐτὸ ἔχειν. οὐ γάρ ἐστιν αὐτοῦ ἁπλῶς πάθος τι, ἀλλ' ἐν τούτῳ τὸ εἶναι ἔχει. ὅταν δὲ λέγωμεν ὅτι τὸ γινόμενον ἐξ οὐ τοιοῦδε γίνεται, καὶ ὅτι πᾶν ἐκ τῆς στερήσεως αὐτοῦ γίνεται, ἐπειδὴ τὸ γινόμενον ἡ ὕλη ἐστίν, ὃ δὲ γίνεται τὸ εἶδος, διὰ τοῦτο οὕτω φαμέν. ἐπεί τοι γε εἰ πρὸς τὸ εἶδος τὸ χωριστὸν ἀποβλέψαιμεν καὶ τὴν τούτου πρόοδον καὶ ἔλλαμψιν τὴν ἐν τῇ ὕλῃ γινομένην, ἀνάγκη πᾶσα τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου γίνεσθαι. ἀλλ' ἐπεὶ ὡς εἶπον τὸ γινόμενον ἀλλοιοῦται, ἀλλοίωσις γάρ τις καὶ μεταβολὴ ἡ γένεσις, ἀλλοιοῦται δὲ οὐ τὸ εἶδος, ἀλλ' ἡ ὕλη ἀλλὰ ἐπιτηδεία γινομένη εἰς τὴν τοῦ εἴδους ὑποδοχήν, ἡ δὲ ὕλη ἀεὶ ἐν στερήσει, διὰ τοῦτο ἀληθὲς τό, πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε τοιόνδε γίνεσθαι. ἀλλά, πάλιν τῷ λόγῳ παραδείγματι χρήσομαι. ὅτι μὲν γὰρ ἐκ τῶν τεσσάρων στοιχείων τὰ σύνθετα πάντα κεκραμένων ἀλλήλαις, κοινὸν ὁμολόγημα. τὰς μέντοι φυσικὰς ἰδιότητας τὰς ἐν τοῖς συνθέτοις ἐνυπαρχούσας, ἀδύνατον λόγοις ταῖς δυνάμεσι τῶν ἁπλῶν ἀποδοῦναι. οἷον κατὰ ποίαν δύναμιν τῶν ἁπλῶν ἡ ὁ μαγνήτης λίθος ἕλκει τὸν σίδηρον. ἢ ὁ τούτου ἀντιπαθὴς λεγόμενος ἐκφυσᾷ καὶ ἀπωθεῖ. καὶ πολλάκις ἀμφότερα ἐν μιᾷ καὶ τῇ αὐτῇ βώλῳ κατ' ἕτερον καὶ ἕτερον μόριον. καὶ τῶν βοτανῶν καὶ λίθων αἱ ἄπειροι δυνάμεις, ἔτι τε καὶ τῶν μορίων τῶν ζώων. καὶ ἀλλὰ πάντων καθόλου τῶν ἀντιπαθείᾳ τινὶ τῇ ἁφῇ μόνον δρώντων. ἀλλὰ πάλιν πρὸς τοῦτό τις τῶν ἐκ φιλοσοφίας ἐρεῖ, μὴ ὡς τοῖς ἰατροῖς δοκεῖ τὰς δυνάμεις πάσας τοῖς συνθέτοις ἐκ τῶν ἁπλῶν εἶναι, ἀλλ' ὕλης λέγει ἐπέχειν τὴν τῶν ἁπλῶν κρᾶσιν. ταύτῃ δὲ τῇ ὕλῃ τοιῶσδε ἢ τοιῶς κραθείσῃ ἀλλὰ γίνεται ἐκ τῆς ὅλης δημιουργίας τὰ εἴδη. ταῦτα μὲν οὖν πέρα τοῦ μέτρου παρεξέβημεν. διόπερ ἐπανέλθωμεν εἰς τὴν συνέχειαν τῶν προκειμένων. δείξας ὁ Ἀριστοτέλης ὅτι ἀναγκαίως ὑποτίθεμεν τὸ ἄπειρον, καὶ ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναι· φησὶ καὶ ἀγένητον καὶ ἄφθαρτον, καὶ τοῦτο εἰκότως. εἰ τε γὰρ γένοιτο πάντως ἀπό τινος ἀρχῆς, ἀρχή τε αὐτοῦ γίνεσθαι. οἷον πρότερον εἰ τύχοι τῶν ὁμοιομερῶν ἡ σὰρξ καὶ τῶν ὀργανικῶν ἡ καρδία, καὶ ἀλλὰ τῶν φυτῶν αἱ ῥίζαι. τοῦ δὲ ἀπείρου ἀρχὴ οὐκ ἔστι. πέρας γὰρ ὡς ἤδη εἴρηται ἡ ἀρχή. εἴ τε φθείροιτο, πάντως εἰς τι τελευταῖον φθαρήσεται. τὰ γὰρ φθειρόμενα πάντα ποῦ ἔσω φθείρεται, πρότερον μὲν τὸ ἐντελέστερον φθείρομεν, εἶτα τὸ ἧττον ἐντελέστερον, καὶ τελευταῖον τὸ δυσπαθέστερον. καὶ οὕτως μέχρις ἂν τι ἕκαστον κατανοήσῃ τὸ φθειρόμενον. ὥστε καὶ ἀγένητον ἀνάγκη εἶναι τὸ ἄπειρον καὶ ἄφθαρτον. ταῦτα εἰπὼν ἐφεξῆς τὰς αἰτίας λέγει δι' ἃς ἠναγκάσθησαν ἐν τοῖς οὖσιν ὑποθέσθαι τὸ ἄπειρον. εἰσὶ δὲ αὗται πέντε. πρώτη μέν, ὁ χρόνος ἐπ' ἄπειρον αὐξόμενος. δευτέρα ἐκ τῆς ἐπ' ἄπειρον τομῆς τῶν μεγεθῶν. καὶ ἐκ τοῦ τὸ τρίγωνον τὰς δύο πλευρὰς τῆς λοιπῆς μείζονας ἔχειν. εἰ γὰρ ἀφέλοις ἐκ τῶν δύο πλευρῶν ἴσην τῇ μιᾷ, καὶ ἀγάγοις ἐκ τοῦ σημείου καθὸ ὅπερ μόνον τὴν ἴσην τῇ ἐλάττονι, παράλληλον εὐθεῖαν τῇ ἐλάττονι ἐκ τῆς ἴσης ἐκ τῶν δύο ἀφῃρημένων, ποιήσεις ἔλαττον τρίγωνον. πάλιν ἐπειδὴ τούτου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές, τὸ αὐτὸ ποιήσας, ποιήσεις πάλιν ἔλαττον τρίγωνον. καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε ἡ τομὴ τῶν μεγεθῶν ἐπ' ἄπειρον. δεῖ δὲ ὀρθογώνιον τὸ τρίγωνον ποιῆσαι. δῆλον γὰρ ὅτι ποτὲ ἀλλὰ τῶν ἄλλων ἡ ἀφαίρεσις ποιήσει ἰσόπλευρον τρίγωνον, καὶ οὐκ ἔτι ἔσται ἀφελεῖν ἀπὸ τῆς ἑτέρας τὴν ἑτέραν. οὐκέτι γὰρ πίπτει ἐντὸς τοῦ τριγώνου ἡ τομή. μᾶλλον δέ, οὐκ ἔστιν ἀεὶ γράφειν ἐντὸς τρίγωνον. εἰ δὲ λάβωμεν ὀρθογώνιον τρίγωνον καὶ τὴν ἀφαίρεσιν ἐκ τῆς ὑποτεινούσης τὴν ὀρθὴν γωνίαν ποιησώμεθα, ἀεὶ τε ἡ διαίρεσις ἐντὸς τοῦ τριγώνου πεσεῖται. μείζων γάρ ἐστιν ἀεὶ ἡ ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν ἑκατέρας τῶν λοιπῶν. καὶ οὕτως ἀεὶ τοῦ γινομένου ὀρθογωνίου ὄντος ἀεί ἐστι λαμβάνειν ἐκ τῆς ὑποτεινούσης ἴσην τῇ ἐλάττονι. καὶ οὕτως ἐπ' ἄπειρον ἐντὸς καταγράφειν τρίγωνα. δεῖ δὲ ἐκ τῶν δύο ἀφελεῖν ἅμα, καὶ ἀλλὰ παντὸς τριγώνου ὑγιὴς ἔσται ὁ λόγος. τρίτη αἰτία τοῦ νομίσαι αὐτοὺς εἶναι τὸ ἄπειρον, τὸ δεῖν εἶναι τὴν ἀεὶ γένεσιν. εἰ μὴ γὰρ εἴη ἄπειρόν τι ἐξ οὗ ἀφαιρεῖται τὰ γινόμενα, ἀλλὰ λείψει ἡ γένεσις. διὰ τὸ μὴ ἀλλὰ στῆναι ὅτι οὐδὲν εἰς τὸ μηδὲν μηδαμῶς ὂν φθείρεται, ἀλλ' ἡ ἄλλου φθορὰ ἄλλου ἐστὶ γένεσις, καὶ εἰς ἄλληλα ἡ τῶν στοιχείων ἀνάλυσις. δ' φησὶ τὸ νομίζειν ὅτι πᾶν τὸ πεπερασμένον ἀεὶ πρός τι περαίνει, τουτέστιν ὅτι πᾶν τὸ πεπερασμένον ὑπό τινος περαίνεται. ὥστε τὸ περαῖνον καὶ αὐτὸ πεπεράσθαι

ἔχομεν συναποδεδειγμένον ὅτι οὐδὲ τὴν τελικήν, οὐδὲ τὴν ποιητικήν. ὅτι μὲν οὖν οὐκ ἔχει τὴν ὑλικὴν ἀρχὴν τὸ ἄπειρον, δείξομεν οὕτως. εἰ ἔχει ὕλην τὸ ἄπειρον, ἢ πεπερασμένη ἐξ ἀνάγκης ἔσται, ἢ ἄπειρος. εἰ μὲν οὖν πεπερασμένη, καὶ τὰ ἑξῆς συγκείμενα πεπερασμένα ἔσται. οὐδὲν γὰρ πεπερασμένην ἔχον ὕλην, ἄπειρόν ἐστιν. εἰ δὲ ἄπειρος ἡ ὕλη, ἔχομεν ὅτι ἀρχὴ τὸ ἄπειρον, καὶ ἐξ αὐτοῦ τὰ ἄλλα, οὐκ αὐτὸ ἐκ τῶν ἄλλων. κἂν ἔχοι δέ τι τὸ ἄπειρον, οὐ δι' αὐτὸ ἕξει, ἀλλὰ τῷ τὴν ἀρχὴν αὐτοῦ ἐξ ἧς συνέστηκεν ἄπειρον εἶναι. οὐκ ἄρα δυνατὸν ὑλικὴν ἔχειν ἀρχὴν τὸ ἄπειρον. εἴτε γὰρ ἄπειρος εἴη, τὸ ζητούμενον ἔχομεν, ὅτι ἀρχὴ τὸ ἄπειρον. εἴτε πεπερασμένη, καὶ τὸ ἐξ αὐτῆς πεπερασμένον ἔσται. ἀλλ' οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται. πρῶτον γὰρ ἀεὶ τὸ εἶδος περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων. ἀόριστον δὲ τὸ ἄπειρον. ἔπειτα τὸ εἶδος, ἢ ἄπειρον ἔσται, ἢ πεπερασμένον. καὶ πάλιν τὰ αὐτὰ ἕψεται. οὐκ ἄρα οὐδὲ εἰδικὴν ἀρχὴν ἔχειν δύναται τὸ ἄπειρον. εἰ δὲ ταύτας οὐχ ἕξει, οὐδὲ τὴν ποιητικὴν καὶ τελικήν. τὸ γὰρ ποιητικὸν ὅτι ποιεῖ, εἰς ὕλην καὶ εἶδός τι ποιεῖ. εἰ τοίνυν οὐκ ἔχει εἶδος οὐδὲ ὕλην, οὐδὲ ποιητικὸν ἕξει αἴτιον. νῦν δὲ δῆλον, ὅτι ἤδη φυσικῶν τὸν λόγον σκοποῦμεν ἃ πάντως ἐξ ὕλης ἐστί. δι' αὐτὸ δὲ τοῦτο οὐδὲ τελικὸν ἕξει, διότι τὸ εἶδος πρὸς τὸ τέλος ἐστί, καὶ ταυτὸν τῷ εἴδει τὸ τέλος κατὰ τὸ ὑποκείμενον, ὡς εἴρηται ἔμπροσθεν. ὥστε εἰ ἀδύνατον ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχήν, οὐδὲ τὴν χρονικὴν ἕξει. ὅλως ἄρα ἀρχὴν οὐχ ἕξει. λείπεται οὖν αὐτὸ ἀρχὴν εἶναι. Τὰ μὲν οὖν δεικνύντα ὅτι ἀρχὴ τὸ ἄπειρον, καὶ ὅτι οὐ δυνατὸν ἀρχὴν αὐτὸ ἔχειν, ταῦτα. ἔχει δὲ ἀπορίαν ὁ λόγος. πρῶτον μὲν πῶς ἔφη τὴν ὕλην τοῦ ἀπείρου ἐξ ἀνάγκης ἢ πεπερασμένην εἶναι ἢ ἄπειρον. εἰ γὰρ δεῖ τὴν ὕλην παντελῶς ἀνείδεον εἶναι, ἀμεγέθη τε καὶ ἄποσον, οὔτε πεπερασμένη δηλονότι ἔσται, οὔτε ἄπειρος, ἀλλ' ἐκφεύξεται τὴν διαίρεσιν. ὥσπερ οὐδὲ τὸ σημεῖον ἀνάγκη ἢ πεπερασμένον εἶναι ἢ ἄπειρον. οὐ γὰρ κατ' αὐτό φασιν ἡ διαίρεσις. πῶς δὲ εἰ ὅλως καὶ πεπερασμένη ἡ ὕλη, καὶ τὸ ἐξ αὐτῆς πεπερασμένον ἔσται. οὐδὲ γὰρ ἐπειδὴ καὶ ἡ ὕλη ἀσώματος καὶ ἀμεγέθης, καὶ τὰ εἴδη καθ' αὑτὰ ἀσώματα καὶ ἀμεγέθη, ἤδη καὶ τὸ ἐξ αὐτῶν συγκείμενον ἀσώματον ἔσται καὶ ἀμέγεθες. καὶ ὥσπερ εἰ γένοιτο τοῦτο τὸ αἰσθητὸν σῶμα, ἐξ οὐ σώματος γενήσεται, ἐπειδὴ καὶ πᾶν τὸ γινόμενον ἐκ τῆς στερήσεως ἑαυτοῦ γίνεται, ἐξ οὐ τοιοῦδε γάρ, οὕτω δὲ δηλονότι καὶ εἰ τὸ ἄπειρον γενητόν ἐστιν εἴτε κατὰ χρόνον εἴτε κατ' αἰτίαν, ἐξ οὐ τοιοῦδε γενήσεται. ὥστε ἐξ οὐκ ἀπείρου γενήσεται. γίνεται δὲ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους, ἐπειδὴ καὶ πάντα τὰ ἄλλα. οὐκ ἄρα ἀνάγκη ταῦτα ἄπειρα εἶναι. ἀλλ' οὐδὲ πεπερασμένα διὰ τὴν εἰρημένην αἰτίαν. Ἐπιλύονται δὲ τὴν ἀπορίαν τούτῳ τῷ τρόπῳ. οὐδέν φασιν ἐν τοῖς συνθέτοις ὃ μὴ ὑπάρχει τοῖς ἁπλοῖς. εἰ γὰρ καὶ ἡ ὕλη μέγεθος οὐκ ἔστιν, ἀλλ' οὖν τὸ εἶδος τοῦ σώματος ὃ ἀχρόνως αὐτῇ γίνεται τῇ ὕλῃ, τοιοῦτόν ἐστιν ἐξ οὗ τῷ συνθέτῳ ὑπάρχει τό, μεγέθει εἶναι. καὶ οὐ τοῦτό φημι ὅτι μέγεθός ἐστιν αἰσθητὸν τὸ εἶδος τοῦ σώματος, ἀλλ' ὅτι τῷ οἰκείῳ λόγῳ χωριστὸν ὕλης ἐστὶ μέγεθος, ὅσπερ λόγος ἐνδυόμενος τῇ ὕλῃ τὸ αἰσθητὸν ποιεῖ μέγεθος. οὕτω καὶ εἰ ἔστι τι ἄπειρον ἐξ ὕλης καὶ εἴδους, δεῖ τὸ ἄπειρον τοῦτο ἐν ταῖς ἀρχαῖς εἶναι. μὴ γὰρ ἐχουσῶν τῶν ἀρχῶν τοῦτο, οὐδ' ἂν τὸ ἐξ αὐτῶν ἔχοι. ὥστε εἰ καὶ μὴ ἐν τῇ ὕλῃ δυνατὸν ὑποθέσθαι τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, ἀλλ' οὖν ἐν τῷ εἴδει γε ἀνάγκη. πρὸς τοῦτο δὲ πάλιν ἐρεῖ τις ὅτι εἰ πάντα τὰ ἐν τῷ συνθέτῳ ἀνάγκη καὶ ἐν τοῖς ἁπλοῖς εἶναι, ἔστι δὲ τὸ σῶμα ἐπ' ἄπειρον διαιρετόν, ἕξει καὶ ἤτοι ἡ ὕλη ἢ τὸ εἶδος τὸ εἰς ἄπειρον διαιρετόν. ἀλλ' οὔτε τὸ εἶδος διαιρετόν ἐστι. λέγομεν γοῦν ἀμερὲς εἶναι τὸ εἶδος τῷ οἰκείῳ λόγῳ. μερίζεσθαι δὲ καὶ διΐστασθαι ἐν τῇ ὕλῃ γενόμενον. ἀλλὰ καὶ αὐτὴν πάλιν τὴν ὕλην φαμὲν ἀμεγέθη εἶναι καὶ ἀδιάστατον. οὐκ ἄρα ἐν τοῖς ἁπλοῖς τὸ διαιρετόν, εἰ μὴ ἄρα δυνάμει. ἀλλὰ τοῦτο οὐδὲν πρὸς τὸν λόγον. περὶ γὰρ τοῦ κατ' ἐνέργειαν ἀπείρου νῦν ἡμῖν ὁ λόγος. πάλιν ἐστὶ τὸ λευκὸν ἐν σώματι φημὶ διακριτικὸν ὄψεως, καὶ ὅμως αὐτὸ καθ' αὑτὸ τὸ εἶδος τοῦ λευκοῦ οὔτε τὸ στοιχειῶδες, μήπω δὲ συμπλακὲν τῇ ὕλῃ, οὔτε τὸ ἐν τῷ δημιουργῷ τοιοῦτόν ἐστι. πάλιν ἐστὶν ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν. ἀλλ' ὅμως οὔτε ἡ ἰδέα αὐτὴ τοῦ ἀνθρώπου θνητή ἐστιν. οὔτε δὲ ἡ ὕλη. ὅλως δὲ τὰ ἐν τῷ δημιουργῷ εἴδη οὐ τοιαῦτα φαμέν. οἷον, τὸ τοῦ σώματος εἶδος οὐ τριχῇ διαστατόν. οὐδὲ τὸ τοῦ ποσοῦ εἶδος, συνεχὲς ἢ διωρισμένον. ἢ ζῷον λογικὸν θνητὸν τὸ τοῦ ἀνθρώπου. ἀλλὰ λόγους τούτων καὶ αἰτίας. Πρὸς ταῦτά φασιν, ὅτι πάντων μέν ἐστι τις ὁμοιότης κατ' οὐσίαν ἔν τε τοῖς εἴδεσι τοῖς ἐν τῷ δημιουργῷ καὶ ἐν τοῖς ἐξ αὐτῶν προϊοῦσι μέχρι τῆς ὕλης. οὐδὲ γὰρ ἁπλῶς ὁμωνύμως ἄνθρωπος τοῦτο κἀκεῖνο, ἀλλ' ὡς ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἐν οἷς ἐστι καὶ οὐσιώδης τις κοινωνία πρὸς τὰ ἀφ' ὧν ἐστι, καὶ διαφορά. ὥσπερ ἀπὸ τῆς ὑγιείας τὸ ὑγιεινὸν σιτίον. εἰ γὰρ πρὸς ἐκεῖνο ἀφορῶν ὁ δημιουργὸς ποιεῖ τὰ ἐνταῦθα, δεῖ δέ που πολλὴν τὴν κατ' οὐσίαν κοινωνίαν εἶναι. οὐ γὰρ δὴ ὡς ζωγράφος ἀφορῶν εἰς τὸν ἄνθρωπον, ἄνθρωπον μὲν τῷ ὄντι ποιεῖ, ἀπομιμεῖται δὲ τὰ κατὰ συμβεβηκὸς τῷ σώματι ὑπάρχοντα. οἷον χρώματα καὶ σχήματα. οὕτω καὶ ὁ δημιουργὸς μιμήματα μόνον ἁπλῶς καὶ μηδεμίαν κοινωνίαν ἔχοντα πρὸς τὰ ἐκεῖ εἴδη ποιεῖ τὰ ἐνταῦθα, ἀλλ' οὐσιωδῶς ἐκεῖνα ἐν τούτοις ἀπομάττεται, ὥσπερ καὶ ἡ σφραγὶς ἐν τῷ κηρῷ τὸν ἐν αὐτῇ χαρακτῆρα. οὔσης οὖν ἐν αὐτοῖς τῆς κατ' οὐσίαν ὁμοιότητος, εἴ τι μὲν τοῖς συνθέτοις ὑπάρχει συμπληρωτικὸν τῆς οὐσίας, καὶ οἱονεὶ στοιχεῖον καὶ πλήρωμα τοῦ ὅλου συγκρίματος, πάντως ἐκ τῶν ἁπλῶν ὑπάρχει. τῶν δὲ εἰδῶν προϊόντων ἐκεῖθεν μέχρι τῆς ὕλης, ἐπειδὴ ἀνάγκη πάντως ὕφεσίν τινα τοῦ

των ἐστὶ γένεσις. οὐχ ἅμα δὲ, ἀλλὰ τοῦδε, πρὸ τοῦδε ὅπερ καὶ ἤδη τελεώτερον ἢ πρὸς ἐκεῖνον. δεῖ δέ φησι καὶ ἀρχήν τινα ποιητικὴν τῆς γενέσεως εἶναι. αὕτη δέ ἐστι κατ᾽ ἀναξαγόραν ὁ νοῦς. ὁ οὖν μηδὲν ἐστὶν ἀγέννητον, τὸ δὲ τῆς γενέσεως αἴτιον ὁ νοῦς ἀπό τινος ἀρχῆς ἤρξατο διακρίνειν τὰ πράγματα, ἀρχὴ ἄρα ἐστὶ τῆς διακρίσεως ἁπάντων. ἀλλὰ μὴν καὶ πᾶν ἐκ παντὸς γίνεται. ἀδύνατον δὲ τὸ γινόμενον μὴ ἐκ τοῦ ὁμοίου γίνεσθαι. ἀνάγκη ἄρα πᾶν ἐν παντὶ εἶναι, ἵνα οὕτω τὸ πᾶν ἐκ παντὸς ἐκκρίνηται. πρὶν δὲ τὸν νοῦν ἄρξασθαι διακρίνειν, οὐδὲν ἦν διακεκριμένον. οὐδὲν γὰρ ἄλλο διακρίσεως αἴτιον, ἢ ὁ νοῦς. ἀνάγκη ἄρα ὁμοῦ πάντα εἶναι. εἴτε γὰρ ὁ νοῦς μὲν τῆς διακρίσεως τῶν πραγμάτων αἴτιος, μὴ πᾶν δὲ ἐκ παντὸς ἐπεφύκει γίνεσθαι, οὐκ ἦν ποτε ὁμοῦ πάντα. εἴτε ἐπεφύκει μὲν πᾶν ἐκ παντὸς γίνεσθαι, μὴ ὁ νοῦς δὲ μόνος αἴτιος ἦν τῆς διακρίσεως, οὐδὲ οὕτως ἦν ἀνάγκη πάντα ἐν πᾶσιν εἶναι. δυνατὸν γὰρ καὶ ἄλλως κατὰ μικρὸν ὁμοιομερείας διῃρῆσθαι τὸ πᾶν. ὥσπερ καὶ νῦν.

» ΑΛΛ᾽ ὅμως αὐτὸ τὸ κοινὸν σῶμα ἁπάντων ἐστὶν ἀρχὴ, μεγέθει κατὰ τὰ μόρια καὶ σχήματι δια-
» φέρον. ὅτι μὲν οὖν προσήκουσα τοῖς φυσικοῖς ἡ θεωρία, ἐκ τούτων δῆλον. εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ
» τιθέασι πάντες. οὔτε γὰρ μάτην οἷόν τε αὐτὸ εἶναι, οὔτε ἄλλην αὐτῷ ὑπάρχειν δύναμιν, πλὴν ὡς ἀρχήν.

Ὁ δημόκριτός φησι τὰ πρῶτα σώματα, λέγω δὲ τὰς ἀτόμους ἀγέννητά φησιν. οὐδὲ γὰρ ἑτέρα ἐκ τῆς ἑτέρας γίνεται. οἷον, ἡ σφαιρικὴ ἐκ τῆς πυραμοειδοῦς. μίαν μέντοι κοινὴν φύσιν ὑποτίθησι σώματος τοῖς σχήμασι πᾶσι. ταύτης δὲ μόρια εἶναι τὰς ἀτόμους μεγέθει καὶ σχήματι διαφερούσας ἀλλήλων. οὐ μόνον γὰρ ἄλλο καὶ ἄλλο σχῆμα ἔχουσιν, ἀλλ᾽ εἰσὶν αὐτῶν αἱ μὲν μείζους αἱ δὲ ἐλάττους. Εὐλόγως δὲ καὶ ἀρχὴν αὐτὸ τιθέασι πάντες. δείξας ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, ἔκ τε τοῦ τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα διαιρεῖσθαι εἰς τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, καὶ ἐκ τοῦ πάντας τοὺς παλαιοτέρους μὴ μόνον ὑποτίθεσθαι εἶναι τὸ ἄπειρον, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων, νῦν βούλεται δεῖξαι ὅτι εὐλόγως ὑποθέμενοι εἶναι τὸ ἄπειρον, ἀρχὴν αὐτὸ ὑπέθεντο εἶναι. ὃ γὰρ ὅλως ἐστὶν, ἀδύνατον μὴ ἀρχὴν αὐτὸ εἶναι. ἀνάγκη γὰρ ὃ ἔστιν, ἢ μάτην εἶναι, ἢ ἕνεκά του. μάτην μὲν οὖν οὐκ ἔστι. τὰ γὰρ μάτην, σπάνια. τὸ δὲ ἄπειρον τῶν ἀεὶ ὡσαύτως ἐχόντων. καὶ γὰρ ἄφθαρτον καὶ ἀγέννητον. οὐκ ἄρα μάτην. ἀλλ᾽ ὃ ἕνεκά του, ἢ ἀρχὴ ἔσται, ἢ ἐξ ἀρχῆς. ἕκαστον γὰρ τῶν ὄντων, ἢ ἀρχὴ, ἢ ἐξ ἀρχῆς. ἐὰν οὖν δείξω ὅτι ἀδύνατον αὐτὸ ἐξ ἀρχῆς εἶναι, λείπεται αὐτὸ ἀρχὴν ὑποτίθεσθαι. ἡ δὲ ἀρχὴ λέγεται πολλαχῶς. λέγεται γὰρ καὶ κατὰ μέγεθος ἀρχή. οἷον ἀρχὴ τοῦ πλοίου ἡ πρύμνα, ἢ ἡ τρόπις, καὶ τῆς οἰκίας τὰ θεμέλια. λέγεται δὲ καὶ κατὰ χρόνον ἀρχή. οἷον ἀρχὴ τοῦ πολέμου ἥδε ἡ ἡμέρα. λέγεται δὲ καὶ πραγματικὴ ἀρχή. αἵ τε στοιχειώδεις ἡ ὕλη φημὶ καὶ τὸ εἶδος, καὶ αἱ λοιπαὶ δύο ποιητικαὶ, καὶ τὸ τελικόν. φημὶ οὖν κατ᾽ οὐδὲν τῶν τῆς ἀρχῆς σημαινομένων δύναται ἀρχὴν ἔχειν τὸ ἄπειρον. καὶ ἴδε μέν γε πρῶτον ἐπὶ τῆς κατὰ μέγεθος ἀρχῆς. εἰ γὰρ ἔχοι τὴν κατὰ μέγεθος ἀρχὴν τὸ ἄπειρον, εὐθὺς ἕξει καὶ πέρας. ἡ γὰρ ἀρχὴ καὶ πέρας ἐστίν. ὥστε οὐκέτι ἂν εἴη ἄπειρον. ἄπειρον γὰρ φαμὲν τὸ ἐστερημένον πέρατος. κατὰ στέρησιν γὰρ τοῦ πέρατος λέγεται. δῆλον δέ που πάντως, ὅτι οὐ ταυτὸν πέρας εἰπεῖν, καὶ ἀρχὴν εἰπεῖν ἢ τέλος. ἡ μὲν γὰρ ἀρχὴ, πρὸς τέλος. τὸ δὲ πέρας, οὐ πρὸς ἀρχὴν οὐδὲ πρὸς τέλος, ἀλλὰ πρὸς τὸ περατούμενον. ἐπιφανείας γὰρ πέρατα γραμμαί. καὶ γραμμῆς πέρατα, σημεῖα. καὶ τὰ μὲν πέρατα φύσει ἐστὶν, ἀρχὴ δὲ καὶ τέλος οὐ πάντως φύσει, ἀλλὰ θέσει. τὴν γὰρ τῆς εὐθείας ἀρχὴν, ἐξ ὁποτέρου ἂν θέλω πέρατος ποιήσασθαι, καὶ πέρας μὲν ὁμοίως, καὶ ἡ ἀρχὴ καὶ τὸ τέλος. οὐ μέντοι τὸ πέρας πάντως ἀρχὴ, ἢ τέλος. ὅτι μὲν οὖν τὴν κατὰ μέγεθος ἀρχὴν οὐχ ἕξει τὸ ἄπειρον, πρόδηλον. δειχθήσεται δὲ ὅτι οὐδὲ τὴν κατὰ χρόνον, διότι οὐδὲ τὴν πραγματειώδη. ἵνα οὖν τοῦτο δείξωμεν, προσλάβωμεν ἐκεῖνο. πᾶν δὲ κατ᾽ οὐσίαν ἐστὶ γεννητὸν, ὃ τὴν χρονικὴν ἀρχὴν ἔχοι, ἀνάγκη πᾶσα καὶ τὴν πραγματειώδη ἀρχὴν ἔχειν. ὥστε τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ, πᾶν ὃ μὴ ἔχει τὴν πραγματειώδη ἀρχὴν, ἐξ ἀνάγκης οὐδὲ τὴν χρονικὴν ἕξει. ἐὰν οὖν δείξωμεν, ὅτι οὐ δύναται ἔχειν τὸ ἄπειρον τὴν πραγματειώδη ἀρχὴν, οὐδὲ τὴν χρονικὴν ἕξει δηλονότι. δέδεικται δὲ ὅτι οὐδὲ τὴν κατὰ μέγεθος ἔχειν δυνατόν. οὐδαμῶς ἄρα ἀρχὴν ἕξει τὸ ἄπειρον. ἀνάγκη δὲ ἦν αὐτὸ, ἢ ἀρχὴν, ἢ ἐξ ἀρχῆς εἶναι. μόνον ἄρα ἀρχὴ τὸ ἄπειρον. εἶπον δὲ τὸ κατ᾽ οὐσίαν, διότι τὰ μὴ ὡς οὐσία γινόμενα, ἀλλὰ ἀλλοιούμενα, οὐ πάντως ἔχει τὴν πραγματικὴν ἀρχὴν, εἴγε ἐστὶ καὶ ἀθρόα μεταβολή. τὰ μέντοι κατ᾽ οὐσίαν γινόμενα ἃ χρονικὴν ἕξει τὴν ἀρχὴν, πάντως καὶ τὴν πραγματειώδη ἔχει. οὐδεμία γὰρ οὐσία ἀθρόαν ἔχει τὴν γένεσιν, ἀλλὰ ἄλλο πάντως πρὸ ἄλλου γίνεται ἐν ταῖς κατ᾽ οὐσίαν γενέσεσι. πρότερον γὰρ γίνεται τὸ σπέρμα, ὅπερ τοῦ ὅλου ζώου ὕλη ἐστίν. εἶτα ἐκ τούτου σὰρξ, καὶ ἐφεξῆς ἄλλο πρὸ ἄλλου. καὶ δεῖ γε κατὰ πρ[illegible] γενέσθαι τὴν ὕλην πρότερον, καὶ εὐεργὸν καὶ ἐπιτηδείαν γενέσθαι. ὥστε καλῶς εἴρηται τὰ κατ᾽ οὐσίαν γινόμενα, ἃ κατὰ χρόνον γίνοιντο, πάντως ἔχει καὶ τὴν πραγματειώδη ἀρχήν. οὔτε δὲ ὃ τὴν πραγματειώδη ἔχει, ἕπεται τὸ καὶ τὴν κατὰ χρόνον ἔχειν, ὡς δηλοῖ τὰ οὐράνια, εἴγε ἐστὶν ἀΐδια. οὕτως ὃ μὴ ἔχει τὴν κατὰ χρόνον, τὸ μηδὲ τὴν πραγματειώδη ἔχειν ἀκολουθεῖ. πόθεν οὖν ὅτι οὐκ ἔχει τὴν πραγματειώδη ἀρχὴν τὸ ἄπειρον. τούτου γὰρ δειχθέντος, ἔχομεν ὅτι οὐδὲ τὴν χρονικὴν ἔχει. τεσσάρων γὰρ οὐσῶν ἀρχῶν, ἢ δείξω ὅτι ἀδύνατον τὴν ὑλικὴν, καὶ τὴν εἰδικὴν ἀρχὴν ἔχειν τὸ ἄπειρον,

στι. καὶ πῶς ἄλλος ἄλλῳ ὑπέθετο ὑποκειμένῳ τῷ ἀπείρῳ οὐσίαν.

» ΤΩΝ δὲ πεπερασμένα ποιούντων στοιχεῖα οὐδεὶς ἄπειρα ποιεῖ.

Οὐδείς φησι τῶν ὑποθεμένων πλείονα εἶναι τὰ στοιχεῖα, πεπερασμένα δὲ κατὰ ἀριθμόν, οἷον Ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα, ἄπειρα κατὰ τὸ μέγεθος ποιεῖ, οὔτε ἓν οὔτε πλείονα. εὔηθες γὰρ τοῦτο καὶ ἀδύνατον. εἴτε γὰρ ἓν εἴη ἄπειρον, τὸν πάντα καθέξει τόπον, καὶ τοῖς ἄλλοις οὐ δώσει χώραν εἰς τὸ εἶναι. εἴτε πλείω εἴη ἄπειρα, ἔτι ἀτοπωτέρα ἡ ὑπόθεσις. εἰ γὰρ ἓν οὐ δυνατὸν ἄπειρον εἶναι πλειόνων ὄντων τῶν στοιχείων, πολλῷ δήπου μᾶλλον πλείονα εἶναι ἄπειρα ἀδύνατον.

» ΟΣΟΙ δ' ἄπειρα ποιοῦσι τὰ στοιχεῖα, καθάπερ Ἀναξαγόρας καὶ Δημόκριτος, ὁ μὲν ἐκ τῶν ὁμοιομερῶν, ὁ δ' ἐκ τῆς πανσπερμίας τῶν σχημάτων, τῇ ἁφῇ συνεχὲς τὸ ἄπειρον εἶναί φασι.

Οἱ ἀριθμῷ φησιν ἄπειρα ποιοῦντες τὰ στοιχεῖα, οὗτοι δὲ ἦσαν Ἀναξαγόρας τε καὶ οἱ περὶ τὸν Δημόκριτον, ὁ μὲν ἀπείρους εἶναι λέγων τὰς ὁμοιομερείας, οἱ δὲ τὰς ἀτόμους, διαφέρουσι τῶν ἓν μὲν ὑποτιθεμένων τὸ στοιχεῖον, ἄπειρον δὲ τῷ μεγέθει· οὗτοι δὲ ἦσαν εἴτε τὸ ὕδωρ, ἢ τὸν ἀέρα, ἢ τὸ μεταξὺ ὑποτιθέμενοι· τῷ τοὺς μὲν συνεχὲς ποιεῖν τὸ ἄπειρον, ἐπεὶ καὶ ἕν τι σῶμα· τοὺς δὲ, τῇ ἁφῇ τὸ ἄπειρον ποιεῖν. ἀπείρων γὰρ οὐσῶν τῶν ὁμοιομερειῶν κατὰ ἀριθμόν, συμβαίνει ἁπτομένων αὐτῶν, ἕν τι κατὰ τὴν ἔκτασιν καὶ ἄπειρον γενέσθαι σῶμα. πανσπερμίαν δὲ τῶν σχημάτων φησὶν ὅτι τὰς ἀτόμους οἱ περὶ Δημόκριτον οὐ μόνον κατὰ τὸν ἀριθμὸν εἶναι ἔλεγον, ἀλλὰ καὶ τοῖς σχήμασιν ἀπείρους.

» ΚΑΙ ὁ μὲν ὁτιοῦν μόριον εἶναι ὁμοίως μίγμα τῷ παντί, διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ἐντεῦθεν γὰρ ἔοικε καὶ τὸ ὁμοῦ ποτε ἅπαντα χρήματα φάναι εἶναι· οἷον ἥδε ἡ σὰρξ καὶ τόδε τὸ ὀστοῦν· καὶ οὕτως ὁτιοῦν· καὶ πάντα ἄρα· καὶ ἅμα τοίνυν. ἀρχὴν γὰρ οὐ μόνον ἐν ἑκάστῳ εἶναι τῆς διακρίσεως, ἀλλὰ καὶ πάντων.

Δημόκριτος καὶ Ἀναξαγόρας διαφέροντες τῶν ἄλλων φυσικῶν, τῷ ἐκείνους μὲν συνεχὲς εἶναι λέγειν τὸ ἄπειρον, τούτους δ' ἐξ ἁπτομένων ἀπείρων κατ' ἀριθμὸν συγκεῖσθαι, ὡς συμβαίνει αὐτοῖς ἄρχεσθαι μὲν ἐκ τοῦ κατ' ἀριθμὸν ἀπείρου, τελευτᾶν δὲ εἰς τὸ κατὰ μέγεθος ἄπειρον. κοινωνοῦντες οὖν κατὰ τοῦτο, διαφέρουσιν ὅτι τὸν μὲν Ἀναξαγόραν ἐξ ἀλλήλων γεννᾶν τῇ ἐκκρίσει τὰς ὁμοιομερείας, Δημόκριτον δὲ μὴ ἐξ ἀλλήλων γεννᾶν τὰς ἀτόμους. καὶ ὁ μὲν ὁτιοῦν εἶναι μίγμα ὁμοίως τῷ παντὶ διὰ τὸ ὁρᾶν ὁτιοῦν ἐξ ὁτουοῦν γινόμενον. ὁ γὰρ Ἀναξαγόρας φησὶν ὥσπερ ἐν τῷ ὅλῳ κατ' ἀρχὰς πάντα μεμίχθαι ἔλεγε, καὶ εἶναι οἷον μίαν ὁμοιομέρειαν μεγάλην ἔχουσαν πάντα ἐν ἑαυτῇ, οὕτω καὶ ἐν ἑκάστῳ τῶν κατὰ μέρος πάντα ἐνυπάρχειν ἔλεγεν. εἰς ταύτην γάρ φησι τὴν δόξαν ἠνέχθη διὰ τὸ ὁρᾶν πάντα ἐκ πάντων γινόμενα· γίνεσθαι δὲ μηδὲν ἐκ τοῦ μὴ ὄντος, μήτε ἐξ ὄντος μὲν ἑτεροειδοῦς δὲ, ἀλλὰ τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου. ὥστε ἐνυπάρχει ἐν τῇδε τῇ σαρκὶ πάντα κατ' ἐνέργειαν· καὶ ἐκκρίνεται ἐξ αὐτῆς ὅπερ ἂν τύχῃ πρότερον ἐπιτηδείως ἔχον πρὸς τὴν ἔκκρισιν. ἐντεῦθεν γάρ φησιν ἔοικε καὶ ὁμοῦ πάντα ἐν πᾶσιν εἶναι ποτὲ ἀποφήνασθαι. εἰ γὰρ ἥδε ἡ σάρξ φησι καὶ τόδε τὸ ὀστοῦν ἐκ πάντων ἂν γένοιτο, καὶ ἐξ αὐτοῦ πάντα, καὶ ὁτιοῦν ἐξ ὁτουοῦν γένοιτο ἄν. ὥστε πάντα ἐκ πάντων. εἰ δὲ πάντα ἐκ πάντων, ἔστι δὲ οὐ μόνον ἀρχὴ τῆς διακρίσεως τοῦδε τοῦ ὀστοῦ, καὶ τῆσδε τῆς σαρκός, ἀλλὰ καὶ πάντων τῆς διακρίσεώς ἐστιν ἀρχή, ἔοικεν ἄρα πάντα ἐν πᾶσιν εἶναι πρὶν ἄρξασθαι διακρίνεσθαι. εἰ γὰρ πάντων τῆς διακρίσεως ἐστὶν ἀρχή, πᾶν δὲ ἐκ παντὸς διακρίνεσθαι πέφυκε, πρὶν ἄρα ἀρχὴν λαβεῖν τῆς διακρίσεως τὰ πράγματα, ὁμοῦ πάντα ἦν· πᾶσα γὰρ ἡ διάκρισις ἀπό τινος χρόνου ἤρξατο. ὅτι δὲ τὰ πράγματα ὁμοῦ πάντα ἦν, καὶ πάσης διακρίσεώς ἐστιν ἀρχή, ἐφεξῆς κατασκευάζει ὡς ἐκ προσώπου Ἀναξαγόρου, τὰ μὲν λαμβάνων ὁμολογούμενα ἐκ τῆς αὐτοῦ δόξης, τὰ δὲ κατὰ τὸ ἀκόλουθον ἐκ τῶν εἰλημμένων συλλογιζόμενος. δόξειε δ' ἂν ἐναντίον τι λέγειν ἐνταῦθα ὁ Ἀριστοτέλης τοῖς ἐν τῷ πρώτῳ λόγῳ εἰρημένοις περὶ Ἀναξαγόρου· ἐκεῖ μὲν γὰρ ἔλεγε βούλεσθαι τὸν νοῦν διακρῖναι τὰς ὁμοιομερείας, μὴ δύνασθαι δέ· διὸ καὶ ἀνόητον ἔλεγεν εἶναι τὸν νοῦν τοῖς ἀδυνάτοις ἐπιχειροῦντα. ἐνταῦθα δέ φησιν ἐξ ἀρχῆς τινος ἄρξασθαι τὸν νοῦν διακρίνειν τὰς ὁμοιομερείας. λέγομεν οὖν ὅτι οὐκ ἔστι ταῦτα ἐναντία. ἐκεῖ μὲν γὰρ περὶ ἑκάστης τῶν κατὰ μέρος ὁμοιομερειῶν ἔλεγεν ὅτι οὐ δύναται εἰλικρινῶς ἑκάστην διακρῖναι ὁμοιομέρειαν, οἷον σαρκὸς μὴ ἔχουσαν ἐν αὐτῇ ἑτέρας οὐσίας. ἐνταῦθα δέ φησιν ὅτι τὴν μίαν καὶ ἄπειρον τῷ μεγέθει ὁμοιομέρειαν, ἐν ᾗ πάντα ἦν τὰ ὄντα, δι' ἣν καὶ ἔλεγε τὸ ἦν ὁμοῦ πάντα χρήματα, διακρῖναι εἰς μερικὰς ὁμοιομερείας, οὐκ εἰλικρινεῖς, ἀλλὰ πάντα καὶ αὐτὰς ἐχούσας, φαινομένας δὲ καὶ ὀνομαζομένας ἀπὸ τοῦ ἐπικρατοῦντος.

» ΕΠΕΙ γὰρ τὸ γινόμενον ἐκ τοῦ τοιούτου γίνεται σώματος, πάντων δ' ἐστὶ γένεσις, πλὴν οὐχ ἅμα, καί τινα ἀρχὴν εἶναι δεῖ τῆς γενέσεως, αὕτη δ' ἐστὶ μία, ὃν ἐκεῖνος καλεῖ νοῦν. ὁ δὲ νοῦς, ἀπ' ἀρχῆς τινος ἐργάζεται νοήσας· ὥστε ἀνάγκη πάντα ὁμοῦ ποτ' εἶναι, καὶ ἄρξασθαί ποτε κινούμενα. Δημόκριτος δὲ, οὐδὲν ἕτερον ἐξ ἑτέρου γίνεσθαι τῶν πρώτων φησίν.

Βούλεται κατασκευάσαι ὅτι καὶ ἀρχὴ τῆς διακρίσεώς ἐστι πάντων. καὶ πρὶν διακριθῆ, πάντα ἦν ἐν πᾶσι. λαμβάνει οὖν ὅτι πᾶν τὸ γινόμενον ἐκ τοῦ ὁμοίου γίνεται. τοῦτο γάρ ἐστι τὸ ἐκ τοῦ τοιούτου. καὶ ὅτι πα-

τιθέμενος τῷ λοιπῷ τετραγώνῳ, αὔξει μὲν αὐτὸ, ὡς ἐν κατηγορίαις εἴρηται· ἀλλοιότερον δὲ οὐ ποιεῖ. διὰ τοῦτο γὰρ καὶ γνώμων προσηγορεύθη, ὅτι παρατιθέμενος τοῖς τετραγώνοις, φυλάττει τὸ αὐτὸ εἶδος. οὐ μόνον δὲ ἐπὶ τετραγώνων ὁ γνώμων τὸ αὐτὸ φυλάττει εἶδος, ἀλλὰ καὶ ἐπὶ παντὸς παραλληλογράμμου· ἔστι γὰρ γνώμων ὡς ὁ γεωμέτρης ὁρίζεται, παντὸς παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον παραλληλογράμμων ἓν ὁποιονοῦν σὺν τοῖς δύο παραπληρώμασιν, ὅσπερ περὶ τὸ αὐτὸ εἶδος παρατιθέμενος ἀεὶ τὸ αὐτὸ φυλάττει. καὶ οἱ ἀριθμητικοὶ δὲ γνώμονας καλοῦσι πάντας τοὺς περιττοὺς ἀριθμούς. οἷον, α γ ε ζ θ ια ιγ· καὶ τοῦτο ἐπ' ἄπειρον. εἰ γὰρ ἀρξάμενος συνθῇς τὸν γ τῇ μονάδι, ποιεῖς τετράγωνον ἀριθμὸν τὸν τέταρτον. τετράγωνος δὲ ἡ μονάς· ἅπαξ γὰρ ἡ μία, μία. εἶτα πάλιν τῷ δ ἐπισυνθεὶς τὸν ε, ποιεῖς τὸν θ πάλιν τετράγωνον. καὶ τούτῳ τὸν ζ, ποιεῖς τὸν ιϛ. καὶ τούτῳ τὸν θ, ποιεῖς τὸν κε. καὶ τούτῳ τὸν ια, ποιεῖς τὸν λϛ. καὶ οὕτως ἐπ' ἄπειρον τοὺς ἐφεξῆς περιττοὺς τοῖς γινομένοις συντιθεὶς, τὸ αὐτὸ εἶδος φυλάττεις τῶν τετραγώνων. καὶ ἄλλην δὲ γένεσιν τῶν τετραγώνων παραδιδόασιν, ἣν καὶ τοῦ προκειμένου μικρὸν παρεκβαίνομεν, τὴν λεγομένην κατὰ δίαυλον, οὐ μόνον τὴν γένεσιν τῶν τετραγώνων ἀριθμῶν ἡμᾶς διδάσκουσαν, ἀλλὰ καὶ τὴν πλευρὰν ἀφ' ἧς ἕκαστος ἀναγράφεται. ἔχοντα γὰρ τὸ χῦμα τῶν ἀριθμῶν ἀπὸ μονάδος, καὶ ἐπ' ἄπειρον. εἶτα ἀρξάμενος ἀπὸ μονάδος καὶ συντιθεὶς τοῖς ἐφεξῆς, ἀναπόδιζε μέχρι τῆς μονάδος, καὶ πάντας τοὺς γινομένους τετραγώνους εὑρήσεις. οἷον, α β γ δ ε ζ η θ ι ια ιβ, καὶ ἐπ' ἄπειρον. σύνθες τὴν μονάδα τῇ δυάδι, καὶ ἀνακάμψας ἐπισύνθες τὴν μονάδα. καὶ ποιεῖς τὸν δ τετράγωνον. πάλιν ἀρξάμενος μέχρι τοῦ γ, καὶ ἀνακάμψας, πάλιν μέχρι τῆς μονάδος ἐπισύνθες, καὶ ποιεῖς τὸν θ. καὶ τὸν ἀριθμὸν μέχρις οὗ ποιεῖς τὴν σύνθεσιν τοῦτον εὑρήσεις πλευρὰν τοῦ γινομένου τετραγώνου. ὁ γὰρ β, τοῦ δ πλευρά. ὁμοίως τοῦ θ ὁ γ. ἕως γὰρ τοῦ γ συνθέντες ἀνεποδίσαμεν. καὶ οὕτως ἐπ' ἄπειρον. τοῦτο μὲν οὖν ἔξω τοῦ προκειμένου. ὃ δέ φησιν ἐνταῦθα, τοῦτό ἐστιν. ὅτι φησὶ τὸ μὲν ἄρτιον ἄπειρον ὂν, ὅταν συμπλακῇ τῷ περιττῷ, ἀπειρίας αἴτιον γίνεται καὶ τοῖς ἐξ αὐτῶν γινομένοις. τὸ δὲ περιττὸν, διὰ τὸ περατωτικὸν εἶναι καὶ πέρας, ὁρισμοῦ καὶ ταυτότητος αἴτιον γίνεται τοῖς ἐξ αὐτοῦ. σημεῖον τὸ ἐπὶ τῶν ἀριθμῶν τούτων τῶν δακτυλικῶν συμβαῖνον. ἐὰν γὰρ ἀπὸ μονάδος καὶ ἐφεξῆς πάντας τοὺς περιττοὺς ἐπισυνθῇς ἀλλήλοις οὓς καὶ γνώμονας καλεῖ, ἀεὶ τοὺς γινομένους τετραγώνους εὑρήσεις. οὕτως ὁρισμοῦ καὶ ταυτότητος τὸ περιττὸν αἴτιον. ὅθεν καὶ πέρας αὐτὸ ἐκάλουν. ἐὰν δὲ τοὺς ἀρτίους ἐπισυνθῇς τῇ τε μονάδι καὶ ἐφεξῆς πᾶσιν ἀρτίοις εἴτε περιττοῖς, οὐδέποτε τὸ αὐτὸ εἶδος ποιήσεις. ἀλλ' ὁδεύσεις ἐπ' ἄπειρον τῇ ἐξαλλαγῇ τῶν γινομένων ἀριθμῶν. σύνθες γὰρ τὴν μονάδα τῇ δυάδι, καὶ ποιήσεις τὸν γ τρίγωνον. καὶ τούτῳ τὸν δ καὶ ποιήσεις ἑπτάγωνον. τούτῳ τὸν ϛ, καὶ πάλιν ἕτερον εἶδος. οὐ μόνον δὲ ἑαυτοῖς ἐπισυντιθέμενοι οἱ ἄρτιοι, ἀόριστα γεννῶσι καὶ ἄπειρα, ἀλλὰ καὶ τοῖς περιττοῖς. οὕτως ἄρα τὸ ἄρτιον πρὸς τῆς ἀπειρίας ἐστὶ καὶ τοῦ ἀορίστου. τὸ δὲ περιττὸν πρὸς τοῦ ὅρου καὶ τοῦ πέρατος. καλῶς οὖν ἄπειρον τὸ ἄρτιον ἐκάλουν. ἔχει δὲ ἡ λέξις ἀσάφειάν τινα διὰ τὴν συντομίαν.

ΠΕΡΙΤΙΘΕΜΕΝΩΝ γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν, καὶ χωρὶς, ὁτὲ μὲν, ἄλλο ἀεὶ γίγνεσθαι τὸ εἶδος, ὁτὲ δὲ ἕν. Πλάτων δὲ, δύο τὰ ἄπειρα, τὸ μέγα καὶ τὸ μικρόν.

Τῶν γνωμόνων φησὶ περὶ τὸ ἓν συντιθεμένων, τουτέστι κατὰ τὸν εἰρημένον ἡμῖν τρόπον ἀεὶ ἀλλήλοις ἐπισυντιθεμένων, ἓν ἀεὶ καὶ τὸ αὐτὸ γίνεται εἶδος. ἐὰν δὲ χωρὶς συντεθῶσι, τουτέστι μὴ ἑαυτοῖς ἐπισυντεθῶσιν, ἀλλὰ τοῖς ἀρτίοις οὐδέποτε τὸ αὐτὸ εἶδος γενήσεται. ὡς εἴπομεν, τὸν β σύνθες τῇ μονάδι. εἶτα τῷ γ, εἶτα τῷ ε. ἡγουμένων τῶν γνωμόνων, ἀεὶ τοῖς ἐφεξῆς ἀρτίοις οἷον τοῦ γ τὸν β καὶ δ καὶ ϛ. κατ' ἐκεῖνον γὰρ τρόπον ὡρισμένον τι εἶδος γίνεται, ἀλλ' ἐπ' ἄπειρον ἡ ἐξαλλαγὴ ὁδεύει. καλῶς ἄρα εἴπομεν καὶ τὸ ἄρτιον ἐναπολαμβανόμενον ὑπὸ τοῦ περιττοῦ καὶ περαινόμενον, παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν. διὰ μὲν γὰρ, διὰ τὴν ἑτεροποιΐαν τῆς συμπλοκῆς. τῆς δὲ ἀπειρίας μόνον τὸ ἄρτιον αἴτιον, ὡς δέδεικται. Πλάτων δὲ δύο τὰ ἄπειρα τὸ μέγα καὶ τὸ μικρόν. διὰ τοῦτο δύο τὰ ἄπειρα τὸ μέγα καὶ τὸ μικρὸν, διότι ἐν τῇ τῶν μεγεθῶν διχοτομίᾳ τὸ μὲν τῶν μορίων ἐπ' ἄπειρον ἐπαύξεται, τὸ δὲ ἕτερον ἐπ' ἄπειρον μειοῦται. τούτου δὲ τοῖς μεγέθεσι τὴν ὕλην αἰτίαν εἶναι ἔλεγεν. ἣν καὶ μέγα καὶ μικρὸν ἐκάλει δι' αὐτὸ τοῦτο, διὰ τὸ τούτων τὴν αἰτίαν εἶναι. πρώτως γὰρ ἐν αὐτῇ τὸ εἶδος γινόμενον, εὐθὺς τὴν κατὰ τὸ μικρὸν καὶ μέγα ἴσχει διαφοράν.

ΟΙ δὲ περὶ φύσεως ἅπαντες, ἀεὶ ὑποτιθέασιν ἑτέραν τινὰ φύσιν τῷ ἀπείρῳ τῶν λεγομένων στοιχείων. οἷον ὕδωρ, ἢ ἀέρα, ἢ τὸ μεταξὺ τούτων.

Ἀντιδιαστέλλει τοὺς φυσικοὺς τοῖς πυθαγορείοις καὶ Πλάτωνι μᾶλλον περὶ θεολογίαν ἐσχολακόσι. πάντες οὖν οἱ φυσικοί φησιν, οὐκ οὐσίαν εἶναι τὸ ἄπειρον ὑποτίθενται. ἀλλὰ συμβεβηκὸς μὲν εἶναι τὸ ἄπειρον ὑποτίθενται, ἑτέραν δὲ οὐσίαν ὑποκεῖσθαι τούτῳ. ἄλλος δὲ ἄλλην ὑπετίθετο, ἣν καὶ ἀρχὴν τῶν ὄντων ὑπενόει. κοινὸν οὖν αὐτοῖς τὸ, τὸ συμβεβηκὸς καὶ μὴ οὐσίαν εἶναι λέγειν τὸ ἄπειρον, καὶ διὰ τοῦτο οὐ καθ' αὑτὸ ἀρχὴν λέγειν αὐτὸ, ἀλλὰ κατὰ συμβεβηκός. ἀρχὴ γὰρ ἑκάστῳ καθ' αὑτὸ ἄλλη, ἤτοι ὁ ἀὴρ ἢ τὸ ὕδωρ ἢ ἕτερόν τι. τῇ δὲ ἀρχῇ τὸ ἄπειρον συμβεβηκὸς ὑπετίθετο διὰ τὴν ἀειγενεσίαν. ἡ μὲν οὖν κοινὴ τῶν φυσικῶν δόξα περὶ τοῦ ἀπείρου αὕτη. τίς δὲ ἡ πρὸς ἀλλήλους αὐτῶν διαφορὰ, ἐφεξῆς διδάσκει.

εἶναι. ἢ καὶ μὴ πάντα τὰ ὄντα περιλαμβάνει ἡ διαίρεσις αὕτη.

» ΟΙΟΝ πάθος ἢ στιγμή. τῶν γὰρ τοιούτων ἴσως οὐθὲν ἀναγκαῖον ἐν θατέρῳ τούτων εἶναι, προσήκει δ' ἂν εἴη τὸν περὶ φύσεως πραγματευόμενον θεωρῆσαι περὶ ἀπείρου, εἰ ἔστιν, ἢ μή. καὶ εἰ ἔστι, τί ἐστι.

Πάθος φησὶ λευκότητα, ἢ μελανίαν, καὶ ἁπλῶς ποιότητα. ταῦτα οὖν οὔτε ἄπειρά ἐστιν, οὔτε πεπερασμένα. ἐπειδὴ μηδὲ μεγέθη ὅλως. προστέθεικε δὲ τὸ ἴσως, διότι λέγεται ποτὲ πολλὴ καὶ ἡ λευκότης εἶναι, καὶ ὀλίγη ὡς εἴρηται καὶ ἐν κατηγορίαις, οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός, τῷ ἐν πολλῇ εἶναι ἐπιφανείᾳ. οὕτως οὖν λέγοιτ' ἂν καὶ ἄπειρον εἶναι ποιότης, ἢ πεπερασμένη, τῷ τὴν ἐπιφάνειαν ἐν ᾗ ὑπάρχει, ἢ ἄπειρον εἶναι, ἢ πεπερασμένην. λεχθείη δ' ἂν καὶ τὸ σημεῖον ἄπειρον οὐ τῷ ἀδιεξίτητον εἶναι, ἀλλὰ τῷ πέρας μὴ ἔχειν. ὥσπερ τὸν κύκλον ἄπειρον φαμὲν τῷ μὴ ἔχειν πέρατα, καὶ χιτῶνα ἄπειρόν φασι, τὸν μὴ ἔχοντα διαίρεσιν. ἢ ποσὶν ἄπειρα περιβαλοῦσα ὑφάσματα. ἐν θατέρῳ δὲ τούτων φησὶν ἐν τῷ ἀπείρῳ, ἢ τῷ πεπερασμένῳ.

» ΣΗΜΕΙΟΝ δ' ὅτι ταύτης τῆς ἐπιστήμης οἰκεία ἡ θεωρία ἡ περὶ αὐτοῦ. πάντες γὰρ οἱ δοκοῦντες ἀξιολόγως ἧφθαι τῆς τοιαύτης φιλοσοφίας, πεποίηνται λόγον περὶ τοῦ ἀπείρου. καὶ πάντες ὡς ἀρχήν τινα τιθέασι τῶν ὄντων. οἱ μὲν οὖν ὥσπερ οἱ πυθαγόρειοι καὶ πλάτων καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ, ἀλλ' ὡς οὐσίαν αὐτὸ ὂν τὸ ἄπειρον.

Τῆς φυσικῆς δηλονότι ἐπιστήμης. δείξας δὲ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι οἰκεῖος τῷ φυσικῷ ὁ περὶ τοῦ ἀπείρου λόγος, νῦν δείκνυσι καὶ ἐκ τῆς τῶν παλαιῶν καὶ ἐπισήμων φιλοσόφων χρήσεως.

» ΠΛΗΝ οἱ μὲν πυθαγόρειοι, ἐν τοῖς αἰσθητοῖς. οὐ γὰρ χωριστὸν ποιοῦσι τὸν ἀριθμόν. καὶ εἶναι δὲ τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. πλάτων δέ, ἔξω μέν, οὐδὲν εἶναι σῶμα, οὐδὲ τὰς ἰδέας, διὰ τὸ μηδὲ πού εἶναι αὐτάς. τὸ μέντοι ἄπειρον καὶ ἐν τοῖς αἰσθητοῖς, καὶ ἐν ἐκείναις εἶναι.

Οὐ τὸν ἀριθμὸν ἁπλῶς ἔλεγον εἶναι ἄπειρον, ἀλλὰ τὸν ἄρτιον ἀριθμόν. τοῦτον οὖν τὸν ἀριθμὸν οὐ χωριστὸν ποιοῦσι. τουτέστιν οὐκ ἀσώματον, οὐδὲ κεχωρισμένον παντελῶς τῶν αἰσθητῶν. ἀλλ' ἐν αὐτοῖς ὡς στοιχεῖον ὄντα. καὶ εἶναι δὲ ἔξω τοῦ οὐρανοῦ ἄπειρον. ὡς δὴ ἄπειρόν τι ποιούντων ἔξω τοῦ οὐρανοῦ ἤτοι κενόν, ἢ μᾶλλον ἴσως σῶμα, ὅπερ καὶ φασὶν ἀναπνέοντας ἡμᾶς ζῆν. ὡς καὶ αὐτὸς ἐρεῖ ὁ ἀριστοτέλης. ᾧ καὶ δῆλον πάλιν συμβολικῶς ταῦτα παρ' ἐκείνων λέγεσθαι. οὐ γὰρ δὴ τρέφεσθαι τὸν οὐρανὸν ὑπετίθεντο, καὶ οὕτως ἔξωθεν εἰς τὸν κόσμον εἰσκρίνεσθαι τὸ ἄπειρον, ὅπερ ἀναπνέοντας ἡμᾶς ζῆν. ἀλλὰ τὴν ἄπειρον ἴσως τοῦ δημιουργοῦ ᾐνίττοντο δύναμιν. ἐξ ἧς τὸ εἶναι καὶ τὸ διαμένειν πᾶσιν ὑπάρχει. ἔξω δὲ τοῦ οὐρανοῦ ταύτην εἶναι, οὐ τοπικῶς ἀκουστέον, ἀλλ' οὐσιωδῶς. τουτέστιν ἐξῃρημένως πάσης τῆς σωματικῆς οὐσίας. καὶ ὁ πλάτων δὲ ἐν ταῖς ἰδέαις ἀποτιθέμενος τοῦτο, τὸ κατὰ τὴν δύναμιν δήπου ἄπειρον ἂν λέγοι, τῷ ἔχειν ἐπ' ἄπειρον δύναμιν προακτικὴν τῶν τῇδε.

» ΚΑΙ οἱ μέν, τὸ ἄπειρον εἶναι τὸ ἄρτιον. τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον, παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν. σημεῖον δ' εἶναι τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν.

Οἱ πυθαγόρειοί φησι τὸ ἄπειρον τὸ ἄρτιον ἔλεγον. τοῦτο γὰρ αἴτιον ἔλεγον εἶναι τῆς ἀπειρίας τοῖς οὖσι. τὸ μὲν γὰρ περιττόν, περατωτικὸν καὶ ὁριστικὸν τῶν πραγμάτων. οὐ γὰρ δέχεται τὴν διαίρεσιν. τὸ δὲ ἄρτιον, ἄπειρον. τὸ δὲ ἄρτιόν φησιν ἐναπολαμβανόμενον ὑπὸ τοῦ περιττοῦ, αἴτιον εἶναι τοῖς οὖσι τῆς εἰς ἄπειρα τομῆς τῶν τε εἰδῶν καὶ τῶν ἀτόμων, καὶ τῆς ἐπ' ἄπειρον διαιρέσεως τῶν πραγμάτων. τὸ μὲν γὰρ περιττόν, περατοῖ καὶ ὁρίζει. τὸ δὲ ἄρτιον τῆς ἐπ' ἄπειρον τομῆς αἴτιόν ἐστιν, ἀεὶ τὴν διχοτομίαν δεχόμενον. ἔστιν οὖν καὶ ἐκ τούτων σαφὲς ὡς ᾐνίττοντο διὰ μὲν τοῦ ἀρτίου τὴν ὕλην. διὰ δὲ τοῦ περιττοῦ, τὸ εἶδος. ὄντος οὖν ἑκάστου εἴδους καθ' αὑτὸ ἀμεροῦς τε καὶ ἀδιαιρέτου, ὅταν μὲν τῇ ὕλῃ τοῦτο γένηται καὶ οἷον ἐναπολάβῃ ὁρίσαν αὐτήν, συμβαίνει εἰς πολλὰ ἄτομα καταμερίζεσθαι. οὐ δι' ἑαυτό. ἁπλοῦς γάρ ἐστι καὶ μονοειδὴς καὶ ἀδιάστατος ὁ τοῦ εἴδους λόγος τῆς οὐσίας. ἀλλὰ διὰ τὴν ὕλην ἐν ᾗ γέγονεν. αὕτη γὰρ αἰτία τῆς ἐπ' ἄπειρον αὐξήσεως τοῦ πλήθους τῶν ἀτόμων, τοῦ εἴδους ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος. ὥσπερ ὁ δακτύλιος εἰς κηροὺς ἄλλοτε ἄλλους σφραγίζει. ἔστιν οὖν κἀνταῦθα αἴτιον τῆς ἀπειρίας, οὐχὶ τὸ εἶδος ἐν τῷ δακτυλίῳ. ἓν γὰρ τοῦτο καὶ τὸ αὐτό. ἀλλ' ἡ ὕλη, τουτέστιν ὁ κηρός. ὃς ἀεὶ ὑπ' αὐτοῦ ἐναπολαμβανόμενος, ὁρίζεται, καθ' αὑτὸν ἀόριστος ὤν. σημεῖον δὲ εἶναι τούτου, τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν. περιτιθεμένων γὰρ τῶν γνωμόνων περὶ τὸ ἓν καὶ χωρίς, ὅτε μὲν ἄλλο γίνεται τὸ εἶδος. κἀνταῦθα ἐπισημαντέον ὅτι καὶ αὐτὸς ὁ ἀριστοτέλης οἶδεν αὐτοὺς συμβολικῶς ταῦτα λέγοντας. ὡς γὰρ δὴ τὸ ἄρτιον, ὅπερ ἔφη ὑπὸ τοῦ περιττοῦ περαίνεσθαι, μὴ ἐπὶ τοῦ κατὰ τοὺς ἀριθμοὺς ἀρτίου καὶ περιττοῦ λεγόντων, ἀλλὰ ἄλλα τινὰ διὰ τούτων σημαινόντων, ἐπήγαγεν ὅτι σημεῖον τῶν εἰρημένων ποιοῦνται τὸ συμβαῖνον ἐπὶ τῶν ἀριθμῶν. ὡς δὴ ἐκείνων, ὧν τοὺς ἀριθμοὺς σύμβολα εἶναί φασι, μὴ ὄντων ἀριθμῶν καίτοι γε τὸ περιττὸν ἦν καὶ τὸ ἄρτιον, ὧν τὸ μὲν ἔλεγον πέρας, τὸ δὲ ἄπειρον. ἀλλὰ τινὰ ἄρα διὰ τούτων ᾐνίττοντο. τοῦτο μὲν οὖν εἰς τοσοῦτον. ἵνα δὲ μάθωμεν τὸ λεγόμενον, εἴπωμεν πρότερον τί καλοῦσι γνώμονας οἱ ἀριθμητικοί, καὶ οἱ γεωμέτραι. ἐὰν λαβὼν τετράγωνον χωρίον, διέλῃς τοῦτο εἰς ἴσα τέσσαρα τετράγωνα, τὰ γ' ἴδια τετράγωνα σχῆμα ποιοῦντα ἑξῆς τῷ γ' στοιχείῳ, γνώμων ὑπὸ τῶν γεωμετρῶν καλεῖται. ὅς τις γνώμων περι-

διότι δὲ συνέβη τὸν ἀέρα ἢ τὸ ὕδωρ ἄπειρον εἶναι τῷ μεγέθει, διὰ τοῦτο κατὰ συμβεβηκὸς ἀρχῆς λό-
γον ἐπέχει τὸ ἄπειρον. πλάτων δὲ καὶ οἱ πυθαγόρειοι φησὶ καὶ καθ' αὑτὸ ἀρχὴν ὑποτίθενται εἶναι
τὸ ἄπειρον, οὐ γὰρ τινὰ ἄπειρον λέγοντες, ἢ ἀέρα, ἢ πῦρ, ἢ ἄλλο τι σῶμα, ἀλλ' αὐτοουσίαν τινὰ εἶναι
ἀπείρου ἐν ταύτῃ οὐσιωμένην ἐν τῷ ἄπειρον εἶναι, καὶ ταύτην εἶναι ἀρχὴν καὶ αἰτίαν τῶν ὄντων.
διαφέρονται δὲ πρὸς ἀλλήλους ὅ, τι πλάτων καὶ οἱ πυθαγόρειοι. οἱ μὲν γὰρ πυθαγόρειοι ἀριθμὸν λέ-
γουσιν εἶναι τὸ ἄπειρον. ἀριθμὸν δὲ οὐ χωριστόν τινα, οὐδὲ ἀσώματον, ἀλλ' αἰσθητόν τινα, καὶ στοιχεῖον
ὄντα, καὶ ἀρχὴν πάντων τῶν αἰσθητῶν. πάντα γὰρ ἐκ τῶν ἀριθμῶν ὡς ἐξ ἀρχῶν παράγουσι τὰ αἰ-
σθητά. καί τινα θεὸν φασι τὸ, ἀριθμῷ δὲ πάντ' ἐπέοικε. καὶ τὴν πηγὴν τῆς φύσεως τετρακτὴν φασιν εἶναι.
εἶναι δὲ μὴ μόνον ἐν τοῖς αἰσθητοῖς τὸ ἄπειρον, ἀλλὰ καὶ τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον εἶναι. οὔτε ὁ-
ποιόν ἐστι τοῦτο, οὔτε εἰς ὅ, τι χρήσιμον διορίζοντες. πλάτων δὲ εἶναι μὲν καὶ αὐτὸς ἐν τοῖς αἰσθητοῖς τὸ
ἄπειρον καὶ ἀρχὴν εἶναι τῶν αἰσθητῶν ἁπάντων, ἔξω δὲ τοῦ οὐρανοῦ οὐδὲν εἶναι παντάπασιν οὔτε
σῶμα οὔτε ἀσώματον. τὸ μέντοι ἄπειρον οὐ μόνον ἐν τοῖς αἰσθητοῖς εἶναι. ἀλλὰ καὶ ἐν ταῖς ἰδέαις,
τὰς δὲ ἰδέας μήτε ἐντὸς εἶναι τοῦ οὐρανοῦ, μήτε ἐκτός. μηδὲ γὰρ ὅλως σῶμα εἶναι. καὶ οἱ μὲν πυθαγό-
ρειοι, τὸ ἄπειρον τὸ ἄρτιόν φασι. πλάτων δὲ τὸ ἄπειρον δύο φησὶν, ὅπερ καλεῖ μέγα καὶ μικρόν. δια-
φέρουσιν οὖν πρὸς τοὺς φυσικοὺς ὁ πλάτων καὶ οἱ πυθαγόρειοι, τῷ τοὺς μὲν, οὐσίαν ὑποτίθεσθαι τὸ ἄ-
πειρον, τοὺς δὲ φυσικοὺς συμβεβηκὸς τῇ οὐσίᾳ. καὶ διὰ τοῦτο οἱ μὲν, καθ' αὑτὸ ἀρχὴν ὑποτίθενται τὸ ἄ-
πειρον. οἱ δὲ φυσικοὶ, κατὰ συμβεβηκός. καὶ συμβαίνει τοῖς μὲν πυθαγορείοις καὶ τῷ πλάτωνι, καὶ
τὸ μέρος τοῦ ἀπείρου ἄπειρον λέγειν, ἐπειδὴ αὐτοουσίαν εἶναί φασι τὸ ἄπειρον. ὥσπερ οὖν τὸ μέρος
τῆς οὐσίας οὐσία, οὕτω τὸ μέρος τοῦ ἀπείρου, ἄπειρον. τοῖς δὲ φυσικοῖς οὐκέτι τὸ μέρος τοῦ ἀπείρου
ἄπειρον. τῷ γὰρ ὅλῳ ἤτοι ἀέρι ἢ πυρὶ τὸ ἄπειρον αὐτοῖς συμβέβηκεν, οὐ τῷ μέρει. καὶ οἱ φυσικοὶ δὲ πλεῖ-
στον ὅσον διαφέρουσιν ἀλλήλων. κοινὸν μὲν γὰρ πάντων τῶν φυσικῶν τὸ, μεγέθει τὸ ἄπειρον ὑποτίθε-
σθαι ἢ πλήθει. καὶ εἰς δύο ταῦτα πάντες διῄρηνται. οἱ μὲν γὰρ τῷ μεγέθει, οἱ δὲ τῷ πλήθει τὸ ἄπειρον ὑ-
ποτίθενται. τίς δὲ ἡ διαφορὰ αὐτῶν πρὸς ἀλλήλους, τὴν λέξιν ἰόντες ὀψόμεθα. ἰστέον δὲ ὅτι ὥσπερ
εἰώθεσαν οἱ πυθαγόρειοι συμβολικῶς τὰς διδασκαλίας ἐκ τῶν ἀριθμῶν ποιεῖσθαι, οὕτω καὶ τὸ ἄπει-
ρον συμβολικῶς ἐν ταῖς ἀρχαῖς ἀπετίθεντο. καὶ ὅτι τοῦτό ἐστι, καὶ ἐξ αὐτῶν τῶν ῥητῶν τοῦ ἀριστοτέ-
λους ἔστιν ἑλεῖν. τὸ γὰρ ἄπειρόν φησι τὸ ἄρτιον ἔλεγον, ὥσπερ οὖν καὶ πέρας τὸ περιττόν. συγκεῖσθαι γοῦν
ἅπαντα ἐκ πέρατος καὶ ἀπειρίας. ὥσπερ οὖν τοὺς μέχρι δεκάδος ἀριθμοὺς καὶ ἄλλον ἄλλου σύμβο-
λα εἶναι ἔλεγον. ἐκάλουν γὰρ τὸν μὲν πέντε, δίκην, διὰ τὸ τοὺς μέχρι δεκάδος ἀριθμοὺς δίχα διαι-
ρεῖν. τὸν δὲ ς' γάμον, διότι ἐκ τοῦ πρώτου ἀρτίου τοῦ δύο, καὶ τοῦ πρώτου περιττοῦ τοῦ τρία πολυπλα-
σιαζομένων ἐφ' ἑαυτοὺς ἀποτελεῖται. ἀναλογεῖ δὲ τὸ μὲν ἄρτιον, τῷ θήλει. τὸ δὲ περιττὸν τῷ ἄρρενι.
ἐπεὶ οὖν ἐκ τοῦ συνδέσμου τούτου γεννᾶται ὁ ς', γάμον αὐτὸν ἐκάλουν. καὶ ἄλλον ἄλλου τινῶν πρα-
γμάτων σύμβολον ἐποιοῦντο. ὥσπερ οὖν τοὺς ἀριθμοὺς σύμβολα ἄλλων ἐποιοῦντο, οὕτω δὴ καὶ τὰ
πάθη αὐτῶν. καὶ τὸ μὲν ἄρτιον, σύμβολον ἐποιοῦντο τῆς ὕλης, τὸ δὲ περιττὸν τοῦ εἴδους, ἐξ ὧν συνδυα-
ζομένων τὰ πράγματα γενᾶσθαι. ἀπείκαζον δὲ τῇ μὲν ὕλῃ τὸ ἄρτιον. διότι ὥσπερ τὸ ἄρτιον πρὸς
τὰς διαιρέσεις ἐστὶ, τὸ δὲ περιττὸν πρὸς τὸ διαιρετόν, οὕτω καὶ ἡ μὲν ὕλη ἀδιαιρέσεως ἐστὶ καὶ ἀοριστίας
αἰτία, πέρατος δὲ καὶ ὅρου τὸ εἶδος. διὰ τοῦτο μὲν οὖν ἄπειρον τὸ ἄρτιον ἔλεγεν, διότι τῆς ἐπ' ἄπει-
ρον τομῆς τὸ ἄρτιον αἴτιον. ἡ γὰρ διχοτομία τὴν ἐπ' ἄπειρον ποιεῖ τῶν μεγεθῶν τομήν. ἄπειρον δὲ καὶ
ἡ ὕλη, διότι τοῖς μεγέθεσι καὶ πᾶσι τοῖς φυσικοῖς τῆς διαστάσεως καὶ ἀοριστίας καὶ τῆς ἐπ' ἄπειρον το-
μῆς καὶ πάθους αὕτη ἐστὶν αἰτία. ὅτι δὲ καὶ ὁ πλάτων πυθαγόρειος ὢν τὸ ἄπειρον τὴν ὕλην ἔλεγεν, αὐ-
τῇ λέξει φησὶν ὁ ἀριστοτέλης. πλάτων γάρ φησι δύο τὰ ἄπειρα λέγει τὸ μέγα καὶ τὸ μικρόν. ὅτι δὲ τὴν
ὕλην τὸ μέγα καὶ τὸ μικρὸν ἔλεγεν ὁ πλάτων, σαφῶς εἶπεν ἀριστοτέλης καὶ ἐν ἄλλοις πολλοῖς, καὶ ἐν
τῷ πρώτῳ βιβλίῳ ταύτης τῆς πραγματείας. τὴν δὲ μονάδα τὸ εἶδος.

ΕΙ καὶ μὴ πᾶν ἐστὶν ἢ ἄπειρον ἢ πεπερασμένον.

Ε ἐπειδὴ τὰ ὑποβεβλημένα τῷ φυσικῷ διεῖλεν εἰς τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, οὐκ ἔστι δὲ καθολι-
κὴ ἡ διαίρεσις ἡ κατὰ τὴν στέρησιν καὶ ἕξιν, μόνη γὰρ ἡ κατὰ ἀντίφασιν διαίρεσις ἐστὶ πάντων ἀρμόζει τῶν
ὄντων καὶ μὴ ὄντων, διὰ τοῦτό φησιν ὅτι πάντα τὰ ὑποβεβλημένα τῷ φυσικῷ διαιροῦνται εἰς τὸ ἄ-
πειρον καὶ τὸ πεπερασμένον. εἰ καὶ μὴ πάντα τὰ ὄντα ἢ ἄπειρά ἐστιν ἢ πεπερασμένα. ἐν οἷς γὰρ ἀνάγ-
κη πάντως ἢ τὴν ἕξιν ἔχειν ἢ τὴν στέρησιν, ἐν τούτοις ἡ καθ' ἕξιν καὶ στέρησιν διαίρεσις, ἰσοδυναμεῖ τῇ κατ'
ἀντίφασιν διαιρέσει. ὥσπερ γὰρ εἴ τις εἴπῃ ὅτι τῶν ἀνθρώπων οἱ μὲν, ὄψιν ἔχουσιν, οἱ δὲ τυφλοί εἰσι, πε-
ριέλαβε πάντας τοὺς ἀνθρώπους, διότι πέφυκεν ὁ ἄνθρωπος εὐθὺς ἢ ὄψιν ἔχειν ἢ τυφλότητα. καὶ ἰσο-
δυναμεῖ ἐπὶ τούτων ἡ καθ' ἕξιν καὶ στέρησιν διαίρεσις, τῇ κατὰ ἀντίφασιν. εἰ μέντοι εἴπῃ ὅτι τῶν κυνῶν
οἱ μὲν ὄψιν ἔχουσιν οἱ δὲ τυφλοί εἰσιν, οὐκέτι περιέλαβε πάντας τοὺς κύνας ἡ διαίρεσις, διὰ τὰ σκυ-
λάκια, οὕτω φημὶ ἐπειδὴ πάντα τὰ ὑποβεβλημένα τῷ φυσικῷ πέφυκασιν εὐθὺς ἢ ἄπειρα ἢ πεπε-
ρασμένα εἶναι, διὰ τοῦτο εἶπεν ὅτι ἀνάγκη τὰ ὑποβεβλημένα τῷ φυσικῷ ἢ ἄπειρα ἢ πεπερασμένα

τὸ θεώρημα ὃ ἐπιστήμων, καὶ μηδενὸς ὄντος τοῦ μανθάνοντος. ἀλλ᾽ ὅταν ἡ προβολὴ αὐτὴ γινομένη ἐν τῷ μαθητῇ ἄρξηται εἰς αὐτὸν τὴν ἀφαιρετέαν ταύτην δύναμιν καθ᾽ ἣν πέπονθε, ταύτην φημὶ μίαν καὶ τὴν αὐτὴν εἶναι, ἀρξαμένην μὲν ἀπὸ τοῦ διδασκάλου, γινομένην δὲ ἐν τῷ μαθητῇ, καὶ κίνησιν αὐτὸν, καὶ τὸ ἐν αὐτῷ δυνάμει τελειοῦσαν. ἥτις δηλονότι ἐν τῷ κινουμένῳ ἐστὶ, καὶ οὐκ ἐν τῷ κινοῦντι. οὐ μὴν οὐ μεταβάλλει γὰρ κατ᾽ αὐτὴν τὸ κινοῦν.

» Τί μὲν οὖν ἐστιν ἡ κίνησις καὶ καθόλου καὶ κατὰ μέρος, εἴρηται. οὐ γὰρ ἄδηλον ὡς ὁρισθήσεται τῶν εἰδῶν ἕκαστον αὐτῆς. ἀλλοιώσεως μὲν γὰρ, ἡ τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν, ἐντελέχεια.

Πρῶτον μὲν γὰρ ὁρίσατο τὴν κίνησιν ἐντελέχειαν τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστιν. εἶτα ἐπειδὴ τὸ δυνάμει καὶ ἐπὶ τῆς ἕξεως ἐλαμβάνετο, ἀκριβέστερον ὁριζόμενος εἶπε τὴν κίνησιν εἶναι ἐντελέχειαν τοῦ κινητοῦ ᾗ κινητόν. καθόλου μὲν οὖν φησι τῆς κινήσεως ὁρισμὸς οὗτος. ἐκ τούτου δὲ δῆλον πῶς καὶ ἕκαστον τῶν τῆς κινήσεως εἰδῶν ὁρισθήσεται. φήσομεν γὰρ ἀλλοίωσιν εἶναι τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν ἐντελέχειαν. καὶ αὔξησιν τὴν τοῦ αὐξητοῦ ᾗ αὐξητόν. καὶ φορὰν τὴν τοῦ φορητοῦ ᾗ φορητόν. εἰπὼν δὲ ὅτι εἴπομεν τί ἐστι κίνησις καὶ καθόλου καὶ κατὰ μέρος, ἐπειδὴ οὐδαμῶς εἶπε τοὺς ὅρους τῶν κατὰ μέρος κινήσεων, ἀλλ᾽ οὕτως εἶπεν ὡς δυναμένων τῷ καθόλου τὸ κατὰ μέρος ἁρμόσαι, διὰ τοῦτο ἐπήγαγεν, οὐ γὰρ ἄδηλον πῶς ὁρισθήσεται τῶν εἰδῶν ἕκαστον αὐτῆς. ὁ σύνδεσμος γὰρ ὁ γὰρ αἰτίας ἐστὶν ἀπόδοσις. διὰ τοῦτο φησὶν εἶπον καὶ κατὰ μέρος, διότι ἐκ τοῦ ἀποδεδομένου καθόλου περὶ κινήσεως ὁρισμοῦ σαφὲς ἡμῖν ἔσται πῶς καὶ ἕκαστον τῶν τῆς κινήσεως εἰδῶν ὁρισθήσεται.

» Ἔτι δὲ γνωριμώτερον, ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ ᾗ τοιοῦτον, ἁπλῶς τε, καὶ πάλιν καθ᾽ ἕκαστον, ἢ οἰκοδόμησις, ἢ ἰάτρευσις. τὸν αὐτὸν δὲ λεχθήσεται τρόπον, καὶ περὶ τῶν ἄλλων κινήσεων ἑκάστης.

Ἔτι φησὶ τὸν περὶ κινήσεως λόγον ἐκ τῶν εἰρημένων σαφέστερον καὶ γνωριμώτερον ἀποδοῦναι δυνατὸν, ὅτι ἐστὶν ἐντελέχεια τοῦ δυνάμει ποιητικοῦ πρὸς τὸ παθητικόν. ἡ γὰρ τοῦ ποιητικοῦ πρὸς τὸ παθητικὸν ἐντελέχεια, αὕτη ἐστὶν ἡ κίνησις. ἢ ὡς εἶπε μικρὸν ἔμπροσθεν, ἡ ἐντελέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. ἁρμόζει δέ φησιν ὁ τοιοῦτος ὁρισμὸς, καὶ ἐπὶ τῶν καθ᾽ ἕκαστα κινήσεων, οὐ μόνον ἐπὶ τῶν κατ᾽ εἶδος. φησὶ γὰρ οἰκοδόμησιν εἶναι ἐντελέχειαν τοῦ οἰκοδομητικοῦ καὶ οἰκοδομητοῦ ᾗ τοιοῦτόν ἐστι. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὗτος δὲ ὁ ὁρισμὸς συνεμφαίνει καὶ τὸ, μίαν εἶναι τὴν ἐνέργειαν τοῦ κινοῦντος, καὶ τοῦ κινουμένου. διὰ τοῦτο γὰρ καὶ οὕτως αὐτὴν ὡρίσατο. ἡ γὰρ ἐντελέχεια τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ, τῶν δύο ἅμα μία ἡ ἐνέργεια.

» Ἐπεὶ δ᾽ ἐστὶν ἡ περὶ φύσεως ἐπιστήμη περὶ μεγέθη καὶ κίνησιν καὶ χρόνον, ὧν ἕκαστον ἀναγκαῖον » ἢ ἄπειρον, ἢ πεπερασμένον εἶναι.

Εἴπομεν ἐξ ἀρχῆς τοῦ βιβλίου τούτου, ὅτι δύο ἐστὶ περὶ ὧν ἐν τούτῳ τῷ βιβλίῳ τὸν λόγον ποιεῖται ὁ φιλόσοφος, περὶ κινήσεως καὶ ἀπείρου. ὥσπερ ἐν τῷ ἐφεξῆς περὶ χρόνου, τόπου, κενοῦ. ἀπαρτίσας οὖν τὸν περὶ κινήσεως λόγον, καὶ εἰπὼν τί ποτέ ἐστιν ἡ κίνησις, καὶ ἐν τίσι θεωρεῖται, καὶ πόσα εἴδη κινήσεως, προτίθεται λοιπὸν ἐντεῦθεν περὶ τοῦ ἀπείρου διαλεχθῆναι. καὶ ὥσπερ εἴωθε σχεδὸν ἐν πᾶσι τοῖς προβλήμασι, οὕτω καὶ ἐνταῦθα ποιεῖ. πρότερον δείκνυσιν ὅτι ἀναγκαῖος τῷ σκοπῷ τῆς πραγματείας ὁ περὶ τοῦ προκειμένου προβλήματος λόγος. καὶ ἐνταῦθα μέλλων διαλεχθῆναι περὶ τοῦ ἀπείρου, εἴτε ἔστιν, εἴτε μὴ, καὶ εἰ ἔστι πότερον οὐσία ἐστὶν, ἢ συμβεβηκὸς, καὶ ἐν τίσι τὸ εἶναι ἔχει. πρότερον οὖν δείκνυσιν, ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ἀπείρου λόγος, ἵνα συντομωτέρους ποιήσῃ πρὸς τὴν ἀντίληψιν τοὺς ἐφιεμένους τῆς φυσικῆς ἐν ἕξει γενέσθαι θεωρίας. ὅτι οὖν ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ ἀπείρου λόγος, δείκνυσι διχόθεν. πρῶτον μὲν ἐκ τοῦ τὰ ὑποβεβλημένα ἅπαντα τῷ φυσικῷ πράγματα διαιρεῖσθαι ἢ εἰς τὸ ἄπειρον, ἢ εἰς τὸ πεπερασμένον, καὶ ἐκ τοῦ πάντας τοὺς διαλάμψαντας ὁπωσοῦν ἐν φιλοσοφίᾳ, μὴ μόνον διαλαβεῖν περὶ ἀπείρου, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ τῶν ὄντων εἶναι ὑποθέσθαι. τίνα οὖν τὰ ὑποβεβλημένα τῷ φυσικῷ πράγματα περὶ ὧν ποιεῖται τὸν λόγον; μεγέθη φησὶ καὶ κίνησις καὶ χρόνος. περὶ τούτων γὰρ πάντες οἱ φιλόσοφοι διαλέγονται. ταῦτα δὲ πάντα ἀνάγκη πᾶσα ἢ πεπερασμένα εἶναι, ἢ ἄπειρα. πάντα μεγέθη ὁμοίως καὶ τὴν κίνησιν καὶ τὸν χρόνον. ἐπὶ ἑκάστου γὰρ τούτων τοῦτο ζητεῖσθαι εἴωθεν. ὥστε εἰ ταῦτα γνῶναι βούλεται ὁ φυσικὸς, ταῦτα δὲ τὴν εἰς τὸ ἄπειρον, ἢ πεπερασμένον διαίρεσιν ἐπιδέχεται, ἀδύνατον ἄρα ταῦτα ἀκριβῶς γνῶναι τὸν μὴ ἐγνωκότα τί ποτέ ἐστιν ὅλως τὸ ἄπειρον. καὶ πρότερόν γε εἰ ὅλως ἐστὶν, ἢ μή. τεκμήριον δὲ τοῦ καλῶς ἐν τῇ περὶ φύσεως πραγματείᾳ ζητεῖν ἡμᾶς τὸν περὶ τοῦ ἀπείρου λόγον, ὅτι πάντες ὅσοι ἀξίως λόγου τινὸς ἥψαντο τῆς φυσικῆς θεωρίας, οὐ μόνον εἶναι τὸ ἄπειρον λέγουσιν, ἀλλὰ καὶ ἀρχὴν αὐτὸ εἶναι τῶν ὄντων ὑποτίθενται. πλείστη δὲ τούτων ἡ πρὸς ἀλλήλους διαφορὰ περὶ τῆς τοῦ ἀπείρου δόξης κοινῇ τε καὶ ἰδίᾳ. οἱ μὲν γὰρ φυσικοὶ πάντες, ἀρχὴν μὲν αὐτὸ εἶναι τὸ ἄπειρον τίθενται. ἀλλ᾽ οὐ καθ᾽ αὑτὸ ἀρχὴν, ἀλλὰ κατὰ συμβεβηκός. ἄλλο μὲν γάρ τι εἶναί φασι τὸ καθ᾽ αὑτὸ ἀρχὴν, οἷον, ἀέρα ἢ πῦρ, ἢ τῶν ἄλλων τι, ἢ πάντα ταῦτα, ἤ τινα, ἢ τὸ μεταξὺ τούτων. τούτῳ μέντοι συμβεβηκέναι τὸ εἶναι ἀπείρῳ. ὥστε καθ᾽ αὑτὸ μὲν ἀρχὴ τὸ ὕδωρ τυχὸν, ἢ ὁ ἀὴρ, ἢ τὸ μεταξύ.

διδάσκειν, εἰ μὴ οὕτως εἴη τὸ διδάσκειν τῷ μανθάνειν ταὐτόν, ὥστε καὶ τῷ ὑποκειμένῳ, καὶ τῷ λόγῳ ταὐτὸν εἶναι. εἰ δὲ μὴ οὕτως ὑπάρχει ταὐτόν, ἀλλ' ὡς ἡ ὁδὸς ἡ Θήβηθεν Ἀθήναζε, καὶ ἡ Ἀθήνηθεν εἰς Θήβας, οὐκ ἀνάγκη.

ΟΥ γὰρ τὰ αὐτὰ πάντα ὑπάρχει τοῖς ὁπωσοῦν ταὐτοῖς. ἀλλὰ μόνοις οἷς τὸ εἶναι τὸ αὐτό.

Οὐκ ἀνάγκη φησὶν εἰ κατά τι λέγοιντό τινα ταὐτὰ εἶναι, ἤδη καὶ πάντα τὰ ὑπάρχοντα τούτοις, ἢ ἑπόμενα αὐτοῖς τὰ αὐτὰ εἶναι. ἀλλ' ἐκεῖνά ἐστι κατὰ πάντα ταὐτά, οἷς ὁρισμὸς ὁ αὐτός ἐστιν. ἡμεῖς δὲ νῦν ταὐτὰ λέγομεν εἶναι τὸ διδάσκειν τῷ μανθάνειν, οὐ κατὰ τὸν ὁρισμόν. κατὰ τοῦτο γὰρ ἕτεροι. ἀλλὰ κατὰ τὸ ὑποκείμενον. ὥστε οὐκ ἀνάγκη εἰ οὕτως ἂν τὰ αὐτά, καὶ τὸν διδάσκοντα ἤδη καὶ μανθάνειν.

ΟΥ μὴν, ἀλλ' οὐδ' εἰ ἡ δίδαξις τῇ μαθήσει ταὐτόν, καὶ τὸ μανθάνειν τῷ διδάσκειν τὸ αὐτό. ὥσπερ οὐδ' εἰ ἡ διάστασις μία τῶν διεστηκότων, καὶ τὸ διίστασθαι ἐνθένδε ἐκεῖσε, καὶ ἐκεῖθεν δεῦρο, ἓν καὶ τὸ αὐτό.

Κατὰ ἀναποδισμὸν ὥσπερ, ἅπερ ὀλίγον πρότερον μὲν ἔδειξεν, ὅτι οὐκ ἀνάγκη εἰ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτόν, τὸν διδάσκοντα εὐθὺς καὶ μανθάνειν. ἐπειδὴ δὲ συνήγαγεν ἡ ἀπορία τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἶναι ἐκ τοῦ λαμβάνειν ὅτι ἡ δίδαξις τῇ μαθήσει ταὐτόν ἐστι, νῦν φησιν ὅτι οὐδὲ τοῦτο ἐξ ἀνάγκης ἕπεται. ἰδοὺ γὰρ καὶ ἡ διάστασις μὲν ἐκ Θηβῶν εἰς Ἀθήνας, καὶ ἐξ Ἀθηνῶν εἰς Θήβας μία ἐστὶ καὶ ἡ αὐτή. τὸ μέντοι διίστασθαι ἐντεῦθεν ἐκεῖ, ἢ ἐκεῖθεν δεῦρο, οὐ τὸ αὐτό. οὕτως οὖν οὐδὲ ἐπεὶ ἡ δίδαξις τῇ μαθήσει ἡ αὐτὴ ἄν, ἀνάγκη καὶ τὸ μανθάνειν ἤδη τῷ διδάσκειν ταὐτὸν εἶναι.

ὍΛΩΣ δ' εἰπεῖν, οὐδ' ἡ δίδαξις τῇ μαθήσει, οὐδ' ἡ ποίησις τῇ παθήσει τὸ αὐτὸ κυρίως. ἀλλ' ᾧ ὑπάρχει ταῦτα, ἡ κίνησις.

Ἐπειδὴ ἐκ τοῦ ὑποτίθεσθαι τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν εἶναι, τὰ ἑξῆς συνήγετο, πρότερον μὲν συγχωρήσας τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν εἶναι, καὶ ἔδειξεν ὅτι οὐκ ἀνάγκη τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἶναι. ἀλλ' οὐδὲ εἰ ταῦτα ταὐτά, καὶ τὸν διδάσκοντα ἀνάγκη κατὰ τοῦτο εὐθὺς καὶ μανθάνειν. νῦν δέ φησιν ὅτι οὐδὲ ὅλως ταὐτὸν ἡ δίδαξις τῇ μαθήσει. ἀλλ' ἐκεῖνό ἐστι ταὐτόν, ᾧτινι ὡς ὑποκειμένῳ ὑπάρχει ἡ δίδαξις, καὶ ἡ μάθησις. ὥσπερ οὐδὲ ἡ ἀνάβασις, καὶ ἡ κατάβασις ταὐτόν. ἀλλ' ἡ κλῖμαξ ᾗ ταῦτα ὑπῆρχεν, ἤγουν αὐτὴ ἡ κίνησις, λέγω δὴ αὐτὴ ἡ βάδισις, καὶ ἡ μεταφορὰ τῶν ποδῶν. αὕτη γὰρ κυρίως ἡ αὐτή ἐστιν. ἕνα γὰρ καὶ τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχεται. ἡ μέντοι ἀνάβασις, καὶ ἡ κατάβασις, ἅτινες ὡς ἐν ὑποκειμένῳ ὑπάρχει τῇ τοιαύτῃ κινήσει, οὐ κυρίως αἱ αὐταί. διάφοροι γὰρ οἱ τούτων ὁρισμοί. Ἀλλ' ᾧ ὑπάρχει ταῦτα ἡ κίνησις. κίνησίν φησιν αὐτὴν τὴν μεταβολὴν τὴν γινομένην ὑπὸ τῆς διδασκαλίας τῷ μαθητῇ. αὕτη γὰρ μία ἐστὶ καὶ ἡ αὐτή. καὶ ἀναφερομένη μὲν ὡς πρὸς τὸν διδάσκαλον, καλεῖται δίδαξις. πρὸς τὸν μαθητὴν δέ, μάθησις.

ΤΟ γὰρ τοῦδε ἐν τῷδε, καὶ τὸ τοῦδε ὑπὸ τοῦδε ἐνέργειαν εἶναι, ἕτερον τῷ λόγῳ.

Ὅτι ἑτέρα ἡ μάθησις τῇ διδάξει κατὰ τὸν ὁρισμὸν δείκνυσιν. ἄλλως γάρ φησιν ὁριούμεθα τὴν τοῦδε ἐν τῷδε ἐνέργειαν. τουτέστι τὴν τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι. καὶ τὴν τοῦδε ὑπὸ τοῦδε. τουτέστι καὶ τὴν τοῦ πάσχοντος ἐνέργειαν ὑπὸ τοῦ ποιοῦντος γινομένην. τὴν μὲν γὰρ πρότερον ὁριούμεθα, ὅτι ἔστιν ἐντελέχεια τοῦ κινητικοῦ τελειωτικὴ τοῦ κινητοῦ. τὴν δ', ὡσαύτως ἐντελέχειαν τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. τὰ μὲν οὖν παρὰ Ἀριστοτέλους ταῦτα. Ζητήσει δέ τις ἴσως εἰ ἐπὶ παντὸς κινοῦντος, καὶ κινουμένου ἀληθὴς ὁ λόγος ὁ λέγων τὴν κίνησιν ἐν τῷ κινουμένῳ μόνον εἶναι, οὐδαμῶς δὲ ἐν τῷ κινοῦντι. καὶ ἐπὶ μὲν ἀλλοιώσεως, ἢ αὐξήσεως τῷ ὄντι κινεῖται, οὐ τὸ ποιοῦν. ἀλλὰ τὸ πάσχον. λευκαίνεται γὰρ οὐ τὸ λευκαῖνον, ἀλλὰ τὸ λευκαινόμενον. καὶ αὔξεται οὐ τὸ αὖξον, ἀλλὰ τὸ αὐξανόμενον. τουτέστιν οὐ τὸ ποιοῦν, ἀλλὰ τὸ πάσχον. ἐπὶ μέντοι τῆς κατὰ τόπον κινήσεως, ἐφ' ἧς τινα τῶν κινούντων τῷ κινεῖσθαι οὕτω κινεῖ, οὐκέτι δ' ἐξα[illegible] μείζων ὁ λόγος. εἰ γὰρ τῷ κινεῖσθαι ὁ οὐρανὸς οὕτω κινεῖ τὸ ὑπέκκαυμα, πῶς οὐ φήσομεν τὸ κινοῦν καὶ αὐτὸ κινεῖν, κατ' αὐτὸ τοῦτο κινεῖσθαι. καὶ δύο δὲ εἶναι καὶ τὰς κινήσεις. τὴν μέν, τοῦ κινοῦντος. τὴν δέ, τοῦ κινουμένου. καὶ ἄλλη μὲν κίνησις ἡ τοῦ οὐρανοῦ, ἄλλη δὲ καθ' ἣν κινεῖται τὰ ἐνταῦθα, ποιά, ἢ ποιὰ ὑπὸ τῆς ἐκείνου κινήσεως ἀλλοιούμενα. ὥστε δύο καὶ αἱ ἐνέργειαι, καὶ αἱ κινήσεις, οὐ μόνον τῷ ὁρισμῷ, ἀλλὰ καὶ τῷ ὑποκειμένῳ. καὶ τὸ μὲν ὑπέκκαυμα, τὴν αὐτὴν τῷ κινοῦντι κινεῖται κίνησιν, ὥσπερ καὶ τὸ ἱμάτιον κινούμενον ὁμοίως τὴν αὐτὴν συγκινεῖται κίνησιν. κινεῖται δὲ οὐ μόνον ταύτην τὴν κίνησιν κινουμένων τῶν οὐρανίων τὰ προσεχῆ, ἀλλὰ κοινῶς πάντα τὴν ἀλλοιωτικήν. ἡ γὰρ κατὰ τόπον τοῦ ἡλίου κίνησις κατ' αὐτὸ τοῦτο καθ' ὃ κατὰ τόπον κινεῖται, ποιά, ἢ ποιὰ ἀλλοιοῖ τὰ ἐνταῦθα. Πρὸς δὲ τὴν ἀπορίαν ταύτην συντόμως φημί. οὐ τοῦτό φησιν ὁ Ἀριστοτέλης, ὅτι οὐδέν ἐστι τῶν κινούντων ὃ τῷ κινεῖσθαι οὕτω κινεῖ. σαφῶς γοῦν εἶπεν ὅτι πάντα τὰ φυσικὰ τοιαῦτά ἐστι, ὥστε μὴ ἄλλως δύνασθαι κινεῖν, ἢ τῷ κινεῖσθαι καὶ αὐτά. ἀλλ' ὅτι ἡ κινητικὴ δύναμις ἡ ἐνδιδομένη ὑπὸ τοῦ κινοῦντος τῷ κινουμένῳ, λέγω δὴ ἡ ἰσχὺς αὕτη καὶ ἡ ἐνέργεια καθ' ἣν καὶ κινεῖται δυνάμει κινητὸν ὂν τελειούμενον ὑπὸ τῆς τοιαύτης ἐνεργείας, μία τις οὖσα καὶ ἡ αὐτή, τὴν μὲν ἀρχὴν ἔχει τῆς προόδου ἀπὸ τοῦ κινοῦντος. τὸ δὲ τέλος καὶ τὴν ἀποτελεύτησιν καὶ οἷον μονήν, ἐν τῷ κινουμένῳ. οὐ γὰρ ἐνδιδομένη ἐν τῷ δυνάμει ἀφίησιν αὐτό. ἀλλ' ἕως μένοντα τελειοῖ. τελείωσις δὲ ἡ τῆς δυνάμεως προσαγωγή. τοῦτο δέ ἐστιν ἡ κίνησις. προβάλλεται μὲν γὰρ

» μανθάνειν ταὐτὸ, καὶ τὸ ποιεῖν τῷ πάσχειν· ὥστε τὸν διδάσκοντα ἀνάγκη ἔσται πάντα μανθάνειν, καὶ τὸν
» ποιοῦντα πάσχειν.

Τέσσαρα ταῦτα ἐφεξῆς ἐστι· ὁ διδάσκων, ἡ δίδαξις, τὸ διδάσκειν, τὸ δίδαγμα. καὶ ἔστι τὸ μὲν δίδαγμα τὸ τέλος εἰς ὃ ἀπάγει ἡ διδασκαλία· οἷον τὸ οἰκοδόμημα. τοῦτο δέ ἐστιν ἡ οἰκία. οὕτω καὶ τὸ δίδαγμα αὐτὸ τὸ θεώρημα τὸ ἐγγινόμενον ἐν τῇ ψυχῇ. τὸ δὲ διδάσκειν καὶ ἡ δίδαξις, δοκεῖ μὲν τὰ αὐτὰ εἶναι, οὐκ ἔστι δὲ κυρίως τὰ αὐτά, ἀλλὰ διενηνόχασιν ἀλλήλων. ἡ μὲν γὰρ δίδαξις, αὐτὴν τὴν κίνησιν ἐμφέρει, καὶ τὴν ἐνέργειαν καθ᾽ αὑτήν. τὸ δὲ διδάσκειν τὴν σχέσιν τῆς ἐνεργείας τοῦ διδασκάλου πρὸς τὸν μαθητήν. ὥσπερ γὰρ ἡ κίνησις, καὶ τὸ κινεῖν, οὕτω καὶ τὸ διδάσκειν, καὶ ἡ δίδαξις, καὶ ἁπλῶς ἡ ποίησις καὶ τὸ ποιεῖν. φησὶν οὖν ὅτι εἰ τῶν δύο, φημὶ δὴ τοῦ διδάσκοντος, καὶ τοῦ διδασκομένου, καὶ ἁπλῶς τοῦ ποιοῦντος, καὶ τοῦ πάσχοντος, μία εἴη ἡ ἐνέργεια, ταὐτὸν εἴη δηλονότι ἡ δίδαξις τῇ μαθήσει, καὶ κοινότερον ἡ ποίησις τῇ πείσει. ἀλλ᾽ εἰ ταῦτά εἰσιν ἀλλήλοις ταὐτά, καὶ τὰ τούτων ἐφεξῆς δηλονότι. λέγω δὴ τὸ διδάσκειν τῷ μανθάνειν. καὶ συμβήσεται τὸν διδάσκοντα καθὸ διδάσκει κατὰ τοῦτο μανθάνειν, καὶ τὸν ποιοῦντα καθὸ ποιεῖ, κατὰ τοῦτο πάσχειν· ὅπερ ἄτοπον. ἀλλὰ καὶ αὕτη ἡ μία ἐνέργεια εἰ μὲν ἐν τῷ κινοῦντι εἴη, συμβήσεται τὸ κινούμενον μὴ ἔχειν κίνησιν. εἰ δὲ ἐν τῷ κινουμένῳ· ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται.

» Η ΟΥΤΕ τὸ, τὴν ἄλλου ἐνέργειαν ἐν ἑτέρῳ εἶναι ἄτοπον. ἔστι γὰρ ἡ δίδαξις, ἐνέργεια τοῦ δι-
» δασκάλου.

Ἐντεῦθεν ἐπιλύεται τὰς ἀπορίας, καὶ πρῶτον τὴν προτέραν τὴν λέγουσαν, ὅτι ἡ ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται. καί φησιν ὅτι τοῦτο οὐδὲν ἄτοπον, ἐπί τινων τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι. οὕτω γὰρ ἔχει ἐπὶ πάντων τῶν πρός τι. καὶ δόξει μὲν ταύτην τὴν ἐπίλυσιν, ὡς πρὸς τὴν προτέραν ὑπόθεσιν δεδωκέναι. λέγω δὴ τὴν ὑποθεμένην δύο μὲν εἶναι τὰς ἐνεργείας, ἀμφοτέρας δὲ ἐν τῷ κινουμένῳ. ἕπεται γὰρ ἐκείνῃ ταύτῃ τῇ ὑποθέσει, τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι. εὐλογώτερον δὲ ὡς εἴπομεν, ὡς ἑπόμενον αὐτῷ καὶ τῇ ὑποθέσει τῇ μίαν μὲν λεγούσῃ τὴν ἐνέργειαν, ταύτην δὲ ἐν τῷ κινουμένῳ εἶναι. οὐδὲ γὰρ ὅλως ἀληθῆ νομίζει τὴν ὑπόθεσιν τὴν ὑποτιθεμένην δύο εἶναι τὰς ἐνεργείας, ἵνα καὶ τὰς πρὸς αὐτὴν φερομένας ἀπορίας ἐπιλύσηται.

» ΕΝ ΤΙΝΙ μέντοι, καὶ οὐκ ἀποτετμημένη. ἀλλὰ τοῦδε, ἐν τῷδε.

Ἡ γὰρ τοῦ διδασκάλου ἐνέργεια, οὐκ ἀποτέτμηται τοῦ μαθητοῦ. ἀλλ᾽ ἐξ αὐτοῦ μὲν πρόεισι, γίνεται δὲ ἐν τῷ μαθητῇ. δεῖ δὲ τὴν ἐνέργειαν τοῦ διδασκάλου μὴ ἁπλῶς τὴν προσβολὴν τῶν θεωρημάτων νομίζειν. καὶ μὴ διδάσκειν γάρ, ἀλλὰ καθ᾽ αὑτὸν ἂν προχειρίζεται τὰ θεωρήματα. ἀλλὰ τὴν κίνησιν τὴν γινομένην ἐν τῇ ψυχῇ τοῦ μαθητοῦ ἐκ τῶν θεωρημάτων. ὡς εἴ γε καὶ παρόντος τοῦ μαθητοῦ, εἴποι μὲν ὁ διδάσκαλος, μὴ δράσοι δὲ εἰς τὸν μαθητήν, οὐ λέγεται διδάξαι. οὕτως ἄρα ἡ δίδαξις ἔσται οὐχ ἁπλῶς ἡ προσβολὴ τῶν θεωρημάτων, ἀλλ᾽ ἡ πάθη ἡ ἐγγινομένη ὑπὸ τῶν λόγων τοῦ διδασκάλου τῷ μαθητῇ, ἥτις ἡ αὐτὴ κατ᾽ ἄλλην σχέσιν μάθησις λέγεται, ὅταν ἀρξάμενοι ἀπὸ τοῦ μαθητοῦ ἐπὶ τὸν διδάσκαλον χωρήσωμεν. καὶ ἁπλῶς, ὅταν μὲν ἀπὸ τοῦ αἰτιατοῦ εἰς τὸ αἴτιον ἀνέλθωμεν, μάθησις. ὅταν δὲ ἔμπαλιν, ποίησις.

» ΟΥΤΕ μίαν δυοῖν κωλύει οὐθὲν τὴν αὐτὴν εἶναι. μὴ ὡς τὸ εἶναι τὸ αὐτό, ὡς λώπιον καὶ ἱμάτιον.

Τὸ δεύτερον ἄτοπον ἐπιλύεται. οὐδὲν κωλύει φησί, δύο ἕτερα τῷ εἴδει μίαν ἐνέργειαν εἶναι, ἀλλὰ μίαν τῷ ὑποκειμένῳ, οὐ τῷ ὁρισμῷ.

» ΑΛΛ᾽ ὡς τὸ δυνάμει ὂν ὑπάρχει πρὸς τὸ ἐνεργοῦν. οὔτ᾽ ἀνάγκη τὸν διδάσκοντα μανθάνειν. οὐδ᾽ εἰ
» τὸ πάσχειν, καὶ τὸ ποιεῖν τὸ αὐτό ἐστι. μὴ μέντοι ὡς τὸν λόγον εἶναι ἕνα, τὸν τί ἦν εἶναι λέγοντα. οἷον τῷ
» λωπίῳ, καὶ τῷ ἱματίῳ. ἀλλὰ ὡς ἡ ὁδὸς ἡ Θήβηθεν Ἀθήναζε. καὶ ἡ Ἀθήνηθεν εἰς Θήβας, ὥσπερ εἴρηται
» καὶ πρότερον.

Ἤτοι τοῦτό φησιν, ὅτι οὕτω λέγω, μίαν δύο διαφερόντων κατ᾽ εἶδος ἐνέργειαν εἶναι μηδὲν κωλύειν. οὐ κατὰ πάντα μίαν, ἀλλ᾽ ὥσπερ ἕν ἐστι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ὁ γὰρ δυνάμει γραμματικός, εἶτα γενόμενος ἐνεργείᾳ γραμματικός, οὗτος εἷς μὲν καὶ ὁ αὐτός ἐστι τῷ ὑποκειμένῳ, τῷ μέντοι λόγῳ καὶ τῷ ὁρισμῷ οὐχ εἷς. ἄλλως γὰρ ὁριζόμεθα αὐτὸν δυνάμει ὄντα γραμματικόν, καὶ ἄλλως ἐνεργείᾳ. οὕτως οὖν φημι δυνατὸν εἶναι μίαν δυοῖν ἐνέργειαν. ἢ οὖν τοῦτό φησιν, ἢ ὡς ἤδη εἴπομεν, ὅτι τούτων φημὶ μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν δυνατὸν εἶναι τῶν διαφερόντων κατ᾽ εἶδος, ἅ ἐστι τὰ δυνάμει ὄντα, καὶ τὰ ἐνεργείᾳ κατὰ τὴν δύναμιν ταύτην, καὶ ἄγοντα αὐτὴν εἰς ἐνέργειαν. τοιαῦτα δέ ἐστι καθόλου τὰ ποιοῦντα καὶ πάσχοντα. Οὔτε ἀνάγκη τὸν διδάσκοντα μανθάνειν, οὐδὲ εἰ τὸ ποιεῖν καὶ πάσχειν ταὐτόν. ἐπὶ τὸ ἕτερον ἄτοπον μετέβη. ἔλεγε γὰρ οὕτω, εἰ τῶν δύο μία ἡ ἐνέργεια, ἐπειδὴ τοῦ μέν, ἡ ἐνέργεια δίδαξις λέγεται, τοῦ δὲ μάθησις, ἔσται ἡ δίδαξις τῇ μαθήσει ταὐτόν. εἰ δὲ τοῦτο, καὶ τὰ ἑπόμενα τούτοις ταὐτά, τὸ διδάσκειν καὶ τὸ μανθάνειν. εἰ δὲ τοῦτο, συμβήσεται τὸν διδάσκοντα πάντα μανθάνειν. καὶ αὐτὸς οὖν τῇ ἐπιλύσει κατ᾽ ἀνάλυσιν κέχρηται, ἐκ τῶν ὑστέρων ἀρχόμενος, καὶ ἐπὶ τὰ πρότερα ἀνακάμπτων. οὐ γὰρ ἀνάγκη φησὶν εἰ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἴη, καὶ τὸν διδάσκοντα μανθάνειν κατ᾽ αὐτὸ τὸ διδάσκειν,

φεῖν. εἰ δὲ ἐν τῷ κινοῦντι κίνησίς ἐστιν, ἢ κινηθήσεται, ἢ οὐ κινηθήσεται. καὶ εἰ μὲν κινηθήσεται, ἀνάγκη πᾶν τὸ κινοῦν κινεῖσθαι. ὅπερ ἐστὶ ψεῦδος. οὔτε γὰρ τὸ ὀρεκτὸν κινοῦν κινεῖται, οὔτε τὸ πρώτως κινοῦν κινεῖται, ὡς δέδεικται ἐν τῷ ὀγδόῳ. εἰ δὲ μὴ κινηθήσεται, ἄτοπον ἔχοντα κίνησιν μὴ κινεῖσθαι.

» ΕΙ δ' ἄμφω ἐν τῷ κινουμένῳ καὶ πάσχοντι καὶ ἡ ποίησις, καὶ ἡ πάθησις, καὶ ἡ δίδαξις καὶ ἡ μάθησις, δύο οὖσαι ἐν τῷ μανθάνοντι, πρῶτον μὲν ἡ ἐνέργεια ἡ ἑκάστου οὐκ ἐν ἑκάστῳ ὑπάρξει. εἶτα ἄτοπον, τὸ δύο κινήσεις ἅμα κινεῖσθαι. τίνες γὰρ ἔσονται ἀλλοιώσεις δύο τοῦ ἑνὸς καὶ εἰς ἓν εἶδος; ἀλλ' ἀδύνατον.

Γ τιθέμενος τὴν μὲν ἐν τῷ κινοῦντι, τὴν δὲ ἐν τῷ κινουμένῳ, νῦν ἀμφοτέρας τὰς κινήσεις ἐν τῷ κινουμένῳ ὑποτίθεται. συμβήσεται οὖν φησι τὴν δίδαξιν καὶ τὴν μάθησιν, καὶ τὴν ποίησιν καὶ τὴν πάθησιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ εἶναι τῷ κινουμένῳ. εἰ δὲ τοῦτο, πρῶτον μὲν ἄτοπον ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι. ἔπειτα συμβήσεται δύο κινήσεις διαφερούσας τῷ εἴδει, εἰς ἓν καὶ τὸ αὐτὸ τέλος ἄγειν. ὅπερ ἀδύνατον. οὐδέποτε γὰρ δύο ἀλλοιώσεις εἰς ἓν καὶ τὸ αὐτὸ εἶδος ἄγειν δύναιντ' ἄν. οἷον λεύκανσιν καὶ θέρμανσιν εἰς λευκότητα. εἴτε γὰρ ἐκ διαφόρων εἰς τὸ αὐτὸ ἄγουσιν αἱ διάφοροι κινήσεις, ἄτοπον δύο τῷ ἑνὶ ἀντιτιθέναι. ἀεὶ γὰρ ἡ μεταβολὴ οὐκ ἐκ τοῦ τυχόντος, ἀλλ' ἐκ τοῦ ἐναντίου. εἴτε ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀεὶ διὰ τῶν αὐτῶν ἡ κίνησις. ἀεὶ γὰρ ἐκ [illegible] διὰ τῶν αὐτῶν μέσων ἡ κίνησις. οἷον [illegible] καὶ τῶν λοιπῶν. ἀπορήσειε δ' ἄν τις πρὸς τὸν λόγον. εἴτε γὰρ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ μὴ διὰ τῶν αὐτῶν κινηθείη ἄν τις. καὶ ἐκ διαφόρων εἰς τὸ αὐτὸ κινηθῆναι, οὐδὲν ἀδύνατον. δύο γὰρ ὄντων περάτων τῆς διαμέτρου τοῦ κύκλου, κινηθείη ἄν τις ἐξ ἑκατέρου πέρατος εἰς θάτερον καὶ διὰ τῆς διαμέτρου, καὶ διὰ τοῦ ἡμικυκλίου. ὥστε διὰ διαφόρων κινήσεων, τῆς κατὰ κύκλον φημί, καὶ τῆς κατ' εὐθεῖαν, ἐκ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἐκινήθη. κινηθείη δ' ἄν τις, καὶ ἐν τῷ μέσῳ τοῦ ἀέρος, καὶ τὸ αὐτὸ καταλήψεται τοῦ ἀέρος σημεῖον καὶ ἐκ τῆς γῆς, καὶ ἐκ τοῦ οὐρανοῦ. πρὸς μὲν οὖν τὴν πρώτην ἀπορίαν φημί. ὅτι πρῶτον μὲν περὶ τῶν φυσικῶν κινήσεων νῦν ὁ λόγος, οὐ περὶ τῶν ἀπὸ ψυχῆς κινουμένων. ἀδύνατον δέ ἐστιν ἐπὶ τῶν φυσικῶν κινήσεων τὸ κατ' εὐθεῖαν κινούμενον τὴν κύκλῳ κινηθῆναι. κἂν γὰρ κινῆται τὸ ὑπέκκαυμα καὶ ὁ συνεχὴς ἀὴρ μετὰ τοῦ παντός, ἀλλ' οὐ κατὰ φύσιν, ἀλλ' ὑπερφυῶς. ὥσπερ καὶ τὰ σώματα τῶν ζῴων βαρέα ὄντα κατὰ φύσιν, τὴν ἐπὶ τὰ πλάγια κίνησιν οὐχ ὑπὸ φύσεως, ἀλλ' ὑπὸ ψυχῆς κινοῦνται. ἀδύνατον οὖν ἓν καὶ τὸ αὐτὸ φυσικῶς κινούμενον κατ' εὐθεῖαν καὶ περιφερῶς κινηθῆναι. τὸ γὰρ πῦρ ἀδύνατον ἄλλως τὸν ἄνω τόπον καταλαβεῖν, εἰ μὴ δι' εὐθείας μόνης, καὶ ταύτης πρὸς ὀρθὰς ἤτοι πρὸς ἴσας ἀγομένης τὸ ἐξ οὗ καὶ εἰς ὅ. εἰ δὲ μυριάκις δυνατὸν ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ κινηθῆναι καὶ διὰ τῆς διαμέτρου, καὶ διὰ τῆς περιφερείας, οὐκ ἂν εἴη τοῦτο ἕτερον, καὶ ἕτερον κινήσεως εἶδος. ἀλλ' ἡ ὁδὸς μόνον πλείων, καὶ ἐλάττων. ὥσπερ ἂν εἰ κινηθείη τις ἐκ τοῦ μέλανος εἰς τὸ λευκόν, ποτὲ μὲν ἐν πλείονι, ποτὲ δὲ ἐν ἐλάττονι χρόνῳ, τῆς ἀλλοιώσεως καὶ κατὰ μέρος βραδυτέρας, ἢ ταχυτέρας, καὶ ἀθροωτέρας γινομένης, οὕτω καὶ ἐνταῦθά φημι. εἰ γραφείη ἐν ἐπιπέδῳ κύκλος, καὶ ὁ μέν τις κινηθείη διὰ τῆς διαμέτρου, ὁ δὲ διὰ τῆς περιφερείας ἐπὶ τὸ αὐτό, οὐχ ἕτερον καὶ ἕτερον εἶδος κινήσεως ἐκινήθησαν, ἀλλ' ἀμφότεροι τὴν ἐπὶ τὰ πλάγια κίνησιν. ὥσπερ γε καὶ εἴ τις κινηθείη τὴν περίμετρον τῆς γῆς, οὐκ ἂν λέγοιτο κυκλοφορικῶς κινεῖσθαι. ἐπεὶ πάντα τὰ ζῷα κυκλοφορικῶς κινεῖσθαι ἂν λέγοιντο. ἐπὶ περιφεροῦς γὰρ τῆς ἐπιφανείας τῆς γῆς κινοῦνται. καὶ οὐκ ἔτι ἂν ἡ ψυχὴ τὴν ἐπὶ τὰ πλάγια κίνησιν κινεῖν ἐλέγετο. καὶ τί διέφερον κατὰ τοῦτο τῶν κύκλῳ κινουμένων; οὐκοῦν ἕτερα εἴδη ταῦτα κινήσεως. ὑπὸ μιᾶς γὰρ ἄμφω δυνάμεως γίνεται. διαφέρουσι δὲ τὸ μῆκος τῆς διαστάσεως μόνον. ἀλλ' οὐδὲ τὸ ἐπὶ τῶν συλλογισμῶν συμβαῖνον ἐλέγχει τὸν λόγον. λέγω δὲ τό, τὸ αὐτὸ συμπέρασμα δι' ἄλλων καὶ ἄλλων κατασκευῶν δείκνυσθαι. καὶ ἐπ' εὐθείας γὰρ τὸ αὐτὸ καὶ δι' ἀδυνάτου δείκνυται. καὶ ἐπ' εὐθείας δι' ἄλλων καὶ ἄλλων προτάσεων, καὶ ἀληθῶν δὲ καὶ ψευδῶν τὸ αὐτὸ συνάξεις, ὡς καὶ αὐτὸς ἐν τοῖς ἔμπροσθεν εἶπεν. ἀλλὰ δῆλον ὅτι οὐ φυσικαὶ κινήσεις οἱ συλλογισμοί, ἀλλὰ λογικαὶ μέθοδοι. περὶ φυσικῶν δὲ κινήσεων ὁ λόγος. πρὸς μὲν οὖν τὴν πρώτην ἀπορίαν ταῦτα. πρὸς δὲ τὴν δευτέραν φημί, ὅτι ὅπερ ἔφην ὅτι ἀδύνατον εἴς τι φυσικὸν πέρας ἓν καὶ τὸ αὐτὸ ἐκ διαφόρων ἀρχῶν ἐλθεῖν. ὁ γὰρ μεταξὺ τῆς γῆς καὶ τοῦ οὐρανοῦ τόπος, οὔτε τῶν κούφων, οὔτε τῶν βαρέων ἐστὶ πέρας, ἀλλ' ὁδός ἐστι τῶν κούφων καὶ βαρέων. ἐπεὶ καὶ ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία αἱ ὁδοὶ διὰ τῶν αὐτῶν μέσων. οἷον, ἡ ἐκ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν μεταβολή, καὶ ἡ ἐκ τοῦ μέλανος εἰς τὸ λευκὸν διὰ τῶν αὐτῶν μέσων, οἷον διὰ τοῦ φαιοῦ, καὶ τῶν μεταξὺ χρωμάτων.

» ΑΛΛΑ ΜΙΑ ἔσται ἐνέργεια. ἀλλ' ἄλογον δύο ἕτερα τῷ εἴδει τὴν αὐτὴν καὶ μίαν εἶναι ἐνέργειαν.

Β ἐπὶ τὴν ἑτέραν ὑπόθεσιν μεταβαίνει, τὴν λέγουσαν μίαν εἶναι καὶ τὴν αὐτὴν ἐνέργειαν τοῦ κινοῦντος, καὶ τοῦ κινουμένου. ἆρα οὖν φησὶ μὴ δεῖν ὑποθέσθαι ἀμφοτέρων μίαν εἶναι τὴν ἐνέργειαν, τοῦ τε ποιοῦντος καὶ τοῦ πάσχοντος. ἀλλὰ τοῦτό φησιν ἄλογόν ἐστι δύο πραγμάτων διαφερόντων κατ' εἶδος μίαν καὶ τὴν αὐτὴν ὑποτίθεσθαι ἐνέργειαν.

» ΚΑΙ ἔσται ὥσπερ ἡ μάθησις καὶ ἡ δίδαξις τὸ αὐτό, καὶ ἡ ποίησις καὶ ἡ πάθησις, καὶ τὸ διδάσκειν τῷ

» ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ. ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια. ὥσπερ γὰρ τὸ αὐτὸ διάστημα ἓν
» πρὸς δύο, καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ταῦτα γὰρ ἓν μέν ἐστιν, ὁ μέντοι λόγος οὐχ
» εἷς, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος, καὶ κινουμένου.

Ἐπειδὴ εἶπεν ὅτι οὐκ ἄλλη ἐστὶν ἡ τοῦ κινητικοῦ ἐνέργεια, διὰ τοῦτο εἶπεν ὅτι οὐ τοῦτο φημί, ὅτι οὐκ ἔχει ἑκάτερον αὐτῶν ἐνέργειάν τινα. δεῖ γὰρ ἔχειν. καὶ ὅτι μὲν τὸ κινούμενον ἔχει, πρόδηλον. ὅτι δὲ καὶ τὸ κινοῦν ἔχει τινὰ ἐνέργειαν, κατασκευάζει. κινητικὸν μὲν γάρ φησι τῷ δύνασθαι κινεῖν. κινεῖν δὲ τὸ ἐνεργεῖν. εἰ τὸ κινοῦν φησὶ ποτὲ μὲν τὴν κινητικὴν μόνον δύναμιν ἔχει, ποτὲ δὲ ἐνεργεῖ κατ' αὐτήν, δῆλον ὅτι ἔχει τινὰ καὶ τὸ κινοῦν ἐνέργειαν. καθ' ἣν ἐκ τοῦ κινητικὸν εἶναι γίνεται ἐνεργείᾳ κινοῦν. ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ. ὥστε ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια. εἰ καὶ ἐνεργεῖ φησι τὸ κινοῦν, ἀλλ' ἐνεργεῖ οὐδαμῶς ἄλλως, ἀλλ' ἢ ἐν αὐτῷ τῷ κινητῷ. καθὸ καὶ τὸ κινητὸν ἐνεργείᾳ κινεῖται. ὥστε εἰ ἐν τῷ κινητῷ ἐνεργεῖ, καὶ ἡ ἐνέργεια τοῦ κινητικοῦ τοῦτό ἐστιν ἡ τοῦ κινητοῦ κίνησις, μία ἄρα ἡ ἀμφοῖν ἐνέργεια. καὶ ὅτι οὐ θαυμαστὸν μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν δύο εἶναι πραγμάτων, τῇ σχέσει μόνον διαφέρουσαν, τοῖς παραδείγμασι πιστοῦται. ὥσπερ φησὶ τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο, καὶ δύο πρὸς ἕν. ἓν γὰρ τοῦτο καὶ ταυτὸν κατὰ τὸ ὑποκείμενον. τί γὰρ διαφέρει ἐκ τῶν δύο πρὸς τὸ ἓν κινηθῆναι, καὶ ἐκ τοῦ ἑνὸς πρὸς τὰ δύο. οἷον, τὸ λέγειν ὅτι ὃν λόγον ἔχει τὸ ἓν πρὸς τὰ δύο, οὐδὲν διαφέρει τοῦ εἰπεῖν, ὃν λόγον ἔχει τὰ δύο πρὸς τὸ ἕν. εἰ μὴ μόνον τῇ σχέσει. τῷ ὑποκειμένῳ δὲ ταυτὸν καὶ ἕν. ἀλλ' εἰ καὶ μία ἡ διάστασις, ἀλλ' οὖν αἱ σχέσεις διάφοροι. τὰ μὲν γὰρ δύο πρὸς τὸ ἕν, διπλασίονα λόγον ἔχει. τὸ δὲ ἓν πρὸς τὰ δύο, τὸν ἥμισυν. ὁμοίως δὲ καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, σχέσεις μὲν διάφοροι, διάστασις δὲ μία.

» ΕΧΕΙ δ' ἀπορίαν λογικήν. ἀναγκαῖον γὰρ ἴσως εἶναί τινα ἐνέργειαν ἄλλην τοῦ ποιητικοῦ καὶ τοῦ
» παθητικοῦ. τὸ μὲν γὰρ ποίησις, τὸ δὲ πάθησις. ἔργον δὲ καὶ τέλος, τοῦ μὲν ποίημα, τοῦ δὲ πάθος.

Λογικὴν αὐτὴν τὴν ἀξίαν πρὸς λόγον. οἱονεὶ πιθανὴν καὶ ἀξίαν οὖσαν λόγου τυχεῖν, καὶ ἐπιλύσεως. τίς οὖν ἡ ἀπορία. ὅτι μήποτε οὐ καλῶς εἴρηται τὸ μίαν εἶναι ἀμφοῖν τὴν ἐνέργειαν, ἀλλὰ δεῖ ἑκατέρου ἰδίαν τινὰ ἐνέργειαν εἶναι, ἑτέραν παρὰ τὴν θατέρου ἐνέργειαν, ὡς δηλοῖ τάτε ὀνόματα διάφορα ὄντα ἐπὶ τῆς ἑκάστου ἐνεργείας τεταγμένα. ἡ μὲν γάρ, ποίησις. ἡ δὲ πάθησις. διάφορα δὲ καὶ τὰ ἀποτελέσματα. τῆς μὲν γὰρ ποιήσεως τὸ τέλος ποίημα. τῆς δὲ παθήσεως πάθος. εἰ τοίνυν καὶ τὰ ὀνόματα τῶν ἐνεργειῶν, καὶ τὰ τέλη διάφορα, καὶ αὗται δήπου ἕτεραι ἂν εἶεν ἀλλήλων.

» ΕΠΕΙ οὖν ἄμφω κινήσεις, εἰ μὲν ἕτεραι, ἐν τίνι. ἢ γὰρ ἄμφω ἐν τῷ πάσχοντι καὶ κινουμένῳ, ἢ ἡ μὲν
» ποίησις, ἐν τῷ ποιοῦντι. ἡ δὲ πάθησις, ἐν τῷ πάσχοντι.

Εἰ δύο εἰσὶν αἱ ἐνέργειαι φησίν, ἡ ἀμφότεραι κινήσεις εἰσὶν ἢ ἡ μέν ἐστιν ἐν τῷ κινοῦντι, ἡ δὲ ἐν τῷ κινουμένῳ, ἢ ἀμφότεραι ἐν τῷ κινουμένῳ. τὸ γὰρ ἀμφοτέρας εἶναι ἐν τῷ κινοῦντι ὡς εἶπεν, οὐδὲ ὑποτίθεται. δυνατὸν δὲ ἦν τὴν διαίρεσιν οὕτω ποιήσασθαι. ὅτι εἰ δύο εἰσὶν ἐνέργειαι, ἢ ἀμφότεραι κινήσεις εἰσί, διαφέρουσι δ' ἀλλήλων, ἢ μία ἐξ ἀμφοῖν γίνεται κίνησις. ἢ ἡ μὲν μία ἐνέργεια κίνησίς ἐστιν, ἡ δὲ ἑτέρα οὐκ ἔστι κίνησις. ἀλλὰ τὸ τρίτον οὐδὲ ὑποτίθεται. φημὶ δὴ τὸ τὴν μέν, εἶναι κίνησιν, τὴν δὲ μὴ εἶναι. φημὶ οὖν ὅτι οὐδ' ὅλως τὰς ἐνεργείας ὡς ἑτέρας εἶναι παρὰ τὰς κινήσεις τίθεται ἡ ἀπορία, ἀλλὰ ταυτὸν ἐνέργειαν εἶναί φησι καὶ κίνησιν. ἵν' οὕτω τὸ πιθανὸν ἔχῃ ἡ ἀπορία. πρόεισιν οὖν αὐτῷ ἡ διαίρεσις τοῦτον τὸν τρόπον. ὄντος τοῦ μὲν κινοῦντος, τοῦ δὲ κινουμένου, ἢ δύο εἰσὶν ἐνέργειαι τούτων καὶ αἱ κινήσεις. ταυτὸν γὰρ ἐνέργεια καὶ κίνησις. ἢ μία ἀμφοῖν ἡ ἐνέργεια καὶ ἡ κίνησις. ὅτι δὲ ὡς ταυτὸν ἄγει τὴν ἐνέργειαν, καὶ τὴν κίνησιν ἡ ἀπορία, δῆλον δὲ ἂν ἐντεῦθεν εἴπερ, εἰ οὖν ἄμφω κινήσεις, ἐν τῷ λοιπῷ μορίῳ τῆς διαιρέσεως φησιν, ἀλλὰ μία ἔσται ἡ ἐνέργεια. τὴν αὐτὴν λαβὼν τὴν ἐνέργειαν τῇ κινήσει.

» ΕΙ δὲ δεῖ καὶ ταύτην ποίησιν καλεῖν, ὁμώνυμος ἂν εἴη.

Ἐπειδὴ ἐκ τῆς διαφορᾶς τῶν ὀνομάτων κατεσκεύασε δύο εἶναι τὰς ἐνεργείας, τῷ τὴν μὲν ποίησιν, τὴν δὲ πάθησιν λέγεσθαι, ἵνα μή τις εἴποι ὅτι οὐ καλῶ διαφόροις ὀνόμασι τὴν τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος ἐνέργειαν, ἵνα καὶ ἐκ τούτου δύο αὐτὰς ὀνομάζειν ἀναγκασθῶ. οὐδὲν γάρ μοι διαφέρει καὶ τὴν τοῦ πάσχοντος ἐνέργειαν ποίησιν καλεῖν, μίαν καὶ τὴν αὐτὴν τῇ τοῦ πάσχοντος ἐνεργείᾳ. καὶ ὅτι οὐδὲ εὑρήσεται ὅλως ἐν τῇ τῶν ἑλλήνων χρήσει τὸ τῆς παθήσεως ὄνομα, φησὶν οὖν πρὸς τοῦτο. ὅτι κἂν τοῖς αὐτοῖς ὀνόμασι τὰς ἀμφοτέρων ἐνεργείας καλέσῃ τις, οὐ συνώνυμοι ἔσονται δηλονότι, ἀλλ' ὁμώνυμοι. οὐ γὰρ δή, τὸν ὁρισμὸν τῆς τοῦ ποιοῦντος ἐνεργείας ἐπιδέξεται ἂν ἡ τοῦ πάσχοντος ἐνέργεια. ἐπεὶ ἔσται καὶ τὸ ποιοῦν πάσχον, καὶ τὸ πάσχον ποιοῦν. ὥστε τούτοις συνδιαιροῦνται καὶ αἱ φύσεις τῶν ἐνεργειῶν, κἂν ἑνὶ καὶ τῷ αὐτῷ ὀνόματι καλέσῃς τὰς ἀμφοτέρων ἐνεργείας.

» ΑΛΛΑ μὴν εἰ τοῦτο, ἡ κίνησις ἐν τῷ κινοῦντι ἔσται. ὁ γὰρ αὐτὸς λόγος ἐπὶ κινοῦντος καὶ τοῦ κινου-
» μένου. ὥστε ἢ πᾶν τὸ κινοῦν κινήσεται, ἢ ἔχον κίνησιν οὐ κινήσεται.

Εἰ δύο φησὶν οὐσῶν τῶν κινήσεων, ἡ μὲν ἔσται ἐν τῷ κινοῦντι, ἡ δὲ ἐν τῷ κινουμένῳ, ὥσπερ ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις, οὕτω καὶ ἐν τῷ κινοῦντι ἔσται κίνησις. ὥσπερ γὰρ τὸ κινούμενον ἔχει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν, οὕτω καὶ τὸ κινοῦν ἕξει κίνησιν ἐν ἑαυτῷ τὴν ἰδίαν ἐνέργειαν. ὁ γὰρ αὐτὸς λόγος ἐπ' ἀμ-

φοῖν

οὐδὲ λέγει τι πρὸς τὸν ἔλεγχον τὸν ἐλέγχοντα τὴν ὑπόθεσιν τῶν λεγόντων δύο εἶναι τὰς ἐνεργείας. ἐπειδὴ μηδὲ δοκεῖ αὐτῷ ἀληθὴς ἡ ὑπόθεσις. φησὶν ἂν μηδὲν εἶναι ἄτοπον τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι, ἀλλὰ καὶ ἀναγκαῖον ἐπὶ τῶν πρός τι τοῦτο εἶναι. ἔχομεν δὲ ἐξ ἀρχῆς κείμενον καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον τῶν πρός τι εἶναι. ἤγουν ἡ ἐνέργεια ἡ τοῦ πατρὸς οὐκ ἐν ἄλλῳ τινί ἐστιν, ἢ ἐν τῷ υἱῷ. οὐ γὰρ ἀποτέτμηται τοῦ υἱοῦ ἡ τοῦ πατρὸς ἐνέργεια, ἀλλ' ἐν τῷ υἱῷ τὸ εἶναι ἔχει. ἀρχομένη μὲν ἐκ τοῦ πατρὸς, συντελουμένη δὲ ἐν τῷ υἱῷ. οὕτω καὶ τοῦ λευκαίνοντος ἡ ἐνέργεια οὐκ ἐν ἄλλῳ τινὶ ἔσται, ἢ ἐν τῷ λευκαινομένῳ, καὶ τοῦ διδάσκοντος ἐν τῷ μανθάνοντι, καὶ καθόλου τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι. οὐδὲν γὰρ ἄλλο πάσχει τὸ πάσχον, ἢ ὅπερ ποιεῖ τὸ ποιοῦν. ἐνεργοῦντος γὰρ τοῦ ποιοῦντος, ἅμα πάσχει τὸ πάσχον. ὃ τοίνυν ποιεῖ τὸ ποιοῦν τοῦτο πάσχει τὸ πάσχον, ὃ δὲ πάσχει τὸ πάσχον τοῦτο ἐν τῷ πάσχοντί ἐστιν. ἐν τῷ πάσχοντι γὰρ τὸ πάθος. ὃ ποιεῖ ἄρα τὸ ποιοῦν, τοῦτο ἐν τῷ πάσχοντί ἐστιν. ἐν πρώτῳ σχήματι ὁ συλλογισμός. ὥστε εἰ ἡ ποίησις ἐνέργεια τοῦ ποιοῦντος, αὕτη δὲ ἐν τῷ πάσχοντί ἐστιν, ἀνάγκη ἄρα ἐπὶ τῶν πρός τι τὴν ἑκατέρου ἐνέργειαν ἐν θατέρῳ εἶναι. πρὸς δὲ τὸ δεύτερον ἄτοπον τὸ λέγον, ὅτι συμβήσεται δύο ἑτέρων τῷ εἴδει μίαν εἶναι ἐνέργειαν, φησὶν ὅτι ἐπὶ τινῶν οὐδὲ τοῦτο ἄτοπον, λέγω δὴ ἐπὶ τῶν πρός τι, ὅταν τὸ μὲν δύναμις ᾖ, τὸ δὲ ἐνέργεια, κατὰ τὴν δύναμιν ταύτην, ἀλλὰ μία ἡ τούτων ἐνέργεια τῷ ὑποκειμένῳ, οὐ τῷ λόγῳ. μία γὰρ ἡ λεύκανσις ᾗ λευκαίνει τὸ λευκαῖνον, καὶ λευκαίνεται τὸ λευκαινόμενον. καὶ τὸ θεώρημα ἐν ὃ διδάσκει ὁ διδάσκων, καὶ μανθάνει ὁ μανθάνων. καὶ ἡ δίδαξις οὖν τοῦ θεωρήματος μία, ἣν διδάσκει τὸ διδάσκον, καὶ διδάσκεται τὸ διδασκόμενον. οὐ γὰρ ἄλλο τί ἐστιν ἡ δίδαξις, ἢ τὸ ἐκ τοῦ διδασκάλου μανθάνειν. ὁμοίως δὲ καὶ ἡ μάθησις. ἀλλὰ τῷ μὲν ὑποκειμένῳ ταὐτὰ, τῷ δὲ λόγῳ οὐ ταὐτὰ, ὥσπερ ἡ ἀνάβασις καὶ ἡ κατάβασις, καὶ ἡ Θήβηθεν Ἀθήναζε, καὶ ἡ Ἀθήνηθεν Θήβαζε. μία γὰρ καὶ ἐπὶ τούτων ἡ διάστασις, ἡ κάτωθεν ἄνω, καὶ ἡ ἄνωθεν κάτω. ἀλλ' ὁ λόγος ἕτερος. ἔνθεν μὲν γὰρ ἀρχομένῳ, ἀνάβασις, ἔνθεν δὲ, κατάβασις. οὕτως οὖν καὶ ἐπὶ τοῦ ποιοῦντος καὶ πάσχοντος. μία μὲν ἡ ἐνέργεια ἀμφοῖν. ἀλλ' ἐκ μὲν τοῦδε ἀρχομένη, ποίησις λέγεται, ἐκ δὲ τοῦδε, πάθησις. καὶ ἐκ τοῦδε μὲν μάθησις, ἐκ δὲ τοῦδε δίδαξις. καὶ τοῦτο εἰκότως συνέβη. ἐπειδὴ οὐδὲν ἕτερον ποιεῖ τὸ ποιοῦν, ἢ ὅπερ ἐστὶ δυνάμει τὸ πάσχον. ἡ ἄρα ἐνέργεια τοῦ ποιοῦντος. αὕτη γὰρ ἐνέργειά τις τοῦ πάσχοντος δυνάμεως. μία ἄρα ἡ ἀμφοῖν ἐνέργεια κατὰ τὸ ὑποκείμενον, τῇ σχέσει μόνῃ τὸ διάφορον ἔχουσα. πρὸς δὲ τὸ τελευταῖον ἄπορον τὸ λέγον, ὅτι εἰ μία ἀμφοῖν ἐνέργεια ἔσται καὶ ἡ δίδαξις τῇ μαθήσει ταὐτόν. καὶ εἰ τοῦτο, ὁ διδάσκων τῷ μανθάνοντι ὁ αὐτός. πρὸς τοῦτο οὖν ἀπαντῶν, φησὶν, ὅτι οὐκ ἀνάγκη εἰ ἡ μάθησις τῇ διδάξει ταὐτὸν ἦν, ἤδη καὶ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτὸν εἶναι, καὶ τὸν διδάσκοντα τῷ μανθάνοντι. εἰ μὲν γὰρ κατὰ πάντα ταὐτὸν ἦν ἡ δίδαξις καὶ ἡ μάθησις, ὥσπερ καὶ τὸ λώπιον καὶ ἱμάτιον, ἀνάγκη τῷ ὄντι ἕπεσθαι τὰ εἰρημένα. ἐπεὶ δὲ οὐ κατὰ πάντα ταὐτά ἐστιν, ἀλλὰ τῷ μὲν ὑποκειμένῳ ταὐτὰ, τῷ δὲ λόγῳ διάφορα, οὐκ ἀνάγκη τὸν αὐτὸν εἶναι τὸν διδάσκοντα τῷ μανθάνοντι, οὐδὲ τὴν δίδαξιν τῇ μαθήσει. ἐπεὶ καὶ τῆς ἀναβάσεως καὶ τῆς καταβάσεως οὔσης μιᾶς κατὰ τὸ ὑποκείμενον, οὔτε τὸ ἀναβαίνειν, τῷ καταβαίνειν ταὐτόν ἐστιν, οὔτε ὁ ἀναβαίνων τῷ καταβαίνοντι. οὐδ' ἐπειδὴ μία ἡ διάστασις ἡ ἐξ Ἀθηνῶν εἰς Θήβας, καὶ ἐκ Θηβῶν εἰς Ἀθήνας, ἤδη που καὶ τὸ εἰς Θήβας ἰέναι ἐξ Ἀθηνῶν, ταὐτόν ἐστι τῷ ἐκ Θηβῶν εἰς Ἀθήνας. ἢ ὁ ἐκ Θηβῶν εἰς Ἀθήνας ἐρχόμενος, ὁ αὐτός ἐστι τῷ ἐξ Ἀθηνῶν εἰς Θήβας ἀπιόντι. οὕτως οὖν εἰ ἡ δίδαξις τῇ μαθήσει ἡ αὐτὴ ᾖ, οὔτε τὸ μανθάνειν ἀνάγκη τῷ διδάσκειν ταὐτὸν εἶναι, οὔτε τὸν διδάσκοντα τῷ μανθάνοντι. ὅλως γὰρ οὐδὲ ταὐτὸν κυρίως καὶ κατὰ πάντα ἡ δίδαξις τῇ μαθήσει, ἀλλὰ μόνον κατὰ τὸ ὑποκείμενον. ὥστε εἰ μὴ κατὰ πάντα ταὐτὸν ἡ δίδαξις τῇ μαθήσει, οὐδὲ τὸ διδάσκειν τῷ μανθάνειν, οὐδὲ ὁ διδάσκων τῷ μανθάνοντι. πρότερον μὲν γὰρ συνεχώρησε τὴν δίδαξιν τῇ μαθήσει ταὐτὸν εἶναι. εἶτα τὴν ἀκολουθίαν ἤλεγξεν ὡς ψευδῆ. λέγω δὴ ὅτι καὶ τὸ διδάσκειν τῷ μανθάνειν ταὐτόν. καὶ ὁ διδάσκων τῷ μανθάνοντι. ὕστερον δὲ οὐδὲ τὴν ἀρχὴν συνεχώρησε, λέγων ὅτι οὐδὲ ἡ δίδαξις τῇ μαθήσει ἡ αὐτή. οὐδὲ γὰρ τῷ ὁρισμῷ ταὐτὰ, ἀλλὰ τῷ ὑποκειμένῳ. ὥστε οὐδὲν ἄτοπον μίαν εἶναι ἐνέργειαν ἀμφοῖν, προϊοῦσαν μὲν ἐκ τοῦ ποιοῦντος, ὑφισταμένην δὲ ἐν τῷ πάσχοντι. ὥστε εἰ ἡ ἐνέργεια τοῦ κινητοῦ κίνησίς ἐστι μία καὶ ἡ αὐτὴ οὖσα καὶ τοῦ κινητικοῦ, αὕτη δὲ ἐν τῷ κινητῷ ἐστι γινομένη ὑπὸ τοῦ κινητικοῦ, τὸ δὲ κινητόν ἐστι τὸ κινούμενον, ἐν τῷ κινουμένῳ ἄρα ἡ κίνησις, καὶ οὐκ ἐν τῷ κινοῦντι. καὶ τὸ ἀπορούμενον δὲ φανερόν. ἀπορεῖται γὰρ πότερον ἡ κίνησις ἐν τῷ κινοῦντί ἐστιν, ἢ ἐν τῷ κινουμένῳ, ἢ ἐν ἀμφοῖν. ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ. ἔτι ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως δέδεικται, ὅτι ἐν τῷ κινουμένῳ ἐστὶν ἡ κίνησις, οὐκ ἐν τῷ κινοῦντι. ἔστι γάρ φησιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. καὶ τελειότερον νῦν ἀποδίδωσι τὸν τῆς κινήσεως ὁρισμόν. συμπαραλαμβάνει γὰρ καὶ τὸ αἴτιον τῆς ἐνεργείας. ἐντελέχεια γάρ φησίν ἐστι τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. ὁ μὲν γὰρ πρότερος ὁρισμὸς ὁ λέγων, ὅτι ἐστὶν ἐντελέχεια τοῦ κινητικοῦ ᾗ κινητὸν, οὔ φησιν ὑπὸ τίνος ἡ ἐντελέχεια γίνεται. ὁ δὲ προκείμενος, καὶ τοῦτο ἐμφαίνει. καὶ ἡ τοῦ κινητοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν. εἰ γὰρ ἡ κίνησις ἐντελέχειά ἐστι τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ, οὐκ ἄρα ἑτέρα ἐστὶν ἡ τοῦ κινητικοῦ ἐνέργεια παρὰ τὴν τοῦ κινητοῦ, ἀλλὰ μία καὶ ἡ αὐτὴ, τελειοῦσα μὲν τὸ ὑποκείμενον. λέγω δὴ τὸ κινούμενον. γινομένη δὲ ὑπὸ τοῦ κινοῦντος. αὕτη γάρ ἐστιν ἡ τοῦ κινητικοῦ ἐνέργεια, τὸ κινεῖν τὸ κινητόν. τὸ δὲ κινεῖν τὸ κινητὸν, τοῦτό ἐστι, τὸ κινεῖσθαι τὸ κινούμενον.

ΔΕΙ μὲν γὰρ εἶναι ἐντελέχειαν, ἀμφοῖν. κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι. κινοῦν δὲ τῷ ἐνεργεῖν.

ἐστι καὶ τὸ αὐτὸ διάστημα· ἀλλ᾽ ἔνθεν μὲν ἀρχομένοις ἀνάντης, ἔνθεν δὲ κατάντης. οὕτω καὶ ἐπὶ κινή-
σεως· μία μὲν τῷ ὑποκειμένῳ, ἀλλὰ τῇ σχέσει οὐ μία. ἀλλ᾽ ἀπὸ μὲν τοῦ κινοῦντος ἀρχομένη ποίησις
καλεῖται· ἀπὸ δὲ τοῦ πάσχοντος πάθησις. ἀλλ᾽ εἴ τι ποίησις λέγοιτο, ἐν τῷ πάσχοντι δηλονότι θεωρεῖ-
ται. τὸ γὰρ ποιοῦν εἰς πάσχον ποιεῖ. εἴ τι πάθησις, ἔτι μᾶλλον. ταῦτα εἰπὼν ἐπαπορεῖ τῷ λόγῳ· καὶ φησὶν
ὅτι οὐδὲ μία ἐστὶν ἡ ἐνέργεια ἀμφοῖν, ἀλλὰ δύο. ἄλλη γάρ τοῦ ποιητικοῦ ἡ ἐνέργεια, καὶ ἄλ-
λη ἡ τοῦ παθητικοῦ. καὶ τοῦτο δῆλον καὶ ἐκ τῶν ὀνομάτων, καὶ ἐκ τῶν τελῶν. ἡ μὲν γὰρ τοῦ ποιητικοῦ
ἐνέργεια, λέγεται ποίησις· ἡ δὲ τοῦ παθητικοῦ, πάθησις. ἔργον δὲ καὶ τέλος, τῆς μὲν ποιήσεως, τὸ ποίη-
μα· τῆς δὲ παθήσεως, τὸ πάθος. ὧν δὲ τὰ τέλη διάφορα, καὶ αἱ ἀρχαὶ διάφοροι· ὥστε δύο ἐνέργειαι καὶ
δύο αἱ κινήσεις. εἰ οὖν δύο, ἢ ἡ μὲν ἐν τῷ κινοῦντι ἔσται, ἡ δὲ ἐπὶ τῷ κινουμένῳ, ἢ ἄμφω ἐν τῷ κινουμέ-
νῳ. τὸ δὲ ἕτερον τμῆμα τῆς διαιρέσεως οὐχ ὑποτίθεται. λέγω δὴ τὸ ἄμφω εἶναι ἐν τῷ κινοῦντι, διὰ τὸ προφα-
νὲς εἶναι τὸ ἄτοπον ταύτης τῆς ὑποθέσεως. εἰ γὰρ ἄμφω ἐν τῷ κινοῦντι εἰσι, συμβήσεται τὸ μὲν κινοῦν δύο ἔχειν
κινήσεις, τὸ δὲ κινούμενον μὴ ἔχειν κίνησιν· ὅπερ ἄλογον. εἰ μὲν οὖν ἑκατέρα ἐν ἑκατέρῳ ἔσται, οἷον ἡ μὲν ποίησις ἐν
τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι· εἰ ἀνάπαλιν γὰρ οὐκ ἐνδέχεται. λέγω δὲ τὴν μὲν πάθησιν ἐν τῷ ποιοῦντι, τὴν
δὲ ποίησιν ἐν τῷ πάσχοντι· ἔσται γὰρ οὕτω τὸ μὲν πάσχον, οὐ πάσχον, ἀλλὰ ποιοῦν· τὸ δὲ ποιοῦν, οὐ ποιοῦν, ἀλλὰ
πάσχον. εἰ τοίνυν ἡ μὲν ποίησις ἐν τῷ ποιοῦντι, ἡ δὲ πάθησις ἐν τῷ πάσχοντι, ἀνάγκη πᾶσα, ὥσπερ τὸ πάσχον οὕ-
τω καὶ τὸ κινοῦν τὴν ἰδίαν ἐνέργειαν ἔχειν κίνησιν ἐν ἑαυτῷ. εἰ τοίνυν τὸ κινοῦν ἔχει κίνησιν ἐν ἑαυτῷ, ἢ κινη-
θήσεται, ἢ οὐ κινηθήσεται. εἰ μὲν οὖν κινηθήσεται, συμβήσεται πᾶν τὸ κινοῦν καὶ κινεῖσθαι. πᾶν γὰρ ἕξει τὴν ἑαυτοῦ ἐνέρ-
γειαν ἐν ἑαυτῷ. τοῦτο δὲ ἐναργῶς ψεῦδος. κινεῖ γὰρ καὶ ἡ εἰκὼν τὸν ἐραστήν, καὶ ὁ ἄρτος τὸν πεινῶντα, καὶ ὁ χόρτος
τὸν ὄνον, ἀλλὰ ἀκίνητα ὄντα. εἰ δὲ μὴ κινηθήσεται, ἔσται τι κίνησιν ἔχον μὴ κινούμενον· ὅπερ ἄλογον. εἰ δὲ ἄμφω αἱ
ἐνέργειαι ἐν τῷ κινουμένῳ εἰσὶ καὶ πάσχοντι, πρῶτον μὲν ἄτοπον, τὸ τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι. ἔπει-
τά φησι συμβήσεται δύο κινήσεις διαφερούσας κατ᾽ εἶδος, εἰς ἓν καὶ τὸ αὐτὸ τέλος ἄγειν. ὅπερ ἀδύνατον.
δύο μὲν γὰρ κινήσεις κινεῖσθαι ἑτέρας τῷ εἴδει ἐπὶ διάφορα ἀγούσας εἴδη, οὐδὲν ἀδύνατον. τὸ γὰρ αὐ-
τὸ δυνατὸν κατὰ τόπον κινεῖσθαι, καὶ ἀλλοιοῦσθαι, ἢ αὔξεσθαι, ἢ μανθάνειν. δύο μέντοι κινήσεις διαφερού-
σας κατ᾽ εἶδος, ἐπὶ ἓν καὶ τὸ αὐτὸ εἶδος ἄγειν ἀδύνατον. ἢ γὰρ ἐκ διαφόρων ἀρχῶν αἱ δύο κινήσεις εἰς ἓν
καὶ τὸ αὐτὸ πέρας ἄξουσιν, ἢ ἐκ τῆς αὐτῆς εἰς τὸ αὐτό. εἰ μὲν ἐκ διαφόρων, ἐπειδὴ ἐξ ἐναντίων πάντως εἰς ἐναν-
τία. πᾶσα γὰρ μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον. συμβήσεται δύο τῷ αὐτῷ ἐναντία εἶναι. ὅπερ ἄτοπον. ἓν
γὰρ ἑνὶ ἐναντίον. εἰ δὲ ἐκ τοῦ αὐτοῦ, ἀεὶ αἱ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ μεταβολαὶ διὰ τῶν αὐτῶν μέσων γίνεται·
οἷον ἡ ἐκ μελανότητος εἰς λευκὸν μεταβολή, ἀεὶ διὰ τοῦ φαιοῦ γίνεται μέσου. καὶ ἡ τοῦ ὕδατος εἰς ἀέρα μετα-
βολὴ διὰ μέσης τῆς ἀτμίδος. καὶ ἐπὶ πάντων ὡσαύτως. ὥστε ἀδύνατον δύο κινήσεις διαφόρους ἐκ τοῦ
αὐτοῦ εἰς τὸ αὐτὸ ἀναγαγεῖν. ἀδύνατον ἄρα ὑποτίθεσθαι τὰς ἐνεργείας, οὔτε ἑκατέραν ἐν ἑκατέρῳ, τὴν δὲ ἑτέ-
ραν ἐν τῷ λοιπῷ, οὔτε ἀμφοτέρας ἐν ἑνί. μή ποτε οὖν μία τις ἐξ ἀμφοτέρων ἐνέργεια γίνεται, ἐκ τοῦ κι-
νοῦντος φημὶ καὶ κινουμένου. ἀλλὰ καὶ ταύτῃ τῇ ὑποθέσει ἕπεται τινὰ ἄτοπα. πρῶτον μὲν γάρ φησιν αὐτὸ
τοῦτο ἄτοπον τὸ δύο πράγματα διαφέροντα κατ᾽ εἶδος, μίαν καὶ τὴν αὐτὴν ἔχειν ἐνέργειαν. ὥσπερ
τοῦ λευκαινομένου καὶ τοῦ θερμαινομένου οὐκ ἔσται μία τις καὶ ἡ αὐτὴ ἐνέργεια, οὕτως εὔλογον μηδὲ
τοῦ ποιοῦντος καὶ πάσχοντος τὴν αὐτὴν εἶναι ἐνέργειαν. ἔπειτά φησιν εἰ ἀμφοτέρων μία ἔσται ἡ ἐνέργεια,
ἔσται καὶ ἡ δίδαξις τῇ μαθήσει τὸ αὐτό. καὶ ἔτι καθολικώτερον, ἡ ποίησις τῇ παθήσει. ἐνέργειαι γὰρ καὶ αὗ-
ται. εἰ δὲ τοῦτο, καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν. ὅπερ ἐστὶν αὐτὸ τὸ ἐνεργεῖν κατὰ τὴν ἐνέργειαν. ὅταν γὰρ εἴπω
λεύκανσιν, ἢ δίδαξιν, αὐτὴν εἶπον τὴν ἐνέργειαν. ὅταν δὲ λευκαίνειν καὶ κινεῖσθαι, αὐτὸ τὸ κινεῖσθαι, καὶ
ἐνεργεῖν κατὰ τὴν ἐνέργειαν, ἢ κίνησιν. τῆς οὖν ἐνεργείας μιᾶς καὶ τῆς αὐτῆς οὔσης, καὶ τὸ κατ᾽ αὐτὴν ἐνερ-
γεῖν, ἓν ἔσται καὶ τὸ αὐτό. εἰ δὲ τοῦτο, καὶ ὁ ἐνεργῶν εἷς ἔσται καὶ ὁ αὐτός. οὐκοῦν καὶ ὁ διδάσκων τῷ μαν-
θάνοντι καὶ ὁ ποιῶν τῷ πάσχοντι ὁ αὐτὸς ἔσται. συμβήσεται οὖν τὸν διδάσκοντα καθὸ διδάσκει μανθά-
νειν, καὶ τὸν ποιοῦντα πάσχειν. ὅπερ ἄτοπον. καὶ ἄλλως, ὅπερ αὐτὸς μὲν ἐν τῇ ἀπορίᾳ οὐ προστίθησιν, ὡς
ἤδη ἐν τῇ προτέρᾳ ὑποθέσει τῇ λεγούσῃ δύο ἐνεργείας εἶναι θεὶς αὐτό. ἐν μέντοι τῇ λύσει, ὡς τοῦτο θεὶς
τὸ ἄτοπον, ἐπιλύεται αὐτό. ἡ γὰρ μία αὕτη ἐνέργεια ἔν τινι ἔσται. ἢ γὰρ ἐν τῷ κινοῦντι, ἢ ἐν τῷ κινουμέ-
νῳ. ἀλλ᾽ ἐν μὲν τῷ κινοῦντι ἄλογον. ἔσται γὰρ τὸ κινούμενον μὴ ἔχον κίνησιν. καὶ πῶς κινηθήσεται τὸ μὴ
ἔχον κίνησιν. εἰ δὲ ἐν τῷ κινουμένῳ, ἄτοπον πάλιν τὴν ἄλλου ἐνέργειαν ἐν ἄλλῳ εἶναι, καὶ μὴ ἐν ἑκά-
στῳ τὴν ἰδίαν ἑκάστου ἐνέργειαν εἶναι. οὕτως ἀπορήσας πρὸς τὸν λόγον, ἐπιλύεται ἐφεξῆς τὰς ἀπο-
ρίας. πρὸς μὲν τὴν ὑπόθεσιν τὴν ὑποτιθεμένην δύο εἶναι τὰς ἐνεργείας, καὶ τὰ ἑπόμενα ταύτῃ ἄτο-
πα, οὐδέν φησι· διότι μηδὲ ἀληθὴς ἡ ὑπόθεσις, καὶ τὰ ἑπόμενα αὐτῇ ἄτοπα, ἔλεγχός ἐστι καὶ οὐκ ἀπο-
ρία. τὰ δὲ ἑπόμενα ἄτοπα τῇ ὑποθέσει τῇ ἑτέρᾳ τῇ λεγούσῃ μίαν εἶναι τὴν ἐνέργειαν ἀμφοῖν, ἐπι-
λύεται, ἐπειδὴ καὶ ἀληθὴς αὐτῷ δοκεῖ εἶναι αὕτη ἡ ὑπόθεσις. καὶ πρῶτόν γε τὸν λόγον τὸν λέγοντα
ὅτι ἡ ἄλλου ἐνέργεια ἐν ἄλλῳ ἔσται, ἐπιλύεται. ὃν ἐν μὲν τῇ ἀπορίᾳ ὡς ἑπόμενον τῇ προτέρᾳ ὑπο-
θέσει τῇ λεγούσῃ δύο εἶναι τὰς ἐνεργείας, καὶ ταύτας ἐν τῷ κινουμένῳ, ἔθηκεν. ἐν δὲ τῇ λύσει, ὡς
ἑπόμενον καὶ τῷ μίαν λέγειν εἶναι ἐνέργειαν, καὶ ταύτην ἐν τῷ κινουμένῳ, ἐπιλύεται. ὡς γὰρ εἶπον

οὐδὲ

δὴ ἕκαστον τῶν ἐναντίων ἀρχὴ μὲν οὐκ εἰς ἄλλο τι ἢ εἰς τὸ ἐναντίον. ἔστι δὲ πάντως δυνάμει, ὥσπερ τὸ ἐναντίον. ἐπεὶ οὖν τὸ θερμὸν δυνάμει ἐστὶ ψυχρόν. ποιεῖ δὲ τὸ θερμὸν εἰς τὸ ψυχρὸν ἕκαστον αὐτοῦ. τὸ δὲ δυνάμει προσπελάσαν τῷ ἐνεργείᾳ ἄγεται εἰς ἐνέργειαν, ἀνάγκη πάσχειν ὑπὸ τοῦ ψυχροῦ τὸ δυνάμει ψυχρόν. ὥστε ἀνάγκη τὸ θερμὸν ποιοῦν καὶ ἀντιπάσχειν.

ΔΙΟ ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ, ᾗ κινητόν. συμβαίνει δὲ τοῦτο, θίξει τοῦ κινητικοῦ. ὥστε ἅμα καὶ πάσχει. ἀκριβέστερον ἐκ τῶν ἀρχομένων τὸν ὁρισμὸν τῆς κινήσεως ἀποδίδωσιν, οὐ τοῦ δυνάμει ἁπλῶς ἐντελέχειαν εἶναι λέγων, ἀλλὰ τοῦ κινητοῦ. φαίη γάρ ἄν τις πρὸς τὸν πρότερον ὁρισμὸν ἐνιστάμενος, ὅτι τὸ δυνάμει δεξιὸν ὅταν γένηται δεξιόν, ἐνεργείᾳ μεταστάντος ἐμοῦ φέρε πρὸς τὰ εὐώνυμα, μεταβάλλει μὲν εἰς ἐντελέχειαν ἐκ τοῦ δυνάμει, οὐ κινεῖται δέ. λέγεται μὲν οὖν καὶ τοῦτο καλῶς πρὸς τοὺς τοῦτο ἀποροῦντας, ὅτι τὸ δυνάμει εὐώνυμον ἐκινήθη μόνον, καὶ οὐ τὸ δυνάμει δεξιόν. ἔτι ὅτι μία ἐστὶ τῶν πρός τι ἡ δύναμις. αὕτη γὰρ ἡ σχέσις αὐτῶν ἡ πρὸς ἄλληλα, ἡ δύναμίς ἐστιν, ἡ ἐνέργεια. ἐνέργεια μὲν αὐτῆς τῆς παρούσης σχέσεως, δυνάμεως δὲ τῆς ἀντικειμένης. ἐφ᾽ ὧν γε ὅλως τὴν ἀντιστροφὴν δυνατὸν γενέσθαι. ἐκεῖ μὲν οὖν πατρὸς, καὶ υἱοῦ, ἐπεὶ μὴ δυνατὸν τὸν υἱὸν πατέρα τοῦ πατρὸς γενέσθαι, οὐδὲ δυνάμει ἡ ἀντικειμένη σχέσις ἐστὶ τῶν αὐτῶν. ἐπὶ δὲ τοῦ δεξιοῦ, καὶ ἀριστεροῦ, καὶ τῶν ὁμοίων, ἡ μία σχέσις ἐνέργεια μέν ἐστι τῆς παρούσης θέσεως, δυνάμεις δὲ τῆς ἀντικειμένης. εἰ τοίνυν μία ἐστὶ τῶν πρός τι ἡ σχέσις, ἐν ᾗ καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν, καὶ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν πρὸς ἄλληλά τε ἐστὶ καὶ λέγεται, ἀνάγκη τοῦ πάντως θατέρου κινηθέντος, καὶ τὸ λοιπὸν κινηθῆναι. τὸ γὰρ δεξιὸν καὶ ἀριστερὸν, ἐν τῇ τοιᾷδε σχέσει τὸ εἶναι ἔχει. τῆς σχέσεως οὖν κινηθείσης, καὶ ἄμφω τὰ κατὰ ταύτην τὸ εἶναι ἔχοντα, κεκινημένα ἂν εἴη. ὅλως δέ φησιν ὁ Θεμίστιος τὴν τῶν πρός τι ἐνέργειαν μὴ διασώζειν τὸ δυνάμει, ὥσπερ ἡ κατὰ τὴν ἀλλοίωσιν ἐνέργεια διασώζει τὸ δυνάμει ἐν τῇ μεταβολῇ τῇ ἐκ τῆς δυνάμεως εἰς τὴν τελείαν ἐνέργειαν, ἀλλ᾽ ἀθρόον γίνεσθαι τὴν μεταβολὴν τὴν ἐκ τῆς δυνάμεως εἰς τὴν ἐντελέχειαν. μία γοῦν ἐπ᾽ αὐτῶν ἐνέργεια θεωρεῖται ἡ κυρίως τε καὶ ἀτελὴς. ἡ δὲ ἀτελὴς, οὐκ ἔστι. οὐ γὰρ κατ᾽ ὀλίγον δεξιὸν γίνεται τὸ ἀριστερὸν μεταχινούμενον πρὸς τὰ εὐώνυμα, ἀλλ᾽ ἀχρόνως. κἀγὼ δὲ ἐπὶ τὰ ἀριστερὰ μεθιστάμενος, κινοῦμαι μὲν κατὰ τόπον, οὐ κινοῦμαι δὲ κατὰ τὸ πρός τι. πρῶτον οὖν ἐπὶ τῶν τοιούτων διὰ τὴν ἐνέργειαν τὴν ἐντελῆ δεικνύναι, εἶτα οὕτω τὸν ὁρισμὸν ἐλέγχειν, ὅτι ἄγεται ἐκ δυνάμεως εἰς ἐνέργειαν, οὐ διὰ κινήσεως. ἀλλ᾽ αὕτη μὲν ἡ ἀπορία οὕτω διητήσθω. ἐπειδὴ δὲ τὸ μὲν δυνάμει ἐν πάσαις ταῖς κατηγορίαις ἐστὶν, ἡ δὲ κίνησις οὐκ ἐν πάσαις, εἰκότως μεθαρμόζει τὸν λόγον ὁ Ἀριστοτέλης, καὶ ὅτι ὅπερ ἤδη εἶπον τὸ ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν ἄγεσθαι, οὐ μόνον ἐπὶ τῆς ἀτελοῦς ἐνεργείας λέγεται, λέγω δὴ τῆς ἐκ τοῦ προτέρου δυνάμει εἰς τὸ πρότερον ἐνεργείᾳ, ἀλλὰ καὶ ἐπὶ τῆς τελείας τῆς ἐκ τοῦ δευτέρου δυνάμει εἰς τὸ δεύτερον ἐνεργείᾳ. καὶ μή τις ἐπιλαμβάνεται τούτου τοῦ ὁρισμοῦ, διότι τὴν κίνησιν ἐκ τοῦ κινητοῦ πειρᾶται δεικνύναι. οὐ γὰρ διὰ τῶν αὐτῶν τὰ αὐτὰ δείκνυσι. μάλιστα μὲν γὰρ ἐπειδὴ ἡ κίνησις τῶν πρός τι ἐχομένων. γὰρ καὶ τοῦτο ὡμολογημένον ἐν τοῖς ἔμπροσθεν. καὶ ἔστι πρὸς τὸ κινητόν. ἡ γὰρ κίνησις τοῦ κινητοῦ ἐστι κίνησις. ἀδύνατον αὐτὴν ἄλλως ὁρίσασθαι μὴ παραλαβόντας τὸ πρὸς ὅ ἐστιν. ὥσπερ οὐδὲ πατέρα χωρὶς υἱοῦ, οὐδὲ διπλάσιον χωρὶς ἡμίσεος. ἔπειτα καὶ γνωριμώτερον τὸ κινητὸν τῆς κινήσεως. οὐ γὰρ ταυτὸν εἰδέναι ὅτι κίνησις, καὶ τί ἐστι. τὸ μὲν γὰρ, ἅπασι γνώριμον. τὸ δὲ τί ἐστι, καὶ ἡμᾶς νῦν ζητοῦμεν. ἀλλὰ καὶ ὅτι ἔστι κίνησις, ἀπὸ τῶν κινουμένων γνώριμον. ταῦτα δέ ἐστι τὰ κινητά. ὥστε ὁ τῷ κινητῷ πρὸς τὸν ὁρισμὸν τῆς κινήσεως χρώμενος, τῷ γνωριμωτέρῳ πρὸς τὸ ἀγνωστότερον κέχρηται.

ΕΙΔΟΣ δὲ ἀεὶ οἴσεταί τι τὸ κινοῦν, ἤτοι τόδε, ἢ τοιόνδε, ἢ τοσόνδε, ὃ ἔσται ἀρχὴ καὶ αἴτιον τῆς κινήσεως ὅταν κινῇ. οἷον, ὁ ἐντελεχείᾳ ἄνθρωπος ποιεῖ ἐκ τοῦ δυνάμει ὄντος ἀνθρώπου ἄνθρωπον.

Τὸ κινοῦν φησι, πάντως εἶδός τι ἕξει ἐν τῶν δέκα κατηγοριῶν. τοῦτο γάρ ἐστιν αἴτιον, καὶ ἀρχὴ τῆς κινήσεως. ἡ μὲν γὰρ ὕλη παθητικὸν, ποιητικὸν δὲ τὸ εἶδος. ἀνάγκη ἄρα τὸ κινοῦν εἶδός τι ἔχειν, ὅπερ καὶ αἴτιον αὐτῷ τοῦ κινεῖν ἐστι.

ΚΑΙ τὸ ἀπορούμενον δὲ φανερὸν, ὅτι ἔστιν ἡ κίνησις ἐν τῷ κινητῷ. ἐντελέχεια γάρ ἐστι τούτου, καὶ ὑπὸ τοῦ κινητικοῦ. καὶ ἡ τοῦ κινητικοῦ δὲ ἐνέργεια, οὐκ ἄλλο ἐστί.

Τὸ προκείμενόν ἐστιν ἐν τούτοις ζητῆσαι, ὅτι ὄντος τοῦ κινοῦντος καὶ τοῦ κινουμένου, καὶ τῆς κινήσεως, πότερον ἡ κίνησις ἐν τῷ κινοῦντί ἐστιν, ἢ ἐν τῷ κινουμένῳ. καὶ κατασκευάζει τοῦτο ἐκ τοῦ ὁρισμοῦ τῆς κινήσεως. ἔστι γάρ φησιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ὑπὸ τοῦ κινητικοῦ. εἰ τοίνυν ἡ κίνησις ἐντελέχειά ἐστι τοῦ κινητοῦ, ἡ δὲ ἐντελέχεια ἑκάστου ἐν ἐκείνῳ ἐστὶν οὗ καὶ ἔστιν ἐντελέχεια, ἡ κίνησις ἄρα ἐν τῷ κινητῷ ἐστι. κινεῖται δὲ τὸ κινητόν. ἡ κίνησις ἄρα ἐν τῷ κινουμένῳ ἐστί. καὶ ὅλως ἐν τούτῳ ἐστὶ τὸ δυνάμει οὗ ἡ κίνησις ἐνέργειά ἐστιν. εἰ δὲ ἔστι καὶ τοῦ κινοῦντος ἐνέργειά τις φησιν, ἀλλ᾽ οὐχ ἑτέρα ἐστὶν αὕτη παρὰ τὴν τοῦ κινουμένου ἐνέργειαν. οὐδ᾽ ἀποτετμημένη αὐτοῦ, ἀλλ᾽ ἐν αὐτῷ τὸ εἶναι ἔχουσα. γινομένη μὲν ὑπὸ τοῦ κινοῦντος, ὑπάρχουσα δὲ ἐν τῷ κινουμένῳ. οὐ γὰρ ἄλλη μὲν γίνεται ὑπὸ τοῦ κινοῦντος, ἄλλη δέ ἐστιν ἐν τῷ κινουμένῳ. ἀλλὰ μία οὖσα, ἅμα τε τὸ κινητικὸν κινοῦν ποιεῖ, καὶ τὸ κινητὸν κινούμενον. μία μὲν οὖν ἡ ἀμφοῖν ἐνέργεια. μία δὲ τῷ ὑποκειμένῳ, οὐ τῷ λόγῳ. ἀλλ᾽ ὥσπερ τὸ ἄναντες, καὶ τὸ κάταντες, ἐν μιᾷ

κίνησιν αἴτιον, καὶ αὐτὴ τῷ στερητικῷ εἶναι ἀόριστος. εἰκότως οὖν διὰ τὸ ἀόριστον εἶναι τὴν κίνησιν, ὑπὸ τὴν
ἀόριστον συζυγίαν ἀνῆγον αὐτήν. δυνατὸν δὲ τὸ μὴ ὂν λέγοντας εἶναι τὴν κίνησιν, μᾶλλον ἂν αὐτῆς ἀπτέ
σθαι, τὸ μὴ ὂν αὐτὴν οὔπω λέγειν, οὐχ ὡς μηδαμῇ μηδαμῶς ὄν, ἀλλ' ὡς τοῦ κινουμένου μηδέπω τούτου
κατ' ἐνέργειαν ὄντος ἐφ' ὃ κινεῖται, ἀλλ' ἀτελοῦς ἔτι. τοιοῦτον γὰρ καὶ ἡμεῖς τὸ δυνάμει λέγομεν.

» ΟΥΤΕ γὰρ τόδε, οὔτε τοιόνδε, οὐδεμία αὐτῶν ἐστίν, ὅτι οὐδὲ τῶν ἄλλων κατηγοριῶν. τοῦ δὲ δο
» κεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον, ὅτι οὔτε εἰς δύναμιν τῶν ὄντων, οὔτε εἰς ἐνέργειαν ἔστι θεῖναι αὐ
» τὴν ἁπλῶς. οὔτε γὰρ τὸ δυνατὸν εἶναι ποσὸν κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν. ἥτε κίνησις,
» ἐνέργεια μὲν τις εἶναι δοκεῖ, ἀτελὴς δέ. αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατόν, οὗ ἐστιν ἐνέργεια κίνησις.

Ζ ητοῦσιν ἐνταῦθα οἱ ἐξηγηταὶ πῶς φησὶν ὁ Ἀριστοτέλης τὴν στέρησιν ἀόριστον εἶναι διὰ τὸ ὑπὸ μηδεμίαν τῶν
κατηγοριῶν ἀνάγεσθαι. καίτοι τῶν ἐναντίων τὰ αὐτὰ ἐστὶ γένη. καί φασιν ὅτι ἡ μὲν ἑκάστου στέρησις τῷ
ὄντι ἡ προσεχῶς ἀντικειμένη αὐτῷ, ἐξ ἧς καὶ εἰς τὴν ἕξιν γίνεται μεταβολή, ὑπὸ τὸ αὐτὸ γένος ἀνάγεται
ὑφ' ὃ καὶ ἡ ἕξις. ἀλλ' ἐπειδὴ τὸ οὐκ ἄνθρωπος, καὶ τὸ οὐχ ἵππος, καὶ πάντα τὰ τοιαῦτα στερητικά. νῦν
γὰρ τὴν ἀπόφασιν ἀντὶ τῆς στερήσεως λαμβάνει, οὐ γάρ ἐστιν ἐπὶ τούτων στερητικῶς ὀνομάσαι τὸ ἀντικεί
μενον τῷ εἴδει. ἐν μὲν ἀναιροῦσιν εἶδος. οὐδὲν δὲ ὡρισμένον εἰσφέρουσιν, οὐ μόνον εἶδος, ἀλλ' οὐδὲ στέρησιν, διὰ
τοῦτό φησιν ὅτι οὐκ ἔστιν ὑπ' οὐδεμίαν τῶν κατηγοριῶν ἀναγαγεῖν τὴν στέρησιν. οὐχ ὅτι οὐκ ἀνάγεται,
ἀλλ' ὅτι εἰς ὡρισμένον οὐκ ἔστιν ἀναγαγεῖν. τὸ γὰρ οὐκ ἄνθρωπος, δύναται εἶναι καὶ οὐσία ἄλλη παρὰ τὸν ἄν
θρωπον, καὶ ποσόν, καὶ ποιόν, καὶ ἕκαστον τῶν ἄλλων. φησὶν οὖν ὅτι ὑπ' οὐδεμίαν δυνατὸν ὡρισμένως ἀνα
γαγεῖν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν αἴτιον λαβών, ὅτι ἀόριστος ἡ κίνησις, καὶ τὴν αἰτίαν τῆς πλάνης
τοῖς Πυθαγορείοις τοῦ περὶ κινήσεως λόγου ἐντεῦθεν εἰρηκὼς εἶναι, νῦν αὐτὸ τοῦτο κατασκευάζει. ὅτι ἀό
ριστος ἡ κίνησις ἐκ τοῦ διαιρεῖν τὰ ὄντα εἰς τὰ δυνάμει, καὶ τὰ ἐνεργείᾳ, καὶ δεῖξας ὅτι ὑπ' οὐδέτερον κυ
ρίως ἡ κίνησις ἀναχθήσεται. οὔτε γὰρ τὸ ἐνεργείᾳ ὂν οὐσία, ἢ ποσόν, ἢ τῶν ἄλλων τι, εὐθὺς καὶ κινεῖται. οὔτε
μὴν τὸ δυνάμει. οὐδὲ γὰρ τὸ δυνάμει λευκὸν ἀνάγκη εὐθὺς καὶ κινεῖσθαι. τούτων μὲν οὖν οὐδὲν ἡ κίνη
σις, οὔτε ἐνέργεια ἁπλῶς, οὔτε δύναμις, ἀλλὰ μέσον τι τούτων. ἐνέργεια μέν τις, ἀτελὴς δέ, καὶ οὐκ
ἀπηλλαγμένη τοῦ δυνάμει. διὰ τοῦτο οὖν ἀόριστον. ἐπεὶ εἰς οὐδὲν τῶν ὄντων, τῶν τε δυνάμει φημὶ ὄντων
καὶ τῶν ἐνεργείᾳ, εἰς ταῦτα γὰρ τὰ ὄντα διῄρηται, δυνατὸν αὐτὴν ἀναγαγεῖν εἰλικρινῶς.

» ΚΑΙ διὰ τοῦτο δὴ χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν. ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι, ἢ εἰς δύναμιν,
» ἢ εἰς ἐνέργειαν ἁπλῆν. τούτων δ' οὐδὲν φαίνεται ἐνδεχόμενον.

Δ είξας ὅτι οὐχ ὑγιῶς τὸν περὶ κινήσεως οἱ παλαιοὶ λόγον ἀποδεδώκασι, καὶ ἐκ ποίας αἰτίας εἰς τοῦτο ἦλ
θον, νῦν τὸ λοιπὸν τῶν προβλημάτων κατασκευάζει, ὅτι μηδὲ ἄλλως αὐτὴν δυνατὸν ὁρίσασθαι. εἰ γὰρ συγ
χωρήσαι τις εἰς δύναμιν, καὶ ἐνέργειαν, καὶ στέρησιν τὰ ὄντα διαιρεῖσθαι, εἰς οὐδὲν τούτων δυνατὸν θεῖ
ναι τὴν κίνησιν. καὶ ὅτι μὲν οὔτε εἰς δύναμιν, οὔτε εἰς ἐνέργειαν, δῆλον. ὅτι δὲ οὐδὲ εἰς στέρησιν, τῷ αὐτῷ
τρόπῳ δῆλον ἂν εἴη. πολλὰ γάρ ἐστι στερήσεως μὲν μετέχοντα, κινήσεως δὲ οὔ.

» ΛΕΙΠΕΤΑΙ τοίνυν ὁ εἰρημένος τρόπος, ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δ' ἐνέργειαν, οἵαν εἴπομεν
» χαλεπὴν μὲν ἰδεῖν, ἐνδεχομένην δὲ εἶναι.

Ἀ νελὼν τὰς ἤτοι νομισθείσας δόξας περὶ κινήσεως, ἤτοι νομισθῆναι δυναμένας, τῇ ἀναιρέσει πασῶν, τὴν
αὐτὸς εἶπεν ὡς ἀληθῆ οὖσαν καταλιμπάνει. διττῆς δὲ οὔσης τῆς ἐνεργείας, τῆς μὲν κατὰ τὴν ἀπόληψιν τοῦ
τελείου εἴδους. οἷον ἡ ὁρατικὴ τοῦ ὀφθαλμοῦ ἐνέργεια, καθ' ἣν ἤδη τὸ ὁρᾶν καὶ ἐνεργεῖν ἀπείληφε. τῆς
δὲ τοῦ δυνάμει, ἐν τῷ πράγματι σωζούσης αὐτὸ τὸ δυνάμει. οἷον ἐπὶ τοῦ πυρὸς κίνησις. καὶ γὰρ ὅταν φέρη
ται, ἔτι ἔχει τὴν δύναμιν τὴν ἐπὶ τὸ ἄνω φορᾶς. τὴν μὲν προτέραν, οὔ φημι κίνησιν. στάσει γὰρ καὶ ἠρεμίᾳ
μᾶλλον ἀναλογεῖ. τὴν δευτέραν δέ, ἐνέργειαν μὲν οὖσαν, διότι ὅλως ἐκβέβηκε τὸ δυνάμει, ἀτελῆ δὲ διότι
οὐκ ἀπήλλακται πάντη τοῦ δυνάμει, ἀλλ' ἔτι συνεφέλκεται. αὐτὸ γὰρ τὸ κινούμενον ἐπὶ τὸ ἄνω, ἔχον
ἔτι τὴν δύναμιν τοῦ ἐπὶ τὸ ἄνω κινεῖσθαι, οὕτω κινεῖται.

» ΚΙΝΕΙΤΑΙ δὲ καὶ τὸ κινοῦν, ὥσπερ εἴρηταί που, τὸ δυνάμει ὂν κινητόν, καὶ οὗ ἡ ἀκινησία
» ἠρεμία ἐστίν. ᾧ γὰρ ἡ κίνησις ὑπάρχει, τούτῳ ἡ ἀκινησία ἠρεμία.

Ἐ ντεῦθεν τὸν περὶ τῶν κινούντων καὶ κινουμένων ἀναλαμβάνει λόγον, καὶ φησὶν ὅτι πᾶν τὸ κινοῦν ὅπερ πέφυκε κινεῖν
καὶ δυνάμει ἐστὶ κινητόν, τοῦτο πάντως κινοῦν καὶ αὐτὸ κινεῖται. ταῦτα δέ φημι τῶν κινούντων τὰ δυνάμει κι
νητά, ὧν ἡ ἀκινησία ἠρεμία ἐστί. δείκνυσι δὲ ταῦτα ἐν τοῖς ὑστέροις τῆς πραγματείας ταύτης.

» ΤΟ γὰρ πρὸς τοῦτο ἐνεργεῖν ᾗ τοιοῦτον, αὐτὸ τὸ κινεῖν ἐστι. τοῦτο δὲ ποιεῖ θίξει. ὥστε ἅμα καὶ πάσχει.

Ϛ ἰπὼν ποῖά ἐστι τὰ κινοῦντα, καὶ κινούμενα, ὅτι τὰ πεφυκότα κινητικὰ εἶναι καὶ κινητὰ ὄντα, τοιαῦτα δέ
ἐστιν ὧν ἡ ἀκινησία ἠρεμία, τίνα τρόπον τὰ τοιαῦτα κινοῦντα καὶ ἀντικινεῖται διδάσκει. πρῶτον δέ φησι
τί ἐστι τὸ κινεῖν, ὅτι τὸ πρὸς τοῦτο ἐνεργεῖν ᾗ τοιοῦτόν ἐστι, τουτέστιν. οἷον τὸ ἐνεργεῖν περὶ τὸ θερμαντὸν κα
θὸ θερμαντόν. τοῦτο δ' ἐστὶ τὸ θερμαίνειν αὐτό. τὸ δὲ πρὸς τοῦτο ἐνεργεῖν οὐκ ἄλλως, ἢ θίξει γίνεται τοῦ τε
ἐνεργοῦντος, καὶ τοῦ πάσχοντος. ἐπεὶ οὖν ἐστι τὸ ἐνεργοῦν, οὐ μόνον ἐνεργείᾳ τόδε τι, ἀλλὰ καὶ δυνάμει
ἄλλο, ἀνάγκη τὸ δυνάμει τὸ ἐν τῷ κινοῦντι θιγόντων ἀλλήλοις παθεῖν ὑπὸ τῆς ἐνεργείας τοῦ ἐν τῷ
κινουμένῳ. τοῦτο δ' ἐστὶν ἡ κίνησις. ὥστε πάντως ἀντικινηθήσεται. ἀντικινεῖται δὲ ὑπὸ τοῦ πάσχοντος. ἐπεὶ

δὴ

εἶδος ἀπειληφυῖαν, ἀλλὰ τὸ ἔτι τὸ δυνάμει φυλάττουσαν. καὶ διὰ τοῦτο ἀτελῆ μὲν, ὡς ἐπέχουσαν τὸ δυνάμει. ἐντελέχειαν δὲ διότι ὅλως κεκίνηται ἐκ τοῦ δυνάμει ἐπὶ τὴν τελείαν ἐνέργειαν. ταῦτα εἰπὼν πρὶν τέλος ἐπιθεῖναι τῷ περὶ κινήσεως λόγῳ, ἐπιθήσει δὲ ἐφεξῆς ἐπὶ τέλει ὅτι ἡ κίνησις οὐκ ἔστιν ἐν τῷ κινοῦντι. ἀλλ' ἐν τῷ κινουμένῳ, ἀναλαμβάνει τὸν περὶ τῶν κινούντων λόγον καὶ κινουμένων, καὶ ζητεῖ ποῖά ἐστι τῶν κινούντων, ἃ καὶ κινεῖται, καὶ ἀντικινεῖται. καὶ ζητεῖ μὲν τούτων τελεώτερον καὶ ἐν τῇ περὶ γενέσεως πραγματείᾳ, καὶ ἐν τῇ περὶ ψυχῆς. καὶ ἐνταῦθα δέ φησιν ὅτι ταῦτά ἐστι τὰ κινοῦντα, καὶ ἀντικινούμενα, ἃ πρὸς τῷ κινητικὰ εἶναι, καὶ κινητά ἐστι. τίνα δέ ἐστι φησὶ ταῦτα; ὧν ἡ ἀκινησία φησὶν ἠρεμία ἐστίν. οἷς γὰρ ἡ κίνησις ὑπάρχει, ταῦτα ὅταν μὴ κινῆται ἠρεμεῖν λέγεται. ἃ γὰρ μὴ πέφυκε κινεῖσθαι, τούτων ἡ ἀκινησία οὐ λέγεται ἠρεμία, ἀλλ' αὐτὸ τοῦτο ἀκινησία, καὶ στάσις. ἑκάτερα δὴ τὰ τοιαῦτα καὶ κινεῖ, καὶ κινεῖται. ἔχει γὰρ τὸ δυνάμει. δεῖ γὰρ αὐτὰ ἐξ ἠρεμίας ἐνεργῆσαί ποτε καὶ κινηθῆναι. τίνι δὲ τρόπῳ τὰ τοιαῦτα καὶ κινεῖ, καὶ κινεῖται. καὶ φησὶν ὅτι δεῖ τὸ κινοῦν καὶ κινούμενον θιγεῖν ἀλλήλων. θιγγάνοντα δὲ, καθὸ μὲν ἐνεργείᾳ ἑκάτερόν ἐστι, ποιήσει εἰς τὸ ἕτερον. καθὸ δὲ δυνάμει πείσεται. καὶ τὰ οὐράνια μὲν οὖν θίξει κινεῖ τὰ τῇδε. ἀλλ' οὐκ ἀντιπάσχει ὑπ' αὐτῶν, διότι μὴ ἔστι δυνάμει κινητά, ἀλλ' ἐνεργείᾳ καὶ κινητά, καὶ κινητικά, καὶ τοῦτο τὴν κατὰ τόπον κίνησιν. κατὰ δὲ τὰς ἄλλας κινήσεις, οὔτε δυνάμει, οὔτε ἐνεργείᾳ κινητά ἐστι τὰ οὐράνια. καὶ συντόμως εἰπεῖν, ὡς αὐτὸς ἐν τῇ περὶ γενέσεως εἶπε, ταῦτά ἐστι τὰ ἐν τῷ κινεῖν ἀντιπάσχοντα, ὅσα ὁμόυλά ἐστι. τῷ γὰρ τὴν κοινὴν τῶν ἐν γενέσει ὕλην πάντα εἶναι δυνάμει, συμβαίνει τὸ ποιοῦν ἀπὸ μὲν τοῦ πάσχοντος, δρᾶν μὲν κατὰ τὸ ἐνεργείᾳ τὸ ἐν ἑαυτῷ, δυνάμει δὲ τὸ ἐν ἐκείνῳ. πάσχειν δὲ καὶ αὐτὸ ὑπ' ἐκείνου κατὰ τὸν αὐτὸν λόγον. οἷον τὸ θερμὸν ψυχρῷ παρακείμενον θερμαίνει μὲν ἐκεῖνο καθὸ ἐνεργείᾳ ἐστὶ θερμόν, ἐκείνου δυνάμει ὄντος θερμοῦ. ἀντιπάσχει δὲ ὑπ' αὐτοῦ, καθὸ αὐτὸ μὲν δυνάμει ἐστὶ ψυχρόν, ἐκεῖνο δὲ ἐνεργείᾳ. μετὰ ταῦτα ὁρίζεται τὴν κίνησιν τελεώτερον, ὅτι ἔστιν ἡ κίνησις ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητοῦ. ὁ μὲν γὰρ πρότερος ὁρισμός, ὁ λέγων ὅτι ἔστιν ἐντελέχεια τοῦ δυνάμει, ᾗ τοιοῦτόν ἐστι, περιλαμβάνοι ἂν καὶ τὴν τελείαν ἐνέργειαν. καὶ γὰρ δυνάμεις, καὶ ἡ προτέρα λέγεται. ἡ κατὰ τὴν ἐπιτηδειότητα, καὶ ἡ δευτέρα ἡ κατὰ τὴν ἕξιν. ἧς ἡ ἐνέργεια οὐ κίνησίς ἐστιν, ἀλλὰ τελεία τοῦ εἴδους ἀπόληψις. κίνησις δὲ ἡ ἐκ τῆς προτέρου δυνάμεως εἰς τὸ πρότερον ἐνεργείᾳ μεταβολή. ὥστε κυριώτερος ὁ νῦν ἀποδοθεὶς τῆς κινήσεως ὁρισμὸς τὴν δευτέραν δύναμιν.

ΟΥ῎ΤΕ γὰρ, τὴν κίνησιν, καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτ' ἄν τις.

Ἐπειδὴ εἰς γένος τὴν ἐντελέχειαν ἀνήγαγε τὴν κίνησιν, φησὶν ὅτι οὐ δυνατὸν ὑπὸ ἄλλο τι γένος ἀναγαγεῖν τὴν κίνησιν, ἢ ὑφ' ὃ ἡμεῖς ἀνηγάγομεν.

ΔΗΛΟΝ δὲ σκοποῦσιν ὡς τιθέασιν ἔνιοι αὐτὴν, ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν.

Ἐλλιπῶς εἴρηται. δύο γὰρ προβλήματα θεὶς, τό, τε τοὺς ἄλλους μὴ καλῶς περὶ κινήσεως εἰρηκέναι, καὶ τὸ μὴ ἂν ἄλλως ἀποδοῦναι δύνασθαι τὸν περὶ αὐτῆς λόγον, ἐν τῇ εἰσβολῇ τῆς κατασκευῆς ἀνταποδιδοὺς πρὸς τὸ πρότερον πρόβλημα, καὶ εἰπὼν, οὔτε γὰρ τὴν κίνησιν, καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει δύναιτο ἄν τις θεῖναι, μὴ ἀνταποδιδοὺς δὲ πρὸς τὸ δεύτερον, ἐπήγαγε τὴν κατασκευὴν, ὡς ἀνταποδεδωκώς. δῆλον δέ φησι σκοποῦσιν, ὡς τιθέασιν αὐτὴν ἔνιοι, ἑτερότητα, καὶ ἀνισότητα, καὶ τὸ μὴ ὂν φάσκοντες εἶναι τὴν κίνησιν. διὸ δεῖ προσθεῖναί τι ἔξωθεν, ἵνα ἀνελλιπῆ τὸν λόγον ποιήσωμεν. μετὰ γὰρ τὸ οὔτε τὴν κίνησιν, καὶ τὴν μεταβολὴν ἐν ἄλλῳ γένει θεῖναι δύναιτο ἄν τις, προσθετέον, οὔτε οἱ ἄλλως εἰρηκότες περὶ κινήσεως κατορθοῦσιν. εἶτα συναπτέον τούτῳ τὴν κατασκευήν. δῆλον δὲ σκοποῦσιν ὡς τιθέασιν αὐτὴν ἔνιοι. καὶ τὰ ἑξῆς.

ὯΝ οὐδὲν ἀναγκαῖον κινεῖσθαι, οὔτ' ἂν ἕτερα ᾖ, οὔτ' ἂν ἄνισα, οὔτ' ἂν οὐκ ὄντα.

Τὴν προτέραν ὑπόθεσιν ἐν τούτοις τίθησι, καὶ ἐλέγχει τὴν ὑποτιθεμένην ταυτὸν εἶναι κίνησιν τῇ ἑτερότητι, καὶ ταυτότητι, καὶ τῷ μὴ ὄντι.

ἈΛΛ' οὐδ' ἡ μεταβολὴ οὔτ' εἰς ταῦτα, οὔτ' ἐκ τούτων μᾶλλόν ἐστιν, ἢ ἐκ τῶν ἀντικειμένων.

Ἀλείπεται δὲ ὑποθέσεως, ὅτι οὔτε ἡ κίνησις ἐκ τούτων. οὐδὲν γὰρ μᾶλλον ἢ ἐκ τῶν ἐναντίων. οὔτε εἰς ταῦτα μᾶλλον, ἢ εἰς τὰ ἐναντία. ἔστι δὲ ὑπὲρ τῶν ἀνδρῶν τοῦτο ἀπολογουμένους λέγειν, ὅτι οὐχ οὕτως ἔλεγον τὴν κίνησιν ἑτερότητα εἶναι, καὶ ἀνισότητα, καὶ τὸ μὴ ὄν, ὥσπερ νῦν ὑπείληφεν ὁ Ἀριστοτέλης, ὅτι ἢ ταῦτα, ἢ ἐκ τούτων, ἢ εἰς ταῦτα. εὐέλεγκτον γὰρ τοῦτο, καὶ οὐκ ἦν εἰκὸς ἔμφρονας ἄνδρας τοῦτο ὑποθέσθαι. ἀλλ' ἐπειδὴ πᾶσα κίνησις ἔκστασίς ἐστι τοῦ ἀφ' οὗ κινεῖται, δηλονότι τὸ κινούμενον ἐξιστάμενόν πως ἑαυτοῦ, τῷ ἐξίστασθαι τοῦ προτέρου εἴδους ὃ εἶχεν, αὐτὸ πρὸς ἑαυτὸ ἑτεροιοῦται ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον μεταβάλλον, καὶ ἀνισοῦται πρὸς ἑαυτὸ κατὰ ποσὸν μεταβάλλον, ἀλλὰ καὶ μὴ ὄν πως γίνεται, διότι τὸ πρότερον εἶδος, ὅπερ εἶχεν οὐκ ἔστιν. ἀνισότης οὖν καὶ ἑτερότης ἡ κίνησις, οὐ πρὸς ἄλλο κείμενον ὄντος, ἢ ἑτέρου τοῦ κινουμένου, ἀλλὰ τοῦ αὐτοῦ, καὶ πρὸς ἑαυτό. οὕτω δὲ καὶ μὴ ὄν. ὅτι πᾶν τὸ κινούμενον οὐκ ἔστιν ὅπερ πρότερον ἦν, καθὸ καὶ κινεῖσθαι λέγεται.

ΑἼΤΙΟΝ δὲ, τοῦ εἰς ταῦτα τιθέναι αὐτοὺς, ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις. τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι, ἀόριστοι.

Ἐντεῦθεν τὴν ἔννοιαν αὐτῶν λέγει, ἐξ ἧς κινούμενοι ταῦτα εἶναι εἶπον τὴν κίνησιν. καὶ φησὶ διότι ἡ κίνησις ἀόριστόν τι ἐστίν, ἡ δὲ ἑτέρα συστοιχία ὑφ' ἣν ἡ ἑτερότης, καὶ ἀνισότης, καὶ τὸ μὴ ὂν ἀνάγεται, ὑφ' ἃ τὴν

κότας μὴ καλῶς εἰπεῖν. καὶ τὸ μὴ ἂν ἄλλως δυνηθῆναι τὸν ὁρισμὸν αὐτῆς ἀποδοῦναι. εἴπομεν δὲ καὶ
ἔμπροσθεν, ὅτι οὐ μόνον ἠρκέσθη κατασκευάσαι τὸν ὁρισμὸν τῆς κινήσεως, ἀλλὰ δείκνυσιν ὅτι οὐδαμῶς
ἀποδοῦναι τὸν λόγον αὐτῆς δυνατόν. καὶ νῦν φησὶν, ὅτι οὐδὲ οἱ ἄλλως περὶ αὐτῆς εἰρηκότες κατορθοῦ-
σιν, οὔτε ἐνδέχεται ἄλλως εἰπεῖν περὶ αὐτῆς. ἔλεγον δὲ οἱ πυθαγόρειοι τὴν κίνησιν εἶναι ἑτερότητα, καὶ ἀνισότητα
καὶ τὸ μὴ ὄν. φησὶν οὖν ὁ ἀριστοτέλης ὅτι τὴν κίνησιν ἑτερότητα καὶ ἀνισότητα, καὶ τὸ μὴ ὂν λέγοντες, ἤτοι ταῦ-
τά φασιν εἶναι τὴν κίνησιν, ἵνα ταύτην λέγοιεν κίνησιν, καὶ ἑτερότητα, καὶ ἀνισότητα, ἢ τὸ μὴ ὄν, ἢ ὅτι ἐκ
τούτων ἡ κίνησις. οἷον ὅτι πᾶν τὸ κινούμενον, ἢ ἐκ μὴ ὄντος κινεῖται, ἢ ἐξ ἀνισότητος, ἢ ἐξ ἑτερότητος. ὅτι
μὲν οὖν οὐκ ἔστι ταυτὸν κίνησιν εἰπεῖν, καὶ ἀνισότητα, ἢ ἑτερότητα, ἢ τὸ μὴ ὄν, δῆλον. ἐν πολλοῖς γὰρ ἑτερό-
της μέν ἐστι, κίνησις δὲ οὐκ ἔστιν. ἐν πᾶσι γὰρ σχεδὸν τοῖς οὖσιν ἔστιν ἑτερότης, ἀλλ' οὖν οὐ πάντα τὰ ὄντα κι-
νεῖται. ἑτερότης γοῦν ἐστι τῇ γῇ πρὸς τὰ ἄλλα στοιχεῖα, καὶ οὐκ ἤδη γε ἡ γῆ διὰ τοῦτο κινεῖται. καὶ σω-
κράτει γε ἑτερότης ἐστὶ πρὸς τὸν ἵππον, καὶ οὐ διὰ τοῦτό γε κινεῖται σωκράτης, ὅτι ἕτερός ἐστι τοῦ ἵππου.
ἀλλὰ καὶ ἀνισότης ἐστὶ τοῖς πέντε πρὸς τὰ δέκα, καὶ τῇ πλευρᾷ πρὸς τὴν διάμετρον, ἀλλ' ὅμως οὐκ ἀνάγ-
κη ταῦτα κινεῖσθαι τὰ τὴν ἀνισότητα ἔχοντα. καὶ τὰ μόρια δὲ τῶν ζώων ἕτερα ἀλλήλων. καὶ ὁ ἀριθμὸς
τῶν δακτύλων ἄνισός ἐστι πρὸς τὸν ἀριθμὸν τῶν τριχῶν. ἀλλ' οὔτε τὰ μόρια τῷ ἕτερα εἶναι εὐθὺς καὶ
κινεῖται, οὔτε ἀριθμὸς διὰ τὸ ἄνισος εἶναι κινεῖται. ὁμοίως δὲ οὐδὲ τὸ μὴ ὂν κίνησις. εἰ μὲν γὰρ τὸ μὴ ὂν
τοῦτό φαίη τις εἶναι τὴν κίνησιν, ἐν πᾶσι μὲν τὸ μὴ ὄν ἐστι, κίνησις δὲ οὐκ ἐν πᾶσιν. εἰ δὲ τὸ ἁπλῶς μὴ ὂν κί-
νησις, ἔτι πλέον οὐδαμῶς ὄν. ἀλλ' οὐδὲ ἐκ τούτων, οὐδ' εἰς ταῦτα τὴν κίνησιν εἶναι δυνατόν. οὐ μόνον γὰρ
τὸ κινούμενον ἐξ ἀνισότητος, καὶ ἑτερότητος κινεῖται, ἀλλὰ καὶ ἐκ ταυτότητος. οὐ γὰρ μόνον τὰ ἕτερα
ἐκ τοῦ ἕτερα εἶναι κινεῖται, καὶ ἐκ τοῦ ἄνισα εἶναι, ἀλλὰ καὶ τὰ αὐτὰ καὶ τὰ ἴσα, οὐδέ γε ἧττον ἐκ ταυ-
τότητος καὶ τῆς ἰσότητος κινεῖται. ὥστε οὐδὲν ἧττον ἢ ἡ ἑτερότης, καὶ ἡ ἀνισότης, καὶ τὸ μὴ ὂν κίνησις. ταῦτα
εἰπὼν, ἐφεξῆς λέγει, ἐκ ποίας ἐννοίας οἱ πυθαγόρειοι τὴν κίνησιν ταῦτα εἶναι ἔλεγον, καὶ φησὶν ὅτι ἀόρι-
στος ἡ κίνησις. τὸ δὲ ἀόριστον, στέρησις. ἐπεὶ οὖν ἡ κίνησις στέρησίς ἐστιν. ὅταν γὰρ ὁρισθῇ καὶ εἰς εἶδος ἔλθῃ,
οὐκ ἔτι κινεῖται. ἀόριστα δὲ καὶ στερητικὰ τὰ εἰρημένα ἅπαντα, διότι καὶ αἱ ἄλλαι ἀρχαὶ αἱ τῆς αὐτῆς
συστοιχίας, εἰκότως ταῦτα εἶναι τὴν κίνησιν ἔλεγον. ἰστέον γὰρ ὅτι εἰς δύο συστοιχίας τὰς ἀρχὰς τῶν ὄντων
διῄρουν οἱ πυθαγόρειοι, δέκα ποιῶν ἀρχῶν ἑκάστην συζυγίαν περιορίζοντες. ὧν τὴν μὲν τῶν ἀγαθῶν συ-
στοιχίαν, τὴν δὲ τῶν κακῶν ἔλεγον. ἐκκείσθωσαν δὲ ἱστορίας χάριν αἱ συστοιχίαι, ὡς αὐτὸς ἀλλαχοῦ ἱστο-
ρεῖ. ἀγαθὸν, κακόν. πέρας, ἄπειρον. περιττὸν, ἄρτιον. ἓν, πλῆθος. δεξιὸν, ἀριστερόν. φῶς, σκότος. ἄρρεν,
θῆλυ. ἠρεμοῦν, κινούμενον. εὐθὺ, καμπύλον. τετράγωνον, ἑτερόμηκες. τὰς μὲν οὖν ἀρχὰς τῶν ὄντων
τοῦτον τὸν τρόπον εἰς δύο συστοιχίας διῄρουν οἱ πυθαγόρειοι. τὴν μὲν, εἰς τὰ κρείττονα τῶν ἐναντίων διαι-
ροῦντες. τὴν δὲ, εἰς τὰ χείρονα. ὑφ' ἃς ἀνῆγον πάντα τὰ ὄντα. φησὶν οὖν ὁ ἀριστοτέλης ὅτι διὰ τὸ στερητι-
κὴν εἶναι τὴν τῶν χειρόνων συστοιχίαν. στερητικὴν δὲ οὖσαν ἀόριστον εἶναι, διὰ τοῦτο τὴν κίνησιν, ὡς ἀόρι-
στον, ὑπὸ ταύτην ἀνῆγον. οὐχ ὡς τῶν κατηγοριῶν δὲ εἰς εἰδικὰς καὶ στερητικὰς ἀρχὰς διαιρούντων τὰς
δύο συστοιχίας, οὕτως εἶπεν ὁ ἀριστοτέλης στερητικὰς εἶναι τὰς τῆς ἑτέρας συστοιχίας ἀρχάς. αὐτοῦ γάρ
ἐστιν ἡ εἰς εἶδος, καὶ στέρησιν τῶν ἀρχῶν διαίρεσις. ἀλλ' ἐπεὶ εἴωθεν ὁ ἀριστοτέλης, τὰ μὲν κρείττονα τῶν
ἐναντίων εἴδη καλεῖν, τὰ δὲ χείρονα στερήσεις, διὰ τοῦτο τὴν τῶν χειρόνων συστοιχίαν, στερητικὴν εἶπε. πό-
θεν μὲν οὖν τὴν κίνησιν ὑπενόησαν ἑτερότητα εἶναι, καὶ ἀνισότητα, καὶ τὸ μὴ ὂν, εἰρήκαμεν. διότι φησὶν
ἡ κίνησις ἀόριστόν τι δοκεῖ εἶναι. ἀλλὰ καὶ αἱ τῆς ἑτέρας συστοιχίας ἀρχαί. στερητικαὶ εἰσι. καὶ διὰ τοῦτο
ἀόριστοι. εἰκότως οὖν ὑπὸ τὰς ἀορίστους ἀρχὰς καὶ τὴν κίνησιν ἀνῆγον. τὸ γὰρ μὴ ὄν, καὶ ἡ ἀνισότης, καὶ
ἡ ἑτερότης, ὑπὸ τὴν τῶν χειρόνων συστοιχίαν. τηλικαῦται δὲ καὶ κατ' αὐτοὺς αἱ ἀρχαὶ τῆς κινήσεως. ὅτι
δὲ ἀόριστος ἡ κίνησις, δείκνυσιν ἐφεξῆς. τοῦ γὰρ συλλογισμοῦ ὄντος, ὅτι ἡ κίνησις ἀόριστος. τὸ ἀόριστον στέρη-
σις. ἡ κίνησις ἄρα στέρησις. τὴν μὲν ἑτέραν πρότασιν, λέγω δὴ τὴν μείζονα κατεσκευάσαμεν τῇ σὺν ἀντι-
θέσει ἀντιστροφῇ χρησάμενοι. εἰ γὰρ τὸ εἶδος ὥρισται, τὸ ἀόριστον στέρησις ἂν εἴη. τὴν δὲ ἐλάττονα αὐτὸς
κατασκευάζει, λέγω δὴ ὅτι ἡ κίνησις ἀόριστος. τῶν γὰρ ὄντων, τῶν μὲν ὄντων δυνάμει, τῶν δὲ ἐνεργείᾳ,
εἰς οὐδέτερον ἀνάγεται ἡ κίνησις. οὔτε γὰρ τὰ μόνως δυνάμει ὄντα κινεῖται, οὔτε τὰ μόνως ἐνεργείᾳ,
ἀλλ' ἔστιν ἡ κίνησις εἰλικρινῶς μὲν οὐδετέρα τούτων, μετέχουσα δὲ ἀμφοτέρων. καὶ διὰ τοῦτο ἀόριστος,
ὅτι ἐν οὐδενὶ τῶν ὄντων ὡρισμένως ἐστὶν αὐτὴν ἀποθεῖναι. εἰπὼν οὖν τὴν αἰτίαν ἐξ ἧς εἰς τὰς στερητικὰς ἀρ-
χὰς ἀνῆγαγον τὴν κίνησιν, κατασκευάζει ἐφεξῆς, ὅτι οὐδὲ ἐνδέχεται, ἄλλως ὁρίσασθαι αὐτήν. κἂν γάρ
φησι συγχωρήσωμεν διαιρεῖσθαι τὰ ὄντα μὴ μόνον εἰς τὰ κατὰ δύναμιν ὄντα, καὶ εἰς τὰ κατ' ἐνέργειαν.
ἀλλὰ καὶ εἰς στέρησιν, εἰς οὐδὲν τούτων δυνατὸν ἀναγαγεῖν τὴν κίνησιν. καὶ ὅτι μὲν οὔτε εἰς δύναμιν,
οὔτε εἰς ἐνέργειαν, εἴρηται. ὅτι δὲ οὐδὲ εἰς τὴν στέρησιν δυνατὸν, δῆλον. οὐ γὰρ διὰ τὸ στερήσεως μετέχειν,
ἤδη κατ' αὐτὸ τοῦτο καὶ κινήσεως μεθέξει. ἀλλὰ δυνατὸν ἐστερῆσθαι μὲν τοῦ εἴδους, μὴ κινεῖσθαι δὲ, ἀλλ'
ἠρεμεῖν. καὶ ἄλλως, εἰ καλῶς εἴπομεν, ὅτι ἡ κίνησις ἐντελέχεια τῆς δυνάμεως ἡ δὲ στέρησις οὐκ ἔστιν ἐνέρ-
γεια, οὐκ ἄρα ἡ κίνησις στέρησις. ὥστε εἰ ἐν μηδενὶ τούτων δυνατὸν εἶναι τὴν κίνησιν, λείπεται ὁ εἰρημένος
τρόπος εἶναι ἀληθὴς μόνος. ἔστι δὲ οὗτος, ἐνέργειαν μὲν αὐτὴν εἶναι, ἐνέργειαν δὲ οὐ τὴν τελείαν τὴν τὸ

εἶδος

μή τις ὑπολάβῃ ὅτι οὐ γὰρ διαφέρει χαλκῷ εἶναι, ἢ δυνάμει ἀνδριάντι. ἓν γὰρ καὶ ταὐτὸν τῷ χαλκῷ εἶναι, καὶ τὸ δυνάμει ἀνδριάντι, ἀνώπως ἐφεξῆς αὐτὸ τοῦτο δείκνυσιν, ὅτι ἄλλο ἐστὶν ἑκάστῳ τὸ τόδε τι εἶναι, καὶ ἄλλο τὸ δυνάμει κινητόν.

» ΕΠΕΙ εἰ ταὐτὸν ἦν ἁπλῶς καὶ κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ ᾗ χαλκὸς ἐντελέχεια, κίνησις. οὐκ
» ἔστι δὲ ταὐτὸ ὥσπερ εἴρηται. δῆλον δ' ἐπὶ τῶν ἐναντίων. τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν, καὶ δύνασθαι
» κάμνειν, ἕτερον.

Ὃ δέ φησι τοῦτό ἐστιν. εἰ ἦν ταὐτὸν τὸ χαλκῷ εἶναι καὶ δυνάμει κινητῷ, ἐπειδὴ τὸ χαλκὸς εἶναι ἐντελέχειαν εἶχε, τὸ δὲ ἐντελεχείᾳ κινητὸν κινεῖται, ὁ χαλκὸς ἅμα ᾗ χαλκὸς ἐκινεῖτο ἄν. ὥστε ταὐτὸν ἦν ἂν εἰπεῖν ἐντελέχειαν χαλκὸν καὶ κίνησιν. ὅπερ ἐστὶ προφανῶς ψεῦδος. ὁ γὰρ τρίπους ὁ ἑστηκὼς, ἐνεργείᾳ μέν ἐστι χαλκός, κίνησις δὲ οὐκ ἔστιν ἐνεργείᾳ, ἀλλ' οὐδὲ ὅλως κινεῖται, ἀλλ' ἕστηκε καὶ ἠρεμεῖ. τὸ δὲ ἁπλῶς καὶ κατὰ τὸν λόγον ταὐτόν ἐστιν εἰ ταὐτὸν καθόλου εἴη οὕτως, ὥστε μὴ μόνον κατὰ τὸ ὑποκείμενον εἶναι ταὐτὸν, ἀλλὰ καὶ κατὰ τὸν λόγον. τῷ μὲν γὰρ ὑποκειμένῳ ταὐτὸν ὁ χαλκὸς, καὶ τὸ δυνάμει κινητόν. τῷ δὲ λόγῳ, οὐκ ἔστι ταὐτόν. ἄλλος γὰρ ὁ ἑκατέρου ὁρισμός. δείκνυσι δὲ ἐφεξῆς ἐπὶ τῶν ἐναντίων δυνάμεων, τοῦ νοσεῖν φημι καὶ ὑγιαίνειν, ἢ θερμαίνεσθαι καὶ ψύχεσθαι, ὅτι ἀδύνατον ταὐτὸν εἶναι τῷ ὑποκειμένῳ τὴν δύναμιν, ἐπεὶ καὶ τὰ ἐναντία ταὐτὰ εἶεν ἀλλήλοις. τὰ γὰρ τῷ αὐτῷ ταὐτὰ, καὶ ἀλλήλοις ταὐτά.

» ΚΑΙ γὰρ ἂν τὸ κάμνειν καὶ τὸ ὑγιαίνειν ταὐτὸν ἦν.

Εἰ αἱ δυνάμεις φησὶ τῶν ἐναντίων αἱ αὐταί εἰσι, καὶ αἱ ἐνέργειαι δήπου τῶν δυνάμεων αἱ αὐταὶ ἂν εἶεν. νῦν δὲ οὐ μόνον ταὐτὸν οὐκ ἔστι τὸ νοσεῖν τῷ ὑγιαίνειν, ἀλλὰ καὶ ἐναντίον.

» ΤΟ δὲ ὑποκείμενον καὶ τὸ ὑγιαῖνον, καὶ τὸ νοσοῦν, εἴθ' ὑγρότης, εἴθ' αἷμα, ταὐτὸν καὶ ἕν.

Τὸ ὑποκείμενόν φησιν ὥσπερ αἷμα ἢ μέρος ὑγιαῖνόν τε καὶ νοσοῦν ἐστιν ἕν ἐστι καὶ ταὐτόν. ὥστε εἰ αἱ μὲν δυνάμεις τοῦ νοσεῖν φημι καὶ τοῦ ὑγιαίνειν οὐχ ἕν, ἀλλὰ καὶ ἐναντίον, τὸ δὲ ταύταις ὑποκείμενον ἓν καὶ ταὐτόν, οὐκ ἄρα αἱ δυνάμεις τῷ ὑποκειμένῳ ταὐτόν.

» ΕΠΕΙ δ' οὐ ταὐτὸν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν, ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια
» φανερὸν ὅτι κίνησίς ἐστιν. ὅτι μὲν οὖν ἐστιν αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι, ὅταν ἡ ἐντελέχεια ᾖ αὕτη,
» καὶ οὔτε πρότερον, οὔτε ὕστερον, δῆλον,

Ἑτέρῳ παραδείγματι κέχρηται. τὸ γὰρ χρῶμα, εἰ καὶ ταὐτὸν χρῶμά ἐστι καὶ ὁρατόν, ἀλλὰ χρῶμά ἐστι τὸ κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τὸ δὲ ὁρατὸν συμβέβηκεν αὐτῷ. τὸ μὲν γὰρ χρῶμα οὐ τῶν πρός τι. ποιότης γάρ. τὸ δὲ ὁρατὸν τῶν πρός τι. τὸ γὰρ ὁρατὸν ὁρῶντι ἐστὶν ὁρατόν. καὶ χρῶμά ἐστι κἂν μὴ ὁρᾶται, ὁρατὸν δὲ οὔ, ἂν μὴ ὁρᾶται. εἰ τοίνυν δέδεικται ὅτι ἕτεραι αἱ δυνάμεις, καλῶς τὸν ὁρισμὸν ἀποδεδώκαμεν τῆς κινήσεως, ὅτι ἡ ἐντελέχεια τοῦ δυνάμει ὄντος ᾗ δυνάμει ἐστίν. οὐχ ᾗ ἐνέργεια. Ὅτι μὲν οὖν ἐστιν αὕτη, τουτέστιν, ὅτι ἡ κίνησις τοῦτό ἐστιν ὅπερ ἡμεῖς εἰρήκαμεν ἐντελέχεια τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστι, ἔτι ὅτι συμβαίνει τότε κινεῖσθαι, ὅταν ᾖ ἡ ἐντελέχεια αὕτη. τουτέστιν ὅτι τότε μόνον ἡ κίνησις γίνεται, ὅτε τὸ δυνάμει καθὸ δυνάμει ἐστὶν, ἀπολάβοι τὴν ἑαυτοῦ ἐνέργειαν, καὶ οὔτε πρὶν ἀπολαβεῖν ὅταν μόνως ἐστὶ δυνάμει, οὔτε μετὰ τὸ ἀπολαβεῖν ὅταν μόνως ἐστὶν ἡ ἐνέργεια.

» ΕΝΔΕΧΕΤΑΙ γὰρ ἕκαστον, ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μή. οἷον, τὸ οἰκοδομητὸν, ᾗ οἰκοδομητόν.
» καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια, ᾗ οἰκοδομητὸν, οἰκοδόμησίς ἐστιν. ἢ γὰρ τοῦτό ἐστιν ἡ οἰκοδόμησις, ἡ ἐνέρ-
» γεια τοῦ οἰκοδομητοῦ, ἢ ἡ οἰκία. ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτ' οἰκοδομητὸν ἔσται. οἰκοδομεῖται δὲ τὸ οἰκοδομη-
» τόν. ἀνάγκη ἄρα τὴν οἰκοδόμησιν, τὴν ἐνέργειαν εἶναι. ἡ δὲ οἰκοδόμησις, κίνησίς τίς ἐστιν. ἀλλὰ μὴν ὁ
» αὐτὸς ἐφαρμόσει λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων.

Ἐπειδὴ εἶπεν ὅτι μόνως ἡ τοιαύτη ἐντελέχειά ἐστι κίνησις. λέγω δὲ ἡ τοῦ δυνάμει ᾗ τοιοῦτόν ἐστι. καὶ οὔτε πρὸ ταύτης, οὔτε μετὰ ταύτην, τοῦτο θέλει κατασκευάσαι, ὅτι οὔτε τὴν πρὸ ταύτης διάθεσιν ἐνδέχεται κίνησιν εἶναι, οὔτε τὴν μετὰ ταύτην. τὸ γὰρ δυνάμει φησὶν ἐνδέχεται ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μή. λίθοι γὰρ καὶ ξύλα οἰκοδομητὰ ὄντα, ποτὲ μὲν οὐκ ἔχει τὴν ἐνέργειαν ταύτην. ὡς ὅταν κεῖνται καθ' αὐτὰ, μηδὲν τοῦ οἰκοδόμου εἰς αὐτὰ δρῶντος. ποτὲ δὲ ἔχει, ἡνίκα καὶ ἡ οἰκοδόμησις λέγεται εἶναι. ὅτι μὲν οὖν πρὶν σχῇ τὴν ἐνέργειαν οὐ κινεῖται, πρόδηλον. ἡ γὰρ κίνησις ἐνέργειά τίς ἐστι. λείπεται οὖν τὴν κίνησιν ἢ ὅτε οἰκοδομεῖται εἶναι, ἢ μετὰ τὸ οἰκοδομηθῆναι. ἀλλὰ μετὰ τὸ οἰκοδομηθῆναι ἠρεμεῖ. κινεῖται δὲ τὸ οἰκοδομούμενον, ἐν ᾧ καὶ τὸ οἰκοδομητὸν ἔτι ἐστίν. ὥστε ἐν τούτῳ τῷ χρόνῳ ἡ κίνησις μόνον ἐν ᾧ οἰκοδόμησις, ἔτι τοῦ οἰκοδομητοῦ φυλαττομένου. ἐλέγομεν γὰρ τὴν κίνησιν ἐντελέχειαν τοῦ δυνάμει, ᾗ τοιοῦτόν ἐστι. ὅπερ δέ φησιν ἐπὶ τοῦ οἰκοδομητοῦ εἴπομεν, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων κινήσεων ἐροῦμεν. οἷον ἐπὶ λευκάνσεως καὶ θερμάνσεως καὶ τῶν λοιπῶν.

» ΟΤΙ δὲ καλῶς εἴρηται, δῆλον καὶ ἐξ ὧν οἱ ἄλλοι περὶ αὐτῆς λέγουσι, καὶ ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι
» διορίσαι ἄλλως αὐτήν.

Τεκμήριον ποιεῖται τοῦ καλῶς ἀποδεδωκέναι τὸν τῆς κινήσεως ὁρισμὸν, τὸ πάντας τοὺς περὶ αὐτῆς εἰρηκό-

να τὸν χαλκὸν ἡ ἀνδριαντοποιητικὴ τέχνη. καὶ ἦγεν ἐκ τῆς δυνάμεως εἰς τὸ εἶδος, ἔτι τοῦ δυνάμει ἐν τῷ χαλκῷ σωζομένου. ὁμοίως δὲ καὶ ἐπὶ δυνάμει οἰκίας. οὐ γὰρ κινεῖσθαι φαμὲν τὴν οἰκίαν, οὔτε ὅτε μόνως τὸ δυνάμει ἔχει τὸ οἰκοδομητόν. οἷον, ὅτε ἔκειντο οἱ λίθοι καὶ τὰ ξύλα, μηδενὸς τοῦ οἰκοδόμου εἰς αὐτὰ ποιοῦντος. οὔτε ὅτε ἐγένετο τελείως ἡ οἰκία καὶ ἀπείληφε τὸ αὐτῆς εἶδος. οὐ γὰρ οἰκοδομεῖται τότε, ἀλλ' ᾠκοδόμηται ἤδη. ἡ γὰρ οἰκοδόμησις ἐστὶ ποιουμένη ἔτι τοῦ οἰκοδομητοῦ. ὥστε μόνως κατὰ τὸν μέσον χρόνον αὕτη ἡ κίνησις, ὅτε καὶ ἡ οἰκοδόμησις. οὐ γὰρ ἄλλο ἐστὶν ἡ οἰκοδομή, ἢ ἡ κίνησις ἐκ τῆς πρώτης δυνάμεως εἰς τὴν τελείαν ἐνέργειαν. ἀλλ' ἔστ' ἂν ἡ οἰκοδόμησις, οὔπω ἀπήλλακται τοῦ δυνάμει τὸ οἰκοδομητόν, ἐπεὶ οὐδ' ἂν ἔτι ἐκινεῖτο. Ἐπεὶ δ' ἔνια τὰ αὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστίν. Ἔχομεν τοῦτο εἰλημμένον ἐκ τῶν προτέρων ἐκτεθέντων ἀξιωμάτων. ταῦτα δ' ἐστὶ πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ. ἄλλο μὲν γὰρ ἐστιν ἐνέργεια, ἄλλο δὲ δυνάμει. ἐπεὶ δὲ πέφυκε πᾶν εἰς πᾶν μεταβάλλειν, οὐχ ἅμα δὲ ἢ κατὰ ταὐτόν, ὃ μὲν ἅμα τῇ δυνάμει, καὶ ἐνεργείᾳ, οὐχ οἷόν τε κατὰ τὸ αὐτὸ εἶδος εἶναι δυνάμει καὶ ἐνεργείᾳ. ἐν γὰρ τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ καὶ δυνάμει εἶναι καὶ ἐνεργείᾳ ἀδύνατον, ἀλλ' ἔσται ἄλλοτε μὲν δυνάμει θερμόν, ἢ ψυχρόν. ἄλλοτε δὲ τὸ αὐτὸ ἐνεργείᾳ.

» ἌΡΑΝ γὰρ ἔσται ἅμα ποιητικὸν καὶ παθητικόν.

Ρ οιητικὸν μὲν, κατὰ τὸ ἐνέργειαν. ποιοῦσι γὰρ τὰ εἴδη. παθητικὸν δὲ κατὰ τὸ δυνάμει. ἡ γὰρ ὕλη παθητικόν. τὸ δὲ δυνάμει ἡ ὕλη.

» ὭΣΤΕ καὶ τὸ κινοῦν φυσικῶς, κινητόν. πᾶν γὰρ τὸ τοιοῦτον, κινεῖ κινούμενον καὶ αὐτό.

Τ ὸ φυσικῶς οὐ πρὸς τὸ κινούμενον ἀκουστέον, ὅτι τὸ κινούμενον ὑπὸ τοῦ κινοῦντος φυσικῶς ὑπ' αὐτοῦ κινεῖται καὶ οὐ βίᾳ. οὐ γὰρ ἀνάγκη πᾶν τὸ οὕτως κινοῦν καὶ αὐτὸ κινεῖσθαι. καὶ ἡ ψυχὴ γὰρ, ἡ λογικὴ λέγω, κινεῖ τὰ σώματα οὐ βίᾳ, ἀλλὰ φυσικῶς. ἀλλ' ὅμως αὐτὴ οὐ κινεῖται. ὁμοίως καὶ ἐπὶ τῆς τὰ οὐράνια κινούσης δυνάμεως. καθάπερ καὶ αὐτὸ ἐν τοῖς ἔμπροσθεν εἶπεν, ὅτι δύο αἱ ἀρχαὶ φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσική. ἀλλὰ τὸ φυσικῶς πρὸς τὸ κινοῦν ἀκουστέον, ὅτι τὸ οὕτω κινοῦν, ὥσπερ τὰ φυσικὰ πράγματα κινεῖν πέφυκε, πάντως καὶ αὐτὸ κινητὸν ἔσται. οὐδὲν γὰρ τῶν φυσικῶς κινούντων ἀκίνητον. καὶ αὐτὴ γὰρ ἡ φύσις κινοῦσα τὰ σώματα, καὶ αὐτὴ συγκινεῖται ἀλλοιουμένη, καὶ ἀμυδροτέρα γινομένη, καὶ ἡ αὐξητικὴ δύναμις, καὶ ἡ ἀλλοιωτική, καὶ ἡ γεννητική, καὶ πᾶσαι αἱ ἄλλαι ὡσαύτως οὖσαι. ἃ μὲν οὖν περὶ τῶν ἐν γενέσει καὶ φθορᾷ φησι μόνων ὅτι τὸ κινοῦν φυσικῶς κινητόν ἐστι, τὸ κινητὸν ἀντὶ τοῦ ἀντικινητοῦ ἀκουσόμεθα, ὅτι τὸ πᾶν τὸ κινοῦν, καὶ ἀντικινεῖται. εἰ δὲ ἐπὶ πάντων ἁπλῶς τῶν φυσικῶν, καὶ ἐπὶ τῶν οὐρανίων τὸ κινητόν, μόνον τὸ κινούμενον ἀκουσόμεθα. καὶ γὰρ τὰ οὐράνια, οὐκ ἀκίνητα ὄντα κινεῖ, ἀλλὰ κινούμενα καὶ αὐτά. οὐ μέντοι ἀντικινούμενα. κινούμενα γὰρ τὰ οὐράνια κινεῖ τὰ τῇδε. ὑπὸ δὲ τούτων οὐκ ἀντιπάσχει.

» ΔΟΚΕΙ μὲν οὖν πᾶν ἅπαν κινεῖσθαι τὸ κινοῦν. οὐ μὴν ἀλλὰ περὶ μὲν τούτων, ἐξ ἄλλων ἔσται

» δῆλον ὅπως ἔχει. ἔστι γάρ τι κινοῦν καὶ ἀκίνητον.

Ἐ πειδὴ ἔλαβεν ὅτι ἔστι τινὰ κινούμενά τε καὶ κινοῦντα, φησὶν ὅτι τινὲς ὑπέλαβον ὅτι πᾶν τὸ κινοῦν πάντως καὶ αὐτὸ κινεῖται. ὅτι δὲ οὐχ οὕτως ἔχει, φησί, δῆλον ἔσται ἐν ἄλλοις. καὶ ὑπερτίθεται τὸν λόγον τοῦτον ἐν τῷ ὀγδόῳ ταύτης τῆς πραγματείας. ἐν ᾧ δείκνυσιν, ὅτι οὐ πᾶν τὸ κινοῦν, καὶ κινεῖται. καὶ τέλος τὸ ὀρεκτὸν κινεῖ, αὐτὸ μὴ κινούμενον. καὶ ἡ εἰκὼν κινεῖ τὸν ὁρῶντα, μὴ κινουμένη. καὶ ὁ ἄρτος κινεῖ τὸν πεινῶντα, αὐτὸς μὴ κινούμενος. καὶ ὁ χόρτος τὸν ὄνον.

» Η ΔΕ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ὅταν ἐντελεχείᾳ ὂν, ἐνεργῇ, ἢ αὐτὸ, ἢ ἄλλο ᾗ κινητόν,

» κίνησίς ἐστι.

Τ ὸν ὁρισμὸν τῆς κινήσεως ἀναλαμβάνει. διττὴ δὲ φέρεται ἡ γραφή. μία μὲν αὕτη. ἡ δὲ τοῦ δυνάμει ὄντος ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, οὐχ ᾗ αὐτὸ, ἀλλ' ᾗ ἄλλο κίνησίς ἐστι. τουτέστιν ἡ δὲ ἐνέργεια τοῦ δυνάμει ὄντος, ὅταν τοῦτο δυνάμει ἐντελεχείᾳ, ἀλλ' ὅ τι ὑπάρχον ἐνεργῇ, οὐχ ᾗ ἐστιν ἐντελεχείᾳ. ἀλλ' ᾗ δυνάμει, τοῦτό ἐστιν ἡ κίνησις. γράφει δὲ καὶ ἑτέραν γραφὴν ὁ Ἀλέξανδρος φερομένην ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων. ἡ δὲ τοῦ δυνάμει ὄντος, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ αὐτὸ ἢ ἄλλο ᾗ κινητόν, κίνησίς ἐστι. ὑπερβατῶς δὲ ἀναγνωστέον. ἡ δὲ τοῦ δυνάμει ὄντος ἐνέργεια, ὅταν ἄλλοτι ὂν ἐντελεχείᾳ ἐνεργῇ, ᾗ κινητόν ἐστι, τοῦτό ἐστι κίνησις. τὸ δὲ, ἢ αὐτὸ ἢ ἄλλο, ἐπειδὴ τῶν κινούντων τὰ μὲν ἐν ἑαυτοῖς ἔχει τὴν ἀρχὴν τῆς κινήσεως, ὡς τὰ φυσικά. οἷον τὰ αὐξόμενα, ἢ ἀλλοιούμενα. τὰ δὲ ἔξωθεν, ὡς τὰ τεχνητά, διὰ τοῦτο προσέθηκε τὸ ἢ αὐτὸ ἢ ἄλλο. ὡς εἰ ἔλεγεν, ἐνέργεια δὲ λέγω τὴν δύναμιν, εἴτε αὐτὸ ἐνεργῇ, τουτέστιν εἴτε ἐν ἑαυτῷ ἔχει τὴν κινητικὴν δύναμιν, εἴτε ἀλλαχόθεν. τουτέστιν ἔξωθεν.

» ΛΕΓΩ δὲ τὸ ᾗ, ὧδε. ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς. ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια,

» ᾗ χαλκὸς, κίνησίς ἐστιν. οὐ γὰρ ταὐτὸν τὸ χαλκῷ εἶναι καὶ δυνάμει τινὶ κινητῷ.

Ἐ ξηγεῖται τὸν ὁρισμόν, διατί προσέθηκε τὸ ᾗ κινητόν, τουτέστι καθὸ κινητόν. ἔστι γάρ φησιν ὁ χαλκὸς δυνάμει ἀνδριάς. ἀλλὰ καὶ χαλκὸς ἐνεργείᾳ. λέγω οὖν κίνησιν εἶναι, οὐ τὴν τοῦ χαλκοῦ ᾗ χαλκὸς, ἐνέργειαν, ἀλλὰ τὴν τῆς δυνάμεως καθ' ἣν δυνάμει ἐστὶν ἀνδριὰς ἐνέργειαν, ταύτην κίνησιν λέγω. εἶτα ἵνα

Εἰπὼν τί ποτέ ἐστι κίνησις, βούλεται νῦν δεῖξαι ὅτι ἔστι τινὰ, ἃ πρὸς τῷ κινεῖσθαι καὶ κινεῖ ἅμα. δεῖ καὶ ἀπορίαν τινὰ ἐπιλύεται ἐκ τούτων φερομένην εἰς τὸν περὶ κινήσεως λόγον. εἰ γάρ ἐστι τὰ κινοῦντα ἅμα καὶ κινούμενα, τὸ δὲ κινοῦν καθὸ κινεῖ ἐνεργείᾳ ἐστὶ, τινὰ ἄρα τῶν κινουμένων ἐνεργείᾳ ἐστίν. ἀλλ' ἐλέγετο ἡ κίνησις ἐντελέχεια εἶναι τοῦ δυνάμει, ᾗ τοιοῦτόν ἐστιν. ὥστε ὁ ὁρισμὸς τῆς κινήσεως ψευδὴς, εἰ τὸ εἶναι τινὰ τὰ πρὸς τῷ κινεῖσθαι καὶ κινοῦντα. ἀλλὰ μὴν τοῦτο ἀληθές. ὁ τῆς κινήσεως ἄρα ὁρισμὸς οὐκ ἀληθής. Ἡ μὲν ἀπορία τοιαύτη. ἐπιλύεται δὲ αὐτὴν ἐκ τῶν ἐνταῦθα εἰρημένων. δείκνυσι γὰρ ὅπως τινὰ τῶν κινούντων καὶ ἀντικινεῖται. καὶ πρότερόν γε ὅτι ἔστι τινὰ κινοῦντά τε ἅμα καὶ κινούμενα. δείκνυσι δὲ τοῦτο ἀξιώματι χρησάμενος τῷ προειλημμένῳ. προείληπται δὲ, ὅτι τῶν ὄντων τὰ μὲν μόνως ἐστὶν ἐνεργείᾳ, τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ. πάντα δὲ τὰ τοιαῦτα ἐξ ἀνάγκης κινοῦντα καὶ κινηθήσεται. ἀλλ' οὐ κατὰ ταυτὸν καὶ κινεῖ καὶ κινεῖται. ἀλλὰ κινεῖται μὲν καθό ἐστι δυνάμει. κινεῖ δὲ καθό ἐστιν ἐνεργείᾳ. οἷον τὸ πῦρ ἐνεργείᾳ μὲν θερμὸν, δυνάμει δὲ ψυχρόν. διὸ καὶ κινεῖ μὲν καθό ἐστιν ἐνεργείᾳ θερμαῖνον τὸ ὕδωρ. ἀντιπάσχει δὲ καθὸ δυνάμει ἐστὶ ψυχρὸν, ἀποσβεννύμενον καὶ μεταβάλλον ἢ εἰς γῆν ἢ εἰς ἀέρα. καὶ τὸ ὕδωρ ὡσαύτως. ψύχει μὲν καθὸ ἐνεργείᾳ ἐστὶ ψυχρόν. θερμαίνεται δὲ καθὸ δυνάμει ἐστὶ θερμόν. ὥστε ἐκ τούτων καὶ ἡ ἀπορία ἐπιλέλυται. ἦν δὲ ἡ ἀπορία, ὅτι εἰ τὸ κινούμενον καὶ κινεῖ, πᾶν δὲ τὸ κινοῦν ἐνεργείᾳ ἐστὶ, τὸ κινούμενον ἄρα ἐνεργείᾳ ἐστίν. ἐλέγομεν δὲ τὸ κινούμενον ἔτι ἐν τῷ δυνάμει εἶναι. αὕτη οὖν ἡ ἀπορία ἐπιλέλυται ἐκ τῶν εἰρημένων, ὅτι εἰ καὶ τὸ κινούμενον πάντως καὶ κινεῖ, ἀλλ' οὐ καθὸ κινεῖται κατὰ τοῦτο καὶ κινεῖ. ἀλλὰ κινεῖται μὲν καθὸ δυνάμει ἐστί. λέγω δὴ κατὰ τὴν ὕλην. κινεῖ δὲ καθὸ ἐνεργείᾳ ἐστί. λέγω δὴ κατὰ τὸ εἶδος. οὐκ ἄρα εἰ τὸ κινούμενον καὶ κινεῖ. ταῦτα εἰπὼν ἀναλαμβάνει τὸν περὶ κινήσεως ὁρισμὸν, σαφέστερον αὐτὸν ἐξηγήσασθαι βουλόμενος. ἔτι τε δὲ καὶ διαρθρῶσαι μᾶλλον. ἅμα δὲ δείκνυσι πάλιν ὅτι οὐκ ἔστι ταυτὸν τῷ ὑποκειμένῳ ἡ δύναμις. ἀλλ' ἄλλο μέν τι ἔστιν ἕκαστον καθὸ τόδε τι λέγεται. ἄλλο δὲ καθὸ δυνάμει τόδε. οἷον οὐ ταυτὸν τῷ χαλκῷ εἶναι, καὶ δυνάμει ἀνδριάντι. ὅτι οὖν ἑτέρα ἡ δύναμις παρὰ τὸ ὑποκείμενον, δείκνυσι μὲν καὶ πολλοῖς ἄλλοις παραδείγμασιν. οἷον οὐ ταυτόν φησι τῷ χρώματι τῷ χρώματι εἶναι, καὶ δυνάμει ὁρατῷ. ἀλλ' ἔστι μὲν χρῶμα ἐνεργείᾳ, κἂν μὴ ὁρᾶται. οἷον ἐν τῇ νυκτί. ὁρατὸν δὲ οὐκ ἔστιν εἰ μὴ δυνάμει. καὶ τὸ μὲν χρῶμα κἄν τε ὁρᾶται κἄν τε μὴ, ἐνεργείᾳ ἐστί. τὸ δὲ ὁρατὸν οὐκ ἀεὶ ὡσαύτως ἔχει ὡς τὸ χρῶμα. ὥστε οὐ ταυτὸν τῷ ὑποκειμένῳ ἡ δύναμις, ἐπεὶ ὁμοίως ἂν εἶχεν ἀεί. καὶ ὁ χαλκὸς ἀεὶ μέν ἐστι χαλκὸς ἐνεργείᾳ, ἀνδριὰς δὲ οὐκ ἀεί. ἀλλὰ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ. μάλιστα δὲ ἐκ τῶν ἐναντίων δυνάμεων δείκνυσιν, ὅτι ἑτέρα ἐστὶν ἡ δύναμις τοῦ ὑποκειμένου. ἐπεὶ γὰρ τὸ ζῷον δύναται νοσεῖν, καὶ οὐ μόνον, ἀλλὰ καὶ ὑγιαίνειν. εἴγε ἦν ἡ δύναμις ταυτὸν τῷ ὑποκειμένῳ, οὐ μία δήπου ἦν δύναμις ταυτὸν τῷ ὑποκειμένῳ, ἀλλὰ πᾶσαι. ὥστε εἰ ἡ τοῦ νοσεῖν δύναμις ταυτὸν τῷ ὑποκειμένῳ, δῆλον δήπου ὅτι καὶ ἡ τοῦ ὑγιαίνειν. εἰ δὲ ἄμφω τῷ ὑποκειμένῳ αἱ αὐταὶ, καὶ ἀλλήλαις δήπου. τὰ γὰρ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις τὰ αὐτά. εἰ δὲ καὶ τοῦ νοσεῖν δύναμις τῇ τοῦ ὑγιαίνειν ταυτὸν, καὶ τὸ νοσεῖν δήπου τῷ ὑγιαίνειν ταυτὸν ἂν εἴη. ὥστε τὰ ἐναντία ταυτὰ κατ' εἶεν. οὐκ ἄρα ταυτὸν ἡ δύναμις τῷ ὑποκειμένῳ. εἰ δὲ οὐ ταυτὸν ἡ δύναμις τῷ ὑποκειμένῳ, καλῶς ἄρα ὁ τῆς κινήσεως ὁρισμὸς ἀποδέδοται. ὅτι ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτόν ἐστι. τοῦτο οὖν κίνησις ἀκριβῶς, προστεθέντος ἡμῖν τοῦ ᾗ τοιοῦτόν ἐστι. δεῖ γὰρ τὸ κινούμενον κατ' ἄλλο μὲν εἶναι ἐνεργείᾳ, κατ' ἄλλο δὲ δυνάμει. οὐδὲν γὰρ κινεῖται μόνως δυνάμει ὂν, διότι μηδέν ἐστί τι μόνως δυνάμει ὄν. διόπερ ἡ ὕλη οὐδὲ κινεῖται καθ' αὑτὴν, διότι μηδέ ἐστι καθ' αὑτήν. δεῖ οὖν τὸ κινούμενον καὶ ἐνεργείᾳ εἶναι καὶ δυνάμει. ἀλλὰ κινεῖται οὐ καθό ἐστιν ἐνεργείᾳ, ἀλλὰ καθό ἐστι δυνάμει. οἷον ὁ χαλκὸς ἔστι μὲν καὶ ἐνεργείᾳ αὐτὸ τοῦτο χαλκὸς, ἔστι δὲ καὶ δυνάμει ἀνδριάς. ὅταν οὖν τὸ δυνάμει τοῦτο εἰς ἐνέργειαν ἄγηται ὑπὸ τοῦ ἀνδριαντοποιοῦ, τότε φαμὲν κινεῖσθαι τὸν χαλκόν. ἀλλὰ κινεῖσθαι οὐ καθό ἐστιν ἐνεργείᾳ. τοῦτο δέ ἐστιν οὐ καθὸ χαλκός. ἀκίνητος γὰρ κατὰ τοῦτο. οὐ γὰρ μεταβάλλει τὴν τοῦ χαλκοῦ οὐσίαν ἐν τῷ γίνεσθαι ἀνδριάς. ἀλλὰ καθό ἐστι δυνάμει. τοῦ δυνάμει τούτου τὴν ἐνέργειαν τὴν ἑαυτοῦ παραλαμβάνοντος, καὶ ἀγομένου εἰς τὴν τελείαν ἐνέργειαν. ἔνθα γενομένου ἀφανίζεται λοιπὸν τὸ δυνάμει. ἡ κίνησις ἄρα ἐνέργειά ἐστι τῆς δυνάμεως ἔτι σωζομένης. οὕτω τὸν ὁρισμὸν τῆς κινήσεως ἐξηγησάμενος καὶ ἀποδείξας, ἐφεξῆς διὰ πλειόνων κατασκευάζει, ὅτι οὐδὲ δυνατὸν ἄλλως ἀποδοῦναι τὸν περὶ κινήσεως λόγον. καὶ πρῶτόν γε ἐκ τῆς τοῦ χρόνου διαφορᾶς τοῦ πράγματος, περὶ ὃ θεωρεῖται ἡ κίνησις. ὁ γὰρ χαλκὸς ὁ δυνάμει ὢν ἀνδριὰς διῄρηται τριχῇ τῷ χρόνῳ. ποτὲ μὲν γὰρ μόνως ἐστὶν ἀνδριὰς δυνάμει, ὅταν μήπω σχηματίζηται ὑπὸ τοῦ τεχνίτου. ποτὲ δὲ μόνως ἐνεργείᾳ, οὐδαμῶς δὲ δυνάμει, ὅταν ἤδη τὸ εἶδος τοῦ ἀνδριάντος ἀπολάβῃ. ποτὲ δέ ἐστιν ἐν τῷ μεταξὺ χρόνῳ, ὅταν ἐκ τοῦ δυνάμει ἄγηται ἐπὶ τὸ εἶδος, ἔτι τῆς δυνάμεως οὔσης. τριττῆς οὖν οὔσης τῆς τοιαύτης διαφορᾶς τῶν χρόνων, ἐν ποίῳ θετέον τὴν κίνησιν. οὔτε γὰρ ὅτε μόνως ἐστὶ δυνάμει, κινεῖται, μήπω τῆς διαπλαστικῆς τέχνης δρασάσης τι εἰς τὸν χαλκόν. οὔτε μὴν ὅταν ἀπειληφὼς ᾖ τὸ τοῦ ἀνδριάντος εἶδος. οὐκ ἔτι γὰρ ἐνεργεῖ εἰς αὐτὸν ἡ διαπλαστικὴ τέχνη ἀπειληφότα γε ἅπαξ τὸ εἶδος. λείπεται οὖν ἐν τῷ μέσῳ χρόνῳ εἶναι τὴν κίνησιν ἔνθα ἐκεῖ-

κίνησιν παρὰ τὰ πράγματα, τοῦτο ἐλέγχει τὴν κίνησιν μὴ ὂν γένος. ἀλλ' ὥσπερ τὸ ἐπιστητὸν, καθὸ μὲν ἐπιστητὸν, τελεῖ ὑπὸ γένος τὸ ποιόν, ἔστι δὲ τοῦτο οὐ μόνον ἐν τῷ ποιῷ, ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις· καὶ γὰρ ἡ οὐσία ἐπιστητὸν, καὶ ἕκαστον τῶν ἄλλων, οὕτω φησὶ καὶ ἐπὶ κινήσεως. τελεῖ μὲν γὰρ καὶ αὐτὴ ὑπὸ τὸ ποσόν. ἔστι γὰρ συνεχής. καὶ πανταχοῦ τοῦτο κατασκευάζει ὁ ἀριστοτέλης ὅτι τῶν συνεχῶν ἡ κίνησις. ἐμφαίνεται δὲ καὶ ἐν ταῖς ἄλλαις κατηγορίαις ὥστε ὑπὸ τὸ ποσὸν ἡ κίνησις ἀνάγεται. γένος δὲ τὸ ποσὸν καὶ οὔτι κοινὸν ἂν γένος ὑπάλληλον. καὶ εὐλόγως γε τοῦτο συμβέβηκε. λέγω δὴ τὸ μὴ ἐν μιᾷ κατηγορίᾳ εἶναι τὴν κίνησιν, ὥσπερ οὐδὲ τὸ ἐπιστητόν. ἐπεὶ μηδὲ διακεκριμέναι εἰσὶν ἀπ' ἀλλήλων αἱ κατηγορίαι. ἀλλὰ πᾶσαι εἰσὶ συμπεπλεγμέναι. εἰ μὲν γὰρ κεχωρισμέναι ἦσαν ἀπ' ἀλλήλων, οὐκ ἦν δυνατὸν ὁρίσαι τὴν κίνησιν εἰ μὴ ἐν τῷ ποσῷ μόνον. ἐπειδὴ δὲ συμπεπλεγμέναι εἰσὶν, δηλονότι τὸ ἐν πλείοσι τὴν αὐτὴν διορᾶν οὐκ ἔστιν ἔξω λόγου. ἀπορήσειε δ' ἄν τις ὅτι εἰ τῶν συνεχῶν ἡ κίνησις, καὶ διὰ τοῦτο ὑπὸ τὸ ποσὸν ἀνάγεται, τί δήποτε ἐν κατηγορίαις μὴ κατέταξεν αὐτὴν ὁ ἀριστοτέλης ὑπὸ τὸ τοῦ συνεχοῦς εἶδος. φαμὲν οὖν ὅτι αἱ κατηγορίαι εἰσὶν ἤδη τελείων καὶ ἤδη πεποιημένων πραγμάτων. εἴρηται δὲ ὅτι ἡ κίνησις ἀτελής ἐστιν ἐνέργεια, καὶ ὁδὸς ἀπὸ δυνάμεως εἰς ἐνέργειαν. διὰ τοῦτο οὖν οὐκ ἠδύνατο συναριθμηθῆναι τοῖς εἴδεσι τοῦ συνεχοῦς.

ΕΚΑΣΤΟΝ δὲ, διχῶς ὑπάρχει πᾶσιν. οἷον τὸ τόδε. τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις. καὶ κατὰ τὸ ποιόν. τὸ μὲν γὰρ λευκόν. τὸ δὲ μέλαν. καὶ κατὰ τὸ ποσόν. τὸ μὲν τέλειον, τὸ δ' ἀτελές. ὁμοίως δὲ καὶ κατὰ τὴν φοράν. τὸ μὲν ἄνω, τὸ δὲ κάτω. ἢ τὸ μὲν κοῦφον, τὸ δὲ βαρύ. ὥστε κινήσεως καὶ μεταβολῆς ἐστιν εἴδη τοσαῦτα, ὅσα τοῦ ὄντος.

Τὸ τέταρτον λῆμμα, ὅτι ἐν ἑκάστῃ κατηγορίᾳ ἐν αἷς ἐστιν ἡ κίνησις. οὐκ ἔστιν ἁπλῆ τις, ἀλλὰ διπλῆ. ἐν ἑκάστῃ γάρ φησι κατηγορίᾳ θεωρεῖται. τὸ μὲν εἶδός τι, τὸ δὲ στέρησις. καὶ γίνεται ἡ ὁδὸς ἤτοι ἀπὸ τοῦ εἴδους ἐπὶ τὴν στέρησιν, ἢ ἀπὸ τῆς στερήσεως ἐπὶ τὸ εἶδος. εἴρηται δὲ ὅτι στέρησιν καλεῖ τὸ χεῖρον τῶν ἀντικειμένων. εἶδος δὲ τὸ κρεῖττον.

ΔΙΗΡΗΜΕΝΟΥ δὲ καθ' ἕκαστον γένος, τοῦ μὲν ἐντελεχείᾳ, τοῦ δὲ δυνάμει, ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτον, κίνησίς ἐστιν.

Ἐκθέμενος τὰ εἰρημένα ἀξιώματα, βούλεται λοιπὸν τὸν ὁρισμὸν τῆς κινήσεως ἀποδοῦναι. καὶ ἐπειδὴ εἰς τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ συμβάλλεται αὐτῷ τὸ πρῶτον τῶν λημμάτων, ἀναλαμβάνει πάλιν τοῦτο, ὅτι ἕκαστον τῶν τοῦ ὄντος γενῶν διῄρηται κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ἔστιν οὖν φησιν ἡ κίνησις ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστι. τουτέστι καθὸ ἕκαστον ἔχει τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἔτι σωζομένου τοῦ δυνάμει.

ΟΙΟΝ, τοῦ μὲν ἀλλοιωτοῦ, ᾗ ἀλλοιωτὸν, ἀλλοίωσις.

Ὁρισάμενος καθόλου τὴν κίνησιν, ἐφαρμόζει τὸν λόγον ἐπὶ τῶν κατὰ μέρος κινήσεων. καλῶς οὖν φησι τὴν κατὰ τὸ ποιὸν κίνησιν ἀλλοίωσιν. ἔστι γὰρ τελειότης τοῦ ἀλλοιωτοῦ, καθὸ ἀλλοιωτόν. τὸ γὰρ ἀλλοιωτὸν πρὶν ἄρξηται ἀλλοιοῦσθαι, οἷον λευκαίνεσθαι, ἢ μελαίνεσθαι, ἁπλῆν τὴν δύναμιν ἔχει. τότε δὲ τελειοῦται τὸ ἀλλοιωτὸν, ὅταν τὴν κατὰ δύναμιν κίνησιν λάβῃ.

ΤΟΥ δὲ αὐξητοῦ καὶ τοῦ ἀντικειμένου φθιτοῦ. οὐδὲν γὰρ ὄνομα κοινὸν ἐπ' ἀμφοῖν. αὔξησις, καὶ φθίσις. τοῦ δὲ γενητοῦ, καὶ φθαρτοῦ, γένεσις καὶ φθορά. τοῦ δὲ φορητοῦ, φορά.

Οὐχ ὥσπερ φησὶν ἐπὶ τῆς λευκάνσεως καὶ μελάνσεως, καὶ ψύξεως καὶ θερμάνσεως, καὶ πάσης τῆς κατὰ τὰς ἐναντίας ποιότητας μεταβολῆς ἔχομεν κοινὸν ὄνομα τὴν ἀλλοίωσιν, οὕτω καὶ ἐπὶ αὐξήσεως, καὶ φθίσεως. τοῦτο δέ ἐστι τῆς κατὰ τὸ ποσὸν μεταβολῆς. ἀλλ' ἰδίοις ὀνόμασιν αἱ κατὰ τὰ ἐναντία μεταβολαὶ ὠνομάσθησαν. ἡ μὲν αὔξησις ἡ δὲ φθίσις. κοινὸν μηδὲν ἔχουσαι ὄνομα.

ΟΤΙ δὲ τοῦτό ἐστιν ἡ κίνησις, ἐντεῦθεν δῆλον. ὅταν γὰρ τὸ οἰκοδομητὸν, ᾗ τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐντελεχείᾳ ᾖ, οἰκοδομεῖται. καὶ ἔστι τοῦτο οἰκοδόμησις. ὁμοίως δὲ καὶ μάθησις, καὶ ἰάτρευσις, καὶ κύλισις, καὶ ἅλσις, καὶ ἅδρυνσις, καὶ γήρανσις.

Παραδείγματι πιστοῦται, ὅτι καλῶς ἀποδέδοται ὁ τῆς κινήσεως ὁρισμός. οἱ λίθοι δυνάμει εἰσὶν οἰκοδομητοί. ὅταν οὖν οἰκοδομῶνται, τότε τελειότητα ἔχουσι τὴν κατὰ τὴν δύναμιν, ἐνεργείᾳ ὄντες οἰκοδομητοί. καὶ καλεῖται ἡ τοιαύτη αὐτῶν ἐνέργεια οἰκοδόμησις. ἡ δὲ οἰκοδόμησις, κίνησις. ὥστε καὶ ἡ τοῦ αὐξητοῦ ᾗ αὐξητὸν ἐνέργεια, κίνησις ἂν εἴη, αὔξησις καλουμένη. καὶ ἡ τοῦ φορητοῦ ᾗ φορητόν. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. ἀποδίδωσι δὲ τὴν κίνησιν ὁ θεμίστιος ὀλίγον μεταβαλὼν, ὅτι ἔστιν ἡ τοῦ δυνάμει ὄντος πρώτη ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν. ὑστέραν μὲν γὰρ εἶναι ἐντελέχειαν τὴν εἰς τὸ εἶδος μεταβολὴν, ἐν ᾧ ἠρεμεῖ λοιπόν. πρώτην δὲ τὴν ἐπ' ἐκεῖνο πορείαν, ἥτις ἐστὶ κίνησις. καὶ ἡ μὲν προτέρα ἐντελέχεια, ἀτελής ἐστιν ἐνέργεια. ὁδεύει γὰρ ἐπὶ τὸ εἶδος, καὶ τὴν κυρίως τε καὶ ἁπλῶς ἐντελέχειαν. ἡ δὲ ὑστέρα τελεία. ἠρεμεῖ γὰρ ἐν αὐτῇ γινόμενον τὸ κινούμενον, καὶ τὸ δυνάμει παντελῶς ἀπαλλάττεται.

ΕΠΕΙ δ' ἔνια ταὐτὰ καὶ δυνάμει καὶ ἐντελεχείᾳ ἐστὶν, οὐχ ἅμα δὲ ἢ οὐ κατὰ τὸ αὐτὸ, ἀλλ' οἷον θερμὸν μὲν δυνάμει, ψυχρὸν δὲ ἐντελεχείᾳ, πολλὰ ἤδη ποιήσει καὶ πείσεται ὑπ' ἀλλήλων.

κοινῶν, συμφώνως τῷ προοιμίῳ τῆς προκειμένης πραγματείας. καὶ γὰρ ἀρχόμενος ἔλεγε δεῖν ἐκ τῶν σαφεστέρων ἄρξασθαι. σαφέστερα δὲ εἶναι, τὰ συγκεχυμένα μᾶλλον. ταῦτα δὲ εἶναι τὰ ὁλικώτερα. οὕτως οὖν καὶ νῦν πρότερον δεῖ εἰπεῖν τί ἐστιν ἁπλῶς κίνησις. ἔπειτα διαρθρῶσαι τίς ἐστιν ἡ κατὰ τόπον, καὶ αἱ λοιπαί. ἡ οὖν οὕτως ὅπερ εἶπον ἡ περὶ τῶν κοινῶν θεωρία. ἃ ὅπερ καὶ μάλα, κοινὰ νῦν λέγει, οὐ τὰ συγκεχυμένα καὶ πλείοσιν ἐφαρμόζοντα, ἀλλὰ τὰ πλείοσι παρακολουθοῦντα. δεῖ οὖν πρῶτες φησὶ περὶ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς παρακολουθούντων εἰπεῖν. ἔπειτα περὶ τῶν ἰδίᾳ τισί. καὶ ὅτι τοῦτο λέγει, δῆλον ἐξ αὐτῶν τῶν ῥητῶν. εἰπὼν οὖν ὅτι, δῆλον γὰρ ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα πᾶσι. κοινὰ δηλονότι λέγων τὰ πᾶσι παρακολουθοῦντα. τὴν δὲ αἰτίαν προσθεὶς τοῦ νῦν περὶ αὐτῶν διαλέγεσθαι, ἐπήγαγε τὸ ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν. καὶ ἄλλως ὅτι οὐδὲ περὶ μερικοῦ χρόνου ἢ τόπου διαλέγεταί τινος. τὸ δὲ κοινὰ καὶ καθόλου ταῦτα πᾶσι, ἀντὶ τοῦ κοινά ἐστι ταῦτα, καὶ καθόλου πᾶσι τοῖς φυσικοῖς παρακολουθεῖ. πᾶν γὰρ σῶμα συνεχές τέ ἐστι. καὶ ἐν τόπῳ πάντως καὶ ἐν χρόνῳ. ἀλλὰ καὶ τὸ κενὸν κατὰ τὴν τῶν φυσικῶν ὑπόληψιν πᾶσι παρακολουθεῖ. ἐπειδὴ καὶ τὸ κενὸν οὐδὲν ἄλλο οἴονται εἶναι, ἢ τόπον ἐστερημένον σώματος.

» ΕΣΤΙ δή τι, τὸ μὲν ἐντελεχείᾳ μόνον, τὸ δὲ δυνάμει. καὶ ἐντελεχείᾳ, τὸ μὲν τόδε τι. τὸ δὲ, τοσόνδε. τὸ δὲ, τοιόνδε. καὶ ἐπὶ τῶν ἄλλων τῶν τοῦ ὄντος κατηγοριῶν, ὁμοίως.

Ἐντεῦθεν τὰ ἀξιώματα προλαμβάνει. καὶ πρῶτόν γε ὅτι τῶν ὄντων. τὰ μὲν, μόνως ἐνεργείᾳ ἐστί. τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ. καὶ τοῦτο οὐ μόνον ἐπὶ τῆς οὐσίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν. ἀλλὰ τὸ μὲν μόνως ἐνεργείᾳ εἶναι, ἐν μόνῃ τῇ οὐσίᾳ. ὡς γὰρ ἔμπροσθεν εἴπομεν, οὐδὲν ἄλλο πάντῃ τοῦ δυνάμει ἀπήλλακται, πλὴν τῶν ἀΰλων καὶ θείων οὐσιῶν. πᾶν γὰρ σῶμα πάντῃ τε καὶ πάντως ἕξει κατά τινα τῶν εἰρημένων ἡμῖν τρόπων τὸ δυνάμει. εἰ δέ τις ἀξιώσει τὴν οὐσίαν τῶν οὐρανίων μόνως ἐνεργείᾳ εἶναι λέγειν, διότι μὴ πέφυκεν εἰς ἄλλο τι μεταβάλλειν, οὐ μόνον ἐν τῇ οὐσίᾳ ἀποθήσεται τὰ μόνως ἐνεργείᾳ ὄντα, κατά γε τοῦτον τὸν τρόπον, ἀλλὰ καὶ ἐν τῷ ποσῷ καὶ ἐν τοῖς λοιποῖς. καὶ γὰρ ὁ ἀριθμὸς ὁ τῶν οὐρανίων καὶ αἱ συμφυεῖς αὐτῶν ποιότητες, μόνως ἐνεργείᾳ ἐστίν, οὐδὲ μίαν κατ' αὐτὸ τοῦτο μεταβολὴν ἐπιδεχόμενα.

» ΤΟΥ δὲ πρός τι, τὸ μὲν καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται. τὸ δὲ, κατὰ τὸ ποιητικὸν καὶ παθητικόν. καὶ ὅλως κινητικόν τι, καὶ κινητόν.

Τὸ δεύτερον ἀξίωμα.

» ΤΟ γὰρ κινητικὸν, κινητικὸν τοῦ κινητοῦ. καὶ τὸ κινητὸν, κινητὸν ὑπὸ τοῦ κινητικοῦ.

Ἐπειδὴ εἶπε τῶν πρός τι εἶναι τὸ κινητικὸν καὶ τὸ κινητὸν, τοῦτο αὐτὸ κατασκευάσαι διὰ τούτων ἠθέλησε. τὸ γὰρ κινητικόν φησι, τοῦ κινητοῦ ἐστι κινητικόν. καὶ ἔμπαλιν, τὸ κινητὸν κινητόν ἐστιν ὑπὸ τοῦ κινητικοῦ, ὥστε πρός τι ταῦτα.

» ΟΥΚ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα. μεταβάλλει γὰρ ἀεὶ τὸ μεταβάλλον, ἢ κατ' οὐσίαν, ἢ κατὰ ποσὸν, ἢ κατὰ ποιὸν, ἢ κατὰ τόπον.

Τρίτον ἀξίωμα. ὅτι ἡ κίνησις ἐν τοῖς κινοῦσι καὶ κινουμένοις ἐστὶ, καὶ οὐ καθ' αὑτό τι ὂν οὐδὲ κεχωρισμένον. ὡς τε ὁσαχῶς ἂν εἴη τὰ κινούμενα, τοσαυταχῶς καὶ ἡ κίνησις. κινεῖται δὲ τὰ κινούμενα τετραχῶς. κατ' οὐσίαν, κατὰ ποσὸν, κατὰ ποιὸν, κατὰ τόπον. ἐν τούτοις ἄρα καὶ ἡ κίνησις.

» ΚΟΙΝΟΝ δ' ἐπὶ τούτων οὐδέν ἐστι λαβεῖν, ὡς φαμὲν, ὃ οὔτε τόδε, οὔτε ποσὸν, οὔτε ποιὸν, οὔτε τῶν ἄλλων κατηγορημάτων οὐδέν. ὥστ' οὐδὲ κίνησις, οὔτε μεταβολὴ οὐδενὸς ἔσται παρὰ τὰ εἰρημένα, μηδενός γε ὄντος παρὰ τὰ εἰρημένα.

Ὅτι οὐκ ἔστι κίνησις παρὰ τὰ πράγματα κατασκευάζει. εἰ γὰρ ἐν ταύταις ταῖς κατηγορίαις μόνον ἡ κίνησις, οὐκ ἔστι δέ τι ὂν ὑφεστηκὸς πρᾶγμα κοινὸν τῶν κατηγοριῶν ἕτερον ὂν παρ' αὐτὰς, καὶ οἷον γένος αὐτῶν. ὥσπερ τῶν κατὰ μέρος ζώων τὸ ἁπλῶς ζῷον, ὅπερ ἐστὶν οὐσία ἔμψυχος αἰσθητικὴ, ἕτερον ὂν παρ' ἕκαστον τῶν κατὰ μέρος ζώων, καὶ ἐν ἑκάστῳ θεωρούμενον. τὸ γὰρ ὂν ὁμωνύμως τῶν κατηγοριῶν κατηγορεῖται. δηλονότι οὐδὲ κίνησις ἂν εἴη παρὰ ταύτας τὰς κατηγορίας. ἐντεῦθεν δὲ λαβόντες οἱ ἐξηγηταὶ ἀφορμὰς, φασὶ μὴ εἶναι τὴν κίνησιν γένος, ἀλλ' ὁμώνυμον φωνήν. εἰ γὰρ οὐκ ἔστι κίνησις παρὰ τὰς κατηγορίας, τῶν δὲ κατηγοριῶν κοινὸν γένος οὐκ ἔστι, δῆλον δήπου ὅτι οὐδὲ κινήσεως γένος ἂν εἴη. εἰ γὰρ ἦν τῶν κατηγοριῶν ἐν αἷς ἡ κίνησις κοινὸν γένος, ἐν ἐκείνῳ ἂν ἦν πρώτῳ τῷ γένει ἐξ ἀνάγκης ἡ κίνησις, καὶ οὐκ ἂν ἐλέγετο πολλαχῶς. ἀλλ' ὥσπερ ἐκεῖνο γένος τῶν κατηγοριῶν ὑπῆρχεν ἐν αἷς ἡ κίνησις, οὕτω καὶ ἡ ἐν ἐκείνῳ κίνησις γένος ἂν ἦν τῶν κινήσεων τῶν ἐν ταῖς ὑπ' ἐκεῖνο τὸ γένος κατηγορίαις. νῦν δὲ οὐχ οὕτως ἔχει ἡ κίνησις, ὥσπερ ἔχει τὰ πράγματα. ἐπεὶ οὖν διαφέρουσιν αἱ φύσεις τῶν προειρημένων γενῶν, δηλονότι καὶ τῶν ἐν αὐταῖς κινήσεων. ὥστε κἂν εἷς ὁρισμὸς ἀποδοθῇ τῆς κινήσεως, ὁμώνυμος ἔσται καὶ οὗτος, καὶ τῶν πολλαχῶς λεγομένων. καὶ πολύς ἐστιν ὁ Ἀλέξανδρος ἐν τῷ τοῦτο κατασκευάζειν, ὅτι ἡ κίνησις οὐκ ἔστι γένος, ἀλλ' ὁμώνυμος φωνή. μήποτε οὖν ἐστιν εἰπεῖν, ὅτι οὐ τὸ μὴ εἶναι

σα ἔλεγεν ψυχῆς. ἢ ἁπλῶς κοινὸν ἐστὶν αὐτὸ ψυχῆς λέγειν. οὕτως οὖν καὶ αὐτὸ κινήσεως ἐποίησε. τὸ δὲ λοιπὸν
» συμβάλλεται εἰς τὸ δεῖξαι ὅτι ἡ κίνησις καθ᾽ ἕκαστον τῶν κινουμένων διπλῆ τίς ἐστιν. Ἐπειδὴ ἡ φύσις μέν
» ἐστιν ἀρχὴ κινήσεως καὶ μεταβολῆς. ἀρχὴ μὲν κινήσεως καὶ ἠρεμίας ἡ φύσις. νῦν δὲ, ἐπειδὴ μόνης κι
νήσεως αὐτῷ χρεία, ταύτης ἐμνήσθη.

» ΔΙΟΡΙΣΑ μένοις δὲ περὶ κινήσεως, πειρατέον τὸν αὐτὸν ἐπελθεῖν τρόπον περὶ τῶν ἐφεξῆς. δο
» κεῖ δ᾽ ἡ κίνησις εἶναι τῶν συνεχῶν.

Τ ὧν ἐφεξῆς, ἀπείρου, τόπου, χρόνου, κενοῦ. ἐφεξῆς δὲ εἶπεν, ἤτοι ὅσα ἐφεξῆς ὄντα τῷ τῆς κινήσεως ἐμ
φαίνεται λόγῳ. ἐπεὶ γὰρ περὶ κινήσεως ὁ λόγος, ἕπεται δὲ τῷ τῆς κινήσεως λόγῳ τὸ ἄπειρον, ὁ χρόνος,
τὸ κενὸν, δεῖ καὶ περὶ τούτων εἰπεῖν. ἢ περὶ τῶν ἐφεξῆς τῇ κινήσει, κοινῶς ἑπομένων πᾶσι τοῖς φυσικοῖς
πράγμασι. τὸν αὐτὸν δὲ τρόπον, ἀντὶ τοῦ τῇ τοιαύτῃ μεθόδῳ ζητοῦντας τί ἐστιν ἕκαστον, καὶ εἰ τί ἐστιν ὅλως,
εἴτε καὶ μὴ, καὶ πῶς ἐστιν, ἢ οὐκ ἔστι. δοκεῖ δὲ ἡ κίνησις εἶναι τῶν συνεχῶν. δοκεῖ δὲ, ἤτοι τοῖς πολλοῖς δο
κεῖ, ἢ δοκεῖ καθόλου πᾶσι καὶ αὐτῷ. ἀντὶ τοῦ φαίνεται. δόξει γάρ τῳ μὴ ἀνάγειν ὁ ἀριστοτέλης ὑπὸ τὸ
συνεχὲς τὴν κίνησιν, διότι μηδὲ ὑπὸ τὴν τοῦ ποσοῦ κατηγορίαν, μηδὲ ὅλως ὑπό τινα τῶν κατηγοριῶν. ὥσ
τε εἰ δύο μὲν εἴδη τοῦ ποσοῦ τὸ συνεχὲς καὶ τὸ διωρισμένον, μὴ ἀνάγεται δὲ ὑπὸ τὸ ποσὸν ἡ κίνησις, πολ
λῷ γε δήπου οὐδὲ ὑπὸ τὸ συνεχές. ἐλέγοντο γὰρ αἱ κατηγορίαι τῶν τελείων εἶναι, καὶ ἤδη πεποιημένων
πραγμάτων. ἡ δὲ κίνησις ἀτελής ἐστιν ἐνέργεια. ὥστε ὅσον ἐκ τῶν ἐν κατηγορίαις εἰρημένων, τὸ δοκεῖ δὲ
ἡ κίνησις εἶναι τῶν συνεχῶν, ὡς πρὸς τοὺς πολλοὺς ἐκληπτέον. ἀλλ᾽ ἐπειδὴ ἐνταῦθα πολύς ἐστιν ὁ ἀριστο
τέλης κατασκευάζων ὅτι ἡ κίνησις συνεχής ἐστι, δῆλον ὅτι τὸ δοκεῖ δὲ ἡ κίνησις ἀντὶ τοῦ φαίνεται, καὶ
ἀρέσκει ἐκληψόμεθα. ἐν γὰρ ταῖς κατηγορίαις, εἰ καὶ μὴ ἀνήγαγεν ὑπὸ τὰ εἴδη τοῦ συνεχοῦς τὴν κίνησιν,
οὐ παρὰ τὸ μὴ εἶναι συνεχῆ, ἀλλ᾽ ὡς εἶπον διὰ τὸ ἀτελῆ εἶναι αὐτὴν ἐνέργειαν, ἐκεῖ δὲ περὶ τῶν τελείων
εἰδῶν εἶναι τὸν λόγον.

» ΤΟ δ᾽ ἄπειρον ἐμφαίνεται πρῶτον ἐν τῷ συνεχεῖ.

Τ ὁ πρῶτον ἤτοι ἀντὶ τοῦ καθ᾽ αὑτὸ εἶπε, κατὰ τὸ δεύτερον σημαινόμενον τοῦ καθ᾽ αὑτό. τοῦτο δὲ ὅπερ ἐν
τῷ τοῦ ὑποκειμένου λόγῳ παραλαμβάνεται. ὥσπερ καὶ τὸ ἄπειρον. παραλαμβάνεται γὰρ ἐν τῷ ὁρισ
μῷ τοῦ συνεχοῦς. ὅπερ ἐστὶν αὐτῷ ὑποκείμενον. λέγομεν γὰρ συνεχὲς εἶναι τὸ ἐπ᾽ ἄπειρον διαιρετόν. ἢ τὸ
πρῶτον ἀντὶ τοῦ προηγουμένως, καὶ κατὰ πρῶτον λόγον. ἔστι μὲν γὰρ καὶ ἐν τῷ διωρισμένῳ τὸ ἄπειρον,
οἷον ἐν τῷ ἀριθμῷ. αὔξεται γὰρ ἐπ᾽ ἄπειρον ὁ ἀριθμός. ἀλλὰ πρώτως μὲν ἐν τῷ συνεχεῖ. διὰ τὸ συνεχὲς
δὲ καὶ ἐν τῷ διωρισμένῳ. τῷ γὰρ ἐπ᾽ ἄπειρον δύνασθαι τὸ συνεχὲς διαιρεῖσθαι, ταύτῃ καὶ ὁ ἀριθμὸς ἐπ᾽
ἄπειρον αὔξεται. ἡ γὰρ τοῦ συνεχοῦς ἐπ᾽ ἄπειρον διαίρεσις, γεννᾷ τοῦ ἀριθμοῦ τὴν ἐπ᾽ ἄπειρον αὔξησιν.
ὥστε πρώτως ἐν τῷ συνεχεῖ τὸ ἄπειρον. διὰ τὸ συνεχὲς δὲ καὶ ἐν τῷ διωρισμένῳ.

» ΔΙΟ καὶ τοῖς ὁριζομένοις τὸ συνεχὲς, συμβαίνει προσχρήσασθαι πολλάκις τῷ λόγῳ τῷ τοῦ ἀπείρου.
» ὡς τὸ εἰς ἄπειρον διαιρετὸν, συνεχὲς ὄν.

Κ αλῶς εἶπε πολλάκις. οὐ γὰρ ἀεὶ τὸ συνεχὲς ὁριζόμενοι, τὸ ἄπειρον ἐν τῷ ὁρισμῷ τοῦ συνεχοῦς παραλαμ
βάνομεν. πλείονας γὰρ ἀποδοῦναι τοῦ αὐτοῦ δυνατὸν ὁρισμούς. αὐτὸς οὖν ἐν κατηγορίαις ὁρίζεται τὸ
συνεχὲς λέγων, ὅτι συνεχές ἐστιν οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει. καὶ οὐ προσχρῆται ἐν τῷ
ὁρισμῷ τούτῳ τῷ ἀπείρῳ.

» ΠΡΟΣ δὲ τούτοις, ἄνευ τόπου καὶ κενοῦ καὶ χρόνου, ἀδύνατον κίνησιν εἶναι.

Α ἄνευ μὲν τόπου καὶ χρόνου μὴ εἶναι κίνησιν καὶ αὐτῷ δοκεῖ, καὶ τῇ ἀληθείᾳ. ἡ γὰρ κίνησις κινουμένου ἐστὶ
κίνησις. κινεῖται δὲ μόνον τὸ σῶμα. πᾶν δὲ σῶμα ἐν τόπῳ. ἄνευ τόπου ἄρα κίνησις οὐκ ἂν εἴη. καὶ ὅτι μὲν
ἡ κατὰ τόπον κίνησις ἄνευ τόπου οὐκ ἂν εἴη, αὐτόθεν δῆλον. αὐτὸ γὰρ τοῦτο κατὰ τόπον κίνησις λέγε
ται. δείκνυσι δὲ ἐφεξῆς ὅτι οὐδεμίαν ἄλλην κίνησιν δυνατὸν γενέσθαι ἄνευ τῆς κατὰ τόπον. διότι προ
τέραν εἶναι πασῶν τὴν κατὰ τόπον κίνησιν δείκνυσιν. ἀλλ᾽ οὐδὲ ἄνευ χρόνου κίνησις ἂν γένοιτο, ὡς ἐν τοῖς
τελευταίοις βιβλίοις δείκνυται. πᾶσα γὰρ ἔχει τὸ πόθεν ποῖ. οὐχ ὡς αὐτῷ δὲ δοκοῦν τὸ μηδὲ ἄνευ κε
νοῦ κίνησιν εἶναι, οὕτως εἶπεν. ἀλλ᾽ ὡς δοκοῦν τοῖς φυσικοῖς.

» ΔΗΛΟΝ οὖν ὡς διά τε ταῦτα, καὶ διὰ τὸ πάντων εἶναι κοινὰ καὶ καθόλου ταῦτα πᾶσι, σκε
» πτέον προχειρισαμένοις περὶ ἑκάστου τούτων. ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν κοινῶν
» ἐστί. καὶ πρῶτον δὲ καθάπερ εἴπομεν περὶ κινήσεως.

Δ ιὰ δύο φησὶν αἰτίας ἀναγκαῖος ὁ περὶ τούτων λόγος. πρώτως μὲν, διότι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ
κινήσεως λόγος. ἡ γὰρ φύσις ἀρχὴ κινήσεως. ταῦτα γὰρ τῇ κινήσει συνεμφαίνεται. ἔπειτα καὶ διότι τὸ
προκείμενον ἡμῖν ἐστι διαλαβεῖν περὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων.
τοῦτο γὰρ ἐξ ἀρχῆς ἐπεβαλλόμεθα. καὶ τοῦτο εὐλόγως. ἀεὶ γὰρ τῆς τῶν ἰδίων θεωρίας προηγεῖται ἡ τῶν
κοινῶν. ἀδύνατον γὰρ μαθεῖν τίς ἐστιν ὁ ἀποδεικτικὸς συλλογισμὸς, τὸν μὴ πρότερον μεμαθηκότα τίς
ἐστιν ὁ ἁπλῶς συλλογισμός. οὕτως οὖν καὶ φύσιν ζώων, ἢ φύσιν φυτῶν ἀδύνατον μαθεῖν, τὸν μὴ εἰδότα,
τί ποτέ ἐστιν ἁπλῶς φύσις. ἢ οὖν οὕτως ἀκουσόμεθα τὸ ὑστέρα γὰρ ἡ περὶ τῶν ἰδίων θεωρία τῆς περὶ τῶν

κινούμενον κινεῖ, καὶ τὸ κινούμενον ὑπὸ κινοῦντος κινεῖται. τὰ δὲ λοιπὰ εἴδη τοῦ πρός τι οὐ τίθησιν. οἷον τὸ κατ' ἰσότητα, τὸ καθ' ὁμοιότητα, τὸ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ἐπειδὴ τούτων μόνον δεῖται. τοῦ μὲν κατὰ τὴν ὑπεροχὴν καὶ ἔλλειψιν, ὅτι τινὲς ἐδόξασαν ἐν τούτοις εἶναι τὴν κίνησιν. τὸ δὲ κατὰ τὸ κινοῦν καὶ κινούμενον, ἵνα δείξῃ ὅτι ἡ κίνησις ἐν τούτοις μόνον. τρίτον λῆμμα ὅτι οὐκ ἔστι τὶς κίνησις αὐτὴ καθ' ἑαυτὴν χωρὶς τῶν κινουμένων. τὰ κινούμενα δὲ, ἢ οὐσία ἐστὶν, ἢ ποσὸν, ἢ ἄλλό τι τῶν κατὰ τὰς ἄλλας κατηγορίας. καὶ οὐκ ἔστιν αὐτό τι καθ' αὑτὸ κινούμενον, ὃ μήτε οὐσία ἐστὶ, μήτε ποσὸν, μήτε τῶν ἄλλων κατηγορημάτων μηδέν. καὶ διὰ τοῦτο οὐδὲ κίνησίς ἐστιν ἑτέρα παρὰ ταῦτα. ἀλλὰ πᾶσα κίνησις ἢ κατ' οὐσίαν ἐστὶν, ἢ κατὰ τὸ ποσὸν, καὶ τὰ λοιπά. διττὴ δέ τις θεωρεῖται οὖσα ἡ κίνησις. ἡ μὲν ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον. ἡ δὲ ἀπὸ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον. οἷον, ἐπὶ τῆς οὐσίας, ἢ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὄν. ἢ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὄν. ἐπὶ δὲ τοῦ ποσοῦ, ἢ ἀπὸ τοῦ τελείου ἐπὶ τὸ ἀτελὲς, καὶ ἁπλῶς ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον. ἢ ἔμπαλιν. ἐπὶ δὲ τοῦ ποιοῦ, ἢ ἀπὸ τοῦ λευκοῦ ἐπὶ τὸ μέλαν, ἢ ἀπὸ τοῦ μέλανος ἐπὶ τὸ λευκὸν, καὶ ἐπὶ τῶν ἄλλων ἐναντίων ὡσαύτως. ἐπὶ δὲ τοῦ τόπου, ἢ ἀπὸ τοῦ κάτω ἐπὶ τὸ ἄνω, ἢ ἔμπαλιν. ἔστι δ' ἐν τοῖς ἐναντίοις ἅπασι, τὸ μὲν κρεῖττον, τὸ δὲ χεῖρον. τοῦ γὰρ μὴ ὄντος τὸ ὂν κρεῖττον, καὶ τοῦ ἀτελοῦς τὸ τέλειον, καὶ τοῦ μέλανος τὸ λευκὸν, καὶ τοῦ κάτω τὸ ἄνω, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως κατὰ τὴν αὐτὴν ἀναλογίαν. συμβάλλεται δ' αὐτῷ ταῦτα, οὐ μόνον εἰς τὸ ἀποδοῦναι τὸν ὁρισμὸν τῆς κινήσεως, ἀλλὰ καὶ πρὸς τὸ δεῖξαι τίνα τῶν κινούντων καὶ ἀντικινεῖται, καὶ τίνα κινεῖ μὴ κινούμενα. διαλέξεται γὰρ καὶ περὶ τούτων ἐφεξῆς. ταῦτα οὖν προλαβὼν, ἐφεξῆς ἀποδίδωσι τί ἐστι κίνησις, ὁριζόμενος αὐτὸς οὕτως, κίνησίς ἐστιν ἡ τοῦ δυνάμει ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστι. τὸ μὲν οὖν τῆς ἐντελεχείας ὄνομα, σημαίνει παρὰ τῷ ἀριστοτέλει τὴν ἐνέργειαν, καὶ τὴν τελειότητα. σύγκειται γὰρ παρὰ τὸ ἐν καὶ τὸ τέλειον καὶ τὸ ἔχειν. ὅταν οὖν ἕκαστον ἔχῃ τὴν ἑαυτοῦ τελειότητα, ἐντελέχεια λέγεται εἶναι. προσέθηκε δὲ τὸ ᾗ τοιοῦτόν ἐστιν ἀντὶ τοῦ ᾗ δυνάμει τοδί τί ἐστι. ἵνα ἡ ἐντελέχεια γίνηται μενούσης ἔτι καὶ σωζομένης τῆς δυνάμεως, ἧσπερ ἦν ἡ ἐντελέχεια. διττὴ γὰρ ἐφ' ἑκάστου ἡ ἐντελέχεια, ἡ μὲν ἤδη τετελειωμένου τοῦ πράγματος, καὶ ἅπαν τὸ δυνάμει ἀποβαλόντος. ἡ δὲ κινηθέντος ἐκ τῆς δυνάμεως, καὶ κατὰ ταύτην ἀλλοιουμένου τε, καὶ ἐπὶ τὸ εἶδος ἀγομένου. οἷον ἐπὶ τοῦ χαλκοῦ τοῦ δυνάμει ἀνδριάντος. ἐντελέχεια γὰρ αὐτοῦ ἐστι, καὶ ὅταν γίνηται ἀνδριὰς ὑπὸ τοῦ ἀνδριαντοποιοῦ τοιῶσδε σχηματιζόμενος, καὶ ὅταν ἤδη γεγενημένος ᾖ ὁ ἀνδριὰς, καὶ μεταληφὼς τὸ τέλειον τοῦ ἀνδριάντος εἶδος. ἀλλ' αὕτη μὲν ἡ ἐντελέχεια οὐκέτι σωζομένης ἐστὶ τῆς δυνάμεως, καθ' ἣν δυνατὸν γενέσθαι ἀνδριάς. ἤδη γάρ ἐστιν ἀνδριὰς, καὶ οὐκέτι ἔχει τὸ δυνάμει. διὸ καὶ τελειότης αὕτη οὐ τῆς δυνάμεως. πῶς γὰρ ἣν φθείρει; ἀλλὰ τοῦ πράγματος, ἐν ᾧ ἡ δύναμις ἦν. ἡ δὲ πρότερον ῥηθεῖσα ἐντελέχεια, καθ' ἣν ἐγίνετο ἀνδριὰς, ἔτι τὸ δυνάμει διαφυλάττει. τὴν οὖν τοιαύτην ἐντελέχειαν κίνησιν λέγει, καὶ τελειότητα τῆς δυνάμεως. πᾶσα γὰρ τελειότης σώζει τοῦτο ὃ τελειοῖ. ἕως μὲν γὰρ ἡ κίνησις, σώζεται καὶ ἡ κίνησις ἡ τελειωτικὴ τῆς δυνάμεως. παυσαμένης δὲ τῆς δυνάμεως, παύεται καὶ ἡ κίνησις. παύεται δὲ ἡ δύναμις ἡνίκα ἂν τὸ εἶδος αὐτῇ γένηται καὶ ἡ μορφή. τοῦτο οὖν ἐστιν ἡ κίνησις ἡ τοῦ δυνάμει ὄντος τελειότης, καθὸ δυνάμει ἐστίν. ὅτι δὲ τοῦτό ἐστιν ἡ κίνησις, ἡ τοῦ δυνάμει ὄντος τελειότης καθὸ δυνάμει ἐστὶν, δείκνυσι καὶ διά τινος παραδείγματος. τὸ γὰρ οἰκοδομητόν φησιν ὅταν ἐνεργείᾳ ᾖ τοιοῦτον, λέγω δὲ ὅταν οἰκοδομῆται, τότε κινεῖται. ἄγεται γὰρ ἐπὶ τὸ τῆς οἰκίας εἶδος, καὶ ἔστι τὸ τοιοῦτον οἰκοδόμησις. τὸ δὲ οἰκοδομούμενον ἔτι ἔχει τὸ δυνάμει. ἔστι γὰρ ἔτι οἰκοδομητόν. ὡς ὅταν γε οἰκοδομηθῇ παντελῶς, οὔτε τὸ δυνάμει σώζει λοιπὸν, οὔτε κινεῖται. ἡ τοίνυν οἰκοδόμησις κίνησις, ἡ δὲ οἰκοδόμησις ἔτι ἐν δυνάμει ἐστὶ, καλῶς ἄρα εἴρηται ὅτι ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια καθὸ δυνάμει ἐστὶ, κίνησίς ἐστι. συνεβάλετο δὲ αὐτῷ εἰς τὴν ἀπόδοσιν τοῦ ὁρισμοῦ τῆς κινήσεως τὸ πρότερον λῆμμα τὸ λέγον, ὅτι τῶν ὄντων τὰ μὲν μόνως ἐνεργείᾳ ἐστὶ, τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ. ἐντεῦθεν γὰρ δὴ εἴσεται ὅτι κίνησίς ἐστιν ἐν τοῖς δυνάμει οὖσι, καὶ οὐκ ἐν τοῖς ἐνεργείᾳ. τὸ δὲ δεύτερον ἀξίωμα τὸ λέγον ὅτι τῶν πρός τι τὰ μὲν καθ' ὑπεροχήν ἐστι καὶ ἔλλειψιν, τὰ δὲ κατὰ τὸ κινοῦν καὶ τὸ κινούμενον, συμβάλλεται αὐτῷ εἰς τὸ ἐλέγξαι ὅτι οὐκ ἔστιν ἐν τοῖς καθ' ὑπεροχὴν καὶ ἔλλειψιν ἡ κίνησις, ὡς ἐδόκει τισὶν, ἀλλὰ κατὰ τὸ κινοῦν καὶ τὸ κινούμενον, τὴν μὲν ἀρχὴν ἔχουσα ἐκ τοῦ κινοῦντος, τὸ δὲ εἶναι ἐν τῷ κινουμένῳ. δείξει γὰρ αὐτὸ τοῦτο ἐν τοῖς ἑξῆς, ὅτι οὐκ ἔστιν ἐν τῷ κινοῦντι ἡ κίνησις, ἀλλ' ἐν τῷ κινουμένῳ. τὸ δὲ τρίτον ἀξίωμα τὸ λέγον, ὅτι οὐκ ἔστι κίνησις παρὰ τὰ πράγματα, ἀλλὰ πᾶσα κίνησις ἢ ἐν οὐσίᾳ ἐστὶν, ἢ ἐν ποσῷ, ἢ ἐν ποιῷ, ἢ ἐν τῷ ποῦ, συμβάλλεται αὐτῷ εἰς τὸ δεῖξαι πόσα ἐστὶν εἴδη κινήσεως, καὶ ἔτι μᾶλλον εἰς τὸ δεῖξαι ὅτι οὐκ ἔστι τὸ κοινὸν γένος κινήσεως, ἀλλ' εἶναι ὁμώνυμοι αἱ κινήσεις κατὰ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. δείξει γὰρ ὅτι πρώτη μέν ἐστιν ἡ κατὰ τόπον κίνησις, ὕστεραι δὲ αἱ λοιπαί. καὶ ὅτι ἀναιρουμένη μὲν συναναιρεῖ τὰς λοιπὰς, ἀναιρουμένων δ' ἐκείνων αὕτη οὐ συναναιρεῖται. ὥστε πρώτη τῇ φύσει. ἐν οἷς γὰρ τὸ πρότερον καὶ τὸ ὕστερον, τούτων καὶ τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι γένος. ὥστε οὐδὲ κυρίως ὁρισμὸν ἀποδώσει τῆς κινήσεως, ἀλλ' ὑπογραφικὸν λόγον ἁρμόζοντα δὲ ἐξ ἀναλογίας πάσῃ κινήσει, ὥσπερ καὶ ἐπὶ ψυχῆς ἐποίησε. καίτοι δείξας ὅτι οὐκ ἔστι τὸ κοινὸν γένος τυχὸν τῷ καὶ ἐν αὐτοῖς εἶναι τὸ πρότερον καὶ τὸ ὕστερον, ὅμως φησὶν ἀποδίδομεν κοινόν τι

ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΕΠΕΙ ΔΕ ἡ φύσις μέν ἐστιν ἀρχὴ κινήσεως καὶ στάσεως καὶ μεταβολῆς, ἡ δὲ μέθοδος ἡμῖν περὶ φύσεώς ἐστι, δεῖ μὴ λανθάνειν τί ἐστι κίνησις· ἀναγκαῖον γὰρ ἀγνοουμένης αὐτῆς, ἀγνοεῖσθαι καὶ τὴν φύσιν.

Τεσσάρων τινῶν ὄντων τῶν παρακολουθούντων τοῖς φυσικοῖς πράγμασι, περὶ ὧν ἔφαμεν ἐν τῷ βιβλίῳ τούτῳ εἶναι τῷ ἀριστοτέλει τὸν λόγον, ὕλης, εἴδους, κινήσεως, τόπου, χρόνου· περὶ μὲν ὕλης καὶ εἴδους, διηλέχθη ἐν τοῖς πρὸ τούτου βιβλίοις, ἀλλὰ μᾶλλον περὶ μὲν ὕλης ἐν τῷ προτέρῳ, μᾶλλον δὲ περὶ εἴδους ἐν τῷ δευτέρῳ, λείπεται δὲ αὐτῷ περὶ τῶν λοιπῶν τριῶν διαλεχθῆναι καὶ τέως περὶ κινήσεως προτίθεται διαλαβεῖν καὶ συλλογίζεται ὅτι ἀναγκαῖος τῷ φυσικῷ ὁ περὶ κινήσεως τόπος, τοῦτον τὸν τρόπον· ἐπειδὴ φύσιν ὡρισάμεθα τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως, ἀνάγκη πᾶσα τὸν μέλλοντα εἰδέναι τί ἐστιν ἡ φύσις, καὶ τὸν ὁρισμὸν ταύτης, πολλῷ πρότερον εἰδέναι τί ἐστι κίνησις· δεῖ γὰρ δῆλα εἶναι τὰ πρὸς ὁρισμόν τινος παραλαμβανόμενα· ὁ γὰρ ἀγνοῶν τί ἐστι κίνησις, οὐδὲ τὸν ὁρισμὸν τῆς φύσεως εἴσεται· ἐν τῷ ὁρισμῷ γὰρ τῆς φύσεως ἐστὶν ἡ κίνησις· ἀναγκαῖος ἄρα τῷ φυσικῷ ὁ περὶ κινήσεως λόγος, ἄλλως τε ἐπειδὴ πᾶσα κίνησις συνεχὲς, ὡς δείκνυται ἐν τοῖς τελευταίοις βιβλίοις ταύτης τῆς πραγματείας· πᾶσα γὰρ κίνησις ἐν μεγέθει· πᾶν δὲ μέγεθος συνεχὲς, καὶ πᾶσα ἄρα κίνησις συνεχής· ἐν δὲ τῷ τοῦ συνεχοῦς λόγῳ ἐστὶν ὅτι ἐμπεριέχεται τὸ ἄπειρον· ὁριζόμενοι γὰρ τὸ συνεχὲς ἄπειρον, οὕτως ὁρίζονται, ὅτι συνεχές ἐστι τὸ ἐπ' ἄπειρον διαιρετόν· ἀνάγκη ἄρα τὸν γνωσόμενον τί ἐστι κίνησις, εἰδέναι καὶ τὸ ἄπειρον τί ἐστιν· ἀναγκαῖος ἄρα τῷ φυσικῷ καὶ ὁ περὶ ἀπείρου λόγος· πάλιν ἐπειδὴ πᾶσα κίνησις ἐν τόπῳ ἢ καὶ ἐν χρόνῳ· τὸ γὰρ κινούμενον πᾶν, σῶμα· ἅπαν δὲ σῶμα ἐν τόπῳ, καὶ ἡ κίνησις ἄρα ἐν τόπῳ· δείκνυται δὲ ἐν τοῖς τελευταίοις ὅτι καὶ χρόνου λόγος· ἀλλ' ἐπειδὴ τῶν φυσικῶν τινες ᾤοντο διὰ κενοῦ τὴν κίνησιν γίνεσθαι· μὴ γὰρ ἂν δύνασθαι διὰ πλήρους κινεῖσθαί τι· οὕτως γὰρ ἐν τῷ αὐτῷ δύο σώματα τόπῳ εἶναι, διὰ τοῦτο ἀναγκαῖος τῷ φυσικῷ καὶ ὁ περὶ κενοῦ λόγος· εἴτε γὰρ διὰ κενοῦ ἡ κίνησις, ἀναγκαῖος ὁ περὶ κινήσεως λόγος, εἴτε μὴ διὰ κενοῦ καὶ οὕτως πρὸς ἔλεγχον ἀναγκαῖος ὁ περὶ αὐτοῦ λόγος, καὶ ἄλλως, ἐπειδὴ τὸν τόπον ὁρίζονται κενὸν εἶναι καὶ ἔρημον σώματος· ἔστιν οὖν ὁ σκοπὸς τούτου τε τοῦ βιβλίου καὶ τοῦ ἐφεξῆς διαλαβεῖν περὶ κινήσεως, ἀπείρου, τόπου, χρόνου, κενοῦ· καὶ διαλέγεται ἐν μὲν τούτῳ τῷ βιβλίῳ περὶ κινήσεως καὶ ἀπείρου· ἐν δὲ τῷ ἐφεξῆς περὶ τόπου, χρόνου, κενοῦ· οὐ μόνον δὲ ὡς συντελούντων εἰς τὸν περὶ κινήσεως λόγον διαλέγεται περὶ αὐτῶν, ἀλλὰ καὶ ὡς παρακολουθούντων πᾶσι τοῖς φυσικοῖς πράγμασι· τοῦτο δὲ ἐξ ἀρχῆς ἦν τὸ προκείμενον, περὶ τῶν κοινῶν πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων εἰπεῖν· πρῶτον δὲ περὶ κινήσεως διαλέγεται, καὶ ζητεῖ τί ποτέ ἐστι κίνησις· ἔπειτα ἐν τίσιν ἐστὶν ἡ κίνησις· καὶ τρίτον πόσα εἴδη κινήσεως· πρὸ τούτων δὲ τέσσαρα τινὰ ἀξιώματα προλαμβάνει συμβαλλόμενα αὐτῷ εἰς τὴν τούτων δεῖξιν· καὶ πρῶτον ὅτι τῶν ὄντων τὰ μέν ἐστι μόνον ἐνεργείᾳ, τὰ δὲ καὶ δυνάμει καὶ ἐνεργείᾳ· μόνως δὲ δυνάμει εἶναί τι, ἀδύνατον ἐν ὑποστάσει ὄν· οὐδέποτε γὰρ γυμνὴ εἴδους ἡ ὕλη γίνεται· ἐνεργείᾳ οὖν μόνως ἐστὶ τὰ θεῖα, καὶ ἀσώματα· περὶ ὧν καὶ ἐν τῷ περὶ ἑρμηνείας εἶπεν, ὅτι ἄνευ δυνάμεως ἐνέργειαι εἰσί· δυνάμει δὲ καὶ ἐνεργείᾳ πάντα τὰ φυσικά· ἐντελεχείᾳ μὲν γάρ ἐστιν ὅτι ἔχει τινὰ μορφὴν ἢ ἐνέργειαν· δυνάμει δὲ ὅτι, οἷά τε δέξασθαι καὶ ἑτέραν· ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν ἐν γενέσει καὶ φθορᾷ· τὸ δὲ αἰθέριον σῶμα κατὰ μὲν τὴν οὐσίαν ἐντελεχείᾳ μόνον ἐστίν· οὐ γὰρ ἂν μεταβάλλοι ποτὲ κατ' οὐσίαν· μετέχει δέ πως καὶ τοῦ δυνάμει διὰ τὴν κίνησιν τὴν τοπικήν· οὐ γὰρ πανταχοῦ ἅμα ἐστί. τάχα δὲ οὐδὲ κατ' οὐσίαν ἀπήλλακται πάντα τὰ οὐράνια τοῦ δυνάμει, εἴγε ἐξ ὕλης καὶ εἴδους· ἡ δὲ ὕλη ἐστὶν ἡ τὸ δυνάμει ἔχουσα· δηλονότι οὐδὲ κατ' οὐσίαν ἀπήλλακται πάντη τὰ οὐράνια τοῦ δυνάμει· εἰ γὰρ καὶ μὴ δυνάμει ἔχει ἡ ὕλη αὐτῶν τὸ εἶδος, ἀλλ' οὖν ἐπειδὴ ὅλως ἡ ὕλη κατὰ τὸν αὐτῆς λόγον δυνάμει ἐστί, διὰ τοῦτο οὐ παντάπασίν ἐστι τοῦ δυνάμει ἀπηλλαγμένα· ὥσπερ τὰ ἄυλα, ἃ οὐδαμῇ οὐδαμῶς ἔχει τὸ δυνάμει· διὰ τοῦτο γοῦν καὶ ὁ πλάτων ἐκεῖνα μὲν ὄντως ὄντα καλεῖ· τὰ δὲ αἰσθητὰ πάντα οὐκ ὄντα, ἀλλ' ἀεὶ γινόμενα· πρῶτον μὲν οὖν τοῦτο προλαμβάνει ὅτι τῶν ὄντων τὰ μέν ἐστι πρώτως ἐνεργείᾳ, τὰ δὲ δυνάμει καὶ ἐνεργείᾳ· δεύτερον δὲ ὅτι τῶν πρός τι, τὰ μέν ἐστι καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, τὰ δὲ κατὰ τὸ κινοῦν καὶ κινούμενον· οἷον καθ' ὑπεροχὴν καὶ ἔλλειψιν τὸ μεῖζον καὶ τὸ μικρόν· τὸ γὰρ μεῖζον, μικροτέρου ἐστὶ μεῖζον· ὧν τὸ μὲν μεῖζον ὑπεροχὴ, θάτερον δὲ ἔλλειψις· καὶ τὸ κινοῦν δὲ κι-

νούμενον

ΚΑΙ ἄμφω μὲν τῷ φυσικῷ λεκτέαι αἱ αἰτίαι. μᾶλλον δὲ, ἡ τίνος ἕνεκα. αἴτιον γὰρ τοῦτο τῆς ὕλης ἀλλ' οὐχ αὕτη τοῦ τέλους.

Ὅτι περὶ ἀμφοτέρων τῶν ἀρχῶν ὁ φυσικὸς διαλέξεται, καὶ τῆς ὑλικῆς καὶ τῆς εἰδικῆς. μᾶλλον δὲ περὶ τῆς εἰδικῆς, ἐπειδὴ καὶ τὸ εἶναι ἑκάστῳ τῶν φυσικῶν κατὰ ταύτην, καὶ αὕτη τῆς ὕλης αἰτία, οὐχ ἡ ὕλη τοῦ εἴδους. αἰτιώτερον ἄρα τῆς ὕλης τὸ εἶδος, ἐπειδὴ τοῦτο καὶ τελικόν ἐστιν αἴτιον. τοῦ τέλους δ' ἕνεκα πάντα τὰ πρὸ τοῦ τέλους.

ΚΑΙ τὸ τέλος τὸ οὗ ἕνεκα, καὶ ἡ ἀρχὴ, ἀπὸ τοῦ ὁρισμοῦ καὶ τοῦ λόγου. ὥσπερ ἐν τοῖς κατὰ τέχνην ἐπεὶ ἡ οἰκία τοιόνδε, τάδε δεῖ γενέσθαι καὶ ὑπάρχειν ἐξ ἀνάγκης. καὶ ἐπεὶ ἡ ὑγίεια τοδὶ, τάδε δεῖ γενέσθαι ἐξ ἀνάγκης, καὶ ὑπάρχειν, οὕτω καὶ εἰ ὁ ἄνθρωπος τοδὶ, τάδε. εἰ δὲ τάδὶ, ταδί. ἴσως δὲ καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον. ὁρισαμένῳ γὰρ τὸ ἔργον τοῦ πρίειν, ὅτι διαίρεσις τοιαδὶ, αὕτη δ' οὐκ ἔσται εἰ μὴ ἕξει ὀδόντας τοιουσδὶ, οὗτοι δ' οὐκ εἰ μὴ σιδηροῦς. ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ ἔνια μόρια ὡς ὕλη τοῦ λόγου.

Ὅτι λήψεται μὲν τὸ εἶδος ἀπὸ τοῦ ὁρισμοῦ, ἐκ τούτου δὲ συλλογιεῖται τὰ περὶ τῆς ὕλης. λήψεται οὖν φησὶ τὸ τέλος, ὅπερ καὶ οὗ ἕνεκα, καὶ ἀρχὴ κυριώτατον ἀπὸ τοῦ ὁρισμοῦ. καὶ ἐπεὶ ἡ ὑγίεια τοδὶ, τάδε δεῖ γενέσθαι. ἐπεὶ ἡ ὑγίεια συμμετρία ἐστὶ ξηρῶν καὶ ὑγρῶν, ψυχρῶν καὶ θερμῶν, πλεονάζει δὲ ἐν τῷδε τὸ θερμὸν, προσακτέον τὸ ψυχρόν. ὕλη ἄρα τῆς ὑγιείας τόδε τὸ ψυχρόν. ὁμοίως καὶ ἐπὶ πάντων. ἴσως δὲ καὶ ἐν τῷ λόγῳ ἐστὶ τὸ ἀναγκαῖον. τουτέστιν ἐν τῷ ὁρισμῷ ἐμφαίνεται καὶ ἡ ὕλη. ἐπειδὴ γάρ ἐστιν ἡ ἀναγκαίως ὑποκειμένη. εἰ γὰρ ὁρίσαιμι τὸ εἶδος τοῦ πρίονος, ὅτι διαίρεσις ξύλων καὶ λίθων, ἔχω συνεμφαινομένην καὶ τὴν ὕλην, ὅτι οὐκ ἂν ἄλλως τοῦτο γένοιτο εἰ μὴ τὸ διαιροῦν σίδηρος εἴη τοιῶσδε ἐσχηματισμένος. οὐ γὰρ ἄλλη ὕλη τὰ τοιαῦτα διελεῖν δύναται. ὥστε εἰ κυρίως ἀποδώσω τὸν ὁρισμὸν τοῦ πρίειν, μεμνήσομαι καὶ τῆς ὕλης, ὅτι διαίρεσις ξύλων, καὶ λίθων ὑπὸ σιδηρῶν ὀδόντων τοῦ. ἔστι γὰρ καὶ ἐν τῷ λόγῳ ἔνια μόρια, ὡς ὕλη τοῦ λόγου. ὑπερβατῶς ἀναγνωστέον. ἔστι γὰρ ἐν τῷ λόγῳ, τουτέστι τῷ ὁρισμῷ, ἔνια τοῦ λόγου μόρια, ὡς ὕλη ὄντα. τοῦτο δέ φησιν, ὅτι ἔστι τινὰ μόρια τοῦ ὁρισμοῦ σημαντικὰ ὄντα τῆς ὕλης, ὥσπερ καὶ ἄλλα τοῦ εἴδους. ἐν γὰρ τῷ ὁρισμῷ τοῦ θυμοῦ τὸ μὲν, ζέσις τοῦ περικαρδίου αἵματος, τῆς ὕλης ἐστὶ σημαντικόν. τὸ δὲ, δι' ὄρεξιν ἀντιλυπήσεως, τοῦ εἴδους. καὶ ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ τὸ θνητὸν, τῆς ὕλης ἐστὶ δηλωτικόν. ὡς ἐν τῷ τελείῳ ὁρισμῷ καὶ ἡ ὕλη συμπεριέχεται, καὶ ἐλλιπεῖς. ὥστε ἐπὶ μὲν τῶν ὁρισμῶν ὅσοι κατὰ τὸ εἶδος μόνον εἰσὶν ἀποδιδόμενοι, δύναται ἐξ αὐτῶν διὰ λογισμοῦ φυσικὸς σκοπεῖν τὴν ὕλην εὑρεῖν. ἐφ' ὧν δὲ τέλειος ὁρισμὸς, αὐτόθεν καὶ ἡ ὕλη ἐμπεριέχεται.

ἐπὶ τῶν μαθημάτων μὴ ὄντος τοῦ συμπεράσματος, οὐδὲ αἱ προτάσεις ἦσαν, οὕτως ἐνταῦθα εἰ μὴ οὖσα ἡ τῆς ὕλης οὐκ ἔσται τὸ εἶδος.

» ΑΡΧΗ γὰρ καὶ αὕτη, οὐ τῆς πράξεως δὲ ἀλλὰ τοῦ λογισμοῦ. ἐκεῖ δὲ τοῦ λογισμοῦ. πράξεως γὰρ οὐκ
» ἔστιν. ὥστε εἰ ἔσται οἰκία, ταῦτα ἀνάγκη γενέσθαι, ἢ ὑπάρχειν, ἢ εἶναι, ἢ ὅλως τὴν ὕλην αὐτὴν ἕνεκά του·
» οἷον πλίνθους, καὶ λίθους, εἰ οἰκία. οὐ μέντοι διὰ ταῦτά ἐστι τὸ τέλος, ἀλλ' ἢ ὡς δι' ὕλην. οὐδ' ἔσται διὰ ταῦτα,
» ὅμως μέντοι μὴ ὄντων οὐκ ἔσται οὐδὲ ἡ οἰκία, οὐδὲ ὁ πρίων. ἡ μὲν, εἰ μὴ οἱ λίθοι. ὁ δὲ, εἰ μὴ ὁ σίδηρος. οὐδὲ
» γὰρ ἐκεῖ αἱ ἀρχαὶ, εἰ μὴ τὸ τρίγωνον, δύο ὀρθαῖς.

Ε εἰπὼν τὴν διαφορὰν αὐτῶν τὴν πρὸς ἄλληλα, λέγει καὶ τὴν κοινωνίαν. ὅτι κοινόν ἐστιν αὐτοῖς τὸ τῆς ἀρχῆς ὑποτεθείσης ἕπεσθαι τὸ λοιπόν. εἴρηται δὲ αὐτῷ ἐν τοῖς ἠθικοῖς, ὅτι ἡ πρᾶξις τῇ θεωρίᾳ ἐναντίως ἔχει. ἡ μὲν γὰρ θεωρία τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς πράξεως, ἡ δὲ πρᾶξις τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ τέλους τῆς θεωρίας. τέλος μὲν γὰρ τῆς οἰκοδομικῆς πράξεως τὸ ποιῆσαι σκέπασμα κωλυτικὸν φθορᾶς ἀπὸ ὄμβρων καὶ καυμάτων. τοῦτο δὲ τῆς θεωρίας ἐστὶν ἀρχή. τελευτᾷ δὲ ἡ θεωρία εἰς τὴν ὄρυξιν τῆς γῆς. ὅπερ ἐστὶ τῆς πράξεως ἀρχή. εἴρηται δὲ πολλάκις περὶ τούτων. οὐ μόνον δὲ ἐπὶ τῶν τεχνητῶν, ἀλλὰ καὶ ἐπὶ τῶν φυσικῶν οὕτως ἔχει. ὁ μὲν γὰρ φυσικὸς θεωρῶν τὰ φυσικὰ, ἄρχεται ἀπὸ τῶν εἰδῶν. εἶτα ἐκ τούτων εἰς τὰς ἑκάστου χωρεῖ ὕλας. ἡ δὲ φύσις ἄρχεται μὲν τοῦ ἔργου ἀπὸ τῆς ὕλης. τελευτᾷ δὲ εἰς τὸ εἶδος. φησὶν οὖν ἐνταῦθα ὅτι εἰ καὶ διάφορος ἐν τῇ φυσικῇ θεωρίᾳ ἡ ἀκολούθησις, καὶ ἐν τοῖς μαθήμασιν. ἐν μὲν γὰρ τοῖς φυσικοῖς τοῦ τέλους ὑποτεθέντος, ἀκολουθεῖ τὸ πρῶτον καὶ ἡ ἀρχή. τέλος δὲ τὸ εἶδος. ἐν δὲ τοῖς μαθήμασιν ἀρχαὶ μὲν αἱ προτάσεις, τέλος δὲ τὸ συμπέρασμα. ἀλλ' ἐκεῖ μὲν τοῦ τέλους ὑποτεθέντος λέγω δὴ τοῦ εἴδους, ἕπεται ἡ ὕλη, καὶ ἐν ταύτῃ ἡ κατὰ τὸ ἀναγκαῖον ἀκολούθησις. ἐν δὲ τοῖς μαθήμασι τῆς ἀρχῆς ὑποτεθείσης, λέγω δὴ τῶν προτάσεων, ἀκολουθεῖ τὸ τέλος ὅπερ ἐστὶ τὸ συμπέρασμα. ἀλλ' οὖν κατά τι καὶ ἐν τοῖς φυσικοῖς τῆς ἀρχῆς ὑποτεθείσης ἕπεται τὸ τέλος. τὸ γὰρ εἶδος ὅπερ ἐστὶ τῆς πράξεως τέλος, τοῦτο ἀρχή ἐστι τῆς θεωρίας. λαβὼν γὰρ ὁ οἰκοδόμος τὸ δεῖν γενέσθαι οἰκίαν, τοῦτο δέ ἐστι σκέπασμα κωλυτικὸν ἀπὸ ὄμβρων καὶ καυμάτων ὁδῷ βαδίζων, ὡς πολλάκις εἴρηται ἀφικνεῖται πρὸς τοῦτο ἐν τοῖς φυσικοῖς ἅμα τὸ τέλος ἕπεται, ὥσπερ καὶ ἐν τοῖς μαθήμασι. κατὰ ταῦτα δὲ κατὰ ἀντίθεσιν ἀλλήλοις. ταύτῃ οὖν οὐδὲ διάφορον ἀρχὴν λαμβάνει ὁ φυσικὸς καὶ ὁ μαθηματικός. ὥσπερ γὰρ ἐπὶ τῶν φυσικῶν καὶ πράξεως καὶ θεωρίας, οὐχὶ τῇ τῆς πράξεως ἀρχῇ ὑποτεθείσῃ, αὕτη δέ ἐστιν ἡ ὕλη, ἕπεται τὸ ἑξῆς, λέγω δὴ τὸ εἶδος. ἀλλὰ τῇ τῆς θεωρίας ἀρχῇ ὑποτεθείσῃ, αὕτη δέ ἐστι τὸ εἶδος, ἕπεται ἡ ὕλη. ἐπὶ δὲ τῶν μαθημάτων πράξεως μὴ οὔσης, ἀλλὰ μόνης θεωρίας, ἡ ὑπόθεσις κατὰ τὴν ἀρχὴν γίνεται τῆς θεωρίας. τοῦτο δ' ἐστὶν αἱ προτάσεις. ὥστε εἰ ἐν ἀμφοτέροις ἀρχὴν λαμβάνεται ἡ κατὰ τὴν θεωρίαν, κοινωνοῦσιν ἀλλήλοις καὶ κατὰ τὸ τοῦ αὐτοῦ, λέγω δὲ τῆς θεωρίας, τὴν ἀρχὴν λαμβάνειν. ὅτι δὲ αἱ προτάσεις ἀρχαί εἰσι τοῦ συλλογισμοῦ τῆς θεωρίας, δῆλον. οὐ γὰρ εἰ προτείνοιτο ἡμῖν εἰς ἀπόδειξιν ὅτι ἡ ψυχὴ ἀθάνατος, δεῖ νομίζειν, ὅτι τοῦτο τὸ συμπέρασμά ἐστιν. εἴρηται γὰρ ἐν τοῖς λογικοῖς σκέμμασιν ὅτι συμπέρασμα, πρότασις, πρόβλημα, ἀπόφανσις, τῷ ὑποκειμένῳ ταυτὰ ὄντα, τῇ σχέσει διαφέρει. ἀλλ' ὅταν σκοπῶμεν πῶς ἂν ἀποδείξαιμεν, ὅτι ἡ ψυχὴ ἀθάνατος, οὐχ ὡς συμπέρασμα τοῦτο σκοποῦμεν, ἀλλ' ὡς πρόβλημα. συμπέρασμα δὲ τότε γίνεται, ὅταν εὑρεθεισῶν τῶν προτάσεων, ἀκολουθῇ αὐταῖς. ὥστε ἡ ἐπίσκεψις καὶ ἡ θεωρία πρῶτον γίνεται τῶν προτάσεων. εἶτα ἐκ τούτων ἀκόλουθον εὑρίσκομεν τὸ συμπέρασμα. καὶ μάλιστα δῆλον τοῦτο ἐν τοῖς λεγομένοις πορίσμασιν. ἅτινα μηδὲ προβεβλημένα ἡμῖν εἰς ἀπόδειξιν, προτάσεσί τισιν ἄλλων ἕνεκα δοθείσαις πολλάκις ἕπεται. οὕτως ἄρα ἀρχὴ τῆς τῶν συλλογισμῶν θεωρίας αἱ προτάσεις εἰσίν. Ἀρχὴ γὰρ καὶ αὕτη οὐ τῆς πράξεως, ἀλλὰ τοῦ λογισμοῦ. εἰπὼν ὅπως ἔχουσι κατὰ τὰς ἀντιστροφὰς, ὅτι ὥσπερ ἐν τοῖς μαθήμασι μὴ ὄντος τοῦ τέλους οὐδ' ἡ ἀρχὴ ἔστι. διὰ τὸ μηδέποτε ἐνδέχεσθαι ψευδές τι συμπέρασμα ἐξ ἀληθῶν συναχθῆναι, οὕτως καὶ ἐπὶ τῶν φυσικῶν μὴ οὔσης τῆς ὕλης οὐδὲ τὸ εἶδος. βουλόμενος ἐξομοιῶσαι τοῖς μαθηματικοῖς τὰ φυσικὰ, ἐπήγαγε τὸ ἀρχὴ γὰρ καὶ αὕτη. ὁ γὰρ σύνδεσμος αἰτίας ἐστὶν ἀπόδοσις. τὸ οὖν ἀρχὴ γὰρ καὶ αὕτη, ἀντὶ τοῦ φυσικὸν εἶδος, ὅπερ τέλος καὶ οὗ ἕνεκα εἶπε. ἀρχὴ δὲ οὐ τῆς πράξεως, ἡ γὰρ πρᾶξις ἀπὸ τῆς ὕλης τὴν ἀρχὴν ποιεῖται. ἀλλὰ τῆς θεωρίας, αὕτη γὰρ ἀπὸ τοῦ εἴδους ἀρξαμένη τελευτᾷ εἰς τὴν ἀρχὴν τῆς πράξεως. Ὥστε εἰ ἔσται οἰκία, ἀνάγκη ταῦτα γενέσθαι, ἢ ὑπάρχειν, ἢ εἶναι. ὅλως ἀναλαμβάνει τὰ εἰρημένα. εἶπε δὲ ἢ ὑπάρχειν, ἐπειδὴ αἱ μὲν οὔσαις ταῖς ὕλαις χρῶνται, αἱ δὲ καὶ τὰς ὕλας δημιουργοῦσιν. οἷον χαλκὸν καὶ τὰ ὅμοια. ἡμεῖς γὰρ τὸν χαλκὸν μεταλλεύομεν.

» ΦΑΝΕΡΟΝ ΔΗ ὅτι τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς τὸ ὡς ὕλη γινόμενον, καὶ αἱ κινήσεις
» αἱ ταύτης.

Δ ῆλόν φησιν ἐκ πάντων τῶν εἰρημένων ὅτι οὐ τὸ εἶδος τῇ ὕλῃ ἐξ ἀνάγκης ἕπεται, ἀλλὰ τῷ εἴδει ὑποτεθέντι ἀνάγκη τὴν ὕλην ἀκολουθεῖν. ὥστε τὸ ἀναγκαίως ἑπόμενον, ἡ ὕλη ἐστὶν, οὐ τὸ εἶδος. κινήσεις δὲ φησὶ τὰς ἀλλοιώσεις, καὶ μεταβολὰς, αἵτινες ὁδοί εἰσιν ἐπὶ τὸ εἶδος, καὶ αὗται τοῦ εἴδους ἕνεκα γινόμεναι ὥσπερ ἡ ὕλη.

Καὶ

ἘΞ ὙΠΟΘΈΣΕΩΣ δὴ τὸ ἀναγκαῖον, ἀλλ' οὐχ ὡς τέλος. ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον. τὸ δ' οὗ ἕνεκα, ἐν τῷ λόγῳ.

Εἰ μὴ γὰρ πάντως τῇ ὕλῃ ἠκολούθησε τὸ εἶδος, ἁπλῶς ἦν ἐν τοῖς φυσικοῖς τὸ ἀναγκαῖον. ὥσπερ ἐπειδὴ τῇ τῶν οὐρανίων οὐσίᾳ ἕπεται πάντως τὸ κύκλῳ κινεῖσθαι, ἁπλῶς ἐν ἐκείνοις τὸ ἀναγκαῖον, καὶ οὐκ ἐξ ὑποθέσεως. ἐπειδὴ δὲ ἐν τοῖς ἐν γενέσει, οὔτε σιδήρου ὄντος πάντως ἔσται πρίων, οὔτε σπέρματος ἢ καταμηνίου ἄνθρωπος, δῆλον ὅτι ἐξ ὑποθέσεως ἔχουσι τὰ φυσικὰ τὸ ἀναγκαῖον, καὶ οὐχ ἁπλῶς. ἐν γὰρ τῇ ὕλῃ τὸ ἀναγκαῖον. τὸ δ' οὗ ἕνεκα ἐν τῷ λόγῳ. τοῦτό φησιν ὅτι οὐκ ἔχει τὸ εἶναι ἐξ ἀνάγκης τὸ εἶδος, τῆς ὕλης οὔσης. ἀλλ' ἔμπαλιν, ὑποτεθέντος ἡμῖν τοῦ εἴδους, ἀνάγκη πᾶσα τὴν ὕλην ἕπεσθαι. ὥστε τὸ μὲν ἐξ ἀνάγκης ἕπεσθαι ἡ ὕλη ἔχει τοῦ εἴδους ὑποτεθέντος. τὸ δ' εἶδος οὗ ἕνεκά ἐστι. καὶ διὰ τοῦτο οὐκ ἐξ ἀνάγκης ἕπεται τῇ ὕλῃ. τῷ γὰρ οὗ ἕνεκα τὸ ἕνεκά του ἕπεται, καὶ οὐκ ἔμπαλιν.

ἜΣΤΙ δὲ τὸ ἀναγκαῖον ἔν τε τοῖς μαθήμασι, καὶ ἐν τοῖς κατὰ φύσιν γινομένοις, τρόπον τινὰ παραπλησίως.

Ὅτι τὸ ἐξ ὑποθέσεως ἀναγκαῖόν ἐστι καὶ ἐν τοῖς μαθήμασιν, ὥσπερ καὶ ἐν τοῖς φυσικοῖς. ἀλλ' οὐ κατὰ πάντα, ἀλλὰ κατά τι μὲν ἐοίκασι, κατά τι δὲ διαφέρουσιν. εἰπὼν δ' ὅτι ἐστὶν ἀναγκαῖον καὶ ἐν τοῖς μαθήμασι, καὶ ἐν τοῖς φυσικοῖς τρόπον τινὰ παραπλησίως, πρὶν εἰπεῖν τὴν κοινωνίαν κατά τι παραπλησίως ἐστὶν ἐν αὐτοῖς τὸ ἀναγκαῖον, πρῶτον τὴν διαφορὰν αὐτῶν ἐκτίθεται. διαφέρουσι γὰρ καθὸ ἐπὶ μὲν τῶν μαθημάτων, ὑποτεθείσης τῆς ἀρχῆς ἕπεται τὰ δεύτερα. ἐπὶ δὲ τῶν φυσικῶν, ὑποτεθέντος τοῦ τέλους τὰ πρότερα ἕπεται. ἀρχὴ γὰρ ἐπὶ μὲν τῶν συλλογισμῶν αἱ προτάσεις, ἐπὶ δὲ τῶν γινομένων ἡ ὕλη. τέλος δὲ ἐκεῖ τὸ συμπέρασμα, ἐνταῦθα δὲ τὸ εἶδος. οὔτε δ' ἐν τοῖς φυσικοῖς πάντως τῇ ὕλῃ ἕπεται τὸ εἶδος, οὔτ' ἐν τοῖς συλλογισμοῖς τῷ συμπεράσματι αἱ προτάσεις. ὡς γὰρ εἶπον, ἀληθὲς συμπέρασμα οὐ μόνον δι' ἄλλων, καὶ δι' ἄλλων προτάσεων συναχθήσεται, ἀλλὰ καὶ ἐκ ψευδῶν τὸ αὐτὸ συναχθείη ἄν. ἡ μὲν οὖν διαφορὰ αὕτη. μαθήματα δ' εἶπε τὰς μαθηματικὰς δείξεις, αὐτοὺς δήπου τοὺς συλλογισμούς. πρῶτον δὲ τὴν διαφορὰν αὐτῶν ἐκτίθεται. ἔπειτα τὴν κοινωνίαν.

ἘΠΕΙ γὰρ τὸ εὐθὺ, τοδί ἐστιν, ἀνάγκη τὸ τρίγωνον, δύο ὀρθαῖς ἴσας ἔχειν.

Παραδείγματος ἕνεκεν τοῦτο εἶπε. λαμβάνει οὖν τὸ εὐθὺ ἀντὶ τῶν προτάσεων. τὸ δὲ δύο ὀρθαῖς ἴσας ἔχειν, τὸ συμπέρασμα. διὰ γὰρ τοῦ ὁρισμοῦ τῶν ὀρθῶν δείκνυται τὸ τὰς τρεῖς τοῦ τριγώνου γωνίας δύο ὀρθαῖς ἴσας εἶναι. φαμὲν γὰρ, ἐπειδὴ αἱ τρεῖς δύο ταῖς ἐφεξῆς ἴσαι, δύο δὲ αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι, διὰ τοῦτο αἱ τρεῖς δύο ὀρθαῖς ἴσαι εἰσί. διατί δὲ δύο αἱ ἐφεξῆς ἴσαι δύο ὀρθαῖς εἰσι; διότι τοῦτό ἐστιν ὁ ὁρισμὸς ὀρθῆς, ὡς ἂν εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν γωνιῶν ἐστιν. ὥστε ἀναλύσαντα εἰς τὴν πρότασιν τὴν τοῦ ὁρισμοῦ τῆς ὀρθῆς, ἔσται καταλῆξαι εἰς συμπέρασμα τὸ τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι. ἐπεὶ γὰρ ὁ ὁρισμὸς τῆς ὀρθῆς ἐστιν ὁ εἰρημένος. δύο δὲ αἱ ἐφεξῆς δύο ὀρθαῖς ἴσαι εἰσί. δύο δὲ ταῖς ἐφεξῆς αἱ τρεῖς τοῦ τριγώνου ἴσαι εἰσίν. αἱ τρεῖς ἄρα τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι εἰσίν.

ἈΛΛ' οὐκ εἰ τοῦτο, ἐκεῖνο. ἀλλ' εἴγε τοῦτο μή ἐστιν, οὐδὲ τὸ εὐθύ ἐστιν.

Οὐδὲ εἰ τὸ συμπέρασμα, ἀνάγκη τὰς προτάσεις εἶναι. εἴπομεν γὰρ, διὰ πλειόνων τὸ αὐτὸ δυνατὸν δειχθῆναι, καὶ ἐπ' εὐθείας, καὶ διὰ ἀδυνάτου, καὶ ἀληθέσι καὶ ψευδέσι προτάσεσιν. ἀλλ' εἰ μὴ τοῦτό ἐστι, οὐδὲ τὸ εὐθύ ἐστιν. εἰ μὲν οὖν ἐστι τὸ συμπέρασμά φησιν, οὐ πάντως καὶ αἱ προτάσεις. ὡς ἐν τῷ πρὸ τούτου ῥητῷ εἴρηται. ἀναιρεθέντος μέντοι τοῦ συμπεράσματος, ἐξ ἀνάγκης ἀναιροῦνται καὶ αἱ προτάσεις. εἰ μὴ γὰρ ἀληθὲς εἴη τὸ συμπέρασμα, οὐδὲ αἱ προτάσεις ἀληθεῖς. ἀδύνατον γὰρ ἐξ ἀληθῶν προτάσεων ψεῦδός τι συναχθῆναι, ὡς δέδεικται ἔμπροσθεν, ἐκ ψευδῶν μέντοι προτάσεων ψεῦδός τι συναχθῆναι ὡς δέδεικται ἔμπροσθεν. ἐνδέχεται. ἐκ ψευδῶν μὲν γὰρ ἀληθὲς ἂν συναχθείη, εἰ μὴ καὶ δι' αὐτάς, ἀλλ' οὖν διὰ τὴν τοῦ πράγματος φύσιν. ἐξ ἀληθῶν μέντοι ψεῦδος ἀδύνατον συναχθῆναι.

ἘΝ δὲ τοῖς γινομένοις ἕνεκά του, ἀνάπαλιν.

Εἰπὼν ὅπως ἔχει ἐν τοῖς μαθήμασι, λέγει ὅπως ἔχει καὶ ἐν τοῖς φυσικοῖς, ὅτι ἀνάπαλιν ἡ ἀκολούθησις, ὡς εἶπον τὴν διαφορὰν πρῶτον ἐκτιθέμενος. ἐν γινομένοις δ' ἕνεκά του εἶπεν ἐν τοῖς φυσικοῖς, καὶ καθόλου τοῖς πρακτοῖς πᾶσι. τὰ γὰρ μαθήματα, οὔτε γίνεται, οὔτε ἕνεκά του ἐστί. πῶς δὲ ἀνάπαλιν ἡ ἀκολούθησις, εἴπομεν.

ΕἸ τὸ τέλος ἔσται, ἢ ἔστι, καὶ τὸ ἔμπροσθεν ἔσται ἢ ἔστιν.

Τέλος φησὶ τὸ εἶδος, ἐπειδὴ καὶ οὗ ἕνεκα. ἔμπροσθεν δὲ τὴν ὕλην, ἕνεκα γάρ του. ἀεὶ δὲ τὰ πρῶτα τῶν ὑστέρων ἕνεκα.

ΕἸ δὲ μὴ, ὥσπερ ἐκεῖ μὴ ὄντος τοῦ συμπεράσματος ἡ ἀρχὴ οὐκ ἔσται, καὶ ἐνταῦθα τὸ τέλος καὶ τὸ οὗ ἕνεκα.

Εἰπὼν ὅτι εἰ τὸ εἶδός ἐστιν ἐξ ἀνάγκης καὶ ἡ ὕλη, θέλει εἰπεῖν περὶ τῆς ἀντιστροφῆς πῶς ἔχει, ὅτι εἰ μὴ ἡ ὕλη εἴη, οὐδὲ τὸ εἶδος ἔσται. καὶ ἦν τὸ ἀκόλουθον εἰπεῖν, εἰ δὲ μὴ ἡ ὕλη, οὐδὲ τὸ τέλος, καὶ τὸ οὗ ἕνεκα. ὁ δὲ παραδείγματι τῷ κατὰ μαθήματα χρήσασθαι βουλόμενός φησιν, ὅτι εἰ δὲ μὴ εἴη ἡ ὕλη, ὥσπερ ἐκεῖ

ἐν τῇ τυχούσῃ ὕλῃ παραληφθῆναι, ἀλλ' ἐν ᾗ τὸ θερμὸν λεπτομερέστερόν ἐστι, καὶ ἀνάφορον μᾶλλον ἵνα οὕτω τυχὸν ἀνέχῃ τῇ αὐτῇ τῇ ἄνω ῥοπῇ ὄρθιον τὸ σῶμα. καὶ ἐπεὶ τὸ εἶδος τοῦ χαλκοῦ χυτόν ἐστι, καὶ εὔηχον, ἡ τούτου ὕλη οὐκ ἂν εἴη γεώδης, ἀλλ' ὑδατώδης μᾶλλον καὶ πνευματώδης. ἐν τούτοις γὰρ τὸ χυτὸν, καὶ τὸ φωνητικὸν, ἢ μάλιστα ἐν τῷ ἀέρι καὶ οὕτως ἐπὶ πάντων. τέχνη δὲ τὸν τέλειον ὁρισμὸν τοῦ πράγματος λαβεῖν, αὐτόθεν ἔχει τὴν ὕλην εἰλημμένην. εἴρηται γὰρ καὶ ἐν τοῖς ἀποδεικτικοῖς ὅτι τριττοῦ ὄντος τοῦ ὁρισμοῦ, τοῦ μὲν ἀπὸ τῆς ὕλης, τοῦ δὲ ἀπὸ τοῦ εἴδους, τοῦ δὲ ἀπὸ τοῦ συναμφοτέρου. ὡς ἐπὶ τοῦ θυμοῦ ἔχει. ὁριζόμεθα γὰρ αὐτὸν ποτὲ μὲν ἀπὸ τῆς ὕλης, ὅτι ἐστὶ ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος. ποτὲ δὲ ἀπὸ τοῦ εἴδους ὅτι ἐστὶν ὄρεξις ἀντιλυπήσεως. ποτὲ δὲ ἀπὸ τοῦ συναμφοτέρου, ὅτι ζέσις τοῦ περὶ καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως. τριττοῦ οὖν ὄντος τοῦ ὁρισμοῦ, ὁ τέλειος ὁρισμὸς καὶ τῷ φυσικῷ μάλιστα πρέπων ὁ ἀπὸ τοῦ συναμφοτέρου ἐστίν. ὁ οὖν εἰληφώς φησι τὸν τοιοῦτον ὁρισμὸν, οὐ δεήσεται ἐξ αὐτοῦ τὰ περὶ τῆς ὕλης συλλογίσασθαι. ἀλλ' αὐτόθεν ἔχει τὴν ὕλην εἰλημμένην ἐν τῷ ὁρισμῷ. καὶ ἐπὶ τοῦ ἀνθρώπου δὲ τὸ θνητὸν τῆς ὕλης ἐστὶν δηλωτικόν. τὸν δὲ ὁρισμὸν δηλονότι τῶν φυσικῶν πραγμάτων οὐκ ἄλλος τις ἀποδώσει, ἢ αὐτὸς ὁ φυσικὸς, ὀργάνῳ τῇ διαιρετικῇ τε καὶ ὁριστικῇ μεθόδῳ κεχρημένος. διαίρεσιν δὲ τῶν φυσικῶν ποιήσεται λαμβάνων τῷ λόγῳ τὰ ἐκ τῆς ἐναργείας ὑπάρχοντα τοῖς φυσικοῖς πράγμασιν. ὅτι τὰ μὲν αὐτῶν ζωῆς μετέχει. τὰ δὲ, οὔ. καὶ τῶν ζωῆς μετεχόντων, τὰ μὲν αἰσθήσεως μετέχει. τὰ δὲ οὔ. καὶ οὕτω περὶ πάντων τῶν ὑπαρχόντων αὐτοῖς. εἶτα συμπλέξας τὰ ἑκάστῳ τῶν γενῶν, ἢ εἰδῶν κοινά τε καὶ ἴδια ὑπάρχοντα, ἀποδώσει τὸν ἑκάστου ὁρισμόν.

» ΝΥΝ μὲν γὰρ οἴονται τὸ ἐξ ἀνάγκης εἶναι ἐν τῇ γενέσει. ὥσπερ ἂν εἴ τις τὸν τοῖχον γεγονέναι ἐξ
» ἀνάγκης νομίζοι γεγενῆσθαι, ὅτι τὰ μὲν βαρέα, κάτω πέφυκε φέρεσθαι. τὰ δὲ κοῦφα, ἐπιπολῆς. διὸ
» οἱ λίθοι μὲν κάτω, καὶ τὰ θεμέλια,

Οἱ φυσικοί φησι πάντες τὸ ἁπλῶς ἀναγκαῖον ἐν τῇ γενέσει εἰσάγουσι, διά γε τὰς τῆς ὕλης δυνάμεις γίνεσθαι τὰ γινόμενα λέγοντες. ἔστι δὲ ἁπλῶς μὲν ἀναγκαῖον, ὃ χωρὶς ὑποθέσεως ἀνάγκη εἶναι. ὥσπερ φαμὲν τὸν ἥλιον ἀνάγκη ἐν κύκλῳ γενέσθαι. ἐξ ὑποθέσεως δὲ ὅταν τὸ μὴ ὂν ὡς ὂν ὑποθεμένων τῷ ὑποτεθέντι ἐξ ἀνάγκης ἕτερόν τι ἕπηται. ὥσπερ εἰ ἐν φωτὶ βαδίζοι τις, ἕπεται αὐτῷ πάντως τὸ καὶ σκιὰν ποιεῖν.

» Η ΔΕ γῆ ἄνω, διὰ τὴν κουφότητα. ἐπιπολῆς δὲ μάλιστα τὰ ξύλα. κουφότατα γάρ.

Γῆν ἂν λέγοι ἴσως τὴν ἐπικειμένην τοῖς θεμελίοις. ἔστι δὲ παραδείγματος ἕνεκα τὸ λεγόμενον. διὸ οὐδὲ ἀκριβολογητέον.

» ΑΛΛ' ὅμως, οὐκ ἄνευ μὲν τούτων γέγονεν, οὐ μέντοι διὰ ταῦτα, πλὴν ὡς δι' ὕλην. ἀλλ' ἕνεκα τοῦ
» κρύπτειν ἄττα καὶ σώζειν.

Οὐκ ἄνευ μὲν τῆς ὕλης φησὶ γένοιτο ἂν τὸ εἶδος, οὐ μὴν διὰ τὴν ὕλην γίνεται. οὐ γὰρ διὰ τὸ εἶναι λίθους καὶ ξύλα οἰκία γίνεται. ἀλλ' ἐπειδὴ δεῖ γενέσθαι οἰκίαν, δεῖ ὑπάρχειν ξύλα, καὶ λίθους. ἄνευ γὰρ τούτων οὐκ ἂν εἴη. οὐ μὴν ταῦτα αἴτια αὐτῆς, ἢ μὴ ὡς ἡ ὕλη. ἔστι γὰρ καὶ ἡ ὕλη τῶν καθ' αὑτὸ αἰτίων. ἀλλ' οὐ διὰ ταῦτα τὸ εἶδος, ἐπεὶ ἔδει καὶ δίχα τοῦ οἰκοδόμου οἰκοδομηθῆναι τὴν οἰκίαν, εἴγε αἱ δυνάμεις τῆς ὕλης αἴτιαι ἦσαν αὐτῆς. τοὐναντίον δὲ διὰ τὸ εἶδος ἡ ὕλη παραλαμβάνεται. διὰ γὰρ τὸ κρύπτειν ἄττα καὶ σώζειν. ὅπερ ἐστὶν ὁ τῆς οἰκίας λόγος καὶ τὸ εἶδος. ταῦτα δέ ἐστι τά τε σώματα ἡμῶν καὶ τὰ χρήματα, δι' ἃ δεόμεθα τῆς οἰκίας. ἐπεὶ οὖν διὰ τοῦτο χρεία τῆς οἰκίας, διὰ τοῦτο οὐ τὴν τυχοῦσαν ὕλην παραληπτέον. ἀλλὰ τήνδε, καὶ τήνδε. τοῦ εἴδους ἄρα ἕνεκα ἡ ὕλη. ἐπεὶ δὲ ἡ ὕλη τὸν τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχει, μὴ οὔσης τῆς ὕλης, οὐδὲ τὸ εἶδος ἔσται.

» ΟΜΟΙΩΣ δὲ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἐν ὅσοις τὸ ἕνεκά του ἐστίν. οὐκ ἄνευ μὲν τῶν ἀναγκαίαν
» ἐχόντων τὴν φύσιν, οὐ μέντοι γε διὰ ταῦτα, ἀλλ' ἢ ὡς ὕλην, ἀλλ' ἕνεκά του.

Ἐν τοῖς ἄλλοις πᾶσι, τοῖς τεχνητοῖς, καὶ τοῖς φυσικοῖς. προστέθεικε δὲ ἐν οἷς τὸ ἕνεκά του διὰ τὰ τέρατα τὰ ἐν τοῖς φυσικοῖς, ὅσα πάντη τοῦ κατὰ φύσιν ἐκβέβηκε. καὶ διὰ τὰ ἄλλα πάντα ἃ μὴ ὑπὸ φύσεως μὲν γίνεται, ἀλλ' ἀπὸ διανοίας, μάτην δὲ καὶ εἰς οὐδὲν τέλος. γέγονε γάρ φησιν ὁ πρίων, οὐ διότι σίδηρος ἦν, ἀλλ' ὅτι ἔδει πρίειν ξύλα, καὶ λίθους. τοῦτο δὲ γενέσθαι οὐχ οἷόν τε ἦν, εἰ μὴ ὕλη τῷ εἴδει τοῦ πρίονος ὑπέκειτο σίδηρος. διὰ τοῦτο γοῦν μεταλλεύομεν σίδηρον, ἐπειδὴ βουλόμεθα πρίονα ποιῆσαι, καὶ σκέπαρνον, καὶ ἄροτρον. οὐχ ὅτι ἔστι σίδηρος, ταῦτα ποιοῦμεν. ἀλλ' ὅτι δεῖ τούτων, ταῦτα δὲ ἄνευ σιδήρου οὐκ ἂν εἴη, μεταλλευτέον σίδηρον. διὰ τὸ εἶδος ἄρα ἡ ὕλη. οὐ διὰ τὴν ὕλην τὸ εἶδος. ἐξ ὑποθέσεως ἄρα τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς. τὰ αὐτὰ γὰρ καὶ ἐπὶ τῶν φυσικῶν ἐροῦμεν, ἅπερ καὶ ἐπὶ τῶν τεχνητῶν. οὐ διότι σπέρμα καὶ καταμήνιον διὰ τοῦτο ἄνθρωπος. ἐπεὶ ἔδει ἐκ τούτων ἀεὶ τὸν ἄνθρωπον γίνεσθαι. ἀλλ' ἐπεὶ δεῖ ἄνθρωπον γενέσθαι, ἄνευ δὲ τούτων οὐκ ἂν γένοιτο, διὰ τοῦτο καὶ κατασκευάζει ταῦτα ἡ φύσις.

» ΟἹΟΝ, διατί ὁ πρίων τοιοσδί. ὅπως τοδί. καὶ ἕνεκα τουδί. τοῦτο μέντοι τὸ οὗ ἕνεκα, ἀδύνατον
» γενέσθαι, ἂν μὴ σιδηροῦς ᾖ. ἀνάγκη ἄρα σιδηροῦν εἶναι, εἰ πρίων ἔσται καὶ τὸ ἔργον αὐτοῦ.

Τουτέστι διατί σιδηροῦς, καὶ ὀδοντωτός; φαμὲν ὅπως πρίζῃ. πρίζει δὲ τίνος ἕνεκα; ἵνα γένηται θύρα. ἕνεκα ἄρα τῆς θύρας ὁ πρίων, οὐ διὰ τὸν πρίονα ἡ θύρα.

γενέσεως, καὶ προδρόμων εἰδῶν προγεγενημένων, οὐ πάντως τὸ σκοπιμώτατον γίνεται εἶδος. οὔτε ἄρα ταῖς τῆς ὕλης δυνάμεσι ἐξ ἀνάγκης τὰ εἴδη ἕπονται. ἀλλ' ἔμπαλιν ὡς εἶπον, καὶ ἐξ ὑποθέσεως τὸ ἀναγκαῖον. εἰ δεῖ τοιόνδε εἶδος εἶναι, δεῖ ὕλην παραληφθῆναι τοιάνδε. οἷον θερμὴν μὲν τοσήνδε, ψυχρὰν δὲ τοσήνδε. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἔχει οὖν φησὶ τὸ ἀναγκαῖον ἐν τοῖς φύσει τρόπον τινὰ, ὥσπερ ἐν τοῖς μαθήμασιν ἐξ ὑποθέσεως γὰρ καὶ ἐν τοῖς μαθήμασι τὸ ἀναγκαῖον. μαθήματα δὲ λέγει τὰς δείξεις τὰς μαθηματικὰς, συλλογιστικῶς προϊούσας. ὥστε καθολικώτερόν ἐστιν εἰπεῖν ἀντὶ τῶν μαθημάτων τοὺς συλλογισμοὺς, ὅτι ὡς ἔχει ἐν τοῖς συλλογισμοῖς τὸ ἀναγκαῖον, οὕτως ἔχει καὶ ἐν τοῖς φυσικοῖς. ἐξ ὑποθέσεως γὰρ καὶ ἐν τοῖς συλλογισμοῖς τὸ ἀναγκαῖον. ὑποτεθεισῶν γὰρ τῶν προτάσεων, ἐξ ἀνάγκης ἕπεται τὸ συμπέρασμα, ὥσπερ καὶ ἐν τοῖς φυσικοῖς τοῦ εἴδους ὑποτεθέντος, ἐξ ἀνάγκης ἔσται καὶ ἡ ὕλη. τὸ μὲν οὖν ἐξ ὑποθέσεως ἀναγκαῖον, ὁμοίως ἐπ' ἀμφοῖν. ἡ δὲ τάξις τῆς ἀκολουθίας ἀντέστραπται. ἐπὶ μὲν γὰρ τῶν συλλογισμῶν εἰ αἱ προτάσεις, καὶ τὸ συμπέρασμα. τουτέστιν εἰ τὸ πρῶτον, καὶ τὸ δεύτερον. οὐκέτι μέντοι εἰ τὸ συμπέρασμα, καὶ αἱ προτάσεις. ἀληθῶν μὲν γὰρ οὐσῶν τῶν προτάσεων, ἀληθὲς ἐξ ἀνάγκης καὶ τὸ συμπέρασμα. οὐκέτι μέντοι εἰ τὸ συμπέρασμα, καὶ αἱ προτάσεις. τὸ γὰρ αὐτὸ συμπέρασμα δυνατὸν ἄλλοτε ἄλλαις προτάσεσι συναγαγεῖν. καὶ οὐ μόνον ἐξ ἀληθῶν, ἀλλὰ καὶ ἐκ ψευδῶν ἀληθές. εἰ μὲν γὰρ πέντε καὶ πέντε, πάντως δέκα. οὐ μέντοι εἰ δέκα, πάντως πέντε, καὶ πέντε, ἀλλὰ δύναται ἑπτὰ καὶ τρεῖς, καὶ ἓξ καὶ τέσσαρα. καὶ ἐπὶ συλλογισμῶν μὲν ὁ ἄνθρωπος ζῷον. τὸ ζῷον οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. καὶ ἐκ ψευδῶν δὲ τὸ αὐτὸ συνάξεις. ὁ ἄνθρωπος λίθος. ὁ λίθος οὐσία. ὁ ἄνθρωπος ἄρα οὐσία. ὥστε πάντως μὲν ταῖς τοιαῖσδε προτάσεσιν ἕπεται καὶ τοιόνδε συμπέρασμα, οὐ μέντοι τοιῷδε συμπεράσματι πάντως ἕπονται τοιαίδε προτάσεις. εἰ γάρ τις εἴποι ὅτι δυνατὸν ἐξ ἀληθῶν προτάσεων ψευδὲς συναγαγεῖν συμπέρασμα. οἷον ἐστὶν ἄνθρωπος ζῷον. τὸ ζῷον δυσύλλαβον. ὁ ἄνθρωπος ἄρα δυσύλλαβος, ἴστω ὅτι οὐ σώζει ὁ τοιοῦτος τὰς προτάσεις. ὁ γὰρ μέσος ὅρος, οὐκ ἔστι κοινός. ἄλλος μὲν γάρ ἐστιν ὁ κατηγορούμενος ἐν τῇ ἐλάττονι, καὶ ἄλλος ὁ ὑποκείμενος ἐν τῇ μείζονι. ἐν μὲν γὰρ τῇ ἐλάττονι ζῷον τὸ οὐσιῶδες κατηγορεῖται. ἐν τῇ μείζονι δὲ ἡ φωνὴ αὐτὴ καὶ τὸ ὄνομα τὸ τοῦ ζῴου. ὥστε οὐδὲ προτάσεις εἰσὶν αὗται συλλογισμοῦ. οὐδὲ γὰρ συνεπλάκησαν κοινῷ ὅρῳ. ἀλλὰ μόνον δύο εἰσὶν ἀποφάνσεις ἀπολελυμέναι. ἐπὶ μέντοι τοῦ ὁ ἄνθρωπος λίθος, ὁ λίθος οὐσία, εἰ καὶ ψευδὴς ἡ ἐλάττων πρότασις, ἀλλ' οὖν ἡ συμπλοκὴ συλλογιστική ἐστι. κοινὸς γὰρ ὁ μέσος ὅρος, καὶ σχῆμά ἐστι τὸ ἐκ τῆς συμπλοκῆς αὐτῶν ἀποτελούμενον. ἐπὶ μὲν οὖν τῶν συλλογισμῶν, ὡς εἶπον, τῷ πρώτῳ, λέγω δὴ ταῖς προτάσεσιν αἵτινές εἰσιν ὕλη τοῦ συλλογισμοῦ ὑποτεθείσαις, τὸ δεύτερον ἀκολουθεῖ. λέγω δὴ τὸ συμπέρασμα. τῷ δὲ δευτέρῳ οὐκέτι τὸ πρῶτον. ἐπὶ δὲ τῶν φυσικῶν, καὶ καθόλου τῶν πρακτῶν πάντων, εἴτε τεχνητῶν, εἴτε προαιρετῶν, ἔμπαλιν. τοῦ μὲν ὑστέρου, λέγω δὴ τοῦ εἴδους ὑποτεθέντος, ἀνάγκη πᾶσα τὴν ὕλην, ὅπερ ἐστὶ πρότερον, ἕπεσθαι. οὐ μέντοι εἰ ὕλη ὑπάρχει, πάντως ἕψεται καὶ τὸ εἶδος, ὡς εἴπομεν ἤδη. ἡ μὲν οὖν διαφορὰ τῶν φυσικῶν, καὶ καθόλου τῶν πρακτῶν πρὸς τὰ μαθηματικὰ, αὕτη. αὕτη δὲ κοινωνία, ὅτι τὸ ἐξ ὑποθέσεως ἐν πᾶσι τὸ ἀναγκαῖον. ἑνὸς γὰρ ὑποτεθέντος ἕπεται τὸ λοιπὸν, ἐν μὲν τοῖς πρακτοῖς τοῦ εἴδους ὑποτεθέντος ἕπεται τὸ εἶδος. καὶ ὅτι τρόπον τινὰ καὶ ἐν τοῖς φυσικοῖς τῷ πρώτῳ τὸ δεύτερον ἕπεται, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. τὸ γὰρ εἶδος ὅπερ ἐστὶ τῆς πράξεως εἶδος, ἀρχή ἐστι τῆς θεωρίας. εἰ οὖν ἡ θεωρία ἄρχεται μὲν ἀπὸ τοῦ εἴδους, λήγει δὲ εἰς τὴν ὕλην, ἕπεται δὲ τῷ εἴδει ἡ ὕλη, καὶ ἐν τοῖς φυσικοῖς ἄρα τρόπον τινὰ τῇ ἀρχῇ ἐξ ἀνάγκης τὸ τέλος ἕπεται, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. εἶτα καὶ τὴν αἰτίαν τούτου προστίθησι. διότι φησὶν ἐν τοῖς μαθηματικοῖς πρᾶξις οὐκ ἔστι, θεωρία δὲ μόνη. εἰ μὲν γὰρ ἦν πρᾶξις ἐν τοῖς μαθήμασιν, ὁμοίως ἂν καὶ ἐν αὐτοῖς ἀνάπαλιν εἶχεν ἡ πρᾶξις τῇ θεωρίᾳ, καὶ ἦν ἂν ἡ τῆς πράξεως ἀρχὴ τέλος τῆς θεωρίας. νῦν δὲ ἐπειδὴ θεωρία μόνη ἐστὶν ἐν τοῖς μαθήμασιν, καὶ ἔτι ἐπ' αὐτῆς ἀρχαὶ μὲν αἱ προτάσεις, ταύταις δὲ ἐξ ἀνάγκης ἕπεται τὸ συμπέρασμα, ὁμοίως δὲ καὶ ἐν τῇ τῶν φυσικῶν θεωρίᾳ πρῶτον μέν ἐστι τὸ εἶδος, ἔσχατον δὲ ἡ ὕλη. καὶ ἕπεται ἐξ ἀνάγκης τῷ εἴδει ἡ ὕλη. ταύτῃ καὶ ἐν τοῖς φυσικοῖς τῷ προτέρῳ τὸ ὕστερον ἐξ ἀνάγκης ἕπεται. ἀλλ' εἰ καὶ μὴ πάντως τῇ ὕλῃ ἕπεται τὸ εἶδος, ἀλλ' οὖν ἀδύνατον ἄνευ τῆς ὕλης γενέσθαι τὸ εἶδος. ὥσπερ καὶ ἐπὶ τῶν μαθημάτων, εἰ καὶ μὴ τῷ συμπεράσματι πάντως ἕπονται αἱ προτάσεις, ἀλλ' οὖν μὴ ὄντος τοῦ συμπεράσματος, οὐκ ἂν εἶεν αἱ προτάσεις. ἀδύνατον γὰρ μὴ ἀληθοῦς ὄντος τοῦ συμπεράσματος, ἀληθεῖς εἶναι τὰς προτάσεις. ταῦτα εἰπὼν, ἐπάγει. ὅτι ἀμφότεραι μὲν αἱ ἀρχαὶ αὗται τῷ φυσικῷ λεκτέαι. διαλέξεται γὰρ καὶ περὶ εἴδους, καὶ περὶ ὕλης. ἀλλὰ τὸ μὲν εἶδος λήψεται ἐκ τοῦ ὁρισμοῦ. ἐκ δὲ τούτου περὶ τῆς ὕλης συλλογιεῖται. ὥσπερ καὶ ὁ τεχνίτης λήψεται μὲν τὸ εἶδος τῆς οἰκίας ἐκ τοῦ ὁρισμοῦ αὐτῆς, ὅτι ἔστι σκέπασμα κωλυτικὸν φθορᾶς ἀπὸ ὄμβρων, καὶ καυμάτων. ἐκ τούτου δὲ συλλογιεῖται καὶ περὶ τῆς ὕλης, ὅτι πρὸς τοῦτο δεῖ οὐ τῆς τυχούσης ὕλης. οὐ γὰρ καλάμων τυχὸν, ἢ παπύρων δεῖ. ἀλλὰ στερρᾶς ὕλης στεγούσης ὑετόν. οὕτως οὖν καὶ ὁ φυσικὸς λήψεται μὲν τὸ εἶδος ἐκ τοῦ ὁρισμοῦ. οἷον, ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν. ἐξ αὐτοῦ δὲ συλλογιεῖται, ὅτι δεῖ τῷ λογικῷ ἐσομένῳ, οὐχ ἁπλῶς τῆς τυχούσης ὕλης, ἀλλ' ἐπεὶ οἰκεῖον τῷ λογικῷ τυχὸν τὸ ἀειφόρον, δεῖ τὸ ὑποδεχόμενον αὐτὸ σῶμα μὴ κυπτάζειν, ἀλλ' ὄρθιον εἶναι. πρὸς τὸ γενέσθαι δὲ τοιόνδε σῶμα, δεῖ

μόνῃ τῇ φύσει, ἢ καὶ ἐν τῇ τύχῃ ἐστὶ τὸ ἕνεκά του, καὶ τὸ οὗ ἕνεκα ταῦτα πράττεται. καὶ φησὶν ὅτι ἔστι καὶ ἐν τῇ τύχῃ. ἀλλ' οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. ἐλθὼν γάρ τις ἀπὸ ξένης ἐλούσατο. ἀλλ' οὐ τούτου ἕνεκεν ἦλθεν, ἵνα λούσηται. ἐγένετο μὲν τοιόπλους, ὡς ἕνεκα τούτου κατὰ συμβεβηκός. κατὰ συμβεβηκὸς οὖν ἐν τῇ τύχῃ τὸ ἕνεκά του, οὐ καθ' αὑτό, ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται.

» ΟΙΟΝ, λέγομεν ὅτι ἀπὸ τύχης ἦλθεν ὁ ξένος, καὶ λουσάμενος ἀπῆλθεν, ὅταν ὥσπερ ἕνεκα τούτου ἐλθὼν πράξῃ, μὴ ἕνεκα τούτου δ' ἔλθῃ. καὶ τοῦτο κατὰ συμβεβηκός. ἡ γὰρ τύχη τῶν κατὰ συμβεβηκὸς αἰτίων, καθάπερ καὶ πρότερον εἴπομεν. ἀλλὰ ὅταν τοῦτο ἀεί, ἢ ὡς ἐπὶ τὸ πολὺ γίνηται, οὐ κατὰ συμβεβηκὸς οὐδὲ ἀπὸ τύχης. ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, ἂν μή τι ἐμποδίσῃ.

Γ γράφεται καὶ λυτρωσάμενος ἀντὶ τοῦ λουσάμενος, οἷον εἴ τις ἐν πόλει ἐλθὼν εὕροι αὐτόν τινα δέσμιον, εἶτα λυτρώσαιτο τοῦτον. λέγομεν γὰρ ἐν τοῖς τοιούτοις, ὅτι ἦλθεν, ἵνα λυτρώσηται αὐτόν. καίτοι οὐ τούτου ἕνεκεν ἦλθεν. ἀλλὰ τὸ ἐκβὰν οὕτω γέγονεν ὡς ἂν εἰ τούτου ἕνεκεν ἦλθεν. ἀπερχόμενος γὰρ ἀγωνίσασθαι ὀλύμπια, καὶ εὑρὼν ἐν αἰγίνῃ πλάτωνα δεδεμένον, ἀγοράσας ἐλυτρώσατο εἰπὼν ὅτι οὐκ ἂν πολλὰς νίκας ἐν ὀλυμπίᾳ ἀντηλλάξατο τῆς πράξεως ταύτης.

» ΑΤΟΠΟΝ δὲ καὶ τὸ μὴ οἴεσθαι ἕνεκά του γίνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ κινοῦν βουλευσάμενον. καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται. καὶ γὰρ εἰ ἐνῆν ἐν τῷ ξύλῳ ἡ ναυπηγική, ὁμοίως ἂν τῇ φύσει ἐποίει. ὥστε εἰ ἐν τῇ τέχνῃ ἔνεστι τὸ ἕνεκά του, καὶ ἐν τῇ φύσει ἔνεστι.

Α εὔλογόν φησι τὸ νομίζειν μὴ ἕνεκά του ποιεῖν τὴν φύσιν διὰ τὸ μὴ ὁρᾶν αὐτὴν βουλευομένην, ὁπότε οὐδὲ ἡ τέχνη βουλεύεται. εἰ τοίνυν ἐπινοήσαις τὴν ναυτικὴν τέχνην ἐν τῷ ξύλῳ καταδεδυκυῖαν, τί πλέον ἂν ἐποίησεν, ἢ ὡς ἡ φύσις ἐποίει μὴ βουλευομένη. μὴ γὰρ δὴ ὅτι ἐν ἀνθρώπῳ ἡ τέχνη, σκόπει, ἀλλὰ ταύτην αὐτὴν τοῦ εἴδους σκοπήσας ἐγκαταθεὶς τῷ ξύλῳ, καὶ οὐδὲν ὄψει πλέον ποιοῦσαν, ἢ ὡς νῦν ἔξωθεν οὖσα ἐργάζεται. ὥσπερ γὰρ νῦν ἔξω οὖσα ἕνεκά του πάντα ποιεῖ, καὶ ἐν τῷ ξύλῳ δηλονότι οὖσα, ὥσπερ ἡ φύσις ἐν τοῖς φυσικοῖς ἕνεκά του ἅπαντα ἐποίησε. διατί οὖν μὴ καὶ νῦν τὴν φύσιν οὕτω φαμὲν ποιεῖν ἐν τοῖς φυσικοῖς ἐνυπάρχουσαν.

» ΜΑΛΙΣΤΑ δὲ δῆλον, ὅταν τις ἰατρεύῃ αὐτὸς ἑαυτόν. τούτῳ γὰρ ἔοικεν ἡ φύσις. ὅτι μὲν οὖν αἰτία ἡ φύσις, καὶ οὕτως ὡς ἕνεκά του, φανερόν. τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει, ἢ καὶ ἁπλῶς.

Β ἐπειδὴ ὑπέθετο τὴν τέχνην ἐν τῷ ξύλῳ ἐνυπάρχουσαν, ἵνα ἀπεικάσῃ αὐτὴν τῇ φύσει ἐνδοτέρω φέρων τὴν ἔννοιαν, τούτῳ ἐχρήσατο τῷ παραδείγματι, ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν. ἔοικε γὰρ ὡς ἐν τεχνικοῖς ὁ ἰατρεύων ἑαυτὸν ἰατρός, τῇ φύσει. τὴν ἀρχὴν γὰρ τῆς ὑγιείας ἐν ἑαυτῷ ἔχει, ἀλλὰ συμβέβηκεν ἐνταῦθα τὸ θεραπευόμενον ἅμα καὶ ἰατρὸν εἶναι. Τὸ δ' ἐξ ἀνάγκης πότερον ἐξ ὑποθέσεως ὑπάρχει ἢ καὶ ἁπλῶς. τῶν δύο προβλημάτων ὧν προεβάλετο, δείξας τὸ ἕτερον, τοῦτο δ' ἐστὶν ὅτι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ, νῦν ἐπὶ τὸ λοιπὸν μετέρχεται. τοῦτο δέ ἐστι πῶς ἐστιν ἐν τοῖς φυσικοῖς τὸ ἀναγκαῖον. πότερον ἁπλῶς καὶ κατά τινα εἱρμὸν ἀνάγκη τῷ προτέρῳ δεύτερον ἕπεσθαι, καὶ τούτῳ τὸ τρίτον, καὶ οὕτως ἐφεξῆς ὥσπερ ἔχει ἐπὶ τῶν οὐρανίων. ἀνάγκη γὰρ ἀπὸ κριοῦ γίνεσθαι ἐν ταύρῳ, καὶ ἐκ τούτου ἐν διδύμοις, καὶ οὕτως ἐφεξῆς κατά τινα καὶ ἀναγκαῖον εἱρμὸν τοῖς προτέροις ἀεὶ τῶν δευτέρων ἑπομένων. ἢ οὐχ οὕτω τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς, ἀλλ' ἐξ ὑποθέσεως τῶν δευτέρων ὑποτεθέντων, ἐξ ἀνάγκης τὰ πρότερα ἕπεται. οἷόν τι λέγω, τῇ ὕλῃ ἐξ ἀνάγκης ἕπεται τὸ εἶδος, ὅπερ ἂν εἴη τὸ ἁπλῶς ἀναγκαῖον. διότι γὰρ ἔχει τοιάνδε δύναμιν ἡ ὕλη, δεῖ πάντη τε καὶ πάντως ἕπεσθαι καὶ τὸ εἶδος. ἢ οὐχ οὕτως, ἀλλ' εἰ δεῖ γίνεσθαι τὸ εἶδος, δεῖ τοιάνδε ὕλην προϋποκεῖσθαι. οἱ μὲν οὖν φυσικοὶ τὸ ἁπλῶς ἀναγκαῖον ἐν τοῖς γινομένοις ὑπετίθεντο. πάντες γὰρ ταῖς δυνάμεσι τῆς ὕλης ἐξ ἀνάγκης ἕπεσθαι τὰ εἴδη ἔλεγον. ὥσπερ ἂν εἰ καὶ τὴν οἰκίαν διὰ τοῦτο τοιάνδε εἶναι ἔλεγον, διὰ τὰς φυσικὰς τῆς ὕλης ἐξ ἧς σύγκειται δυνάμεις. οἷον διότι γὰρ βαρεῖς μὲν οἱ λίθοι, κουφότεροι δὲ τούτων αἱ πλίνθοι, ἔτι δὲ κουφότερα τὰ ξύλα, διὰ τοῦτο γέγονεν ἡ οἰκία ἔχουσα τὰ μὲν θεμέλια κάτω, ἐφεξῆς δὲ τούτοις τὰς πλίνθους, καὶ ὑπεράνω πάντων τὰ ξύλα, διότι κουφότερον, πάνυ γελοίως διὰ τὰς δυνάμεις τῆς ὕλης τοιόνδε σχῆμα ἔχειν τὴν οἰκίαν ὑποτιθέμενοι, οὐ διότι ἔδει τὴν οἰκίαν τοιάνδε εἶναι, καὶ διὰ τοῦτο τοιάνδε ὕλην παρασκευασθῆναι. εἰ γὰρ ἁπλῶς ταῖς δυνάμεσι τῆς ὕλης εἵπετο τοιόνδε εἶδος, ἔδει αὐτομάτως εἶναι τὴν οἰκίαν οὔσης τῆς ὕλης, καὶ μηδὲν τοῦ τάττοντος δεῖσθαι. οὕτω δὲ καὶ οἱ φυσικοὶ τὸ ἀναγκαῖον ἐν τοῖς γινομένοις ὑπάρχειν ἔλεγον. διὰ γὰρ τὸ ψυχρὸν εἶναι τοιόνδε, καὶ τὸ θερμὸν γενέσθαι ὀστοῦν, ἢ σάρκα, ἢ τῶν ἄλλων ὁτιοῦν, ἤγουν διὰ τὸ τὰς ἀτόμους σφαιρικὰς εἶναι τὸ πῦρ καίειν, ἢ τὸ ὕδωρ ψύχειν διὰ τὸ ἐκ κυβικῶν εἶναι ἀτόμων. καὶ ἕκαστος ἁπλῶς τὰς αἰτίας τῆς τῶν εἰδῶν γενέσεως τῇ ὑπ' αὐτοῦ ἐπινενοημένῃ ὕλῃ ἀνέθηκεν. ἔχει δὲ τὸ ἀναγκαῖον, οὐχ οὕτως ἐν τοῖς φυσικοῖς. οὐδὲν γὰρ ἔδει φύσεως τῆς ἐργαζομένης. οὐδὲ γὰρ τὴν ὕλην ἡ φύσις ἐργάζεται, ἀλλ' οὔσῃ χρῆται εἰς τὴν τῶν εἰδῶν γένεσιν. τὰ γὰρ στοιχεῖα ὄντα λαβοῦσα καὶ ποιῶς, ἢ ποσῶς μίξασα, οὕτως ἄλλο καὶ ἄλλο ἐπιτίθησιν εἶδος. εἰ δ' ἁπλῶς τῇ τῆς ὕλης δυνάμει εἵποντο τὰ εἴδη, τίς ἦν χρεία τοῦ ποιητικοῦ αἰτίου, τῆς φύσεως φημί. ἐξ ὑποθέσεως οὖν τὸ ἀναγκαῖον. διὰ γὰρ τὸ δεῖν τοιόνδε εἶδος εἶναι, διὰ τοῦτο παραλαμβάνεται ἡ ὕλη. ἀμέλει ὡς εἶπον καὶ παραληφθείσης τῆς ὕλης, καὶ καλλιερ-

γηθείσης

κά του, ὃ ἐν τοῖς τεχνητοῖς φησὶν εἶναι τὸ ἕνεκά του, καὶ ἐν πολλαῖς ὁρῶμεν κατὰ τὰς τέχνας καὶ τὸ οὗ ἕνεκα, εἰς ἕνια δι' αὐτὴν χειροῦσι μὲν ἕνεκά του ποιεῖν, ἁμαρτάνουσι δὲ τοῦ σκοποῦ διά τινος δήποτε αἰτίας, οὐ παρὰ τὸ μὴ αὐτὰς οὕτω προτίθεσθαι, ὥστε εἴς τι τέλος ἀγαθὸν λῆξαι, τί κωλύει καὶ ἐπὶ τῆς φύσεως τὸ αὐτὸ συμβαίνειν, καὶ τὰ ἁμαρτήματα αὐτῆς μὴ διὰ τὸ ὡς ἔτυχεν αὐτὴν ποιεῖν νομίζειν γίνεσθαι, ἀλλὰ διὰ τὸ ἐξ ἀρχῆς ἐκκρούεσθαι σκοποῦ ἢ διὰ τὴν ὕλην, ἢ διὰ τὰ ἔξωθεν συμπτώματα.

ΚΑΙ ἐν ταῖς ἐξ ἀρχῆς ἄρα συστάσεσι τὰ βουγενῆ, εἰ μὴ πρός τινα ὅρον καὶ τέλος δυνατὰ ἦν ἐλθεῖν, διαφθειρομένης ἂν ἀρχῆς τινὸς ἐγίνετο. ὥσπερ νῦν τοῦ σπέρματος.

Ἐκ τούτων ἄρα δῆλον φησὶν ὅτι καὶ τὰ κατὰ τὸν Ἐμπεδοκλέους βουγενῆ ἀνδρόπρωρα, ἵνα τις συγχωρήσῃ τῷ μύθῳ, εἰ μὴ δυνατὰ ἦν εἴς τινα ὅρον καὶ τέλος ἐλθεῖν, τουτέστιν εἰς εἶδός τι τέλειον, ὥστε καὶ διαμεῖναι, πρόδηλον ὅτι τῆς ἀρχῆς αὐτῶν, καὶ τοῦ σπέρματος διαφθαρέντος τοιαῦτα γέγονεν. ὅθεν οὐδὲ διέμειναν. ὅπερ καὶ νῦν ἐπὶ τῶν τεράτων συμβαίνει.

ΕΤΙ δ' ἀνάγκη σπέρμα γενέσθαι πρῶτον, ἀλλὰ μὴ εὐθὺς τὰ ζῷα. καὶ τὸ οὐλοφυὲς μὲν πρῶτον σπέρμα ἦν.

Εἰ μὴ ἕνεκά του πάντα ἡ φύσις ποιεῖ, διατί τεταγμένη αὐτῆς ἐστιν ἡ δημιουργία, ἄλλα περὶ ἄλλων παραλαμβάνουσα. ἔδει γὰρ καὶ αὐτὴν σπέρματος τὰ ζῷα εὐθὺς ποιεῖν. εἰ δὲ παραλαμβάνει πρῶτον σπέρμα, εἶτα ἐξ αὐτοῦ ποιεῖ σάρκα, καὶ οὕτως ἐφεξῆς μέχρι τοῦ τελείου εἴδους, καὶ εἰς τὸ τέλειον εἶδος ἐλθοῦσα παύεται λοιπὸν τῆς κινήσεως, πρόδηλον ἄρα ὅτι τὰ πρὸ τοῦ τέλους πάντα τοῦ τέλους ἕνεκα παρέλαβεν, ἐπεὶ τί δήποτε ἔστη εἰς τὸ εἶδος τὸ ἀνθρώπειον τυχὸν, ἢ ἵππειον, καὶ μὴ ἐξ αὐτοῦ συνεχῶς κινοῦσα ἄλλο τι, καὶ τοῦτο ὅπερ ἔτυχεν, ἐποίησεν.

ΕΤΙ καὶ ἐν τοῖς φυτοῖς ἔνεστι τὸ ἕνεκά του. ἧττον δὲ διήρθρωται. πότερον οὖν καὶ ἐν τοῖς φυτοῖς ἐγένετο ὥσπερ βουγενῆ ἀνδρόπρωρα οὕτως ἀμπελογενῆ ἐλαιόπρωρα, ἢ οὔ. ἄτοπον γάρ. ἀλλὰ μὴν ἔδει γε, εἴπερ καὶ ἐν τοῖς ζῴοις. Ἔτι ἔδει καὶ ἐν τοῖς σπέρμασι γίνεσθαι ὅπως ἔτυχεν. ὅλως δὲ ἀναιρεῖ ὁ οὕτω λέγων τὰ φύσει τε καὶ φύσιν. φύσει γὰρ ὅσα ἀπό τινος ἐν ἑαυτοῖς ἀρχῆς συνεχῶς κινούμενα ἀφικνεῖται εἴς τι τέλος.

Ἐπειδὴ ὅπερ εἶπον, πρὸς αὐτὴν τὴν δόξαν ἐνίσταται, ὅτι εἰ ἧττον ἐν τοῖς φυτοῖς τὸ ἕνεκά του, ἢ ἐν τοῖς ζῴοις, ἐν οἷς δὲ ἧττον τὸ ἕνεκά του, ἐν τούτοις μᾶλλον ἔδει τὰ τέρατα γενέσθαι, τί δήποτε μὴ ὥσπερ ἐν τοῖς ζῴοις τὰ βουγενῆ ἀνδρόπρωρα γέγονεν, οὕτω καὶ ἐν τοῖς φυτοῖς ἀμπελογενῆ ἐλαιόπρωρα. εἰ δὲ μὴ γέγονεν ἐν τοῖς φυτοῖς. οὐδὲ γὰρ φαίνεται τοῦτο λέγων, οὐδὲ ἐν τοῖς ζῴοις ἄρα. οὐδὲ θαυμαστὸν, ὥσπερ ἐν τοῖς ζῴοις γίνεται τέρατά τινα, οὕτω δὲ καὶ ἐν τοῖς φυτοῖς γίνεσθαι. ἀλλ' ἧττον τῶν ζῴων διαφαίνεται ἐν τούτοις τὸ παρὰ φύσιν, διὰ τὸ μὴ οὕτω διηρθρῶσθαι τὰ εἴδη, καὶ διακεκρίσθαι ὡς ἐν τοῖς ζῴοις. ἐν οἷς γὰρ τὸ ἀκριβὲς εἶδος, ἐν τούτοις καὶ ἡ ὀλίγη ἐκτροπὴ πρόδηλος. καὶ ὥσπερ ἐν ἄλλοις αὐτός φησι, τοῦ τεθνεῶτος τὴν μὲν χεῖρα οὐκέτι ἂν εἴποι τις χεῖρα εἶναι, εἰ μὴ ὁμωνύμως, ὡς τὴν λιθίνην, ἢ τὴν γεγραμμένην, διὰ τὸ ἐφθάρθαι αὐτῆς ἐναργῶς τὸ εἶδος καὶ τὴν ἐνέργειαν. τὴν μέντοι σάρκα τοῦ τεθνεῶτος νομίσειεν ἄν τις μηδὲν ἔλαττον ἔχειν τῆς ζώσης, διὰ τὸ μὴ ἐναργῶς ὁρᾶσθαι τὸ εἶδος αὐτῆς καὶ τὴν χρείαν, ἣν παρεῖχε τῷ ὅλῳ ζῴῳ, μετὰ θάνατον ἐφθαρμένην. τοῦτο δὲ διὰ τὸ ὑλικώτερα ὄντα τὰ ὁμοιομερῆ μὴ εἰλικρινὲς ἔχειν τὸ εἶδος. οὕτω δὴ καὶ τὰ φυτὰ ἐπειδὴ πρὸς τῇ ὕλῃ μᾶλλόν ἐστιν ἤπερ τὰ ζῷα, καὶ διὰ τοῦτο ἀμυδρότερον ἔχει τὸ εἶδος, ἐν τούτοις παρεκτροπαῖς ἡ διαφορὰ οὐ διαφαίνεται, ὥσπερ οὐδὲ ἐν τῇ νεκρᾷ σαρκί. καὶ διὰ τοῦτο οὐ δοκεῖ τέρατα γίνεσθαι ἐν τοῖς φυτοῖς. τοῦτο δὲ τὸ ἐπιχείρημα οὐκέτι πραγματειῶδες, ἀλλ' ὡς πρὸς τὸ πρόσωπον τοῦ Ἐμπεδοκλέους, καὶ τὰ παρὰ αὐτοῦ, ὅτι οὐκ ἔστιν ἑαυτοῦ ἀκόλουθος, ἐν τοῖς ζῴοις μὲν τὰ τοιαῦτα τέρατα γεννῶν, ἐν τοῖς φυτοῖς δ' οὐκέτι. καίτοι εὐλογώτερον ἦν ἐπὶ τῶν φυτῶν τοῦτο ποιῆσαι. εἰ μὲν οὖν καὶ ἐπὶ τῶν φυτῶν ἐγένετο, διὰ τί μὴ εἶπεν. εἰ δὲ διὰ τὸ μὴ γίνεσθαι οὐκ εἶπεν, ἄτοπος, ἐπὶ μὲν τῶν εἰλικρινεστέρων εἰδῶν, καὶ ἐφ' ὧν μᾶλλον τὸ ἕνεκά του διαφαίνεται, καὶ ἡ τῆς φύσεως πρόνοια, ἐπὶ τούτων ὡς ἔτυχε ταῦτα γίνεσθαι λέγων. ἐπὶ δὲ τῶν φυτῶν μηκέτι, ἐν οἷς ἧττόν ἐστι διάδηλος ἡ φύσις πάντα ἕνεκά του ποιοῦσα. ὁ δὲ ἀληθὴς ἔχει λόγος, ἐν ἀμφοτέροις μὲν γίνεσθαι τὸ παρὰ φύσιν, σπάνιον δὲ τοῦτο, καὶ κατὰ ἀποτυχίαν τοῦ ἕνεκά του, καὶ τοῦ κατὰ φύσιν. ὥσπερ καὶ ἐπὶ τῶν τεχνῶν τὸ παρὰ τέχνην.

ΑΦ' ἑκάστης δὲ, οὐ τὸ αὐτὸ ἑκάστοις, οὐδὲ τὸ τυχόν. ἀεὶ μέντοι γε ἐπὶ τὸ αὐτὸ, ἐὰν μή τι ἐμποδίσῃ.

Ὅτι οὔτε ἡ αὐτὴ φύσις πλειόνων τελῶν ἐστὶ ποιητική, οὔτε πλείοσι φύσεσιν ἓν καὶ τὸ αὐτὸ ἀπεργάζοιντο εἶδος, ἀλλ' ἐφ' ἑκάστης ὡρισμένον ἐστὶ τὸ εἶδος, εἰ μή τι τῶν ἔξωθεν ἐμποδίσῃ. συνάγουσι γὰρ πολλάκις διάφορα ζῷα εἰς συνουσίαν. ὡς ἵππον καὶ ὄνον εἰς ἡμιόνου γέννησιν, καὶ ποιοῦμεν ἐκ δύο εἰδῶν ἕν. ὅμως οὖν καὶ ἐνταῦθα θαυμαστὴ τῆς φύσεως ἡ πρόνοια τὰ τοιαῦτα ἄγονα ποιήσασα, ἵνα μάθῃς ὅσα ὑπ' αὐτῆς γίνεται, μηδενὸς τῶν ἔξωθεν βιαζομένου, ἢ διακόπτοντος, ταῦτα τὸν σκοπὸν σώζοντα τέλειον τῇ γενέσει. τοῦτο δ' ἐστὶν ἡ διαδοχὴ τῶν εἰδῶν. ὅσα δὲ μὴ οὕτω γίνεται, τερατώδη ἐστί, καὶ οὐδ' ὅλως διαιωνίζει διαμένοντα, τοῦ φυσικωτάτου τέλους οὐ τυγχάνει. κἀνταῦθα δὲ ἡ σύνοδος τῶν συνεγγύς, οὐ τῶν πόρρω.

ΤΟ δὲ οὗ ἕνεκα, καὶ ὁ τούτου ἕνεκα, γένοιτο ἂν καὶ ἀπὸ τύχης.

Ἐπειδὴ ἔδειξεν ὅτι ἐν τῇ φύσει τὸ ἕνεκά του, καὶ ἔχει τὸ τέλος οὗ ἕνεκα πάντα πράττει, ἄρα φαίνεται ἐν

χεῖν. ὥσπερ φησὶν εἰ καὶ συγχωρήσομεν τῷ Ἐμπεδοκλέους μύθῳ, ὅτι ἐγένοντο ζῷά τινα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, βουγενῆ καὶ ἀνδρόπρῳρα, τῷ λόγῳ δήπου τούτῳ ἐγένετο, ᾧ καὶ νῦν τὰ τέρατα. τῆς ὑλικῆς αὐτῶν ἀρχῆς, λέγω δὴ τοῦ σπέρματος, διαφθαρέντος, καὶ οὕτως ἤδη κἀκεῖνος τὴν φύσιν ἕνεκά του ποιοῦσαν. ὥστε καὶ τὴν ἁμαρτίαν αὐτῆς ὡς ἤδη εἶπον, οὐ πόρρω τοῦ σκοποῦ πεσεῖν ἔφη. οὐ γὰρ εἶπε βουγενῆ ἐλαιόπρῳρα γενέσθαι, ἀλλὰ βουγενῆ ἀνδρόπρῳρα. οὕτως οἶδε καὶ αὐτὸς τὴν φύσιν σκοπόν τινα ὡρισμένον ἔχουσαν. οἷον, ἢ ἄνθρωπον, ἢ βοῦν ποιῆσαι. καὶ τούτου ἀποτυχοῦσαν, τὸ σύνεγγυς ἀπαντῆσαι. λέγω δὴ τὸ ζῷον ἁπλῶς ποιῆσαι. ἔπειτα καὶ πρὸς αὐτὴν τὴν δόξαν ἐνίσταται. τί γὰρ δήποτέ φησιν ἐν ταῖς ἐξ ἀρχῆς συστάσεσι μὴ ὥσπερ βουγενῆ ἀνδρόπρῳρα γέγονεν ἐπὶ τῶν ζῴων, οὕτω καὶ ἐπὶ τῶν φυτῶν τοῦτο ἐγένετο μᾶλλον, ἢ ἐπὶ τῶν ζῴων. ἧττον γὰρ ἐν τοῖς φυτοῖς τὸ ἕνεκά του, ἢ ἐν τοῖς ζῴοις. διότι καὶ διήρθρωται μᾶλλον τὸ εἶδος ἐν τοῖς ζῴοις. ἔδει δὲ ἐν οἷς ἧττον τὸ ἕνεκά του διαφαίνεται, ἐν τούτοις μᾶλλον ἀπαντᾶν τὴν παρεκτροπὴν γενέσθαι. οὐ γέγονε δὲ ἐν τοῖς φυτοῖς. οὐδὲ γὰρ φαίνεται τοῦτο λέγων. οὐδὲ ἐν τοῖς ζῴοις ἄρα. ὥστε οἱ ἐκ τούτων τὸ ἕνεκά του τῆς φύσεως ἀναιροῦντες, ἑαυτοὺς ἐλέγχοντες μᾶλλον ἴσασιν ἢ τὴν φύσιν. εἶτα καὶ ἄλλοις ἐπιχειρήμασι τὸ αὐτὸ κατασκευάζει. εἰ δὲ μὴ ἕνεκά του πάντα ποιεῖ ἡ φύσις, διατί μὴ εὐθὺς ποιεῖ ἄνθρωπον ἀλλὰ πρῶτον σπέρμα, εἶτα σάρκα, εἶτα ἄλλο καὶ ἄλλο ἐφεξῆς μέχρις ἂν τοῦ σκοπιμωτάτου τέλους τύχῃ. διατί γὰρ μὴ πρότερον ἔμβρυον, εἶτα σπέρμα. ἡ γὰρ τάξις τοῦ ἕνεκά του. ὥστε εἰ ἐν τάξει ἄλλο πρὸ ἄλλου παραλαμβάνει, καὶ οὐδέποτε τῆς τάξεως μεθίσταται πρὶν ἂν φθαρῇ τὸ γινόμενον, δῆλόν ἐστι πάντα ἕνεκά του ποιοῦσα. καὶ αὐτὸς δέ φησιν ὁ Ἐμπεδοκλῆς τὸ οὐλοφυὲς πρῶτόν φησι γενέσθαι. τοῦτο δὲ οὐδὲν ἄλλο σημαίνει παρ᾽ αὐτῷ ἢ τὸ σπέρμα, συνεστραμμένον καὶ ὅλως ἅμα ἔχον ἐν ἑαυτῷ τοὺς λόγους τοῦ φυομένου. παρὰ γὰρ τὸ τὴν τοῦ ὅλου φύσιν περιέχειν τὸ ὁλοφυὲς αὐτῷ κέκληται. εἰ δὲ τὸ οὐλοφυὲς πρῶτον τῶν ζῴων καὶ φυτῶν γίνεται, ἕνεκα ἄρα τῶν φυτῶν καὶ ζῴων γίνεται. εἰ δὲ τοῦτο, ἕνεκά του ἄρα ἡ φύσις ποιεῖ. ἕνεκα γὰρ τῶν ὑστέρων τὰ πρότερα. ὅπερ οὖν εἶπεν, εἰ καὶ δῶμεν ἀληθῆ εἶναι τὸν Ἐμπεδοκλέους μῦθον ὡς κατ᾽ ἀρχὴν συνέστη τινὰ βουγενῆ ἀνδρόπρῳρα, τοῦ ὁλοφυοῦς τούτου φθαρέντος δηλονότι συνέστη. ὥσπερ καὶ νῦν τὰ τέρατα γίνεται τοῦ σπέρματος φθαρέντος, ἢ πλεονάσαντος, ἢ ἐλλείψαντος. ὥστε ἡ μὲν φύσις ἕνεκα τοῦ ἀγαθοῦ τὴν προβολὴν τοῦ ὁλοφυοῦς ἐποιήσατο. συνέβη δὲ φθαρέντος αὐτοῦ, ἀποτυχεῖν τοῦ σκοποῦ τὴν φύσιν. ἔτι φησὶν οἱ ἀναιροῦντες τῆς φύσεως τὸ ἕνεκά του, λανθάνουσιν ἑαυτοὺς πολλῷ πρότερον καὶ τὴν φύσιν ὅλως καὶ τὰ φυσικὰ ἀναιροῦντες. φύσει γὰρ κατὰ τὴν κοινὴν ἔννοιαν ταῦτα νομίζομεν εἶναι πάντες, ὅσα ἀπό τινος ἀρχῆς ἐν ἑαυτοῖς ὑπαρχούσης, συνεχῶς καὶ κατὰ τάξιν κινούμενα ἀφικνεῖται εἴς τι τέλος. ἀλλ᾽ οὐχὶ ἐπὶ τὸ τυχὸν ἀπὸ τῆς τυχούσης ἀρχῆς. ταῦτα γὰρ ἀπὸ τύχης καὶ ἀπὸ ταὐτομάτου καλεῖν εἰώθαμεν. τὰ δὲ ἀπὸ φύσεως, ἢ ἀεί, ἢ ὡς ἐπὶ τὸ πολὺ ἀπὸ τῆς αὐτῆς ἀρχῆς, διὰ τῆς αὐτῆς ὁδοῦ τὰ αὐτὰ τέλη γίνεται. οὐδέποτε γὰρ ἀπὸ ἀνθρωπείου σπέρματος κύων γέγονεν, ἢ ἵππος. καίτοι εἰ μὴ ἕνεκά του ἐποίει ἡ φύσις, ἔδει τὸ τυχὸν ἐκ τοῦ τυχόντος γίνεσθαι. νῦν δ᾽ οὐ γίνεται. ὥστε οἱ μὴ ἕνεκά του φασὶ τὴν φύσιν ποιεῖν, ἀλλ᾽ ὅπερ ἂν τύχῃ, μάτην τὸ τῆς φύσεως περιβομβοῦσιν ὄνομα, εἰς ταὐτὸν ἄγοντες αὐτὴν τῇ τύχῃ, καὶ συγκλώθοντες τὰ ἀσύγκλωστα. ὥστε εἰ μὴ ταὐτὸν τύχη καὶ φύσις, ἀλλὰ πολλῷ ταῦτα διεστήκασι τῷ μέσῳ, τῆς τύχης ἐκ τῆς τυχούσης ἀρχῆς τὸ τυχὸν ποιούσης, τῆς δὲ φύσεως ἐξ ὡρισμένης ὡρισμένον, ἀδύνατον τὴν φύσιν μὴ ἕνεκά του ποιεῖν πάντα. ἐπεὶ εἰς ταὐτὸν ἂν οὕτω τῇ τύχῃ συμφέροιτο. τελευταῖον δὲ πάντων τὴν αἰτίαν τίθησιν ἐξ ἧς κινηθέντες οἴονται τὴν φύσιν μηδὲν ἕνεκά του ποιεῖν. ἐοίκασι γάρ φησι διὰ τὸ μὴ ὁρᾶν τὴν φύσιν ἐν τῷ δημιουργεῖν βουλευομένην, διὰ τοῦτο αὐτῆς ἀφαιρεῖσθαι τὸ ἕνεκά του ποιεῖν, ὡς δέον τὰ ἕνεκά του ποιοῦντα πάντως βουλεύεσθαι. τοῦτο δέ φησι γελοῖον ἂν εἴη. ἔδει γὰρ αὐτοὺς συνιδεῖν ὅτι οὐδὲ αἱ τέχναι βουλεύονται. ἡ γὰρ βουλὴ ἔνδειά ἐστι φρονήσεως, καὶ ὅταν ὁ τεχνίτης βουλεύηται, οὐχ ὡς τεχνίτης βουλεύεται, ἀλλ᾽ ὡς ἐλλείπων κατὰ τὴν τέχνην. ἐξ ἀγνοίας γὰρ ἐπὶ τὴν βούλευσιν ἔρχεται. ὁ γὰρ τεχνίτης, βουλῆς οὐ δεῖται. οὐ βουλεύεται γὰρ ὁ τέκτων εἰ δεῖ πρίειν τὰ ξύλα, ἢ ἀποξέειν. καὶ ὁ οἰκοδόμος, εἰ δεῖ πρῶτον τοὺς θεμελίους καταβάλλεσθαι, ἀλλ᾽ οὐδ᾽ ὁ γραμματιστὴς βουλεύεται πῶς δεῖ τὸ α, ἢ τὸ β γράψαι. οὐδ᾽ ὅταν γράφῃ τὸ Σωκράτης ὄνομα βουλεύεται ποῖον δεῖ πρῶτον τῶν στοιχείων γράψαι, ποῖον δὲ δεύτερον καὶ τρίτον. ἀλλ᾽ ἑκάστης τέχνης ὥρισται καὶ τὸ τέλος, καὶ ἡ ἀρχή. καὶ ἡ ὁδὸς ἐκ τῆς ἀρχῆς ἐπὶ τὸ τέλος, ὥσπερ καὶ ἡ τῆς φύσεως. τὰ δ᾽ ὡρισμένα βουλῆς οὐ δεῖται. βουλευόμεθα γὰρ ἢ περὶ τῆς ἀρχῆς, ἢ περὶ τοῦ τέλους, ἢ περὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ τέλος ἀγούσης, ὅταν ἄδηλα ταῦτα καὶ ἀόριστα ᾖ. ὥστε εἰ διὰ τὸ μὴ βουλεύεσθαι τὴν φύσιν, ἀφαιροῦνται αὐτῆς τὸ ἕνεκά του, καὶ τῆς τέχνης ἀφαιρείτωσαν. εἰ δὲ μὴ ἀφαιροῦνται τῆς τέχνης διὰ τοῦτο τὸ ἕνεκά του, εὔλογον δήπου μηδὲ τῆς φύσεως ἀφαιρεῖν. καὶ τί λέγω ἐπὶ τεχνῶν, ὁπότε καὶ τὸ θεῖον δημιουργοῦν οὐ βουλεύεται, ἀλλ᾽ αὐτῷ τῷ εἶναι, ὅταν θέλῃ, πάντα παράγει βουλῆς οὐ δεόμενον, εἴγε ἡ βουλὴ ὥσπερ εἶπον δι᾽ ἔνδειαν γίνεται φρονήσεως. ἥκιστα οὖν τῆς φύσεως διὰ τὸ μὴ βουλεύεσθαι ἀφαιρετέον τὸ ἕνεκά του, ἐπεὶ μηδὲ τῆς τέχνης, μηδὲ τοῦ θείου. Ἁμαρτία δὲ γίνεται καὶ ἐν τοῖς κατὰ τὴν τέχνην. Ὡς δὴ τῆς ἀπορίας προδήλου οὔσης. κατὰ τὸ σιωπώμενον ἀπὸ τῆς λύσεως ἄρχεται. εἰ δὴ ἔστιν ἔνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνε-

λευσάμενα, ποιεῖ. διὸ ἀποροῦσί τινες, πότερον νῷ, ἤ τινι ἄλλῳ ἐργάζονται, οἵ τε ἀράχναι, καὶ οἱ μύρμηκες, καὶ τὰ τοιαῦτα. κατὰ μικρὸν δ' οὕτω προϊόντι, καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γινόμενα πρὸς τὸ τέλος. οἷον, τὰ φύλλα, τῆς τοῦ καρποῦ ἕνεκα σκέπης. ὥστ' εἰ φύσει τε ποιεῖ, καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιὰν, καὶ ὁ ἀράχνης τὸ ἀράχνιον, καὶ τὰ φυτὰ τὰ φύλλα ἕνεκα τῶν καρπῶν, καὶ τὰς ῥίζας οὐκ ἄνω, ἀλλὰ κάτω ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γινομένοις καὶ οὖσι. καὶ ἐπεὶ ἡ φύσις διττὴ, ἡ μὲν ὡς ὕλη, ἡ δ' ὡς μορφὴ, τέλος δὲ αὕτη, τοῦ τέλους δὲ ἕνεκα τὰ ἄλλα, αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα.

Ῥᾷον ἐπὶ τὰ δραστικώτερα προβαίνει ἐπιχειρήματα. τί γὰρ λέγω φησὶν ἐπὶ τῶν λογικῶν ζώων ἃ κατὰ τέχνην ποιεῖ, καὶ διὰ τούτων καὶ τὴν φύσιν φημὶ ἕνεκά του ποιεῖν. ἐπὶ γοῦν τῶν ἀλόγων ζώων φαίνεται προφανῶς ἡ φύσις πάντα ἕνεκά του ποιήσασα. καὶ τεκμήριον ὁ ἀράχνης ἡ χελιδὼν, καὶ τὰ ὅμοια, ἅπερ φύσει καὶ οὐ λογισμῷ ἐργαζόμενα, ὅμως οὐδὲν μάτην ποιεῖ. διὸ καὶ ἀποροῦσί τινες μήποτε οὐδὲ φύσει ταῦτα ἐργάζεται, ἀλλὰ λογισμῷ τινι. καὶ τί λέγω φησὶν ἐπὶ ζώων, ὁπότε καὶ ἐπὶ φυτῶν ὁρῶμεν τὴν φύσιν πάντα ἕνεκά του ποιοῦσαν. τὰς μὲν γὰρ ῥίζας κάτω ἐποίησε τῆς τροφῆς ἕνεκεν, πρὸς τῇ πηγῇ τὸ στόμα προσαρμόζουσα. φύλλα δ' εἰς σκέπην τῶν καρπῶν, καὶ σωτηρίαν. πῶς οὖν οὐκ ἐκ πάντων τούτων δῆλον ὅτι πάντα ἕνεκά του ὑπὸ τῆς φύσεως γίνεται. κατὰ μικρὸν δὲ οὕτω προϊόντι. πρῶτον γὰρ ἐπὶ ἀνθρώπων ἐγύμνασε τὸν λόγον. εἶτα μετῆλθεν ἐπὶ τὰ ἄλογα ζῷα. κἀντεῦθεν ὁδῷ προβαίνει ἐπὶ τὰ φυτά. καὶ ἐπεὶ ἡ φύσις διττὴ, ἡ μὲν ὡς ὕλη, ἡ δὲ ὡς μορφή. ἐπειδὴ ἔδειξε ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, βούλεται νῦν δεῖξαι τίνος ἕνεκα ποιεῖ πάντα, καὶ τί ἐστιν οὗ στοχάζεται. καὶ φησὶν ὅτι τοῦ φυσικοῦ εἴδους. ὅπερ καὶ αὐτὸ φύσις ἐστίν. εἴρηται γὰρ ὅτι τὸ ποιοῦν, τὸ εἶδος, τὸ τέλος, εἰς ταυτὸ ἔρχεται πολλάκις. ὥστε ἡ ποιοῦσα φύσις καὶ ἕνεκά του πάντα ποιοῦσα, ἕνεκα τῆς φύσεως ποιεῖ τῆς ὡς εἴδους οὔσης, οὐ τῆς κατὰ τὴν ὕλην. ἐπεὶ γὰρ διττὴν εἶπεν ἐν τοῖς ἔμπροσθεν τὴν φύσιν. καὶ γὰρ τὸ εἶδος καὶ ἡ ὕλη φύσις, ἐπισημαίνεται νῦν περὶ ποίας φύσεως ἦν αὐτῷ ὁ λόγος, ὅτι οὐ τῆς κατὰ τὴν ὕλην, ἀλλὰ τοῦ εἴδους, καὶ τῆς μορφῆς.

ΑΜΑΡΤΙΑ δὲ γίνεται καὶ ἐν τοῖς κατὰ τέχνην. ἔγραψε γὰρ οὐκ ὀρθῶς ὁ γραμματικὸς, καὶ ἐπότισεν οὐκ ὀρθῶς ὁ ἰατρὸς τὸ φάρμακον. ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ φύσιν. εἰ δή ἐστιν ἔνια κατὰ τέχνην, ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του. ἐν δὲ τοῖς ἁμαρτανομένοις, ἕνεκα μέν τινος ἐπιχειρεῖται, ἀλλ' ἀποτυγχάνεται, ὁμοίως ἂν ἔχοι καὶ ἐν τοῖς φυσικοῖς, καὶ τὰ τέρατα ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά του.

Δείξας ὅτι ἡ φύσις πάντα ἕνεκά του ποιεῖ, ἔκ τε τοῦ ὡς ἐπὶ τὸ πολὺ εἶναι τὴν φύσιν, καὶ ἐκ τοῦ τὰ μιμήματα τῆς φύσεως πάντα ἕνεκά του ποιεῖν, καὶ ἐκ τῶν λοιπῶν, νῦν τὰς ἀπορίας τὰς φερομένας εἰς τὸ προκείμενον θεώρημα ἐπιλύσασθαι βούλεται. ἀποροῦσι γὰρ ὅτι εἰ ἕνεκά του πάντα ἡ φύσις ποιεῖ, διὰ τί πολλάκις ἀποτυγχάνει καὶ οὐκ ἀεὶ κατορθοῖ. φησὶν οὖν πρὸς τοῦτο, ὅτι οὐ διὰ τὸ ἁμαρτάνειν τὴν φύσιν, διὰ τοῦτο δεῖ νομίζειν ὅτι ὡς ἔτυχε ποιεῖ, καὶ οὐχ ἕνεκά του πάντα ποιεῖ. ὁπότε καὶ ἡ τέχνη, ἥτις προφανῶς πάντα ἕνεκά του ποιεῖ, ἁμαρτάνει πολλάκις διὰ τὴν ἀνεπιτηδειότητα τῆς ὑποκειμένης ὕλης. καὶ γὰρ ὁ γραφεὺς σκοπὸν ἔχων τοῦ καλῶς γράψαι, διὰ τὸν χάρτην πολλάκις μανότερον ὄντα, ἢ διὰ πλεονεξίαν, ἢ διὰ ἀνεπιτηδειότητα τοῦ μέλανος ἁμαρτάνει τοῦ σκοποῦ. ὁμοίως καὶ ὁ ζωγράφος τὰ αὐτὰ ἂν πάθοι ἢ διὰ τὴν τῶν χρωμάτων, ἢ τῆς σινδόνος ἐν ᾗ γράφει ἀνεπιτηδειότητα, καὶ ὁ ἰατρὸς δὲ ὠφελῆσαι μὲν θέλων, καὶ ἀγαθοῦ τινος ἕνεκα ἔδωκε τὸ καθάρσιον. ἀπέτυχε δ' ἔστιν ὅτε, ἢ διὰ τὴν τοῦ ὑποκειμένου σώματος ἰδιότητα, ἣν ἰδεῖν μὴ οἷόν τε ἦν, ἢ κατὰ τύχην τοῦ περιέχοντος δυσκράτου γινομένου. ἀλλ' ὅμως ἐκεῖνος ἀγαθοῦ τινος ἕνεκα δέδωκεν. οὕτως ἄρα καὶ εἰ ἡ φύσις ἔστιν ὅτε τοῦ σκοποῦ διαμαρτάνει, οὐ διὰ τοῦτο ἐξαιρετέον αὐτῆς τὸ ἕνεκά του. ἀλλ' ἐπεὶ ὡς ἐπὶ τὸ πολὺ τυγχάνει τοῦ σκοποῦ, καὶ ὡς σπάνια ἐστὶν αὐτῆς τὰ ἁμαρτήματα, διὰ τοῦτο πιστευτέον αὐτὴν ἕνεκά του ποιεῖν. ἄλογον γὰρ καὶ τῆς τέχνης ἁμαρτανούσης, ὥσπερ καὶ τῆς φύσεως, τῆς μὲν μὴ ἀφαιρεῖν τὸ ἕνεκά του διὰ τὴν ἁμαρτίαν, τῆς δὲ φύσεως ἀφαιρεῖν. ἀλλ' ἢ ἀμφοτέρων ἀφαιρετέον, ἢ μηδεμιᾶς. εἰ οὖν τῆς τέχνης οὐκ ἀφαιροῦμεν τὸ ἕνεκά του, οὐδὲ τῆς φύσεως ἄρα. ἐπειδὴ δὲ οἱ ἀφαιροῦντες τῆς φύσεως τὸ ἕνεκά του ἐκέχρηντο τῷ παραδείγματι τῷ κατὰ τὸν Ἐμπεδοκλέα, ἔνθα ἔλεγεν ἐκεῖνος ἐν ταῖς ἐξ ἀρχῆς συστάσεσι τὰ βουγενῆ ἀνδρόπρῳρα γενέσθαι, καὶ ἐξ αὐτῶν τούτων ἐλέγχει τὸν λόγον. οὕτω γάρ φησι πάντα ἕνεκά του ποιεῖ ἡ φύσις. ὥστε καὶ ὅταν τοῦ σκοποῦ διαμαρτάνῃ, οὐ μακράν που τοῦ σκοποῦ ἑαυτῆς ἐκπίπτει, ἀλλ' ὡς οἷόν ἐστι σύνεγγυς. οὐδέποτε γὰρ ἐξ ἀνθρώπου πλάτανος γέγονεν, ἢ λίθος, ἢ συκῆ, ἀλλ' ἀεὶ ἄνθρωπος ἐξ ἀνθρώπου. εἰ δέ ποτε τοῦ σκοποῦ ἀποτύχοι τοῦ ποιῆσαι ἄνθρωπον, διὰ τὴν ἀνεπιτηδειότητα τῆς ὕλης, ζῷον γοῦν ποιεῖ καὶ οὐ φυτὸν, ὡς εἶπον, ἢ λίθον. καὶ εἰ μὴ ζῷον δυνηθείη ποιῆσαι, τὸ σύνεγγυς γοῦν ποιεῖ, σάρκα, καὶ ἡ συκῆ πάλιν συκῆν ποιεῖ. εἰ δὲ ἀποτύχοι ἐρινεὸν, οὐ δρῦν οὐδὲ πεύκην. καὶ ἡ ἐλαία ποιεῖν ἐλαίαν. εἰ δ' ἀποτύχοι, κότινον, οὐκ ὄχνην οὐδὲ λεύκην. πανταχοῦ οὖν ἡ φύσις πρόδηλός ἐστιν ὡς ἔτυχε μὴ ἐργαζομένη, ἀλλὰ πρός τι τέλος σκοπιμώτατα, οὗ ἐὰν ἀποτύχῃ, ἀγαπᾷ γοῦν τοῦ συνεγγὺς τυ-

καὶ τὰ βουγενῆ ἀνδρόπρωρα. ἀνδρόπρωρα δέ φησι, τουτέστι τὰ ἔμπροσθεν, λέγω δὴ τὰ πρὸς τῇ κεφαλῇ, ἀνδρὸς ἔχοντα. πρῶρα γὰρ τὸ ἐμπρόσθιον τοῦ πλοίου μέρος. τὰ δὲ λοιπὰ βοός. ὡς δὴ μὴ μόνον τῶν στοιχείων ἐν ἀλλήλοις μεμιγμένων ἐν τῷ σφαίρῳ, ἀλλὰ καὶ τῶν μορίων τῶν ζώων. διακριθέντων οὖν πάντων, φέρεσθαι τὰ διακριθέντα, ὡς ἔτυχε, καὶ πολλάκις βοὸς κεφαλὴν συνελθεῖν στήθει ἀνδρείῳ, ἢ καὶ τοῖς ἄλλοις μορίοις. καὶ ἐπὶ πάντων ὡς ἂν ἔτυχεν. ὅσα οὖν φησι τῶν μορίων οὕτω συνῆλθεν, ὡς ἂν εἰ ἕνεκα τούτου συνελθεῖν. οἷον τὰ ἀνθρώπου μόρια συμπεσόντα ἀλλήλοις ὁμοίως, καὶ τὰ ἑκάστου τῶν ζώων. καὶ διὰ τὸ συναπάγειν εἰς τὴν σωτηρίαν ἀλλήλων, ἐσώθη τὸ σύγκριμα. ὅσα δὲ οὕτως συνῆλθεν ὡς μηδὲ συμβάλλεσθαι ἀλλήλοις εἰς σωτηρίαν, ταῦτα ἐφθάρη. οἷον τὰ βουγενῆ ἀνδρόπρωρα, διὰ τὸ μηδὲν ἀλλήλοις τὰ τοιαῦτα εἰς σωτηρίαν συναπάγειν. ὥσπερ οὖν οὗτος ἔλεγεν, οὐχ ἕνεκα μέν του τὰ μόρια τῶν ζώων οὕτω διατετάχθαι, οὕτω μέντοι συμβῆναι αὐτὰ ἔχειν κατὰ τύχην συνελθόντα, ὡς ἂν εἰ ἕνεκα τούτου ἐγεγόνει, οὕτως φησὶ καὶ οἱ λέγοντες μὴ ποιεῖν τὴν φύσιν ἕνεκά του, ὅτι μὲν ὅσα οὕτως ποιεῖ, ὡς ἂν εἰ ἕνεκά του ἐποίει, ταῦτα σώζεται, ὅσα δὲ μὴ, ταῦτα φθείρεται. ὥσπερ φασὶν ἐμπεδοκλῆς τὰ βουγενῆ ἀνδρόπρωρα. ταῦτα γὰρ διὰ τὸ μὴ οὕτως γενέσθαι, ὡς ἂν εἰ ἕνεκά τινος ἀγαθοῦ ἐγένετο. διὰ τοῦτο οὐδὲ σώζεται. τῶν οὖν πρώτων παραδειγμάτων ὑπὸ ἐμπεδοκλέους λεγομένων λαμβάνουσιν ὅτι κἀκεῖνος τὰ πρώτως δὴ γινόμενα ἐν τῇ κατ' ἀρχὴν συστάσει, οὔ φησι σώζεσθαι.

» ΤΑΥΤΑ μὲν γὰρ καὶ πάντα τὰ φύσει, ἢ ἀεὶ οὕτω γίνεται, ἢ ὡς ἐπὶ τὸ πολύ.

Ὁ πρῶτος συλλογισμός, ὅτι ὑετοὶ καὶ ὀδόντες, καὶ καθόλου τὰ μέρη τῶν ζώων, ἢ ἀεὶ ὡσαύτως ἔχουσιν, ἢ ὡς ἐπὶ τὸ πολύ.

» ΤΩΝ δ' ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου, οὐθέν. οὔτε γὰρ ἀπὸ τύχης, οὔτε ἀπὸ συμπτώματος δοκεῖ ὕειν πολλάκις τοῦ χειμῶνος, ἀλλ' ἐὰν ὑπὸ κύνα. οὐδὲ καύματα ὑπὸ κύνα, ἀλλ' ἂν χειμῶνος.

Οὔτε ἀεὶ ὡσαύτως ἔχουσιν, οὔτε ὡς ἐπὶ τὸ πολύ. ταῦτα ἄρα οὐκ ἀπὸ ταυτομάτου.

» ΕΙ οὖν ἢ ὡς ἀπὸ συμπτώματος δοκεῖ, ἢ ἕνεκά του εἶναι, εἰ μὴ οἷόν τε ταῦτα εἶναι, μήτε ἀπὸ συμπτώματος, μήτε ἀπὸ ταυτομάτου, ἕνεκά του ἂν εἴη.

Ὁ δεύτερος συλλογισμὸς ὑποθετικὸς κατὰ διαίρεσιν. ὑετοὶ γὰρ καὶ τὰ μέρη τῶν ζώων, ἢ ἀπὸ συμπτώματος, ἢ ἕνεκά του. ἀλλὰ μὴν οὐκ ἀπὸ συμπτώματος δέδεικται γάρ. ἕνεκά του ἄρα. σύμπτωμα δέ φησι τὸ ἐπὶ συμβάν, εἴτε ἐκ ταυτομάτου, εἴτε ἀπὸ τύχης. ὥστε κοινῶς ἐπὶ τύχης, καὶ τοῦ αὐτομάτου τὸ σύμπτωμα.

» ΑΛΛΑ μὴν φύσει ἐστὶ τὰ τοιαῦτά γε πάντα. ὡς κἂν αὐτοὶ φαῖεν οἱ ταῦτα λέγοντες. ἔστιν ἄρα τὸ ἕνεκά του ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν.

Ὁ τρίτος ἐν τρίτῳ σχήματι. ταῦτα πάντα φύσει. ταῦτα πάντα ἕνεκά του. τινὰ ἄρα τῶν φύσει ἕνεκά του.

» ἜΤΙ ἐν ὅσοις τέλος τί ἐστι, τούτου ἕνεκα πράττεται τὸ πρότερον καὶ τὸ ἐφεξῆς.

Δεύτερον ἐπιχείρημα. προλαμβάνει δὲ τὰ εἰρημένα ἀξιώματα, ἐν ὅσοις φησὶ τῶν γινομένων τέλος ἐστὶν εἰς ὃ περατοῦται ἡ κίνησις, καὶ προϊοῦσα συνεχῶς τελευτᾷ, ἐν τούτοις ἅπαντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα πράττεται.

» ΟΥΚΟΥΝ ὡς πράττεται, οὕτω πέφυκε. καὶ ὡς πέφυκεν, ἂν μή τι ἐμποδίζῃ, οὕτω πράττεται ἕκαστον. πράττεται δὲ ἕνεκά του. καὶ πέφυκεν ἄρα τούτου ἕνεκα. οἷον, εἰ ἡ οἰκία τῶν φύσει γινομένων ἦν, οὕτως ἂν ἐγίνετο, ὡς νῦν ὑπὸ τῆς τέχνης. εἰ δὲ τὰ φύσει, μὴ μόνον φύσει, ἀλλὰ καὶ τέχνῃ γίγνοιτο, ὡσαύτως ἂν γίνοιτο, ᾗ πέφυκεν.

Τὸ δεύτερον ἀξίωμα, ὅτι τὸ τεχνητὸν εἰ ὑπὸ φύσεως ἐγίνετο, οὕτως ἂν ἐπεφύκει, ὥσπερ καὶ πράττεται ὑπὸ τῆς τέχνης. καὶ ἔμπαλιν τὰ ἀπὸ φύσεως γινόμενα εἰ καὶ ὑπὸ τῆς τέχνης ἐγίνετο, οὕτως ἂν ἐπράττετο, ὥσπερ ἐπεφύκει ὑπὸ τῆς φύσεως γίνεσθαι. εἰ γὰρ μὴ οὕτως ἐγίνετο, οὐδ' ἂν ἐσώζετο. τὸ δὲ ἂν μή τι ἐμποδίζῃ, προσέθηκε διὰ τὰς ἢ ἐκ τῆς ὕλης, ἢ ἐκ τῶν ἔξωθεν συμπτωμάτων γινομένας ἁμαρτίας καὶ τοῖς φυσικοῖς καὶ τοῖς τεχνητοῖς. εἰ οὖν ἐπαλλάττουσιν ἡ τέχνη καὶ ἡ φύσις, ἡ δὲ τέχνη ἕνεκά του πάντα ποιεῖ, καὶ ἡ φύσις ἄρα, εἴτε τὰ τεχνητὰ ἐποίει, οὕτως ἂν ἐποίησε. καὶ πάλιν, εἰ ἡ τέχνη τὰ φυσικὰ ἐποίει, δῆλον ὅτι ἕνεκά του πάντα ἐποίει. καθόλου γὰρ ἡ τέχνη πάντα ἕνεκά του ποιεῖ. ἐπεὶ οὖν νῦν ταῦτα ἡ φύσις ποιεῖ ὡς ἂν ἡ τέχνη αὐτὰ ἐποίησε, καὶ αὐτὴ δηλονότι ἕνεκά του πάντα ποιήσει.

» ἝΝΕΚΑ ἄρα θατέρου θάτερον.

Τουτέστιν ἕνεκα τοῦ τέλους τὰ πρὸ τοῦ τέλους. οὕτω γὰρ ἡ τέχνη πάντα ἐργάζεται.

» ὍΛΩΣ δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις ἀδυνατεῖ ἀπεργάζεσθαι, τὰ δὲ μιμεῖται. εἰ οὖν τὰ κατὰ τέχνην ἕνεκά του, δηλονότι καὶ τὰ κατὰ φύσιν. ὁμοίως γὰρ ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην, καὶ ἐν τοῖς κατὰ φύσιν, τὰ ὕστερα πρὸς τὰ πρότερα.

Ἕτερον ἐπιχείρημα. ὑγίειαν μὲν γὰρ, καὶ διαχωρήσεις, καὶ σάρκωσιν ἰατρικὴ τῆς φύσεως ἐξασθενούσης ταῦτα ἐργάζεται. μιμεῖται δὲ τὴν φύσιν ἡ πλαστικὴ καὶ γραφική. εἰ τοίνυν ἡ συνέριθος τῆς φύσεως, καὶ τὸ ταύτης ἀπεικόνισμα πάντα ἕνεκά του ποιεῖ, πολλῷ γε δήπου τὸ ἀρχέτυπον.

» ΜΑΛΙΣΤΑ δὲ φανερὸν ἐπὶ τῶν ζώων τῶν ἄλλων, ἃ οὔτε τέχνῃ, οὔτε ζητήσαντα, οὔτε βου-

να μήποτε εἴπῃ, ὅτι καὶ μὴν Ἀναξαγόρας μὲν νοῦν ὑπετίθετο αἴτιον τῶν γινομένων, νεῖκος δὲ καὶ φιλίαν Ἐμπεδοκλῆς, καὶ οὐχ ἁπλῶς τὰς ὑλικὰς αἰτίας τὸ πᾶν ἀπέδοσαν, διὰ τοῦτό φησιν, ὅτι εἰ καὶ αἰτίας ποιητικάς τινας ὑπετίθεντο, ἀλλ' ὅσον ἅψασθαι τούτων μεμνημένοι μόνον, ἐν τῇ γενέσει τῶν κατὰ μέρος οὐκέτι ταύτας ᾐτιῶντο. ἀλλ' εἰς τὴν παρ' ἑαυτῶν ὕλην ἕκαστος κατεφέρετο, ὁ μὲν τὰς ὁμοιομερείας αἰτιώμενος, ὁ δὲ ψυχρὸν καὶ θερμόν. ταῦτα δὲ καὶ πρὸ Ἀριστοτέλους ὁ Πλάτων ἐγκαλεῖ τῷ Ἀναξαγόρᾳ, ὅτι ὥσπερ ἐξυπνισθεὶς τῶν ἄλλων καθευδόντων φυσιολόγων, καὶ νοῦν τῆς τοῦ κόσμου γενέσεως αἰτιασάμενος ἐν τῷ ποιεῖν τὰ πράγματα, ὥσπερ ἐπιλελησμένος τοῦ νοῦ τὰς ὁμοιομερείας αἰτιᾶται, αἵπερ ὕλης αὐτῷ λόγον ἐπεῖχον.

ἜΧΕΙ δ' ἀπορίαν, τί κωλύει τὴν φύσιν μὴ ἕνεκά του ποιεῖν, μηδ' ὅτι βέλτιον. ἀλλ' ὥσπερ ὕει ὁ Ζεύς, οὐχ ὅπως τὸν σῖτον αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης. τὸ γὰρ ἀναχθὲν, ψυχθῆναι δεῖ. καὶ τὸ ψυχθὲν ὕδωρ γενόμενον, κατελθεῖν. τὸ δὲ αὐξάνεσθαι τούτου γενομένου συμβαίνει τὸν σῖτον. ὁμοίως δὲ καὶ εἴ τῳ ἀπόλλυται ὁ σῖτος ἐν τῇ ἅλῳ, οὐ τούτου ἕνεκα ὕει ὅπως ἀπόληται, ἀλλὰ τοῦτο συμβέβηκεν. ὥστε τί κωλύει οὕτω καὶ τὰ μέρη ἔχειν ἐν τῇ φύσει. οἷον τοὺς ὀδόντας ἐξ ἀνάγκης ἀνατεῖλαι, τοὺς μὲν ἐμπροσθίους, ὀξεῖς, ἐπιτηδείους πρὸς τὸ διαιρεῖν. τοὺς δὲ γομφίους, πλατεῖς, καὶ χρησίμους πρὸς τὸ λεαίνειν τὴν τροφήν. ἐπεὶ οὐ τούτου ἕνεκα γενέσθαι, ἀλλὰ συμπεσεῖν. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων μερῶν, ἐν ὅσοις δοκεῖ ὑπάρχειν τὸ ἕνεκά του. ὅπου μὲν οὖν ἅπαντα συνέβη, ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ τοῦ αὐτομάτου συστάντα ἐπιτηδείως. ὅσα δὲ μὴ οὕτως, ἀπώλετο καὶ ἀπόλλυται, καθάπερ Ἐμπεδοκλῆς λέγει τὰ βουγενῆ καὶ ἀνδρόπρωρα. ὁ μὲν οὖν λόγος, ᾧ ἄν τις ἀπορήσειεν, οὗτος, καὶ εἴ τις ἄλλος τοιοῦτός ἐστιν. ἀδύνατον δὲ ταῦτα τοῦτον ἔχειν τὸν τρόπον.

Ἐκθέμενος τὰ προβλήματα, ἀπορεῖ ἐντεῦθεν εἰς τὸ πρότερον, μήποτε οὐχ ἕνεκά του ποιεῖ ἡ φύσις. ἀλλ' ὥσπερ ὕει ὁ Ζεὺς οὐχ ἵνα σῖτον αὐξήσῃ, ἀλλ' ἐξ ἀνάγκης. τί οὖν οὐ φαμὲν κατὰ συμβεβηκὸς αὔξεσθαι ὁ σῖτος, καὶ οὐχ ἕνεκά του ὁ ὑετὸς, ἀλλ' ἐξ ἀνάγκης, ὅτι δεῖ ἁπλῶς ψυχθῆναι τὸ ἀναχθέν. καὶ εἰ ὅλως γίνεταί τι κατὰ συμβεβηκὸς ὑπὸ τῆς προνοίας, ἢ ὅλως βλάπτεταί τι ὑπὸ τῆς προνοίας, ἄξιον ζητῆσαι. φαμὲν οὖν, προνοίας διοικούσης τὸ πᾶν, μηδὲν κατὰ τύχην, μηδ' ὡς ἔτυχε γίνεσθαι, ἀλλὰ πάντα ἀγαθοῦ τινὸς ἕνεκα. μηδὲ μὴν τὴν πρόνοιαν ποιεῖν τι κατὰ συμβεβηκός. ἔστιν οὖν καὶ ἐν τῷ ὑετῷ τὸ κοσμικὸν ἀγαθόν. διὰ γὰρ τὴν τοῦ κόσμου διαμονὴν καὶ σύστασιν, ἡ τῶν στοιχείων κατὰ κύκλον γίνεται κίνησις. καὶ γὰρ τὰ διηνεκῆ τὴν διαμονὴν ἔχοντα, ταῦτα κινεῖται κατὰ κύκλον, λέγω δὴ τὰ οὐράνια. ἵνα οὖν καὶ τὰ στοιχεῖα διαμένῃ, τὴν κατὰ κύκλον κινεῖται κίνησιν. καὶ διὰ τοῦτο ἐκ γῆς ὕδωρ, καὶ ἐξ ὕδατος ἀήρ, καὶ ἐκ τούτων πῦρ, καὶ πάλιν ἀήρ, καὶ ὕδωρ, καὶ γῆ. καὶ εἰς τὸ αὐτὸ ἡ ἀνακάμψις ἐξ οὗ καὶ ἤρξατο. ὅπερ κυκλικῆς ἐστι κινήσεως, τὸ ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθίστασθαι. ἔστι δὲ καὶ τὸ μερικὸν ἀγαθὸν κατασκευάσαι. διὰ γὰρ τὴν ἑκάστου ἀξίαν τὰ ἔξωθεν ποιᾶς, ἢ ποιᾶς ὑπὸ τῆς προνοίας διατίθεται. ὥστε ἡ μὲν πρόνοια καθ' αὑτὸ πάντα εὐεργετεῖ. συμβαίνει δὲ διὰ τὴν ἡμετέραν ἀξίαν ποιᾶς, ἢ ποιᾶς ἡμᾶς πάσχειν. τὸ οὖν κατὰ συμβεβηκὸς ἐν τοῖς πάσχουσιν, οὐκ ἐν τοῖς ποιοῦσι. καὶ τοῦτο οὐκ ἀδύνατον, τὸ μὲν ποιοῦν καθ' αὑτὸ ποιεῖν, τὸ δὲ πάσχον μηκέτι καθ' αὑτὸ πάσχειν. ἀλλ' ἔστιν ὅτε καὶ κατὰ συμβεβηκός. οἷον εἰ Πλάτων ἐξηγούμενος λόγους ὠφελίμους ἐπὶ ἐκκλησίας, καὶ τούτου προθεμένου πάντας τοὺς ἀκροωμένους ὠφελῆσαι, παρελθών τις ἐπί τινα χρείαν ἄλλην εἰσέλθοι μὴ τοῦτον τὸν σκοπὸν προθέμενος, ἀλλὰ κατὰ τύχην, καὶ ἀκροασάμενος ὠφεληθείη, ὁ τοιοῦτος κατὰ συμβεβηκὸς ὠφελεῖται, τοῦ Πλάτωνος καθ' αὑτὸ ὠφελήσαντος. ὁ μὲν γὰρ οὐκ ἀπὸ σκοποῦ ὠφελεῖται, ἀλλὰ κατὰ τύχην. Πλάτων δὲ ἀπὸ σκοποῦ ὠφέλησε. τοῦτο γὰρ προύθετο, πάντας ὅσοι ποτ' ἂν εἰσακροάσασθαι βούλοιντο ὠφελῆσαι. οὕτως οὖν καὶ τοῦ ἡλίου ἀνατείλαντος ἐπὶ τῷ πάντας φωτίσαι, εἴ τις μὴ ἐπὶ τῷ φωτισθῆναι, ἀλλὰ δι' ἑτέραν χρείαν εἰς ἀγορὰν ἐμβάλλει, κατὰ συμβεβηκὸς πεφώτισται, τοῦ ἡλίου καθ' αὑτὸ φωτίσαντος. οὕτως οὖν οὐδὲ θαυμαστὸν, καὶ τῆς προνοίας ἁπλῆς τινὸς οὔσης, καὶ πάντας καθ' αὑτὸ εὐεργετεῖν βουλομένης, ἀλλ' οὐ κατὰ συμβεβηκὸς, κατὰ συμβεβηκὸς φθαρῆναι τὸν σῖτον, ἢ αὐξηθῆναι. οὐ γὰρ τοῦτο προύθετο ἁπλῶς αὐξῆσαι τὸν σῖτον, ἢ φθεῖραι τὸν ἐν τῇ ἅλῳ, ἀλλὰ διὰ τὴν ἀξίαν τοῦ εὐεργετουμένου κατὰ συμβεβηκὸς ταῦτα γίνεται. ὅπου μὲν οὖν ἅπαντα συνέβη, ὥσπερ κἂν εἰ ἕνεκά του ἐγίνετο, ταῦτα μὲν ἐσώθη ἀπὸ ταὐτομάτου συστάντα ἐπιτηδείως. τῆς φύσεως φησὶ μηδὲν ἕνεκά του ποιούσης, ἀλλ' ὅπως ἂν τύχῃ, ἔνθα μὲν συμβαίνει οὕτως γενέσθαι τι ὑπ' αὐτῆς, ὥσπερ ἂν εἰ ἐξεπίτηδες ἕνεκα τούτου αὐτὰ ἐποίει, ἵνα πάντα τὰ πρὸς τὴν σωτηρίαν ἔχοντα σώζηται, ταῦτα καὶ σώζεταί φασιν ἐκ ταὐτομάτου ἐπιτήδεια πρὸς σωτηρίαν γενόμενα. ὅσα δὲ μὴ οὕτως συμβῇ γενέσθαι, ταῦτα ἀπόλλυται. οἷά ἐστι τὰ τέρατα, καθάπερ Ἐμπεδοκλῆς λέγει τὰ βουγενῆ ἀνδρόπρωρα. Ἐμπεδοκλῆς ἐν τῷ σφαίρῳ πάντα λέγων τὰ εἴδη μεμίχθαι ἐν τῇ πρώτῃ διακρίσει τοῦ σφαίρου, καὶ τῇ ἀρχῇ τῆς κοσμοποιίας, πρὶν τελέως τὰ εἴδη διακριθῆναι ἀπ' ἀλλήλων, γενέσθαι τινὰ ἔλεγε σύμμικτα ζῷα, οἷα καὶ οἱ μῦθοι τοὺς κενταύρους ὑποτίθενται, τὰ μὲν ἄλλα ἵππου ἔχοντας, τὰ ἔμπροσθεν δὲ λέγω δὴ τὰ περὶ τὴν κεφαλὴν ἀνθρώπου. οὕτω καὶ ὁ Ἐμπεδοκλῆς πρὶν τὸ νεῖκος τελέως ἀπ' ἀλλήλων διακρῖναι τὰ εἴδη, ἔλεγε γενέσθαι σύμμικτά τινα ζῷα, ὡς

ὁ λόγος. καὶ αὐτὸς γὰρ ἐν τῷ προτέρῳ εἶπεν, ὅτι βούλεται, οὐ πᾶν εἶναι τὸ ἔσχατον τέλος, ἀλλὰ τὸ βέλτιστον. διὸ καὶ ἐμέμφετο τῷ ποιητῇ εἰπόντι· τὸ ἔχει τελευτήν, ἧσπερ οὕνεκα ἐγένετο. οὐ γὰρ δὴ ἐπειδὴ μία τίς ἐστι, καὶ συνεχὴς ἡ κατὰ τὴν ζωὴν κίνησις μέχρι τοῦ θανάτου, καὶ ἔστι τέλος τι ταύτης καὶ ἔσχατον ὁ θάνατος, διὰ τοῦτο πάντα τὰ πρὸ τοῦ θανάτου τοῦ θανάτου ἕνεκα πράττεται. οὐδ' ἐπειδὴ ἡ ναῦς φορτωθεῖσα πάνυ ναυαγίῳ περιέπεσε, διὰ τοῦτο ἐφορτώθη, ἵνα ναυαγίῳ περιπέσῃ. καὶ τὰ τέρατα δὲ οὐκ ἐπειδὴ ἔσχατόν τι καὶ τέλος ἐστὶ τῆς παρὰ φύσιν κινήσεως, διὰ τοῦτο πάντα τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους γίνεται τούτου. οὐ γὰρ τοῦ παρὰ φύσιν τέλους στοχάζεται ἡ φύσις, οὐδὲ σκοπὸν ἔχει τὸ τέρας ποιῆσαι. καὶ ἐπὶ μυρίων ἄλλων οὕτως ἔχει. ὃ δὲ τὸ τέλος λέγει, μὴ ἁπλῶς τὸ ἔσχατον, ἀλλὰ τὸ ἀγαθόν, καὶ τὸ οὗ ἕνεκα, τὸ ζητούμενον αὐτόθεν ὡς ὁμολογούμενον ἔλαβε. ζητοῦμεν γὰρ εἰ ἐπὶ τῶν φύσει ἐστὶ τὸ τοιοῦτον τέλος, ὅπερ οὗ ἕνεκά ἐστι, καὶ αὐτοῦ στοχαζομένη ἡ φύσις πάντα τὰ πρὸ αὐτοῦ ποιεῖ. Μήποτε δὲ καθόλου ἀληθέστερον τὸ ἀξίωμα τοῦτο, ἐπὶ τοῦ δευτέρου σημαινομένου, ὅπερ καὶ κυρίως ἐστὶ τέλος, οὐκ ἐπὶ τῶν φύσει ἥρμοσται ὑπὸ τοῦ ἀρίστου τέλους, ἀλλ' ἐπὶ τέχνῃ γινομένων ἐν οἷς καὶ ἀληθεύει. ὄντος γάρ τινος τέλους ἐν τοῖς τεχνητοῖς οὗ στοχάζεται ἡ τέχνη, πάντα τὰ πρὸ τοῦ τέλους τούτου τοῦ τέλους ἕνεκα ποιεῖ ἡ τέχνη. τοῦτο μὲν οὖν οὕτως διηπορήσθω. τὸ δὲ ἑξῆς οὐκέτι ἀληθές. οὐ γὰρ καὶ τὰ τεχνητὰ εἰ ὑπὸ τῆς φύσεως ἐγίνετο, οὕτως ἐγίνετο ὑπὸ φύσεως, ὡς νῦν ὑπὸ τῆς τέχνης, ἤδη που ἀνάγκη διὰ τοῦτο τῆς τέχνης ἕνεκά του ποιούσης, καὶ τὴν φύσιν ἕνεκά του ποιεῖν. καὶ γὰρ εἰ ἡ τέχνη ποιεῖ τέρας τι, πάντως μὲν πάντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα ποιεῖ. οὐ μὴν ἤδη διὰ τοῦτο, ἐπειδὴ νῦν γίνεται τέρας ὑπὸ τῆς φύσεως, ὃ ἂν ἐποίησεν ἡ τέχνη, ἕνεκα τούτου πάντα τὰ πρὸ τούτου ποιεῖ ἡ φύσις. οὐ γάρ ἐστι σκοπὸς τῇ φύσει τὸ τέρας ποιῆσαι. παρὰ φύσιν γὰρ τὸ τοιοῦτον, καὶ ἁμάρτημα φύσεώς ἐστιν. ὅθεν οὐδὲ οὗ ἕνεκά ἐστιν, οὐδὲ τέλος. οὐδ' ἄρα ἀνάγκη, εἰ ἡ τέχνη ἕνεκά του ἐποίησε, τὸ αὐτὸ καὶ ὑπὸ τῆς φύσεως, εἰ ἐπεφύκει, ἕνεκά του ἂν γενέσθαι. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον. ἐφεξῆς δὲ πάλιν φησὶν ὅτι ἡ τέχνη μιμεῖται τὴν φύσιν, ἢ συνέριθος καὶ βοηθὸς αὐτῆς. μιμεῖται μὲν γὰρ τὴν φύσιν, οἷον ἡ ἀνδριαντοποιητική. συνέριθος δὲ αὐτῆς ἐστιν ἡ ἰατρική. βουλομένης γὰρ φέρε εἰπεῖν τῆς φύσεως τὰ περιττώματα ἀποκρῖναι, καὶ μὴ δυναμένης, συνεργεῖ ἡ τέχνη κλυστῆρσι, καὶ τοῖς τοιούτοις. εἰ τοίνυν τὸ μίμημα, καὶ ἡ συνέριθος τῆς φύσεως ἕνεκά του ποιοῦσι, πολλῷ μᾶλλον τὸ πρῶτον καὶ τὸ παράδειγμα, λέγω δὴ ἡ φύσις, ἕνεκά του ποιήσει. μήποτε δυνατὸν καὶ ἐνταῦθα τὸ αὐτὸ πάλιν εἰπεῖν. οὐκ εἰ μιμεῖται τὸ τέρας ἡ τέχνη, εἶτα πάντα τὰ πρὸ τοῦ μιμήματος ἕνεκά του ποιοῦσα, ἤδη που καὶ ἡ φύσις σκοπόν, καὶ τέλος ἔχουσα τὸ τέρας ποιῆσαι, πάντα τὰ πρὸ αὐτοῦ ἕνεκεν αὐτοῦ ἐποίησεν. εἰ δ' ὅλως ἐστὶν ὑπὸ τῆς τέχνης γινόμενόν τι, ὅπερ ἡ φύσις ποιοῦσα οὐχ ὡς οὗ ἕνεκα ποιεῖ, τί ἄτοπον, καὶ τῆς ἰατρικῆς συνεργούσης τῇ φύσει, καὶ πρὸς τοῦτο πάντα πραττούσης, τὴν φύσιν τὸ αὐτὸ μὴ ὡσαύτως ποιεῖν. τελευταῖον δὲ τίθησιν ἐπιχείρημα τὸ μάλιστα ἐναργῶς δεικνύον, ὅτι πάντα ἕνεκά του ποιεῖ ἡ φύσις. ὁρῶμεν γάρ φησιν ἐπί τινων ζώων ὅτι πάντα ἕνεκά του ποιοῦσιν, οὔτε τέχναις, οὔτε λογισμῷ ποιούμενα, ἀλλὰ μόνον τῇ φυσικῇ ὁρμῇ. τῷ γὰρ ὄντι φύσεις ζώων ἀδίδακτοι, ὡς καὶ Ἱπποκράτει δοκεῖ. ὁ γοῦν ἀράχνης ποιεῖ τὸ ἀράχνιον, οὐ μάτην, ἀλλ' ἕνεκά του, εἰς ἄγραν τῆς τροφῆς, καὶ εἰς οἴκησιν, καὶ πάντα τὰ πρὸ τούτου ἕνεκα τούτου παραλαμβάνει. καὶ ἡ χελιδὼν δὲ τὴν νεοττιὰν οὐ μάτην δήπου ἐργάζεται, ἀλλ' ἕνεκά του, διόπερ ὅτι μάλιστα ἀσφαλῶς συνδεῖ τοῖς κάρφεσι τὸν πηλόν, καὶ σχῆμα πολυχωρητότατον, καὶ ἰσχυρότατον ἐργάζεται. καὶ αἱ μέλισσαι ὡσαύτως θαυμαστῇ τῇ τῶν ἑξαγώνων συνθέσει, μηδὲν μάτην ποιοῦσαι. τῆς δὲ ἀλκυόνος ἔστιν ὅπως ἂν θαυμάσειέ τις τὴν καλιάν, ἣν ἥκιστα ἂν ὕδωρ λυμήναιτο παρ' αὐτοῖς τοῖς αἰγιαλοῖς οὖσαν. τὰ αὐτὰ περὶ μυρμήκων, καὶ ἄλλων πολλῶν ἔχομεν λέγειν. καὶ τί λέγω φησὶ περὶ ζώων, ὅπου γε καὶ ἐπὶ τῶν φυτῶν ἡ φύσις πάντα ἕνεκά του ποιεῖ. τά τε γὰρ φύλλα φησὶν ἕνεκα τοῦ σκεπάσαι ποιεῖ τοὺς καρπούς, ὡς μήτε ὑπὸ ἀνέμων, μήτε ὑπὸ καύματος λυμαίνεσθαι. καὶ τὰς ῥίζας ἕνεκα τοῦ τῆς τροφῆς ἀπολαύειν ποιήσασα, κάτω ταύτας φύειν οὐκ ἄνω ἐποίησεν, ἵνα ὥσπερ ὑπὸ τιθήνης τῆς γῆς τὴν τροφὴν ἀρύωνται. εἰ τοίνυν ταῦτα φύσει γινόμενα, οὐχ ὡς ἔτυχεν, οὐδὲ μάτην, ἀλλ' ἕνεκά του γίνεται, εὔλογον τὸ καὶ ἐπὶ πάσης φύσεως τὸ αὐτὸ τοῦτο εἶναι.

ἝΝΕΚά του ἄρα ἡ φύσις ποιεῖ, καὶ οὐχ ὅπερ ἔτυχεν. εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέφυκε, καὶ τὸ ψυχρόν, καὶ τὰ ἑξῆς.

ρῶτόν φησι πρόβλημα προκείσθω ἡμῖν, πῶς ἔχει τὸ ἀναγκαῖον ἐν τοῖς φυσικοῖς, πότερον τῇ ὕλῃ τὸ εἶδος ἐξ ἀνάγκης ἕπεται, ἢ ἔμπαλιν. καὶ εἰκότως γε τοῦτο ζητοῦμεν. καὶ γὰρ οἱ παλαιοὶ πάντες τὴν ἀνάγκην εἰς τὴν ὕλην ἀνάγουσιν, οὐκ εἰς τὸ εἶδος. δῆλον γὰρ ὅτι εἰς αὐτὴν ἀνάγουσι τὴν αἰτίαν, πλὴν ταύτην, ἐπήγαγε· τὸ θερμόν, καὶ τὸ ψυχρόν, καὶ τὰ τοιαῦτα, ἅπερ ἐστὶν ὑλικὰ αἴτια. ἐπειδὴ γάρ φασι τὸ θερμὸν τοιονδί, καὶ τὸ ψυχρὸν τοιόνδε, διὰ τοῦτο τόδε ἐγένετο. ἢ ὅτι ἐκ τῶνδε τῶν ἀτόμων συνέστηκε. καὶ ἕκαστος ἁπλῶς ἣν ὑπέθετο ὕλην, ταύτῃ τὰς αἰτίας τῶν γινομένων ἀνέθηκε.

ΚΑΙ γὰρ εἰ καὶ ἄλλην αἰτίαν εἴποιεν, ὅσον ἁψάμενοι χαίρειν ἐῶσιν. ὁ μὲν τὸ νεῖκος καὶ τὴν φιλίαν, ὁ δέ, τὸν νοῦν [illegible]

τοιόνδε εἶδος εἶναι. ἢ ἐπειδὴ τοιόνδε εἶδος, δεῖ ἐξ ἀνάγκης καὶ ὕλην δεῖ τοιάνδε εἶναι. καὶ ἢ τὸ εἶδος, δεῖ ἐξ ἀνάγκης καὶ ἡ ὕλη. τὰ μὲν οὖν προβλήματα ταῦτα. πρῶτον δὲ δεῖ ἐξετάζειν, ὅτι ἡ φύσις ἕνεκά του. καὶ ἵνα δείξῃ ἀναγκαίαν οὖσαν τὴν τοιαύτην ζήτησιν, πρότερον ἀντιχειρεῖ εἰς τὸ ἐναντίον καὶ ἀπορεῖ, μήποτε οὐδὲν ἡ φύσις ἕνεκά του ποιεῖ. κατασκευάζει δὲ τοῦτο παραδείγματι τινὶ χρώμενος. ὥσπερ γάρ φησιν ὕει ὁ Ζεὺς, οὐχ ἵνα τὸν τοῦδε σῖτον αὐξήσῃ, οὐδ᾽ ἵνα τὸν ἄλλου τινὸς φθείρῃ τὸν ἐν τῇ ἅλῳ κείμενον, ἀλλὰ κατὰ τύχην μὲν, δεῖ ἐξ ἀνάγκης, διότι δεῖ τὴν ἀνενεχθεῖσαν ἀτμίδα ὑπὸ τοῦ ἀέρος ψυχθῆναι τῷ χειμῶνι, ψυχθεῖσαν δὲ ὕδωρ γενέσθαι, ὕδωρ δὲ γενόμενον κατενεχθῆναι, καὶ τοῦτο μὲν ἐξ ἀνάγκης γίνεται. τὸ μέντοι αὐξηθῆναι τὸν τοῦδε σῖτον, ἢ τὸν ἐν τῇ ἅλῳ συνέβη φθαρῆναι, οὐ διὰ τοῦτο τοῦ ὑετοῦ κατενεχθέντος, τί κωλύει καὶ ἐπὶ τῶν φύσει γινομένων γενέσθαι τὰ μόρια τῶν ζώων ἕνεκά του, τῆς φύσεως μὴ διὰ τοῦτο ποιούσης, οἷον τοὺς μὲν ἐμπροσθίους ὀδόντας ὀξεῖς πρὸς τὸ τέμνειν ἐπιτηδείους, τοὺς δὲ γομφίους πλατεῖς πρὸς τὸ λεαίνειν τὴν τροφὴν ἐπιτηδείους, τούτων οὐ σκοπῷ τινι γενομένων ὑπὸ τῆς φύσεως, ἵνα οἱ ἔμπροσθεν τέμνωσιν, ἢ οἱ γόμφιοι λεαίνωσιν, ἀλλ᾽ ὅπως ἔτυχε διὰ τὴν ὕλην ἐπιτηδειότητα τούτων γενομένων, συμπεσεῖν δὲ τὴν τοιαύτην θέσιν αὐτῶν, καὶ οὕτως ἔχειν, ὡς ἂν εἰ τούτου ἕνεκεν ἐγένοντο, ὥστε τοὺς μὲν ἐμπροσθίους ἐπιτηδειοτέρους εἶναι πρὸς τὸ τέμνειν, τοὺς δὲ γομφίους πρὸς τὸ λεαίνειν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων μερῶν, ὅσα ἕνεκά του δοκεῖ γενέσθαι, οἷον πρὸς τὸ πέττειν, καὶ μεταβάλλειν τὴν τροφὴν τὸ ἧπαρ, καὶ τὰ νεῦρα πρὸς τὸ συνέχειν, καὶ τὰς φλέβας πρὸς τὸ ὀχετεύειν πανταχοῦ τὸ αἷμα, ὥστε πάντα ὁμοτίμως φέρεσθαι τὰ μόρια. καὶ ἐπὶ πάντων ὡσαύτως. διό φησιν ὅσα γίνεται οὕτως, ὥσπερ ἂν εἰ καὶ ἕνεκά του ἐγένετο, ταῦτα σωθῆναι, τὰ δὲ ἄλλα φθείρεσθαι ὅσα μὴ οὕτως ἐγένετο. οἷον, τὰ τέρατα. ἡ μὲν οὖν ἀπορία ἐπὶ τοσοῦτον. δείκνυσι δ᾽ αὐτὸς ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, πλείοσιν ἐπιχειρήμασι. καὶ πρῶτόν γε δείκνυσιν ἐν δευτέρῳ σχήματι, ὅτι ταῦτα ἅπερ αὐτοί φασι, λέγω δὴ ὑετοὶ καὶ τὰ τῶν ζώων μέρη καὶ τὰ ὅμοια, οὔτε ἀπὸ τύχης ἐστὶν, οὔτε ἀπὸ ταὐτομάτου. εἶτα διὰ ὑποθετικοῦ συλλογισμοῦ, ὅτι ἕνεκά του ταῦτά ἐστι. καὶ ἐν τρίτῳ σχήματι, ὅτι τινὰ τῶν φύσει ἕνεκά του ἐστίν. ὅπερ καὶ προὔκειτο δεῖξαι. ἔστιν οὖν ὁ πρῶτος συλλογισμὸς τοιοῦτος. ὑετοὶ καὶ τὰ μέρη πάντα τῶν ζώων, ἢ ἀεὶ ὡσαύτως ἔχουσιν, ἢ ὡς ἐπὶ τὸ πολύ. τὸ τύχῃ καὶ αὐτόματον, ἤγουν τὰ ἀπὸ τύχης καὶ αὐτομάτου, οὔτε ἀεὶ ὡσαύτως ἔχουσιν, οὔτε ὡς ἐπὶ τὸ πολύ. δέδεικται γὰρ ὅτι τῶν ἐπ᾽ ἔλαττον ταῦτά ἐστιν. ὑετοὶ ἄρα, καὶ πάντα τὰ φύσει, οὔτε ἀπὸ τύχης ἐστὶν, οὔτε ἀπὸ ταὐτομάτου. ὅτι δὲ ὑετοὶ, καὶ πάντα τὰ φύσει ἕνεκά του ἐστὶ, δείκνυσιν ὑποθετικῷ τε καὶ διαιρετικῷ συλλογισμῷ, τῇ ἀναιρέσει τοῦ ἑτέρου κατασκευάζων τὸν λοιπόν. ὑετοὶ γὰρ καὶ τὰ φύσει πάντα, ἢ ἐκ συμπτώματός τινός ἐστι, σύμπτωμα λέγων τὴν τύχην καὶ τὸ αὐτόματον, ἢ ἕνεκά του. ἀλλὰ μὴν οὐκ ἐκ συμπτώματος. δέδεικται γὰρ διὰ τοῦ προτέρου συλλογισμοῦ. ἕνεκά του ἄρα. ὅτι δὲ καὶ τὰ φύσει ἕνεκά του, ἐν τρίτῳ σχήματι δείκνυσιν οὕτως. ὑετοὶ καὶ τὰ μέρη τῶν ζώων, καὶ πάντα τὰ τοιαῦτα, φύσει ἐστὶν ὡς κἂν αὐτοί φαῖεν. φασὶ γοῦν φύσει μὲν εἶναι, τὴν μέντοι φύσιν οὐχ ἕνεκά του ποιεῖν ταῦτα, αὐτὸ γοῦν τοῦτό ἐστι τὸ προκείμενον ἡμῖν εἰς ζήτησιν, εἰ ὅπερ ποιεῖ ἡ φύσις, ἕνεκά του ποιεῖ. ὑετοὶ γοῦν καὶ τὰ μέρη τῶν ζώων, φύσει. ὑετοὶ καὶ τὰ μέρη τῶν ζώων, ἕνεκά του. δέδεικται γὰρ διὰ τοῦ ὑποθετικοῦ συλλογισμοῦ. τινὰ ἄρα τῶν φύσει ἕνεκά του ἐστίν. οὕτως μὲν οὖν κατὰ τὴν πρώτην ἐπιβολὴν διὰ τῶν συλλογισμῶν δείκνυσιν ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ. καθ᾽ ἑτέραν δὲ πάλιν ἐπιβολὴν τὸ αὐτὸ τοῦτο δείκνυσιν οὕτως. λαμβάνει πρῶτον δύο τινὰ ἀξιώματα. πρῶτον μὲν, ὅτι ἐν οἷς ἐστι τέλος τι εἰς ὃ περαιοῦται ἡ κίνησις, καὶ προϊοῦσα συνεχῶς εἰς ἐκεῖνο τελευτᾷ, ἐν τούτοις πάντα τὰ πρὸ τέλους τοῦ τέλους ἕνεκα πράττεται. οἷον τῆς οἰκοδομῆς ἐστι τέλος τὸ ποιῆσαι οἰκίαν. καὶ πάντα ὅσα πρὸ τοῦ τέλους τούτου πράττεται, ἕνεκά του τέλους πράττεται. οἷον τὸ κόψαι λίθους, καὶ ξύλα πρίσαι, καὶ ξέσαι, καὶ κεράμους πλάσαι, καὶ πάντα τὰ λοιπά. δεύτερον ἀξίωμα ὅτι τὰ ὑπὸ τέχνης γινόμενα, εἴγ᾽ ἂν ἐπεφύκει γίνεσθαι ὑπὸ φύσεως, οὐδ᾽ ἂν ἄλλως ἐγένετο. οἷον εἰ ἡ φύσις ἠδύνατο ποιῆσαι πλοῖον κατασκευάσασα ἐν τοῖς ξύλοις, οὕτω γὰρ ἂν αὐτὰ συνέθηκε, καὶ ἐσχημάτισεν, ὡς νῦν ὑπὸ τῆς τέχνης γίνονται. οὐ γάρ ἐστι σοφώτερον ἐπινοῆσαι. πάλιν εἰ τὰ ὑπὸ φύσεως γινόμενα ἠδύνατο καὶ ὑπὸ τέχνης γενέσθαι, οὕτως ἂν αὐτὰ ἡ τέχνη ἐποίησεν ὡς ἡ φύσις αὐτὸ ποιεῖ. οἷον ἄνθρωπος εἰ μὴ ὡς ἔχει ὑπὸ φύσεως οὕτως αὐτὸν ἐποίησεν ἡ τέχνη, καὶ ἡ φύσις τὰ τεχνητὰ ὡς νῦν ὑπὸ τῆς τέχνης γίνεται, οὐδ᾽ ἂν ὅλως ὑπέστησεν. τὰ μὲν οὖν ἀξιώματα ταῦτα. δείκνυσι δὲ ἐκ τούτων ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ οὕτως. εἰ τὰ τεχνητὰ ὑπὸ φύσεως ἐγένετο, οὕτως ἂν ἐγένετο ὡς νῦν γίνεται. ἐν δὲ τοῖς τεχνητοῖς πάντα τὰ πρὸ τέλους τοῦ τέλους ἕνεκα γίνεται, καὶ ἐν τοῖς φυσικοῖς ἄρα πάντα τὰ πρὸ τέλους, τοῦ τέλους, ἕνεκα ὑπὸ τῆς φύσεως γίνεται. καὶ πάλιν εἰ τὰ φυσικὰ ὑπὸ τῆς τέχνης ἐγένετο, οὕτως ἂν ἐγένετο ὡς νῦν ὑπὸ φύσεως γίνεται. ἡ τέχνη δὲ πάντα τὰ πρὸ τέλους τοῦ τέλους ἕνεκα ποιεῖ. καὶ ἡ φύσις ἄρα οὕτως ποιοῦσα νῦν ὡς ἂν ἡ τέχνη ἐποίησε πάντα τὰ πρὸ τέλους τοῦ τέλους ἕνεκα ποιεῖ. πάντα ἄρα ἡ φύσις ἕνεκά του ποιεῖ. ὁ μὲν ἀριστοτέλης, οὕτω. δοκεῖ δέ μοι μὴ ὑγιῶς ἔχειν τοῦτο τὸ ἐπιχείρημα. πρῶτον μὲν γὰρ τὸ πρῶτον τῶν ἀξιωμάτων, δόξει μὴ καλῶς εἰλῆφθαι τὸ λέγον ἐν οἷς τέλος τίς ἐστιν, ἐν τούτοις πάντα τὰ πρὸ τοῦ τέλους τοῦ τέλους ἕνεκα πράττεται. ποῖον γὰρ τέλος ἐνταῦθά φησιν. εἰ μὲν γὰρ ἁπλῶς τὸ ἔσχατον πᾶσι καὶ τὰ ἀπὸ τελευτῶσιν, ψεῦδος

» ΔΙΤΤΑΙ δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς· ὧν ἡ ἑτέρα, οὐ φυσική· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν
» ἐν ἑαυτῇ. τοιοῦτον δ' ἐστιν, εἴ τι κινεῖ μὴ κινούμενον· ὥσπερ τό, τε παντελῶς ἀκίνητον, καὶ τὸ πάντων πρῶτον.

Ἐπειδὴ εἶπεν ὅτι ζητεῖ περὶ γενέσεως ὁ φυσικὸς ὥσπερ τὰ ἄλλα αἴτια, οὕτω δὴ καὶ τὸ ποιητικόν· ζητεῖ γάρ τί τὸ πρῶτον ποιῆσαν. ἐπεὶ μὴ περὶ παντὸς ποιητικοῦ αἰτίου, τῷ φυσικῷ ζητῆσαι, διὰ τοῦτό φησιν, ὅτι τῶν ἀρχῶν διττῶν οὐσῶν τῶν κινητικῶν, καὶ τῆς μὲν, πάντῃ ἀκινήτου οὔσης· τῆς δὲ, ἀρχὴν ἐχούσης ἐν ἑαυτῇ κινήσεως καὶ ἠρεμίας, ἡ μὲν πάντῃ ἀκίνητος ἀρχὴ, οὐ φυσική· ἡ δὲ λοιπὴ, φυσική· ὥστε φυσικοῦ ἂν εἴη, οὐ τὸ περὶ πάσης ἀρχῆς διαλέγεσθαι, ἀλλὰ περὶ φυσικῆς μόνης ἀρχῆς. πῶς δὲ εἰ φυσικῶς ἀμφότεραι κινοῦσιν, οὐκ εἰσὶν ἄμφω φυσικαί· ἀλλ' οὐ τοῦτο εἶπεν ὅτι ἡ κινοῦσα, οὕτως κινεῖ ὡς τὰ φυσικὰ κινεῖν πέφυκεν· ἀλλ' ὅτι τὸ κινούμενον ὑπ' αὐτῆς, φυσικῶς κινεῖται. οὐκ ἀνάγκη δὲ ὡς κινεῖται τὸ κινούμενον, οὕτω καὶ τὸ κινοῦν κινεῖν· ἀλλοιοῖ γοῦν ἡμᾶς ὁ ἥλιος, αὐτὸς μὴ ἀλλοιούμενος· καὶ θερμαίνει ἡ κίνησις μὴ οὖσα θερμαντική· καὶ ἡ μάστιξ μώλωπα ποιεῖ, μὴ οὖσα μώλωψ. οὕτως οὖν οὐδὲν ἀδύνατον φυσικῶς μὲν κινεῖν, μὴ εἶναι δὲ φυσικόν. τοιοῦτον δέ ἐστιν, ἥ τε ψυχὴ ἡ ἡμετέρα, μηδεμίαν μὲν κίνησιν κινουμένη, κινοῦσα δ' αὐτὴ τὸ ζῶον, καὶ ἔτι τὸ θεῖον. κινεῖ γὰρ ἡμᾶς αὐτὸ μὴ κινούμενον. πάντων δὲ πρῶτόν φησι τὸ τὴν ἀπλανῆ κινοῦν. τοῦτο δὲ πρῶτον καὶ ἐν τῷ δωδεκάτῳ τῶν μετὰ τὰ φυσικά φησι. δύναται δὲ καὶ πρῶτον ἀκούειν πᾶν τὸ κινοῦν τὸν οὐρανόν. πρώτιστον γὰρ ἂν εἴη τῶν ἀκινήτως κινούντων.

» ΚΑΙ τὸ τί ἐστι δὲ καὶ ἡ μορφή. τέλος γὰρ καὶ οὗ ἕνεκα.

Εἰπὼν τὸ ἕτερον τῶν κινούντων ὃ καὶ ἀκίνητον εἶπε, προστέθεικε καὶ τὸ λοιπὸν, τὸ ἔχον ἀρχὴν κινήσεως ἐν ἑαυτῷ. ὅπερ ἐστὶ τὸ φυσικὸν εἶδος. τοῦτο γάρ ἐστι τὸ κινοῦν, καὶ ἀλλοιοῦν, καὶ εἰς γένεσιν ἄγον τὴν ὕλην. κινεῖ δὲ οὐ μόνον ὡς ποιητικὸν αἴτιον, ἀλλὰ καὶ ὡς τελικόν. ὀρεκτὸν γάρ ἐστι, καὶ τούτου τυχεῖν ἡ φύσις βούλεται. εἴρηται δὲ ὅτι πολλάκις τὰ τρία ἔρχεται εἰς ταυτόν. ὥστε τὸ εἶδος, καὶ ἡ μορφὴ, καὶ ὡς ποιητικὸν κινεῖ τὴν ὕλην ἐν τῷ πατρὶ ὂν, καὶ ὡς τελικὸν καὶ ὀρεκτόν. καὶ ἐν ταῖς λοιπαῖς κινήσεσι ταῖς κατὰ συμβεβηκὸς, τοῦτό ἐστι τὸ κινοῦν, τὸ ἐν ἑαυτῷ ἔχον τὴν ἀρχὴν τῆς κινήσεως. αὔξεται γὰρ ἐπὶ τοσόνδε ὁ ἄνθρωπος διὰ τὸ εἶδος, καὶ ἀλλοιοῦται ποιῶσδε. καὶ τὴν κατὰ τόπον ὁμοίως κίνησιν διάφορον ἔχουσι τὰ ζῶα, οὐ διὰ τὴν ὕλην, κινεῖται γὰρ αὕτη, ἀλλὰ διὰ τὸ εἶδος.

» ΩΣΤΕ ἐπεὶ ἡ φύσις ἕνεκά του, καὶ ταύτην εἰδέναι δεῖ, καὶ πάντως ἀποδοτέον τὸ διατί.

Ἐπεὶ ἡ φύσις φησὶ τῶν ἕνεκά του ἐστὶν, ὡς δειχθήσεται, τὸν δὲ φυσικὸν τὴν φύσιν εἰδέναι δεῖ, ἀνάγκη πάσας περὶ τῶν φυσικῶν ἐρωτώμενον τὸ διατί τῶνδε, τὰς αἰτίας τὰς εἰρημένας ἀποδοῦναι. εἰ γὰρ μὴ πάντα ἕνεκά του ἐποίει ἡ φύσις, οὐκ ἂν ἦν ἀναγκαῖος ὁ περὶ τῶν αἰτίων τῶν τεσσάρων ὁ λόγος, εἰς ὃν ἀνάγειν δεῖ τὰς αἰτίας τῶν φυσικῶν. ἤρκει γὰρ καὶ τὸ ποιητικὸν μόνον, καὶ τὸ ὑλικὸν εἰδέναι. πάλιν δὲ ἀπαριθμεῖται τὰς αἰτίας.

» ΟΙΟΝ ὅτι ἐκ τοῦδε ἀνάγκη τόδε. τὸ δὲ ἐκ τοῦδε, ἢ ἁπλῶς, ἢ ὡς ἐπὶ τὸ πολύ.

Ἐξ ἀνθρώπου γὰρ ἄνθρωπος, ἢ ἁπλῶς, ἢ ὡς ἐπὶ τὸ πολὺ γίνεται. ἁπλῶς μὲν ἐκ τοῦδε τόδε, ἐν τοῖς ἀϊδίοις. τῷ γὰρ πρώτῳ τὸ δεύτερον ἐξ ἀνάγκης ἕπεται. ὡς ἐπὶ τὸ πολὺ δὲ ἐπὶ τοῖς γεννητοῖς. ὡς ἐπὶ τὸ πολὺ γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου. τοῦτο δὲ φησι διὰ τὰ τέρατα.

» ΚΑΙ εἰ μέλλει τοδὶ ἔσεσθαι, ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα.

Τὸ ὑλικὸν φησιν αἴτιον. ὥσπερ γὰρ εἰ μέλλει τοιόνδε εἶδος ἔσεσθαι, δεῖ πάντως προϋπάρξαι τὴν ὕλην, οὕτως εἰ μέλλει τοιόνδε συμπέρασμα γίνεσθαι, δεῖ προϋπάρξαι τὰς προτάσεις.

» ΚΑΙ ὅτι τοῦτο ἦν, τὸ τί ἦν εἶναι. καὶ διότι βέλτιον οὕτως, οὐχ ἁπλῶς, ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου οὐσίαν.

Τὸ εἶδός φησιν. ἐρωτώμενος γὰρ διατί Σωκράτης λογικὸς, φαμὲν ὅτι τοῦτο εἶδος ἀνθρώπου, καὶ ὅρος, ζῶον λογικὸν θνητόν. εἴρηται δὲ ὅτι πολλάκις τοῦτο τῷ τέλει συντρέχει. καὶ ὅτι δὴ βέλτιον οὕτως, οἷον ὅτι βέλτιον τῷ ἀνθρώπῳ τὸ χερσὶ χρῆσθαι ὀργάνῳ τοῦ λόγου, τῷ δὲ ἵππῳ τετράποδι εἶναι, ἑκάστου φησὶ τὸ βέλτιον ἀποδοτέον. οὐ κοινῶς οἷον ὅτι καλὸν τὸ εἶναι, ἢ μὴ εἶναι, ἀλλὰ πρὸς τὴν ἑκάστου οὐσίαν χρήσιμον. ἐν μὲν οὖν τοῖς φυσικοῖς τὰς τέσσαρας ζητητέον αἰτίας. ἐν δὲ τοῖς μαθήμασιν, ὡς ἤδη εἴρηται, μόνην τὴν εἰδικήν. οὔτε γὰρ ὕλην, οὔτε ποιητικὸν, οὔτε τελικόν. γελοῖον γὰρ τὸ λέγειν, ὅτι ἀγαθὸν τῷ κύκλῳ τὸ τοιῷδε εἶναι. οἷον τὰς ἀπὸ τοῦ κέντρου ἴσας ἔχειν. τοῦτο δὲ διότι μηδὲ ὑπόστασίς ἐστιν ἰδία τῶν μαθημάτων, ἀλλὰ ἄλλων ὄντα ἡ ψυχὴ ἀπεσύλησεν. ἐν ἐκείνοις οὖν ζητητέον τὰς αἰτίας τούτων πάσας ἐν οἷς καὶ αὐτὰ ὑπάρχουσι φυσικῶς.

» ΛΕΚΤΕΟΝ δὴ, πρῶτον μὲν διότι ἡ φύσις τῶν ἕνεκά του αἰτίων. ἔπειτα περὶ τοῦ ἀναγκαίου
» πῶς ἔχει ἐν τοῖς φυσικοῖς. εἰς γὰρ ταύτην τὴν αἰτίαν ἀνάγουσι πάντες, ὅτι ἐπειδὴ τὸ θερμὸν τοιονδὶ πέ-
» φυκε, καὶ τὸ ψυχρὸν, καὶ ἕκαστον δὴ τῶν τοιούτων, ταδὶ ἐξ ἀνάγκης ἐστὶ, καὶ γίνεται, καὶ πέφυκε.

Εἰπὼν ἐν τῷ περὶ αὐτομάτου καὶ τῆς τύχης λόγῳ ὅτι ἡ φύσις ἕνεκά του ποιεῖ, δεύτερον δὲ ὡς ἔστιν ἐν τοῖς φυσικοῖς τὸ ἀναγκαῖον, ἆρα ἐπειδὴ τὸ πρότερον ὑπάρχει, ἀνάγκη καὶ τὸ δεύτερον εἶναι, ἢ ἔμπαλιν ἐπειδὴ τὸ δεύτερον, ἀνάγκη καὶ τὸ πρότερον. οἷον τὸ, πότερον ἐπειδὴ ἡ ὕλη τοιαδὶ ἐστὶν, ἀνάγκη καὶ τὸ

Τὰ τρία, τὸ εἶδος, τὸ τέλος, τὸ ποιητικὸν αἴτιον. καλῶς δὲ τὸ πολλάκις. οὐ γὰρ ἀεὶ εἰς ταυτὸ ἔρχονται ταῦτα. οὐδὲ γὰρ πᾶν τὸ ποιοῦν ὅμοιόν ἐστι τῷ γινομένῳ. οὐδὲ γὰρ ἐπειδὴ ποιεῖ ὁ ἥλιος εἰς τὸν ἀέρα, ὅμοιός ἐστι τῷ ἀέρι. καὶ ὅλως τὰ ἀκίνητα καὶ θεῖα αἴτια ποιοῦσιν εἰς ἡμᾶς, ἕτερα ἡμῶν ὄντα καὶ τῇ οὐσίᾳ, καὶ τῇ ἐνεργείᾳ. ἀλλ' οὐδὲ ἐπὶ τῶν γινομένων πᾶν τὸ ποιοῦν ὅμοιόν ἐστι τῶν γινομένων. ἡ γὰρ κίνησις θερμαίνει μὴ οὖσα θέρμανσις, καὶ ἡ ψύξις πήγνυσι μὴ οὖσα πῆξις, καὶ ἡ θερμὴ ἐξατμίζουσα τὸ ὕδωρ ποιεῖ ἀέρα. οἷον ἡ τοῦ πυρὸς, οὐκ οὖσα ἀὴρ, καὶ μυρία ἄλλα. τὰ δὲ τεχνητὰ, καὶ προφανῶς τῶν ποιητικῶν ἕτερά ἐστι. τὸ μὲν γὰρ τί ἐστι, καὶ τὸ οὗ ἕνεκα, ἕν ἐστιν. ὅτι τὸ εἶδος ταυτὸν τῷ τέλει, καὶ πῶς, εἴπομεν. ἐπεὶ δὲ τὸ τέλος διττὸν ὡς εἴρηται ἐν τοῖς ἔμπροσθεν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ, οὐ παντὶ τέλει τὸ εἶδος ταυτόν ἐστιν. οὐδὲ γὰρ τὸ ᾧ ταυτὸν, ἀλλὰ μᾶλλον τὸ οὗ. τοῦτο δέ φημι οὗ στοχάζεται ἡ φύσις. στοχάζεται δὲ τοῦ ἕκαστον εἰς τὸ τέλειον καὶ κατὰ φύσιν εἶδος ἀγαγεῖν. ὥστε ταυτὸν τῷ ἀριθμῷ τὸ τοιοῦτον τέλος καὶ τὸ εἶδος, τῇ σχέσει μόνῃ διαφέρον, ὡς εἴρηται, καὶ τῷ χρόνῳ. ὅταν μὲν γὰρ ὡς γινόμενον, καὶ μήπω ὂν θεωρῆται, τέλος ἐστίν. ὅταν δὲ ὡς ἤδη γενόμενον, εἶδος.

ΤΟ δ' ὅθεν ἡ κίνησις πρῶτον, τῷ εἴδει ταὐτὸ τούτοις. ἄνθρωπος μὲν γὰρ ἄνθρωπον γεννᾷ.

Πρῶτον ἀντὶ τοῦ προσεχές. τὸ οὖν προσεχὲς ποιητικὸν αἴτιον, ταυτὸν τῷ τέλει καὶ τῷ εἴδει. ταυτὸν δὲ λέγω οὐκ ἀριθμῷ, ἀλλ' εἴδει. Σωφρονίσκος γὰρ ταυτὸν τῷ εἴδει. ἄνθρωποι γὰρ ἄμφω. ἀριθμῷ δὲ οὐ ταυτόν.

ΚΑΙ ὅλως ὅσα κινούμενα κινεῖ. ὅσα δὲ μὴ, οὐκέτι φυσικῆς. οὐ γὰρ ἐν αὑτοῖς ἔχοντα κίνησιν οὐδὲ ἀρχὴν κινήσεως, κινεῖ. ἀλλ' ἀκίνητα ὄντα.

Τοῦτο τὸ ῥητὸν ἤτοι πρὸς τὸ προσεχὲς συντακτέον, ἵνα λέγῃ, ὅτι τὸ προσεχὲς ποιητικὸν αἴτιον, ταυτόν ἐστι τῷ εἴδει καὶ τῷ τέλει. καὶ καθόλου φημὶ ὅτι ὅσα τῶν ποιητικῶν προσεχῆ ὄντα, κινούμενα κινεῖ, ταῦτα τῷ εἴδει καὶ τῷ τέλει τὰ αὐτά ἐστιν. ἡ γὰρ ψυχὴ κἂν προσεχῶς κινῇ τὸ ζῷον, ἀλλ' οὖν ἐπειδὴ μὴ κινουμένη κινεῖ, διὰ τοῦτο οὐκέτι ἡ αὐτὴ τῷ κινουμένῳ. ἢ ὅπερ καὶ μᾶλλον, τοῖς ἀνωτέρω συνεχὲς ἂν εἴη τὸ ῥητὸν τοῦτο, καὶ εἰς πάσας ἀνάγων, τὸ διατί ἀποδώσει φυσικῶς, τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν. εἶτα ἐφεξῆς, καὶ ὅσα κινούμενα κινεῖ. τουτέστι ταῦτα τὰ αἴτια ἀποδώσει ὁ φυσικὸς, ὅσα τῷ αὐτὰ κινεῖσθαι οὕτως κινεῖ. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, δῆλον ἐξ ὧν ἐπήγαγεν, ὅσα δὲ μὴ, οὐκέτι φυσικῆς. τουτέστιν, ὅσα δὲ κινεῖ ἀλλὰ ἀκίνητα ὄντα, οὐκέτι ἐστὶ φυσικῆς πραγματείας. εἰ γὰρ περὶ φύσεως μέν ἐστι τὸν φυσικὸν διαλαβεῖν, φύσις δέ ἐστιν ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως, καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς, ὅσα φυσικὰ ὄντα κινεῖ, ἔχει ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, καὶ ἠρεμίας. οὐκ οὖν ὅσα μὴ ἔχει ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ ἠρεμίας, οὐ φυσικά. τοιαῦτα δέ ἐστιν ὅσα ἀκίνητα ὄντα κατὰ φύσιν κινεῖ. εἰ τοίνυν φυσικοῦ τὸ περὶ τῶν φυσικῶν ἀρχῶν διαλέγεσθαι, τὰ δὲ τοιαῦτα οὐ φυσικὰ, οὐ διαλέξεται δηλονότι περὶ τούτων ὁ φυσικός. περὶ μόνων ἄρα τῶν τῷ κινεῖσθαι κινουσῶν ἀρχῶν διαλέξεται.

ΔΙΟ τρεῖς αἱ πραγματεῖαι. ἡ μὲν περὶ ἀκινήτου. ἡ δὲ, περὶ κινουμένου μὲν, ἀφθάρτου δέ. ἡ δὲ, περὶ τὰ φθαρτά. ὥστε τὸ διατί καὶ εἰς τὴν ὕλην ἀνάγοντι ἀποδίδοται, καὶ εἰς τὸ τί ἐστι, καὶ εἰς τὸ πρῶτον κινῆσαν.

Ἐπειδὴ τῶν κινούντων φησὶ τὸ μὲν ἀκίνητόν ἐστι, τὸ δὲ κινούμενον, καὶ τῶν κινουμένων τὸ μὲν ἀκατάλυτον, τὸ δὲ κινούμενον καὶ φθειρόμενον, τριττὰς ἐποιησάμεθα καὶ τὰς περὶ αὐτῶν πραγματείας, ἐν μὲν τῇ μετὰ τὰ φυσικὰ, περὶ τῶν ἀκινήτων διαλεχθέντες. ἐν δὲ τῇ περὶ οὐρανοῦ περὶ τῶν ἀκινήτων. ἐν δὲ ταῖς λοιπαῖς πάσαις πραγματείαις ταῖς φυσικαῖς περὶ τῶν κινουμένων μὲν, γεννητῶν δὲ οὐσῶν καὶ φθαρτῶν. τὰ δὲ ἐφεξῆς, ἀνάλογόν ἐστιν, ὡς ἐν συμπεράσματι τῶν αἰτίων. ὃ δὲ παρῆκε τὸ τελικὸν, οὐδὲν πρᾶγμα. ἐφεξῆς γὰρ εὐθὺς περὶ ὅλων αὐτὸ ἀπαριθμεῖται.

ΠΕΡΙ γενέσεως γὰρ μάλιστα τοῦτον τὸν τρόπον τὰς αἰτίας σκοποῦσι, τί μετὰ τί γίνεται. καὶ τί πρῶτον ἐποίησεν, ἢ τί ἔπαθε. καὶ οὕτως ἀεὶ τὸ ἐφεξῆς.

Ἐπειδὴ εἶπεν ὅτι τὸ διὰ τί ἐρωτώμενον, εἰς τὰς τέσσαρας δεῖ αἰτίας ἀνάγειν, τούτου τὴν αἰτίαν ἀποδίδωσι. μάλιστα γάρ φησι τοῦτον τὸν τρόπον, περὶ τῶν γινομένων σκοπεῖν εἰώθασιν. ὅπερ καὶ μάλιστά ἐστι φυσικοῦ ἔργον. τὸ περὶ τῶν γινομένων ἔχειν τὴν πραγματείαν. περὶ ταῦτα γοῦν πάντες οἱ φυσικοὶ ἠσχόληνται, καὶ τοὺς πλείονας περὶ τούτων καταβάλλουσι λόγους. περὶ τούτων οὖν σκοποῦντες, πάντας ζητοῦσι τὰς τέσσαρας αἰτίας, ἃς καὶ ἀπαριθμεῖται πάλιν. τί μετὰ τί γὰρ, ὅπερ ἐστὶν εἶδος, καὶ τὸ οὗ ἕνεκα. σκοπεῖ γὰρ ὁ φυσικὸς τοῦ τίνος ἕνεκεν ἐργάζεται ἡ φύσις, οἷον ἡ τοῦ ἀνθρώπου φύσις πήξασα τὸ σπέρμα. καὶ ἀποδίδωσιν, ὅτι ἕνεκεν τοῦ ἀνθρωπείου εἴδους ὥστε διαμένειν, τὸ σπέρμα ἡ φύσις ποιεῖ, καὶ πάντα τὰ ἐφεξῆς. τέλος δὲ πάντων τούτων ἔχουσα τὸ αὐτῆς εἶδος ἀΐδιον ποιῆσαι, πάντα γὰρ τοῦ εἶναι ἐφίεται, διὰ τὸ μὴ δύνασθαι τὰ ἐνταῦθα ἀΐδια εἶναι, κατὰ τὸν ἀριθμὸν τῇ διαδοχῇ τὸ ἀΐδιον ἐμηχανήσατο. καὶ τί πρῶτον ἐποίησε. τὸ ποιητικὸν αἴτιον. ζητεῖ γὰρ τί ἐστι προσεχῶς ἕκαστον τῶν φυσικῶν κινοῦν. καὶ τί ἔπαθε. τουτέστι τίς ἐστιν ἡ ὕλη, ἡ ὑπὸ τοῦ ποιητικοῦ πάσχουσα, καὶ ἀλλοιουμένη, καὶ εἰς τὸ εἶδος ἀγομένη, πότερον τὸ σπέρμα ἢ τὸ καταμήνιον. καὶ τί πρὸ τούτων, οἷον ὅτι τὰ τέσσαρα στοιχεῖα. καὶ ὅ ἐστι πρὸ ἐκείνων τὸ πάσχον καὶ κοινῶς πᾶσιν ὑποκείμενον, ἡ ὕλη.

Ἡ ΓΑΡ εἰς τὸ τί ἐστιν ἀνάγεται τὸ διὰ τί, ἔσχατον ἐν τοῖς ἀκινήτοις, οἷον ἐν τοῖς μαθήμασιν· εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος, ἢ συμμέτρου, ἢ ἄλλου τινὸς ἀνάγεται ἔσχατον.

Τὸ διὰ τί φησιν, ἢ εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον, ἀντὶ τοῦ εἰς τὸν ὁρισμόν, ὅπερ εἶδός ἐστι τοῦ ὑποκειμένου. ἀκίνητα δὲ τὰ μαθήματά φησι, διότι τὰ μὲν φυσικὰ ἐν κινήσει θεωρεῖται· ἀρχὴ γὰρ κινήσεως καὶ ἠρεμίας ἡ φύσις. τὰ δὲ μαθηματικὰ ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ ἔχοντα τὸ εἶναι, ἀκίνητά ἐστιν· οὐ γὰρ ἀλλοιοῦται, οὐδ' ὅλως μεταβάλλει, ἅτε μηδὲ ἐν ὕλῃ ὄντα. εἰς ἔσχατον δὲ εἶπεν, ὅτι ὅταν ἐπὶ τῶν μαθημάτων ἐρωτηθέντες διὰ τί ἐστι τόδε, εἶτα θελήσωμεν ἀποδοῦναι τὸ αἴτιον, οὐ πρότερον ἀποπιμπλάμεν τοὺς ἐρωτῶντας πρὶν ἂν εἰς ὁρισμὸν ἔσχατον καταντήσωμεν, ὅσπερ ἐστὶν εἶδος. καὶ οὕτως ἐν τοῖς μαθήμασιν ἔχει πάντη. διὰ τί ἴσαι αἱ δύο εὐθεῖαι; ὅτι ἐκ κέντρου. διὰ τί αἱ ἐκ κέντρου ἴσαι; ὅτι οὗτος ὁ ὁρισμὸς τῶν ἐκ κέντρου τοῦ κύκλου, τὰς ἐκ τοῦ κέντρου τοῦ κύκλου πάσας εἰς τὴν περιφέρειαν ἀγομένας, ἴσας εἶναι ἀλλήλαις. καὶ οὕτως τὸν ὁρισμὸν ἀκούσαντες ἀποπιμπλάμεθα. ὃ οὖν φησι, τοῦτό ἐστι· τὸ διὰ τί ἐρωτώμενοι, ἢ εἰς τὸ τί ἐστιν, ὅπερ τὸ εἶδός φημι, ἀνάγομεν, ὥσπερ ἐπὶ τῶν μαθημάτων ἔχει. εἰς ὁρισμὸν γὰρ ἔσχατον ἡ τῆς αἰτίας ἀπόδοσις ἀνάγεται ἐν τοῖς μαθήμασιν· ὁ δὲ ὁρισμὸς εἶδός ἐστι. παραδείγματος γὰρ ἕνεκα εἴρηται αὐτῷ τὰ μαθήματα. ἡ οὖν σύνταξις τῆς λέξεως οὕτως· τὸ γὰρ διὰ τί ἢ ὥσπερ ἐν τοῖς ἀκινήτοις εἰς τὸ τί ἐστιν ἀνάγεται ἔσχατον. προσυπακουστέον γὰρ ἔξωθεν ὥσπερ. Εἰς ὁρισμὸν γὰρ τοῦ εὐθέος, ἢ συμμέτρου. Ἐὰν ἐν τῷ κύκλῳ λάβω δύο τινὰ σημεῖα, εἶτα εἴπω ὅτι ἀπέχουσιν ἀπ' ἀλλήλων τὰ σημεῖα πέντε τυχὸν δακτύλους, εἶτα ἐρωτήσῃ πόθεν τοῦτο, φημὶ ὅτι καὶ ἡ ἐκ τοῦ σημείου ἐπὶ τὸ σημεῖον ἀγομένη εὐθεῖα τοσούτων ἐστίν. εἶτα πάλιν ἐρωτῶντος τί δήποτε μὴ κατὰ τὴν ἐξ αὐτῶν γραφομένην περιφέρειαν ἢ ἕλικα, μετρεῖς αὐτά· φημὶ ὅτι δεῖ τὸ μέτρον ὡρισμένον εἶναι· ὥρισται δὲ τὸ ἐλάχιστον· ἐλαχίστη δὲ ἡ εὐθεῖα· εὐθεῖα γάρ ἐστιν ἥτις ἐλαχίστη ἐστὶ τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν. καὶ τὸν ὁρισμὸν ἀκούσαντες, οὐκέτι περαιτέρω χωροῦμεν. πάλιν λέγομεν ὅτι ἥδε ἡ πλευρὰ τῇδε τῇ πλευρᾷ ἐστι σύμμετρος. διὰ τί δὲ σύμμετροί εἰσιν; ὅτι λόγον ἔχουσι πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς ἀριθμόν, οἷον τυχὸν οἱ δύο πρὸς τὸν ὀκτώ. καὶ τί δὲ ἔχουσι λόγον πρὸς ἀλλήλας ὃν ἀριθμὸς πρὸς ἀριθμόν; φημὶ ὅτι οὗτος ὅρος τῶν συμμέτρων. σύμμετρα γάρ ἐστι τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα. ὥσπερ οὖν ὁ δύο μετρεῖ τὸν ὀκτὼ τετράκις, οὕτω καὶ ἡ πλευρὰ τὴν πλευράν. καὶ εἰπὼν τὸν ὁρισμὸν ἔστησα τὴν ἀπειρίαν. καὶ καθόλου πᾶσα ἡ μαθηματικὴ μέθοδος, ἢ εἰς ὁρισμὸν ἔσχατον ἀναφέρει τὰς αἰτίας, ἢ εἰς τὰς κοινὰς ἐννοίας.

Ἢ ΕΙΣ τὸ κινῆσαν πρῶτον· οἷον, διὰ τί ἐπολέμησαν, ὅτι ἐσύλησαν. ἢ τίνος ἕνεκα, ἵν' ἄρξωσιν.

Εἰπὼν τὸ εἰδικὸν αἴτιον, μετῆλθεν ἐπὶ τὸ ποιητικόν. ἐρωτώμενοι γάρ φησι διὰ τί ἐπολέμησαν Φωκεῦσι Θηβαῖοι, ἀποκρινόμεθα τὸ ποιητικὸν αἴτιον, ὅτι ἐσύλησαν Φωκεῖς τὸν νεών. ἢ τὸ οὗ ἕνεκεν, καὶ τὸ τέλος ἀποκρινόμεθα· οἷον διὰ τί ἐπολέμησε τοῖς Ἕλλησιν ὁ βασιλεύς, φαμὲν ἵνα ἄρξῃ τῶν Ἑλλήνων.

Ἢ ΕΝ τοῖς γινομένοις ἡ ὕλη. ὅτι μὲν οὖν τὰ αἴτια ταῦτα καὶ τοσαῦτα φανερόν.

Εἰπὼν τὸ εἶδος τὸ ποιητικόν, καὶ τὸ τελικόν, λέγει καὶ τὴν ὕλην. γινόμενα δὲ εἶπε πρὸς ἀντιδιαστολὴν τῶν θείων, καὶ παντάπασιν ἀμεταβλήτων. λέγω δὴ τῶν ἀσωμάτων. καὶ ὁ Πλάτων γὰρ ταῦτα μὲν ἀεὶ ὄντα ἐκάλεσε· πάντα δὲ τὰ σωματικά, οὐκ ὄντα, ἀλλὰ γινόμενα. ἐν τούτοις οὖν τοῖς γινομένοις ἀποδώσει ὁ φυσικὸς τὴν ὕλην. ἐκεῖνα γὰρ ἄϋλα. καὶ τὸ εἶδος μόνον ἐπ' ἐκείνων τοῦ θεολόγου ἀποδοῦναι, οὐ μέντοι τὴν ὕλην. ἢ ἐπειδὴ τῶν ἄλλων αἰτιῶν παραδείγματα ἔθηκε προαιρετά, καὶ μαθηματικά, οὐδὲν δὲ τούτων κατὰ γένεσιν τὸ εἶναι ἔχει· τὰ γὰρ μαθήματα ἀκίνητα ὡς αὐτὸς εἶπε, καὶ διὰ τοῦτο οὐδὲ γένεσις ἐπ' αὐτῶν θεωρεῖται. ἔνθα γὰρ γένεσις πάντως καὶ κίνησις· τά γε κατὰ προαίρεσιν αὐτοῦ γενέσεως, ἢ οὐκ ἔστιν, ἢ εἰσὶν ἐν τῇ σχέσει τῆς προαιρέσεως τὸ εἶναι ἔχοντα. ἐπεὶ οὖν ἐν τούτοις ὕλη οὐ θεωρεῖται ἐπειδὴ οὐδὲ γένεσις, διὰ τοῦτο πρὸς ἀντιδιαστολὴν τούτων φησίν, ὅτι τὴν ὕλην ἐν τοῖς γινομένοις ἀποδώσει. γινόμενα λέγων τὰ τεχνητά, καὶ τὰ φυσικά. ἐν τούτοις γὰρ πάντως καὶ τὴν ὕλην ἀποδοτέον.

ἘΠΕΙ δὲ αἱ αἰτίαι τέσσαρες, περὶ πασῶν τοῦ φυσικοῦ εἰδέναι. καὶ εἰς πάσας ἀνάγων, τὸ διὰ τί ἀποδώσει φυσικῶς· τὴν ὕλην, τὸ εἶδος, τὸ κινῆσαν, τὸ οὗ ἕνεκα.

Ὅτι διὰ τοῦτο ἀνέλαβε τὸν περὶ τῶν αἰτιῶν λόγον, σαφῶς ἐνταῦθα ἐδήλωσε. τεσσάρων γάρ φησι τῶν αἰτιῶν οὐσῶν τὰς αἰτίας τῶν γινομένων εἰς τὰς τέσσαρας ταύτας ὁ φυσικὸς ἀνάξει. καὶ τὸ διὰ τί περὶ ἑκάστου ἀποδιδούς, ταύτας ἀποδώσει τὰς αἰτίας. Καὶ εἰς πάσας ἀνάγων τὸ διὰ τί ἀποδώσει φυσικῶς. τὴν αἰτίαν φησὶν ἑκάστου φυσικῶς ἀποδιδούς, εἰς ταύτας τὰς τέσσαρας αἰτίας ἀνάξει. καλῶς δὲ εἶπε φυσικῶς. δυνατὸν γὰρ ἀνάγειν εἰς τὰς αἰτίας ταύτας οὐ φυσικῶς. τὸ γὰρ περὶ τῆς ἀκινήτου αἰτίας διαλέγεσθαι, οὐκέτι φυσικοῦ, ἀλλὰ θεολόγου. καὶ τὸ περὶ τῶν χωριστῶν εἰδῶν, οὐ φυσικοῦ. εἰ δὲ καὶ ὁ Ἀριστοτέλης ἐν ταῖς φυσικαῖς πραγματείαις ἐστὶν ὅτε περὶ τῆς ἀκινήτου διαλέγεται αἰτίας, ὥσπερ ἐν τῷ ὀγδόῳ τῆς φυσικῆς, καὶ ἐν τῇ περὶ ψυχῆς περὶ τοῦ νοῦ τοῦ χωριστοῦ πάντη ἀσωμάτου, καὶ ἐν τῇ περὶ γενέσεως πάλιν περὶ τῆς ἀκινήτου αἰτίας, ἐροῦμεν ὅτι τῷ ὄντι ὁ τέλειος φυσικὸς κατὰ τὸ ἀκρότατον τὸ ἑαυτοῦ μεμνήσεται καὶ τῶν ἀκινήτων αἰτιῶν, καὶ ὑπὲρ φύσιν.

ἜΡΧΕΤΑΙ δὲ τὰ τρία, εἰς τὸ ἓν πολλάκις. τὸ μὲν γὰρ τί ἐστι, καὶ τὸ οὗ ἕνεκα, ἕν ἐστι.

Τὸ εἶδος

καὶ ἄλλων πολλῶν, καὶ τοῦδε τοῦ παντός. ἄλλων πολλῶν, τῶν κατὰ μέρος. τῶν μὲν μερικῶν, τὸν μερικὸν νοῦν καὶ τὴν φύσιν. τῶν δὲ καθόλου, τὸν αὐτὸν πάντων νοῦν καὶ τὴν φύσιν.

ὍΤΙ δὲ ἔστιν αἴτια, καὶ ὅτι τοσαῦτα τὸν ἀριθμὸν ὅσα φαμὲν, δῆλον. τοσαῦτα γὰρ τὸν ἀριθμὸν, τὸ διὰ τί περιείληφεν.

Εἰπὼν περί τε τῶν καθ' αὑτὸ αἰτίων, καὶ περὶ τῶν κατὰ συμβεβηκὸς, καὶ τελέως διαρθρώσας τὸν περὶ αἰτίων λόγον, τὸ χρήσιμον νῦν τοῦ περὶ αἰτίων λέγειν ἐκτίθεται. ὅτι οὐ μάτην τὸν περὶ αἰτίων ἀκριβῶς διεξῆλθε λόγον. ἀλλ' ὅτι ὁ φυσικὸς ἐρωτώμενος τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων, ἢ πάσας, ἢ τινὰς τῶν εἰρημένων ἀποδώσει. διὰ τοῦτο οὖν ἀναλαμβάνει τὸν περὶ αἰτίων λόγον. οὐχ ὡς ταυτολογῆσαι βουλόμενος, ἀλλ' ὅπερ εἶπον ἵνα δείξῃ ὅτι ἀναγκαίως τὸν περὶ αἰτίων ἐποιήσατο λόγον. ἐρωτώμενος γὰρ ὁ φυσικὸς τὴν αἰτίαν ἑκάστου, ἢ τὰς τέσσαρας ἀποδώσει τὰς εἰρημένας, τὴν ὕλην, τὸ εἶδος, τὸ ποιητικὸν, τὸ τέλος, ἢ εἰ μὴ δυνατὸν ἐπί τινων πάσας εὑρεῖν, ἃς γοῦν δυνατὸν ἀποδώσει, ἢ μίαν, ἢ πλείους. ὥσπερ ἀμέλει καὶ οἱ μαθηματικοὶ ἐρωτώμενοι περὶ ἑκάστου τῶν ὑπαρχόντων τοῖς μαθήμασι, τὴν αἰτίαν εἰς τὸ εἶδος, καὶ τὸν ὁρισμὸν ἀναφέροντες ἀποδιδόασιν. οἷον διὰ τί ἥδε ἡ εὐθεῖα τῇδε τῇ εὐθείᾳ ἴση ἐστίν. ὅτι ἐκ τοῦ κέντρου. διὰ τί δὲ αἱ ἐκ τοῦ κέντρου ἴσαι. ὅτι οὗτος ὁ ὁρισμὸς τοῦ κύκλου, σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων, πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι, ἴσαι ἀλλήλαις εἰσί. μόνῳ γὰρ τῷ κύκλῳ τοῦτο ὑπάρχει, τὸ ἔχειν ἕν τι σημεῖον, τοῦτο δ' ἐστὶ τὸ κέντρον, ἐξ οὗ αἱ πρὸς τὴν περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί. καὶ οὕτως εἰς τὸν ὁρισμὸν ἔσχατον λήξας, αὐτοῦ τῇ ἐρωτήσει τὸ ἱκανὸν πεποιηκέναι. ὅσπερ ὁ ὁρισμὸς τοῦ κύκλου, εἶδός ἐστιν αὐτοῦ. ὥστε ἐρωτηθεὶς τὸ διὰ τί, καὶ ἀποδοὺς τὸ εἶδος, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκε. πάλιν εἰ ἐρωτηθείη, διὰ τί τοῦ τριγώνου αἱ τρεῖς γωνίαι μιᾶς ὀρθῆς μείζονές εἰσιν, ἐρεῖ ὅτι δυσὶ ταῖς ἐφεξῆς ἴσαι εἰσί. δύο δὲ αἱ ἐφεξῆς, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. πάλιν ἐρωτηθεὶς διὰ τί αἱ δύο αἱ ἐφεξῆς δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, ἐρεῖ ὅτι ὅταν ἡ εὐθεῖα ἐπ' εὐθεῖαν σταθῇ, ἢ δύο ὀρθὰς, ἢ δυσὶν ὀρθαῖς ἴσας ποιεῖ. καὶ εἰς ὁρισμὸν τελευτήσας, τὸ ἱκανὸν τῇ ἐρωτήσει πεποίηκεν. οὐ τοῦτο δέ φημι, ὅτι εἰς ὁρισμὸν αὐτοῦ τοῦ ἐρωτωμένου. οὐ γὰρ ὁρισμὸν γωνίας, ἢ γωνιῶν ἀποδέδωκεν. ἀλλ' ὅτι ἁπλῶς εἰς ὁρισμόν τινα ἀνάγει τὸ διὰ τί ἐστι. τοῦτο δ' εἶπε παραδείγματος ἕνεκεν τοῦ ὅτι τὸ διὰ τί ἐρωτώμενοι, ἔστιν ὅτε τὸ εἶδος ἀποδιδόαμεν. ὥσπερ ἐπὶ τῶν μαθηματικῶν πάντων. οὐ πρότερον γὰρ ἀποπιμπλῶμεν τὸν ἐρωτήσαντα διὰ τί τόδε, πρὶν εἰς ὁρισμὸν τὸ διὰ τί ἀναγάγωμεν. ὁ δὲ ὁρισμὸς εἶδός ἐστιν. ἀλλ' οἱ μὲν ἐν τοῖς μαθήμασιν εἰς τὸ εἶδος μόνον, τουτέστι τὸν ὁρισμὸν, ἀνάγοντες, καὶ τὸ διὰ τί ἀρκοῦνται. οὔτε γὰρ ὕλην ὁ μαθηματικὸς ἐπισκέπτεται, οὔτε ποιητικὸν αἴτιον, οὔτε τέλος, ἀλλὰ μόνα τὰ εἴδη τῶν μαθηματικῶν. ὁ μέντοι φυσικὸς πάντα τὰ αἴτια ἀποδώσει. οἷον διὰ τί Σωκράτης ἄνθρωπός ἐστιν, ἀποδώσει τὴν αἰτίαν, καὶ εἰς τὸ εἶδος ἀνάγων ὅτι ζῷον λογικὸν θνητὸν, καὶ εἰς τὸ ποιητικὸν αἴτιον διότι τὸ ὅμοιον τοῦ ὁμοίου αἴτιον. ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου. καὶ τὴν ὕλην δ' ἀποδώσει. οἷον διὰ τί τὸ μαχαίριον τέμνει, ὅτι σιδήρεον. ἢ ἐκ τοῦ εἴδους, ὅτι ὀξύ. ἢ ἐκ τοῦ τελικοῦ αἰτίου, διὰ τὴν τῶν ἀνθρώπων χρείαν. καὶ οὕτως ἐπὶ πάντων, ἐφ' ὧν μὲν δυνατὸν πάσας τὰς αἰτίας ἀποδοῦναι, ἀποδώσει. ἐφ' ὧν δὲ μὴ ἐπὶ πάντων δυνατὸν πάσας οὐδὲ γὰρ ἐκείνης, τὴν προσεχῆ ὕλην ἑκάστου εὑρήσει, τίς ἡ ἰδιότης τῆς τῶν στοιχείων κράσεως τῆς ὑποκειμένης Σωκράτει, ἢ καὶ τῷ Πλάτωνι. καὶ τῶν ἄλλων ὡσαύτως. τινὰς γοῦν, ἢ μίαν ἀποδώσει. ἔστι δ' ἐπί τινων καὶ πάσας ἀποδοῦναι. οἷον διὰ τί ἄνθρωπος ἀποθνήσκει. ὅτι ζῷον λογικὸν θνητὸν, ἐκ τοῦ εἴδους. ἐκ δὲ τῆς ὕλης, ὅτι ἐξ ἐναντίων συνέστηκεν. ἐκ δὲ τοῦ ποιητικοῦ, ὅτι τὸ γεννητικὸν αὐτοῦ πρόσεισι, καὶ ἄπεισιν. ἐκ δὲ τοῦ τέλους, ὅτι βέλτιον τῇ ψυχῇ τὸ μὴ ἐν σώματι εἶναι τοῦ ἐν σώματι διὰ τὰς ἐκ τοῦ σώματος ἐνοχλήσεις. εἰ τοίνυν τὰς αἰτίας ἀπαιτούμενος ὁ φυσικὸς εἰς τὰ εἰρημένα αἴτια ἀνάξει, καλῶς ἄρα τὸν περὶ αἰτίων ἀκριβῶς διήλθομεν λόγον, ὅτι τέσσαρά εἰσι μόνα. τὸ εἶδος, ἡ ὕλη, τὸ ποιητικὸν, τὸ τέλος.

Εἰς … λείπει τό.

ταυτὸν δὲ λέγω οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῷ λόγῳ. ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου, καὶ ἵππος ἐξ ἵππου. καὶ ταυτὸν τὸ ποιοῦν τῷ γινομένῳ, οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῷ εἴδει. τῷ δὲ τέλει τὸ μὲν ποιητικὸν ὡσαύτως ἕτερον τῷ ἀριθμῷ, τὸ δ' εἶδος ταυτόν. ὡς μὲν γὰρ μήπω ὂν, ἀλλὰ σκοπὸς ὂν τῆς φύσεως. τούτου γὰρ στοχάζεται, τέλος ἐστίν. ὡς δὲ γενόμενον ἤδη, καὶ ἐν τῷ συνθέτῳ ὂν, εἶδός ἐστι. τῆς δὲ ποιητικῆς αἰτίας τῆς μὲν οὔσης ἀκινήτου, τῆς δὲ κινουμένης. καὶ τῆς κινουμένης, τῆς μὲν ἀϊδίως κινουμένης, τῆς δὲ γεννητῆς καὶ φθαρτῆς, τρεῖς συμβαίνει γίνεσθαι καὶ τὰς πραγματείας. διό φησι καὶ ἡ μὲν τρεῖς εἰσὶ γεγραμμέναι πραγματεῖαι περὶ τῶν αἰτιῶν τῶν ποιητικῶν περὶ μὲν τῆς ἀκινήτου ἡ μετὰ τὰ φυσικά. περὶ δὲ τῆς κινουμένης μὲν, ἀϊδίως δὲ κινουμένης, ἡ περὶ οὐρανοῦ. περὶ δὲ τῆς γεννητῆς καὶ φθαρτῆς, αἱ φυσικαὶ πᾶσαι πραγματεῖαι. Τοσαῦτα γὰρ τὸν ἀριθμὸν τὸ διὰ τί περιείληφε. τὸ διὰ τί, οὐ τὸ τέλος ἐνταῦθά φησιν, ἀλλὰ καθόλου τὴν αἰτίαν. τῶν γὰρ προβλημάτων τεσσάρων ὄντων, τοῦ εἰ ἔστι, τί ἐστιν, ὁποῖόν τί ἐστι, καὶ διὰ τί ἐστιν, εἰς τοσαύτας αἰτίας ἀνάγεται, τὴν ὕλην, τὸ εἶδος, τὸ ποιητικὸν, τὸ τέλος. ἐρωτώμενοι γὰρ διὰ τί ἐστιν ἕκαστον, τὰς τέσσαρας ταύτας αἰτίας ἀποδιδόαμεν.

βηκός. κἂν γὰρ συγχωρήσωμεν ἄρα τοῖς περὶ Δημόκριτον, καὶ τοῖς ἄλλοις, ἐκ ταὐτομάτου γενέσθαι τὸ πᾶν, ἀνάγκη προηγεῖσθαι τὸ καθ' αὑτὸ αἴτιον τὸν νοῦν, καὶ τὴν φύσιν· ὥστε καὶ εἰ ἐκ ταὐτομάτου γέγονεν ὁ οὐρανός, πολλῷ πρότερον ὑπὸ νοῦ γένοιτ' ἂν, καὶ ὑπὸ φύσεως. Ἀλλ' ἐρεῖ τις πρὸς ταῦτα, ὅτι τῶν μὲν κατὰ συμβεβηκὸς αἰτίων, δεῖ προηγεῖσθαι τὰ καθ' αὑτὸ αἴτια· καὶ διὰ τοῦτο τύχης, καὶ αὐτομάτου δεῖ προηγεῖσθαι νοῦν καὶ φύσιν, ὡς ταῦτα αὐτοῖς συμβαίνουσι· οὐ μέντοι τῶν αὐτῶν αἴτια ἀνάγκη εἶναι τὰ καθ' αὑτὸ αἴτια, τὸν νοῦν λέγω, καὶ τὴν φύσιν, ὧν ἂν εἴη καὶ ἡ τύχη, καὶ τὸ αὐτόματον. ὁ μὲν γὰρ νοῦς αἴτιός ἐστι τοῦ λούσασθαι καθ' αὑτό, οὐ μέντοι καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον, ὅπερ ἀπὸ τύχης γέγονεν, αἴτιός ἐστι καθ' αὑτὸ ὁ νοῦς. καὶ τὸ μὲν διψῆσαι τὸν ἵππον αἴτιον εἶναι τῷ ἵππῳ καθ' αὑτὸ τῆς ἐκ τοῦ στρατοπέδου ἀναχωρήσεως. τὸ μέντοι ἀναχωρήσαντα σωθῆναι, ὅπερ ἐκ ταὐτομάτου γέγονεν, οὐκέτι ἡ δίψα, ἢ ἡ ἀναχώρησις καθ' αὑτό ἐστιν αἰτία, ἀλλὰ κατὰ συμβεβηκός· ὥστε καὶ τὸ δεῖν μὲν τὸν νοῦν, καὶ τὴν φύσιν αἴτια καθ' αὑτὸ εἶναι ἄλλων τινῶν, ἐκ τούτων δέδεικται. τοῦ μέντοι οὐρανοῦ εἰ τὸ αὐτόματον αἴτιόν ἐστι, οὐκέτι καὶ τὸν νοῦν, ἢ τὴν φύσιν ἐκ τούτων ἀνάγκη αἴτια εἶναι, εἰ μὴ κατὰ συμβεβηκός. κατὰ συμβεβηκὸς γὰρ τῶν κατὰ τύχην ὁ νοῦς αἴτιον. τῶν δὲ ἐκ ταὐτομάτου ἡ φύσις καθ' αὑτὸ οὐκέτι. Φημὶ οὖν ἐγὼ πρὸς ταῦτα, ἐπειδὴ ἐκεῖνοι ἐκ ταὐτομάτου πάντας τοὺς κόσμους ἄλλον ἐν ἄλλῳ μέρει τοῦ κενοῦ γενέσθαι ἔλεγον, εἰ δέδεικται ὅτι πρὸ τύχης, καὶ τοῦ αὐτομάτου δεῖ τὰ καθ' αὑτὸ εἶναι αἴτια, τὸν νοῦν λέγω, καὶ τὴν φύσιν, ἐρώμεθα αὐτούς, τίνος ἂν εἴη νοῦς καὶ φύσις καθ' αὑτὸ αἴτια. εἰ γὰρ τῶν κόσμων πάντων κατὰ συμβεβηκός, τίνος ἂν εἶεν καθ' αὑτό. οὐ γάρ ἐστιν ἕτερόν τι παρὰ τοὺς ἀπείρους κόσμους· ὥστε ἢ οὐδ' ὅλως ἔσονται τινὸς καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, ὅπερ ἀδύνατον· ἢ εἰ εἰσί, τῶν κόσμων τῶν ἀπείρων εἰσὶ δηλονότι. καλῶς ἄρα συνῆκται ὅτι κατὰ τὰς αὐτῶν ὑποθέσεις νοῦν καὶ φύσιν ἀνάγκη καὶ τούτου τοῦ κόσμου, καὶ πάντων καθ' αὑτὸ ὑποτιθέναι αἴτιον. εἰ γὰρ δέδεικται ἡμῖν ὅτι τύχη, καὶ αὐτόματον ἐξ ἀνάγκης τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίστανται τῷ νῷ, καὶ τῇ φύσει, ἀνάγκη δὲ πρὸ τῶν κατὰ συμβεβηκὸς αἰτίων εἶναι τὰ καθ' αὑτὸ αἴτια, τίνος ἂν εἶεν καθ' αὑτὸ αἴτια νοῦς καὶ φύσις, εἰ μὴ τῶν κόσμων εἶεν αἴτια· ὥστε ἔκ τε τῶν παρ' ἡμῖν δεδειγμένων, καὶ τῶν ὑποθέσεων τῶν ἐκείνων, συνάγεται νοῦν καὶ φύσιν καθ' αὑτὰ εἶναι αἴτια τοῦ παντός, εἰ καὶ συγχωρηθείη καὶ τὸ αὐτόματον εἶναι αὐτοῦ αἴτιον.

» ἘΠΕΙ δ' ἐστὶ τὸ αὐτόματον, καὶ ἡ τύχη αἴτια ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος, ἢ φύσις, ὅταν κατὰ συμ-
» βεβηκὸς αἴτιόν τι γένηται τούτων αὐτῶν, οὐδὲν δὲ κατὰ συμβεβηκός ἐστι πρότερον τῶν καθ' αὑτό, δῆ-
» λον ὅτι οὐδὲ τὸ κατὰ συμβεβηκὸς αἴτιον πρότερον τοῦ καθ' αὑτό. ὕστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύ-
» χη καὶ νοῦ καὶ φύσεως· ὥστε εἰ ὅτι μάλιστα τοῦ οὐρανοῦ αἴτιον τὸ αὐτόματον, ἀνάγκη πρότερον νοῦν αἴτι-
» ον καὶ φύσιν εἶναι καὶ ἄλλων πολλῶν, καὶ τοῦδε τοῦ παντός.

Ἡ τύχη φησί, καὶ τὸ αὐτόματον αἴτια τούτων εἶναι λέγεται ὧν καὶ ὁ νοῦς καὶ ἡ φύσις αἴτια εἰσὶ κατὰ συμβεβηκός. τῆς γὰρ κομιδῆς τοῦ ἀργυρίου αἰτία μὲν λέγεται εἶναι ἡ τύχη. πρὸ τῆς τύχης δὲ ὁ νοῦς ὁ κινήσας πολλῷ πρότερον αἴτιος κατὰ συμβεβηκός. εἰ γὰρ μὴ ἐκίνησεν αὐτὸν εἰς τὴν ἀγοράν, ἢ αὐτὸ τὸ λουτρόν, οὐκ ἂν οὐδὲ συνέβαινεν ἡ ἀπαίτησις τοῦ ἀργυρίου. τὰ αὐτὰ καὶ ἐπὶ φύσεως, καὶ αὐτομάτου. ὥστε πρὸ τῆς τύχης, καὶ τοῦ αὐτομάτου νοῦς, καὶ φύσις αἰτία τοῦ αὐτοῦ κατὰ συμβεβηκός. πανταχοῦ δὲ τὸ καθ' αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός· ὥστε εἰ κατὰ συμβεβηκὸς ὁ νοῦς τοῦ κόσμου αἴτιος, πολλῷ πρότερον καὶ καθ' αὑτὸ ἂν εἴη αὐτοῦ αἴτιος. εἰ μὴ γὰρ αὐτοῦ καθ' αὑτὸ αἴτιος, τίνος ἂν εἴη ἄλλου. ἔχει δὲ ἡ λέξις ἀκαταλληλόν τι. εἰπὼν γὰρ τὸν νοῦν καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς αἴτια, ἐπειδή φησι πρότερα τὰ καθ' αὑτὸ αἴτια τῶν κατὰ συμβεβηκὸς αἰτίων, πρότερον ἄρα τοῦ αὐτομάτου καὶ τῆς τύχης νοῦς καὶ φύσις· καίτοι εἰ τὸν νοῦν, καὶ τὴν φύσιν κατὰ συμβεβηκὸς εἶπεν εἶναι αἴτια, τὰ αὐτὰ δὲ καὶ καθ' αὑτό ἐστιν αἴτια, αὐτὰ ἑαυτῶν ἄρα καὶ πρότερον ἂν εἴη καὶ ὕστερον, εἴγε τῶν αὐτῶν καὶ καθ' αὑτό ἐστιν αἴτια καὶ κατὰ συμβεβηκός. εἰ γὰρ ἄλλων μὲν εἴη καθ' αὑτό, ἄλλων δὲ κατὰ συμβεβηκός, οὐδὲν ὃν βούλεται συνάγει. οὐ συνάγει γὰρ ὅτι ὁ νοῦς καθ' αὑτὸν τοῦ κόσμου αἴτιος. εἰ δὲ τὸ ὅταν κατὰ συμβεβηκὸς αἴτιόν τι γένηται πρὸς τὴν τύχην, καὶ τὸ αὐτόματον ἐξακούσομεν, τουτέστιν ὅταν ἡ τύχη καὶ τὸ αὐτόματον αἴτιόν τι γένηται τούτων αὐτῶν, ὧν ἂν ἢ νοῦς ἢ φύσις καθ' αὑτὸ γένηται αἴτια, οὐκέτι ἀληθὲς τὸ τούτων εἶναι τὸν νοῦν αἴτιον καὶ τὴν φύσιν, ὧν ἡ τύχη καὶ τὸ αὐτόματον κατὰ συμβεβηκὸς αἴτια. ὅτι μὲν γὰρ τοῖς ἄλλοις καθ' αὑτὸ αἰτίοις, νῷ λέγω καὶ φύσει, παρέπεται τύχη καὶ αὐτόματον, ἐκ τῶν προλαβόντων ἔχομεν δεδειγμένον. τῶν μέντοι αὐτῶν καθ' αὑτὸ εἶναι τὸν νοῦν αἴτιον, ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, οὐκέτι. δῆλος δ' ἐστὶ τὸ κατὰ συμβεβηκὸς πρὸς τὴν τύχην λέγων καὶ τὸ αὐτόματον. εἰπὼν γὰρ ὅτι τὸ καθ' αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός, ἐπήγαγεν, ὕστερον ἄρα τὸ αὐτόματον καὶ ἡ τύχη καὶ νοῦ καὶ φύσεως. εἰ γὰρ τὸ καθ' αὑτὸ πρότερον τοῦ κατὰ συμβεβηκός, πρότερον δὲ τύχης καὶ αὐτομάτου νοῦς καὶ φύσις, κατὰ συμβεβηκὸς ἄρα τύχη καὶ αὐτόματον. ἀλλ' εἴ τις λέγοι ὅτι τῶν αὐτῶν δώσομεν εἶναι τὸν νοῦν καὶ τὴν φύσιν καθ' αὑτὸ αἴτια, ὧν καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, λεγέτω τίνων ἄλλων. οὐ γάρ ἐστί τι παρὰ τὸ πᾶν ἐν τοῖς φυσικοῖς, περὶ ὧν κἀκεῖνοι καὶ ἡμεῖς ποιούμεθα τὸν λόγον.

ἂν ἔπεμψεν ἄν· ἀλλὰ καὶ τὸ πατάξαι ἑτέραν εἶχεν οἰκείαν ἀρχὴν, οὐ τὸ πεσεῖν, ἀλλὰ φέρε εἰπεῖν τὸ βληθῆναι ὑπό τινος ὥστε πατάξαι. καὶ τὸ πεσεῖν, οὐ τὸ πατάξαι τέλος εἶχεν, ἀλλ' εἰς τὸν οἰκεῖον ἐνεχθῆναι τόπον. ἀλλήλων δὲ ἐγένετο κατὰ συμβεβηκὸς, τὸ μὲν αἴτιον, τὸ δὲ τέλος. ζητήσεις δὲ πότερον καὶ τὰ τέρατα ἐκ ταὐτομάτου δεῖ καλεῖν, ἢ οὔ. δόξει γὰρ καὶ αὐτὰ ἐκ ταὐτομάτου. ἡ γὰρ φυσικὴ ὁρμὴ τοῦ οἰκείου τέλους ἀποτυχοῦσα, κατὰ συμβεβηκὸς τούτων αἰτία γέγονε. μήποτε δὲ οὐ δεῖ ταῦτα καλεῖν ἐκ ταὐτομάτου. ἔχει γὰρ οἰκεῖα αἴτια προηγησάμενα ἐν ἑαυτοῖς. ἢ γὰρ ψῦξιν, ἢ ἔλλειψιν, ἢ πλεονασμὸν τῆς ὕλης. ἀλλὰ φήσει τις ὅτι καὶ πεσὼν λίθος, ὄγκον εἶχε τὴν βαρύτητα, ἀλλὰ τοῦ πεσεῖν μὲν αὕτη ποιητικὴ, τοῦ πλῆξαι δὲ οὔ. εἰ μὴ κατὰ συμβεβηκός. ἀλλὰ γὰρ καὶ αὐτὴ τοῦ λίθου τοῦ εἰς τὴν κατάδρασιν αὐτῆς τοιούτου γενομένου, ἔστι πάντως ἡ ἐξοχή τις, ἢ λίθος ἕτερος, ἐφ' ᾧ προσραγεὶς, ἐθραύσθη τὰ πρῶτα, καὶ οὕτως αὐτὴ τραχύτητα εἰς κατάδρασιν ἔσχεν. ἀλλ' ὅμως ἐκ ταὐτομάτου φαμὲν ταῦτα, διὰ τὸ μὴ εἶναι ποιητικόν τι αἴτιον ὡρισμένον τῆς τοιαύτης ἰδέας τοῦ λίθου. οὕτως οὖν καὶ ἐπὶ τῶν τεράτων φημὶ, ὅτι τὸ ψυχρὸν, ἢ ὁ πλεονασμὸς τῆς ὕλης, ἢ ἡ ἔνδεια, ὑλικά ἐστιν αἴτια. ποιητικὸν δὲ ὡρισμένον αἴτιον τῶν τεράτων οὐκ ἂν οὕτως. ὥστε καὶ ταῦτα ἐκ ταὐτομάτου.

» ΕΠΕΙ εἴ τις λούσασθαι φαίη μάτην, ὅτι οὐκ ἐξέλιπεν ὁ ἥλιος, γελοῖος ἂν εἴη. οὐ γὰρ ἦν τοῦτο ἐκείνου
» ἕνεκα. οὕτω δὴ τὸ αὐτόματον κατὰ τὸ ὄνομα, ὅταν αὐτὸ μάτην γένηται. κατέπεσε γὰρ, οὐ τοῦ πατάξαι
» ἕνεκα ὁ λίθος. ἀπὸ τοῦ αὐτομάτου ἄρα κατέπεσεν ὁ λίθος, ὅτι πέσοι ἂν ὑπό τινος καὶ τοῦ πατάξαι ἕνε-
» κα. μάλιστα δέ ἐστι χωριζόμενον τὸ ἀπὸ τύχης ἐν τοῖς φύσει γινομένοις. ὅταν γὰρ γένηταί τι παρὰ
» φύσιν, τότε οὐκ ἀπὸ τύχης, ἀλλὰ μᾶλλον ἀπὸ ταὐτομάτου γεγονέναι φαμέν.

Ὅτι τοῦτ' ἐστὶ μάτην, τὸ μὴ τυχὸν τοῦ οἰκείου τέλους, διὰ τούτων δείκνυσι. κἂν γάρ φησι μὴ τύχῃ τελῶς ἄλλων μὴ ὄντων αὐτῷ οἰκείων, οὐ λέγεται μάτην. οὐδὲ γὰρ εἰ μὴ λουσαμένων ἐξέλιπεν ὁ ἥλιος, μάτην ἐλουσάμεθα, ἐπεὶ μηδὲ τέλος τοῦ λουτροῦ ἡ τοῦ ἡλίου ἔκλειψις, ἀλλ' ἡ ὑγεία, ἤ τι τοιοῦτον. οὐ μάτην οὖν τὸ λουτρὸν μὴ ἐκλείποντος τοῦ ἡλίου, ἀλλὰ μὴ τυχὸν τοῦ οἰκείου τέλους. ἐντεῦθεν οὖν τὸ αὐτόματον ἔχει τὴν ἐτυμολογίαν, ἐκ τοῦ αὐτὸ μάτην γεγονέναι, καὶ μὴ τοῦ οἰκείου τυχεῖν τέλους. οὕτως οὖν τὸν πεσόντα λίθον μὴ τοῦ πατάξαι ἕνεκα, αὐτομάτως φαμὲν καταπεσεῖν, καὶ πλῆξαι, ἐπεὶ μὴ πρὸς τὸ ἐκβὰν αὐτῷ τέλος τὸν σκοπὸν ἐξ ἀρχῆς εἶχε. μάτην οὖν ὡς πρὸς τὸ τέλος κατέπεσεν, ἐπεὶ μὴ πρὸς αὐτὸ νένευκε. μάλιστα δ' ἐστὶ χωριζόμενον τοῦ ἀπὸ τύχης ἐν τοῖς φύσει γινομένοις. ἡ διάκρισις τοῦ τυχαίου ἀπὸ τοῦ ἰδίως λεγομένου αὐτομάτου, ὅτι τὸ ἰδίως λεγόμενον αὐτόματον ἐν τοῖς φύσει γινομένοις συμβαίνει, τοῦ ἀπὸ τύχης ἐν τοῖς προαιρετοῖς συμβαίνοντος. ὅταν γὰρ γένηται παρὰ φύσιν, τότε οὐκ ἀπὸ τύχης, ἀλλὰ μᾶλλον ἀπὸ ταὐτομάτου γεγονέναι φαμέν. παρὰ φύσιν, ἀντὶ τοῦ παρὰ τὴν φύσιν, τουτέστι παρὰ τὸν σκοπὸν τῆς φύσεως. ὅταν οὖν παρὰ τὸν σκοπὸν τῆς φύσεως ἐκβῇ τι, τότε διὰ τὸ φυσικῇ ὁρμῇ ἐπηκολουθῆσαι κατὰ συμβεβηκὸς οὐ κατὰ σκοπὸν φυσικὸν, ἐκ ταὐτομάτου λέγεται τὸ τοιοῦτον.

» ΕΣΤΙ δὲ καὶ τοῦτο ἕτερον. τοῦ μὲν γὰρ, ἔξω τὸ αἴτιον. τοῦ δ' ἐντός. τί μὲν οὖν ἐστι τὸ αὐτόματον, καὶ
» τί ἡ τύχη, εἴρηται. καὶ τί διαφέρουσιν ἀλλήλων.

Ἐπειδὴ εἶπεν ὅτι χωρίζεται τὸ αὐτόματον τῆς τύχης τῷ τὸ αὐτόματον ἐν τοῖς φύσει γινομένοις θεωρεῖσθαι, βούλεται τῆς φύσεως χωρίσαι τὸ αὐτόματον, ἵνα μὴ δόξῃ τὸ αὐτὸ εἶναι. φησὶν οὖν ὅτι διακρίνονται ἀπ' ἀλλήλων, τῷ τοῦ μὲν φυσικοῦ τέλους ἐν αὐτῷ εἶναι τὸ αἴτιον τοῦ ἀποβαίνοντος, τοῦ δὲ αὐτομάτου ἔξωθεν τὸ αἴτιον. ἐντὸς γὰρ τὸ αἴτιον τῶν φυσικῶν, τῷ τε ἐν αὐτοῖς εἶναι τὸ κινητικὸν, καὶ τῷ πρὸς τὸ τέλος νενευκέναι. ἐπὶ δὲ τῶν ἐκ ταὐτομάτου γινομένων, οὔτε ἐν αὐτοῖς τὸ αἴτιον, ἀλλ' ἔξω, καὶ οὐ πρὸς αὐτὸ νενευκὸς, ἀλλὰ πρὸς ἕτερα.

» ΤΟΝ δὲ τρόπον τῆς αἰτίας ἐν τοῖς αἰτίοις, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἑκάτερον αὐτῶν. ἢ γὰρ τῶν
» φύσει, ἢ τῶν ἀπὸ διανοίας, αἴτιον ἀεί ἐστιν. ἀλλὰ τούτων τὸ πλῆθος ἀόριστον.

Τὸ λοιπὸν τῶν προβλημάτων προστίθησιν, ἐν ποίοις αἰτίοις αὐτὰ κατατακτέον. καὶ φησὶν ὅτι ἐν τοῖς ποιητικοῖς. ποιητικοῖς γὰρ αἰτίοις παρακολουθοῦσι, φύσει καὶ διανοίᾳ. ἀλλ' εἰ καὶ οἷς αὐτὴ συμβαίνει ὥρισται, φύσις καὶ διάνοια, ἀλλ' οὖν καὶ αὐτὰ ἀόριστά ἐστι τὸ πλῆθος, ὡς πολλάκις εἴπομεν. τοῦ γὰρ αὐτοῦ μυρία ἂν εἴη κατὰ συμβεβηκὸς αἴτια.

» ΕΠΕΙ Δ' ἐστὶ τὸ αὐτόματον, καὶ ἡ τύχη αἴτια. ὧν ἂν ἢ νοῦς γένοιτο αἴτιος ἢ φύσις.

Ἐπειδὴ βουλόμενος δεῖξαι ἐναργέστερον ὅτι ἐστὶν ἡ τύχη, καὶ τὸ αὐτόματον, εἶπεν ὅτι οὕτως εἰσὶ τοῦτο, ὅτι καὶ τινὲς τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κόσμων πάντων αἴτιόν φασι τὸ αὐτόματον, διὰ τοῦτο νῦν ἐπιρραπίζει αὐτῶν τὴν ἀσεβῆ ταύτην δόξαν ἐκ τῶν δεδειγμένων. εἰ γὰρ τὸ αὐτόματον καὶ ἡ τύχη κατὰ συμβεβηκός ἐστιν αἴτια. ἐν γὰρ τοῖς ἐπ' ἔλαττον ὡς δέδεικται ὁρῶνται. τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια τοῖς καθ' αὑτὸ αἰτίοις παρυφίστανται. διὰ τοῦτο γὰρ καὶ κατὰ συμβεβηκὸς ἐκλήθη ὡς ἄλλοις αὐτὰ συμβαίνοντα, προηγεῖται ἄρα τῶν κατὰ συμβεβηκὸς αἰτίων τὰ καθ' αὑτὸ αἴτια. τοῦ αὐτομάτου ἄρα καὶ τῆς τύχης τὰ καθ' αὑτὰ προηγεῖται αἴτια. ταῦτα δ' ἐστὶ νοῦς καὶ φύσις, ὡς δέδεικται. προηγεῖται ἄρα τῆς τύχης καὶ τοῦ αὐτομάτου νοῦς καὶ φύσις. ὧν, τὰ μὲν καθ' ἑαυτό ἐστιν αἴτια, τὰ δὲ κατὰ συμβε-

ὭΣΤΕ φανερὸν ὅτι ἐν τοῖς ἁπλῶς ἕνεκά του γινομένοις, ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται, ὧν ἔξω τὸ αἴτιον, τότε ἀπὸ ταὐτομάτου λέγομεν· ἀπὸ τύχης δὲ, τούτων ὅσα ἀπὸ ταὐτομάτου γίνεται τῶν προαιρετῶν τοῖς ἔχουσι προαίρεσιν.

Ὅρος τοῦ κοινοῦ αὐτομάτου ἐν τοῖς ἕνεκά του, τοῖς τε κατὰ φύσιν, καὶ τοῖς κατὰ προαίρεσιν. ὅταν μὴ τοῦ συμβάντος ἕνεκα γένηται. οἷον τῆς κομιδῆς τοῦ ἀργυρίου. οὐδὲ γὰρ διὰ τοῦτο ἦλθεν, ἵνα κομίσηται τὸ ἀργύριον. οὐδ᾽ ὁ λίθος διὰ τοῦτο κατέπεσεν, ἵνα πρὸς καθέδραν γένηται ἐπιτήδειος. ὧν ἔξω τὸ αἴτιον. ἀντὶ τοῦ, ὧν ἕνεκά του γινομένων, τὸ αἴτιον τοῦ συμβεβηκότος, ἔξω αὐτοῦ ἐστι. τὸ δὲ ἔξω, ἀντὶ τοῦ μὴ πρὸς τὸ τέλος νενευκὸς, ἀλλ᾽ ἔξω τοῦ ἀποβάντος τὸ αἴτιον ᾖ, καὶ ἄλλου ἕνεκεν ὄν. οἷον τοῦ συντυχεῖν τῷ φίλῳ αἴτιον κατὰ συμβεβηκὸς ἡ εἰς ἀγορὰν πρόοδος. ἀλλὰ τὸ αἴτιον τοῦτο καὶ ἔξω ἐστὶ τοῦ ἀποβάντος, ἀντὶ τοῦ πρὸς τὸ ἀποβὰν οὐ νένευκε, καὶ ἄλλου ἕνεκεν ἐστί. οἷον τοῦ λούσασθαι, ἢ ἀγοράσαι. ἔστιν οὖν ἡ ὅλη διάνοια συνελόντι εἰπεῖν, αὕτη. αὐτόματον ἁπλῶς ἐστι τὸ παρακολουθοῦν τοῖς ἕνεκά του γινομένοις, ὅταν γένωνται μὴ αὐτοῦ τοῦ συμβάντος ἕνεκα. ὧν ἔξω ἐστὶ τὸ τοῦ συμβάντος αἴτιον, διὰ τὸ μὴ ἐν τούτοις εἶναι καθ᾽ αὑτὸ τὴν τοῦ συμβάντος αἰτίαν. ἐν τούτοις γὰρ οὐκ ἔστιν ἔξω τὸ αἴτιον τοῦ συμβαίνοντος, ἐν οἷς καθ᾽ αὑτό ἐστιν ἡ αἰτία τοῦ ἀποτελουμένου. οἷον, τὸ αἴτιον τῆς οἰκίας, οὐκ ἔξω ἐστὶ τῆς οἰκοδομίας, ἀλλ᾽ ἐν αὐτῇ. πρὸς γὰρ τὴν οἰκίαν ἡ οἰκοδομία νένευκεν. ἀπὸ τύχης δὲ τούτων, ὅσα ἀπὸ ταὐτομάτου γίνεται τῶν προαιρετῶν. τοῖς ἔχουσι προαίρεσιν. ὁ ὁρισάμενος τὸ κοινὸν αὐτόματον, ὁρίζεται καὶ τὸ ἀπὸ τύχης, ὅτι ταῦτα λέγω ἀπὸ τύχης, ὅσα ἀπὸ ταὐτομάτου τῶν προαιρετῶν γίνεται τούτοις οἵτινες ἔχουσι προαίρεσιν. οἷον τὸ ἀπαιτῆσαι τὸ ἀργύριον τῶν προαιρετῶν ὑπάρχον, ὅταν ἐκ ταὐτομάτου παρακολουθήσῃ τοῖς ἔχουσι προαίρεσιν, ἀπὸ τύχης λέγεται εἶναι. προαιρετῶν δὲ, ἀντὶ τοῦ τῶν κατὰ προαίρεσιν γινομένων, ἤτοι τῶν παρακολουθούντων τοῖς κατὰ προαίρεσιν γινομένοις. τῶν προαιρετῶν μὲν οὖν εἶπεν, ὅτι γένοιτ᾽ ἂν ἐκ ταὐτομάτου τινὰ τοῖς ἔχουσι προαίρεσιν, οὐ τῶν προαιρετῶν. οἷον εἰ ἐσθίοντος ἐμπέσοι τι τῶν ἐσθιομένων εἰς τὴν ἀρτηρίαν. ἢ βαδίζων πλήξῃ τὸν πόδα. τῇ γὰρ φυσικῇ ὁρμῇ ἔξωθέν τι ἐκ ταὐτομάτου ἐπηκολούθησεν. ἢ πεσόντος αὐτόθεν ῥαγείη τὸ ἀπόστημα, καὶ θεραπευθείη. ταῦτα γὰρ τοῖς ἔχουσι μὲν προαίρεσιν συμβαίνει, οὐ προαιρετικῶς δὲ αὐτῶν ἐνεργείαις ἐπακολουθήσαντα. τοῖς δὲ ἔχουσι προαίρεσιν προσέθηκε, διότι λέγονται καὶ τὰ ἄψυχα πάσχειν τι ἀπὸ τύχης, ὅταν ὁ πράττων τι περὶ αὐτὰ ἀπὸ τύχης τι πράξῃ, ἀλλ᾽ οὐκ ἔχοντα προαίρεσιν πάσχει. διὸ οὐ κυρίως ἀπὸ τύχης τὰ τοιαῦτα λέγεται. ἀλλὰ τὰ οὕτως συμβαίνοντα αὐτοῖς τοῖς ἔχουσι προαίρεσιν, ταῦτα κυρίως ἀπὸ τύχης.

ΣΗΜΕΙΟΝ δὲ, τὸ μάτην ὅτι λέγεται, ὅταν μὴ γένηται τὸ ἕνεκα ἄλλου, ἐκείνου ἕνεκα. οἷον, τὸ βαδίσαι εἰ λαπάξεως ἕνεκά ἐστιν. εἰ δὲ μὴ ἐγένετο βαδίσαντι, μάτην ἔφαμεν βαδίσαι, καὶ ἡ βάδισις ματαία. ὡς τοῦτο ὂν τὸ μάτην, τὸ πεφυκὸς ἄλλου ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο, οὗ ἕνεκα ἦν, καὶ ἐπεφύκει. σημεῖόν φησιν ὅτι τὸ αὐτόματον τοιοῦτόν ἐστιν, οἷον εἰρήκαμεν, τὸ παρακολουθοῦν τοῖς ἕνεκά του, ὅταν μὴ αὐτοῦ ἑκάστου ἕνεκα γένηται, καὶ αὐτὴ ἡ τοῦ ὀνόματος ἐτυμολογία. παρῆκται γὰρ ἀπὸ τοῦ μάτην. σύγκειται γὰρ παρὰ τὸ αὐτὸ καὶ τὸ μάτην. μάτην δὲ ἐκεῖνα λέγονται εἶναι, ὡς οὐκ ἀπαντᾷ τὸ τέλος, οὗ ἕνεκα γίνεται. ὅταν γὰρ βαδίσῃ μέν τις ὑπὲρ τοῦ τὴν γαστέρα λαπάξαι, καὶ διαχωρῆσαι, τοῦτο δὲ μὴ συμβῇ, μάτην φαμὲν αὐτὸν βεβαδικέναι. εἰ τοίνυν τοῦτό ἐστι μάτην, τὸ πεφυκὸς μὲν ἄλλου ἕνεκα γίνεσθαι, ἀποτυγχάνον δὲ τοῦ τέλους, καλῶς ἄρα τὸ αὐτόματον παρὰ τὸ αὐτὸ μάτην εἶναι ἐσχημάτισται, λέγομεν ἐκ ταὐτομάτου γίνεσθαι τὸν λίθον ἐπιτήδειον πρὸς καθέδραν, ὡς δὴ τοῦ αὐτομάτου αἰτίου αὐτῷ τούτου γινομένου. ἐπεὶ οὖν ἡ ὧδὶ τὸ κάτω φορὰ τοῦ λίθου κατὰ συμβεβηκὸς αἰτία τοῦ τοιούτου σχήματος γέγονε, λέγεται αὐτὴ αὐτόματον, ὡς αὐτὴ μάτην γεγονυῖα ὡς πρὸς τὸ ἐκβὰν κατὰ συμβεβηκὸς τέλος. ἐπεὶ γὰρ ἄλλο μὲν ἦν τῆς ὧδὶ τὸ κάτω φορᾶς τὸ φυσικὸν τέλος, τὸ γενέσθαι ἐν τῇ οἰκείᾳ ὁλότητι, ἐπηκολούθηκε δὲ τῇ τοιαύτῃ ὁρμῇ ἕτερόν τι τέλος κατὰ συμβεβηκὸς, ἂν θεωρήσῃς τὴν φορὰν ὡς πρὸς τοῦτο τὸ τέλος, καὶ λάβῃς ὅτι ἔσται αὐτῆς τοῦτο τὸ τέλος, εἶτα μάθῃς ὅτι οὐ τοῦ τέλους τούτου ἕνεκεν ἐφέρετο, γνώσῃ ὅτι μάτην ἐκινεῖτο μὴ πρὸς τὸν σκοπὸν τοῦτον γινομένη, ὃν συνέβη αὐτῆς τέλος εἶναι. εἴτε οὖν ἐκβῇ, εἴτε μὴ ἐκβῇ τὸ φυσικὸν, ἢ προαιρετὸν τέλος, ἐπειδὴ συνέβη καὶ ἄλλο τέλος ἔχειν τὴν τοιαύτην κίνησιν, οὐ γίνεται δὲ διὰ τοῦτο, μάτην ἂν εἴη ὡς πρὸς τοῦτο γινομένη. οἷον εἰ τοῦ λαλεῖν τέλος εἴη τὸ σημαίνειν ἀλλήλοις τὰ ἡμέτερα βουλεύματα, λαλεῖ δέ τις ᾆσμα, καὶ μὴ πρὸς τοῦτο τὸ τέλος ὁρῶν, ὁ τοιοῦτος μάτην λαλεῖ. οὕτως οὖν ἐπειδὴ ἡ κίνησις ᾗ ἕπεται τὸ ἐκ ταὐτομάτου, ὅπερ ἐστὶν αὐτοῦ κατὰ συμβεβηκὸς τέλος, οὐ τούτου ἕνεκα τοῦ τέλους γίνεται, μάτην ἂν εἴη γινομένη, ὡς μὴ προθεμένη τοῦτο αὐτὸ, κἂν πρὸς ἄλλο μὴ εἴη μάτην. διαφέρει δὲ τὸ ἀπὸ ταὐτομάτου τοῦ μάτην, ᾗ καὶ τὸ τελικὸν τοῦ ποιητικοῦ, καθάπερ καὶ τὸ ἀπὸ τύχης τῆς τύχης. ὅλως γὰρ ὅταν τοιοῦτόν τι ἀποβῇ τέλος, ὅπερ ἔχει μὲν οἰκεῖα ποιητικὰ αἴτια, γίνεται δὲ μὴ τῶν ποιητικῶν αἰτίων προϋπαρξάντων, ἀλλ᾽ ἑτέρων τινῶν οἷς καὶ αὐτοῖς ἕτερον οἰκεῖον ἠκολούθει τέλος, τότε τὰ μὲν προϋπάρξαντα μάτην λέγεται γεγονέναι, ὅτι μὴ γέγονεν ἐξ αὐτῶν ὃ προέκειτο τέλος. τὰ δὲ ὧδὶ συμβάντα, ἐκ ταὐτομάτου ὅτι μὴ προϋπαρξάσης ἐγένετο τῆς οἰκείας ἀρχῆς. οἷον λίθος καταπεσὼν, ἐπάταξε τὸν παριόντα. ἐνταῦθα γὰρ τὸ μὲν πατάξαι τέλος, τὸ δὲ πεσεῖν ποιητικὸν αἴτιον

ἔφαμεν

ἐπεὶ δὲ εὐτυχία τύχη τίς· ἡ τύχη ἄρα πρᾶξίς τίς ἐστι. καὶ ἔστιν ἐν τῷ τρίτῳ σχήματι ὁ συλλογισμός, πᾶσα εὐτυχία τύχη· πᾶσα εὐτυχία πρᾶξίς τις· ἡ τύχη ἄρα πρᾶξίς τίς ἐστιν. εἰ τοίνυν ἡ τύχη πρᾶξίς ἐστιν, ἐφ' ὧν ἄρα μὴ ἔστι πρᾶξις, ἐπὶ τούτων οὐδὲ τύχη ἂν εἴη. καὶ αὐτὸς μὲν ὡς ἔμπροσθεν εἶπον, μέχρι τῆς πράξεως προήγαγε τὸν λόγον. εἰ δὲ ζητεῖς ἐπὶ τίνων ἡ πρᾶξις, φημὶ, ἐφ' ὧν καὶ προαίρεσις. εἰ τοίνυν πᾶσα τύχη πρᾶξίς ἐστιν, ἡ δὲ πρᾶξις ἐπὶ τούτων ἐστὶν, ἐφ' ὧν προαίρεσις, ἡ τύχη ἄρα ἐπὶ τούτων ἐστὶν, ἐφ' ὧν καὶ προαίρεσις. εἰ δὲ ἡ τύχη ἐπὶ τούτων ἐστὶν, ἐφ' ὧν καὶ ἡ προαίρεσις, ἐφ' ὧν ἄρα μὴ ἔστι προαίρεσις· ἐπὶ τούτων οὐδὲ τύχη ἐστίν. οὕτως οὖν δείξας ἐν τίσιν ἐστὶν ἡ τύχη, ὅτι ἐν οἷς πρᾶξις, καὶ ὅτι ἐν οἷς πρᾶξις οὐκ ἔστιν, ἐν τούτοις οὐδὲ τύχη, ἐκτίθεται λοιπὸν τὴν ἀποφατικὴν πρότασιν, καὶ φησί· διὰ τοῦτο οὔτε ἄψυχον οὐδὲν, οὔτε παιδίον, οὔτε θηρίον οὐδὲν ποιεῖ ἀπὸ τύχης. θηρίον ἀντὶ τοῦ ἀλόγου λαβὼν, διότι τὸ ἥμερον μάλιστα, καὶ κοινωνικὸν, τοῦ λόγου ἐστὶν ἴδιον· ὥστε τὸ ἐναντίον, τὸ ἄγριον φημὶ, τῆς ἀλογίας· ὅπερ διὰ τοῦ θηρίου ἐχαρακτήρισεν. εἰ τοίνυν μήτε ἄψυχον, μήτε ἄλογον, μήτε θηρίον ποιεῖται ἀπὸ τύχης, ἐπὶ τούτων δὲ αὐτῶν κατηγορεῖται τὸ αὐτόματον ὡς ἐφεξῆς δείξει, ἔοικεν ἄρα, τὸ αὐτόματον μὴ εἶναι ἀπὸ τύχης. Σημεῖον δὲ, ὅτι δοκεῖ ἤτοι ταυτὸ εἶναι τῇ εὐδαιμονίᾳ, ἢ ἐγγύς. σημεῖον ὅτι ἡ τύχη περὶ τὰ πρακτὰ, ὅτι ἡ εὐδαιμονία ἥτις ὁμολογουμένως εὐπραγία τίς ἐστιν, ἢ ταυτόν ἐστι τῇ εὐτυχίᾳ, ἢ ἐγγύς, τῆς εὐδαιμονίας· πρᾶξις δὲ ἡ εὐδαιμονία· καὶ ἡ εὐτυχία ἄρα πρᾶξις. ἡ δὲ εὐτυχία, τύχη τις· καὶ ἡ εὐτυχία ἄρα πρᾶξις. ἢ ταυτὸν δὲ φησιν, ἢ ἐγγὺς, ὅτι δοκεῖ ἡ εὐτυχία περὶ τὰ ἐκτὸς εἶναι. εἰ τοίνυν ἡ εὐτυχία περὶ τὰ ἐκτὸς, δοκεῖ δὲ τοῖς πολλοῖς καὶ ἡ εὐδαιμονία περὶ τὰ ἐκτὸς εἶναι, ταυτὸν ἄρα οὕτω τῇ εὐτυχίᾳ ἡ εὐδαιμονία. ἐπεὶ δὲ τῷ ὄντι ἡ εὐδαιμονία περὶ τὴν εὐπραγίαν ἐστὶ τῆς ψυχῆς, εἴ τις μὴ περὶ τὴν εὐπραγίαν μόνον τῆς ψυχῆς ὁρίζοιτο εἶναι τὴν εὐδαιμονίαν, ἀλλὰ καὶ περὶ τὴν εὐπραγίαν τῶν ἐκτὸς, ἐγγὺς δηλονότι ἡ εὐτυχία τῆς εὐδαιμονίας, καὶ οὐ ταυτόν. τῷ δὲ ὄντι ἡ κυρίως εὐτυχία ἂν εἴη, οὐχ ἡ περὶ τὴν ἔξωθεν ἔχουσα εὐπραγίαν ἁπλῶς, ἀλλ' ἡ περὶ τὴν τῆς ψυχῆς· ἥτις καὶ εἰς ταυτὸν ἔρχεται τῇ εὐδαιμονίᾳ.

» ΟΥ Δ' εὐτυχία οὐδὲ ἀτυχία ὑπάρχει τούτοις, εἰ μὴ καθ' ὁμοιότητα. ὥσπερ ἔφη Πρώταρχος, εὐτυ-
» χεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοὶ, ὅτι τιμῶνται· οἱ δὲ ὁμόζυγες αὐτῶν, καταπατοῦνται. τὸ δὲ πάσχειν
» ἀπὸ τύχης, ὑπάρξει πῶς καὶ τούτοις. ὅταν ὁ πράττων τι περὶ αὐτὰ, πράξῃ ἀπὸ τύχης. ἄλλως δὲ οὐκ ἔστι.

Οὐ λέγεταί φησιν ἐπὶ παιδίων, καὶ ἀψύχων, καὶ ἀλόγων εὐτυχία, εἰ μὴ καθ' ὁμοιότητά τινα καὶ ἀναλογίαν. τὸ δὲ ὥσπερ φησὶ Πρώταρχος, οὐ πρὸς τὸ, εἰ μὴ καθ' ὁμοιότητα· οὐδὲ γὰρ καθ' ὁμοιότητα ἔλεγε Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους, ἀλλ' ἁπλῶς εὐτυχεῖς. οὕτως οὖν ἀναγνωστέον, οὐδὲ ὥσπερ φησὶ Πρώταρχος, εὐτυχία ἢ δυστυχία ὑπάρχει τούτοις. εἶτα τὸ, εἰ μὴ καθ' ὁμοιότητα, αὐτοῦ ἐστιν [illegible] τὸν καὶ ἐπὶ ἀψύχων εὐτυχίαν εἶπεν, καὶ δυστυχίαν. Πρώταρχον δὲ ἤτοι τὸν ἐν Φιλήβῳ φησὶν, ἢ ἕτερόν τινα. Τὸ δὲ πάσχειν ἀπὸ τύχης ὑπάρχει, πῶς καὶ τούτοις, ὅταν ὁ πράττων τι περὶ αὐτὰ πράξῃ ἀπὸ τύχης. ἄλλως δὲ οὐκ ἔστι. δύναταί φησι, καὶ ἐπὶ ἀψύχων κατὰ ἀναλογίαν λέγεσθαι ἡ τύχη, οὐχ ὥσπερ ὁ Πρώταρχος ἔλεγεν· ὡς ὅταν ὁ πράττων τι περὶ τὰ ἄψυχα πράξῃ ἀπὸ τύχης, τότε κἀκεῖνα πεπονθέναι ἂν λέγοιντο ἀπὸ τύχης. οἷον ὡς ὅταν τις ῥίψας λίθον τοῦ πατάξαι τινὰ ἕνεκα, ἐκεῖνον μὲν μὴ πατάξῃ, τὸν δὲ λίθον ποιήσῃ τρίγωνον, μὴ τοῦτο βουληθεὶς ποιῆσαι. λέγεται γὰρ οὗτος ἀπὸ τύχης τοῦτο πεποιηκέναι, καὶ διὰ τὸν ἐνεργήσαντα, καὶ ὁ λίθος ἀπὸ τύχης τρίγωνος γενέσθαι. μόνον οὖν οὕτως φησὶ δυνατὸν ἐπὶ τοῦ ἀψύχου τὸ ἀπὸ τύχης λέγεσθαι. τί οὖν, οὐκ οἶδεν ἡ συνήθεια τὴν εὐτυχίαν ἐπὶ παιδίων. ὅταν γοῦν ἄρτι γεννηθέντι βρέφει, τις πλοῦτον τῶν μὴ προσηκόντων κατὰ γένος τὴν οὐσίαν καταλίπῃ, λέγομεν τὸ παιδίον τοῦτο εὐτυχὲς καὶ οὐδέπου ἐκ ταὐτομάτου φήσαιμεν ἂν τὸ κληρονομῆσαι, γεγονέναι τῷ παιδίῳ. οὐδὲ γὰρ ὁρμῇ τινι φυσικῇ τοῦτο παρηκολούθησεν, οὔτε τοῦ παιδίου, οὔτε τοῦ τὰ χρήματα καταλελοιπότος.

» ΤΟ δὲ αὐτόματον καὶ τοῖς ἄλλοις ζώοις καὶ πολλοῖς τῶν ἀψύχων· οἷον, ὁ ἵππος αὐτόματος φα-
» μὲν ἦλθεν· ὅτι ἐσώθη μὲν ἐλθὼν, οὐ τοῦ σωθῆναι δὲ ἕνεκα ἦλθεν. καὶ ὁ τρίπους αὐτόματος κατέπεσεν. ἔστη
» μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκα· ἀλλ' οὐ τοῦ καθῆσθαι ἕνεκα κατέπεσεν.

Ἐνταῦθα τὴν καταφατικὴν τέθεικε πρότασιν. ὅτι τὸ αὐτόματον, καὶ ἀψύχοις, καὶ παισὶ, καὶ τοῖς ἀλόγοις ζώοις ὑπάρχει. καὶ παραδείγματι πείθει ὅτι φαμὲν τὸν ἵππον ἐκ ταὐτομάτου σωθῆναι τὸν φυγόντα ἐκ τῆς παρατάξεως, ἢ διψῶντα, ἢ ἑτέρας ὑπό τινος φυσικῆς ὁρμῆς κινηθέντα. οἷον ὁ ἵππος, αὐτόματος φαμὲν ἦλθεν, ὅτι ἐσώθη μὲν ἐλθὼν, καὶ τοῦ σωθῆναι δὲ ἕνεκεν ἦλθε. δεῖ ὑπερβάτως ἀναγνῶναι τὴν λέξιν. ὁ ἵππος ἐλθὼν αὐτόματος, ἐσώθη. ὅτι ἦλθεν μὲν, οὐ τοῦ σωθῆναι δὲ ἕνεκεν ἦλθεν. ἦλθε μὲν γὰρ δι' ἄλλο τι ἢ τοῦ ποιεῖν ἕνεκα, ἢ ἄλλου τινός. συνέβη δὲ ἐλθόντα σωθῆναι. καὶ ὁ τρίπους αὐτομάτως κατέπεσεν. ἔστη μὲν γὰρ τοῦ καθῆσθαι ἕνεκεν· ἀλλ' οὐ τοῦ καθῆσθαι ἕνεκεν κατέπεσεν. εἰ κρεμάμενος ὁ τρίπους πέσοι, καὶ πεσὼν σχοίη τοιαύτην θέσιν, ὥστε εἶναι πρὸς καθέδραν τὴν φύσιν ἐπιτηδείαν, ἐκ ταὐτομάτου λέγεται τὴν τοιαύτην θέσιν ἔχειν. ἐπειδὴ ἔπεσε μὲν καὶ ἠνέχθη τῇ φυσικῇ ὁρμῇ, ἔπεσε δὲ οὐκ ἐπὶ τούτῳ, ὥστε καθέδραν γενέσθαι. εἰ γὰρ λίθος πέσοι κυβικὸν ἔχων τὸ σχῆμα, οὐκ αὐτομάτως λέγοιτο ἂν κεῖσθαι πρὸς τὸ καθέζεσθαι. ἐπιτήδειος γὰρ ἦν ἐν τῇ φύσει αὐτοῦ, τὸ πάντως εἰ πίπτοι, τοῦτον κατὰ πεσεῖν τὸν τρόπον. διὰ τοῦτο οὐδὲ τὸ πῦρ αὐτομάτως λέγεται ἐπὶ τὰ ἄνω φέρεσθαι. φύσις γὰρ αὕτη τοῦ πυρός.

πλέον ἢ τὴν κατὰ τύχην φέρουσι τὸ αὐτόματον. φαμὲν γὰρ ὅτι ἐκ ταυτομάτου συνέτυχον τῷ φίλῳ. ἀλλὰ καὶ πλεῖον ἐκ ταυτομάτου, τὸ κατὰ τύχην λέγομεν. κατὰ τύχην γὰρ σωθῆναι τὸν ἵππον ἐκ τῆς φάλαγγος ἕνεκα τοῦ πῶς φυγόντα, καὶ ὅτι ἔτυχεν πεσόντα τὸν λίθον εἰς πλησίον καθέδραν γενέσθαι. οὐδὲν πραγματικὸν χρηστικῶς ὀνομάτων πλέον πολὺ διαστέλλεσθαι, τῆς σημασίας τῶν πραγμάτων μηδὲν βλαπτομένης. μετὰ ταῦτα διακρίνει τὸ ἰδικὸν αὐτόματον τοῦ ἀπὸ τύχης, λέγων ἐκεῖνα ἅπερ πολλάκις εἰρήκαμεν, ὅτι ἡ μὲν τύχη τοῖς κατὰ προαίρεσιν γινομένοις ἀκολουθεῖ. τὸ δὲ ἰδίως λεγόμενον, τοῖς κατὰ φύσιν. εἶτα διακρίνας αὐτὰ ἀπ' ἀλλήλων, ζητεῖ τὸ ἔτι λειπόμενον πρόβλημα, ἐν ποίοις τῶν αἰτίων αὐτὰ κατατακτέον. ὅτι ἐν τοῖς ποιητικοῖς. εἰ γὰρ ἡ τῶν ἀπὸ φύσεως, ἢ τῶν ἀπὸ διανοίας κατὰ συμβεβηκὸς γινομένων αἴτιον ἡ τύχη καὶ τὸ αὐτόματον, διάνοια δὲ καὶ φύσις ποιητικὴ αἰτία, καὶ ἡ τύχη ἄρα καὶ τὸ αὐτόματον τῶν ποιητικῶν ἂν εἴη αἰτίων. ἔστι μὲν οὖν ἄμφω αἰτίαι καθάπερ εἴρηται, κατὰ συμβεβηκός, ἡ τύχη καὶ τὸ αὐτόματον. κοινὸν φησὶ τοῦτο καὶ τῷ αὐτομάτῳ ὑπάρχει, τὸ εἶναι αἰτίας κατὰ συμβεβηκὸς τῶν ἐπ' ἔλαττον γινομένων οὐ πάντων, ἀλλ' ὅσα ἂν γένοιτο ἕνεκά του. ἔστι γὰρ τινὰ τῶν ἐπ' ἔλαττον καὶ μάτην γινόμενα. ὡς εἴ τις κινοίη τὴν θρίκα τοῦ γενείου μὴ συνεχῶς. τοῦτο γὰρ οὐδ' ἕνεκά του ἐστί. μάτην γάρ. οὔτε τοῖς ἕνεκά του γινομένοις παρακολουθεῖ. καὶ τούτων ὅσα ἂν γένοιτο ἕνεκά του. ἀντὶ τοῦ ὅσα ἂν παρακολουθήσειε τοῖς ἕνεκά του γινομένοις. οὐ γὰρ τὰ ἐκ ταυτομάτου γινόμενα, ἕνεκά του γίνεται. οὐδὲ γὰρ ἡ κομιδὴ τοῦ ἀργυρίου ἕνεκά του ἐστίν. ἀλλ' εἰ ἄρα, οὗ ἕνεκά ἐστι, καὶ τοῦτο κατὰ συμβεβηκός. τῇ γὰρ προόδῳ ἕνεκα λουτροῦ γινομένῃ, ἐπηκολούθησε τοῦτο. ὥστε ἡ κομιδὴ κατὰ συμβεβηκὸς τέλος καὶ οὗ ἕνεκα τῆς προόδου, καὶ ἡ πρόοδος κατὰ συμβεβηκὸς ἕνεκα τῆς κομιδῆς ἥτις καὶ καλεῖται αὐτομάτως, καὶ κατὰ συμβεβηκὸς αἴτιον τῆς κομιδῆς.

» ΔΙΑΦΕΡΕΙ δὲ, ὅτι τὸ μὲν αὐτόματον, ἐπὶ πλεῖόν ἐστι. τὸ μὲν γὰρ ἀπὸ τύχης, ἀπὸ ταυτομάτου. τοῦτο δὲ οὐ πᾶν ἀπὸ τύχης. ἡ μὲν γὰρ τύχη καὶ τὸ ἀπὸ τύχης ἐστὶν ὅσοις καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειεν, καὶ ὅλως πρᾶξις. διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι τὴν τύχην.

Εἰπὼν κατὰ τί κοινωνοῦσι, λέγει καὶ τί διαφέρουσι. διαφορὰν δὲ αὐτῶν λέγει, οὐ τῆς τύχης, καὶ τοῦ ἰδίως αὐτομάτου λεγομένου, τοῦ ἀντιδιαστελλομένου τῇ τύχῃ. τοῦτο γὰρ ἐφεξῆς ποιεῖ. ἀλλὰ τοῦ κοινοῦ αὐτομάτου. ὥσπερ ἂν εἰ καὶ ζώου, καὶ ἀνθρώπου τὴν διαφορὰν τις ἔλεγεν, ὅτι διαφέρει τὸ ζῶον τοῦ ἀνθρώπου, τῷ ἐπὶ πλειόνων κατηγορεῖσθαι τὸ ζῶον. τοῦτο οὖν φησὶ καὶ νῦν, ὅτι ταύτῃ διαφέρει τῆς τύχης τὸ αὐτόματον, ὅτι ἐφ' ὧν μὲν ἡ τύχη κατηγορεῖται, ἐπὶ τούτων καὶ τὸ αὐτόματον. ἐφ' ὧν δὲ τὸ αὐτόματον, οὐ πάντως τὸ ἀπὸ τύχης. ὥστε δῆλον ὅτι ἐπὶ πλέον τὸ αὐτόματον τῆς τύχης. ὅτι μὲν οὖν ἐφ' ὧν ἡ τύχη, ἐπὶ τούτων καὶ τὸ αὐτόματον λαμβάνει ὡμολογημένον ἐκ τῆς χρήσεως. χρήσεως γὰρ ἤρτηται ἡ τούτων ἀπόδειξις, οὐ λόγου. ὅτι δὲ ἐφ' ὧν τὸ αὐτόματον, οὐ πάντως καὶ ἡ τύχη, κατασκευάζει διὰ συλλογισμοῦ, ὃν ἤδη προεξεθέμεθα. ἔτι δὲ οὕτως. ἐπὶ παιδίων, καὶ ἀψύχων, καὶ ἀλόγων τὸ αὐτόματον θεωρεῖται. ἐπὶ παιδίων, καὶ ἀλόγων, καὶ ἀψύχων τύχη οὐ θεωρεῖται. τὸ ἄρα αὐτόματον τύχη οὐκ ἔστι. τούτων οὖν τῶν δύο προτάσεων, τὴν μὲν κατηγορικὴν, ἐσχάτην τίθησι, καὶ πιστοῦται ἐκ τῆς ἐπαγωγῆς, ὡς ὑπομνήσομεν ἐν τῷ τόπῳ. τὴν δὲ ἀποφατικὴν, πρότερον κατασκευάζει, εἶτα ἐκτίθεται. κατασκευάσας γὰρ πρότερον, ἐπὶ ποίων ἂν ἡ τύχη κατηγοροῖτο, τῶν ὁποίαν φύσιν ἐχόντων, τότε λοιπὸν ἐφαρμόζει τὰ εἰρημένα, ἐπὶ παιδίων, καὶ ἀψύχων, καὶ ἀλόγων, ὅτι μὴ ὑπάρχει αὐτοῖς τύχη, διότι μηδὲ ταῦτα περὶ ἃ καὶ ἡ τύχη θεωρεῖται. ἡ μὲν γὰρ τύχη, καὶ τὸ ἀπὸ τύχης, ἔστιν ἐν οἷς καὶ τὸ εὐτυχῆσαι ἂν ὑπάρξειε, καὶ ὅλως πρᾶξις. διὸ καὶ ἀνάγκη περὶ τὰ πρακτὰ εἶναι τὴν τύχην, εἰ ἡ τύχη διῄρηται εἰς εὐτυχίαν, καὶ δυστυχίαν. ἐν οἷς ἄρα μήτε εὐτυχίαν δυνατὸν ὑπάρξαι, μήτε δυστυχίαν, ἐν τούτοις δῆλον ὅτι οὐδὲ τύχην. θάτερον δὲ τῶν ἐναντίων αὐτὸς εἶπε μόνον, τὴν εὐτυχίαν, ὡς προδήλου ὄντος ὅτι ἐφ' ὧν πέφυκε θάτερον τῶν ἐναντίων εἶναι, ἐπὶ τούτων καὶ τὸ λοιπόν. ὥστε ἐφ' ὧν εὐτυχίαν ἀδύνατον ὑπάρξαι, ἐπὶ τούτων καὶ δυστυχίαν ἀδύνατον. ὅτι μὲν οὖν ἐφ' ὧν εὐτυχία, ἐπὶ τούτων καὶ τύχη, πρόδηλον. μαθεῖν δὲ λείπεται τὸ ἐπὶ τίνων ἡ εὐτυχία. φησὶν οὖν ὅτι ἐπὶ τούτων εὐτυχία λέγεται, ἐφ' ὧν καὶ ἡ πρᾶξις. εὐπραγία γάρ τίς ἐστιν ἡ εὐτυχία. ὅτι δὲ ἐφ' ὧν ἡ εὐτυχία, ἐπὶ τούτων καὶ πρᾶξις, δείκνυσι. δείκνυσι δὲ διὰ μέσης εὐδαιμονίας. ἐπάγει οὖν οὕτως.

» ΣΗΜΕΙΟΝ δὲ ὅτι δοκεῖ ἤτοι ταυτὸν εἶναι τῇ εὐδαιμονίᾳ ἡ εὐτυχία, ἢ ἐγγύς. ἡ δὲ εὐδαιμονία,
» πρᾶξίς τις. εὐπραξία γάρ. ὥσθ' ὁπόσοις μὴ ἐνδέχεται πρᾶξαι, οὐδὲ τὸ ἀπὸ τύχης τι ποιῆσαι. καὶ διὰ τοῦτο,
» οὔτε ἄψυχον οὐδὲν, οὔτε θηρίον, οὔτε παιδίον οὐδὲν ποιεῖ ἀπὸ τύχης, ὅτι οὐκ ἔχει προαίρεσιν.

Σημεῖόν φησι τοῦ τὴν τύχην περὶ τὰ πρακτὰ εἶναι, ὡς δὴ πράξεώς τινος οὔσης τῆς τύχης, καὶ τῆς μὲν εὐτυχίας εὐπραγίας, τῆς δὲ δυστυχίας κακοπραγίας, ὅτι δοκεῖ ἡ εὐτυχία ἢ μηδὲν διαφέρειν τῆς εὐδαιμονίας, ἢ ἐγγὺς αὐτῆς εἶναι. ἡ δὲ εὐδαιμονία φησὶ πρᾶξίς τίς ἐστιν. εἶτα πόθεν ὅτι πρᾶξις, κατασκευάζει διὰ τῆς εὐπραξίας. ἡ γὰρ εὐδαιμονία φησὶν, εὐπραξία τίς ἐστιν. εἶτα τὸ ὅτι πρᾶξις, κατασκευάζει διὰ τῆς εὐπραξίας. ἡ γὰρ εὐδαιμονία φησὶν, εὐπραξία τίς ἐστιν. ἡ δὲ εὐπραξία πρᾶξίς τις. ἡ εὐδαιμονία ἄρα πρᾶξίς τις. εἰ τοίνυν ἡ μὲν εὐτυχία ταυτὸν τῇ εὐδαιμονίᾳ, ἡ δὲ εὐδαιμονία, πρᾶξίς τις, καὶ ἡ εὐτυχία ἄρα πρᾶξίς τις.

ἐστι δὴ

καλεῖ, καὶ δυστυχῆ ὁμοίως τὸν παρ' ὀλίγον μεγάλων τυχόντα ἀγαθῶν. ὡς γὰρ ἤδη τυχόντα τῶν ἀγαθῶν θεωροῦντα, καὶ μὴ λογιζομένη τὸ μικρὸν, εἶτα τούτων ἀποτυχόντα δυστυχῆ καλεῖ. καὶ γὰρ εὐτυχεῖς μᾶλλον εἰώθαμεν λέγειν, οὐ τοὺς ἐκ προγόνων πλούτους καὶ εὐδαιμονίας, ἀλλὰ τοὺς ἐξ ἀφανῶν, καὶ ἀτυχῶν ἐξαίφνης εἰς εὐδαιμονίαν μεταβαίνοντας. καὶ δυστυχεῖς ὁμοίως μάλιστα τοὺς ἐξ εὐδαιμονίας καταπίπτοντας.

» ΕΤΙ ἀβέβαιον ἡ εὐτυχία, εὐλόγως. ἡ γὰρ τύχη, ἀβέβαιος. οὔτε γὰρ ἀεὶ, οὔθ' ὡς ἐπὶ τὸ πολὺ οἷόν
» τε εἶναι τῶν ἀπὸ τύχης οὐδέν.

Σ Τί κατὰ λόγον τοῦ ὁρισμοῦ τῆς τύχης ἀβέβαιος λέγεται ἡ εὐτυχία. τὸ γὰρ βέβαιον, ἢ ἐν τοῖς ἀναγκαίοις, ἢ ἐν τοῖς ὡς ἐπὶ τὸ πολύ ἐστιν. ἡ δὲ τύχη τῶν ἐπ' ἔλαττον. οὐκ ἄρα ἀβέβαιος ἡ τύχη. διὰ τοῦτο καὶ ἡ εὐτυχία ἀβέβαιος.

» ΕΣΤΙ μὲν οὖν ἄμφω αἴτια καθάπερ εἴρηται κατὰ συμβεβηκὸς, καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, ἐν
» τοῖς ἐνδεχομένοις γίνεσθαι, μὴ ἁπλῶς, μηδὲ ὡς ἐπὶ τὸ πολύ. καὶ τούτων ὅσα ἂν γένοιτο ἐν τοῖς ἕνεκά του.

Δ Δείξας καὶ ὅτι ἔστιν ἡ τύχη, καὶ τὸ αὐτόματον, καὶ τί ἐστι, καὶ ἐφαρμόσας τῷ ὁρισμῷ τῷ ἀποδιδομένῳ τῆς τύχης τὰ ἐκ τῆς κοινῆς ἐννοίας ὑπάρχειν αὐτῇ δοκοῦντα, μέτεισιν ἐπὶ τὰ λοιπὰ τῶν προβλημάτων. ταῦτα δ' ἦν, τί τε διαφέρουσιν ἡ τύχη, καὶ τὸ αὐτόματον ἀλλήλων, καὶ ἐν ποίῳ τρόπῳ τῶν αἰτιῶν ἀνάγονται. πρὸ τούτων δὲ περὶ τοῦ κοινοῦ αὐτομάτου διαλέγεται, καὶ δείκνυσιν ὅτι ἐπὶ πλέον τῆς τύχης ἐστὶ, συλλογισμῷ χρώμενος ἐν δευτέρῳ σχήματι τοιούτῳ. ἐπὶ παιδίων καὶ ἀψύχων, καὶ ἀλόγων τὸ αὐτόματον ὑπάρχει. ἐπὶ παιδίων, καὶ ἀψύχων, καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει. τὸ ἄρα αὐτόματον τύχη οὐκ ἔστιν. ὁ μὲν οὖν συλλογισμὸς, οὗτος. κατασκευάζει δὲ ἀμφοτέρας τὰς προτάσεις ὁ Ἀριστοτέλης. τὴν μὲν καταφατικὴν, ἐκ τῆς ἐπαγωγῆς. λέγομεν γὰρ, αὐτομάτως ἐσώθη ὁ ἵππος, ὅτι κατέβαλε τὸν δεσπότην, καὶ ἔφυγε διψήσας ἐκ τῆς φάλαγγος, συνέβη δὲ συμβολῆς γενομένης τὸν δεσπότην τελευτῆσαι. λέγεται οὖν ὁ ἵππος ἐκ ταὐτομάτου σωθῆναι. καὶ τὰ παιδία δὲ ἐκ ταὐτομάτου παθεῖν τι κατὰ τὸν αὐτὸν τρόπον λέγοι τις αὐτοῦ ὅσον φέρε, ἀποπλανηθέντα τῶν φορέων, μηδενὸς ἄγοντος. εἶτα δὲ ἐπανελθεῖν, οὐ γινώσκοντα ποῦ φέρεται. λέγεται γὰρ ἐκ ταὐτομάτου ἐπανελθεῖν. οὕτως καὶ ἐπὶ πλείων, ὅταν μὴ ἐφιστάνοντος τοῦ λογισμοῦ γίνηται κίνησις, αὐτομάτως φαμὲν κινεῖσθαι τοὺς πόδας. αὐτομάτοις δὲ πόδεσσι θοῶς ἐπεβήσατ' ἀπήνης. τὴν δὲ ἀποφατικὴν κατασκευάζει, διὰ συλλογισμοῦ ἐν δευτέρῳ σχήματι, λαμβάνων μέσον ὅρον τὴν εὐτυχίαν. ἐπὶ παίδων, καὶ ἀψύχων, καὶ ἀλόγων εὐτυχία οὐχ ὑπάρχει. ἐφ' ὧν τύχη ὑπάρχει, καὶ εὐτυχία ὑπάρχει. ἐπὶ παίδων ἄρα, καὶ ἀψύχων, καὶ ἀλόγων τύχη οὐχ ὑπάρχει. πόθεν δὲ ὅτι εὐτυχία οὐδενὶ τῶν παίδων ὑπάρχει, καὶ τῶν ἀλόγων, καὶ ἀψύχων, δείκνυσι πάλιν τοῦτο διὰ μέσης τῆς εὐδαιμονίας, ἐν δευτέρῳ σχήματι. παισὶ καὶ ἀψύχοις καὶ ἀλόγοις εὐδαιμονία οὐχ ὑπάρχει. οἷς ὑπάρχει εὐτυχία, καὶ εὐδαιμονία ὑπάρχει. παισὶν ἄρα καὶ ἀλόγοις καὶ ἀψύχοις, εὐδαιμονία οὐχ ὑπάρχει. πόθεν δὲ ὅτι παισὶ καὶ ἀλόγοις καὶ ἀψύχοις εὐδαιμονία οὐχ ὑπάρχει, δείκνυσι διὰ μέσης τῆς εὐπραξίας, ἐν δευτέρῳ πάλιν. ἐπὶ παίδων καὶ ἀψύχων, καὶ ἀλόγων εὐπραξία οὐχ ὑπάρχει. ἐφ' ὧν εὐπραξία, καὶ εὐδαιμονία ὑπάρχει. ἐπὶ παίδων ἄρα καὶ ἀψύχων, καὶ ἀλόγων εὐδαιμονία οὐχ ὑπάρχει. πόθεν δὲ ὅτι εὐπραξία οὐχ ὑπάρχει. δείκνυσι τῷ αὐτῷ σχήματι διὰ μέσης τῆς πράξεως. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, πρᾶξις οὐχ ὑπάρχει. ἐφ' ὧν εὐπραξία καὶ δυσπραγία ὑπάρχει, πρᾶξις ὑπάρχει. ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων, οὔτε εὐπραγία, οὔτε δυσπραγία ὑπάρχει. δῆλον δὲ ὅτι ἀκριβείας ἕνεκεν, καὶ ἐπὶ τῆς εὐτυχίας καὶ εὐδαιμονίας, τὰ ἀντικείμενα δεῖ λαβεῖν. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων εὐτυχία καὶ δυστυχία οὐχ ὑπάρχει. οἷς τύχη ὑπάρχει, εὐτυχία ἢ δυστυχία ὑπάρχει. ὁμοίως καὶ ἐπὶ τῆς εὐδαιμονίας. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, εὐδαιμονία, ἢ κακοδαιμονία οὐχ ὑπάρχει. οἷς εὐτυχία ἢ δυστυχία ὑπάρχει, εὐδαιμονία ἢ κακοδαιμονία ὑπάρχει. ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων, εὐτυχία ἢ δυστυχία οὐχ ὑπάρχει. ὁμοίως καὶ ἐπὶ εὐπραγίας. καὶ ὁ μὲν Ἀριστοτέλης μέχρι τῆς πράξεως ἔστη, λαβὼν ὁμολογούμενον, ὅτι ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων πρᾶξις οὐχ ὑπάρχει. κατασκευάσεις δὲ καὶ τοῦτο διὰ μέσης προαιρέσεως. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, προαίρεσις οὐχ ὑπάρχει. οὐδὲν γὰρ αὐτῶν αἱρεῖται τόδε τι πρὸ τοῦδε. ἐφ' ὧν πρᾶξις ὑπάρχει, καὶ προαίρεσις ὑπάρχει. ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων, πρᾶξις οὐχ ὑπάρχει. συνθήσεις οὖν τὸν ὅλον συλλογισμὸν οὕτως. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων προαίρεσις οὐχ ὑπάρχει. ἐφ' ὧν προαίρεσις οὐχ ὑπάρχει, οὐδὲ πρᾶξις. ἐφ' ὧν πρᾶξις οὐκ ἔστιν, οὐδὲ εὐπραξία. ἐφ' ὧν εὐπραγία οὐκ ἔστιν, οὐδὲ εὐδαιμονία. ἐφ' ὧν εὐτυχία οὐκ ἔστιν, οὐδὲ εὐδαιμονία. ἐφ' ὧν εὐτυχία οὐκ ἔστιν, οὐδὲ τύχη. ἐπὶ παίδων ἄρα καὶ ἀψύχων καὶ ἀλόγων, τύχη οὐχ ὑπάρχει. ἐπὶ παίδων καὶ ἀψύχων καὶ ἀλόγων, τὸ αὐτόματον ὑπάρχει, ὡς ἐδείξαμεν διὰ τῆς ἐπαγωγῆς. τὸ ἄρα αὐτόματον, τύχη οὐκ ἔστιν. ὅπερ ἐξ ἀρχῆς προέκειτο δεῖξαι. λέγεται δέ φησι καὶ ἐπὶ τῶν τυχαίων τὸ αὐτόματον. τοῦτο γὰρ λοιπὸν ἐκ τῆς χρήσεως λαμβάνει, ὅτι λέγονται καὶ τὰ ἀπὸ τύχης ἐκβαίνοντα ἐκ ταὐτομάτου γίνεσθαι. ἐπὶ πλέον ἄρα τῆς τύχης τὸ αὐτόματον. εἰ δέ τις ἀπόδειξιν ζητοίη τοῦ ὅτι καὶ τὰ τυχαῖα λέγονται ἐκ ταὐτομάτου, ἴστω μὴ περὶ πράγματος σημασίας, ἀλλὰ περὶ χρήσεως αὐτὸν ζητεῖν ἀπόδειξιν. χρήσεως δὲ ἀπόδειξις οὐδεμία ἄλλη, ἢ ἡ τῶν αὐτῶν συνήθεια. πλὴν φαίνεται ἡ χρῆσις οὐ μόνον

τος κατὰ κυρίαν ἕνεκα λεγόμενα.

» ΩΣ δ' ἁπλῶς, οὐδενός. οἷον, οἰκίας οἰκοδόμος μὲν αἴτιος, κατὰ συμβεβηκὸς δὲ αὐλητής. καὶ τοῦ,
» ἐλθόντα κομίσασθαι τὸ ἀργύριον μὴ τούτου ἕνεκα ἐλθόντα, ἄπειρα τὸ πλῆθος. καὶ γὰρ ἰδεῖν τινὰ βου-
» λόμενος, καὶ διώκων, καὶ θεασόμενος, καὶ φεύγων.

Κατά τι μὲν φησιν αἰτία τινῶν ἐστὶν ἡ τύχη, κατά τι δὲ οὐδενός. ἁπλῶς μὲν γὰρ τούτων ὧν ἐστὶ κυρίως καὶ καθ' αὑτὸ, οὐδενός ἐστιν αἰτία, κατὰ συμβεβηκὸς δὲ τῶν ἐπ' ἔλαττον γινομένων αἰτία ἐστί.

» ΚΑΙ τὸ εὐχέ τι φάναι παράλογον τὴν τύχην, ὀρθῶς. ὁ γὰρ λόγος, ἢ τῶν ἀεὶ ὄντων, ἢ τῶν ὡς ἐπὶ τὸ
» πολύ. ἡ δὲ τύχη ἐν τοῖς γινομένοις παρὰ ταῦτα. ὥστ' ἐπειδὴ ἀόριστα τὰ οὕτως αἴτια, καὶ ἡ τύχη ἀόριστο
» στον. ὅμως δ' ἐπ' ἐνίων ἀπορήσειεν αὐτῆς.

Παρὰ ταῦτα τί χρὴ τὰ ἀναγκαῖα καὶ τὰ ὡς ἐπὶ τὸ πολύ. ταῦτα δέ ἐστιν ἐπ' ἔλαττον. ἐπεὶ οὖν τὰ αἴτια τῶν ἐπ' ἔλαττον γινομένων ἀόριστα, καὶ ἡ τύχη ἀόριστος. ὅμως δ' ἐπ' ἐνίων ἀπορήσειεν αὐτῆς.

» ΑΡ' οὖν τὰ τυχόντα αἴτια γένοιτο ἂν τῆς τύχης.

Ὁ ζητεῖ διὰ τούτων, τοῦτό ἐστιν. ἐπειδὴ ἡ τύχη τῶν κατὰ συμβεβηκός ἐστιν αἰτίων, ἐλέγομεν δὲ εἶναι καὶ ἐν τοῖς κατὰ συμβεβηκὸς αἰτίοις τὰ προσεχέστερα καὶ πορρώτερα, ἆρα ὁμοίως ἅπαντά ἐστιν αἴτια τοῦ ἀποτελέσματος. οἷόν τι λέγω, προῆλθέ τις εἰς ἀγοράν. εἶτα πρὶν εἰς τὴν ἀγορὰν ἐμβαλεῖν, ὑπαντήσας τινὶ συνέτυχε, καὶ προσδιέτριψεν ἐν τῇ συντυχίᾳ χρόνον. εἶτα μετὰ τοῦτο ἐλθὼν εἰς τὴν ἀγορὰν περιέτυχε τῷ ἔχοντι τὸ ἀργύριον καὶ ἀπείληφεν. ἐπεὶ οὖν ἐστι κατὰ συμβεβηκὸς τὸ περιτυχεῖν τῷ χρεωστοῦντι, καὶ αὐτὴ ἡ πρόοδος, καὶ ἡ μεταξὺ συντυχία. εἰ γὰρ μὴ προσδιέτριψε, θᾶττον ἐμβαλὼν εἰς τὴν ἀγορὰν, ἴσως οὐ περιέτυχεν ἂν τῷ χρεωστοῦντι. καὶ αὐτὸ τὸ ἐμβαλεῖν εἰς τὴν ἀγοράν. ἔστι δὲ προσεχὲς μὲν τὸ εἰς τὴν ἀγορὰν ἐμβαλεῖν. μέσον δὲ τὸ περιτυχεῖν τῷ φίλῳ. πορρωτέρω δὲ ἡ πρόοδος αὐτή. ἆρ' ὁμοίως ὁποιοῦν τούτων αἴτιον εἶναι φαμέν, ὡς μὲν οὖν πρὸς τὸ ἀπὸ τύχης, οὐδὲν διαφέρει τὸ προσεχὲς εἰπεῖν, ἢ πόρρω. ὁμοίως γὰρ ταῦτα πάντα κατὰ τύχην αἴτια. ὡς δὲ πρὸς ἔκβασιν, διαφέρει πλεῖστον. αἰτιώτερον γὰρ τῆς ἐκβάσεως τὸ προσεχέστερον. τοῦ γὰρ ἀπολαβεῖν τὸ ἀργύριον ἔστι μὲν καὶ ἡ πρόοδος αὐτὴ αἰτία κατὰ συμβεβηκός. εἰ γὰρ μὴ προῆλθεν, οὐκ ἂν περιτυχὼν ἔλαβεν. μᾶλλον δ' αἰτιώτερον ἡ πρὸς τὸν φίλον ἐν τῇ μεταξὺ συντυχία. εἰ γὰρ μὴ συνέτυχεν, θᾶττον ἀπελθὼν οὐκ ἂν εὗρε. καὶ ἔτι τούτων αἰτιώτερος ἡ εἰς τὴν ἀγορὰν ἄφιξις. ἀπορητικῶς οὖν φησιν ἐπὶ τούτων, εἰ δεῖ τὰ τυχόντα ὡς αἴτια ἀποδιδόναι. τύχην δὲ τὸ ἀπὸ τῆς τύχης ἀποβὰν ἀποτέλεσμα ἐκάλεσεν.

» ΟΙΟΝ ὑγιείας, ἢ τὸ πνεῦμα, ἢ ἡ εἵλησις, ἀλλ' οὐ τὸ ἀποκεκάρθαι.

Ἔστι γὰρ προσεχέστερον μὲν τῆς ὑγιείας ἐν τούτοις, ἢ τὸ πνεῦμα, ἢ εἵλησις. τουτέστιν ἡ τοῦ ἡλίου θερμασία. πορρωτέρω δὲ τὸ ἀποκείρασθαι. ἀσθενῶν γάρ τις ἀπεκάρη, οὐ τοῦ ὑγιάναι ἕνεκεν, ἀλλὰ τοῦ ἀποθέσθαι τὴν κόμην. εἶτα πνεύματος πνεύσαντος, ἢ ὑπὸ ἡλίου ἐθερμάνθη τὴν κεφαλὴν, οὐ τοῦ ὑγιάναι ἕνεκεν, ἀλλὰ προελθὼν τυχὸν ἐπί τινα ἄλλην χρείαν, ὑπὸ τῆς θέρμης δὲ τοῦ ἡλίου, ἢ τοῦ πνεύματος ἀραιωθείσης τῆς κεφαλῆς διεφορήθη, καὶ ὑγίανε, μηδὲν τούτων διὰ τὴν ὑγίειαν ποιήσας. ἔστιν οὖν προσεχέστερον τῇ ὑγιείᾳ ἡ εἱληθέρησις οὐ τὸ ἀποκείρασθαι. ὡς μὲν οὖν πρὸς τὴν ἔκβασιν τὸ προσεχὲς αἰτιώτερον, ὡς δὲ πρὸς τὸ ἀπὸ τύχης ἁπλῶς, οὐδὲν διοίσει τὸ προσεχὲς, ἢ πόρρω εἰπεῖν.

» ἜΣΤΙ γὰρ ἄλλα ἄλλων ἐγγύτερα τῶν κατὰ συμβεβηκὸς αἰτίων.

Ἡ ἐπίλυσις τῆς ἀπορίας. ὡς ἂν εἰ ἔλεγεν, ἐπειδὴ τῶν κατὰ συμβεβηκὸς αἰτίων, ἄλλα ἄλλων εἰσὶν ἐγγύτερα τοῦ αἰτιατοῦ. ὡς μὲν πρὸς τὸ κατὰ συμβεβηκὸς αἴτια εἶναι, οὐδὲν διαφέρει, τὸ ἐγγυτέρω τοῦ πορρωτέρω. ὡς δὲ πρὸς τὴν ἔκβασιν τοῦ πράγματος, τὸ προσεχέστερον αἰτιώτερον.

» ΤΥΧΗ δὲ ἀγαθὴ μὲν λέγεται, ὅταν ἀγαθόν τι ἀποβῇ. φαύλη δὲ, ὅταν φαῦλόν τι. εὐτυχία δὲ,
» καὶ δυστυχία, ὅταν μέγεθος ἔχοντα ταῦτα.

Ὅταν τοιοῦτον τέλος ἀπαντήσῃ μὴ προελομένῳ, οἷον ἂν προείλετο, ἀγαθὴ τύχη τὸ τοιοῦτον λέγεται τέλος. κακὴ δὲ τύχη τὸ ἐναντίον. εὐτυχὲς δὲ καὶ δυστυχὲς, ὅταν ἢ μέγα κακὸν, ἢ μέγα ἀγαθὸν, κατὰ συμβεβηκὸς ἀπαντήσῃ τέλος.

» ΔΙΟ καὶ τὸ παρὰ μικρὸν κακὸν, ἢ ἀγαθὸν λαβεῖν μέγα, ἢ δυστυχεῖν, ἢ εὐτυχεῖν ἐστιν. ὅτι ὡς ὑπάρ-
» χον λέγει ἡ διάνοια. τὸ γὰρ παρὰ μικρὸν, ὥσπερ οὐδὲν ἀπέχειν δοκεῖ.

Ὅταν τις περιτυχὼν μεγάλῳ κινδύνῳ, ἐγγὺς γένηται τοῦ κινδυνεῦσαι, καὶ μεγάλῳ περιπεσεῖν κακῷ. οἷον ναυαγίῳ, ἢ ἄλλῳ τινί. εἶτα μικροῦ λείποντος τὸν κίνδυνον ἐκφύγῃ, εὐτυχῆ τὸν τοιοῦτον καλοῦμεν. διότι παρ' ὀλίγον τῷ κινδύνῳ προσομιλήσας, ἐξέφυγεν. ὁμοίως δὲ καὶ δυστυχῆ τὸν παρὰ μικρὸν μέγα ἀγαθὸν κτησάμενον. οὕτω γὰρ δυστυχὴς φαμὲν, ἔστιν ὅ δεῖνα, ὥστε εἰς αὐτὸ τὸ τυχεῖν τῶνδε ἢ τῶνδε τῶν καλῶν ἐλθὼν, εἶτα δι' ὀλίγον ἀπέτυχεν. ἐπειδὴ γὰρ τὸ παρὰ μικρὸν, οὐδὲν δοκεῖ τοῦ τέλους ἀπέχειν, ὑπολογιζομένη τὸ μικρὸν τοῦτο ἡ διάνοια, ὥσπερ ἐκβεβηκότων τούτων, οὕτως εὐτυχῆ, ἢ δυστυχῆ τὸν πεσόντα καλεῖ. τὸν γὰρ παρὰ μικρὸν μεγάλῳ κινδύνῳ ὁμιλήσαντα, ὡς ἤδη ἐμπεπτωκότα εἰς τὸν κίνδυνον θεωροῦσα ἡ διάνοια διὰ τὸ μὴ λογίζεσθαι τὸ μικρὸν, εἶτα ἐκ τοῦ κινδύνου αὐτὸν ἐκφυγόντα, οὕτως εὐτυχῆ

καλεῖ

οὐ τοῦτο προθέμενος τὸ ἀπολαβεῖν, ἐφοίτησεν ἐκεῖ· ἀλλὰ κυρίως τὴν τύχην, καὶ μάλιστα τούτων φαμὲν εἶναι αἰτίαν, ἐφ' ὧν μηδὲν εἴωθεν τὸ ὡς ἐπὶ τὸ πολὺ εἶναι. ὁ δὲ σύνηθες ἦν τῷ χρεωστοῦντι φοιτᾶν εἰς τὸ χωρίον, οὐκ ἔστι τῶν παραλόγων, τὸ ἐλθόντα ἐκεῖ τὸν χρεωστούμενον ἀπολαβεῖν. ἡ δὲ τύχη παράλογος. τὸ δὲ, ὡς ἐπὶ τὸ πολὺ φοιτῶν, δυνατὸν ἐξακοῦσαι καὶ ἐπὶ τοῦ ἀπειληφότος. δεῖ γὰρ τὸν περιτυχόντα τῷ χρεωστοῦντι, μὴ ὡς ἐπὶ τὸ πολὺ φοιτᾶν ἐν τῷ χωρίῳ, ἔνθα αὐτῷ περιέτυχεν. ὁ γὰρ εἰθισμένος αὐτῷ ὡς ἐπὶ τὸ πολὺ ἔν τινι τόπῳ εὑρίσκεσθαι περιτύχοι ὁ χρεωστῶν, οὐ δήπου παράλογον ἦν τὸ ἐλθόντα ἐκεῖ τὸν χρεωστοῦντα ἀποδοῦναι. δεῖ δὲ εἶναι τὴν τύχην ἀεὶ παράλογον.

» ΕΤΙ δὲ τὸ τέλος ἡ κομιδὴ, οὐ τῶν ἐν αὐτῷ αἰτίων, ἀλλὰ τῶν προαιρετῶν καὶ ἀπὸ διανοίας. καὶ λέγεταί γε τότε ἀπὸ τύχης ἐλθεῖν. εἰ δὲ προελόμενος, καὶ τούτου ἕνεκα, ἢ ἀεὶ φοιτῶν, ἢ ὡς ἐπὶ τὸ πολὺ κομιζόμενος, οὐκ ἀπὸ τύχης. δῆλον ἄρα ὅτι ἡ τύχη αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς ἐπ' ἔλαττον κατὰ προαίρεσιν, τῶν ἕνεκά του.

Τουτέστιν οὐκ ἔστι τῶν φυσικῶν ἡ κομιδὴ τοῦ ἀργυρίου. φυσικὰ γάρ ἐστι, τὰ ἐν ἑαυτοῖς ἔχοντα τὸ αἴτιον. ἡ δὲ κομιδὴ ἔξωθεν ἔχει τὸ αἴτιον, τὴν διάνοιαν τὴν ἐπὶ τὸ λουτρὸν κινήσασαν. τὸ δ' ὅλον, ὅτι ἡ κομιδὴ τοῦ ἀργυρίου, τῶν ἀπὸ τύχης ἐστὶν, οὐ τῶν ἀπὸ ταυτομάτου. τὰ γὰρ ἀπὸ ταυτομάτου ἐν ἑαυτοῖς ἔχει τὸ αἴτιον. ἐν ἑαυτοῖς δὲ δηλονότι κατὰ συμβεβηκὸς, ἐπειδὴ καὶ ἡ φύσις κατὰ συμβεβηκὸς, αἰτία τῶν ἐκ ταυτομάτου, ὥσπερ καὶ ἡ διάνοια κατὰ συμβεβηκὸς αἰτία τῶν ἀπὸ τύχης. ὥστε καὶ τὰ ἀπὸ τύχης εἰ λέγονται ἀπὸ διανοίας εἶναι, κατὰ συμβεβηκὸς δηλονότι ἀπὸ διανοίας, οὐ καθ' αὑτό. ὡς γὰρ ἔχει τὸ αἴτιον, οὕτως ἔχει τὸ αἰτιατὸν, καὶ ἔμπαλιν. ταῦτα εἰπὼν, ἐφεξῆς διορίζεται τὴν τύχην, τὸν ὁρισμὸν ἀθροίσας ἐκ τῶν δεδειγμένων.

» ΔΙΟΤΙ περὶ τὸ αὐτὸ διάνοια καὶ τύχη. ἡ γὰρ προαίρεσις, οὐκ ἄνευ διανοίας.

Περὶ τὸ αὐτὸ, οἷον τὴν κομιδὴν τοῦ ἀργυρίου. ἀλλ' ἡ μὲν διάνοια καθ' αὑτό. ἡ δὲ τύχη κατὰ συμβεβηκός.

» ΑΟΡΙΣΤΑ μὲν οὖν τὰ αἴτια ἀνάγκη εἶναι, ἀφ' ὧν ἂν γένοιτο ἀπὸ τύχης.

Εἰπὼν τί ἐστιν ἡ τύχη, ὅτι κατὰ συμβεβηκὸς αἰτία ἐστὶ τῶν ἐπ' ἔλαττον γινομένων, παρακολουθοῦσα τοῖς ἕνεκά του, νῦν βούλεται δεῖξαι, ὅτι πάντα ὅσα κατὰ κοινὴν ἔννοιαν λέγονται ὑπάρχειν τῇ τύχῃ, σύμφωνά ἐστι τῷ ἀποδεδειγμένῳ περὶ αὐτῆς λόγῳ. λέγεται γὰρ ἡ τύχη ἀόριστος, καὶ ἄδηλος εἶναι τοῖς ἀνθρώποις. φαμὲν γὰρ ἄδηλα εἶναι τὰ τῆς τύχης. λέγεται δὲ καὶ παράλογος εἶναι, καὶ ἀβέβαιος, καὶ μηδενὸς εἶναι αἰτία, καὶ ὅσα ἄλλα περὶ αὐτῆς λέγεται, συμφώνως τῷ ἀποδεδομένῳ παρ' ἡμῶν περὶ αὐτῆς λόγῳ λέγεται. ἀόριστος μὲν οὖν λέγεται εἰκότως, ἐπεὶ τῶν κατὰ συμβεβηκὸς αἰτίων τὴν τύχην εἶναι ὡρισάμεθα. τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια, ἀόριστα. τὰ μὲν γὰρ καθ' αὑτὸ αἴτια, ὥρισται. τῆς γὰρ οἰκίας ὡρισμένον τὸ αἴτιον ὁ οἰκοδόμος, καὶ τῆς νεὼς ὁ ναυπηγός. τὰ μέντοι κατὰ συμβεβηκὸς αἴτια, ἀόριστά ἐστι. δύναται γὰρ τῆς οἰκίας κατὰ συμβεβηκὸς αἴτιος εἶναι, καὶ ὁ φαλακρὸς, καὶ ὁ σιμὸς, καὶ ὁ μουσικὸς, καὶ ὁ νέος, καὶ ἄλλα μυρία. καὶ τοῦ κομίσασθαι τὸ ἀργύριον προελθόντα μὴ διὰ τοῦτο, καὶ ἡ ἐπὶ τὸ λουτρὸν πρόοδος, καὶ ἡ ἐπὶ ἱερὸν, καὶ ἄλλα μυρία, καὶ τοῦ ὀρύξαντα θησαυρὸν εὑρεῖν, τὸ ἐπὶ φυτείαν σκάπτειν καὶ θεμέλια θεῖναι, καὶ φρεωρυχεῖν, καὶ ἄλλα μυρία. δι' αὐτὸ δὲ τοῦτο καὶ ἄδηλον ἡ τύχη λέγεται, ὅτι καὶ ἀόριστος. ἀόριστος δὲ διότι κατὰ συμβεβηκός. τῆς μὲν γὰρ οἰκίας ὥρισται τὸ καθ' αὑτὸ αἴτιον, ὁ οἰκοδόμος. τί δὲ τῆς οἰκίας τὸ κατὰ συμβεβηκὸς αἴτιον, ἄδηλον. ἄδηλον δὲ διότι καὶ ἀόριστον. καὶ παράλογος δὲ εἰκότως ἡ τύχη. ὁ γὰρ λόγος τῶν ἑστώτων ἐστί. ταῦτα δ' ἐστὶν ἢ τὰ ἐξ ἀνάγκης, ἢ τὰ ὡς ἐπὶ τὸ πολύ. ἡ δὲ τύχη τῶν ἐπ' ἔλαττον. δι' αὐτὸ δὲ τοῦτο πάλιν καὶ ἀβέβαιος. τὸ γὰρ βέβαιον, ἢ τῶν ἀεὶ ὡσαύτως ἐστὶν, ἢ τῶν ὡς ἐπὶ τὸ πολύ. τὸ δ' ἐπ' ἔλαττον, οὐ βέβαιον. ἡ τύχη δὲ τῶν ἐπ' ἔλαττον. λέγομεν δὲ ἔστιν ὅτε καὶ τὴν τύχην, οὐδενὸς αἰτίαν εἶναι. οὐδὲν γὰρ γίνεσθαι ἀπὸ τύχης. καὶ τοῦτο συμφώνως τῷ περὶ τῆς τύχης ἀποδεδομένῳ λόγῳ. κυρίως γὰρ αἴτια τὰ καθ' αὑτὸ αἴτια. τὰ δὲ κατὰ συμβεβηκὸς αἴτια, ὁμωνύμως, ἢ ψευδωνύμως αἰτιά ἐστι. κατὰ συμβεβηκὸς δ' αἴτιον, ἡ τύχη. οὐ δ' αἴτιον ἄρα κυρίως ἡ τύχη. οὐδενὸς γὰρ φαμὲν αἰτίαν εἶναι τὴν τύχην, διότι τὰ κατὰ τύχην γινόμενα, ἀναίτια φαμὲν εἶναι, διὰ τὸ μὴ ἔχειν καθ' αὑτὸ αἴτιον ὡρισμένον. εἰ δὲ τὰ κατὰ τύχην ἀναίτια, ἡ τύχη ἄρα οὐδενός ἐστιν αἰτία. εἰ γὰρ ἔστι, τῶν κατὰ τύχην ἐστὶν αἰτία. εἰ δὲ μηδὲ τούτων ἐστὶν αἰτία, οὐδ' ὅλως ἐστὶν αἰτία τινός.

» ΟΘΕΝ δοκεῖ ἡ τύχη τοῦ ἀορίστου εἶναι καὶ ἄδηλος ἀνθρώπῳ. καὶ ἔστιν ὡς οὐδὲν ἀπὸ τύχης δόξειεν ἂν γίγνεσθαι.

Ἐπειδὴ τῶν ἀπὸ τύχης συμβαινόντων οὐδὲν ἔχει ἐστὶν αἰτίαν ὡρισμένην, δῆλον ὅτι καὶ ἡ τύχη ἀόριστός ἐστι. διὰ τοῦτο δὲ καὶ ἄδηλος ἀνθρώπῳ.

» ΠΑΝΤΑ γὰρ ταῦτα, ὀρθῶς λέγεται, ὅτι εὐλόγως. ἔστι μὲν γὰρ ὡς γίνεται ἀπὸ τύχης κατὰ συμβεβηκὸς γὰρ γίνεται. καὶ ἔστιν αἴτιον ὡς συμβεβηκὸς ἡ τύχη.

Πάντα φησὶν ὅσα περὶ τῆς τύχης λέγεται, ὀρθῶς λέγεται, διότι καὶ εὐλόγως, τουτέστιν ἀκολούθως τῷ ἀποδεδομένῳ λόγῳ περὶ αὐτῆς ὁρισμοῦ. καὶ ἔστιν ἐκ τοῦ ἀποδεδειγμένου περὶ αὐτῆς ἑκάστου τῶν περὶ αὐτῆς λεγομένων τὴν αἰτίαν ἀποδοῦναι. οὗτος δὲ ὁρισμὸς ἄριστος, ᾧ τινι ἐφαρμόζει πάντα τὰ περὶ τοῦ πράγματος

» ΤΑ δὴ τοιαῦτα ὅταν κατὰ συμβεβηκὸς γένηται, ἀπὸ τύχης φαμὲν εἶναι.

Ὅταν φησὶ τὰ ἀπὸ διανοίας, ἢ ἀπὸ φύσεως ἀεὶ γινόμενα, μὴ ἐκ διανοίας, ἢ ἀπὸ φύσεως προηγουμένως πράττηται, ἀλλὰ τὴν γένεσιν ἔχῃ κατὰ συμβεβηκὸς, τὰ τοιαῦτα φαμὲν εἶναι ἀπὸ τύχης, καὶ ἀπὸ ταὐτομάτου. οἷον, τὸ περιτυχεῖν φίλῳ, ἢ κομίσασθαι τὸ ἀργύριον παρὰ τοῦ χρεωστοῦντος, διανοίας ἔργον ἐστίν. ὅταν οὖν τοῦτο, ὅπερ διανοίας ἔργον ἐστὶ, μὴ ἐκ διανοίας γένηται καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς ἔχῃ τὴν ἔκβασιν, ἀπὸ τύχης λέγεται γεγενῆσθαι. πάλιν, φύσεως ἔργον τὸ ἐκ τοῦ ὁμοίου τὸ ὅμοιον γενέσθαι. οἷον, ἐξ ἀμπέλου ἄμπελον καὶ ἐξ ἐλαίας ἐλαίας. ὅταν οὖν τι τούτων μὴ ἐκ τοῦ ὁμοίου γένηται, ἐκ ταὐτομάτου φαμὲν αὐτὸ γεγενῆσθαι. διὰ τοῦτο τὰς πόας ἐκ ταὐτομάτου φαμὲν βλαστάνειν, διότι μὴ ἐξ ὁμοίων κατὰ τὸν νόμον τῆς φύσεως. οὐ γὰρ δὴ πάντως σπέρματα ἐκ τῆς ἐν τῷ προτέρῳ χρόνῳ πόας ἐγκαταλιμπανόμενα τῇ γῇ, οὕτως ποιεῖ τὰς παρούσας πόας, ἀλλὰ κἂν μηδὲ ὅλως ἔχῃ σπέρματα, βλαστήσειεν ἄν. καὶ δηλοῦσι τά τε ἀμπελοφόρα χωρία, ἀεὶ μὲν σκαπτόμενα ὑπὸ τῶν γεωργῶν καὶ καθαιρόμενα, ἀεὶ δὲ βλαστάνοντα. καὶ ἡ πατουμένη δὲ καὶ πολὺν χρόνον μὴ βλαστήσασα μηδὲν, εἰ ἀφεθείη τοῦ πατεῖσθαι, βλαστήσειεν ἂν ἀεὶ πόας. κἂν μὴ φυσικὸν δὲ ᾖ τὸ ἀποτελούμενον, ἀλλ' ὡς φυσικῇ ὁρμῇ παρηκολουθηκὸς, ἐκ ταὐτομάτου λέγεται γενέσθαι, ὡς ὁ κατενεχθεὶς λίθος καὶ γενόμενος ὥστε τίθεσθαι ὡς καθέδραν. οὐ γὰρ φυσικὸν τοῦτο τέλος. καὶ ὁ ἵππος ὁ διψήσας ἐν τῷ πολέμῳ, καὶ καταβαλὼν τὸν δεσπότην, καὶ συμβολῆς γενομένης, καὶ τοῦ δεσπότου ἀποθανόντος, αὐτὸς σωθείς. λέγεται γὰρ ἐκ ταὐτομάτου σεσῶσθαι, οὐχ ὅτι φυσικὸν τέλος ἔσχεν ἐκ ταὐτομάτου, ἀλλ' ὅτι φυσικῇ ὁρμῇ παρηκολούθησεν.

» ΩΣΠΕΡ γὰρ καὶ ὂν ἐστὶ τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς, οὕτω καὶ αἴτιον ἐνδέχεται εἶναι. οἷον οἰκίας, καθ' αὑτὸ μὲν αἴτιον, τὸ οἰκοδομικόν. κατὰ συμβεβηκὸς δὲ, τὸ λευκὸν, ἢ τὸ μουσικόν. τὸ μὲν οὖν καθ' αὑτὸ αἴτιον ὡρισμένον. τὸ δὲ κατὰ συμβεβηκὸς, ἀόριστον. ἄπειρα γὰρ ἂν τῷ ἑνὶ συμβαίη. καθάπερ οὖν ἐλέχθη, ὅταν ἐν τοῖς ἕνεκά του γινομένοις τοῦτο γένηται, τότε λέγεται ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης. αὐτῶν δὲ πρὸς ἄλληλα τὴν διαφορὰν τούτων, ὕστερον διοριστέον. νῦν δὲ τοῦτο ἔστω φανερὸν, ὅτι ἄμφω ἐν τοῖς ἕνεκά του ἐστίν.

Ὅτι ἔστιν αἴτια τινὰ κατὰ συμβεβηκὸς, διὰ τούτων κατασκευάζει. εἰ γὰρ ἐστὶ φησὶ τινὰ τῶν ὄντων κατὰ συμβεβηκὸς ὄντα, δῆλον ὅτι καὶ τὰ τούτων αἴτια κατὰ συμβεβηκὸς ἂν εἴη αἴτια. καθ' αὑτὸ μὲν γὰρ εἰς τὴν ἀγορὰν προῆλθε, κατὰ συμβεβηκὸς δὲ τῷ ἀπὸ ξένης ἐλθόντι περιέτυχε φίλῳ. εἰ οὖν ἐστι τὰ κατὰ συμβεβηκὸς ὄντα, ἔστι δηλονότι καὶ τὰ κατὰ συμβεβηκὸς τούτων αἴτια. ὁπότε καὶ τῶν καθ' αὑτὸ ὄντων λέγεται εἶναι καὶ τὰ κατὰ συμβεβηκὸς αἴτια. τῆς γοῦν οἰκίας καθ' αὑτὸ μὲν ὁ οἰκοδόμος αἴτιος, κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρός. ἔστι δέ φησι τὰ κατὰ συμβεβηκὸς αἴτια, ἀόριστα. δύναται γὰρ καὶ ὁ λευκὸς, καὶ ὁ σιμὸς, καὶ ὁ μουσικὸς, καὶ μυρία ἄλλα. τὸ δὲ καθ' αὑτὸ αἴτιον, ὡρισμένον. ἀεὶ γὰρ τῆς οἰκίας ὁ οἰκοδόμος αἴτιος, καὶ τοῦ πλοίου ὁ ναυπηγός. ὅταν οὖν φησι τὰ κατὰ συμβεβηκὸς αἴτια τοῖς ἕνεκά του αἰτίοις παρακολουθήσῃ, τότε λέγεται τὸ κατὰ τύχην, καὶ τὸ ἐκ ταὐτομάτου. ἔχεις οὖν ἐντεῦθεν τὴν αἰτίαν καθ' ἣν ἐλέγετο μικρὸν ἔμπροσθεν ἡ τύχη, καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του εἶναι, ὅτι λέγονται ἐν τοῖς ἕνεκά του, διὰ τὸ τοῖς ἕνεκά του παρακολουθεῖν, τοῖς κατὰ φύσιν φημὶ, καὶ τοῖς κατὰ διάνοιαν. ταῦτα μὲν οὖν αὐτοῖς κοινῶς ὑπάρχει, τὸ ἐν τοῖς ἐπ' ἔλαττον εἶναι, τὸ ἐν τοῖς ἕνεκά του, τὸ κατὰ συμβεβηκός. τίς δὲ ἡ πρὸς ἄλληλα αὐτῶν διαφορὰ, ἐρεῖ μικρὸν ὕστερον. ἣν ἡμεῖς φθάσαντες εἴπομεν, ὅτι ἡ μὲν τύχη τοῖς κατὰ διάνοιαν ἀκολουθεῖ, ἤγουν τοῖς κατὰ προαίρεσιν, τὸ δὲ αὐτόματον, τοῖς κατὰ φύσιν.

» ΟΙΟΝ ἕνεκα τοῦ ἀπολαβεῖν τὸ ἀργύριον, ἦλθεν ἄν, κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει. ἦλθε δὲ οὐ τούτου ἕνεκα, ἀλλὰ συνέβη ἐλθεῖν, καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα. τοῦτο δὲ οὔτε ὡς ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον, οὔτε ἐξ ἀνάγκης.

Ὅτι ἐν τοῖς ἕνεκά του ἡ τύχη, καὶ τὸ αὐτόματον, αὐτὰ οὐκ ὄντα ἕνεκά του, δείκνυσιν. ὅτι μὲν οὖν οὐκ ἔστιν ἕνεκά του ἡ τύχη, καὶ τὸ αὐτόματον, δῆλον. τοῦ γὰρ δεδανεισμένου κομιζομένου τὸν ἔρανον, εἰ ᾔδει ὁ χρεωστούμενος, ἦλθεν ἂν ἐπὶ τοῦτο. οὐκ ἦλθε δὲ ἐπὶ τοῦτο. οὐκ ἄρα ἡ αἰτία τῆς ἀπολήψεως ἣν φαμὲν εἶναι τὴν τύχην, τῶν ἕνεκά του ἐστὶν, ἀλλὰ τῶν κατὰ συμβεβηκός. ἀλλ' ἐπειδὴ προῆλθε μὲν τοῦ λούσασθαι ἕνεκεν, ἀπέλαβε δὲ τὸ ἀργύριον περιτυχὼν τῷ δεδανεισμένῳ κομιζομένῳ τὸν ἔρανον, λέγεται αἴτιον, κατὰ συμβεβηκὸς δὲ, ἀπολήψεως ἡ ἐπὶ τὸ λουτρὸν πρόοδος. ἣν δὲ καὶ τῶν ἕνεκά του. τοῦ γὰρ λούσασθαι ἕνεκεν ἡ πρόοδος. τὸ κατὰ συμβεβηκὸς ἄρα αἴτιον, τῷ καθ' αὑτὸ καὶ ἕνεκά του παρηκολούθησε. τοῦτο δὲ τύχην καλοῦμεν. ἡ τύχη ἄρα ἐν τοῖς ἕνεκά του ἐστὶν, αὐτὴ κατὰ τὸ συμβεβηκὸς αἰτία οὖσα. τὸ δὲ κομιζομένου γράφεται καὶ κομισόμενος μέλλοντος, ἵνα ἐπὶ τοῦ χρεωστουμένου ᾖ. μᾶλλον δὲ τὸ πρότερον. τὸ δὲ, συνέβη ἐλθεῖν, καὶ ποιῆσαι τοῦτο τοῦ κομίσασθαι ἕνεκα. τοῦτο δὲ οὔτε ἐπὶ τὸ πολὺ φοιτῶν εἰς τὸ χωρίον, οὔτε ἐξ ἀνάγκης. τὸ φοιτῶν ἀντὶ τοῦ φοιτῶντος. οὐδὲ γὰρ εἰ σύνηθες ἦν τῷ χρεωστοῦντι, εἰ ἀεὶ, ἢ ὡς ἐπὶ τὸ πολὺ φοιτᾶν εἰς τὸ χωρίον, ἔνθα περιτυχὼν ὁ χρεωστούμενος ἔλαβε τὸ ἀργύριον. ἀπὸ τύχης γὰρ λέγεται ἡ ἀπόληψις, εἰ μὴ ἄρα ὡς πρὸς τὴν πρόθεσιν τοῦ ἀπειληφότος, ὅτι

κατὰ προαίρεσιν, τοῦ δὲ τὸ ἐν τοῖς κατὰ φύσιν, ποιήσας τὸν τοῦ κοινοῦ αὐτομάτου ὁρισμόν, ὃς καὶ κατὰ τῆς τύχης, καὶ κατὰ τοῦ ἰδίως λεγομένου αὐτομάτου κατηγορεῖται. τί οὖν διαφέρει ἡ τύχη, καὶ τὸ αὐτόματον τῶν ἄλλων κατὰ συμβεβηκὸς αἰτίων λεγομένων. οἷον τοῦ φαλακροῦ, ἢ τοῦ λευκοῦ. λέγεται γὰρ ὁ φαλακρός, ἢ ὁ λευκὸς οἰκοδομῆσαι, ἢ αἴτιος εἶναι τοῦ υἱοῦ, εἰ ὁ πατὴρ τοιοῦτος εἴη, καὶ ὁ οἰκοδόμος. ὅτι τῶν ἄλλων κατὰ συμβεβηκὸς αἰτίων λεγομένων ἕκαστον ἕτερον ὂν παρὰ τὸ καθ' αὑτὸ αἴτιον, ἐκείνῳ αὐτὸ συμβέβηκε. καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ τέλους, τὸ μὲν καθ' αὑτὸ λέγεται αἴτιον, τὸ δὲ κατὰ συμβεβηκός. τῆς γὰρ οἰκίας καθ' αὑτὸ μὲν ὁ τέκτων, κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρός. ἕτερος δὲ τοῦ τέκτονος ὁ φαλακρὸς τῷ λόγῳ, καὶ συμβέβηκεν ὁ φαλακρὸς τῷ τέκτονι. ἐπὶ δὲ τῆς τύχης, καὶ τοῦ αὐτομάτου, ἔμπαλιν. ἓν γὰρ καὶ τὸ αὐτὸ αἴτιον, ἄλλου μὲν τέλους ἐστὶ καθ' αὑτὸ αἴτιον, ἄλλου δὲ κατὰ συμβεβηκός. ἡ γὰρ εἰς ἀγορὰν πρόοδος μία καὶ ἡ αὐτὴ οὖσα καὶ τῷ λόγῳ, καὶ τῷ ἀριθμῷ, τῆς μὲν εἰς ἀγορὰν διατριβῆς καθ' αὑτό ἐστιν αἰτία, τοῦ δὲ περιτυχεῖν τῷ φίλῳ, κατὰ συμβεβηκός. καὶ ἡ φορὰ τοῦ λίθου ἡ ἐπὶ τὸ κάτω, τοῦ μὲν ἐν τῷ οἰκείῳ τόπῳ γενέσθαι, καθ' αὑτὸ αἰτία. τοῦ δὲ πλῆξαι τὸν παριόντα ἢ γενέσθαι τὸν λίθον πρὸς καθέδραν ἐπιτήδειον, κατὰ συμβεβηκός. ὥστε ἐνταῦθα μὲν δύο τὰ τέλη, τὸ δ' αἴτιον ἕν. ἐκεῖ δ' ἔμπαλιν, δύο μὲν τὰ αἴτια κατὰ τὴν ἑαυτῶν φύσιν, ἓν δὲ τὸ τέλος. ἄλλος γὰρ ὁ τοῦ φαλακροῦ λόγος, καὶ ἄλλος ὁ τοῦ οἰκοδόμου. ὥστε τὴν τύχην ἐροῦμεν εἶναι, γενικώτερον μέν, κατὰ συμβεβηκὸς αἴτιον, ἐνεργοῦσαν περί τι περὶ ὃ μὴ προέθετο ἐνεργῆσαι. ἰδικώτερον δὲ καὶ προσεχέστερον, μυρία καὶ ἀόριστα. καὶ γὰρ ἡ ἐπὶ τὸ λουτρὸν πρόοδος, τοῦ αὐτοῦ δύναται αἰτία εἶναι, καὶ ἡ ἐπὶ ἱερόν, καὶ ἄλλαι μυρίαι. ὡσαύτως καὶ ἐπὶ τοῦ αὐτομάτου, γενικώτερον μὲν τὴν φύσιν ἀποδώσεις πάλιν κατὰ συμβεβηκὸς ἐνεργοῦσαν περί τι, ὃ μὴ σκοπὸς καὶ τέλος ἐστὶ τῶν φυσικῶν λόγων. ἰδικώτερον δὲ ὡσαύτως μυρία καὶ ἀόριστα αἴτια. Πρῶτον μὲν οὖν ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινόμενα. Ἡ πρώτη διαίρεσις ἡ εἰς τὰ ἐξ ἀνάγκης καὶ ἀεί, καὶ τὰ ἐπίσης, καὶ τὰ ἐπ' ἔλαττον. Ἀλλ' ἐπειδή ἐστι τινά, ἃ γίνεται καὶ παρὰ ταῦτα. παρὰ τὰ ἐξ ἀνάγκης, καὶ τὰ ὡς ἐπὶ τὸ πολύ. ταῦτα δέ ἐστι τὰ ἐπ' ἔλαττον.

ΤΑ ΤΕ γὰρ τοιαῦτα, ἀπὸ τύχης. καὶ τὰ ἀπὸ τύχης, τοιαῦτα ἴσμεν.

Ἐπειδή ἐστί φησι τὰ ἐπ' ἔλαττον, ἔστι δηλονότι καὶ τὰ ἀπὸ τύχης καὶ τοῦ αὐτομάτου. ἀντιστρέφουσι γὰρ ταῦτα ἀλλήλοις. καὶ τὰ ἐπ' ἔλαττον, ἐκ ταὐτομάτου, ἢ ἀπὸ τύχης. καὶ τὰ ἀπὸ τύχης, καὶ ἐκ ταὐτομάτου, ἐπ' ἔλαττον. ἰστέον δὲ ὅτι οὐ πάντως τὰ ἐπ' ἔλαττον, ἀπὸ τύχης ἐστίν, ἢ ἀπὸ ταὐτομάτου. οὐδὲ γὰρ εἴ τις ὄψον τι ἀσυνήθως ἐσθίει δι' ἔνδειαν, ἢ διὰ τὸ μὴ δύνασθαι ἄλλου, ἀπὸ τύχης ἂν ὁ τοιοῦτος ἐσθίει τὸ ὄψον, ὅς γε αὐτὸς ἑκὼν ὠνησάμενος ἔφαγεν. καὶ οἱ μαργαρῖται τῶν ἐπ' ἔλαττόν εἰσιν εὑρισκομένων, ἀλλ' ὅμως οὔτε οὗτοι ἐκ ταὐτομάτου γεγόνασιν ἀλλ' ἀπὸ φύσεως, οὔτε ὁ ἀγρεύσας, ἀπὸ τύχης ἤγρευσεν. ἐπὶ τοῦτο γὰρ ἦλθεν, ἐπὶ τῷ μαργαρίτας εὑρεῖν, καὶ πολλὰ τοιαῦτά ἐστιν ἕτερα.

ΤΩΝ δὲ γινομένων, τὰ μὲν ἕνεκά του γίνεται, τὰ δ' οὔ. τούτων δέ, τὰ μὲν κατὰ προαίρεσιν, τὰ δ' οὐ κατὰ προαίρεσιν. ἄμφω δ' ἐν τοῖς ἕνεκά του.

Ἡ δευτέρα διαίρεσις ἡ εἰς τὰ ἕνεκά του, καὶ εἰς τὰ μηδενὸς ἕνεκα. ἄμφω δέ φησι, τήν τε τύχην καὶ τὸ αὐτόματον, ἐν τοῖς ἕνεκά του θετέον. σημείωσαι δὲ ὅτι διελὼν τὰ ἕνεκά του εἰς τὰ κατὰ προαίρεσιν, καὶ μή, οὐκ ἀνήγαγεν ὑπὸ ταῦτα τὴν τύχην, καὶ τὸ αὐτόματον, ἀλλ' εἰς τὸ γένος. ἄμφω γάρ φησιν ἐν τοῖς ἕνεκά του, ἢ ἐν τοῖς ἕνεκά του, ἀκουσόμεθα τὰ κατὰ προαίρεσιν, καὶ τὰ μὴ κατὰ προαίρεσιν. ὑφ' ἃ ἀνάγεσθαί φησι τὴν τύχην, καὶ τὸ αὐτόματον. τὴν μὲν εἰς τὰ κατὰ προαίρεσιν. τὸ δὲ εἰς θάτερα. μὴ κατὰ προαίρεσιν δὲ λέγεται τά τε φύσει, καὶ τὰ τέχνῃ γινόμενα.

ΩΣΤΕ δῆλον ὅτι καὶ ἐν τοῖς παρὰ τὸ ἀναγκαῖον, καὶ τὸ ὡς ἐπὶ τὸ πολύ ἔστιν ἔνια περὶ ἃ ἐνδέχεται ὑπάρχειν τὸ ἕνεκά του.

Λαβὼν ἐκ τῶν διαιρέσεων τῶν δύο, ὅτι ἡ τύχη, καὶ τὸ αὐτόματον, καὶ ἐν τοῖς ἐπ' ἔλαττον, καὶ ἐν τοῖς ἕνεκά του, συλλογίσασθαι βούλεται τὸ ἐκ τούτων ἀναφαινόμενον. τοῦτο δ' ἐστίν, ὅτι τινὰ τῶν ἐπ' ἔλαττον, τῶν ἕνεκά του ἐστίν. ἔστι δὲ ἐν τρίτῳ σχήματι ὁ συλλογισμός. ἡ τύχη, καὶ τὸ αὐτόματον, τῶν ἐπ' ἔλαττον. ἡ τύχη, καὶ τὸ αὐτόματον, τῶν ἕνεκά του. τινὰ ἄρα τῶν ἕνεκά του, καὶ τῶν ἐπ' ἔλαττον φαμὲν εἶναι. δόξει δὲ ὁ συλλογισμὸς τὰ αὐτὰ διὰ τῶν αὐτῶν συλλογίζεσθαι. ἔχομεν γὰρ ἐν ταῖς προτάσεσιν, ὅτι τὸ αὐτὸ καὶ ἕνεκά του ἐστί, καὶ ἐπ' ἔλαττον. ὥστε δόξει περιττὸν εἶναι τὸ αὐτό, ὅπερ ἐν ταῖς προτάσεσιν οὐκ εἴληπται, τὸ ἐπ' ἔλαττον ἕνεκά του. ἀλλ' ἡ τύχη, καὶ τὸ αὐτόματον, καὶ ἐπ' ἔλαττόν ἐστι καὶ ἕνεκά του. καὶ τοῦτο ἀνὰ μέρος ἐδείχθη. ὁ οὖν συλλογισμὸς συνάγει, οὐχ ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἕνεκά του, καὶ ἐν τοῖς ἐπ' ἔλαττον, ἀλλ' ὅτι τὸ ἐπ' ἔλαττον ἕνεκά του ἐστίν.

ΕΣΤΙ δὲ ἕνεκά του, ὅσα τε ἀπὸ διανοίας ἂν πραχθείη, καὶ ὅσα ἀπὸ φύσεως.

Ἡ τρίτη διαίρεσις. διελὼν δὲ τὸ ἕνεκά του, εἰς τὰ κατὰ προαίρεσιν, καὶ μή, κατὰ ἄλλην ἐπιδιαίρεσιν προσεχεστέραν μᾶλλον τὸ αὐτὸ διαιρεῖ. τῶν γὰρ ἕνεκά του, τὰ μὲν ἀπὸ διανοίας, τὰ δὲ ἀπὸ φύσεως. ἅτε διέλαβεν κατὰ τὴν πρώτην διαίρεσιν τὰ ἀπὸ διανοίας, ὅτι τῶν ἀπὸ διανοίας τὰ μὲν κατὰ προαίρεσίν ἐστι, τὰ δὲ οὐ κατὰ προαίρεσιν.

ἔθη τῆς ἀδιαχύτου ὕλης. ἐν μὲν οὖν τοῖς ἐξ ἀνάγκης, καὶ ἀεὶ γινομένοις, οὐκ ἔστι θεῖναι τὴν τύχην, καὶ τὸ αὐτόματον. οὐδεὶς γὰρ ἂν εἴποι κατὰ τύχην ἐν καιρῷ γίνεσθαι τὸν ἥλιον, ἢ τὴν σελήνην κατὰ τύχην τοὺς φωτισμοὺς δέχεσθαι. ἀλλ' οὐδ' ἐκ ταὐτομάτου, καὶ οὐ κατά τινα λόγον. ἀλλ' οὐδὲ ἐν τοῖς ὡς ἐπὶ τὸ πλεῖστον θετέον τὴν τύχην, καὶ τὸ αὐτόματον. τίς γὰρ ἂν εἴποι ἀπὸ τύχης, ἢ ἐκ ταὐτομάτου σωκράτην πενταδάκτυλον γενέσθαι. λείπεται οὖν ἐν τοῖς ἐπ' ἔλαττον τιθέναι τὴν τύχην καὶ τὸ αὐτόματον. καὶ γὰρ τὰ ἀπὸ τύχης συμβαίνοντα σπάνιά ἐστιν, ἢ ἐπ' ἔλαττον. καὶ τὰ σπάνια, καὶ ἐπ' ἔλαττον, ἀπὸ τύχης καὶ ἀπὸ ταὐτομάτου. ἔχομεν οὖν ἐκ τῆς διαιρέσεως ταύτης, ὅτι ἡ τύχη καὶ τὸ αὐτόματον ἐπ' ἔλαττόν ἐστι. πάλιν, τῶν γινομένων τὰ μὲν ἕνεκά του γίνεται. τοιαῦτα δέ ἐστι καὶ τὰ φυσικὰ πάντα, καὶ τὰ τεχνητά. τὰ δὲ οὐδενὸς ἕνεκα. οἷον ὡς τὸ κινεῖν τὴν χεῖρα διαλεγόμενον, ἢ τὸ ἕλκειν τῆς κεφαλῆς ἢ τοῦ γενείου τρίχας. ταῦτα γὰρ συνηθείᾳ τινὶ, οὐδενὸς ἕνεκα γίνεται. τούτων οὖν ἐν τοῖς ἕνεκά του θετέον αἰτίαν τὴν τύχην, οὐκ ἐν τοῖς οὐδενὸς ἕνεκα γινομένοις. ἐν τοῖς ἕνεκά του δὲ ἡ τύχη, καὶ τὸ αὐτόματον, οὐχ ὡς αὐτῶν ἕνεκά του ποιούντων, ἀλλ' ὡς παρακολουθούντων τοῖς ἕνεκά του. ἔχομεν οὖν ὅτι ἡ τύχη, καὶ τὸ αὐτόματον, καὶ ἐν τοῖς ἕνεκά του διὰ τὴν δευτέραν διαίρεσιν, καὶ ἐν τοῖς ἐπ' ἔλαττον, διὰ τὴν προτέραν. διαιρεῖ δὲ καὶ τὸ ἕνεκά του εἴς τε τὰ κατὰ προαίρεσιν, καὶ εἰς τὰ μὴ κατὰ προαίρεσιν. κατὰ προαίρεσιν μέν ἐστι, τὰ ἐφ' ἡμῖν πάντα, οὐ κατὰ προαίρεσιν δὲ τά τε φυσικὰ, καὶ τὰ τεχνητά. ὑπὸ μὲν οὖν τὰ κατὰ προαίρεσιν ἀνάξει τὴν τύχην, ὑπὸ δὲ τὰ μὴ κατὰ προαίρεσιν τὸ αὐτόματον. τὰ γὰρ τεχνητὰ ἐκ διανοίας μὲν γίνεται, ἐκ προαιρέσεως δ' οὔ. ἡ γὰρ προαίρεσις, αἵρεσίς ἐστι τοῦδε πρὸ τοῦδε. ὁ δὲ τεχνίτης οὐχ αἱρεῖται ὃ βούλεται, ἀλλ' ὅπερ ἂν ἡ τέχνη ἀπαιτῇ. κἂν βουλεύηται δὲ ἔστιν ὅτε, οὐχ ὡς τεχνίτης βουλεύεται. ἡ γὰρ βουλὴ ὡς αὐτός φησι γίνεται δι' ἔνδειαν φρονήσεως. ὥστε ἂν παρῇ ἡ τέχνη, βουλῆς οὐ δεῖ. ὥστε οὐδὲ τῶν ἐφ' ἡμῖν ἡ τέχνη. τὰ γὰρ ἐφ' ἡμῖν κατὰ προαίρεσιν, ὡς τὸ λούσασθαι, καὶ μὴ, καὶ τὰ παραπλήσια. ταύτῃ κέχρηται διαιρέσει, μᾶλλον δὲ τὸ ἕνεκά του ἄλλως ἐνταῦθα διαιρεῖ. τῶν γὰρ ἕνεκά του, τὰ μὲν ἀπὸ διανοίας γίνεται, τὰ δὲ ὑπὸ φύσεως. ὑπὸ διανοίας μὲν τά τε κατὰ προαίρεσιν, καὶ τὰ κατὰ τέχνην. ἐπὶ πλέον γὰρ ἡ διάνοια τῆς προαιρέσεως. ὑπὸ φύσεως δὲ τὰ φυσικά. πάντα δὲ ἕνεκά του. ἥ τε γὰρ φύσις, ἕνεκά του ποιεῖ. τυχεῖν γὰρ θέλει τοῦ φυσικοῦ εἴδους, καὶ ἡ διάνοια ὁμοίως. καὶ γὰρ καὶ τὰ κατὰ τέχνην, καὶ τὰ κατὰ προαίρεσιν, ἕνεκά του γίνεται. οἷον λούομαι, ἵνα ὑγιαίνω. καὶ ἀναγινώσκω, ἵνα ἐλλόγιμος γένωμαι. ἀνάξει οὖν, ὑπὸ μὲν τὰ κατὰ διάνοιαν, τὴν τύχην. ὑπὸ δὲ τὰ κατὰ φύσιν, τὸ αὐτόματον. τῶν γὰρ κατὰ διάνοιαν, καὶ τῶν κατὰ φύσιν ἕνεκά του γινομένων, ὅταν μὲν τοῦ οἰκείου ταῦτα τύχωσι σκοποῦ, οὐδὲν λέγεται συμβεβηκέναι ἀπὸ τύχης, ἢ ἀπὸ ταὐτομάτου. ὅταν δὲ ἢ μὴ τοῦ σκοποῦ ταῦτα τύχωσιν, ἢ καὶ τυχόντων τῇ προαιρετικῇ καὶ φυσικῇ ὁρμῇ ἔξωθέν τι κατὰ συμβεβηκὸς παρακολουθήσῃ, ὃ μηδαμῶς προὔκειτο τῷ σκοπῷ τῆς φύσεως, ἢ τῆς προαιρέσεως, τοῦτο λέγεται ἢ κατὰ τύχην συμβῆναι, εἰ τῇ προαιρετικῇ ὁρμῇ ἐπηκολούθησεν, ἢ ἐκ ταὐτομάτου, εἰ τῇ φυσικῇ. οἷον, προῆλθέ τις λουσόμενος. εἶτα πρὶν λούσασθαι, ὑπαντήσας ὃν οὐ προσεδόκησεν, ὑπέδειξεν αὐτῷ πιπρασκόμενα βιβλία, ἅπερ ἐζήτει μὲν πάλαι ἀγοράσαι, οὐκέτι δὲ ἤλπισε νῦν εὑρήσειν, καὶ περιφρονήσας τοῦ λουτροῦ, ἀπῆλθεν ἐπὶ τὴν ὠνὴν τῶν βιβλίων. λέγεται οὖν ἡ ὠνὴ τῶν βιβλίων, κατὰ τύχην γενέσθαι. ἐπηκολούθησε γὰρ ὁρμῇ προαιρετικῇ, τῇ ἐπὶ τὸ λουτρὸν προόδῳ. ἐνταῦθα τοῦ μὲν σκοποῦ ἡ προαίρεσις ἀπέτυχεν, ἕτερον δέ τι τέλος τοιαύτῃ ὁρμῇ κατὰ συμβεβηκὸς ἐπηκολούθησε. πάλιν προελθών τις λούσασθαι κατενεχθέντος λίθου, ἐπλήγη. καὶ οὐκ ἔτι ἐλούσατο. εἰ δὲ προῆλθέ τις ἐπὶ τῷ διαπράξασθαι εἰς ἀγορὰν, εἶτα ἐλθὼν περιτύχοι ἐκ τῆς ἀποδημίας ἐλθόντι φίλῳ, ὃν οὐκ ἤλπισε. τῷ σκοπῷ, καὶ τῷ τέλει τῆς προαιρέσεως λέγεται κατὰ τὸ συμβεβηκὸς ἐπηκολουθηκέναι τὰ ἀπὸ τύχης. ὁμοίως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν. οἷον ἔπεσε λίθος ἐξ ὕψους οὐκ ἀσφαλῶς ἠωρημένος, καὶ κατηνέχθη ὑπὸ τῆς φυσικῆς ὁρμῆς εἰς τὸν οἰκεῖον καὶ κατὰ φύσιν τόπον, καὶ κατενεχθεὶς προσερράγη τισὶ στερροῖς σώμασι, καὶ ἐθραύσθη τὰς ἐξοχὰς, καὶ γέγονεν εἰς καθέδραν ἐπιτήδειος. ἐκ ταὐτομάτου λέγεται γεγενῆσθαι τοῦτο, τῇ φυσικῇ ὁρμῇ καὶ τῷ σκοπῷ τῆς φύσεως κατὰ συμβεβηκὸς παρακολουθῆσαν. τὸ δὲ γενέσθαι ἑξαδάκτυλον, καὶ ἁπλῶς πάντα τέρατα, ἐκ ταὐτομάτου μὲν διὰ τὸ ὁρμῇ φυσικῇ ἐπακολουθῆσαι. οὐ τῷ τέλει δὲ τῷ φυσικῷ ἐπηκολούθησεν. ἀλλ' ἐκείνου διαμαρτούσης τῆς φύσεως, συνέβη ταῦτα γενέσθαι. ὥστε καὶ ἐκ τούτων ἔχομεν, ὅτι τῶν κατὰ συμβεβηκὸς αἰτιῶν ἡ τύχη καὶ τὸ αὐτόματον. τὰ δεδειγμένα οὖν ἐκ πάντων τούτων συναγαγὼν, ὁρίζεται τὴν τύχην, ὅτι ἔστιν αἰτία κατὰ συμβεβηκὸς ἐν τοῖς ἐπ' ἔλαττον κατὰ προαίρεσιν τῶν ἕνεκά του. ἵνα δὲ σαφέστερος γένηται ὁ ὁρισμὸς, δεῖ ἴσως εἰπεῖν, ὑπερβιβάσαντα τὴν λέξιν, ὅτι ἔστιν ἡ τύχη τῶν ἕνεκά του ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἐπ' ἔλαττον γινομένων αἰτία κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ τοῦ αὐτομάτου τὸν ὁρισμὸν ἀποδώσει, λέγων ὅτι ἔστι τὸ αὐτόματον τῶν ἕνεκά του ἐν τοῖς κατὰ φύσιν τῶν ἐπ' ἔλαττον γινομένων αἰτία κατὰ συμβεβηκός. ὡς γὰρ εἶπον, ὅταν μὲν τοῖς κατὰ προαίρεσιν ἄλλα τινὰ ἀπαντήσῃ παρὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν, τούτων τῆς ἐκβάσεως αἰτία λέγεται εἶναι ἡ τύχη. ὅταν δὲ τοῖς κατὰ φύσιν, τὸ αὐτόματον. ἐν τοῖς ἕνεκά του δὲ, ὅτι τοῖς ἕνεκά του κατὰ συμβεβηκὸς παρέπεται, τῇ φύσει, καὶ τῇ προαιρέσει. τούτων δὲ τὸν ὁρισμὸν, ἐὰν ἀφέλῃς τοῦ μὲν τὸ ἐν τοῖς

καὶ φυτῶν καὶ τῶν μερῶν αὐτῶν, οὐδὲν ἀπὸ τύχης φασὶ γενέσθαι, οὐδ' ἀπὸ ταὐτομάτου, ὧν ὥς ἐστι καὶ τὸ μὴ ἀεὶ ὡσαύτως ἔχειν. τὰ δὲ θειότατα τῶν φανερῶν, καὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα, τῷ αὐτομάτῳ ἀνέθεσαν. ὅπερ οὐδὲ τῶν ὡς ἐπὶ τὸ πολὺ γινομένων ἐστὶν αἴτιον, ἀλλὰ μόνων τῶν ὡς ἐπ' ἔλαττον. πολλῆς οὖν ἐμβροντησίας ἂν εἴη, τῶν μὲν ἀεὶ ὡσαύτως ἐχόντων τὸ αὐτόματον αἰτιᾶσθαι, τῶν δὲ μὴ ἀεὶ ὡσαύτως ἐχόντων, ἀλλ' ἔστιν ὅτε καὶ τοῦ σκοποῦ τοῦ φυσικοῦ ἀποτυγχανόντων, οἷα δή τὰ ἐν γενέσει, τούτων πρόνοιαν τινὰ καὶ μὴ τὸ αὐτόματον αἰτιᾶσθαι. ὁ μέντοι διὰ τὸ ἀνόητον τοῦ λόγου ἀπολογούμενος ὑπὲρ αὐτῶν εἴποι ὅτι αὐτόματον ἔλεγον τὴν ὑλικὴν αἰτίαν, ὥσπερ καὶ ἡμεῖς φαμὲν τὰς ποιὰς ἐκ ταὐτομάτου γίνεσθαι, ἐπειδὴ μὴ ἔστι ποιητικόν τι τῆς γενέσεως αὐτῶν αἴτιον, ἀλλ' ἐκ τῆς ὑλικῆς αἰτίας τὴν γένεσιν ἔχουσι.

» ΚΑΙΤΟΙ εἰ οὕτως ἔχει, τοῦτό γε αὐτὸ ἄξιον ἐπιστάσεως· καὶ καλῶς ἔχει λεχθῆναί τι περὶ αὐτοῦ τούτου. πρὸς γὰρ τῷ καὶ ἄλλως ἄτοπον εἶναι τὸ λεγόμενον, ἔτι ἀτοπώτερον τὸ λέγειν ταῦτα, ὁρῶντας ἐν μὲν τῷ οὐρανῷ, οὐδὲν ἀπὸ ταὐτομάτου γινόμενον.

Εἰ οὕτως ἔχει ταῦτά φησιν, ἄξιόν ἐστιν αὐτὸ τοῦτο ἐπιστάσεως, διὰ τὸ ἄλογον τοῦ πράγματος. καὶ οὐκ ἔδει αὐτοὺς οὕτως ἀνεξετάστως παρελθεῖν, ἀλλ' εἰπεῖν τι περὶ τοῦ αὐτομάτου τούτου τί ποτέ ἐστιν, ὃ τῶν τηλικούτων ἐστὶν αἴτιον.

» ΕΝ δὲ τοῖς ἀπὸ τύχης, πολλὰ συμβαίνοντα ἀπὸ τύχης. καίτοι εἰκός γε ἦν τοὐναντίον γενέσθαι.

Οὐκ ἀπὸ τύχης φησὶ τὰ ἐν γενέσει καὶ φθορᾷ. ταῦτα γὰρ ἐκεῖνοι οὐκ ἀπὸ τύχης εἶναι ἔλεγον. ἐν οἷς οὖν ἐκεῖνοι λέγουσι μὴ εἶναι ἀπὸ τύχης, πολλὰ φαίνονται ἀπὸ τύχης, καὶ τοῦ αὐτομάτου. οἷόν ἐστι τὰ παρὰ φύσιν τικτόμενα. τὰ γὰρ ἀπὸ τύχης ἐπ' ἔλαττον. τοιαῦτα δὲ τὰ παρὰ φύσιν. ἐν δὲ τοῖς οὐρανίοις οὐδέν ἐστιν ἐπ' ἔλαττον, ἅπερ ἐκεῖνοί φασιν ἀπὸ τύχης.

» ΕΙΣΙ δέ τισιν, οἷς δοκεῖ εἶναι μὲν αἰτία ἡ τύχη. ἄδηλος δὲ ἀνθρωπίνῃ διανοίᾳ, ὡς θεῖόν τι οὖσα, καὶ δαιμονιώτερον. ὥστε σκεπτέον καὶ τί ἑκάτερον, καὶ εἰ ταὐτὸν ἢ ἕτερον τό, τε αὐτόματον καὶ ἡ τύχη. καὶ πῶς εἰς τὰ διωρισμένα αἴτια ἐμπίπτουσιν.

Ἕτεροι δέ τινές φασιν, εἶναι μέν τι ὃ τύχην λέγουσι, θεῖόν τι, ἢ δαιμόνιον οὖσαν χρῆμα, ἄδηλον δὲ εἶναι τοῦτο τῇ ἡμετέρᾳ διανοίᾳ, καὶ ὁρίζονται ταύτην ἀπὸ τῆς ἑαυτῶν ἀγνοίας, τύχην λέγοντες εἶναι τὸ ἄδηλον ἀνθρωπίνῃ διανοίᾳ. τοῦτο δ' οὐκ ἔστιν εἰπεῖν, τί ποτέ ἐστιν ἡ τύχη, ἀλλὰ τί οὐκ ἔστιν. ὥστε σκεπτέον, καὶ τί ἐστιν ἑκάτερον. ἐπειδὴ ἔδειξεν ὅτι ἔστι, δεῖ φησιν ἐπὶ τὰ λοιπὰ τῶν προβλημάτων μετελθεῖν, καὶ δεῖξαι τί τέ ἐστιν ἑκάτερον, καὶ τί διαφέρουσι, καὶ ἐν ποίαις τῶν αἰτιῶν αὐτὰ ἀνακτέον.

» ΠΡΩΤΟΝ μὲν οὖν ἐπειδὴ ὁρῶμεν τὰ μὲν ἀεὶ ὡσαύτως γινόμενα. τὰ δὲ, ὡς ἐπὶ τὸ πολύ, φανερὸν ὅτι οὐδετέρου τούτων αἰτία ἡ τύχη λέγεται, οὐδὲ τὸ ἀπὸ τύχης. οὔτε τοῦ ἐξ ἀνάγκης καὶ ἀεὶ, οὔτε τοῦ ὡς ἐπὶ τὸ πολύ. ἀλλ' ἐπειδὴ ἔστιν ἃ γίνεται καὶ παρὰ ταῦτα, καὶ πάντες ταῦτά φασιν εἶναι ἀπὸ τύχης, φανερὸν ὅτι ἔστι τι ἡ τύχη καὶ τὸ αὐτόματον.

Δείξας ὅτι ἔστιν ἡ τύχη, τῷ λῦσαι τὰς φερομένας εἰς αὐτὴν ἀπορίας, καὶ τὴν τῶν πραγμάτων φύσιν, καὶ τὰς κοινὰς πάντων ἐννοίας μαρτυράμενος, μέτεισιν ἐπὶ τὰ προτεθέντα προβλήματα, καὶ ζητεῖ τί ποτέ ἐστιν ἡ τύχη, καὶ τὸ αὐτόματον. πρότερον δὲ διδάσκει, τί ὑπάρχει αὐτοῖς κοινόν. ἔπειτα τί διαφέρουσιν ἀλλήλων. καὶ ἐπειδή ἐστι τὸ κοινῶς λεγόμενον αὐτόματον, ὃ κατηγορεῖται κατά τε τύχης καὶ τοῦ ἰδίως λεγομένου αὐτομάτου, διαλέγεται καὶ περὶ αὐτοῦ. εἶτα ἐφεξῆς, περὶ τοῦ ἰδίως λεγομένου αὐτομάτου. ἵνα οὖν εὕρῃ τί ποτέ ἐστιν ἡ τύχη, καὶ τὸ αὐτόματον, ἐπεὶ πολλαχοῦ σαφέστερά ἐστι τὰ αἰτιατὰ τῶν αἰτίων, καὶ ἐκ τῶν αἰτιατῶν γινώσκομεν τὰ αἴτια, διὰ τοῦτο πρῶτον διδάσκει τίνα λέγεται εἶναι ἀπὸ τύχης, καὶ ἀπὸ αὐτομάτου. δῆλον γὰρ ὅτι εἰ ἔγνωμεν τίνα ποτέ ἐστι ταῦτα, ἐκ τούτων καὶ εἰς τὸ ποιητικὸν αὐτῶν αἴτιον ἀναχθῆναι δυνάμεθα. ἵνα οὖν γνῷ τίνα ἐστὶ ταῦτα, λαμβάνει τῶν γινομένων πλείους διαιρέσεις, ἐξ ὧν συνάγει τί ἐστιν ἑκάτερον, καὶ τὸν ὁρισμὸν αὐτῶν ἀποδίδωσι. τῶν γινομένων φησὶ τὰ μὲν ἀεὶ ὡσαύτως γίνεται, τὰ δὲ ὡς ἐπὶ πολὺ, τὰ δὲ ὡς ἐπ' ἔλαττον. ἀεὶ μὲν γὰρ ὡσαύτως γίνεται τὰ οὐράνια. ἀεὶ μὲν γὰρ ὁ ἥλιος κατὰ τὴν ἡμέραν τήνδε ἐν κριῷ γίνεται, κατὰ τήνδε ἐν ταύρῳ. καὶ ἐπὶ πάντων ὁμοίως τῶν οὐρανίων. ἐπὶ πολὺ δὲ γίνεται τὰ φυσικά. ὡς ἐπὶ πολὺ γὰρ πεντεδάκτυλον ἡ φύσις ποιεῖ. ἔστι δὲ καὶ τὰ ἀντικειμένως ἔχοντα τούτοις τὰ ἐπ' ἔλαττον γινόμενα. ἐπεὶ γάρ ἐστί τινα ὡς ἐπὶ τὸ πλεῖστον γινόμενα καὶ μὴ ἔχοντα ἀναγκαίαν ἀεὶ τὴν ἔκβασιν, ἅπερ ἐστὶ τὰ φυσικὰ, καὶ τὰ τεχνητά. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ καὶ ἡ φύσις, καὶ τέχνη τοῦ σκοποῦ τυγχάνει, ἐξ ἀνάγκης δεῖ εἶναί τινα καὶ ἐπ' ἔλαττον, ἃ τὴν ἀναγκαίαν ἐκείνων γένεσιν διακόπτει. παραλιμπάνει δὲ τὰ ἐπίσης ὁ Ἀριστοτέλης, ἅτινα ἐπὶ μόνῃ τῇ προαιρέσει τῇ ἡμετέρᾳ τὸ εἶναι ἔχει, ὡς προδήλου ὄντος ὅτι τὰ ἀπὸ τύχης, καὶ τοῦ αὐτομάτου τῶν οὐκ ἐφ' ἡμῖν εἰσὶ, τὰ δὲ ἐπίσης τῶν ἐφ' ἡμῖν. ἐπεὶ οὖν τὰ ἐξ ἀνάγκης, καὶ τὰ ἐπὶ πολὺ, καὶ τὰ ἐπ' ἔλαττον τῶν οὐκ ἐφ' ἡμῖν, καὶ τὰ ἀπὸ τύχης δὲ τῶν οὐκ ἐφ' ἡμῖν, ζητεῖ ἐν ποίῳ τούτων θετέον τὴν τύχην, καὶ τὸ αὐτόματον. καὶ οὐκ ἄν τις ἀπορήσειε, διατί μὴ τῶν ἀδυνάτων ἐμνήσθη. δῆλον γὰρ ὅτι τῶν γινομένων ποιεῖται τὴν διαίρεσιν. τὸ δὲ ἀδύνατον οὐκ ἂν γένοιτο. ὥστε εἰκότως οὐκ ἐμνή-

ἀπὸ τύχης· ἀλλὰ καὶ τοῦτο θαυμαστόν. πολλὰ γὰρ καὶ γίνεται, καὶ ἔστιν ἀπὸ τύχης καὶ αὐτομάτου.

Ἐν τούτοις ἀπαριθμουμένων, πότερον ὡς ποιητικὸν, ἤ τι τῶν λοιπῶν φησιν. ἀπαριθμεῖται δὲ τὰ προβλήματα πάλιν ὥσπερ εἴρηται. αἴτιον τὸ βούλεσθαι ἀγοράσαι ἐλθόντα. ἀγοράσαι, τουτέστιν εἰς ἀγορὰν διατρίψαι. ἀεὶ στοχάζεσθαι, ποῦ δή τις κλαπέντα ἀγοράσαι καὶ στράτιον. ἐπεὶ εἴγε τι ἦν τύχη, ὡς ἀληθῶς ἦν ἀπορία ὅτι οὐδὲ εὐδόξων πρὸ τούτων ἔχουσα τὸν λόγον. ὅτι μηδεὶς τῶν σοφῶν τὰς αἰτίας τῶν γινομένων ἀποδιδοὺς, τύχην καὶ αὐτόματον μετὰ τῶν αἰτίων κατηρίθμησεν. ἀλλ' ἦν νεῖκος καὶ φιλίαν, ἢ πῦρ, ἢ νοῦν, ἤ τι τῶν ἄλλων. ἀλλὰ καὶ τοῦτο θαυμαστόν. ὅθεν ἡ λύσις τῶν ἠπορημένων. καὶ πῶς τὴν προτέραν λύεται ἀπορίαν. αὐτό φησι τοῦτο ἐξ οὗ τὴν ἀπορίαν κατεσκεύαζε, θαυμαστὸν ἂν εἴη. τί δή ποτε δυνατὸν ὂν εἰς ὡρισμένας αἰτίας ἀνάγειν τὰ λεγόμενα ὑπὸ τύχης γίνεσθαι, ὅμως οὐ πάντα τὰ λεγόμενα εἰς ὡρισμένας αἰτίας ἀνάγουσιν οἱ ἄνθρωποι, ἀλλ' εἶναι τινά φασι καὶ ἀπὸ τύχης γινόμενα. τοῦτο δὲ οὐκ ἂν ἔπαθον λέγω δὴ τὸ σαφοῦς οὔσης τῆς ὡρισμένης αἰτίας, εἰς ἣν δυνατὸν τὸ ἀπὸ τύχης ἀνάγειν, ὅμως τύχην τῶν τοιούτων αἰτιᾶσθαι, εἰ μή τις ἦν παρὰ τὴν ὡρισμένην αἰτίαν ἡ τύχη, τὴν μαρτυρίαν ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως ἔχουσα. ὅθεν ὡς εὗρον τῇ κατὰ τοιαύτην αἰτίαν ἁμαρτάνοντας καὶ συγγνώμης πάντας ἀξιοῦμεν.

Ἃ ΟΥΚ ἀγνοοῦντες ὅτι ἔστιν ἐπανενεγκεῖν ἕκαστον ἐπί τι αἴτιον τῶν γινομένων, καθάπερ ὁ παλαιὸς λόγος εἶπεν ὁ ἀναιρῶν τὴν τύχην, ὅμως τούτων τὰ μὲν εἶναί φασι πάντες ἀπὸ τύχης, τὰ δ' οὐκ ἀπὸ τύχης.

Οὐκ ἀγνοοῦντες πάντες οἱ ἄνθρωποι, ὅτι τὰ ἀπὸ τύχης λεγόμενα δυνατὸν ἐπί τι αἴτιον ὡρισμένον ἀνενεγκεῖν, ὥσπερ καὶ οἱ ἀναιροῦντες τὴν τύχην φασὶν, ὅμως οὐκ ἀναφέρουσι.

ΔΙΟ καὶ ἁμωσγέπως ἦν ποιητέον αὐτῆς μνείαν. ἀλλὰ μὴν οὐδ' ἐκείνων γέ τι ᾤοντο εἶναι τὴν τύχην. οἷον, φιλίαν, ἢ νεῖκος, ἢ πῦρ, ἢ νοῦν, ἢ ἄλλο γέ τι τῶν τοιούτων. ἄτοπον οὖν εἴτε μὴ ὑπελάμβανον εἶναι, εἴτε οἰόμενοι παρέλειπον. καὶ ταῦτ' ἐνίοτε χρώμενοι. ὥσπερ Ἐμπεδοκλῆς, οὐκ ἀεὶ τὸν ἀέρα, ἀποκρίνεσθαι ἀνωτάτω φησὶ, ἀλλ' ὅπως ἂν τύχῃ. λέγει γοῦν ἐν τῇ κοσμοποιίᾳ, ὡς οὕτω συνέκυρσε θέων τοτὲ, πολλάκι δ' ἄλλως. καὶ τὰ μόρια τῶν ζῴων ἀπὸ τύχης γενέσθαι τὰ πλεῖστά φησι.

Τῆς δευτέρας ἀπορίας ἡ λύσις, ὅτι ἔδει τοὺς περὶ τῶν φυσικῶν αἰτίων διαλεχθέντας, κἂν κατὰ μικρὸν γοῦν περὶ αὐτῶν διαλεχθῆναι. οὐ γὰρ διὰ τὸ μὴ διαλεχθῆναι αὐτοὺς περὶ τούτων, ἀνῄρηται ἡ τύχη καὶ τὸ αὐτόματον. ἀλλ' ἐπεὶ κατὰ κοινὴν ἔννοιαν πάντες εἶναι ταῦτα ὁμολογοῦμεν, ἔδει καὶ τοὺς ἀρχαίους, κἂν πρὸς μικρὸν περὶ αὐτῶν διαλεχθῆναι. ἀλλὰ μὴν οὐδὲ ἐκείνων γέ τι ᾤοντο εἶναι τὴν τύχην, ἵνα μή τις εἴπῃ ὅτι διειλέχθησαν περὶ τύχης, καὶ τοῦ αὐτομάτου. τὴν γὰρ φιλίαν ὁ Ἐμπεδοκλῆς, καὶ τὸ νεῖκος, ταῦτα εἶναι ᾤετο. ἢ γοῦν τὸ πῦρ Ἡράκλειτος, ἢ τὸν νοῦν Ἀναξαγόρας. φησὶν οὖν, οὐ ταῦτα τύχην, ἢ τὸ αὐτόματον ὑπελάμβανον. πρῶτον μὲν ὅτι οὐ διώρισαν αὐτὸ τοῦτο. ἔπειτα τὰ μὲν παρ' αὐτῶν ἀποδιδόμενα αἴτια, ὡρισμένα τε καὶ ὡρισμένων ποιητικά. τῆς γὰρ φιλίας ἔργον τὸ συγκρίνειν, καὶ τοῦ νείκους τὸ διακρίνειν. καὶ τοῦ κατὰ Ἀναξαγόραν νοῦ ἔργον, τὸ βουλεύεσθαι διακρίνειν τὰς ὁμοιομερείας. ἡ δὲ τύχη καὶ τὸ αὐτόματον, ἀόριστά τε καὶ ἀορίστων ποιητικά. ἄτοπον οὖν εἴτε μὴ ᾤοντο, εἴτε οἰόμενοι παρελίμπανον. εἴτε γὰρ μὴ ᾤοντο εἶναι τὴν τύχην, ἔδει αὐτὸ τοῦτο εἰπεῖν, ὁρῶντας πολλὴν ἐν πᾶσιν οὖσαν τὴν περὶ αὐτῆς δόξαν. εἴτε ᾤοντο μὲν, μηδὲν δὲ περὶ αὐτῆς διειλέχθησαν, οὐκ ἐκφύγοιεν τὸ ἔγκλημα. καίτοι μνησθέντες αὐτῆς ἐν τοῖς ἑαυτῶν λόγοις, οὔτε τί ποτέ ἐστιν εἰρήκασιν, οὔτε ποίαν τάξιν ἔχει ἐν αἰτίοις.

ΕΙΣΙ δέ τινες, οἳ καὶ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον. ἀπὸ ταὐτομάτου γὰρ γίνεσθαι τὴν δίνην, καὶ τὴν κίνησιν, τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν. καὶ μάλα τοῦτό γε αὐτὸ θαυμάσαι ἄξιον, λέγοντας τὰ μὲν ζῷα καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι μήτε γίνεσθαι, ἀλλ' ἤτοι φύσιν ἢ νοῦν, ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον. οὐ γὰρ ὅ τι ἔτυχεν ἐκ τοῦ σπέρματος ἑκάστου γίνεται, ἀλλ' ἐκ μὲν τοῦ τοιουδὶ, ἐλαία. ἐκ δὲ τοῦ τοιουδὶ, ἄνθρωπος. τὸν δ' οὐρανὸν καὶ τὰ θειότερα τῶν φανερῶν, ἀπὸ αὐτομάτου γενέσθαι. τοιαύτην δ' αἰτίαν μηδεμίαν, οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν.

Θαυμαστῶς κεῖται τὸ τοῦδε, ὅτι τῶν τηλικούτων, καὶ τῶν τοιούτων, καὶ τῶν ἐν τοῖς φανεροῖς θειοτέρων, ἄλογον καὶ ἀόριστον τοῦ εἶναι αἰτίαν ἔθεντο. ἀπὸ ταὐτομάτου γάρ φασι γίνεσθαι τὴν δίνην, καὶ τὴν κίνησιν τὴν διακρίνασαν, καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν. ἐπειδὴ ἕκαστον τῶν στοιχείων ἰδίαν κίνησιν ἔχει ἥτις αὐτὸ διακρίνει τῶν ἄλλων. ἅμα γὰρ τῷ συστῆναι πῦρ κάτω, χωρεῖ εἰς τὸν οἰκεῖον τόπον, καὶ διακρίνεται τῶν ἑτερογενῶν. ὁμοίως κἂν ἄνω συστῇ ὕδωρ ἢ γῆ, εὐθὺς εἰς τὸν οἰκεῖον χωρεῖ τόπον. καὶ τὸ ὕδωρ δὲ πέφυκεν εἰς τὰ κοιλώματα τῆς γῆς συρρεῖν, καὶ ἡ γῆ ὑφίστασθαι τῷ ὕδατι. καὶ ἀμφοῖν ταῦτα, τῷ ἀέρι. τὴν τοιαύτην οὖν αὐτῶν κίνησιν ἐξ ἧς διακρίνονται ἀλλήλων, κατὰ τύχην αὐτοῖς γίνεσθαί φασι. καὶ τὴν δίνην δὲ τὴν εἰς τοιαύτην τάξιν τὸ πᾶν καταστήσασαν ὅπως ἔχει νῦν, ὥστε συμπεριάγεσθαι τῷ οὐρανῷ τὸν ἀέρα, διὰ τὴν ὀξεῖαν δὲ περιδίνησιν τὴν γῆν ἐν τῷ μέσῳ φυλάττεσθαι, ὁμοίως ἐκ ταὐτομάτου φασὶ γενέσθαι καὶ ἀπὸ τύχης. ὅπερ φησὶ καὶ θαυμάσαι ἐστὶν ἄξιον, ὅπως ἐπὶ ζῴων μὲν

τίαν. ὥσπερ δὲ ὑπ' αὐτῆς τῆς ἀληθείας, καὶ τῶν κοινῶν ἐννοιῶν ἀναγκαζόμενοι πάντες ἄνθρωποι οὐ τὴν ἀφωρισμένην αἰτίαν, ἀλλὰ τὴν τύχην τῶν οὕτω γινομένων αἰτιῶνται, πῶς οὐ τοὐναντίον οὗ ἐβουλήθη κατεσκεύασεν ἡ ἀπορία. ὅθεν καὶ συγγνώμης ἀξιοῦμεν πάντες ἄνθρωποι τοὺς πρᾶξίν τινα τῶν ἀπηγορευμένων ἐκ τοιαύτης αἰτίας ἐνεργοῦντας. οἷον δισκεύων τις ὥστε κατὰ τοῦ φίλου τὸν δίσκον μὴ βουλόμενος. ὁ δὲ πληγεὶς τέθνηκε. καὶ συγγνώμης παρὰ πάντων ἀξιοῦται ὁ φονεύσας. ἀπὸ τύχης γὰρ τὸν φόνον γενέσθαι φαμὲν, οὐκ ἀπὸ προαιρέσεως. καίτοι ἔξεστι κἀπὶ τούτων εἰπεῖν ὅτι ἡ προαίρεσις αἰτία τοῦ φόνου. εἰ γὰρ μὴ προείλετο ἀφεῖναι τὸν δίσκον, οὐκ ἂν ἐπλήγη ὁ φίλος. ἀλλ' ὅμως οὐδεὶς τὴν προαίρεσιν αἰτιᾶται, ἐπεὶ ἔδωκεν ἂν τὴν τῆς τοιαύτης προαιρέσεως δίκην. ἀλλὰ τῆς μὲν ἀφέσεως, ἡ προαίρεσις, τοῦ φόνου δὲ οὐχ ἡ προαίρεσις, ἀλλ' ἡ τύχη. ἔστιν ἄρα καὶ ἡ τύχη τινῶν αἰτία. ἡ μὲν οὖν πρὸς τὴν προτέραν αἰτίαν ἀπάντησις, αὕτη. πρὸς δὲ τὴν δευτέραν ἀπορίαν φησὶν, ὅτι οὐκ ἐπειδὴ οὐδεὶς τῶν ἀρχαίων αἰτίαν τινῶν εἶπεν εἶναι τὴν τύχην, παρὰ τοῦτο ἀνῄρηται ἡ τύχη. ἀλλ' ἐπειδὴ ἔστιν ἡ τύχη, κακῶς οἱ πρότεροι παρῆκαν τὴν αἰτίαν ταύτην, καὶ οὐδὲν περὶ αὐτῆς εἰρήκασιν. ἐγκαλεῖ δὲ καὶ τοῖς προτέροις φυσιολόγοις, ὅτι καίτοι τινὰ ἀπὸ τύχης λέγοντες γίνεσθαι, οὐδὲν περὶ τύχης διελέχθησαν, τίς τέ ἐστι, καὶ πῶς αἰτία τῶν ἐξ αὐτῆς γινομένων. ὁ μὲν οὖν Ἐμπεδοκλῆς ἀπὸ τύχης φησὶ τὸν ἀέρα τὴν ἄνω χώραν καταλαβεῖν. συγκεχυμένων γὰρ ὄντων πάντων ἅμα ἐν τῷ σφαίρῳ, πρότερον διακριθέντα ὑπὸ τοῦ νείκους, ἕκαστον ἐνεχθῆναι εἰς τὸν τόπον ἐν ᾧ νῦν ἐστιν, οὐκ ἀπό τινος προνοίας, ἀλλ' ὅπως ἔτυχε. λέγει γοῦν περὶ τῆς τοῦ ἀέρος ἤδη τὸ ἄνω κινήσεως. ὡς οὕτω συνέκυρσε θέων τότε· πολλάκι δ' ἄλλως. νῦν μὲν γὰρ ὑπὲρ τὴν γῆν εἶναι τὸ ὕδωρ, ἄλλοτε δ' εἰ τύχοι, ἐν ἑτέρᾳ κοσμοποιΐᾳ, ἡνίκα πάλιν ἀπὸ τοῦ σφαίρου γίνεται κόσμος, ἄλλην τινὰ τάξιν, καὶ τόπον ἀπολαβεῖν. καὶ τὰ μόρια δὲ τῶν ζῴων κατὰ τύχην οὕτω τὰ πλεῖστα γενέσθαι φασὶν, ὡς ἂν εἰ ἀπὸ προνοίας ἐγένοντο. τοὺς μὲν ἐμπροσθίους ὀδόντας ὀξεῖς, πρὸς τὸ τέμνειν ἐπιτηδείους, τοὺς δὲ γομφίους, πρὸς τὸ λεαίνειν. ὥστε κατηγορίας ἄξιοι, διότι ὅλως τινὰ λέγοντες εἶναι ἀπὸ τύχης, οὐδὲν περὶ τῆς τύχης διωρίσαντο. ἀλλ' ὁ μὲν Ἐμπεδοκλῆς μικρῶν τινῶν τὴν τύχην αἰτιασάμενος, εἰ μηδένα αὐτῆς πεποίηται λόγον, ἧττον ἐστὶ κατηγορίας ἄξιος. εἰσὶ δέ τινες φησὶ, λέγει δὲ τοὺς περὶ Δημόκριτον, οἳ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν θειοτάτων αἰτίαν αὐτὴν ἡγησάμενοι, οὐδὲ ἤδη σμικρόν τι περὶ αὐτῆς διελέχθησαν. ἀπείρους γὰρ κόσμους ὑποτιθέμενος ὁ Δημόκριτος, κατὰ τύχην μὲν ἔλεγε τῷδε τῷ μέρει τοῦ κενοῦ ἀπείρου ὄντος, τὸν κόσμον τοῦτον γενέσθαι. ἐν ἄλλῳ δὲ ἄλλον. ἀλλὰ καὶ αὐτῆς τῆς τῶν ὄντων διακοσμήσεως, τὴν τύχην αἰτίαν φησὶν εἶναι. τάς τε γὰρ ἀτόμους κατὰ τύχην κινουμένας συνελθεῖν, καὶ ποιῆσαι ἐξωτέρω μὲν τοῦ κόσμου παντὸς, τὸν οὐρανὸν, καὶ ἐφεξῆς ὡς ἔχει τάξεως, τὰ λοιπά. καὶ τὴν γῆν δὲ κατὰ τύχην ἑστάναι. τὴν γὰρ τοῦ οὐρανοῦ δίνην συμπεριάγειν ἑαυτῇ τὸν ἐντὸς ἀέρα. ὑπὸ δ' ὁ ἀὴρ διὰ τὸ συνεχὴς εἶναι τῇ γῇ πανταχόθεν αὐτῆς ἁπτόμενος, τῇ ὀξείᾳ περιδινήσει οὐκ ἐᾷ αὐτὴν καταπίπτειν, ἀλλ' ἀκίνητον φυλάττει, ὥσπερ οἱ τὰς φιάλας πεπληρωμένας ὕδατος περιάγοντες, καὶ μὴ ἐκχέοντές τι τοῦ ὕδατος διὰ τὴν ὀξεῖαν περιαγωγήν. ταχυτέρα γὰρ οὖσα ἡ κίνησις καὶ ἡ περιαγωγὴ τοῦ περιέχοντος, τῆς κατὰ φύσιν τοῦ ἐντὸς κινήσεως, φθάνει περιελθεῖν πρὶν ἐκεῖνο τῆς οἰκείας ἐκπεσεῖν ἕδρας. ὅθεν καὶ μέμφεται τῷ Δημοκρίτῳ, ὅτι τῶν μὲν μερικῶν οὐδὲν ἀπὸ τύχης γίνεσθαί φησιν. οὐ γὰρ ἐκ τοῦ τυχόντος γίνεσθαι τὸ τυχόν. καὶ ἐν τῇ κατὰ μέρος ἀποδόσει, οἷον διατί τὰ θερμὰ διακρίνει, καὶ τὰ λευκὰ, ἢ διατί τὸ μέλι γλυκὺ, τὴν θέσιν, καὶ τὴν τάξιν, καὶ τὸ σχῆμα τῶν ἀτόμων αἰτιᾶται. αὐτῆς δὲ τῆς τῶν ὅλων γενέσεως, τὸ αὐτόματον αἴτιον εἶναί φησι. καίτοι φησὶ τοὐναντίον ἔδει. ἐν μὲν τοῖς οὐρανίοις, καὶ ταῖς τῶν στοιχείων ὁλότησι, μηδὲν ἀπὸ τύχης μηδὲ ἀπὸ ταὐτομάτου εἶναι λέγειν. ἐν τοῖς κατὰ μέρος δὲ, εἰ ἄρα, τὴν τύχην καὶ τὸ αὐτόματον αἰτιᾶσθαι. ἐν μὲν γὰρ τοῖς οὐρανίοις, οὐδὲν ἐνδεχομένως γίνεται, οὐδὲ ποτὲ μὲν ἔστι, ποτὲ δὲ οὐκ ἔστιν. ἀλλ' ἀεὶ ὡσαύτως ἔχουσι τὰ οὐράνια, καὶ αἱ τῶν στοιχείων ὁλότητες. τὰ δὲ κατὰ μέρος, οὐκ ἔχουσι τὸ ἀναγκαῖον. οὐ γὰρ ἀεὶ πεντάδακτυλον ἡ φύσις ποιεῖ, ἀλλ' ἔστιν ὅτε καὶ ἀποτυγχάνει τοῦ σκοποῦ. εἰ τοίνυν ἡ τύχη, καὶ τὸ αὐτόματον, οὐκ ἐκ τῶν ἐξ ἀνάγκης γινομένων, ἀλλὰ τῶν ὡς ἐπ' ἔλαττον, εὐλογώτερον τῶν κατὰ μέρος αὐτὴν αἰτιᾶσθαι, ἅπερ οὐκ ἔχει τὸ ἀναγκαῖον, ἢ τῶν ὁλοτήτων ἐν αἷς ἐστιν ἀεὶ τὸ ἀναγκαῖον. ἀλλ' ὅμως καὶ τὸ αὐτόματον, καὶ τὴν τύχην τῶν τηλικούτων αἰτιασάμενος, οὐδένα λόγον ἡμῖν περὶ τύχης καὶ αὐτομάτου κατεβάλετο.

ΤΙΝΑ οὖν τρόπον ἐν τούτοις ἐστὶ τοῖς αἰτίοις ἡ τύχη καὶ τὸ αὐτόματον. καὶ πότερον τὸ αὐτὸ ἡ τύχη καὶ τὸ αὐτόματον, ἢ ἕτερον, καὶ τί ἐστιν ὅλως ἡ τύχη καὶ τὸ αὐτόματον ἤδη σκεπτέον. Ἔνιοι γὰρ καὶ εἰ ἔστιν ἢ μὴ, ἀποροῦσιν. οὐδὲν γὰρ γίνεσθαι ἀπὸ τύχης φασὶν, ἀλλὰ πάντων εἶναί τι αἴτιον ὡρισμένον, ὅσα λέγομεν ἀπὸ ταὐτομάτου γίνεσθαι, ἢ τύχης. οἷον, τοῦ ἐλθεῖν ἀπὸ τύχης εἰς τὴν ἀγορὰν, καὶ καταλαβεῖν ὃν ἐβούλετο μὲν, οὐκ ᾤετο δὲ, αἴτιον τὸ βούλεσθαι ἐλθόντα ἀγοράσαι, ὁμοίως δὲ καὶ ἤδη τῶν ἄλλων τῶν ἀπὸ τύχης λεγομένων, ἀεί τι εἶναι λαβεῖν τὸ αἴτιον, ἀλλ' οὐ τύχην. ἐπεὶ εἴ γέ τι ἦν ἡ τύχη, ἄτοπον ἂν φανείη ὡς ἀληθῶς, καὶ ἀπορήσειεν ἄν τις, διατί ποτε οὐδεὶς τῶν ἀρχαίων σοφῶν τὰ αἴτια περὶ γενέσεως καὶ φθορᾶς λέγων, περὶ τύχης οὐδὲν διώρισεν. ἀλλ' ὡς ἔοικεν, οὐδὲν ᾤοντο οὐδ' ἐκεῖνοι εἶναι

ΔΕΙ δ' ἀεὶ τὸ αἴτιον ἑκάστου τὸ ἀκρότατον ζητεῖν· ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων. οἷον, ἄνθρωπος οἰκοδομεῖ, ὅτι οἰκοδόμος· ὁ δ' οἰκοδόμος, κατὰ τὴν οἰκοδομικήν. τοῦτο τοίνυν πρότερον τὸ αἴτιον. καὶ οὕτως ἐπὶ πάντων.

Ὅτι τὸ αἴτιον ζητοῦντας, δεῖ τὸ ἀκρότατον ζητεῖν· τουτέστι τὸ προσεχέστατον. τεχνικὸν γὰρ τὸ, αἴτιον ἀποδιδόντας, μὴ τὸ τυχὸν ἀποδιδόναι, ἀλλὰ τὸ κυριώτατον. κυριώτατον δὲ τὸ προσεχέστατον. οἷον διατί ὁ ἄνθρωπος οἰκοδομεῖ ἐρωτηθέντας, οὐ δεῖ λέγειν, ὅτι τεχνίτης ἐστὶν, ἀλλ' ὅτι οἰκοδόμος· διατί δὲ οἰκοδόμος, διότι ἔχει τὴν οἰκοδομικὴν τέχνην. περαιτέρω δὲ προβαίνειν, εὔηθες· πρῶτον γὰρ καὶ προσεχέστατον αἴτιον τῆς οἰκίας, ἡ οἰκοδομικὴ τέχνη.

ΕΤΙ τὰ μὲν γένη, τῶν γενῶν· τὰ δὲ καθέκαστα, τῶν καθέκαστα. οἷον, ἀνδριαντοποιὸς μὲν ἀνδριάντος, ὁδὶ δὲ τουδί.

Ἕτερον θεώρημα καὶ αὐτὸ τεχνικὸν πάνυ· ἀπαιτούμενοι αἰτίαν τινὸς, εἰ μὲν τὸ γενικώτατον εἴη, γενικὴν καὶ τὴν αἰτίαν ἀποδιδόναι. οἷον, τίς αἴτιος τοῦδε τῆς εἰκόνος, ὁ δεῖνα ὁ ζωγράφος. ἁπλῶς δ' εἰκόνος, ζωγράφος, οὐχ ὁ δεῖνα, ἀλλ' ἁπλῶς.

ΚΑΙ τὰς μὲν δυνάμεις τῶν δυνατῶν· τὰ δὲ ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα.

Ἕτερον θεώρημα ὅτι τῶν δυνάμει αἰτιατῶν, αἴτια ἀποδοτέον τὰ δυνάμει. οἷον τῆς οἰκοδομηθησομένης οἰκίας, ὁ οἰκοδομήσων οἰκοδόμος. τῶν δὲ ἐνεργείᾳ αἰτιατῶν, τὰ ἐνεργείᾳ αἴτια, τῆς οἰκοδομουμένης τὸν οἰκοδομοῦντα.

ΟΣΑ μὲν οὖν τὰ αἴτια, καὶ ὃν τρόπον αἴτια, ἔστω ἡμῖν διωρισμένα ἱκανῶς. λέγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, τῶν αἰτίων, καὶ πολλὰ καὶ εἶναι, καὶ γίνεσθαι διὰ τύχην καὶ διὰ τὸ αὐτόματον.

Διαλεχθεὶς περὶ τῶν καθ' αὑτὸ αἰτίων, καὶ περὶ τῶν κατὰ συμβεβηκὸς, καὶ διαστειλάμενος αὐτὰ ἀπ' ἀλλήλων, καὶ ἀκριβῶς τὸν περὶ αὐτῶν διεξελθὼν λόγον, ἐπειδὴ τῶν κατὰ συμβεβηκὸς αἰτίων ἐστὶ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον, βούλεται καὶ περὶ αὐτῶν διαλεχθῆναι. καὶ γὰρ πολλά φαμεν καὶ εἶναι, καὶ γίνεσθαι ἀπὸ τύχης, καὶ ἀπὸ ταυτομάτου. καὶ ζητεῖ περὶ αὐτῶν, ἵνα ἀνάπαλιν τῇ τάξει τῆς ἀπαριθμήσεως τῶν προβλημάτων εἴπωμεν ὥσπερ καὶ αὐτὸς, ἐν τίνι τῶν αἰτίων ἀποθετέον τὴν τύχην, καὶ τὸ αὐτόματον. πότερον ἐν τῷ ποιητικῷ, ἢ ἐν τῷ τελικῷ, ἢ τινὶ τῶν ἄλλων. ἔπειτα τί διαφέρουσιν ἀλλήλων ἥ τε τύχη καὶ τὸ αὐτόματον, καὶ εἴποτε ὅλως ἐστὶν ἡ τύχη, καὶ τὸ αὐτόματον. ἔπειτα τίποτέ ἐστι ταῦτα, ἔπειτα τί διαφέρουσιν ἀλλήλων. καὶ τέταρτον, ἐν ποίῳ ἀποθετέον ταῦτα τῶν αἰτίων. πρότερον οὖν ζητήσει εἰ ἔστιν ὅλως ἡ τύχη, καὶ τὸ αὐτόματον. ἀπορήσει γοῦν εἰς τοὐναντίον, ὅτι μήποτε οὐκ ἔστιν ὅλως ἡ τύχη καὶ τὸ αὐτόματον, ἀλλ' ὀνόματα μόνον ἐστὶ ταῦτα κενὰ ἐν τῇ συνηθείᾳ κατὰ μηδενὸς πράγματος κατηγορούμενα. καὶ γὰρ τῶν λεγομένων ἀπὸ τύχης γίνεσθαι, ἔστι φησὶν εὑρεῖν ὡρισμένα τινὰ αἴτια τῆς γενέσεως. οἷον προῆλθέ τις εἰς ἀγορὰν ἐπί τινα χρείαν, εἶτα ἐλθὼν καταλαμβάνει ἐκεῖσε τὸν φίλον ἐξ ἀποδημίας ἐπανήκοντα, ὃν ἐβούλετο μὲν θεάσασθαι, οὐκ ᾤετο δὲ τηνικαῦτα ἢ ἐξ ἀποδημίας ἐπανήκειν, ἢ εἰς ἀγορὰν εὑρίσκεσθαι. οὗτος λέγεται μὲν ἀπὸ τύχης τῷ φίλῳ περιτετυχηκέναι. κενὴ δὲ πως ἔοικεν αἰτίας εἶναι ἀπόδοσις ἡ τύχη. ἔστι γὰρ ἐπὶ τι ὡρισμένον αἴτιον ἀναγαγεῖν τὴν αἰτίαν τούτου, τὴν κινήσασαν προαίρεσιν εἰς ἀγορὰν ἐλθεῖν. εἰ γὰρ καὶ μὴ διὰ τοῦτο ἡ πρόοδος εἰς ἀγορὰν γέγονεν, ἀλλ' οὐδὲν ἕτερον αἴτιόν ἐστι τῆς τοῦ φίλου εὐτυχίας, ἢ τὸ βουληθῆναι εἰς ἀγορὰν ἐλθεῖν. εἰ τοίνυν τὴν μὲν τύχην ἀόριστον εἶναι αἴτιον καὶ οἱ τιθέμενοι λέγουσιν, ἔστι δὲ τῶν ἀπὸ τύχης λεγομένων γίνεσθαι ὡρισμένον τι αἴτιον ἀποδοῦναι, ἔοικε κενὸν εἶναι μόνον ὄνομα ἡ τύχη. ὁμοίως καὶ ἐπὶ τοῦ αὐτομάτου. ἐν πολέμῳ γὰρ διψήσας τις ἵππος, κατέβαλε τὸν ἐπιβάτην καὶ ἔδραμεν ἐπὶ τὸ ὕδωρ. καὶ συμβολῆς γενομένης, οἱ πληθύσαντες καὶ ἀπώλοντο. λέγεται οὖν ὁ ἵππος ἐκ ταυτομάτου σεσῶσθαι. λίθος κατηνέχθη ἄνωθεν καὶ περιθραυσθεὶς τὰ ἐξέχοντα, γέγονεν εἰς καθέδραν ἐπιτήδειος. καὶ λέγεται ἐκ ταυτομάτου γενέσθαι. ἀλλὰ τούτων ἐστὶν ὡρισμένα αἴτια ἀποδοῦναι, τήν τε φυσικὴν τοῦ λίθου ὁρμὴν τὴν ἐπὶ τὸ κάτω κινήσασαν, καὶ τὴν τοῦ ἵππου δίψαν, δι' ἣν ἐκ τῆς παρατάξεως ἔφυγεν. ὥστε οὐκ ἔστιν ἡ λεγομένη τύχη, καὶ τὸ αὐτόματον τινῶν αἰτία. ἔπειτά φησιν εἰ ἦν τι αἴτιον ἡ τύχη, καὶ τὸ αὐτόματον, τί δήποτε οὐδεὶς τῶν πάλαι σοφῶν τῶν γινομένων ἀποδιδοὺς τὰς αἰτίας, τὴν τύχην καὶ τὸ αὐτόματον ἐν τοῖς αἰτίοις ἀπηριθμήσατο. αἱ μὲν οὖν ἀπορίαι αἱ ἀναιροῦσαι ἐκ τῶν αἰτίων τὴν τύχην, αὗται. ἐπιλύεται δὲ αὐτὰς ὁ ἀριστοτέλης, καὶ τέως τὸν πρότερον λόγον, ἐξ αὐτῶν ὧν οἱ ἀναιροῦντες τὴν τύχην φασί. τὰ γὰρ εἰς ἀναίρεσιν τῆς τύχης προφερόμενα, τοὐναντίον κατασκευάσει καὶ ἐστι τοῦ εἶναι τινῶν αἰτίαν τὴν τύχην. εἰ γὰρ δυνατὸν ἀεὶ πάντα τὰ γινόμενα εἰς τινὰς αἰτίας ὡρισμένας ἀνάγειν, ὡς οἱ ἀποροῦντές φασι καὶ ἀληθῶς ἔχει, ὅμως δὲ κατὰ κοινὴν ἔννοιαν πάντες ἄνθρωποι τὰ μὲν ἀπὸ τύχης γίνεσθαί φασι, τὰ δὲ οὐκ ἀπὸ τύχης. καίτοι οὐκ ἀποροῦντες, καὶ τὰ ἀπὸ τύχης λεγόμενα γίνεσθαι, ἀνάγειν εἰς ὡρισμένας αἰτίας. ἔοικεν ἄρα καὶ ἡ τύχη τινῶν εἶναι αἰτία παρὰ τὴν ὡρισμένην ἀρχήν. τῷ γὰρ ὄντι εἰ μὴ ἀπὸ ὡρισμένης αἰτίας ᾔδεσαν οἱ ἄνθρωποι τινὰ ἐπὶ τὴν ἀόριστον αἰτίαν, τὴν τύχην, καὶ τὸ αὐτόματον, κἂν ἔδοξαν λέγειν τι οἱ ἀποροῦντες. εἰ δὲ προφανὴς μὲν ἐπὶ τῶν ἀπὸ τύχης λεγομένων γίνεσθαι ἡ ὡρισμένη αἰτία. ὥσπερ

καθ' αὑτὸ αἴτιος τοῦ ἀνδριάντος, ὁ δὲ Πολύκλειτος κατὰ συμβεβηκός. συμβέβηκε γὰρ τὸν ἀνδριαντοποιὸν Πολύκλειτον εἶναι. δῆλον δέ ἐστιν ὅτι ἐνταῦθα οὕτω λέγεται τῷ ἀνδριαντοποιῷ συμβεβηκέναι ὁ Πολύκλειτος, ὥσπερ ἐν κατηγορίαις τῷ δεσπότῃ ὁ ἄνθρωπος, καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός. εἰπὼν δὲ τὴν διαφορὰν τοῦ καθ' αὑτὸ, καὶ τοῦ κατὰ συμβεβηκὸς, βούλεται λοιπὸν εἰπεῖν τὸ προσεχὲς καὶ τὸ πόρρω. ἔστι γὰρ προσεχὲς μὲν κατὰ συμβεβηκὸς αἴτιον τοῦ ἀνδριάντος ὁ ἄνθρωπος, πορρωτέρω δὲ τὸ ζῷον, ἢ τὸ ἔμψυχον. οὐ καθ' αὑτὸ γὰρ ὁ ἄνθρωπος αἴτιος τοῦ ἀνδριάντος, ἀλλὰ κατὰ συμβεβηκὸς, διότι συμβέβηκε τῷ ἀνδριαντοποιῷ ἀνθρώπῳ εἶναι.

ΕΣΤΙ ΔΕ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πορρώτερον καὶ ἐγγύτερον. οἷον, εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς λέγοιτο αἴτιος τοῦ ἀνδριάντος.

Εἰς κατασκευὴν τοῦ προτέρου τοῦτο ἐπήγαγεν, ὅτι ἔστι τοῦ συμβεβηκότος τὸ μὲν προσεχὲς τὸ δὲ πόρρω, ἵνα τὸν δὲ αὐτὸ τοῦ γὰρ ἀκούσωμεν. ὃ βούλεται διὰ τούτων δεῖξαι, ὅτι καὶ τῶν τῆς ἄλλης τάξεως συμβεβηκότων, τὰ μὲν οἰκειότερα μᾶλλόν ἐστι τοῖς καθ' αὑτὸ αἰτίοις, τὰ δὲ ἧττον, ἵνα τὸ πορρώτερον καὶ ἐγγύτερον ἀντὶ τοῦ οἰκειότερον, καὶ ἀνοικειότερον ἀκούσωμεν. ὅθεν καὶ τὰ παραδείγματα τὰ τοιαῦτα εἴληφε, τὸν λευκὸν, καὶ τὸν μουσικόν. ὧν οὐδέτερον περιεκτικώτερόν ἐστιν, ἀλλὰ τὸ μὲν μουσικὸν οἰκειότερον. ὅπερ οὐδενὶ ἄλλῳ συμβαίνει, ἢ τῷ ἀνθρώπῳ. ὥσπερ καὶ αὐτῷ τῷ μουσικῷ συμβέβηκεν. ἧττον δὲ οἰκεῖον, τὸ λευκόν. καὶ γὰρ ἄλλοις πολλοῖς παρὰ τὸν ἄνθρωπον.

ΠΑΡΑ πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα, καὶ τὰ κατὰ συμβεβηκὸς, τὰ μὲν ὡς δυνάμενα λέγεται. τὰ δ' ὡς ἐνεργοῦντα. οἷον, τοῦ οἰκοδομεῖσθαι οἰκίαν, ὁ οἰκοδόμος. ἢ ὁ οἰκοδομῶν οἰκοδόμος.

Ὅτι ἔστι καὶ ἑτέρα ἀντίθεσις τῶν τρόπων τῶν αἰτίων, ἡ κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἑτέρα οὖσα τοῦ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. οἰκείως γὰρ λεγόμενα εἶπε τὸ καθ' αὑτό.

ΟΜΟΙΩΣ δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια, τοῖς εἰρημένοις. οἷον, τουδὶ τοῦ ἀνδριάντος, ἢ ἀνδριάντος. ἢ καὶ ὅλως εἰκόνος. καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ, ἢ ὅλως ὕλης.

Ὥσπερ φησὶν ἐπὶ τῶν αἰτίων εἴπομεν, τὰ αὐτὰ καὶ ἐπὶ τούτων ἐροῦμεν ὧν τὰ αἴτια, αἴτιά ἐστι. λέγω δὲ τὰ αἰτιατά. τὸ δὲ ἑξῆς, ὁμοίως δὲ τοῖς εἰρημένοις λεχθήσεται, καὶ ταῦτα ἐφ' ὧν τὰ αἴτια, αἴτιά ἐστιν. οἷον τοῦδε τοῦ ἀνδριάντος, ἢ ἀνδριάντος, ἢ ὅλως εἰκόνος τῆς ἰδέας, ὡς αἰτιατοῦ παραδείγματος. προσεχέστατον μὲν οὖν αἴτιον, ὅδε ὁ ἀνδριάς. οἷον, ὁ Ὅμηρος. πορρωτέρω δὲ ἀνδριὰς ἁπλῶς. καὶ τούτου πορρώτερον ἡ εἰκών. τὸν δὲ χαλκὸν ὡς παράδειγμα τοῦ ὑλικοῦ αἰτίου ὡς αἰτιατοῦ τίθησιν. εἴπομεν δὲ ὅτι οὐδὲν ὡς ὕλη γίνεται, ἀλλὰ τὸ αὐτὸ γινόμενον εἶδός ἐστι.

ΚΑΙ ἐπὶ τῶν συμβεβηκότων ὡσαύτως.

Ἐπειδὴ τῶν καθ' αὑτὸ αἰτιατῶν παραδείγματα εἶπε, φησὶν ὅτι καὶ τῶν κατὰ συμβεβηκὸς, τὸν αὐτὸν ἀποδώσομεν τρόπον ἐπὶ τῶν αἰτιατῶν. ὡς ὅταν εἴπω ἐπιτυχεῖν γενέσθαι εἰκόνα, ἢ μεγάλην, καὶ τὰ ὅμοια.

ΕΤΙ δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα λεχθήσεται. οἷον, οὐ Πολύκλειτος, οὐδὲ ἀνδριαντοποιὸς, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός.

Τὴν ἑτέραν τῶν ἀντιθέσεων τὴν κατὰ τὸ ἁπλοῦν, καὶ τὸ συμπεπλεγμένον προστίθησιν αὖ. ταῦτα οὖν φησι τὰ ἁπλῶς εἰρημένα συμπεπλεγμένα λεχθήσεται. φημὶ δὲ τὰ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. συμπλέκεται γὰρ ταῦτα ἀλλήλοις, καὶ ταῦτα πρὸς τὸ προσεχὲς, καὶ τὸ πόρρω.

ΑΛΛ' ὅμως ἅπαντα ταῦτά ἐστι, τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς. ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, ἢ ὡς τὸ κατὰ συμβεβηκὸς, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ ὡς ἁπλῶς λεγόμενα. πάντα δὲ ἢ ἐνεργοῦντα, ἢ κατὰ δύναμιν.

Ἀναλαμβάνεται πάλιν τὰ εἰρημένα, ὅτι ἕξ εἰσιν οἱ τρόποι καθ' ἕκαστον τῶν αἰτίων κατὰ τὰς εἰρημένας τρεῖς ἀντιθέσεις. λέγονται δὲ διχῶς κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ὥστε συμβαίνειν δώδεκα τοὺς τρόπους εἶναι καθ' ἕκαστον τῶν αἰτίων. ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, ἢ ὡς τὸ συμβεβηκὸς, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος. δοκεῖ μὲν λέγων ἢ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος, τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω ἀντίθεσιν λέγειν. τῷ δὲ ἐπαγαγεῖν, ἢ ὡς τὸ συμβεβηκός. ἐδήλωσεν ὅτι τοῦ καθ' αὑτὸ ἦν ἡ προτέρα ἀντίθεσις, ἀντιδιαστέλλας τὸ κατὰ συμβεβηκός. ἀλλ' ὡς καὶ ἔμπροσθεν εἶπον, τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω ἀντίθεσιν, συνέπλεξεν ἑκατέρᾳ, καὶ τῷ καθ' αὑτὸ φημὶ καὶ τῷ κατὰ συμβεβηκός. ἐφεξῆς δὲ προστίθησι καὶ τὴν τοῦ ἁπλοῦ καὶ τοῦ συμπεπλεγμένου, καὶ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ.

ΔΙΑΦΕΡΕΙ δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον, ἅμα ἔστι καὶ οὐκ ἔστι, καὶ ὧν αἴτια. οἷον, ὅδε ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ. καὶ ὅδε ὁ οἰκοδομῶν, τῷδε τῷ οἰκοδομουμένῳ. τὰ δὲ κατὰ δύναμιν, οὐκ ἀεί. φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

Ὅτι τὰ μὲν ἐνεργείᾳ πάντως, ὡσαύτως ἔχουσι τά τε αἴτια, καὶ τὰ αἰτιατά. ἅμα γὰρ ἢ ἔστιν, ἢ οὐκ ἔστι. τὰ δὲ δυνάμει οὐ πάντως, ἀλλὰ δυνατὸν τὸ ἕτερον μὲν εἶναι, τὸ ἕτερον δὲ οὔ. εἴπομεν δὲ περὶ ποίου δυνάμει λέγει. ἡ δὲ λέξις, διαφέρει φησὶ τὸ δυνάμει, καὶ τὸ ἐνεργείᾳ, ὅτι τὰ μὲν ἐνεργείᾳ, αἴτια καὶ προσεχῆ. τοῦτο γὰρ αὐτῷ σημαίνει τὸ καθ' ἕκαστον, τὸ προσεχές. ἅμα ἢ ἔστιν, ἢ οὐκ ἔστι τούτοις ὧν ἐστιν αἴτια.

τῶν, καὶ τῶν δυνάμει, οὐχ ὥσπερ ἔχουσι τὰ ἐνεργείᾳ αἴτια πρὸς τὰ ἐνεργείᾳ αἰτιατὰ, οὕτως ἔχουσι καὶ τὰ δυνάμει αἴτια πρὸς τὰ δυνάμει αἰτιατά. τὰ μὲν γὰρ ἐνεργείᾳ αἴτια καὶ αἰτιατὰ, ἅμα ἐστὶν, ἢ οὐκ ἔστιν. ἅμα γὰρ ὁ ἐνεργείᾳ πρίζων ἐστὶ, καὶ τὸ ἐνεργείᾳ πριζόμενον, καὶ ὁ ἐνεργείᾳ οἰκοδομῶν εὐθὺς, καὶ τὸ οἰκοδομούμενον παύεται. ἐπὶ δὲ τῶν δυνάμει οὐχ οὕτως. οὐ γὰρ συμφθείρεται τῷ οἰκοδόμῳ ἡ οἰκία, ἀλλ' ἔστι καὶ μετὰ τὸ φθαρῆναι τὸν οἰκοδόμον. καὶ ὁ μὲν δυνάμει οἰκοδόμος οὐκ ἔστι, τὸ δὲ δυνάμει οἰκοδομούμενόν ἐστιν. ἰστέον δὲ ὅτι δυνάμει μὲν λέγεται οὐ τὸ συνήθως. λέγω δὲ τὸ μήπω μὲν ἡγμένον πρὸς τὴν ἐνέργειαν, δυνάμενον δὲ ἀχθῆναι. ἀλλὰ τὸ πεπαυμένον τῆς ἐνεργείας, καὶ μηκέτι ὂν ἐν κινήσει. οἷον τὴν οἰκοδομουμένην οἰκίαν. δυνάμει οἰκοδομητὸν λέγων αὐτὴν παρὰ τὸ μὴ νῦν οἰκοδομεῖσθαι. ἐπεὶ οἶδε καὶ αὐτὸς ὅτι τὸ κυρίως δυνάμει ἅμα ἢ ἔστιν, ἢ οὐκ ἔστι μετὰ τοῦ αἰτίου, ὥσπερ καὶ τὸ ἐνεργείᾳ, εὐθὺς ἐφεξῆς λέγων, ὅτι δεῖ ἀποδιδόναι τὰς μὲν δυνάμεις τῶν δυνατῶν, τὰ δὲ ἐνεργοῦντα πρὸς τὰ ἐνεργούμενα. οὕτως ἄρα οἶδεν ὅτι ὡς ἔχουσι τὰ αἴτια, οὕτως ἔχουσι καὶ τὰ αἰτιατὰ ἐπί τε τῶν δυνάμει, καὶ τῶν ἐνεργείᾳ. μετὰ τοῦτό φησιν, ὅτι δεῖ τὰς αἰτίας ἑκάστου ἀποδιδόντα, τὰς κυριωτάτας καὶ προσεχεστάτας ἀποδιδόναι. τοῦτο δέ ἐστιν, ἐφ' ὃ παύεται ἡ ζήτησις τοῦ διατί. οἷον τί τῆς οἰκίας αἴτιον; οὐ δεῖ λέγειν, ὅτι ὁ ἄνθρωπος, ἢ ὁ τεχνίτης, ἀλλὰ τὸ προσεχέστατον αἴτιον, ὅτι ὁ οἰκοδόμος, καὶ ὁ οἰκοδόμος, οὐ καθὸ ἄλλο τί ἐστιν, ἀλλὰ καθὸ τὴν οἰκοδομικὴν ἔχει. οὐ γὰρ καθὸ φέρε εἰπεῖν φαλακρός ἐστιν, ἢ μουσικὸς, ἢ ὅλως ἄνθρωπος. ἔτι φησὶ δεῖ τὰ μὲν γένη τῶν γενῶν ἀποδιδόναι, τὰ δὲ καθέκαστον τῶν καθέκαστον. οἷον ἐρωτῶντός με τινὸς τοῦ τεχνητοῦ πράγματος αἴτιον, οὐ δεῖ λέγειν, ὅτι ὁ οἰκοδόμος, οὐδὲ ὁ γεωμέτρης, ἀλλὰ τὸ γενικὸν αἴτιον ἀποδιδόναι, ὅτι ὁ τεχνίτης. τῆς δὲ οἰκίας τί τὸ αἴτιον, ὅτι ὁ οἰκοδόμος. τῆσδε δὲ τῆς οἰκίας, ὅδε ὁ οἰκοδόμος. καὶ ἁπλῶς εἰ μὲν τὸ αἰτιατὸν γενικώτατον εἴη, καὶ τὸ αἴτιον γενικώτατον ἀποδιδόναι. εἰ δὲ μερικώτατον, ἢ καὶ καθέκαστον, καὶ τὸ αἴτιον ὡσαύτως. ἔτι φησὶ τῶν μὲν δυνάμει αἰτιατῶν, τὰ δυνάμει αἴτια ἀποδοτέον. τῶν δὲ ἐνεργείᾳ, τὰ ἐνεργείᾳ. οἷον τῆς ἐν ἐνεργείᾳ οἰκίας, τὸν ἐνεργείᾳ οἰκοδόμον. τῆς δὲ δυνάμει, τὸν δυνάμει. ταῦτα δὲ τὰ θεωρήματα παραδέδωκεν, ἵνα κατὰ πάντα ὄντα τεχνώσαι τὴν ψυχὴν πρὸς τὰς φυσικωτάτας τε καὶ λογικωτάτας τῶν πραγμάτων αἰτιολογίας. καὶ ἐκ τούτων, καὶ ἡ ἐν κατηγορίαις περὶ τῶν πρός τι ἀπορία ἐπιλύθη. ἐζητεῖτο γὰρ πῶς ἅμα τῇ φύσει ἐστὶ τὰ πρός τι, εἴγε ὁ τοῦ κύκλου τετραγωνισμὸς ἐπιστητὸν μέν ἐστιν, ἐπιστήμη δὲ τούτου οὐκ ἔστιν. ἔχεις οὖν ἐντεῦθεν τὴν τούτου ἐπίλυσιν, ὅτι δεῖ οὐ τὰ τυχόντα αἴτια τῶν τυχόντων αἰτιατῶν ἀποδίδοσθαι, ἀλλὰ τὰ σύστοιχα. ὁ γὰρ τοῦ κύκλου τετραγωνισμὸς, δυνάμει ἐστὶν ἐπιστητὸν οὐκ ἐνεργείᾳ. ἔστιν οὖν τούτου καὶ ἡ δυνάμει ἐπιστήμη. καὶ εἰ ἐνεργείᾳ γένοιτο ἐπιστητὸν, πάντως καὶ ἐνεργείᾳ αὐτοῦ ἐπιστήμη ἔσται. καὶ ἡ ἀπορία συνέβη ἐκ τοῦ τοῦ δυνάμει ἐπιστητοῦ ἐνεργείᾳ ζητεῖν τὴν ἐπιστήμην.

» ΤΡΟΠΟΙ δὲ τῶν αἰτίων, ἀριθμῷ μὲν εἰσὶ πολλά. κεφαλαιούμενα δὲ καὶ οὗτοι ἐλάττους.

Ε'καστον φησὶ τῶν αἰτίων, κατὰ πολλοὺς τρόπους γίνεται. οἷον, τὸ ποιητικὸν, καὶ τῶν ἄλλων ἕκαστον. τὸ ὑλικόν φημι, καὶ εἰδικὸν, καὶ τελικόν. ἀριθμῷ δὲ πολλούς φησιν, οἷον τὸ οἰκοδομικὸν, ἢ τὸ γεωμετρικὸν, ἢ τεκτονικὸν, καὶ ἐπὶ τῶν ἄλλων τῶν κατὰ μέρος τεχνῶν. ἀλλὰ ταῦτα πάντα συγκεφαλαιούμενα, ἀνάγονται ὑπὸ τὸ καθ' αὑτὸ αἴτιον. λέγομεν πάλιν τὸ λευκὸν αἴτιον. ἢ τὸ φαλακρὸν, ἢ τὸ σιμὸν, καὶ ἐπὶ πάντων τῶν ὁμοίων. ἀλλὰ πάντα τὰ τοιαῦτα ἀνάγονται ὑπὸ τὸ κατὰ συμβεβηκὸς αἴτιον. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

» ΛΕΓΕΤΑΙ γὰρ αἴτια πολλαχῶς. καὶ αὐτῶν τῶν ὁμοειδῶν, προτέρως καὶ ὑστέρως ἄλλον ἄλλο.

Ο'μοειδῶν. οἷον, τῶν ποιητικῶν, ἢ τῶν ὑλικῶν. ἕκαστον γάρ φησι τούτων πολλαχῶς λέγεται. ἐκτίθεται δὲ τὴν τοῦ καθ' αὑτὸ καὶ τὴν τοῦ κατὰ συμβεβηκὸς ἀντίθεσιν, καὶ τὴν τοῦ προσεχοῦς καὶ τοῦ πόρρω, συμπεπλεγμένην. ἐκθέμενος γὰρ τὸ καθ' αὑτὸ, εὐθὺς συμπλέκει αὐτῷ τὸ προσεχὲς καὶ τὸ πόρρω. καὶ πάλιν τὸ κατὰ συμβεβηκὸς θεὶς, πάλιν συμπλέκει αὐτῷ τὸ προσεχὲς καὶ τὸ πόρρω.

» ΟΙ'ΟΝ ὑγιείας, ὁ ἰατρὸς, καὶ ὁ τεχνίτης. καὶ τοῦ διὰ πασῶν, τὸ διπλάσιον, καὶ ὁ ἀριθμός. καὶ ἀεὶ
» τὰ περιέχοντα πρὸς τὰ καθέκαστα.

Τοῦ καθ' αὑτὸ παράδειγμα, καὶ τοῦ ἐν τούτῳ προσεχοῦς, καὶ τοῦ πόρρω. πόρρω μὲν γὰρ αἴτιον καὶ καθ' αὑτὸ ὁ ἰατρὸς, προσεχὲς δὲ καὶ πόρρω ὁ τεχνίτης, καὶ ἔτι πορρωτέρω ὁ ποιός. καὶ τῆς διὰ πασῶν ἁρμονίας, προσεχὲς μὲν αἴτιον, τὰ δύο πρὸς ἕν, πορρωτέρω δὲ τὸ διπλάσιον, καὶ ἔτι πορρωτέρω, ὁ ἀριθμός. καὶ ἀεὶ τὰ περιέχοντα πρὸς τὸ καθέκαστον. τουτέστι τὰ προσεχῆ αἴτια. ταῦτα γὰρ εἶπε καθέκαστα τὰ προσεχῆ, διὰ τὸ μὴ δύνασθαι εἰς μερικώτερα διαιρεθῆναι.

» ΕΤΙ δ' ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη. οἷον ἀνδριάντος, ἄλλως Πολύκλειτος, καὶ ἄλλως
» ἀνδριαντοποιὸς, ὅτι συμβέβηκε τῷ ἀνδριαντοποιῷ, τὸ Πολυκλείτῳ εἶναι. καὶ τὰ περιέχοντα δὲ τὸ συμ-
» βεβηκός. οἷον, εἰ ἄνθρωπος αἴτιος τοῦ ἀνδριάντος εἴη, ἢ ὅλως ζῷον.

Δείξας ἐπὶ τοῦ καθ' αὑτὸ τὸ προσεχὲς καὶ τὸ πόρρω, βούλεται καὶ ἐπὶ τοῦ κατὰ συμβεβηκὸς τὸ αὐτὸ δεῖξαι. καὶ πρὶν τοῦτο δεῖξαι, πρότερον τὴν διαφορὰν δείκνυσι τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκός. οἷον ἀνδριαντοποιὸς, ἄλλος Πολύκλειτος, καὶ ἄλλος ἀνδριαντοποιός. ὁ μὲν γὰρ ἀνδριαντοποιὸς, καθ' αὑτὸ,

αἳ καὶ πᾶσαι ἐκ τούτων συμπλοκαὶ ἕξ, κατὰ τὴν ἐν ἀριθμητικῇ παραδεδομένην ἡμῖν μέθοδον. εἰ γὰρ λάβοιμεν τὸν τρία ἀριθμὸν μονάδι τῶν τεσσάρων λείποντα, καὶ πολυπλασιάσαιμεν τὸν τρία ἐπὶ τὸν τέσσαρα, καὶ τῶν γινομένων δώδεκα τὸν ἥμισυν λάβοιμεν, τουτέστι τὸν ἕξ, τοσαύτας μόνας εὑρήσομεν τῶν αἰτίων τὰς συμπλοκὰς γινομένας. εἰσὶ δὲ αἱ ὑποκείμεναι, τεχνίτης ἀνδριαντοποιός, αὕτη καθ' αὑτὸ προσεχές τε ἅμα καὶ πόρρω. ἀνδριαντοποιὸς λευκός, καθ' αὑτὸ ἅμα καὶ κατὰ συμβεβηκός, καὶ προσεχές. ἀνδριαντοποιὸς κεχρωσμένος, προσεχὲς καὶ πόρρω, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. τεχνίτης λευκός, πάλιν προσεχὲς καὶ πόρρω, καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός. ὥστε ἡ τετάρτη, καὶ ἡ τρίτη, αἱ αὐταὶ μέν· διαφέρουσι δὲ ὅτι ἐν μὲν τῇ τρίτῃ, τὸ μὲν καθ' αὑτὸ ἦν τὸ προσεχὲς ὁ ἀνδριαντοποιός, τὸ δὲ συμβεβηκὸς τὸ πόρρω, ὁ κεχρωσμένος. ἐν δὲ τῇ τετάρτῃ, ἀνάπαλιν. τὸ μὲν καθ' αὑτὸ πόρρω, ὁ τεχνίτης. τὸ δὲ κατὰ συμβεβηκὸς προσεχές, ὁ λευκός. πέμπτη συμπλοκή, κεχρωσμένος τεχνίτης, καθ' αὑτὸ ἅμα καὶ κατὰ συμβεβηκὸς πόρρω. ἕκτη, κεχρωσμένος λευκός, κατὰ συμβεβηκὸς προσεχὲς ἅμα καὶ πόρρω. δεῖ οὖν εἰς τὸ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκὸς διελόντας, καὶ εἰς τὸ προσεχὲς καὶ πόρρω, μηκέτι ταῦτα διελεῖν εἰς τὸ ἁπλοῦν, καὶ τὸ συμπεπλεγμένον, ἀλλ' εὐθὺς εἰς τὸ δυνάμει, καὶ τὸ ἐνεργείᾳ. καὶ οὕτως οὔτε δὶς τὰ αὐτὰ ληψόμεθα, καὶ σωθήσεται ὁ τῶν δώδεκα τρόπων ἀριθμός. ἴσως δὲ ἔτι προσαπορήσειέ τις τῇ διαιρέσει, ἐκ τῶν εἰρημένων λαβὼν τὰς ἀφορμάς, ὅτι τοῦ προσεχοῦς καθ' αὑτὸ διῃρημένου εἰς τὸ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον, οὐκ ἔδει τὸ καθ' αὑτὸ πόρρω πάλιν εἰς τὸ αὐτὸ διαιρεθῆναι. ἄγε τὸ προσεχὲς καθ' αὑτὸ συμπλέκεται ἢ τῷ κατὰ συμβεβηκός, ἢ τῷ πόρρω. φημὶ οὖν ὅτι μάλιστα μὲν ὥσπερ τῷ καθ' αὑτὸ συμπλέκεται τὸ κατὰ συμβεβηκός, οὕτω καὶ τὸ πόρρω καθ' αὑτὸ τῷ κατὰ συμβεβηκός. καὶ ἔδει διὰ ταῦτα καὶ τοῦτο διαιρεθῆναι. ἀλλ' ὥστε ὅταν λέγωμεν τὸ καθ' αὑτὸ προσεχὲς συμπλέκεσθαι τῷ πόρρω, οὐ πάντως τοῦτο φαμὲν ὅτι τῷ καθ' αὑτὸ πόρρω συμπλέκεται, ἀλλὰ μάλιστα τῷ κατὰ συμβεβηκός. ἵν' οὕτως ᾖ, τὸ προσεχὲς καθ' αὑτὸ συμπλεκόμενον τῷ κατὰ συμβεβηκός, ἢ τῷ πόρρω συμπλέκεται, ἢ τῷ προσεχεῖ. ἀλλ' ὅταν τῷ προσεχεῖ συμπλέκηται, οὐκ ἔστιν ἡ συμπλοκὴ πρὸς τὸ προσεχές. ἄμφω γὰρ ἐν ταὐτῷ κατὰ τοῦτο. ἀλλὰ πρὸς τὸ κατὰ συμβεβηκὸς μόνον. ὥσπερ οὖν καὶ ὅταν τὸ προσεχὲς καθ' αὑτὸ τῷ πόρρω καθ' αὑτὸ συμπλέκηται, ἡ συμπλοκὴ οὐ πρὸς τὸ καθ' αὑτό, ἀλλὰ πρὸς τὸ πόρρω, οὕτως οὖν καὶ τὸ πόρρω καθ' αὑτὸ ὅταν λέγωμεν συμπεπλέχθαι ἢ πρὸς τὸ κατὰ συμβεβηκός, ἢ πρὸς τὸ προσεχές, τῷ κατὰ συμβεβηκὸς ἢ προσεχεῖ, ἢ πόρρω λέγομεν συμπεπλέχθαι. καὶ πάλιν ἐπὶ τούτου ἡ συμπλοκὴ ἡ πρὸς τὸ κατὰ συμβεβηκὸς πόρρω, οὐκ ἔστι πρὸς τὸ πόρρω, ἀλλὰ πρὸς τὸ κατὰ συμβεβηκὸς μόνον. εἰ δὲ καὶ τῷ καθ' αὑτὸ προσεχεῖ συμπλέκεται, ὡς προσεχεῖ οὐχ ὡς καθ' αὑτό. εὐλόγως ἄρα ἐπί τε τοῦ προσεχοῦς καθ' αὑτό, καὶ ἐπὶ τοῦ πόρρω λαμβάνομεν τὴν κατὰ τὸ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον διαίρεσιν τοῦ συμπεπλεγμένου, σημαίνοντες. κοινῇ μὲν τὴν πρὸς τὸ κατὰ συμβεβηκὸς συμπλοκὴν ἐπ' ἀμφοτέρων, ἰδίᾳ δὲ ἐπὶ μὲν τοῦ προσεχοῦς, τὴν πρὸς τὸ πόρρω, τὸ πόρρω τοῦτο εἴτε καθ' αὑτὸ εἴη, εἴτε κατὰ συμβεβηκός. ἐπὶ δὲ τοῦ πόρρω, τὴν πρὸς τὸ προσεχές, εἴτε πάλιν καθ' αὑτὸ εἴη, εἴτε κατὰ συμβεβηκός. εἰς γενικώτερα γὰρ κατέληξεν ἡ διαίρεσις, οὐκ εἰς εἰδικώτατα. οἱ μὲν οὖν τρόποι τῶν αἰτίων, τοσοῦτοι. ὁσαχῶς οὖν τὰ αἴτια λέγεται, τοσαυταχῶς καὶ τὰ αἰτιατά. καὶ ἐπὶ τῶν αἰτιατῶν γὰρ εὑρήσεις τὰ μὲν καθ' αὑτό, τὰ δὲ κατὰ συμβεβηκός. καὶ τὰ μὲν προσεχῆ, τὰ δὲ πόρρω. καὶ τὰ μὲν ἁπλᾶ, τὰ δὲ συμπεπλεγμένα. πάντα δὲ ταῦτα, τὰ μὲν δυνάμει, τὰ δὲ ἐνεργείᾳ. αἰτιατὰ δέ φησιν εἶναι, ὑλικόν τε καὶ εἰδικόν. εὔδηλον γὰρ ὡς οὔτε ποιητικόν, οὔτε τελικὸν αἰτιατόν ἐστιν. ἀλλ' εἰδικὸν μέν, οἷον ὁ ἀνδριάς. ὑλικὸν δέ, οἷον ὁ χαλκός. μᾶλλον δέ, οὐδὲ ἡ ὕλη ἐστὶν αἰτιατόν, ἀλλὰ μόνον τὸ εἶδος. πᾶν γὰρ τὸ γινόμενον εἶδός τι ἐστί, καὶ οὐδὲν ὡς ὕλη γίνεται. ἡ γὰρ κυρίως ὕλη, οὔτε γίνεται ὑπὸ φύσεως, οὔτε φθείρεται. ἀλλ' εἰ καὶ μηδὲν ὡς ὕλη γίνεται, ἀλλ' οὖν ἐπειδὴ αἱ προσεχεῖς ὗλαι εἴδη τινά εἰσι, καὶ γίνονται πολλὰ καὶ μάλιστα ἐπὶ τῶν τεχνιτῶν, οὐ δι' αὐτὰ ἐκεῖνα, ἀλλ' ἵνα ἄλλων ὕλη ᾖ, οἷον ὁ χαλκὸς καὶ τὰ λοιπὰ τῶν μετάλλων, διὰ τοῦτο καὶ τὴν ὕλην αἰτιατὸν εἶπεν, οὐχ ὕλης μὲν ὄντος τοῦ γινομένου, ἀλλ' εἴδους. διότι δὲ συμβέβηκε τὴν προσεχῆ ὕλην εἶδος εἶναι, διὰ τοῦτο λέγει τὴν ὕλην γίνεσθαι. εἰσὶν οὖν φησι καὶ ἐπὶ τούτων πάντες οἱ τρόποι τῶν αἰτίων. ὅταν μὲν γὰρ εἴπω εἰκόνα Σωκράτους γεγονέναι, καθ' αὑτὸ εἶπον αἰτιατὸν καὶ προσεχές. ὅταν δὲ εἰκόνα ἁπλῶς, ἢ ὁμοίωμα, καθ' αὑτὸ καὶ πόρρω. καὶ ὅταν μὲν εἴπω εἰκόνα διπήχη, ἢ δεκαπήχη, κατὰ συμβεβηκὸς εἶπον, καὶ προσεχές. ὅταν δὲ μικράν, ἢ μεγάλην, κατὰ συμβεβηκὸς καὶ πόρρω. ὅταν δὲ δεκαπήχη εἰκόνα, ἢ μεγάλην εἰκόνα, συμπεπλεγμένον εἶπον αἰτιατόν. καὶ ὅταν μὲν εἰκόνα γενήσεσθαι, δυνάμει. ὅταν δὲ γενέσθαι, ἐνεργείᾳ. καὶ ἐπὶ τῆς ὕλης ὡσαύτως. ὡς ὅταν εἴπω χαλκὸν γεγενῆσθαι, ἢ μέταλλον, ἢ ἐρυθρὸν χαλκόν, ἢ εὔηχον χαλκόν, καὶ ἐπὶ πάντων οὕτως. ἄλλως δὲ δῆλον ὅτι ἐπὶ τῶν αἰτίων τὸ εἶδος εἰλήφαμεν, καὶ ἄλλως ἐπὶ τῶν αἰτιατῶν. αἴτιον μὲν γὰρ λέγεται τὸ εἶδος, ὅταν ὡς συμπληρωτικὸν τοῦ συνθέτου θεωρῆται. ὡς δὲ ἀποτέλεσμα ὂν τοῦ ποιητικοῦ αἰτίου, αἰτιατὸν λέγεται. λαβὼν δὲ τῷ εἰρημένῳ τρόπῳ πάντας τοὺς τῶν αἰτίων τρόπους, ἐφεξῆς παρακολουθοῦντά τινα θεωρήματα τοῖς αἰτίοις παραδίδωσι πλείονα. καὶ πρῶτόν γε τοῦτο· ὅτι ὄντων τῶν ἐνεργείᾳ αἰτίων καὶ τῶν δυνάμει, ὁμοίως δὲ καὶ τῶν ἐνεργείᾳ αἰτια-

ὅτι πλείω γίνεται. πλὴν ὅτι πάντα σκοπὸν καὶ τέλος τίθεται τοῦτο.

ΤΑ μὲν οὖν αἴτια, ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει. τρόποι δὲ τῶν αἰτίων, ἀριθμῷ μὲν πολλοὶ, συγκεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους.

Διεξελθὼν τὸν περὶ τῶν καθ' αὑτὸ αἰτίων λόγον, ἐπειδὴ ἐν ταῖς ἀποδόσεσι τῶν αἰτίων, οὐ μόνον τὰ καθ' αὑτὸ αἴτια εἰώθαμεν ἀποδιδόναι, ἀλλ' ἔστιν ὅτε καὶ τὰ κατὰ συμβεβηκός, λέγομεν γὰρ τὸν φαλακρὸν οἰκοδομεῖν, ἢ τὸν πυῤῥὸν φιλοσοφεῖν, διὰ τοῦτο μέλλων παραδιδόναι καὶ τὰ κατὰ συμβεβηκός, ἀναλαμβάνει καθόλου τὸν περὶ τῶν αἰτίων λόγον, καὶ διαίρεσιν αὐτῶν ποιεῖται καθολικωτέραν. τῶν γὰρ αἰτίων φησί, τὰ μέν ἐστι καθ' αὑτό, τὰ δὲ κατὰ συμβεβηκός. καὶ τὰ μὲν προσεχῆ, τὰ δὲ πόῤῥω. καὶ τὰ μὲν ἁπλᾶ, τὰ δὲ συμπεπλεγμένα. καθ' αὑτὸ μὲν οὖν αἴτιον τοῦ ἀνδριάντος, ὁ ἀνδριαντοποιός, κατὰ συμβεβηκὸς δὲ ὁ φαλακρός, ἢ ὁ μουσικός. καὶ προσεχὲς μὲν καθ' αὑτό, ὡσαύτως, ὅδε ὁ ἀνδριαντοποιὸς τοῦδε τοῦ ἀνδριάντος. πόῤῥω δὲ ὁ τεχνίτης. καὶ ἐπὶ τῶν κατὰ συμβεβηκός, προσεχὲς μὲν αἴτιον, ὁ λευκός, πόῤῥω δὲ ὁ κεχρωσμένος. καὶ ἁπλοῦν μὲν ὁ τεχνίτης, ἢ ὁ ἀγαλματοποιός, ἢ ὁ φαλακρός, συμπεπλεγμένοι δὲ ὁ φαλακρὸς ἀγαλματοποιός, ἢ ὁ τεχνίτης ἀγαλματοποιός. ἐπὶ μὲν γὰρ τοῦ προτέρου συνέπλεξα τὸ καθ' αὑτὸ τῷ κατὰ συμβεβηκός. ἐπὶ δὲ τοῦ ὑστέρου τὸ προσεχὲς τῷ πόῤῥω. ἓξ οὖν ἀντιθέσεων οὐσῶν, μορίων δὲ δηλονότι ἕξ, καθ' ἕκαστον τούτων συμπλεκόμενον τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, διπλασιάζει τὸν ἀριθμόν, ὡς γίνεσθαι τὰ πάντα μόρια τῶν αἰτίων, δώδεκα. ἔστι γὰρ καθ' αὑτὸ μὲν ἐνεργείᾳ, οἷον ὁ ἀνδριαντοποιὸς οἰκοδομεῖ, δυνάμει δὲ ὁ ἀνδριαντοποιὸς οἰκοδομήσει. πάλιν, κατὰ συμβεβηκὸς ἐνεργείᾳ μὲν ὁ φαλακρὸς οἰκοδομεῖ, δυνάμει δὲ ὁ φαλακρὸς οἰκοδομήσει. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως. δώδεκα οὖν γινομένων τμημάτων καθ' ἕκαστον αἴτιον, ἐπεὶ τέσσαρα τὰ γένη τῶν αἰτίων, τὸ ποιητικόν, τὸ εἰδικόν, τὸ τελικόν, τὸ ὑλικόν, τῶν δώδεκα τρόπων τῶν αἰτίων συμπλεκομένων πρὸς τὰ τέσσαρα γένη τῶν αἰτίων, ὁ πᾶς ἀριθμὸς αἰτίων γίνεται μη. ἀπορήσειε δ' ἄν τις πρὸς τὸν συναχθέντα ἀριθμὸν τῶν αἰτίων, ὅτι εἰ θελήσομεν καθ' ἕκαστον τῶν αἰτίων τοὺς δώδεκα τρόπους ἐκθέσθαι, οὐχ εὑρήσομεν σωζόμενα ἡμῖν τὸν λόγον. ἔστω γὰρ ἐπὶ τοῦ ποιητικοῦ ἡ ζήτησις. εἰπὼν γὰρ ὅτι ὁ ἀνδριαντοποιός, αἴτιος τοῦ ἀνδριάντος, εὐθὺς καὶ καθ' αὑτὸ εἶπον, καὶ ἁπλοῦν καὶ προσεχές. ὥστε οὐ δυνατὸν τρεῖς ἀντιθέσεις ποιῆσαι κεχωρισμένας ἀλλήλων, καὶ μὴ ἐπικοινωνούσας ἄλλην ἄλλῃ. πάλιν, τὸ ἁπλοῦν, καὶ τὸ συμπεπλεγμένον, εἰ μὲν καθ' αὑτὸ μόνον τὸ σημαινόμενον τῶν αἰτίων, καὶ μὴ κατὰ τὰς τῶν φωνῶν συμπλοκὰς ἐκλαμβάνοις, ἀδύνατον ὅλως ἁπλοῦν εἶναί τι κατὰ τὸ σημαινόμενον αἴτιον. ἅμα γὰρ τῷ εἰπεῖν ἀνδριαντοποιός, καὶ καθ' αὑτὸ εἶπον αἴτιον, καὶ προσεχές. πῶς οὖν ἁπλοῦν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ κατὰ τὴν τῶν φωνῶν προφορὰν τὸ ἁπλοῦν λαμβάνομεν καὶ τὸ σύνθετον, ὥσπερ οὖν καὶ ἀριστοτέλης δοκεῖ, ὡς διὰ τῶν ὑποδειγμάτων ἔδειξε. συμπλέκοντες γὰρ φαμὲν πολύκλειτος ἀνδριαντοποιός. πάλιν οὐδὲν ἧττον καὶ ἐν τοῖς ἁπλοῖς, καὶ ἐν τοῖς συνθέτοις συνεπινοεῖται, καὶ τὸ καθ' αὑτὸ ἢ κατὰ συμβεβηκός, καὶ τὸ προσεχὲς ἢ πόῤῥω. ἐπὶ μὲν οὖν τῶν ἁπλῶν ἐδείξαμεν. ἐπὶ δὲ τῶν συνθέτων, οὐχ οἷον, ἐὰν εἴπω πολύκλειτος ἀνδριαντοποιός. ἅμα γὰρ ἐν τούτῳ θεωρεῖται καὶ τὸ καθ' αὑτό, καὶ τὸ κατὰ συμβεβηκός. ὁ μὲν γὰρ ἀνδριαντοποιός, καθ' αὑτὸ αἴτιος τοῦ ἀνδριάντος. ὁ δὲ πολύκλειτος, κατὰ συμβεβηκός. καὶ ἔτι τὸ προσεχές. ἐνδέχεται δὲ καὶ ἅμα πάντα εὑρεθῆναι. οἷον, εἰ οὕτως εἴπω, ἄνθρωπος ἀγαλματοποιός. ἐν μὲν γὰρ τῷ ἄνθρωπος, ἔστι καὶ τὸ πόῤῥω, καὶ τὸ κατὰ συμβεβηκός. ἐν δὲ τῷ ἀγαλματοποιός, τὸ προσεχὲς καὶ τὸ καθ' αὑτό. οὐκ ἄρα ἐνδέχεται διακεκριμένα ταῦτα εὑρεῖν ἀλλήλων. φαμὲν οὖν πρὸς τὴν ἀπορίαν, ὅτι οὐχ ὡς διῃρημένου ὑπάρχοντος τοῦ ἀριθμοῦ τῶν ἓξ ἀντιθέσεων τῶν τρόπων τῶν αἰτίων, οὕτως αὐτὰς ἐκτίθεται ἀριστοτέλης, τοῦτο γὰρ τῷ ὄντι ἀδύνατον, ἀλλὰ τὰς ἰδιότητας τῶν αἰτίων ἡμῖν ἐκθέσθαι βουληθείς. κἂν γὰρ μυριάκις μὴ ἔστιν ἕκαστον τούτων κατ' ἰδίαν θεωρῆσαι, ἀλλ' οὖν τῷ λόγῳ χωρίζονται ἀπ' ἀλλήλων. ὅταν οὖν εἴπω ἀνδριαντοποιόν, εἰ καὶ ἕν τι πρᾶγμα εἶπον τῷ ὑποκειμένῳ, ἀλλ' οὖν τῷ λόγῳ οὐκ ἔστιν ἕν. τῷ γὰρ ἀνδριαντοποιῷ, οὐ ταυτὸν τὸ αἰτίῳ εἶναι καὶ προσεχεῖ αἰτίῳ. οὐ γὰρ ταυτόν ἐστιν, αἴτιον εἰπεῖν καὶ προσεχές, πᾶν αἴτιον προσεχὲς αὐτό. τὸ δὲ ἁπλοῦν καὶ τὸ συμπεπλεγμένον, ἵνα συμπλέκωμεν ἢ τῷ καθ' αὑτὸ τὸ κατὰ συμβεβηκός, ἢ τῷ προσεχεῖ τὸ πόῤῥω, καὶ ἄμφω ἢ καθ' αὑτὰ ὑπάρχει, ἢ κατὰ συμβεβηκός. ὥστε ἰδιότητας αἰτίων παραδέδωκεν ἡμῖν διὰ τούτων, καὶ οὐχ ἁπλῶς χωρίζεσθαι δυνάμενον ἀριθμὸν αἰτίων. καὶ οὐδέν γε διαφέρει τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ συμπλέκειν ταῖς ἄλλαις ἓξ ἀντιθέσεσιν, ἢ ἄλλην τινὰ συμπλέκειν μετὰ τῶν λοιπῶν τῷ κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ. ἁπλῶς γὰρ τὰς συμπλοκὰς αὐτῶν τὰς πρὸς ἀλλήλας ζητοῦμεν. τῷ λόγῳ οὖν ἑκάστην ἰδιότητα τῶν λοιπῶν χωρίσας, καθ' αὑτὸ κατὰ συμβεβηκός, προσεχὲς πόῤῥω, ἁπλοῦν σύνθετον, εὑρίσκει τούτων τὰς διαφορὰς ἕξ, ὧν ἑκάστῃ συμπλεκομένου τοῦ δυνάμει καὶ ἐνεργείᾳ δώδεκα αἰτίων τὸν ἀριθμὸν ποιεῖ. εἰ δέ τις μὴ λόγῳ μόνῳ θεωρεῖν ταύτας τὰς διαφορὰς βούλοιτο, ἀλλὰ τὰς ἐν ὑπάρξει δυναμένας ἀποδίδοσθαι ζητοίη, εὕροι ἂν οὕτως. τῶν γὰρ καθ' αὑτὸ αἰτίων ἢ προσεχῶν ὄντων ἢ πορρωτέρω, καὶ τῶν κατὰ συμβεβηκὸς ὁμοίως, γίνονται τέσσαρα μόρια ἁπλᾶ τὰ ὑποκείμενα, ἀνδριαντοποιὸς καθ' αὑτὸ προσεχές, τεχνίτης καθ' αὑτὸ πορρωτέρω. καὶ τούτων πλείονα ἁπλᾶ γενέσθαι ἀδύνατον. εἰ δὲ ταῦτα συμπλέκειν ἀλλήλοις βουληθείημεν, γένοιντ',

ἂν αἱ

Τὸ ποιητικὸν αἴτιον. ὅταν γὰρ ἐρωτώμεθα τίς τοῦ πολέμου αἴτιος, ἐροῦμεν ὅτι ὁ βουλεύσας. καὶ τίς τοῦ υἱοῦ, ὅτι ὁ πατήρ. τὴν πρώτην δὲ εἶπεν, ὅτι δοκοῦσι καὶ τὰ ὄργανα κινεῖν, ἀλλ' οὐ πρώτως κινεῖν. οὐκοῦν ποιητικὰ αἴτια ταῦτα. τὸ γὰρ ποιητικόν, τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως ἡ πρώτη. ὥσπερ δὲ κινήσεως ἀρχὴ τὸ ποιητικόν, οὕτω καὶ ἠρεμήσεως. ὁ γὰρ συμβουλεύσας εἰρήνην, οὗτος τῆς ἠρεμήσεως τῆς τοιαύτης αἴτιος. καὶ ὅσα δὲ κινήσαντος ἄλλου μεταξὺ γίνεται τοῦ τέλους, ταῦτα πάντα φησὶν ἕνεκά του ἐστί, καὶ διὰ τὸ τέλος ἔχει τὸ εἶναι. ὅσα κινήσαντός τινος μεταξύ ἐστι τοῦ κινητικοῦ τούτου αἰτίου, καὶ τοῦ τελικοῦ, τουτέστι πάντα τὰ μεταξὺ τοῦ ποιητικοῦ αἰτίου, καὶ τοῦ τελικοῦ, πάντα τοῦ τέλους ἕνεκα γίνονται. κἂν ἄλλο ἐξ ἄλλου τῶν μεταξὺ γίνηται. οἷον, ὑπὸ τῶν πόνων ἡ ἰσχνασία. οὐ γὰρ μόνον οἱ πόνοι διὰ τὴν ὑγείαν, ἀλλὰ καὶ ἡ ἰσχνασία. ὥστε πάντων τούτων τέλος ἡ ὑγεία. ἀλλὰ καὶ αὕτη εἰ τύχοι, διὰ τὸ ἀναγινώσκειν. διὰ τοῦτο γὰρ ὑγιαίνειν βουλόμεθα, ἵνα ἀναγινώσκωμεν. ἀλλὰ καὶ τοῦτο, δι' ἕτερόν τι. διὰ γὰρ τὴν εὐδαιμονίαν. καὶ ἔστι πάντων τοῦτο τελικώτατον αἴτιον, καὶ τὰ ἄλλα πάντα τούτου ἕνεκεν γέγονε.

ΔΙΑΦΕΡΕΙ δ' ἀλλήλων, ὡς ὄντα τὰ μὲν ἔργα, τὰ δὲ ὄργανα. τὰ μὲν οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται. συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων, καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι, οὐ κατὰ συμβεβηκός. οἷον, τοῦ ἀνδρειάντος. καὶ ἡ ἀνδρειαντοποιητική, καὶ ὁ χαλκός, οὐ καθ' ἕτερόν τι, ἀλλ' ᾗ ἀνδρειάς. ἀλλ' οὐ τὸν αὐτὸν τρόπον. ἀλλὰ τὸ μέν, ὡς ὕλη. τὸ δ' ὡς ὅθεν ἡ κίνησις. Ἔστι δ' αἴτια καὶ ἀλλήλων αἴτια. οἷον, τὸ πονεῖν, αἴτιον τῆς εὐεξίας. καὶ αὕτη τοῦ πονεῖν. ἀλλ' οὐ τὸν αὐτὸν τρόπον. ἀλλὰ τὸ μὲν ὡς τέλος, τὸ δ' ὡς ἀρχὴ κινήσεως. Ἔτι δὲ τὸ αὐτὸ τῶν ἐναντίων ἐστίν. ὃ γὰρ παρὸν αἴτιον τοῦδε, τοῦτο καὶ ἀπὸν αἰτιώμεθα τοῦ ἐναντίου ἐνίοτε. οἷον, τὴν ἀπουσίαν τοῦ κυβερνήτου, τῆς τοῦ πλοίου ἀνατροπῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. Ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια, εἰς τέσσαρας τρόπους πίπτει τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα, τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν, καὶ τὸ πῦρ καὶ τὰ τοιαῦτα, τῶν σωμάτων. καὶ τὰ μέρη τοῦ ὅλου. καὶ αἱ ὑποθέσεις, τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστι. τούτων δὲ τὰ μέν, ὡς τὸ ὑποκείμενον. οἷον τὰ μέρη. τὰ δέ, ὡς τὸ τί ἦν εἶναι, τό, τε ὅλον, καὶ ἡ σύνθεσις, καὶ τὸ εἶδος.

Διαφέρειν φησὶ τὰ πρὸς τὸ τέλος, τῷ τὰ μὲν ἔργα εἶναι, οἷον βάδισιν ἰσχνασίαν κάθαρσιν. ὄργανα δέ, φάρμακα, φλεβοτομίαν, καὶ τὰ λοιπά. Συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων, καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι. ἀπαριθμησάμενος τὰ αἴτια, βούλεται λοιπὸν ὅσα παρακολουθεῖ τοῖς αἰτίοις παραδοῦναι. καὶ πρῶτόν φησιν, ὅτι τοῦ αὐτοῦ πολλὰ ἔσονται αἴτια καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός, οὐ μὴν κατὰ τὸν αὐτὸν λόγον. οἷον τοῦ ἀνδρειάντος αἴτιος, καὶ ὁ χαλκὸς καὶ ὁ ἀνδρειαντοποιός, οὐ κατ' ἄλλο τι, ἢ καθ' αὑτὸ τὸ ἀνδρειάς. ἀλλ' ὁ μέν, ὡς ποιητικὸν αἴτιον, ὁ δὲ ὡς ὑλικόν. Ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια, εἰς τέσσαρας τρόπους πίπτει τοὺς φανερωτάτους. ἀνακεφαλαιοῦται τὰ εἰρημένα ἐν συντόμῳ, ὅτι τέσσαρές εἰσι τῶν ἀπηριθμημένων αἰτίων οἱ τρόποι, τὸ ὑλικὸν αἴτιον, τὸ εἰδικόν, τὸ ποιητικόν, τὸ τελικόν. εἶτα πλείονα τοῦ ὑλικοῦ τίθησι παραδείγματα, ὅτι τὰ στοιχεῖα, ὡς ὕλη αἴτιά εἰσι τῶν συλλαβῶν. καὶ τὸ ὑποκείμενον αἴτιόν ἐστι τοῖς σκευαστοῖς ὡς ὕλη. οἷον, θυμιάμασι, καὶ τοῖς τοιούτοις, καὶ ἁπλῶς τοῖς τεχνητοῖς πᾶσι. καὶ τὰ τέσσαρα στοιχεῖα ὕλη ἐστὶ τῶν συνθέτων σωμάτων. καὶ τὰ μέρη ὑλικά εἰσιν αἴτια τοῦ ὅλου. καὶ αἱ προτάσεις αἴτιαι τοῦ συμπεράσματος ὡς ὕλη. Τούτων δὲ τὰ μέν, ὡς τὸ ὑποκείμενον. οἷον τὰ μέρη. τοῦτο τῷ ἀνωτέρω ἐστὶ συνεχές. ἅπαντα δὲ τὰ νῦν αἴτια εἰς τέσσαρας τρόπους πίπτει τοὺς φανερωτάτους. εἶτα συναπτέον τὸ προκείμενον, τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, καὶ τὰ ἑξῆς. τὰ δὲ μεταξύ, παραδείγματά εἰσι τοῦ ὑλικοῦ αἰτίου. ἀλλ' ἐπειδὴ πολλὰ παρέθετο παραδείγματα, διὰ τοῦτο ἀναλαμβάνει πάλιν τὸν λόγον. ἀπαριθμεῖται δὲ πάλιν τοὺς τέσσαρας τρόπους τῶν εἰρημένων τῶν αἰτίων. Τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον καὶ ἡ σύνθεσις, καὶ τὸ εἶδος. ὡς τὸ τί ἦν εἶναι. ἀντὶ τοῦ ὡς τὸ εἶδος. κατὰ τοῦτο γάρ ἐστιν ἑκάστου τὸ εἶναι. τὸ οὖν εἶδος τοῦτο, λέγεται καὶ ἡ σύνθεσις ἡ τῶν μερῶν, λέγεται καὶ ἡ ὁλότης αὐτῶν, λέγεται καὶ αὐτὸ τοῦτο τὸ ὑποκείμενον αὐτῷ εἶδος.

ΤΟ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας, καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς, ἢ στάσεως, ἢ κινήσεως.

Τὸ σπέρμα ποιητικὸν αἴτιόν φησι, διότι τὸν φυσικὸν λόγον ἐν ἑαυτῷ ἔχει. καὶ τὸ μὲν καταμήνιον ὑπέστρωται αὐτῷ ὡς ὕλη. οἱ δὲ τοῦ εἴδους λόγοι, ἐκ τούτου πρόϊασιν εἰς ἐκεῖνο. ἔμπροσθεν δὲ τὸ σπέρμα ὡς ὕλην ἐλάβομεν. ὡς πρὸς τὴν τῶν γονέων φύσιν, ᾗ τό, τε σπέρμα καὶ τὸ καταμήνιον ὡς ὕλη ὑπέστρωται. καὶ ἄλλως εἰ ἡ φύσις ὡς ποῖον ἐν τῷ κινουμένῳ ἐστίν, εἴη ἂν τὸ σπέρμα ὕλη τῷ ἐν αὐτῷ λόγῳ. ὥσπερ καὶ τὸ ζῷον ὑπόκειται ὡς ἐν ὕλης τάξει τῇ ἐν αὐτῷ φύσει ἐν ταῖς φυσικαῖς μεταβολαῖς, αὐξήσει καὶ ἀλλοιώσει καὶ ταῖς λοιπαῖς.

ΤΟ δ' ὡς τὸ τέλος, καὶ τἀγαθὸν τῶν ἄλλων. τὸ γὰρ οὗ ἕνεκα, βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι. διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἀγαθόν, ἢ φαινόμενον ἀγαθόν.

Τὸ δὲ ἔστιν αἴτιόν φησιν ὡς τέλος τῶν ἄλλων, καὶ ὡς ἀγαθόν, καὶ οὗ ἕνεκα πάντα γίνεται. τὸ γὰρ τελικὸν αἴτιον, τὸ βέλτιστον καὶ τὸ ἀγαθὸν θέλει εἶναι. πᾶν γὰρ ὃ γίνεται, διὰ τὸ ἀγαθὸν γίνεται. εἶτα ἐπειδὴ μὴ πάντα τὸ τέλος ἀγαθὸν ἔχει, μηδέν φησι τοῦτο διαφερέτω, εἴτε ὄντως ἐστὶν ἀγαθὸν τὸ τέλος, εἴτε φαινόμενον. προφανὲς γὰρ τοῦτο, ὅτι πᾶν ἀγαθοῦ τινος ἕνεκα γίνεται. εἰ καὶ περὶ τὴν αἵρεσιν τοῦ ὄντως ἀγαθοῦ ἔστιν

Τὸ διὰ τί, αἰτεῖ τὰς περὶ ἕκαστον αἰτίας, ὧν ἕνεκεν ἐστίν. ἐρωτώμενοι γὰρ διὰ τί αὐτό ἐστιν, ἀποδίδομεν ἢ τὸ ποιητικόν, ἢ τὸ τελικόν, ἢ ἕν τι τῶν ἄλλων, ἢ πάντα. δηλονότι καὶ ἡμῖν τοῦτο ποιητέον καὶ περὶ γενέσεως, καὶ φθορᾶς, καὶ περὶ πάσης τῆς φυσικῆς μεταβολῆς· τουτέστι τὰ αἴτια γενέσεως καὶ φθορᾶς καὶ καθόλου πάσης φυσικῆς μεταβολῆς. ὥστε καὶ ἐντεῦθεν ἔχεις, ὅτι περὶ τῶν κοινῶς παρακολουθούντων τοῖς γινομένοις, καὶ φθειρομένοις ἐστὶν ὁ λόγος. ὅπως εἰδότες αὐτῶν τὰς ἀρχάς, ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον. εἰδότες γὰρ ὅτι πάντων τῶν φυσικῶν αἴτια αὗται αἱ τέσσαρές εἰσιν, ἕκαστον εἰς τὰς ἀρχὰς ταύτας ἀνάγομεν. οἷον ζητοῦντες περὶ κλίνης, λέγομεν ὅτι ποιητικὸν μὲν αὐτῆς, ἡ τεκτονικὴ τέχνη. εἶδος δέ, τὸ τοιόνδε σχῆμα. ὑλικὸν αἴτιον, τὰ ξύλα. τελικόν, ἡ τοῦ ἀνθρώπου χρεία.

ἝΝΑ μὲν οὖν τρόπον αἴτιον λέγεται, τὸ ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος· οἷον, ὁ χαλκὸς τοῦ ἀνδριάντος. καὶ ὁ ἄργυρος, τῆς φιάλης. καὶ τὰ τούτων γένη.

Τὸ ὑλικὸν αἴτιόν φησι. τοῦτο γὰρ καλεῖ τὸ ἐξ οὗ. οἷον, λέγομεν ἐκ ξύλων τὸ ἀββάκιον, καὶ ἐξ ὕλης καὶ εἴδους τὰ πράγματα. εἰ δὲ ἐλέγομεν ἐν τῷ προτέρῳ λόγῳ, ὅτι τὸ ἐξ οὗ, τῇ στερήσει μᾶλλον οἰκεῖόν ἐστι, τῇ δὲ ὕλῃ τὸ τόδε, οὐκ ἐναντία φαμέν. ἐκεῖ μὲν γὰρ διαιροῦντες τῷ λόγῳ τὴν στέρησιν ἀπὸ τῆς ὕλης, διὰ τὸ ὑπομένειν τὸ τόδε αὐτῇ προσήπτομεν. νῦν δὲ ἐπειδὴ τοῖς τέτρασιν αἰτίοις ἴδιον ἀφορίσαι βουλόμεθα πρόσρημα, οἰκειότερον δήπου πάντων τὸ ἐξ οὗ τῇ ὕλῃ ἁρμόσει. αὕτη γάρ ἐστιν ἡ μεταβάλλουσα, καὶ ἀλλοιουμένη. οὔτε δὲ τὸ ποιητικὸν αἴτιον, οὐδὲ τὸ τελικόν, οὐδὲ τὸ εἶδος κινεῖται. ἐνυπάρχοντος δέ φησιν, ἀντὶ τοῦ ἐν τῷ πράγματι αὐτῷ τῷ γινομένῳ ὄντος τοῦ ὑλικοῦ αἰτίου, καὶ στοιχείου αὐτοῦ γινομένου, καὶ οὐχ ὥσπερ τὸ ποιητικὸν ἔξωθεν ὄντος. ἔξωθεν γὰρ ὁ τεχνίτης τοῦ τεχνητοῦ, καὶ ὁ πατὴρ τοῦ υἱοῦ, καὶ ἡ περιφορὰ τῶν οὐρανίων τῶν γεννητῶν πάντων. ἡ δὲ ὕλη ἐν αὐτοῖς ἐστι. Καὶ τὰ τούτων γένη. ἐπειδὴ τὰς προσεχεῖς ὕλας ἀποδέδωκε, διὰ τοῦτο προστέθεικε, καὶ τὰ τούτων γένη. τουτέστι καὶ τὰ τούτων καθολικώτερα, ἤτοι γεννητὰ ὑποκείμενά φησι. τοῦ γὰρ ἀνδριάντος προσεχὴς μὲν ὕλη ὁ χαλκός, ἐπειδὴ καὶ τούτῳ ὑπόκειται ἕτερόν τι οἷον τὸ ὕδωρ, καὶ τὸ ὕδωρ ἂν εἴη ὕλη τοῦ ἀνδριάντος. ἀλλὰ καὶ τὸ τριχῇ διαστατόν, ὅπερ ὑπόκειται τῷ ὕδατι, καὶ ἡ πρώτη ὕλη, ἥτις προσεχῶς τῷ τριχῇ διαστατῷ ὑπόκειται. εἴτε οὖν ἐξ ὕδατός τις ἡγοῖτο εἶναι τὸ τοῦ χαλκοῦ μέταλλον, εἴτε ἐκ γῆς, οὗ δ' ἂν ἡ ὕλη ὁ χαλκός, τούτου καὶ τὰ τῷ χαλκῷ ὑποκείμενα, εἴτε προσεχῶς, εἴτε καὶ διὰ μέσων πλειόνων ὕλη ἂν εἴη.

ἌΛΛΟ δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα. τοῦτο δ' ἐστὶν ὁ λόγος, ὁ τοῦ τί ἦν εἶναι, καὶ τὰ τούτου γένη.

Ἄλλον τρόπον φησὶν ἀρχὴν εἶναι τὸ εἶδος. παράδειγμα δὲ εἶπεν, οὐχ ὡς οἱ τὰς ἰδέας ὑποτιθέμενοι, οὐδ' ὡς οἰόμενος φυσικὸν εἶναι παραδειγματικὸν ἀποδιδόναι αἴτιον. οὐ γὰρ πρὸς παράδειγμα ὁρῶσα ἡ φύσις ποιεῖ, ἐπεὶ μηδὲ γινώσκουσα ποιεῖ, ἀλλ' ἀνεπιστάτως τοὺς λόγους τῶν γινομένων ἔχουσα. ἀλλ' ἐπειδὴ οἱ πρὸς παράδειγμα ποιοῦντες ὡρισμένα ποιοῦσι, μήτε ὑπερπίπτοντες, μήτε ἐνδεέστερον τοῦ παραδείγματος ἐργαζόμενοι τὸ ἀποτέλεσμα, καὶ τὰ ὑπὸ φύσεως δὲ γινόμενα ὡρισμένα ἐστίν. ὥρισται γὰρ τὸ ἀνθρώπου εἶδος, τὸ βοός, τὸ συκῆς, τὸ ἀμπέλου, καὶ τῶν λοιπῶν, καὶ μέχρι τοσούτου κινεῖ ἡ φύσις τὴν ὕλην μέχρις ἂν εἰς τὸ εἶδος ἔλθῃ, διὰ τοῦτο τὸ εἶδος παράδειγμα εἶπε. τοῦτο δέ ἐστιν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι, καὶ τὰ τούτου γένη. οἷον τοῦ ἀνδριάντος εἶδος, οὐχ ὁ χαλκός. τοῦτο γὰρ ὕλη. ἀλλ' ἡ ἀνδρείκελος μορφή. τούτου δὲ γένος ἡ εἰκών. πᾶς μὲν γὰρ ἀνδριάς, εἰκών. οὐ πᾶσα δὲ εἰκών, ἀνδριάς. εἰκόνος δὲ γένος ἂν εἴη τὸ τεχνητόν. καὶ ἐπὶ φυσικῶν δὲ εἶδος μὲν ἂν εἴη ὁ ὁριστικὸς λόγος τοῦ πράγματος. γένη δὲ τούτου τὰ μέρη αὐτοῦ, ὡς αὐτὸς εὐθέως ἐρεῖ. γένος γὰρ τοῦ λόγου τοῦ ἀνθρώπου, τὸ ζῷον τὸ λογικὸν καὶ τὸ θνητόν. ἐπὶ πλέον γὰρ ἕκαστον τούτων τοῦ ἀνθρώπου λόγου. εἴρηται δὲ ὅτι τὰ γένη, οἷον ὕλη ἐστὶ τῶν ὁρισμῶν.

ΟἿΟΝ τοῦ διὰ πασῶν, τὰ δύο πρὸς ἕν. καὶ ὅλως ὁ ἀριθμός. καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

Παράδειγμα τίθησι τοῦ εἰδοποιὰ εἶναι αἴτια, μὴ μόνον τὸ προσεχὲς εἶδος, ἀλλὰ καὶ τὰ γένη αὐτοῦ τά τε ἐγγὺς καὶ τὰ πορρωτέρω. τῆς οὖν διὰ πασῶν ἁρμονίας εἶδος ἂν εἴη, τὰ δύο πρὸς ἕν. ἔστι δὲ ἡ διὰ πασῶν ἁρμονία ἐν ᾗ ἡ ὑπάτη δὶς ἔχει τὴν νήτην. τουτέστι διπλασίονα αὐτῆς φθόγγον ἔχει. ἔστιν οὖν εἶδος ταύτης, τὰ δύο πρὸς ἕν. ὃν γὰρ λόγον ἔχει τὰ δύο πρὸς ἕν, τοῦτον τὸν λόγον ἡ ὑπάτη πρὸς τὴν νήτην. ἀλλὰ καὶ τὸ γένος τῶν δύο πρὸς ἕν, εἰδοποιεῖ τὴν διὰ πασῶν. τοῦτο δέ ἐστι τὸ διπλάσιον. ἐπὶ πλέον γὰρ τοῦτο τῶν δύο πρὸς ἕν. ἐπὶ πάντων γὰρ ἁρμόζει τῶν διπλασίων ἀριθμῶν. ἀλλὰ καὶ τούτου γένος ὁ ἀριθμός. ἐπὶ πλέον γὰρ τοῦ διπλασίου ὁ ἀριθμός. εἴ τι μὲν γὰρ διπλάσιον, τοῦτο καὶ ἀριθμός. οὐκ εἴ τι ἀριθμὸς δέ, τοῦτο διπλάσιον. τὸ δὲ καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ, ἐξήγησίς ἐστι τοῦ τίνα λέγει τὰ τοῦ λόγου γένη. φησὶν οὖν ὅτι τὰ γένη τοῦ ὁρισμοῦ, ταῦτα μέρη αὐτοῦ φημι. ἐπεὶ γὰρ ὡς ἐν παραδείγματι τοῦ εἴδους τοῦ τε προσεχοῦς γένους τούτου, παρέλαβε τὰ δύο πρὸς ἓν ὡς εἶδος, καὶ τὸν ἀριθμὸν ὡς γένος, ἐπ' αὐτοῦ τοῦ προκειμένου μεταφέρων τὸν λόγον ἐπήγαγε, καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

ἜΤΙ ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη, ἢ ἡ τῆς ἠρεμήσεως. οἷον, ὁ βουλεύσας αἴτιος. καὶ ὁ πατὴρ τοῦ τέκνου. καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου. καὶ τὸ μεταβάλλον τοῦ μεταβαλλομένου. ἔτι ὡς τὸ τέλος. τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα. οἷον, τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ. καὶ εἰπόντες οὕτως, οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίνεται τοῦ τέλους. οἷον, τῆς ὑγιείας, ἡ ἰσχνασία, ἢ ἡ κάθαρσις, ἢ τὰ φάρμακα, ἢ τὰ ὄργανα. πάντα γὰρ ταῦτα, τοῦ τέλους ἕνεκά ἐστι.

ὅμοιον ἐκ τοῦ ὁμοίου. ταύτην οὖν τὴν αἰτίαν ἀποδιδοὺς, ἐρεῖ ὅτι ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ ἥλιος. ἀμ-
φω δὲ ἐν ὕλῃ τὸ εἶναι ἔχει. οὐδὲ ἐρεῖ τυχὸν, ὅτι δεῖ μεθεκτικά τινα εἴδη εἶναι ἐν τῷ παντί. τοιοῦτον δὲ ἡ ψυ-
χὴ ἡ ἡμετέρα αἰτιοῦνται, καὶ κατηγοροῦντες. διὰ τοῦτο ἐστὶν ἐν τῷ κόσμῳ ὁ ἄνθρωπος. θεολόγων γὰρ ταῦτα καὶ τὰ
τοιαῦτα ἐξετάζειν ἴδιον. οἷον, τίνα τε καὶ πόσα τὰ χωριστὰ εἴδη, καὶ τίς ἡ σχέσις αὐτῶν ἥτε πρὸς ἑαυτὰ,
καὶ ἡ πρὸς τὰ τῇδε. ὁ τοίνυν φυσικὸς, οὐ πάσας αἰτίας ἀποδώσει ἐρωτώμενος, οὔτε τὴν ἀδικίαν, οὔτε πειρα-
τικὴν, ἀλλὰ ταύτας μόνας, ὅσαι μὴ ἄνευ ὕλης εἰσί.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, ἐπισκεπτέον περὶ τῶν αἰτίων, ποῖά τε καὶ πόσα τὸν ἀριθμόν ἐστιν. δι-
αλεχθεὶς περὶ τῶν συναιτίων, ταῦτα δέ ἐστιν ἡ ὕλη καὶ τὸ εἶδος, βούλεται νῦν καὶ περὶ τῶν λοιπῶν δύο
διαλεχθῆναι, τοῦ τε ποιητικοῦ, καὶ τοῦ τελικοῦ, ἅπερ κυρίως ἐστὶν αἴτια. ἐπεὶ γὰρ σκοπὸς ἡμῖν γνῶναι τὰ
φυσικὰ πράγματα, οὐ πρότερον δὲ γινώσκομέν τι πρὶν ἂν τὰς ἀρχὰς, καὶ τὰ αἴτια πάντα τούτου γνῶ-
μεν, ἀνάγκη καὶ τῶν φυσικῶν πραγμάτων πάντα τὰ αἴτια γνῶναι, εἴγε τῆς γνώσεως αὐτῶν ἐφιέμεθα.
ἐπεὶ οὖν βούλεται περὶ τῶν λοιπῶν αἰτίων εἰπεῖν, τοῦ τε ποιητικοῦ, καὶ τοῦ τελικοῦ, ἀναλαμβάνει καθό-
λου τὸν περὶ αἰτίων λόγον. καὶ φησὶν ὅτι παντὸς πράγματος τέσσαρά ἐστι τὰ αἴτια. ἡ ὕλη, τὸ εἶδος, τὸ
ποιητικὸν αἴτιον, τὸ τελικόν. οἷον οἰκίας, ὕλη μὲν λίθοι καὶ πλίνθοι, καὶ ξύλα. εἶδος δὲ, τὸ τοιόνδε σχῆμα.
ποιητικὸν δὲ αἴτιον, ὁ οἰκοδόμος. τελικὸν, ἡ χρεία τοῦ οἴκου δι' ἣν γίνεται. λέγω δὲ, τὸ εἶναι σκέπασμα
κωλυτικὸν ὄμβρων καὶ καυμάτων. καὶ ἐπὶ πάντων ὁμοίως. καλεῖ δὲ τὴν μὲν ὕλην, ἐξ οὗ. τὸ δὲ εἶδος, καθ'
ὅ. τὸ δὲ ποιητικὸν αἴτιον, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. τὸ δὲ τελικὸν, δι' ὅ. εἰσὶ δὲ καὶ ἕτερα δύο αἴτια τῶν γι-
νομένων, τό τε ὀργανικὸν, καὶ τὸ παραδειγματικὸν, ἃ καὶ ὁ πλάτων ἐν τοῖς αἰτίοις ἀπαριθμεῖται. ἀλλ'
ὁ ἀριστοτέλης ὡς φυσικὸς, οὐ προσποιεῖται ταῦτα. τὸ μὲν παραδειγματικὸν, διότι τοῦτο κρεῖττόν ἐστιν ἢ
κατὰ φύσιν. οὐ γὰρ πρὸς παράδειγμα ἡ φύσις ἀποβλέπουσα ποιεῖ. εἰ γὰρ καὶ ἔχει τοὺς λόγους τῶν γινομένων,
ἀλλ' οὐ γνωστικῶς, ὥσπερ ὁ τέκτων, ζωτικῶς δὲ μόνον, διότι τι ποιεῖται κατ' αὐτούς. τὸ δὲ ὀργανικὸν αἴτιον.
συμπεριλαμβάνει τῷ ὑλικῷ. ὥσπερ οἷον ὄργανον τῆς φύσεως τὸ ἔμφυτον θερμόν. ἀλλὰ τοῦτο ὡς εἶπον, συν-
αναλαμβάνει ταῖς ὑλικαῖς, ἐπειδὴ ὅλως τὰ τέσσαρα στοιχεῖα ἐν οἷς αἱ τέσσαρες εἰσὶ ποιότητες, ὑλικὸν αἴ-
τιον εἰσὶ τῶν γινομένων. ποῖον δὲ ἂν ὄργανον αὐτῆς τῆς τῶν τεσσάρων στοιχείων γενέσεως παραληφθείη. ὁ μὲν
οὖν πλάτων θεολογῶν, ποιητικὸν αἴτιον τὸν δημιουργὸν λέγει. ὀργανικὸν δὲ τὴν ὕλην. ὁ μέντοι ἀριστο-
τέλης φυσιολογῶν, εἰκότως ταύτην μὲν ποιητικόν φησιν εἶναι αἴτιον, ὀργανικὸν δὲ ἀνάλογον οὐκ ἔχει. καὶ
γὰρ τὰ ὄργανα καθόλου χωριστὰ εἶναι θέλει καὶ τῶν ποιητικῶν, καὶ τῶν ἀποτελεσμάτων. τὸ δὲ ἔμφυτον θερ-
μὸν, οὐ κεχώρισται τῆς δημιουργούσης φύσεως, ἀλλὰ καὶ αὐτὸ τῶν ὑποκειμένων ἐστὶ τῇ φύσει, ἐν ᾧ ὀχουμένη δη-
μιουργεῖ τὸ ζῷον. διὰ τοῦτο δὲ παράδειγμα ἐπὶ τῶν φυσικῶν αὐτὴν τὴν φύσιν εἰπεῖν, εἴγε τὸ ὅμοιον τοῦ ὁμοίου
γεννητικὸν, καὶ σκοπὸς τῇ φύσει τῇ ἐν τῷ πατρὶ, ἢ τῇ μητρὶ, τὸ ποιῆσαι ὅμοιον αὐτῇ. ἀλλ' οὔτι γνωστικῶς, ὥσ-
περ εἶπον, εἰς ἑαυτὴν ὡς πρὸς παράδειγμα ἀφορᾷ, κεχώρισται δὲ θέλει κατ' οὐσίαν τοῦ ποιητικοῦ αἰτίου
τὸ παράδειγμα. ταῦτα εἰπὼν, ἐφεξῆς ὅσα παρακολουθεῖ τοῖς αἰτίοις παραδίδωσι· καὶ πρῶτον ὅτι πολλῶν
ὄντων τῶν αἰτίων, συμβαίνει τοῦ αὐτοῦ πλείονα εἶναι αἴτια καθ' αὑτό, τὰ ἀπηριθμημένα τέσσαρα. πάντα
γὰρ καθ' αὑτὸ αἴτια ἐστίν. ἀλλ' οὐ κατὰ τὸ αὐτό. ἄλλως γὰρ ἡ ὕλη αἴτιον, καὶ ἄλλως τὸ ποιητικόν. καὶ ἐπὶ τῶν λοι-
πῶν ὡσαύτως. ἔτι φησὶ τινὰ ἀλλήλων ἐστὶν αἴτια, οἷον, οἱ πόνοι τῆς εὐεξίας εἰσὶν αἴτιοι. ἀλλὰ καὶ ἡ εὐεξία
τῶν πόνων. ἀλλ' οὐ κατὰ τὸν αὐτὸν τρόπον, ἀλλ' οἱ μὲν πόνοι τῆς εὐεξίας αἴτιοι, ὡς ποιητικοί, ἡ δὲ εὐεξία τῶν πόνων
αἰτία, ὡς τελική. διὰ γὰρ τὸ τυχεῖν εὐεξίας καὶ ὑγείας, πονοῦμεν. διατί γὰρ βαδίζεις ἐρωτηθεὶς, λέγω ἵνα ὑ-
γιαίνω. ἔτι φησὶ τὸ αὐτὸ τῶν ἐναντίων δύναται εἶναι αἴτιον. ὁ γὰρ κυβερνήτης παρὼν μὲν, αἴτιος γίνεται τῆς σω-
τηρίας τῶν νεῶν. ἀπὼν δὲ, ἀπωλείας αὐταῖς αἴτιος γίνεται. καὶ φασὶν ὅτι οὐ καθ' αὑτὸ ὁ κυβερνήτης ἀπὼν,
ἀπωλείας αἴτιος γίνεται τῇ νηὶ, ἀλλὰ κατὰ συμβεβηκός. κἂν σωθείη γὰρ ἡ ναῦς ἀπόντος τοῦ κυβερνήτου. διὸ
φασὶν οἰκειότερον παράδειγμα ἂν εἴη τὸ κατὰ τὸν ἥλιον. ὃς παρὼν μὲν, φωτὸς γίνεται αἴτιος. ἀπὼν δὲ σκότους. καὶ
ἀμφότερα καθ' αὑτό. εἰ γὰρ κατὰ συμβεβηκὸς ἀπὼν σκότους αἴτιος ἐγένετο καὶ μὴ καθ' αὑτὸ, κἂν ἀπὼν ἦν,
οὐκ ἂν ἐγένετο σκότους αἴτιος. τοιαῦτα γὰρ τὰ κατὰ συμβεβηκὸς αἴτια. φημὶ δὲ ὅτι εἰ καὶ ἡ τοῦ κυβερνήτου ἀπου-
σία αἴτια τῇ νηὶ γίνεται ἀπωλείας, οὐ παρὰ τοῦτο νομιστέον κατὰ συμβεβηκὸς αὐτὴν αἰτίαν εἶναι τῆς ἀπωλείας.
ἐπεὶ καὶ ἡ παρουσία αὐτοῦ, οὐ πάντως σωτηρίας αἰτία γίνεται. καὶ οὐ παρὰ τοῦτο, ἡνίκα ἂν σώζῃ οὐ καθ'
αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς σώζει. οὕτως οὖν κἂν ἀπόντος τοῦ κυβερνήτου σωθείη ἡ ναῦς, κατὰ τύ-
χην ἐροῦμεν τὴν σωτηρίαν γενέσθαι· ὥσπερ καὶ τὴν ἀπώλειαν τὴν ἐπὶ τῆς παρουσίας τοῦ κυβερνήτου βίᾳ
γενέσθαι φαμέν. αἱ γὰρ τέχναι, τῶν ὡς ἐπὶ τὸ πολύ. τῆς μέντοι ἀπωλείας τῆς ἐπὶ τῇ ἀπουσίᾳ τοῦ κυ-
βερνήτου γινομένης, καθ' αὑτὸ ἂν εἴη αἰτία ἡ ἀπουσία αὐτοῦ. ὥστε καθ' αὑτὸ ὁ κυβερνήτης, τῇ παρου-
σίᾳ, καὶ ἀπουσίᾳ, τῶν ἐναντίων αἴτιος γίνεται, σωτηρίας φημὶ καὶ ἀπωλείας.

ΕΠΕΙ γὰρ τοῦ εἰδέναι χάριν ἡ φυσικὴ ἡ πραγματεία, εἰδέναι δὲ οὐ πρότερον οἰόμεθα ἕκαστον, πρὶν
ἂν λάβωμεν τὸ διὰ τί περὶ ἕκαστον. τοῦτο δ' ἐστὶ τὸ λαβεῖν τὴν πρώτην αἰτίαν, δῆλον ὅτι καὶ ἡμῖν τοῦτο ποιη-
τέον. καὶ περὶ γενέσεως καὶ φθορᾶς καὶ περὶ πάσης τῆς φυσικῆς μεταβολῆς. ὅπως εἰδότες αὐτῶν τὰς ἀρχὰς,
ἀνάγειν εἰς αὐτὰς πειρώμεθα τῶν ζητουμένων ἕκαστον.

γὰρ αὐτῷ ταῦτα ποιῆσαι, καὶ ἡ ἐνεργεῖ. τῶν ἀρχουσῶν οὖν τῆς ὕλης, αἵτινες καὶ ἀρχιτεκτονικαὶ καλοῦνται, ἡ μὲν τὸ εἶδος ἐπιτίθησιν, ἡ ναυπηγική. ἡ δὲ χρῆται αὐτῷ, ἡ κυβερνητική. καλῶς δὲ εἴπομεν, καὶ τὴν κυβερνητικὴν ἀρχιτεκτονικὴν εἶναι. καὶ γὰρ μᾶλλον ἀρχιτεκτονικὴ αὕτη τῆς ναυπηγικῆς. αὐτὴ γὰρ τῇ ναυπηγικῇ ἐπιτάττει, ὁποῖον δεῖ ποιῆσαι τὸ τοῦ πηδαλίου εἶδος. διαφέρουσι δὲ ἀλλήλων αἱ περὶ τὸ εἶδος αὐτῆς καταγινόμεναι τέχναι, αἵτινες καὶ ἀρχιτεκτονικαί εἰσι, τῷ τὴν μὲν ποιητικὴν εἶναι εἴδους, τὴν ναυπηγικήν, τὴν δὲ γνωστικὴν μόνον οὐ ποιητικήν. καὶ τὴν μὲν κεχρῆσθαι αὐτῷ, τὴν δὲ μή. ὥστε τέσσαρές εἰσι περὶ τὸ αὐτὸ καταγινόμεναι. ὧν αἱ μὲν δύο, περὶ τὴν ὕλην καταγίνονται. αἱ δὲ δύο περὶ τὸ εἶδος. ἐπεὶ οὖν ταῦτα εἰπὼν οὐ προστέθηκε τῇ ἀπορίᾳ τὸ λοιπόν, τοῦτο δὲ ἦν ὅτι μήποτε οὖν καὶ ἐπὶ τῶν φυσικῶν οὐ τῆς αὐτῆς ἐστι φυσικῆς ἐπιστήμης περὶ τὴν ὕλην καὶ τὸ εἶδος καταγίνεσθαι, ἀλλὰ ἄλλης μὲν περὶ τὸ εἶδος, ἄλλης δὲ περὶ τὴν ὕλην, διὰ τοῦτο ἀσάφειαν ἐνεποίησεν, ὅτι ἀπορίας ταῦτα ἐστὶ θετέον ἕνεκεν. ἀλλὰ τῷ τὴν ἐπίλυσιν ἐπαγαγεῖν ὥσπερ εἴρηται, δῆλον ἐποίησε τὴν ἑαυτοῦ διάνοιαν. εἰπὼν δὲ καὶ ὅτι ἡ κυβερνητικὴ ἀρχική ἐστι, μετά τινος προσδιορισμοῦ τοῦτο εἶπεν, εἰπὼν ἀρχιτεκτονική πως. προσέθηκε δὲ τό πως, διὰ τὸ μὴ τεκταίνεσθαι τὴν κυβερνητικήν. ἄρχει μὲν γὰρ μᾶλλον τῆς ναυπηγικῆς. οὐ τεκταίνεται δέ. πρὸς τὸ τεκταίνεσθαι οὖν τό πως, οὐ πρὸς τὸ ἄρχειν.

» Ο ΜΕΝ γὰρ κυβερνήτης, ποῖόν τι τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει καὶ ἐπιτάττει. ὁ δὲ ἐκ ποίου ξύ-
» λου, καὶ ποίων κινήσεων ἔσται.

Α' μφότεραι μὲν οὖν περὶ τὸ εἶδος καταγίνονται. οὐκ ἀγνοοῦσι δὲ καὶ τὴν ὕλην, ἀλλ' ἡ μὲν κυβερνητική, μᾶλλον οἶδε τῆς ὕλης τὸ εἶδος, καὶ ἐπιτάττει τοῦτο τῷ κυβερνήτῃ. ἡ δὲ ναυπηγική, μανθάνει μὲν παρὰ τοῦ κυβερνήτου τὸ εἶδος, οἴκοθεν δὲ τὴν ὕλην ἐπινοεῖ. ἀντιλαμβάνουσιν οὖν παρ' ἀλλήλων, ἡ μὲν ναυπηγικὴ παρὰ τῆς κυβερνητικῆς τὸ εἶδος. ἡ δὲ κυβερνητική, παρὰ τῆς ναυπηγικῆς τὴν ὕλην. τὸ δὲ ἐκ ποίων κινήσεων, ἀντὶ τοῦ ἐκ ποίων φυσικῶν ῥοπῶν καὶ δυνάμεων. οὐ γὰρ τὸ τυχὸν ξύλον εἰς τὴν κατασκευὴν τοῦ πλοίου, ἢ τοῦ πηδαλίου παραλήψεται.

» ΕΝ ΜΕΝ γὰρ τοῖς κατὰ τὴν τέχνην, ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα. ἐν δὲ τοῖς φυ-
» σικοῖς ὑπάρχει οὖσα.

Η' ἐπίλυσις τῆς ἀπορίας, ὅτι ἐν μὲν τοῖς κατὰ τέχνην ἔξωθεν ὁ τεχνίτης παραλαβὼν τὴν ὕλην, οὕτως αὐτῇ τὸ εἶδος ἐπιτίθησι. καὶ διὰ τοῦτο ἄλλης τέχνης ἐστὶ καὶ ἄλλης τὸ εἶδος εἰδέναι. ἐν δὲ τοῖς φυσικοῖς, οὐκ ἔξωθεν τῇ φύσει ἡ ὕλη δίδοται, ἀλλ' ἐν αὐτῇ ὑπάρχει καὶ ὑπ' αὐτῆς δημιουργεῖται. εἰ δὲ τοῦτο, ὁ ἄρα τῆς τοιαύτης φύσεως ἐν ἐπιστήμῃ γινόμενος, καὶ τὸ εἶδος εἴσεται καὶ τὴν ὕλην. ἀμφοτέρων γὰρ ἡ φύσις ἐργάτις. καὶ οὐκ ἐγχωρεῖ μὴ ἄμφω ἐγνωκότα, ἐν ἐπιστήμῃ τῆς φύσεως γενέσθαι, εἴγε ἀμφοτέρων ἐργάτις ἡ φύσις.

» ΕΤΙ τῶν πρός τι ἡ ὕλη.

Τ ρίτον ἐπιχείρημα, ὅτι ἀμφότερα τοῦ φυσικοῦ γνῶναι.

» ΜΕΧΡΙ δὴ πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν; ἢ ὥσπερ τὸν ἰατρὸν νεῦρον, ἢ χαλ-
» κέα χαλκόν, μέχρι του; τινὸς γὰρ ἕνεκα ἕκαστον, καὶ περὶ ταῦτα ἅ ἐστι χωριστὰ μὲν εἴδει, ἐν ὕλῃ δέ. ἄνθρω-
» πος μὲν γὰρ ἄνθρωπος γεννᾷ, καὶ ἥλιος. πῶς δὲ ἔχει τὸ χωριστόν, καὶ τί ἐστι, φιλοσοφίας τῆς πρώτης
» διορίσαι ἔργον.

Ε' ντεῦθεν διακρίνει τοῦ θεολόγου τὸν φυσικόν. περὶ μὲν τῆς ὕλης, οὕτως ἐπισκέψεται ὁ φυσικός, ὥσπερ εἰρήκαμεν. τὸ δὲ εἶδος, μέχρι πόσου ἐπισκέψεται. τουτέστιν ἐπειδὴ τοῦ αὐτοῦ πράγματος πλείονα λαβεῖν ἐστιν εἴδη, ἔστι γὰρ τοῦ Σωκράτους ὡς ἀνθρώπου εἶδος καὶ τὸ ζῷον λογικὸν θνητόν, καὶ πρὸ τούτου οὐσία ἔμψυχος αἰσθητική. εἰσὶ δέ τινα καὶ χωριστὰ εἴδη τῶν φυσικῶν, εἴτε ἀριθμοὶ κατὰ τοὺς Πυθαγορείους, εἴτε τὰ πρὸ τῶν πολλῶν. καὶ τούτων, εἴτε κατὰ Πλάτωνα τὰ αὐτὰ καθ' αὑτὰ ὑφεστῶτα, λέγω δὴ τὸ αὐτοάνθρωπος καὶ αὐτοζῷον, εἴτε τοὺς λόγους τοὺς ἐν τῷ δημιουργῷ. ἆρ' ἄ φησι περὶ παντὸς εἴδους διαλέξεται ἁπλῶς ὁ φυσικός, ἢ μέχρι τινὸς προάξει τὴν διδασκαλίαν. φησὶν οὖν ὅτι οὐκ ἔστι φυσικοῦ περὶ παντὸς εἴδους διαλεχθῆναι, ἀλλὰ μέχρι τινὸς προκύψει ὁ φυσικός. καὶ ὥσπερ ὁ χαλκεὺς οὐ πάσας ἐπισκέψεται τὰς τοῦ χαλκοῦ ἐνεργείας, φέρε εἰπεῖν εἴ τι πρὸς ἰατρικὴν συμβάλλεται, ἀλλ' ὅτι τηκτός ἐστι καὶ ἐλατός, καὶ ὅσα πρὸς τὰ ὑποβεβλημένα αὐτῷ συντελεῖ πράγματα. καὶ ὁ ἰατρὸς περὶ νεῦρον σκοπῶν τὰς συμβαλλομένας αὐτῷ ἐνεργείας εἰς τὴν ὑποκειμένην αὐτοῦ τέχνην σκοπήσει. φέρε εἰπεῖν ὅτι κινήσεως αἴτιόν ἐστιν. οὐ μέντοι ζητήσει εἰ ἔστι τι εἶδος αὐτοῦ παρὰ τῷ δημιουργῷ, ἢ ἐξ ὕλης καὶ εἴδους συνέστηκεν, ἀλλ' ὅτι τυχὸν τῶν ἄλλων ξηρότερόν ἐστιν, ἢ ψυχρότερον. οὕτω καὶ ὁ φυσικὸς οὐ περὶ παντὸς ἁπλῶς εἴδους διαλέξεται, ἀλλὰ μέχρι τινός. τοῦτο δέ ἐστιν, ὅσον μὴ τῆς ὕλης κεχώρισται. ἐρωτώμενος γάρ τινος ἕνεκεν εἰ τύχοι ἄνθρωπός ἐστιν, οὐκ ἐρεῖ ὅτι ἐστὶ τὸ ἐν τῷ δημιουργῷ, τοῦ ἀνθρώπου εἶδος. δεῖ δὲ τοῦτο ἐνεργὸν εἶναι καὶ γόνιμον. διὰ τοῦτό ἐστι καὶ τὸ ἐνταῦθα εἶδος. ἀλλ' ἀρκεῖ ἡγήσεται, τὰ μὴ αὐτῆς ὕλης αἴτια ἀποδοῦναι, ὅτι ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ ἥλιος. τῷ γὰρ ἀπιέναι, ἢ προσιέναι ὁ ἥλιος, γενέσεως ἢ φθορᾶς τοῖς τῇδε γίνεται αἴτιος. γεννᾶται δὲ προσεχῶς, οὐ τὸ τυχὸν ἐκ τοῦ τυχόντος, ἀλλὰ τὸ

ὅμοιον

παύσηται. τουτέστι τὸ οὗ ἕνεκα ἡ κίνησις πᾶσα γέγονε. τοῦτο δέ ἐστιν, ἡ ὑγίεια. οὐ γὰρ μὴ διακοπείσης τῆς ἰατροῦ ἐνεργείας, οὐχ ἵσταται μέχρις ἂν εἰς τὴν ὑγίειαν φθάσῃ. ἐπεὶ οὖν καὶ τῆς κινήσεως τῆς κατὰ τὴν γένεσιν, εἰ μή τις ἐμποδίσει, τέλος ἐστὶ τὸ εἶδος εἰς ὃ ἄγει, τοῦτό ἐστι καὶ οὗ ἕνεκα.

» ΔΙΟ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν, ἔχει τελευτήν, ἧσπερ οὕνεκ' ἐγένετο. βούλεται γὰρ οὐ
» πᾶν εἶναι τὸ ἔσχατον, τέλος. ἀλλὰ τὸ βέλτιστον.

F εἰπὼν, τὸν Εὐριπίδην λέγει. ὅτι φησὶ καλῶς ὡρισάμεθα τὸ τέλος, καὶ τὸ οὗ ἕνεκα, καὶ ὅτι οὐδὲ τῆς ἀδιακόπου κινήσεως, πιστοῦται καὶ Εὐριπίδης, ἐκ κοινῆς μὲν ἐννοίας τοῦτο λαβών, ὅτι τῆς συνεχοῦς κινήσεως τὸ ἔσχατον, τέλος καὶ οὗ ἕνεκά ἐστι. γελοίως δὲ τὴν κοινὴν ταύτην ἔννοιαν, καὶ καθολικὴν ἐφαρμόσας τοῖς κατὰ μέρος. ἐπεὶ γὰρ ὡς συνεχοῦς τινὸς τῆς ζωῆς τέλος ἐστὶν ὁ θάνατος, ᾠόμην τοῦτο τέλος καὶ οὗ ἕνεκα εἶναι. ὅθεν ἐπειδὴ τὰ πρὸ τοῦ τέλους πρὸς τὸ τέλος ἀναφέρεται πάντα, ὑπενόησε διὰ τοῦτο γίνεσθαι τὸν ἄνθρωπον ἵνα ἀποθάνῃ. τὸ δέ φησιν οὐχ οὕτως ἔχει. οὐ γὰρ πᾶν ἁπλῶς τέλος, καὶ οὗ ἕνεκα ἐστίν, ἀλλὰ τὸ μὲν οὗ ἕνεκα πᾶν, τέλος. τὸ δὲ τέλος, οὐ πᾶν οὗ ἕνεκα, ἀλλὰ τὸ βέλτιστον τέλος, τοῦτο οὗ ἕνεκα. βέλτιον δὲ τὸ εἶναι τοῦ μὴ εἶναι. οὐκ ἄρα οὗ ἕνεκα ὁ θάνατος. ἀλλ' οὐδὲ συνεχοῦς τῆς ἀπὸ τῆς γενέσεως κινήσεως, ἔσχατόν τι καὶ τέλος ἐστὶν ὁ θάνατος. κινεῖται γὰρ ἡ φύσις ἕως τῆς τελείας ἀκμῆς τοῦ ζῴου, καὶ ἀναγοῦσα εἰς τὸ τέλειον, ἵσταται. τοῦτο οὖν, τέλος τῆς συνεχοῦς κατὰ τὴν γένεσιν κινήσεως. τὸ δὲ μετὰ τοῦτο, ἐπειδὴ πέφυκε στέγειν δι' ὅλου τὸ εἶδος τῆς ὕλης, οὐδὲ τὸ ἀσθενέστερον χωρεῖ τὸ ζῷον οὐχ ὑπὸ τῆς φύσεως. ἀλλ' ὅτι ἐξ ἐναντίων συνέστηκε τὸ ζῷον, τῆς φύσεως μηκέτι ἐξισχυούσης εἰς ἁρμονίαν ἄγειν τὰ ἐναντία, οὐδὲ κρατέστερον γίνεται θάτερον, καὶ οὕτω κατὰ μικρὸν τῆς ἁρμονίας διαλυομένης, τὸν θάνατον συμβαίνει γίνεσθαι. βούλεται γὰρ οὐ πᾶν εἶναι τὸ ἔσχατον τέλος, ἀλλὰ τὸ βέλτιστον. βούλεται, οὐχ ὁ ποιητής, ἀλλ' ἡ τῶν πραγμάτων φύσις. ἐπεὶ οὖν τὸ βέλτιστον τοῦτο, τέλος καὶ οὗ ἕνεκα, καὶ τῆς γενέσεως ἄρα τὸ βέλτιστον, τέλος. βέλτιστον δὲ ἡ ἀκμή. ἐν αὐτῇ γὰρ γενόμενον τὸ ζῷον, πάσας ἐνεργεῖ τὰς φυσικὰς ἐνεργείας, καὶ μάλιστα τὰς γεννητικάς, ὅπερ καὶ κυρίως τέλος τῆς φύσεως τὸ ἀναγαγεῖν εἰς τοῦτο τὸ ζῷον, ὥστε γεννῆσαι ἕτερον οἷον αὐτό. ἐπεὶ γὰρ πάντα τοῦ ἀγαθοῦ ἐφίεται, ἀγαθὸν δὲ ἑκάστῳ τὸ εἶναι, ὅσα μὴ ἠδυνήθη κατ' ἀριθμὸν μένειν τὰ αὐτά, ἠγάπησε τὴν κατ' εἶδος ἀϊδιότητα. ἐπεὶ οὖν τοῦτό ἐστι τὸ βέλτιστον, μέχρι τοσούτου κινεῖ ἡ φύσις τὸ ζῷον κατὰ συνέχειαν, μέχρις ἂν εἰς τοῦτο ἀγάγῃ. ὥστε τὰς τοιαύτας ἐνεργείας, ἐνεργεῖ μέν. τὸ δὲ ἐντεῦθεν λοιπόν, παύεται μὲν ἡ προτέρα κίνησις, ἀπὸ τοῦ σκοποῦ τυχοῦσα. ἀρχὴν δὲ λαμβάνει ἡ παρὰ φύσιν, καὶ αὐτὴ φθορά, καθ' ὃν εἴπομεν τρόπον.

» ΕΠΕΙ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην. αἱ μὲν ἁπλῶς, αἱ δὲ εὐεργόν. καὶ χρώμεθα, ὡς ἡμῶν
» ἕνεκα πάντων ὑπαρχόντων. ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος. διχῶς γὰρ τὸ οὗ ἕνεκα. εἴρηται δὲ ἐν τῷ
» περὶ φιλοσοφίας. δύο δὴ αἱ ἄρχουσαι τῆς ὕλης, καὶ αἱ γνωρίζουσαι τέχναι. ἥτε χρωμένη καὶ τῆς ποιη-
» τικῆς, ἡ ἀρχιτεκτονική. διὸ καὶ ἡ χρωμένη ἀρχιτεκτονική πως. διαφέρει δέ, ᾗ ἡ μέν, τοῦ εἴδους γνωριστι-
» κή, ἡ ἀρχιτεκτονική. ἡ δὲ ὡς ποιητική, τῆς ὕλης.

Μεταξὺ τῆς συντάξεως τῶν παρόντων χωρίων πολλὰ παρεμβαλών, ἀσαφεστάτην ἐποίησε τὴν λέξιν. δεῖ οὖν ἵνα ἡ συνέχεια τῶν ῥητῶν φυλαχθείη, ὑπερβιβάσαι ἡμᾶς τὰς λέξεις, καὶ ἑκάστῳ τόπῳ τὸ οἰκεῖον ἀποδοῦναι. τὸ μὲν οὖν, καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων, τοῖς ἀνωτέρω συντακτέον οὕτως. ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος τῆς αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα. ἡ δὲ φύσις, τέλος καὶ οὗ ἕνεκα. εἶτα σύναπτον, καὶ χρώμεθα, ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων. μέχρι τοῦ εἴρηται δὲ ἐν τοῖς περὶ φιλοσοφίας. ἡ μὲν οὖν σύνταξις τούτου τοῦ χωρίου αὕτη. ὁ δὲ νοῦς, ἐπεὶ διπλοῦν τὸ τέλος τό, τε οὗ καὶ τὸ ᾧ, εἰπὼν τὸ τέλος τὸ ὡς οὗ, διὰ τοῦ εἰπεῖν ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα, προστέθεικε καὶ τὸ ἕτερον τοῦ τέλους σημαινόμενον, λέγω δὴ τὸ ᾧ, διὰ τοῦ εἰπεῖν καὶ χρώμεθα ὡς ἡμῶν ἕνεκα πάντων ὑπαρχόντων. ὅθεν σαφέστερον ποιῶν, ἐπήγαγεν. ἐσμὲν γάρ πως καὶ ἡμεῖς τέλος. διχῶς γὰρ τὸ οὗ ἕνεκα. εἰρῆσθαι δέ φησι τὴν διαίρεσιν ταύτην τοῦ οὗ ἕνεκα, καὶ ἐν τοῖς περὶ φιλοσοφίας. λέγει δὲ τοῖς ἠθικοῖς. ὡς περὶ φιλοσοφίας, διότι τὸ φιλόσοφον ἦθος δι' αὐτῶν παραδίδοται. αὕτη μὲν οὖν ἡ σύνταξις. τὰ δὲ μεταξύ, τὰ μέν ἐστι προκατασκευὴ τοῦ, ὅτι τὸ οὗ ἕνεκα τέλος, τὰ δὲ πρὸς ἔλεγχον τοῦ Εὐριπίδου. τὸ δὲ ἐπεὶ καὶ ποιοῦσιν αἱ τέχναι τὴν ὕλην αἱ μὲν ἁπλῶς αἱ δὲ εὐεργόν, συναπτέον τῷ δύο δὲ καὶ αἱ ἄρχουσαι τῆς ὕλης καὶ γνωρίζουσαι τέχναι, καὶ τὰ ἑξῆς. ἔστι δὲ ἐντεῦθεν ἡ ἀπορία ἣν εἴπομεν, ὅτι μήποτε ὥσπερ τῶν τεχνῶν αἱ μὲν περὶ τὴν ὕλην καταγίνονται, αἱ δὲ περὶ τὸ εἶδος, οὕτω καὶ αὐτῆς τῆς φυσικῆς αὐτῆς ἐπιστήμης ἔχει, καὶ ἄλλη μὲν ἡ τοῦ εἴδους γνωριστική, ἄλλη δὲ ἡ τῆς ὕλης. καὶ ὅτι ὡς ἀπορίαν ταῦτα προφέρει, δείκνυσιν ἐφεξῆς, ὥσπερ λύσιν ἀπορίας ἐπενεγκὼν ἐν οἷς φησίν, ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ποιοῦμεν ἡμεῖς τὴν ὕλην τοῦ ἔργου ἕνεκα, τὴν αἰτίαν τῆς διαφορᾶς λέγων τὸ τὴν μὲν τέχνην μὴ πάντως τὴν αὐτὴν περὶ ἀμφότερα καταγίνεσθαι. τὴν δὲ φύσιν, περὶ ἀμφότερα. ἔστιν οὖν ἡ ὅλη διάνοια τοῦ ῥητοῦ τοιαύτη. τῶν τεχνῶν, αἱ μὲν ποιοῦσι τὴν ὕλην, αἱ δὲ ἄρχουσιν αὐτῆς. καὶ τῶν τὴν ὕλην ποιουσῶν ἡ μὲν ἁπλῶς ὕλην ποιεῖ ὡς ἡ δρυτομική, ἡ δὲ εὐεργόν. καὶ τῶν ἀρχουσῶν τῆς ὕλης. ἄρχουσι δὲ τῆς ὕλης, ὅσαι περὶ τὸ εἶδος καταγίνονται τέχναι. ἐπιτάττει γὰρ ὁ ναυπηγὸς τῷ δρυτόμῳ ὁποῖα ξύλα αὐτῷ εὐτρεπίσει, καὶ πρὸς τί εὐεργό-

τασχεδὴν τὸν εὔηχον παραλαβεῖν. εὔηχος δὲ ὁ τοιόσδε. καὶ ἐν ἑκάστῳ εἴδει τὸν προσήκοντα. εἰ μέντοι ἔχει τινὰ δύναμιν εἰς θεραπείαν, ἢ καιόμενος, καὶ πόθεν ἔχει τὸ εὔηχον ἐν τῷ μετέχειν τινὸς πνεύματος, καὶ ὅσα ἁπλῶς μὴ συμβάλλεται πρὸς τὴν ὑποκειμένην αὐτῷ τέχνην, οὐκ ἐπισκέπτεται. οὕτως οὖν καὶ ὁ φυσικὸς ἀποδιδοὺς τὰς αἰτίας τῶν φυσικῶν πραγμάτων, ταύτας ἀποδώσει ἃς φυσικῷ ἀποδοῦναι οἰκεῖον. αὗται δέ εἰσιν, ὅσαι μὴ αὐτῆς τῆς ὕλης. κἂν γὰρ μὴ μόνον προσεχῆ αἴτια ἀποδιδῷ, ἀλλὰ καὶ πρῶτα καὶ ἐξῃρημένα τῶν γινομένων, ἀλλ' οὖν οὐδὲ ταῦτα αὐτῆς ὕλης. ἀποδώσει τυχὸν οὐ μόνον τὸν πατέρα αἴτιον τῆς τοῦ ἀνθρώπου γενέσεως, καὶ τὴν ἐν αὐτῷ φύσιν, ἀλλὰ καὶ τὴν τοῦ ἡλίου περιφοράν. καὶ ὁ ἥλιος δηλονότι, οὐκ ἔστι χωριστὸν ὕλης πρᾶγμα, ἀλλ' ἐν ὕλῃ τὸ εἶναι ἔχει. εἰ δέ τινά εἰσιν ἕτερα χωριστὰ ὕλης αἴτια τῶν φυσικῶν, εἴτε εἰδικά, εἴτε ποιητικά, εἴτε τελικά, τίνα τε ταῦτά ἐστι, καὶ πόσα καὶ ὅπως ἔχουσι πρὸς ἄλληλα, οὐκ ἔτι φυσικοῦ, ἀλλὰ θεολόγου ἐστὶν ἐπισκέψασθαι. ταύτῃ οὖν ὁ θεολόγος τοῦ φυσιολόγου διαφέρει, τῷ τὸν θεολόγον περὶ τῶν παντάπασι χωριστῶν τῆς ὕλης εἰδῶν διαλέγεσθαι, τοῦ φυσικοῦ περὶ

» μόνων τῶν ἐν ὕλῃ τὸ εἶναι ἐχόντων διαλεγομένου. Ἐπεὶ δὲ ἡ φύσις διχῶς τό, τε εἶδος καὶ ἡ ὕλη. Τὸ ἕτερον σημαινόμενον παρῆκε. τὸ κατὰ γένεσιν, ἐπειδὴ ἐκείνη ὁδός ἐστι, καὶ μεταβολὴ εἰς τὴν φύσιν, παρωνύμως ἀπ' αὐτῆς κληθεῖσα, ὡς ἀπὸ τῆς λευκότητος ἡ λεύκανσις. ἐπεὶ οὖν διχῶς φησιν ἡ φύσις, οὕτως ὁρίζεται τὰ φυσικὰ ὁ φυσικός, ὥσπερ ὁρίζεται τὸ σιμόν, τὸν ὁρισμὸν μὲν καὶ τὸ εἶναι τῇ σιμότητι κατὰ τὴν κοιλότητα ἀποδιδούς, μεμνημένος δὲ καὶ τοῦ ὑποκειμένου τῆς ῥινός. λέγομεν γὰρ ὅτι κοιλότης ἐν ῥινί. ὥστε οὐ κατὰ τὴν ὕλην τὸ εἶναι τῶν φυσικῶν ἀποδώσει, ἀλλὰ κατὰ τὸ εἶδος, ὥσπερ καὶ τῇ σιμότητι τὸ εἶναι κατὰ τὴν κοιλότητα. οὔτε ἀμνημονήσει τῆς ὕλης, ὡς οὐδὲ ἐνταῦθα τῆς ῥινός.

» ΚΑΙ γὰρ δὴ καὶ περὶ τούτου ἀπορήσειεν ἄν τις, ἐπεὶ δύο αἱ φύσεις, περὶ ποτέρας τοῦ φυσικοῦ. ἢ

» περὶ τοῦ ἐξ ἀμφοῖν. ἀλλ' εἰ περὶ τοῦ ἐξ ἀμφοῖν, καὶ περὶ ἑκατέρας. πότερον οὖν τῆς αὐτῆς, ἢ ἄλλης, ἑκα-

» τέραν γνωρίζειν.

Ἐπειδὴ εἶπεν ὅτι περὶ ἀμφοτέρων ὁ φυσικὸς διαλέξεται, βούλεται δεῖξαι, ὅτι ἀναγκαίως τὸν περὶ τού-των προχειρίζεται λόγον ἔχοντα ἀπορίας διλογίας. τί δὲ ἢ περὶ τοῦ ἐξ ἀμφοῖν, ἐπήγαγεν ὡς ἐν ὑπο-κείσει, ἀντὶ τοῦ ἢ δηλονότι περὶ τοῦ ἐξ ἀμφοῖν. εἰ δὲ περὶ τοῦ ἐξ ἀμφοῖν ὁ φυσικὸς διαλέξεται, δηλονότι καὶ περὶ ἑκατέρας τῶν ἁπλῶν. καὶ εἰ περὶ ἑκατέρας διαλέξεται ὁ φυσικός, ἄρα εἷς καὶ ὁ αὐτὸς φυσι-κὸς περὶ ἀμφοτέρων διαλέξεται, ἢ ἄλλος μὲν περὶ τῆς ὕλης, ἄλλος δὲ περὶ τοῦ εἴδους.

» ΕΙΣ μὲν γὰρ τοὺς ἀρχαίους ἀποβλέψαντι, δόξειεν ἂν εἶναι τῆς ὕλης. ἐπὶ μικρὸν γάρ τι μέρος Ἐμ-

» πεδοκλῆς καὶ Δημόκριτος τοῦ εἴδους, καὶ τοῦ τί ἦν εἶναι ἥψαντο.

Ὅσον φησὶν ἐπὶ τοῖς ἀρχαίοις φυσικοῖς, δόξειεν ἂν εἶναι τῆς φυσικῆς ἐπιστήμης, τὸ περὶ τῆς ὕλης διαλέγε-σθαι. ἐκεῖνοι γὰρ ταύτης μὲν πολλὴν ἐποιήσαντο λόγον. τοῦ δὲ εἴδους, ἢ οὐδένα, ἢ ἐπὶ βραχὺ ἐφρόντισαν.

» ΕΙ δὲ ἡ τέχνη μιμεῖται τὴν φύσιν, τῆς δὲ αὐτῆς ἐπιστήμης εἰδέναι τὸ εἶδος καὶ τὴν ὕλην μέχρι του,

» οἷον ἰατροῦ ὑγίειαν, καὶ χολὴν καὶ φλέγμα, ἐν οἷς ἡ ὑγίεια, ὁμοίως δὲ καὶ οἰκοδόμου τό, τε εἶδος τῆς οἰ-

» κίας, καὶ τὴν ὕλην, ὅτι πλίνθοι, καὶ ξύλα, ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ τῆς φυσικῆς ἂν εἴη τὸ

» γνωρίζειν ἀμφοτέρας τὰς φύσεις.

Ἐντεῦθεν τὸ πρῶτον ἐπιχείρημα ἐκ τῆς ὁμοιότητος τῆς τέχνης πρὸς τὴν φύσιν. καλῶς δὲ προσέθηκεν, ὅτι οἶ-δεν ὁ τεχνίτης τὴν ὕλην οὐχ ἁπλῶς, ἀλλὰ μέχρι του. ὁ γὰρ ἰατρὸς μέχρι τῶν στοιχείων ἀνελθών, καὶ ταῦτα λέγων ὕλην εἶναι τῶν σωμάτων, οὐκέτι περαιτέρω χωρεῖ. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν.

» ἜΤΙ τὸ οὗ ἕνεκα καὶ τὸ τέλος, τῆς αὐτῆς. καὶ ὅσα τούτου ἕνεκα. ἡ δὲ φύσις τὸ τέλος καὶ οὗ ἕνε-

» κα. ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης, ἔστι τι τέλος τῆς κινήσεως, τοῦτο ἔσχατον, καὶ τὸ οὗ ἕνεκα.

Τὸ δεύτερον ἐπιχείρημα. τὸ δὲ οὗ ἕνεκα, καὶ τὸ τέλος, ἐκ παραλλήλου. τὸ μὲν οὖν οὗ ἕνεκα, ἔστιν ἐν τοῖς φυσικοῖς τὸ εἶδος. τούτου γὰρ ἕνεκα, πάντα πράττει ἡ φύσις. ἐξ ἀρχῆς μὲν ἵνα γεννήσῃ, μετὰ ταῦτα δὲ ἵνα φυλάξῃ. ἕνεκα δὲ τοῦ τέλους, ἔστιν ἡ ὕλη, ὄργανα, καὶ εἴ τι παραπλήσιον. ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστι τέλος, τοῦτο ἔσχατον καὶ τὸ οὗ ἕνεκα. μικρὸν δεῖ τὴν λέξιν μεταρρυθμίσαι. ὧν γὰρ συνεχοῦς τῆς κινήσεως οὔσης ἔστιν ἔσχατόν τι, τοῦτο τέλος καὶ τὸ οὗ ἕνεκα. ὁ δὲ νοῦς τῶν προκειμένων, οὗτος. ἐπει-δὴ εἶπε τὸ οὗ ἕνεκα τέλος, αὐτὸ τοῦτο προέθετο δεῖξαι. ὅταν οὖν φησὶ κινούμενόν τι συνεχῶς, εἶτα ἀφι-κόμενον εἴς τι ἔσχατον παύηται τῆς εἰς τὸ πρόσθεν ὁδοῦ, τοῦτο τῆς κινήσεως τέλος ἐστί, καὶ τούτου ἕνε-κεν ἡ κίνησις γέγονεν. ὥστε τό, τε οὗ ἕνεκα, τέλος. καὶ τὸ τέλος, οὗ ἕνεκα. νόει δέ μοι τὴν κίνησιν ἀνεμπο-δίστως προϊοῦσαν καὶ περατουμένην καθ' ἑαυτὴν οὐδεμιᾶς ἔξωθεν αἰτίας τινὸς αὐτὴν ἐπισχούσης. εἰ γὰρ διακοπείη, οὐκ ἔστι τέλος τῆς κινήσεως ἡ στάσις ἐκείνη καθ' ἣν διεκόπη. οἷόν τι λέγω. εἰ ἐπιθήσει φάρ-μακον ἰατρός, εἶτα μεταξὺ ἐμπόδιόν τι γένοιτο, καὶ χεῖρον σχοίη τὸ πάθος, εἶτα πάλιν ἐπιθεὶς ἕτερον φάρ-μακον ὑγιάσει, τὸ τέλος τούτου, τὴν ὑγείαν λέγω, οὐκ ἐρεῖς τέλος εἶναι, οὐδὲ τὸ οὗ ἕνεκα τῆς προτέρας κινήσεως. ἀλλ' οὐδὲ τὴν χείρονα διάθεσιν, τέλος εἶναι τῆς προτέρας κινήσεως τοῦ φαρμάκου. οὔτε γὰρ σκοπὸν τοῦτο εἶχεν, οὔτε ἐξ αὐτοῦ, ἔκ τινος δὲ συμπτώματος ἔξωθεν ἡ χείρων διάθεσις γέγονεν. ὅταν οὖν ἀδιάκοπος γίνηται ἡ κίνησις ἡ ἐπὶ τὴν ὑγείαν, τὸ τέλος τῆς κινήσεως ταύτης, καὶ εἰς ὁ ἔσχατον ἀπο-

δὲ εὐεργὸν ποιεῖ, ὡς ἡ τοὺς λίθους ἐπιτηδείους εἰς οἰκοδομίαν παρασκευάζει, ἀποξέουσα καὶ εἰς θέσιν εὔθετον παρασκευάζουσα· καὶ ἄλλη μὲν τὸν χαλκὸν προευτρεπίζει, οἷον ἡ περὶ τὴν τοῦ μετάλλου συναγωγὴν ἀσχολουμένη· ἄλλη δὲ εἶδός τι τῷ χαλκῷ ἐπιτίθησιν, οἷον ἡ χαλκευτική. διατί οὖν μὴ καὶ ἐπὶ τοῦ φυσικοῦ, ἄλλης μέν ἐστι τὸ περὶ τῆς ὕλης διαλέγεσθαι, ἄλλης δὲ τὸ περὶ τοῦ εἴδους. φησὶν οὖν ἐπιλυόμενος τὴν ἀπορίαν, ὅτι ἐπὶ μὲν τῶν τεχνητῶν οὐκ ἐνυπάρχει ἐν αὐτοῖς ἡ ὕλη αὐτῶν· ἀλλ' ἔξωθεν αὐτὴν παραλαμβάνομεν, καὶ ἡμεῖς αὐτὴν ἐπινοοῦμεν· καὶ διὰ τὸ μὴ ἐξισχύειν τὴν φύσιν τὴν ἡμετέραν ἅμα πάντα ποιεῖν, ἄλλη μὲν τέχνη περὶ τὴν ὕλην καταγίνεται, ἄλλη δὲ περὶ τὸ εἶδος· ἐπὶ δὲ τῆς φύσεως, οὐκ ἔξωθεν χορηγεῖται ἡ ὕλη τῇ φύσει, ἀλλ' αὐτὴ καὶ τὴν ὕλην εὐτρεπίζει, καὶ τὸ εἶδος ἐπιτίθησιν· ὕλην δέ φημι τὴν προσεχῆ. ἡ γὰρ ἀνθρώπου φύσις εἰ καὶ μὴ αὐτὴ τὰ στοιχεῖα ποιεῖ, ἀλλ' οὖν αὐτὴ κιρνῶσα αὐτὰ οὐκ ἔξωθεν λαμβάνουσα, ἀλλ' ἐν ἑαυτῇ ἔχουσα· τοῦτο δέ ἐστιν ἡ προσεχὴς ὕλη τοῦ ζῴου. καὶ τοῦτο οὖν ἑκάστης τῶν κατὰ μέρος φύσεων. εἰ τοίνυν ἡ φύσις, καὶ τὸ εἶδος ποιεῖ καὶ τὴν προσεχῆ τοῦ εἴδους ὕλην, καὶ ὁ τὰ εἴδη τὰ φυσικὰ ἐπισκεπτόμενος, ἐπισκέψεται καὶ τὴν ὑποβεβλημένην αὐτοῖς ὕλην. οἷον, τὸ μέταλλον αὐτό· ἀλλ' ἑτέρα ἐστὶν ἡ τοῦτο ἐργαζομένη. διατοῦτο οὐδὲ γινώσκει αὐτὸ ὁ χαλκεύς. οὐδὲ γὰρ οἶδε τὴν τοῦ μετάλλου φύσιν, ὅπου τε καὶ ὅπως κατασκευάζεται. ἀκόλουθον δήπου ἐπειδὴ ἡ φύσις καὶ τὴν προσεχῆ αὐτῇ ὕλην καὶ τὸ εἶδος ποιεῖ, καὶ τὸν φυσικὸν ἀμφότερα εἰδέναι. ὥστε ὁ μὲν ἁπλῶς φυσικὸς τὴν ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς εἶδος ἐπισκέπτεται, ἐπειδὴ καὶ ἡ ἁπλῶς φύσις τὴν ἁπλῶς ὕλην καὶ τὸ ἁπλῶς εἶδος δημιουργεῖ· ὁ δέ τις φυσικὸς τὴν τινὰ ὕλην καὶ τὸ τὶ εἶδος, ἐπειδὴ καὶ ἡ τὶς φύσις τὸ τὶ εἶδος καὶ τὴν τινὰ ὕλην δημιουργεῖ. δόξει δὲ ἐναντίον εἶναι τοῖς ἄνω εἰρημένοις τὸ νῦν προβληθέν. εἰ γὰρ οὐχ ἡ αὐτὴ τέχνη καὶ τὴν ὕλην καὶ τὸ εἶδος ποιεῖ, πῶς ἄνω ἐλέγομεν, ὅτι τῆς αὐτῆς ἐστι τέχνης, καὶ τὴν ὕλην, καὶ τὸ εἶδος εἰδέναι. ἰδοὺ γοῦν ἡ κυβερνητικὴ τὸ μὲν εἶδος τοῦ πηδαλίου οἶδε, τὴν δὲ ὕλην ἐκ ποίων δεῖ ξύλων αὐτὸ, οὐκέτι. φημὲν οὖν ὅτι καὶ τὸ πρότερόν ἐστιν ἀληθὲς, καὶ τὸ δεύτερον. ἐπειδὴ γὰρ τοῦ αὐτοῦ πλείους εἰσὶν ὗλαι, αἱ μὲν προσεχέστεραι, αἱ δὲ πορρώτεραι. οἷον τοῦ ἀνθρωπίνου σώματος, ἔστι μὲν προσεχεστάτη ὕλη τοῦ ὅλου σώματος τὰ ἀνομοιομερῆ, ὡς αὐτός φησιν. ἔστι δὲ πρὸ τούτων ὕλη, τὰ ὁμοιομερῆ. ταῦτα γὰρ ὡς ἐν ὕλης τάξει ὑπόκειται τοῖς ὀργανικοῖς, καὶ πρὸ τῶν ὁμοιομερῶν οἱ χυμοὶ, καὶ πρὸ τῶν χυμῶν τὰ στοιχεῖα, καὶ πρὸ τῶν στοιχείων τὸ τριχῇ διαστατὸν, καὶ πρὸ τούτου, ἡ πρώτη ὕλη. τὴν μὲν οὖν προσεχεστάτην ὕλην, ἀνάγκη πᾶσα ἕκαστον τεχνίτην εἰδέναι. ὅ, τε γὰρ τέκτων, οἶδε τὴν προσεχεστάτην τῶν σκευῶν ὕλην, καὶ αὐτὸς αὐτὴν δημιουργεῖ, ἀποξέων τοιῶσδε, ἢ τοιῶσδε τὰ ξύλα, καὶ τέμνων κατὰ μόρια, καὶ τὰ ἄλλα τὰ πρὸς ὑποδοχὴν εἴδους εὐτρεπίζων, ἅτινα τὸν αὐτὸν λόγον ἐπέχουσι πρὸς τὸ εἶδος, ὅνπερ τὰ τοῦ ζῴου μόρια πρὸς τὸ τοῦ ζῴου εἶδος. τῇ γὰρ τούτων συνθέσει ἐπιγίνεται τὸ εἶδος, καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν ὁμοίως. καὶ γὰρ ἡ κυβερνητικὴ, ὡς οἶδε τὸ τοῦ πηδαλίου εἶδος, οὕτως οἶδε καὶ τὴν ὕλην. οἶδε γὰρ ἁπλῶς, ὅτι ἐκ ξύλων δεῖ τοῦτο εἶναι. τὸ δὲ ἐκ ποίων ξύλων, τοῦ ναυπηγοῦ ἐστιν εἰδέναι, ἐπειδὴ καὶ τὸ ἐργάσασθαι τὸ εἶδος αὐτοῦ ἐστιν, ὡς ὁ τὸ εἶδος ἐργαζόμενος, οἶδε ποία ὕλη δεκτικὴ αὐτοῦ ἐστι. τὴν μὲν οὖν προσεχῆ ἑαυτῷ ὕλην πᾶς τεχνίτης οἶδε, τὴν πορρωτέρω οὐκ ἐξ ἀνάγκης. διατοῦτο ὁ χαλκεὺς τὴν μὲν φύσιν τοῦ σιδήρου καὶ τοῦ χαλκοῦ οἶδε, καὶ ποῖος χαλκὸς πρὸς ποῖον εἶδος πεποίηται. οὐ μέντοι καὶ ὅπως μεταλλεύεται οἶδεν, ὅπερ ἐστὶν ἡ πορρωτέρω ὕλη, ἀλλὰ τοῦτο τῆς περὶ τὸ μέταλλον ἐνεργούσης τέχνης ἐστίν. εἰ τοίνυν πᾶσα τέχνη τὴν μὲν προσεχῆ ὕλην οἶδε, τὴν δὲ πορρωτέρω οὐκέτι, ἀλλ' ἑτέρας ἐστὶ τὸ ταύτην εἰδέναι, καὶ τὰ πρότερα ἄμφω ἀληθῆ ἦν· ὅτι τῆς αὐτῆς τέχνης καὶ τὸ εἶδος γνωρίζειν καὶ τὴν ὕλην τὴν προσεχῆ, καὶ τὰ δεύτερα ὅτι ἄλλη περὶ τὸ εἶδος ἐνεργεῖ, καὶ ἄλλη περὶ τὴν ὕλην, οὐ τὴν προσεχῆ, ἀλλὰ τὴν πόρρω. ὅθεν καὶ αὐτὸς ὁ ἀριστοτέλης εἰπὼν ὅτι τῆς αὐτῆς ἐστιν ἐπιστήμης εἰδέναι, καὶ τὸ εἶδος καὶ τὴν ὕλην, ἐπήγαγε μέχρι του. οἶδε γὰρ ὁ ἰατρὸς, ὅτι ἐκ τῶν τεσσάρων στοιχείων τὰ σώματα, καὶ ὅτι ὕλη ἐστὶν αὐτῶν ταῦτα. οὐ μέντοι ὁ ἰατρὸς, εἴσεται, ὅτι οὐκ ἔστι ταῦτα ἡ πρώτη ὕλη, ἀλλ' ἔστι καὶ πρὸ τούτων ἑτέρα ὕλη τῶν σωμάτων ἡ ἀνείδεος. μετὰ δὲ τὸ ἀπορῆσαι ταῦτα, τίθησι τρίτον ἐπιχείρημα ὁ ἀριστοτέλης, ὅτι τοῦ αὐτοῦ φυσικοῦ, ἀμφότερα γνῶναι. ἡ ὕλη γάρ φησι καὶ τὸ εἶδος τῶν πρός τι ἐστίν. ἡ ὕλη γὰρ εἴδους ἐστὶν ὕλη, καὶ οὐχ ἡ τυχοῦσα ὕλη, τοῦ τυχόντος ἐστὶν εἴδους, ἀλλὰ τὶς ὕλη τινός ἐστιν εἴδους. εἰ δὲ τῶν πρός τι ἡ ὕλη καὶ τὸ εἶδος, ὁ δὲ τὸ ἕτερον τῶν πρός τι εἰδὼς, καὶ τὸ λοιπὸν οἶδεν, ἅμα γὰρ τὰ πρός τι γινώσκονται, δῆλον ἄρα ὅτι τοῦ αὐτοῦ ἐστὶ φυσικοῦ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους διαλαβεῖν. ταῦτα εἰπὼν, διακρίνει τὸν φυσικὸν τοῦ θεολόγου, καὶ φησὶν, ὅτι ὥσπερ ὁ ἰατρὸς ἐπισκεπτόμενος τὰς ὄψεις, καὶ περὶ αὐτῶν ποιούμενος τὸν λόγον, οὐ περὶ πάσης αὐτῶν ἐνεργείας ὁ ἰατρὸς διαλέξεται, ἀλλ' αὔταρκες ἡγεῖται τὸ μαθεῖν, ὅτι πεφύκασι μὲν ὑπὸ τῶν τοιῶνδε χρωμάτων διακρίνεσθαι, συγκρίνεσθαι δὲ ὑπ' ἄλλων, καὶ ἐπὶ ἄλλην ἐνέργειαν ἔχουσιν, ἢ πάθος προσεχὲς τῷ ἰατρῷ, καὶ οὐδὲν ἄλλο περὶ αὐτῶν ἐπισκέψεται. οἷον, πῶς πεφύκασιν ἐκ τῶν ὀφθαλμῶν ἐξιέναι, καὶ τίς ἡ ἐνέργεια αὐτῶν ἡ περὶ τὰ ὁρατὰ, διατί πόρρωθεν ἐλάττονα ὁρῶσι, καὶ τὰ καθ' ὕδατος μείζονα, τίς τε ἡ ἐνέργεια αὐτῶν ἡ περὶ τὰ κάτοπτρα, καὶ πότερον ἀνακλᾶσθαι πεφύκασιν, ἢ οὔ· καὶ πρὸς ἴσας γωνίας, ἢ οὔ, καὶ ὅσ' ἄλλα μυρία οἱ ὀπτικοὶ περὶ αὐτῶν ἐπισκέπτονται, ὁμοίως δὲ καὶ ὁ χαλκεὺς περὶ τῆς τοῦ χαλκοῦ ἐνεργείας μέχρι τινὸς ἐπισκέψεται· ὅτι τυχὸν δεῖ δὲ τὸ τῶν κυμβάλων κα-

τῇ περὶ ψυχῆς πραγματείᾳ. διχῶς γάρ φησι τῶν ὁρισμῶν ἀποδιδομένων, ἢ ἐκ τοῦ εἴδους, ἢ ἐκ τῆς ὕλης, ἢ ἐκ τοῦ συναμφοτέρου. οἷον, ὡς ἐπὶ θυμοῦ ἐκ μὲν τῆς ὕλης, ὅτι ἐστὶ ζέσις τοῦ περικαρδίου αἵματος. ἐκ δὲ τοῦ εἴδους, ὅτι ὄρεξις ἀντιλυπήσεως. διχῶς οὖν φησι λεγομένου τοῦ ὁρισμοῦ, ὁ φυσικὸς, οὔτε ἐκ τῆς ὕλης μόνης ὁρίζεται, οὔτε ἐκ τοῦ εἴδους μόνου, ἀλλ' ἐκ τοῦ συναμφοτέρου. ἀλλ' ὡς εἶπον, τὸ μὲν εἶναι τῶν πραγμάτων ἀποδίδωσι κατὰ τὸ εἶδος, οὐ παραλείπει δὲ οὐδὲ τὴν ὕλην. ὅσον μὲν γάρ φησιν ἐπὶ τῇ τῶν ἀρχαίων φυσιολογίᾳ δόξειεν ἂν τοῦ φυσικοῦ εἶναι περὶ τῆς ὕλης μόνον διαλέγεσθαι. τῆς μὲν γὰρ ὕλης πολλὴν ἐφρόντισαν πάντες οἱ παλαιοί. τοῦ δὲ εἴδους οἱ μὲν οὐδένα ἐποιήσαντο λόγον, ὅσοι δὲ καὶ ἐμνήσθησαν εἰδικοῦ αἰτίου, ἐπὶ βραχὺ τούτου ἐφρόντισαν. οὗτοι δέ εἰσι Δημόκριτός τε καὶ Ἐμπεδοκλῆς. ὁ μὲν γὰρ Δημόκριτος ὕλην λέγων τὸ ὑποκείμενον ταῖς ἀτόμοις, εἰδοποιοὺς αἰτίας ἔλεγε τὰ σχήματα τῶν ἀτόμων. τὰς μὲν γὰρ σφαιρικὰς εἰδοποιεῖν τὸ πῦρ, τὸ δὲ ὕδωρ τυχὸν τὰς κυβικὰς, καὶ ἄλλο ὑπ' ἄλλων σχημάτων εἰδοποιεῖσθαι. ὁμοίως δὲ καὶ Ἐμπεδοκλῆς τὸ νεῖκος καὶ τὴν φιλίαν εἰδοποιοὺς αἰτίας τῶν ὄντων ἔλεγεν. εἰ γὰρ καὶ ποιητικὰς ἐλάμβανον αἰτίας τὸ νεῖκος καὶ τὴν φιλίαν, ἀλλ' οὖν εἰδοποιεῖσθαι δι' αὐτῶν τόν τε σφαῖρον διὰ τῆς φιλίας, καὶ τὸν κόσμον τοῦτον διὰ τοῦ νείκους. ὥστε ποιητικὸν αἴτιον λέγοντες, οὐ πάντη τοῦ εἴδους ἠμέλησαν. ποιοῦσι γὰρ ταῦτα οὐ τὰ εἴδη, ἀλλὰ τὴν ὕλην. Ἀναξαγόρου δὲ καίπερ αὐτοῦ τὸν νοῦν αἰτιασαμένου τῆς εἰδοποιΐας τῶν ὄντων, ὅμως οὐκ ἐμνήσθη. ἴσως διὰ τὰ εἰρημένα περὶ αὐτοῦ ἐν τῷ Φαίδωνι, ὅτι εἰ καὶ ᾐτιάσατο νοῦν τῆς γενέσεως τοῦ παντὸς, ἀλλ' οὖν ἐν τῇ ἀποδόσει τῆς κατὰ μέρος γενέσεως, οὐκέτι τῷ νῷ ἐχρήσατο, ἀλλ' εἰς ὑλικὰς πάλιν κατέπεσεν αἰτίας. τὰς γὰρ ὁμοιομερείας σαρκὸς, καὶ ὀστοῦ, καὶ τῶν λοιπῶν ᾐτιάσατο. ἅπερ ὡς ὑλικὸν ὑπετίθετο αἴτιον. ὅσον μὲν οὖν ἐπὶ τῇ τῶν ἀρχαίων δόξῃ, περὶ τῆς ὕλης δόξειεν ἂν εἶναι τοῦ φυσικοῦ διαλέγεσθαι. ὅτι δὲ περὶ ἀμφοτέρων δεῖ τὸν φυσικὸν ποιεῖσθαι τοὺς λόγους, δείκνυσι διὰ πλειόνων ἐπιχειρημάτων. καὶ πρῶτόν γε ἐκ τῆς ἀναλογίας τῆς τέχνης πρὸς τὴν φύσιν, ἐπειδὴ καὶ εἰκών ἐστι τῆς φύσεως ἡ τέχνη. εἰ τοίνυν ὁρῶμεν, ὅτι τῆς αὐτῆς τέχνης ἐστὶν εἰδέναι καὶ τὴν ὕλην, καὶ τὸ εἶδος. ὁ γὰρ οἰκοδόμος οὐ μόνον τὸ εἶδος τῆς οἰκίας οἶδεν, ἀλλὰ καὶ τὴν ὕλην τὴν ἐπιτηδείαν εἰς τὸ καταδέξασθαι τὸ τῆς οἰκίας εἶδος, καὶ ὁ τέκτων εἰδὼς τὰ εἴδη τῶν σκευῶν, κλίνης, θρόνου, καὶ τῶν λοιπῶν, οἶδε καὶ ποία ὕλη πρὸς ποῖον εἶδος ἐπιτηδεία ἐστίν. εἰ τοίνυν τοῦ αὐτοῦ τεχνίτου ἐστὶ, καὶ τὸ εἶδος, καὶ τὴν ὕλην τὴν οἰκείαν τῷ εἴδει γνῶναι, καὶ τῷ φυσικῷ ἄρα καὶ ἡ τοῦ εἴδους, καὶ ἡ τῆς ὕλης προσήκει ἐπίσκεψις. δεύτερον ἐπιχείρημα. τῆς αὐτῆς φησιν ἐστὶ τέχνης καὶ τὸ τέλος εἰδέναι, καὶ ὅσα ἄλλα τοῦ τέλους ἕνεκα γίνεται. εἰδὼς γὰρ ὁ οἰκοδόμος ὁποῖόν τί ἐστι τὸ τῆς οἰκίας εἶδος, ὅπερ σκοπὸν τῆς τέχνης καὶ τέλος ποιεῖται, οἶδε καὶ τὴν ὁδὸν δι' ἧς ἐπὶ τὸ τέλος τοῦτο ἀφίξεται. καὶ ὁ ἰατρὸς εἰδὼς τὴν ὑγείαν, οἶδε καὶ τὴν ὁδὸν τὴν ἐπὶ τὴν ὑγείαν. εἰ γὰρ εἰδείη μὲν ὁ τεχνίτης τὸ τέλος, τὴν δὲ ὁδὸν ἀγνοεῖ, οὐδέποτε ἀφίξεται εἰς τὸ τέλος. Εἰ δὲ τοῦ αὐτοῦ καὶ τὸ οὗ ἕνεκα, τουτέστι τὸ τέλος, εἰδέναι καὶ τὸ ἕνεκα τούτου, τουτέστι τὴν ὁδὸν τὴν ἐπὶ τὸ τέλος. ἕνεκα δὲ τοῦ τέλους ἡ ὕλη, καὶ ὁδὸς ἐπὶ τὸ εἶδος ἡ τῆς ὕλης ἐπιτηδειότης καὶ ὁ φυσικὸς ἄρα ἀμφότερα εἴσεται, καὶ τὸ τέλος, καὶ τὸ ἕνεκα τούτου. τοῦτο δέ ἐστιν ἡ ὕλη. Δεῖ ἔστι ἀμφότερα τοῦ φυσικοῦ ἐπισκέψασθαι. Ἀλλ' ἐπειδὴ τὸ τέλος διττὸν, τὸ μὲν οὗ, τὸ δὲ ᾧ. οἷον, τὸ μὲν εἶδος τῆς θύρας, ὡς οὗ τέλος. τούτου γὰρ ὁ τεχνίτης στοχάζεται. τοῦτο δὲ καὶ σκοπὸν καλοῦσι. τὸ δὲ ᾧ. γίνεται γὰρ ἡ θύρα, οὐ δι' αὐτὸ τοῦτο, ἵνα τοιόνδε τὸ εἶδος γένηται, ἀλλ' ἵνα τοῦ τοῦ ἀνθρώπου χρείαις ἐπαρκέσῃ. ὥστε τῷ ἀνθρώπῳ τέλει πως ὄντι γίνεται ἡ θύρα, ἵνα φυλάξῃ τὸν οἶκον. καὶ ὁ εἰδὼς οὖν τὸ ὡς οὗ τέλος, τουτέστι τὸ τῆς θύρας εἶδος, οἶδεν εὐθὺς καὶ τὰ ἕνεκα τούτου. τοῦτο δέ ἐστιν ἡ ὕλη. καὶ ὁ τὸ ὡς ᾧ τέλος εἰδὼς, οἷον ὁ ἄνθρωπος ὁ εἰδὼς ὅτι εἰς τὴν αὐτοῦ χρείαν γέγονε. τοῦτο γὰρ τελικώτατον τῆς θύρας τέλος ἡ τοῦ ἀνθρώπου χρεία, καὶ ὁ τὸ τοιοῦτον οὖν τέλος εἰδὼς, οἶδε καὶ τὰ ἕνεκα τούτου γινόμενα. ὁ γὰρ εἰδὼς ὅτι δεῖ ἀσφαλῶς ἔχειν τὰ σκευάσια, οἶδεν ὅτι πρὸς τὸ τυχεῖν τούτου, δεῖ τινος στερεοῦ, καὶ ἀντιτύπου σώματος, τοῦ εἴργοντος τοὺς ἐπηρεάζειν βουλομένους. ὥστε κἂν διχῶς λέγηται τὸ τέλος, ὁ εἰδὼς ὁποιονοῦν τῶν τελῶν, καὶ τὰ πρὸς τὸ τέλος εἴσεται. ὧν ἐστι καὶ ἡ ὕλη. ὥστε καὶ τοῦ φυσικοῦ, οὐ μόνον τὰ εἴδη γνῶναι, ἀλλὰ καὶ τὴν ὕλην. ἐπὶ τούτοις οὖν ὥσπερ ἀπορίαν τινὰ ἐπιφερομένην ἐπιλύεται. ἡ ἀπορία γὰρ αὕτη, ὅτι εἰ τοῖς τεχνητοῖς ἀξιοῖς ἐξομοιοῦν τὰ φυσικὰ, ἐπειδὴ ὁρῶμεν ὅτι αἱ μὲν τῶν τεχνῶν τὴν ὕλην κατασκευάζουσιν, αἱ δὲ τὸ εἶδος ἐπιτιθέασι τῇ ὕλῃ, καὶ ἐπὶ τῶν φυσικῶν ἄρα ἑτέρας ἂν εἴη τὸ γνῶναι τὴν ὕλην τῶν φυσικῶν ἐπιστήμης, ἑτέρας δὲ τὸ εἶδος. ἡ μὲν γὰρ κυβερνητικὴ οἶδε τὸ εἶδος τὸ πηδαλίου ὁποῖον δεῖ εἶναι, καὶ ἐπιτάττει τῷ ναυπηγῷ, ὅτι βούλομαι ὄργανον κατασκευασθῆναί μοι, εἰς τὸ περιάγειν τὴν ναῦν, καὶ διὰ τοῦτο δεῖ αὐτὸ τυχὸν κυλινδροειδὲς εἶναι, ἵνα εὐχερῶς περιάγηται. δεῖ δὲ καὶ κάτωθεν εἰ τύχοι πλάτος ἔχειν, ἵνα πλείονι προσπίπτον ὕδατι, τῇ πρὸς αὐτὸ ἀντιτρέψει ὠθῇ τὴν ναῦν. τὸ μὲν οὖν εἶδος ἐπιτάττει ὁ κυβερνήτης. τὴν δὲ ὕλην ἐκ τοίων ποτὲ ξύλων εἶναι δεῖ, οὐκέτι οἶδεν, ἀλλὰ παραχωρεῖ τὴν ταύτης εἴδησιν τῷ ναυπηγῷ. ἀλλὰ καὶ ὁ ναυπηγὸς εἰδὼς τὸ εἶδος τὸ τοιόνδε τοῦ πηδαλίου, τὴν ἐργασίαν τῆς ὕλης ἄλλοις ἐπιτάττει. ἁπλῶς μὲν γὰρ τὴν ὕλην εὐτρεπίζει ἡ δρυτομικὴ τῇ τεκτονικῇ. εὐεργὸν δὲ ταύτην ποιεῖ ἡ πρισική. εἶτα τὸ εἶδος ἐπιτίθησιν ἡ ναυπηγική. καὶ τῷ οἰκοδόμῳ, ἄλλη μὲν τέχνη τὴν ὕλην ἁπλῶς εὐτρεπίζει ἡ λατομικὴ, ἄλλη.

ταῦτα θελήσῃ, κἂν τι ὁρίσασθαι, εὐθὺς ἀνάγκη καὶ τὴν ὕλην ὑπολαμβάνειν. οὕτως οὖν ὡς εἶπεν ἀκίνητον αὐτὸν λέγει εἴδη τὰς οὐσίας, οὐχ ὡς αὐτῷ δοκοῦν τοῦτο, ἀλλ' ὡς συναγόμενον ἐκ τῶν τὰς ἰδέας ὑποτιθεμένων. λέγοντες γὰρ αὐτοάνθρωπον καὶ αὐτόϊππον, τί ἄλλο ἢ οὐσίαν ἀνθρώπου, καὶ οὐσίαν ἵππου, καὶ τῶν λοιπῶν ὑποτίθενται; λέγουσι δὲ τὰς τοιαύτας οὐσίας χωριστὰς ὕλης ἐν ὑποστάσει ἰδίᾳ εἶναι, ἃς μηδὲ κατ' ἐπίνοιαν ἄνευ τῆς ὕλης δυνατὸν ἐπινοῆσαι ὡς εἰρήκαμεν. τὰ ἄρα μηδὲ κατ' ἐπίνοιαν χωριστὰ τῆς ὕλης, καθ' ὑπόστασιν χωρίζουσι τῆς ὕλης. ὅπερ ἄτοπον.

» ΕΣΤΙ δὲ καὶ ἀριθμὸς, καὶ γραμμὴ, καὶ σχῆμα ἄνευ κινήσεως. σὰρξ δὲ καὶ ὀστοῦν καὶ ἄνθρωπος,
» οὐκ ἔτι. ἀλλὰ ταῦτα ὥσπερ ῥὶς σιμὴ, ἀλλ' οὐχ ὡς τὸ καμπύλον λέγεται.

Τουτέστιν ἄνευ ὕλης. ἐλέγομεν γὰρ αἰτίαν τῆς κινήσεως τὴν ὕλην εἶναι. δίισταται γὰρ ἐπ' αὐτῇ τὸ εἶδος ἀδιάστατον ὄν. Σὰρξ δὲ καὶ ὀστοῦν καὶ ἄνθρωπος οὐκ ἔτι, ἀλλὰ ταῦτα ὥσπερ ῥὶς σιμή. οὐχ ὥσπερ ὁριζόμενοι τὸ εὐθὺ, ἢ τὸ καμπύλον, ἢ τὸν κύβον οὐ προσχρώμεθα τῇ ὕλῃ, οὕτω καὶ ἐπὶ σαρκὸς, καὶ ὀστοῦ καὶ τῶν λοιπῶν. ἀλλ' ὥσπερ σιμότητα ὁριζόμενοι, παραλαμβάνομεν καὶ τὸ ὑποκείμενον τὴν ῥῖνα, λέγομεν γὰρ ὅτι σιμότης ἐστὶ κοίλανσις ἐν ῥινὶ, οὕτω δὲ καὶ σάρκα ὁριζόμεθα, καὶ ὀστοῦν, καὶ τὰ λοιπὰ, τὸ ὑποκείμενον συμπαραλαμβάνοντες ἐν τῷ ὁρισμῷ. ὥσπερ δ' εἰ μὴ τὴν σιμότητα, ἀλλ' ἁπλῶς τὴν κοιλότητα ὁριζόμεθα, οὐ μεμνημένοι παντελῶς ὕλης ὁριζόμεθα, οὕτω καὶ τὰ συμβεβηκότα ὁριζόμενοι οὐ παραληψόμεθα ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον.

» ΔΗΛΟΙ δὲ καὶ τὰ φυσικώτερα τῶν μαθηματικῶν. οἷον, ὀπτικὴ καὶ ἁρμονικὴ, καὶ ἀστρολογία.

Ὅτι φησὶ τὰ φυσικὰ εἴδη, οὔτε ἐπινοήσασθαι, οὔτε ὁρίσασθαι δυνατὸν ἄνευ ὕλης δηλοῦσι καὶ τῶν μαθημάτων ὅσα ἐγγύς που ἐστὶ φυσιολογίας. ἀστρονομίαν λέγω, καὶ ὀπτικὴν, καὶ ἁρμονικήν. ἥτε γὰρ ὀπτικὴ τὰ συμβαίνοντα περὶ τὰς ὄψεις ἐπισκοποῦσα, τάς τε τῶν εὐθειῶν, καὶ τῶν ἐξ αὐτῶν συνισταμένων, καὶ ἐκπεμπομένων κώνων ἐκπομπὰς καὶ ἀνακλάσεις, καὶ γωνίας, καὶ ὅσα ἄλλα γεωμετρικῶς ἐπ' αὐτῶν ἐξετάζει. τῆς γὰρ γεωμετρίας τὰ τοιαῦτα πάθη χωρὶς ἐπινοούσης, ἡ ὀπτικὴ ὑφεστώσας τὰς τοιαύτας λαμβάνει γραμμὰς, καὶ τὰ παρακολουθοῦντα αὐταῖς πάθη οὐκ ἄνευ κινήσεως, καὶ ὕλης. ὁμοίως καὶ ἡ ἀστρονομία τὰ ἐν τῷ οὐρανῷ σχήματα, καὶ ὅσα ἄλλα ἐπὶ τῆς κινήσεως αὐτῶν μαθηματικῶς δείκνυσιν. ἐπειδὴ ἐνεργείᾳ ταῦτα ὑφεστηκότα λαμβάνει, καὶ μετὰ τῆς ὕλης αὐτὰ θεωρεῖ. πάλιν τὸ αὐτὸ γεωμετρίας, καὶ ἀριθμητικῆς. ἁπλῶς διπλάσιον ἢ ἡμιόλιον, καὶ τὰ τοιαῦτα χωριστῶς σκοπούσης, ὁ ἁρμονικὸς ἐνεργείᾳ ὑπάρχοντας τοὺς τοιούτους θεωρεῖ λόγους, καὶ οὐδὲ ἐπινοῆσαι αὐτοὺς ἄνευ ὕλης δύναται. εἰ οὖν καὶ ὅσα τῷ λόγῳ χωρίζειν δυνατὸν, ὅταν ἐνεργείᾳ ὑφεστηκότα λαμβάνηται, οὐδὲ τῷ λόγῳ χωρίζεται, πόσῳ μᾶλλον τὰ μηδὲ τῇ ἐπινοίᾳ χωρίζεσθαι δυνάμενα, οὐκ εὔλογον δήπου τῇ ὑποστάσει χωρίζειν; ταῦτα δέ ἐστι τὰ οὐσιώδη εἴδη. ἀστρολογίαν δὲ κοινότερον οἱ παλαιοὶ ἐκάλουν, ἣν νῦν ἡμεῖς ἰδικώτερον ἀστρονομίαν καλοῦμεν. φυσικώτερα δὲ εἶπε τῶν μαθημάτων ταῦτα, διότι ἅπερ μαθηματικῶς δείκνυται, ταῦτα οὗτοι ὡς ἐν φυσικοῖς θεωροῦσι πράγμασι.

» ΑΝΑΠΑΛΙΝ γὰρ τρόπον τινὰ ἔχουσι τῇ γεωμετρίᾳ. ἀλλὰ ἡ μὲν γεωμετρία, περὶ γραμμῆς φυ-
» σικῆς σκοπεῖ. ἀλλ' οὐχ ᾗ φυσική. ἡ δ' ὀπτικὴ, μαθηματικὴν μὲν γραμμὴν, ἀλλ' οὐχ ᾗ μαθηματικὴ, ἀλ-
» λ' ᾗ φυσική.

Ὅ φησι διὰ τούτων, τοῦτό ἐστιν. ὅτι γεωμετρία μὲν λαβοῦσα ἐκ τῶν φυσικῶν σωμάτων τὰς γραμμὰς, πέρατα γὰρ φυσικῶν σωμάτων αἱ γραμμαὶ, οὐχ ὡς περὶ φυσικῶν σωμάτων, οὕτω σκοπεῖ περὶ αὐτῶν, ἀλλὰ χωρίσασα αὐτὰς τῷ λόγῳ τῶν φυσικῶν σωμάτων, οὕτω σκοπεῖ περὶ αὐτῶν, ὡς μαθηματικῶν, οὐχ ὡς φυσικῶν. ἀστρονομία δὲ καὶ ἁρμονικὴ, καὶ ὀπτικὴ ἀνάπαλιν ἔχουσι τῇ γεωμετρίᾳ. λαμβάνουσαι γὰρ τὰ ὑποδεδειγμένα τῇ γεωμετρίᾳ, οὐκ ἔτι ὡς ἔλαβεν μαθηματικοῖς οὖσιν ὡς μαθηματικοῖς κέχρηνται, ἀλλ' ὡς φυσικοῖς, οὐ χωριστὰ αὐτὰ ἐπινοοῦσαι, ἀλλ' ἐν ὕλῃ. ὥστε εἰ αὗται ἐπιστῆμαι, ἐπειδὴ τὰ τῇ ἐπινοίᾳ χωριστὰ, ὡς ὑφεστηκότα ἔλαβον, εὐθὺς καὶ τὴν ὕλην ἐπενόησαν. ἡ μὲν γὰρ τὰ οὐράνια σώματα. ἡ δὲ τὰς χορδὰς, ἡ δὲ τὰς ὄψεις, σχολῇ γε τὰ φυσικὰ εἴδη χωρισθείη ποτ' ἂν τῶν ὑποκειμένων. ὅπερ ποιοῦσιν οἱ τὰς ἰδέας ὑποτιθέμενοι.

» ΕΠΕΙΔΗ δὲ ἡ φύσις διχῶς, τό τε εἶδος καὶ ἡ ὕλη, ὡς ἂν εἰ περὶ σιμότητος τί ἐστιν ἐσκοποῦμεν, οὕ-
» τω θεωρητέον. ὥστ' οὔτ' ἄνευ ὕλης τὰ τοιαῦτα, οὔτε κατὰ τὴν ὕλην.

Διακρίνας τὸν μαθηματικὸν τοῦ φυσιολόγου, καὶ εἰπὼν ὅτι ὁ μὲν μαθηματικὸς ἐπισκέπτεται τὰ ἐν τοῖς φυσικοῖς εἴδη, ἀλλ' οὐχ ὡς φυσικὰ, ἀλλ' ὡς μαθηματικὰ χωρίζων αὐτὰ τῶν ὑποκειμένων, ὁ δὲ φυσικὸς ὡς ἀχώριστα αὐτὰ σκοπεῖ, καὶ μετὰ τῆς ὕλης, ἀκολούθως ἐνταῦθα σκοπεῖ πότερον φυσικοῦ ἐστι τὸ περὶ ἀμφοτέρων διαλέγεσθαι, ἢ οὔ. ἐπεὶ γὰρ καὶ δέδεικται ἔμπροσθεν, ὅτι ἡ φύσις λέγεται, καὶ κατὰ τὴν ὕλην, καὶ κατὰ τὸ εἶδος, πότερον ἄρα φησὶ περὶ ἀμφοτέρων ὁ φυσικὸς διαλέξεται, καὶ ἀποδιδοὺς τοὺς ὁρισμοὺς τῶν φυσικῶν πραγμάτων ἐκ θατέρου τὸν ὁρισμὸν ἀποδώσει, ἢ ἐξ ἀμφοῖν. καὶ φησὶν ὅτι τὸ μὲν εἶναι τῶν πραγμάτων χαρακτηρίζεται κατὰ τὸ εἶδος, καὶ μάλιστα τὸν ὁρισμὸν ἐκ τοῦ εἴδους ἀποδώσει, οὐ παραλήψεται δὲ οὐδὲ τὴν ὕλην, ἀλλὰ συμπεριλήψεται. καὶ ταύτην. ἐζήτησε δὲ τοῦτο αὐτὸ καὶ ἐν

» ΧΩΡΙΣΤΑ γὰρ τῇ νοήσει κινήσεώς ἐστι· καὶ οὐδὲν διαφέρει· οὐδὲ γίνεται ψεῦδος χωριζόντων.

Ο οὐδὲν ἀδύνατόν φησι ποιεῖ ὁ μαθηματικὸς χωρίζων τῶν ὑποκειμένων τὰ τοιαῦτα πάθη, καὶ σχήματα· πέφυκε γὰρ κατ' ἐπίνοιαν χωρίζεσθαι· ὅπερ δὲ αὐτοῖς πεφυκός ἐστι, τοῦτο ποιεῖ. κινήσεως δέ φησιν, ἀντὶ τοῦ τῆς φυσικῆς αὐτῶν ὕλης, ἤτοι τοῦ ὑποκειμένου. ἐν τούτῳ γὰρ ἡ αἰτία τῆς κινήσεως. εἴρηται δὲ ἡμῖν πρότερον, ὅπως οὐ μόνον τὸ φυσικὸν σῶμα, ἀλλὰ καὶ ἡ ὕλη δοκεῖ κινήσεως αἰτία εἶναι.

» ΛΑΝΘΑΝΟΥΣΙ δὲ τοῦτο ποιοῦντες, καὶ οἱ τὰς ἰδέας λέγοντες. τὰ γὰρ φυσικὰ χωρίζουσιν,
» ἧττον ὄντα χωριστὰ τῶν μαθηματικῶν. γίνοιτο δ' ἂν τοῦτο δῆλον, εἴ τις ἑκατέρων πειρῷτο λέγειν τοὺς
» ὅρους, καὶ αὐτῶν καὶ τῶν συμβεβηκότων. τὸ μὲν γὰρ περιττὸν ἔσται, καὶ τὸ ἄρτιον, καὶ τὸ εὐθὺ, καὶ τὸ
» καμπύλον.

Ϲ περὶ μαθηματικὴν ποιοῦσι πεφυκὸς γίνεσθαι τί δὲ ποιοῦσι; τὸ χωρίζειν τὰ πάθη τῶν οὐσιῶν κατ' ἐπίνοιαν, πεφυκότα οὕτω χωρίζεσθαι, τοῦτο καὶ οἱ τὰς ἰδέας τιθέμενοι ποιοῦσι, λανθάνοντες ἑαυτοὺς ὅτι οὐδαμῶς χωρίζεσθαι πέφυκε τὰ οὐσιώδη εἴδη τῶν ὑποκειμένων ἑαυτοῖς, ὥσπερ τὰ σχήματα καὶ τὰ πάθη. τὰ γὰρ ἧττον ὄντα χωριστὰ, ἀντὶ τοῦ οὐδαμῶς ὄντα χωριστά. καὶ ἔτι τὸ ἄτοπον αὔξουσι· ὅτι οὐ μόνον κατ' ἐπίνοιαν χωρίζουσι τὰ εἴδη ὥσπερ τὰ σχήματα, καὶ τὰ πάθη οἱ μαθηματικοὶ, ἀλλὰ καὶ ὕπαρξιν αὐτοῖς καθ' αὑτὰ διδόασι τοῖς μηδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πεφυκόσιν, ὅτι οὐδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πέφυκε τὰ οὐσιώδη εἴδη τῶν ὑποκειμένων ἑαυτοῖς καὶ τῆς ὕλης, ὥσπερ τὰ σχήματα, καὶ τὰ πάθη. καὶ δῆλόν φησιν ἐκ τῶν ὁρισμῶν ἑκατέρων. τρίγωνον μὲν γὰρ καὶ κύκλον καὶ σφαῖραν καὶ πάντα τὰ τοιαῦτα, δυνατὸν ὁρίσασθαι μὴ ἐπιμνησθέντα ὕλης. κύκλος μὲν γάρ ἐστι σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. ἄρτιον, ἀριθμὸς διαιρούμενος δίχα. καὶ πάντα τὰ τοιαῦτα ἔστιν ὁρίσασθαι μηδαμῶς ὕλης ἐπιμνησθέντα, ὡς δὴ πεφυκότων τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ χωρίζεσθαι, εἰ καὶ μὴ τῇ ὑποστάσει. σάρκα δὲ, καὶ ὀστοῦν, καὶ νεῦρον, καὶ πᾶν εἶδος οὐσιῶδες, ἀδύνατον ὁρίσασθαι μὴ ἐπιμνησθέντα τῆς ὕλης τῆς ὑποκειμένης, ὡς δὴ μὴ πεφυκότων μηδὲ τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ χωρίζεσθαι. τῆς γὰρ σαρκὸς ἐχούσης τὸ εἶναι τῷ μαλακὴν φέρε εἰπεῖν καὶ ὑγρὰν εἶναι, καὶ ἐνεργείας ἔχειν τοιάσδε, πῶς ἐγχωρεῖ τὰ τοιαῦτα πάντα ὕλης χωρίσαντα, αὐτὰ καθ' αὑτὰ ἢ φαντασθῆναι, ἢ λογισθῆναι, ἢ ὁρισμὸν αὐτῶν ἀποδοῦναι. αὐτὸ γὰρ τὸ εἰπεῖν ὑγρὸν καὶ θερμὸν, τὴν κρᾶσιν τῶν ὑποκειμένων στοιχείων, ἅπερ ἐστὶ τῆς σαρκὸς ἡ ὕλη, εἰπεῖν ἐστιν. οὐ γὰρ ὥσπερ ἐπινοῶ σχῆμα, μηδὲν προσεπινοῶν ἐν ποίᾳ ὕλῃ ἐστὶ τὸ τοιοῦτον, οὕτω καὶ σαρκὸς καὶ ὀστοῦ εἶδος δύναμαι ἐπινοῆσαι. εὐθὺς γὰρ τὸ ξηρὸν καὶ λευκὸν τοῦ ὀστοῦ ἐπινοῶ, καὶ ὅσα ἄλλα αὐτῷ προσυπάρχει. κἂν ὁρίσασθαι θελήσω τὴν σάρκα ἑτέρως, τυχὸν ὅτι ἐστὶ σῶμα θερμὸν καὶ ὑγρὸν, αἱματῶδες, μαλακὸν, τοιάσδε ἐνεργείας ἔχον, εὐθὺς τοῦτο εἰπὼν, τὴν ὑποκειμένην ὕλην εἴρηκα. ἀλλ' οὐδὲ τῶν ἁπλῶν ἔστι τι ἐπινοῆσαι ἄνευ ὕλης. εὐθὺς γὰρ τῷ ἐπινοῆσαι ὕδωρ, τὸ ὑγρὸν αὐτοῦ τὸ τυχὸν ἐπινοῶ, καὶ τὸ ψυχρόν. τοῦτο δὲ ἐπινοήσας τὸ σύνθετον ἐπενόησα, καὶ οὐκ ἔστιν αὐτὸ καθ' αὑτὸ ψυχρόν τι ἐπινοῆσαι, ἢ ὑγρόν. πόσον οὖν ἔστιν ἄτοπον τὰ μηδὲ κατ' ἐπίνοιαν χωρίζεσθαι πεφυκότα, καὶ καθ' ὑπόστασιν χωρίζειν. τὰ μὲν οὖν παρὰ Ἀριστοτέλους, καὶ ἢ τὸ πιθανὸν ἔχοντα, εἴρηται. καὶ ὅτι πλεῖστον αὐτῷ ἡ ἀπόστασις, δῆλον. ἐγὼ δέ φημι ὅτι εἰ μὲν τοῦτο αὐτῷ ἐνεκαλεῖτο, τὸ καθ' ὑπόστασιν ἐγχωρίζειν τὰ ἴδια εἴδη τῶν φυσικῶν, εἶχε τὸ εὔλογον ἡ ἔγκλησις. ἀδύνατον γὰρ τὰ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχοντα αὐτὰ καθ' αὑτά ποτε ὑποστῆναι. εἰ δὲ τοῦτό φησιν, ὅτι ἀδύνατον τῷ λόγῳ ἢ τῇ ἐπινοίᾳ χωρίσαι τῆς ὕλης τὸ εἶδος, οὐκ εὔλογον ἔμοιγε εἶναι δοκεῖ. εἰ γὰρ καὶ δυσφανῆ τινά ἐστιν αὐτὰ καθ' αὑτὰ τὰ οὐσιώδη εἴδη, ἀλλ' οὖν ὁ λόγος καὶ ταῦτα χωρίζειν πέφυκε. λέγομεν γοῦν ὅτι τὸ εἶδος ἕτερόν ἐστι τῆς ὕλης, καὶ ἡ αὐτὴ μένουσα καὶ μία ὕλη δέχεται ἄλλοτε ἄλλας διαφορὰς, ὡς δὴ ἑτέρων ὄντων παρ' αὐτὴν τῶν εἰδῶν. καὶ τί λέγω ἡ ὕλη; τὸ δεύτερον γοῦν καὶ αὐτὸ ὑποκείμενον, τοῦτο δ' ἐστὶ τὸ τριχῇ διαστατὸν, ἕτερόν ἐστι σαρκὸς καὶ ὀστοῦ καὶ τῶν λοιπῶν πάντων εἰδῶν. ἐπινοοῦμεν οὖν καθ' αὑτό. πῶς οὖν φησι μηδὲ κατ' ἐπίνοιαν δύνασθαι χωρίζεσθαι τοῦ ὑποκειμένου τὰ εἴδη. αὐτὸς γοῦν ἐν τῇ περὶ γενέσεώς φησι τὴν σάρκα, καὶ τὸ ὀστοῦν καὶ πάντα τὰ φυσικὰ τριχῶς λέγεσθαι. ποτὲ μὲν ἐπὶ τῆς ὕλης. ποτὲ δ' ἐπὶ τοῦ εἴδους. ποτὲ δ' ἐπὶ τοῦ συναμφοτέρου. πῶς δὴ χωρίσας κατ' ἐπίνοιαν τὰ εἴδη τῆς ὕλης. ὡς γὰρ τοῦτο ποιήσας, οὕτω φησὶ τριχῶς λέγεσθαι τὴν σάρκα, καὶ τῶν ἄλλων ἕκαστον. ποτὲ μὲν γὰρ φέρεσθαι τὸ τῆς σαρκὸς ὄνομα ἐπὶ τῆς ὕλης, ποτὲ δ' ἐπὶ τοῦ εἴδους. ποτὲ δ' ἐπὶ τοῦ συναμφοτέρου. καὶ αὐτὸς δ' ἐφεξῆς χωριστὰ εἶναι τὰ εἴδη τῶν φυσικῶν ὑποτίθεται, περὶ ἃ καὶ καταγίνεσθαί φησι τὸν θεολόγον. ὥστε δόξειεν ἂν οὐ καλῶς λέγειν, ὅτι τὰ εἴδη οὐκ ἔστι χωριστὰ τῷ λόγῳ, καὶ τῇ ἐπινοίᾳ. εἰ μὴ τὰ εἴδη οὕτω λέγει, ὡς οὐσίας. εἰ δὲ τὰ εἴδη τὰς οὐσίας λέγει, αἱ δὲ φυσικαὶ οὐσίαι σύνθετοι ἐκ τοῦ ὑποκειμένου καὶ τοῦ εἴδους, ἀδύνατον ποτὲ χωρὶς ὕλης τὰς τοιαύτας οὐσίας ἐπινοῆσαι. τοῦτο δὲ δοκοῦσι ποιεῖν, οἱ τὰς ἰδέας ὑποτιθέμενοι. λέγουσι γὰρ αὐτοάνθρωπον, καὶ αὐτόϊππον. ἅμα δὲ τῷ ἐπινοῆσαι ἄνθρωπον ἐν ὑποστάσει, εἶδος ἐν ὕλῃ ἐνόησα, καὶ τὸ ἐξ ἀμφοῖν σύνθετον. ὥστε ἐπειδὴ οἱ τὰς ἰδέας ὑποτιθέμενοι, οὐχ ἁπλῶς ἀνθρώπου λόγον, ἢ ἵππου λόγον ὑπετίθεντο χωρὶς τῆς ὕλης, ἀλλ' αὐτοάνθρωπον καὶ αὐτόϊππον, καλῶς εἴρηκεν ὅτι τὰ τοιαῦτα εἴδη, τουτέστι τὰς συνθέτους οὐσίας, οὐκ ἔστιν οὐδὲ κατ' ἐπίνοιαν χωρίσαι τῆς ὕλης. ἀλλὰ κἂν τις ἐπινοήσῃ·

ὥσπερ οὖν ἐν τούτοις περὶ μερικῶν ποιούμενος τὸν λόγον ὁ ἀστρονόμος, καὶ εἴ τινα ἥλιον ἐξετάζων, ἢ μίαν σελήνην, οὐχ ὡς περὶ μερικῶν, ἀλλ' ὡς καθολικῶν τινῶν ποιεῖται τοὺς λόγους, οὕτω κἂν ὡς ἡλιακὴν σφαῖραν, ἢ κίνησιν ἐξετάζῃ, οὐχ ὡς ἁπλῶς τῇ ἡλιακῇ οὐσίᾳ ὑπάρχουσαν ἐξετάζει, ἀλλ' ἁπλῶς τοιᾷσδε κινουμένῃ σφαίρᾳ τὰ συμβαίνοντα ἐξετάζει, χωρίζων τῇ ἐπινοίᾳ τὰ σχήματα, καὶ τὰς κινήσεις τῆς οὐσίας. καὶ ὅτι μὲν φησὶν οὐδὲν ἄτοπον ποιοῦσι, χωρίζοντες τῇ ἐπινοίᾳ τὰ πάθη τῶν οὐσιῶν. πεφύκασι γὰρ κατ' ἐπίνοιαν τοῦ ὑποκειμένου διαιρεῖσθαι. εἰ μὲν γὰρ χωρίζοντες ὑπόστασιν αὐτοῖς ἐδίδοσαν, ψεῦδος ἂν αὐτοῖς, καὶ ἀδύνατον ἠκολούθησεν. ἐπειδὴ δὲ τῇ ἐπινοίᾳ μόνον τὴν διάκρισιν αὐτῶν ποιοῦνται, πεφυκότων τῇ ἐπινοίᾳ χωρίζεσθαι, οὐδὲν ἄτοπον ἕπεται τῇ τοιαύτῃ διακρίσει. οὗτοι μὲν οὖν φησιν οὐδὲν ἄτοπον ποιοῦσιν. οἱ δὲ τὰ εἴδη φησὶ χωρίζοντες, ἅπερ οὐδὲ κατ' ἐπίνοιάν φησι χωρίζεσθαι πέφυκε, καὶ μὴ μόνον τῇ ἐπινοίᾳ χωρίζοντες ἀλλὰ καὶ ὑπόστασιν αὐτοῖς καθ' αὑτὰ παρέχοντες, οὗτοι μάλιστα ἁμαρτάνουσι τὰ ἀδύνατα ὑποτιθέμενοι. τὰ μὲν γὰρ πάθη οὐδὲν συντελοῦντα εἰς τὸν τῆς οὐσίας λόγον, ἀλλ' ἴδιον ἔχοντα τὸν τοῦ εἶναι αὐτῶν λόγον, καὶ χωριζόμενα τῇ ἐπινοίᾳ κατὰ τοῦτο τῶν οὐσιῶν, οὐδὲν ἄτοπον εἰ χωρίζοιτο ἀπὸ τῶν μαθηματικῶν τῇ ἐπινοίᾳ οὐ τῇ ὑποστάσει. τὰ μέντοι φυσικὰ εἴδη, οἷον τὸ ἀνθρώπου. τὸ ἵππου. τὸ λίθου, καὶ τῶν λοιπῶν, οὐδὲ κατ' ἐπίνοιαν τῆς ὑποκειμένης ὕλης χωρισθῆναι δύνανται. ὅταν γὰρ ἐπινοήσω τὸ εἶδος τῆς σαρκὸς, εὐθὺς μετὰ τῆς τοιᾶσδε κράσεως τῶν στοιχείων ἐπινοῶ τὸ ὑγρὸν αὐτῆς, τὸ αἱματῶδες, τὸ μαλακὸν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. δῆλον δέ φησιν ἐκ τῶν ὁρισμῶν. σφαιρικοῦ μὲν γὰρ σχήματος, ἢ κινήσεως, ἢ ἄλλου τινὸς τῶν παθῶν, οἷον καμπυλότητος, ἢ εὐθύτητος, τὸν ὁρισμὸν ἀποδιδούς τις, οὐδὲν μεμνήσεται τῆς ὕλης. σαρκὸς δὲ, ἢ ὀστοῦ, ἢ ἄλλου τινὸς τῶν φυσικῶν εἰ θελήσει τις ἀποδοῦναι τὸν ὁρισμὸν, πάντως μεμνήσεται τῆς ὑποκειμένης ὕλης, ὅτι ἡ τοσῆσδε ὑγρότητος, ἢ θερμότητος μετέχουσα, καὶ μαλακότητος, καὶ τῶν τοιούτων. ἅπερ τὴν ὑποκειμένην κρᾶσιν τῶν στοιχείων τῷ εἴδει τῆς σαρκὸς δηλοῖ. εἰ δ' οὖν ἀδύνατον κατ' ἐπίνοιαν χωρὶς ὕλης λαβεῖν τὰ φυσικὰ εἴδη, σχολῇ γε δήπου καὶ ὑποστάσει αὐτὰ καθ' αὑτὰ ὑποτίθεσθαι εἶναι.

» ΚΑΙ γὰρ ἐπίπεδα καὶ στερεὰ ἔχει τὰ φυσικὰ σώματα, καὶ μήκη, καὶ στιγμὰς, περὶ ὧν σκοπεῖ ὁ » μαθηματικός.

Ὁ φυσικός φησι περὶ τῶν φυσικῶν σωμάτων διαλέγεται. ἐν δὲ τοῖς φυσικοῖς σώμασιν, ἐπίπεδα καὶ στερεά ἐστι, καὶ γραμμαὶ, καὶ σημεῖα. περὶ τούτων δὲ σκοπεῖ καὶ ὁ μαθηματικός. ἐοίκασιν οὖν περὶ τὰ αὐτὰ ἀμφότεροι αἱ ἐπιστῆμαι καταπλέκεσθαι.

» ἜΤΙ δ' ἡ ἀστρολογία ἑτέρα, ἢ μέρος τῆς φυσικῆς.

Ἀστρολογίαν καλεῖ ἣν ἰδίως νῦν ἀστρονομίαν καλοῦμεν. οὐ διεκέκριτο γὰρ παρὰ τοῖς παλαιοῖς τὰ ὀνόματα, ἀλλ' ἦν ἐπὶ τῶν αὐτῶν ἀμφω. εἰπὼν δὲ καθόλου περὶ τῆς μαθηματικῆς, ἐξαιρέτως ἀστρονομίας ἐμνήσθη. διότι πολλὴ συγγένεια αὐτῇ πρὸς τὴν φυσικήν. οὐ γὰρ παντελῶς ἄνευ ὕλης δοκεῖ τὰ συμβεβηκότα τοῖς οὐρανίοις ἐπισκέπτεσθαι, ὡς ἑπόμεθα.

» ΕἸ γὰρ τοῦ φυσικοῦ τὸ, τί ἐστιν ἥλιος, ἢ σελήνη εἰδέναι, τῶν δὲ συμβεβηκότων καθ' αὑτὰ μηδὲν, ἄτο» πον. ἄλλως τε καὶ ὅτι φαίνονται λέγοντες οἱ περὶ φύσεως, καὶ περὶ σχήματος σελήνης καὶ ἡλίου. καὶ δὴ » καὶ πότερον σφαιροειδὴς ἡ γῆ καὶ ὁ κόσμος, ἢ οὔ.

Τὴν δοκοῦσαν τοῖς πολλοῖς διάκρισιν τῶν ἐπιστημῶν τούτων ἐλέγχων οὐκ ἀληθεύουσαν. ἦν δὲ ἡ διάκρισις, ὅτι ἡ μὲν φυσικὴ περὶ τῶν οὐσιῶν, ἡ δὲ μαθηματικὴ περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων. τὸ οὖν νομίζειν φησὶν, ὅτι οὐδαμῶς φυσικοῦ ἐστι τὸ διαλέγεσθαι περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων ταῖς οὐσίαις, πρῶτον μὲν καὶ αὐτόθεν ἄτοπον, εἰ μὴ διαλέξεται περὶ βαρύτητος, καὶ κουφότητος ὁ φυσικὸς, ἢ περὶ ἀπείρου τε καὶ πεπερασμένου σχημάτων τε τῶν φυσικῶν σωμάτων. εἰ γὰρ περὶ μηδενὸς τούτων διαλέξεται, συμβήσεται αὐτῷ περὶ μαθηματικοῦ σώματος εἶναι τὸν λόγον. πῶς δὲ καὶ γνώσεται τὴν ἑκάστου οὐσίαν, καὶ τίνι διενηνόχασιν ἀλλήλων. οὔτε γὰρ ἐπὶ τῶν ἁπλῶν ἱκανόν ἐστιν εἰς τὸ γνῶναι τὴν ἑκάστου φύσιν, τὸ λέγειν ἐξ ὕλης καὶ εἴδους αὐτὰ συγκεῖσθαι, οὔτε ἐπὶ τῶν συνθέτων τὸ λέγειν ἁπλῶς ὅτι ἐκ τῶν τεσσάρων στοιχείων συνεστήκασιν. ἄλλως τε καὶ φαίνονται πάντες οἱ περὶ φύσεως διαλεγόμενοι, καὶ περὶ τοῦ σχήματος τοῦ κόσμου, καὶ τῶν καθ' ἕκαστα πραγματευσάμενοι. ὥστε οὔτε ἐκ τοῦ λόγου, οὔτε ἐκ τῆς ἐναργείας ἄλογον τὸ νομίζειν, ὅτι οὐκ ἔστι φυσικοῦ τὸ περὶ τῶν καθ' αὑτὰ συμβεβηκότων τοῖς φυσικοῖς πράγμασι διαλέγεσθαι. ἀλλὰ περὶ μόνων τῶν οὐσιῶν. οὐκ ἄρα αὕτη διάκρισίς ἐστι τοῦ φυσικοῦ πρὸς τὸν μαθηματικόν.

» ΠΕΡῚ τούτων μὲν οὖν πραγματεύεται καὶ ὁ μαθηματικός. ἀλλ' οὐχ ᾗ φυσικοῦ σώματος πέρας » ἕκαστον. οὐδὲ τὰ συμβεβηκότα θεωρεῖ, ᾗ τοιούτοις οὖσι συμβέβηκε. διὸ καὶ χωρίζει.

Ἐντεῦθεν αὐτὸς τὴν ἀληθῆ διάκρισιν τῶν ἐπιστημῶν τούτων ἐκτίθεται. ὅτι δὲ καὶ περὶ τῶν αὐτῶν ἀμφότεροι, ἀλλ' ὁ μὲν φυσικὸς ἐν ὕλῃ θεωρεῖ τὰ τοιαῦτα ὑπάρχοντα. ὁ δὲ μαθηματικὸς χωρίσας αὐτὰ τοῦ ὑποκειμένου, αὐτὰ καθ' αὑτὰ ἐπισκέπτεται χωρὶς πάσης οὐσίας. μηδὲν φροντίζων, εἴτε ἐκ τῆς αὐτῆς οὐσίας τοῖς γινομένοις ἡ ὑποκειμένη αὐτοῖς φύσις, εἴτε ὁποιαδήποτε, καὶ εἴτε φυσικὸν τοῖς ὑποκειμένοις τὸ σχῆμα, εἴτε καὶ μή.

κεῖσθαι τὰ δοκοῦντα μὲν ὑποβεβλῆσθαι, μὴ ὑποβεβλημένα δέ. ἐπεὶ οὖν αἱ ἐπιστῆμαι αὗται γνώσεις τινές εἰσι, αἱ δὲ γνώσεις εἰδῶν εἰσι γνώσεις. εἰ γάρ ἐστι τῶν ἀϊδίων γνῶσις, καὶ ταύτην ἐκ τῆς τῶν εἰδῶν γνώσεως γινώσκομεν. ἢ γὰρ κατὰ τὴν ἀναλογίαν, ἢ κατὰ τὴν ἀφαίρεσιν, ὡς εἴρηται πρότερον, τὸ ἀΐδιον γινώσκομεν. διὰ τοῦτο οὖν εἰκότως τὴν διαίρεσιν τῶν ἐπιστημῶν τούτων ποιεῖται. διακρίνει δ' οὐ πάσας ἀλλήλων, ἀλλὰ τῆς φυσιολογίας μόνης τὰς λοιπάς, οὐκέτι δὲ καὶ τὰς ἄλλας ἑαυτῶν. καὶ διακρίνει πρῶτον τὴν μαθηματικὴν ἐπιστήμην τῆς φυσιολογίας. καὶ φησὶν, ὅτι οὐ ταύτῃ διακρίνεται ἡ φυσιολογία τῆς μαθηματικῆς, ᾗ δοκεῖ τοῖς πολλοῖς. καὶ ἐντεῦθεν δείκνυσι τὸ ἀναγκαῖον τῆς διακρίσεως τῶν ἐπιστημῶν τούτων. εἰ γὰρ ἡ δοκοῦσα αὐτῶν διάκρισις, ὅμως οὐκ ἔστι διάκρισις, δῆλον δήπου ὅτι ἀναγκαῖος ὁ τῆς διακρίσεως ἔλεγχος αὐτῶν. νομίζουσι δὲ διακρίνεσθαι φυσιολογίαν μαθηματικῆς, τῷ τὴν φυσιολογίαν περὶ τὰς οὐσίας τῶν πραγμάτων καταγίνεσθαι, μαθηματικὴν δὲ περὶ τὰ πάθη καὶ τὰ σχήματα. τοῦτο δέ φησιν οὐκ ἔστιν ἀληθές. καὶ οἱ φυσιολόγοι γὰρ φαίνονται μὴ μόνον περὶ τῶν οὐσιῶν διαλεγόμενοι, ἀλλὰ καὶ περὶ σχημάτων καὶ παθῶν. αὐτὸς γοῦν ἐν τῇ περὶ οὐρανοῦ οὐ μόνον περὶ τῆς οὐσίας τῶν οὐρανίων ἀπέδειξεν, ὅτι ἐστὶν ἑτέρας τινὸς παρὰ τὰ τέσσαρα στοιχεῖα, ἀλλ' ὅτι καὶ σφαιρικὸν ἔχει κατὰ φύσιν τὸ σχῆμα, καὶ ὅτι κυκλοφορικόν. καὶ περὶ τῶν στοιχείων δὲ διελέχθη, οὐ μόνον ποίας ἕκαστόν ἐστιν οὐσίας, ἀλλ' ὅτι καὶ σφαιρικὰ πάντα. ἐν οἷς χαριέστατα γραμμικῶς ἀποδείκνυσι, καὶ περὶ τοῦ ὕδατος καὶ τῆς γῆς ὅτι σφαιρικά. ὥστε εἰ καὶ οἱ φυσιολόγοι διαλέγονται οὐ μόνον περὶ τῶν οὐσιῶν, ἀλλὰ καὶ περὶ τῶν συμβεβηκότων τῆς οὐσίας, ἔοικε μὴ διακρίνεσθαι ταύτῃ τοῦ φυσιολόγου ὁ μαθηματικός. τίνι οὖν διακρίνεται; φημὶ οὐ τῷ περὶ διαφόρων διαλέγεσθαι, ἀλλὰ τῷ τρόπῳ τῆς διδασκαλίας. ὅτι ὁ μὲν μαθηματικὸς διαλέγεται περὶ τῶν σχημάτων καὶ τῶν συμβαινόντων αὐτοῖς, μηδὲν προσεπινοῶν ἐν ὁποιᾳδήποτοῦν ὕλῃ ταῦτα ὑπάρχει, ἀλλὰ χωρίσας αὐτὰ πάσης ὕλης τῇ διανοίᾳ, οὕτω τὰ συμβαίνοντα αὐτοῖς θεωρεῖ. ὁ μέντοι φυσικὸς ἐπινοῶν τὸ σχῆμα, καὶ τὰ λοιπὰ τῶν παθῶν, ὡς ἐν ὕλῃ αὐτὰ θεωρεῖ. ἢ γὰρ ἐν οὐρανῷ, ἢ ἐν ἡλίῳ, ἢ ἐν γῇ, ἢ ἐν ἄλλῳ τινὶ τῶν φυσικῶν πραγμάτων. ὁ γοῦν Θεοδόσιος ἐν τῇ σφαιρικῇ διδάσκων τὰ συμβαίνοντα πάθη τῇ σφαίρᾳ, οὐδὲν προσλογίζεται ὕλην, ἀλλὰ χωρίσας πάσης οὐσίας τὸ σφαιρικὸν σχῆμα, οὕτω τὰ συμβαίνοντα αὐτῷ ἐπισκέπτεται. ὅτι ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ, κύκλον ποιεῖ, καὶ ὅσα ἄλλα. ὁ δὲ Αὐτόλυκος περὶ κινουμένης σφαίρας γράψας, καὶ ὅσα συμβαίνει τῇ κινουμένῃ σφαίρᾳ, μερικώτερός ἐστι τοῦ Θεοδοσίου, καὶ μᾶλλον τῷ φυσικῷ προσπελάζων. ἡ γὰρ κίνησις ἐγγύς πως ἐστὶ τῆς οὐσίας. εἰ γὰρ καὶ μὴ ἐπινοεῖ οὐσίαν τινὰ ἐν τῇ κινουμένῃ σφαίρᾳ, ἀλλ' οὖν σύνθεσίν τινα λαμβάνει τοῦ σχήματος, καὶ τῆς κινήσεως. καὶ ταύτῃ ἐγγύς πως ἐστὶ τῆς οὐσίας. ἔτι τούτου μερικώτερα τὰ Εὐκλείδου φαινόμενα, καὶ ἁπλῶς πᾶσα ἀστρονομία. ἐνταῦθα γὰρ καὶ ἡ οὐσία αὐτὴ συνεπινοεῖται. οὐρανοῦ γὰρ κίνησιν, καὶ ἡλίου, καὶ τῶν λοιπῶν ἀστέρων προσλογίζεται. οὐ γὰρ ἁπλῶς κίνησιν σφαίρας ἐπισκοπεῖ, ἀλλὰ τῆς ἀπλανοῦς, ἢ τῆς κρονίας, ἢ ἄλλης τινός. καὶ τὴν σχέσιν αὐτῶν τὴν πρὸς ἀλλήλας. καὶ ἔστι τὸ μὲν ἀκρότατον τῆς μαθηματικῆς εὐδιάκριτον καὶ κεχωρισμένον τῆς φυσιολογίας. οἷά ἐστι τὰ Θεοδοσίου σφαιρικά, τὰ Εὐκλείδου δεκατρία βιβλία, τὰ ἀριθμητικά. παντελῶς γὰρ ἐν τούτοις τῆς ὕλης οὐδεμία μνήμη. τὸ δὲ μεταίχμιον αὐτῆς πως ἐγγύς ἐστι τῆς φυσιολογίας. καὶ γὰρ ὁ ἀστρονόμος ὡς ἡλίου σχῆμα θεωρεῖ, καὶ ὡς ἡλίου κίνησιν, καὶ μεγέθη αὐτῶν. καὶ ὁ φυσιολόγος δ' ὡσαύτως. τίς οὖν ἡ διαφορὰ ὅτε καὶ περὶ τῶν αὐτῶν διαλέγονται, καὶ ὡς τοῖς αὐτοῖς ὑπαρχόντων; ἀλλ' ὁ μὲν φυσιολόγος, ὅτι τοιαῦτα σχήματα, καὶ αἱ κινήσεις τοιαῦται, οἰκεῖαι καὶ συμφυῆ τοιαύτῃ οὐσίᾳ, λέγω δὴ τῇ πέμπτῃ. διὰ τοῦτο γὰρ σφαιρικά τε καὶ κυκλοφορικά, ἐπειδὴ μήτε ἐξ ἑνός, μήτε ἐκ πάντων τῶν στοιχείων, ἀλλ' ἑτέρου τινὸς τοῦ πέμπτου σώματός εἰσι. καὶ ὅτι βέλτιον αὐτοῖς τὸ τοιοῦτον σχῆμα, καὶ ἡ κίνησις. ὁ δὲ μαθηματικὸς ἁπλῶς κινούμενον ἥλιον θεωρεῖ, μὴ προσλογιζόμενος, εἴτε προσφυὴς ἡ κίνησις αὐτοῦ, ἢ τὸ σχῆμα τῇ οὐσίᾳ, ἢ μή. ἀλλ' οὐδὲ εἰ βέλτιον αὐτοῖς, ἢ μὴ τὸ τοιοῦτον οἶδεν. ἀλλ' ἐν αὐτοῖς μὲν θεωρεῖ τὰς κινήσεις, καὶ τὰ σχήματα. οὕτω δὲ κἂν εἰ πύρινα ᾖ τὰ κινούμενα, ἢ ἄλλης τινὸς οὐσίας, ἀμέλει τὰ δεδειγμένα ἐν τῇ καθολικωτέρᾳ μαθηματικῇ ἐπιστήμῃ προσαρμόζουσι τούτοις. οἷον ὅτι ἐπειδὴ δέδεικται, ὅτι πᾶσα σφαῖρα τοιῶσδε τεμνομένη τάδε πάσχει, καὶ ἐπὶ τῆς προκειμένης αὐτοῖς σφαίρας τὸ αὐτὸ τοῦτο ἁρμόσει. οὕτως ἐκτὸς ὕλης αὐτὰ σκοποῦσι, κἂν ὡς ἐν τοῖς οὐρανίοις θεωρῶσι γινόμενα. καὶ ὁ μὲν φυσικὸς τὸ ποιὸν μόνον τῆς κινήσεως ἐπισκοπεῖ, ὁ δὲ μαθηματικὸς καὶ τὸ ποσόν. ὥσπερ οὖν καὶ ἐν τοῖς ἀποδεικτικοῖς δείξας, ὅτι ἡ ἀπόδειξις τῶν καθόλου ἐστί, καὶ οὐδέν ἐστι τῶν μερικῶν ἀποδεικτικόν, ἠπόρησε, μήποτε οὖν ἡ ἀστρονομία οὐκ ἔστιν ἀποδεικτική. ὅσα γὰρ περὶ ἐκλείψεως ἡλίου καὶ σελήνης, καὶ τῆς τῶν ἄλλων ἀστέρων κινήσεως λέγεται, περὶ μερικῶν τινῶν διαλέγεται, περὶ ἡλίου, ἢ σελήνης, ἢ ἄλλου τινὸς τῶν ἀστέρων, ἢ τῆσδε τῆς σφαίρας. ἐπιλυόμενος οὖν τὴν ἀπορίαν, φησὶν ὅτι εἰ καὶ περὶ μερικῶν ποιεῖται τοὺς λόγους ὁ ἀστρονόμος, ἀλλ' οὐχ ὡς περὶ μερικῶν, ἀλλ' ὡς καθολικῶν τινῶν τὰ συμβαίνοντα αὐτοῖς ἐξετάζει. δείκνυσι γὰρ φέρε εἰπεῖν, ὅτι ἡ σύνοδος μὲν ἡλίου καὶ σελήνης, ποιεῖ ἡλιακὴν ἔκλειψιν, καὶ ἡ τοιάδε αὐτῶν σχέσις, σεληνιακήν, οὐχ οὕτω ταῦτα ἀποδείκνυσιν, ὅτι ἐπειδὴ εἷς ἥλιός ἐστι, καὶ μία σελήνη, ταῦτα οὕτω συμβαίνει. ἀλλ' εἰ καὶ μυρίοι ἦσαν ἥλιοι καὶ σελῆναι τοσαῦται, τὰ αὐτὰ ἂν συνέβαι-

ὥσπερ

ἀποπλοῦν, καὶ ἄλλο τὸ ἀποπλούμενον, ὁμοίως δὲ ἑκατέρου ἐκλήθη ἡ γένεσις καὶ ἡ ὁδὸς ἡ ἐπὶ τὸ εἶδος. οἷον ἡ ἐπὶ ὑγίειαν ὁδὸς, καὶ ἀπὸ τοῦ ποιοῦντος ἰάτρευσις, καὶ ἀπὸ τοῦ τέλους ὑγίανσις. ἐπὶ δὲ τῶν φυσικῶν πραγμάτων, ἐπειδὴ ταυτόν ἐστιν ὡς ἐπὶ τὸ πολὺ τὸ ποιοῦν τῷ γινομένῳ, ὡς καὶ αὐτὸς ἐρεῖ ἐφεξῆς, πολλάκις τὸ ποιητικὸν, καὶ εἰδικὸν, καὶ τὸ τελικὸν εἰς ταυτὸν ἔρχεται. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ὁμοίως μίαν ἔχει τὴν ἐπωνυμίαν ἡ γένεσις. εἴτε οὖν ἐκ τοῦ ποιοῦντος ἐκλήθη, εἴτε ἐκ τοῦ γινομένου, ἐπειδὴ ταυτὸν τὸ ποιοῦν τῷ γινομένῳ, πλὴν τῶν ἐκ σήψεως, καὶ ὅσα ἐπὶ τῶν ἀνθρώπων νοθεύεται, ὡς ἐπὶ ἡμιόνων ἔχει, κἀπὶ τούτων δὲ τοῖς ποιοῦσι ταυτόν πως τὸ γινόμενον, οὐδὲν ἧττον δείκνυται ὅτι ἐπὶ τοῦ εἴδους φέρεται μᾶλλον τὸ ὄνομα, ἢ ἐπὶ τῆς ὕλης.

ΑΝΑΓΚΗ μὲν γὰρ ἀπὸ ἰατρικῆς, οὐκ εἰς ἰατρικὴν εἶναι τὴν ἰάτρευσιν. οὐχ οὕτω δὲ ἡ φύσις ἔχει πρὸς τὴν φύσιν.

Σ λέγει τοιοῦτόν ἐστιν. ἐπειδὴ αἱ γενέσεις, καὶ αἱ ὁδοὶ, καὶ ἀπὸ τῶν τελῶν καλοῦνται, καὶ ἀπὸ τοῦ ἀφ' οὗ γίνονται, ὡς ποιητικοῦ αἴτιον, τὴν μὲν ἰάτρευσιν ἀπὸ ἰατρικῆς φαμὲν, ὁδὸν οὐκ εἰς ἰατρικήν. οὐ γὰρ τὴν ἐπὶ τὴν ἀρχὴν ὁδὸν σημαίνει, ἀλλὰ τὴν ἀπὸ τῆς ἀρχῆς. ὥστε καὶ ἡ ἰάτρευσις τὴν ἀπό τινος μὲν ἐπί τι ὁδὸν σημαίνει καλουμένην ἀπὸ τοῦ ἀφ' οὗ, ὥσπερ καὶ ἡ φύσις. ἀλλ' οὐχ οὕτως ἡ φύσις, λέγω δὴ τὴν ἔκφυσιν. καὶ αὕτη γὰρ ὁδὸς οὖσα ἀπό τινος εἴς τι, οὐκ ἐκ τοῦ ἀφ' οὗ ἔχει τὴν ἐπωνυμίαν, ἀλλ' ἐκ τοῦ εἰς ὅ. Οὐχ οὕτω δὲ ἡ φύσις ἔχει πρὸς τὴν φύσιν. οὐχ ὥσπερ ἡ ἰάτρευσις ἔχει πρὸς τὴν ἰατρικὴν, οὕτως ἡ φύσις, λέγω δὴ τὴν ἔκφυσιν πρὸς τὴν φύσιν. ἡ μὲν γὰρ ἰάτρευσις, οὐ τὴν ἐπὶ ἰατρικὴν, ἀλλὰ τὴν ἀπὸ ἰατρικῆς ὁδὸν σημαίνει. ἡ μέντοι φύσις, οὐ τὴν ἀπὸ φύσεως, ἀλλὰ τὴν ἐπὶ τὴν φύσιν σημαίνει ὁδόν.

ΑΛΛΑ τὸ φυόμενον ἔκ τινος εἴς τι ἔρχεται ᾗ φύεται. εἴς τι οὖν φύεται, οὐχὶ εἰς τὸ ἐξ οὗ, ἀλλ' εἰς τὸ ὅ. ἡ ἄρα μορφὴ φύσις.

Τ ὃ ἠδύνατο παραδιαζευκτικὸς εἶναι, ἤγουν οὕτω. τὸ γινόμενον ἔκ τινος εἴς τι ἔρχεται ἤγουν φύεται. ταυτὸν γὰρ ἀμφότερα. δύναται δὲ καὶ ἐπίρρημα εἶναι προσγραφομένου τοῦ ι ἀντὶ τοῦ καθὸ φύεται. καθὸ γὰρ φύεται, εἴς τι ἔρχεται. εἴς τι οὖν φύεται φησιν, οὐχὶ εἰς τὸ ἐξ οὗ, τουτέστιν εἰς τὴν ὕλην. ἀλλ' εἰς τὸ εἰς ὅ, τουτέστι τὸ εἶδος. εἰ τοίνυν καθὸ φύεται, εἰς εἶδος ἔρχεται, ἔοικεν ἐκ τοῦ τέλους οὕτως ὀνομάζεσθαι. ὥσπερ ἡ ὑγίανσις, καὶ ἡ λεύκανσις. εἰ δὲ τοῦτο, τὸ εἶδος ἄρα φύσις ἂν εἴη. ὥσπερ οὖν καὶ τὸ τῆς ὑγιάνσεως τέλος ὑγεία, καὶ τὸ τῆς λευκάνσεως λευκότης.

Η ΔΕ ΓΕ μορφὴ, καὶ ἡ φύσις διχῶς λέγεται. καὶ γὰρ ἡ στέρησις εἶδός πώς ἐστιν.

Δ είξας ὅτι τὸ εἶδος μᾶλλον φύσις, βούλεται εἰπεῖν ποσαχῶς τὸ εἶδος λέγεται. καὶ φησὶν ὅτι διχῶς λέγεται. γὰρ πάλιν πως φησὶ καὶ ἡ στέρησις εἶδος. ἤτοι στέρησιν λέγων τὸ χεῖρον τῶν ἐναντίων. πολλαχοῦ γὰρ καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ, τὸ μὲν κρεῖττον τῶν ἐναντίων εἶδος καλεῖ, τὸ δὲ χεῖρον στέρησιν. διὸ καὶ τὴν ἐκ μέλανος μὲν εἰς λευκὸν μεταβολὴν, ἁπλῶς γένεσιν καλεῖ, τινὰ δὲ φθοράν. τὴν δὲ λευκοῦ εἰς μέλαν, ἁπλῶς μὲν φθορὰν, τινὰ δὲ γένεσιν. ἢ οὖν τοῦτό φησιν, ἢ καὶ τὴν κυρίως στέρησιν εἶδος καὶ μορφὴν ἐκάλεσε διὰ τὸ διάθεσιν εἶναί τινα τοῦ ὑποκειμένου. εἰ μὲν γὰρ μὴ πάντα τὰ ὄντα ἀϊδιά ἐστιν, ἀλλ' ἔστι τινὰ καὶ ἀΐδια, δηλονότι οὐκ εἶδος ἡ στέρησις. εἰ δὲ πᾶν τὸ ὁποσοῦν εἶδος καλοῦμεν εἰς ταυτὸν ἄγει τις τῷ ὄντι τὸ εἶδος, δηλονότι ἐπειδὴ οὐκ ἔστι τῶν μηδαμῇ μηδαμῶς ὄντων ἡ στέρησις, ἀλλὰ τῶν πῇ ὄντων, καὶ εἶδος ἂν εἴη. διάκειται γὰρ καὶ ἀμόρφως πώς κατ' αὐτὴν τὸ ὑποκείμενον. διατίθησι γάρ πως καὶ ἡ τυφλότης τὸ ὑποκείμενον, καὶ πᾶσα στέρησις. ἐπειδὴ οὖν πᾶσα διάθεσιν τοῦ ὑποκειμένου ἐστὶν ὅτι μορφὴν τοῦ ὑποκειμένου καὶ εἶδος λέγομεν, διὰ τοῦτο αὐτὸ τοῦτο ἐπεσημήνατο.

ΕΙ δὲ ἔστιν ἡ στέρησις καὶ ἐναντίον τι περὶ τὴν ἁπλῆν γένεσιν ἢ μὴ ἔστιν, ὕστερον ἐπισκεπτέον.

Γ ερὶ τὴν ἁπλῆν γένεσιν φησιν ἀντὶ τοῦ τὴν οὐσιώδη. ἐν μὲν γὰρ τῷ πρώτῳ λόγῳ, ὅτι ἐξ ἀντικειμένων ἡ γένεσις ἔδειξεν ἡ οὐσιώδης. ἐξ ἀσυνθέτου γάρ φησι τὴν σύνθετον οὐσίαν, καὶ ἐξ ἀνάρμοστίας, ἅπερ στερήσεις, οὐκ ἐναντία ἐστίν. εἰ τοίνυν αἱ στερήσεις ἐξ ὧν αἱ οὐσίαι γίνονται, ἐναντίαι εἰσὶ τοῖς γινομέναις, ὕστερον ἐπισκεψόμεθα. καὶ ὑπερτίθεται τοῦτο ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς βιβλίῳ. ἐν ᾧ δείκνυσιν, ὅτι πάντως πᾶσα γένεσις ἐξ ἐναντίων, καὶ τίνα τὰ ἐναντία, καὶ πόσα ἐξ ὧν αἱ γενέσεις. ὡς οὖν ἢ μὴ ἀποδείξας ἐν τούτοις, ὅτι ἐξ ἐναντίων, ἀλλὰ μόνον ἐξ ἀντικειμένων, ἢ μὴ ἱκανῶς ἀποδείξας, ὑπερτίθεται τοῦτο ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς βιβλίῳ.

ΕΠΕΙ δὲ διώρισται ποσαχῶς λέγεται ἡ φύσις, μετὰ τοῦτο θεωρητέον τί διαφέρει ὁ μαθηματικὸς τοῦ φυσικοῦ.

Ε ἰπὼν ὅτι διχῶς ἡ φύσις λέγεται. καὶ ἡ ὕλη, καὶ τὸ εἶδος, καὶ ἡ γένεσις ἡ ἐπὶ τὸ εἶδος, καὶ ὅτι μᾶλλον κυριώτατα τὸ εἶδος φύσις, καὶ αἱ ἄλλαι δὲ δύο, ἥτε ὕλη καὶ ἡ γένεσις, διὰ τὸ εἶδος ἔχουσι τὸ φύσεις εἶναι, ἡ μὲν ὕλη διὰ τὸ ἐπιτηδεία εἶναι δέξασθαι τὸ εἶδος, ἡ δὲ γένεσις, ὡς εἰς αὐτὸ ἄγουσα, ἐπειδὴ ἡ φυσιολογία μόριόν ἐστι τοῦ θεωρητικοῦ μέρους τῆς φιλοσοφίας, τὸ δὲ θεωρητικὸν διαιρεῖται εἰς φυσιολογικὸν εἰς μαθηματικὸν, εἰς θεολογικὸν, βούλεται ἐντεῦθεν διακρῖναι τὸ φυσιολογικὸν τοῦ μαθηματικοῦ καὶ τοῦ θεολογικοῦ. ἀναγκαιότατος γάρ ἐστι τὸ, διαλαβόντα περὶ τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἀπο-

ΚΑΙ τούτων μὲν, ὁ ποιοῦν εἶναι ἀΐδιον. οὐ γὰρ εἶναι μεταβολὴν αὐτοῖς ἐξ αὑτῶν. τὰ δ᾽ ἄλλα γίνεσθαι καὶ φθείρεσθαι, ἀπειράκις.

Ὅπερ ἄν τις ὑπόθοιτο ὑποκεῖσθαι ὡς ὕλην τοῖς ἄλλοις, τοῦτο καὶ ἀΐδιον εἶναι ὑπετίθετο ἐξ ἀνάγκης. δεῖ γὰρ τὴν πρώτην ἀρχὴν ἀΐδιον εἶναι, καὶ ἀμετάβλητον. τὰ δὲ ἄλλα πάντα τὰ ἐκ ταύτης, γεννητὰ εἶναι καὶ φθαρτά. καὶ οἱ πλείους δὲ τὰς ὑλικὰς ἀρχὰς ὑποθέμενοι, ἀϊδίους καὶ αὐτοὶ ταύτας ὑπέθεντο. καὶ μεταβάλλειν μὲν καὶ τὰ πάθη καὶ τὰς διαθέσεις εἰς τὰ ἐξ αὐτῶν συγκείμενα, αὐτὰ μέντοι ἀμετάβλητα εἶναι εἰς ἄλληλα. οὐδὲν γὰρ τῶν τεττάρων στοιχείων Ἐμπεδοκλῆς, ἅπερ πρώτας ἀρχὰς ὑπετίθετο, μεταβάλλειν ἔλεγεν εἰς ἄλληλα. γὰρ ἀμετάβλητα εἶναι.

ΕΝΑ μὲν οὖν τρόπον ἡ φύσις οὕτω λέγεται, ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς. ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος, τὸ κατὰ τὸν λόγον.

Συμπεραίνεται τὰ εἰρημένα, ὅτι καθ᾽ ἕνα τρόπον φύσις λέγεται εἶναι ἡ πρώτη ἑκάστῳ τῶν φυσικῶν ὑποκειμένη ὕλη. τὸ γὰρ τῶν ἐχόντων ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, καὶ μεταβολῆς, σημαίνει τῶν φυσικῶν. ταῦτα γάρ ἐστι τὰ ἔχοντα ἐν αὑτοῖς ἀρχὴν κινήσεως, καὶ μεταβολῆς. τίθησι δὲ ἐφεξῆς καὶ τὸ δεύτερον σημαινόμενον, τὸ κατὰ τὸ εἶδος. ὅπερ καὶ κυρίως ἐστὶ φύσις.

ΩΣΠΕΡ γὰρ τέχνη λέγεται τὸ κατὰ τέχνην, καὶ τὸ τεχνικὸν, οὕτω καὶ φύσις τὸ κατὰ φύσιν λέγεται, καὶ τὸ φυσικόν. οὔτε δὲ ἐκεῖνό πως φαῖμεν ἂν ἔχειν κατὰ τὴν τέχνην οὐδὲν, εἰ δυνάμει μόνον ἐστὶ κλίνη, μήπω δὲ ἔχει τὸ εἶδος τῆς κλίνης, οὐδ᾽ εἶναι τέχνην, οὔτε ἐν τοῖς φύσει συνισταμένοις. τὸ γὰρ δυνάμει σὰρξ ἢ ὀστοῦν, οὔτ᾽ ἔχει πω τὴν ἑαυτοῦ φύσιν πρὶν ἂν λάβῃ τὸ εἶδος τὸ κατὰ τὸν λόγον, ὃ ὁριζόμενοι λέγομεν, τί ἐστι σὰρξ, ἢ ὀστοῦν, οὔτε φύσει ἐστίν.

Τὸ πρῶτον ἐπιχείρημα, ὅτι ὥσπερ ἐπὶ τῶν τεχνητῶν τότε λέγεται ἕκαστον ἀπολαβεῖν τὴν ἑαυτοῦ τέχνην, ὅταν ἀπολάβῃ τὸ τεχνικὸν εἶδος, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν τότε ἔχει ἕκαστον τὴν ἑαυτοῦ φύσιν, ὅταν ἀπολάβῃ τὸ φυσικὸν εἶδος. οὐ γὰρ τὰ ξύλα τὰ ἀρρύθμιστα, καὶ ὁ χαλκὸς, ἐπειδὴ δυνάμει κλίνη ἐστὶν, ἢ ἀνδριάς, ἔχει πω τὸ τοῦ ἀνδριάντος, ἢ τὸ τῆς κλίνης εἶδος. ἀλλὰ τὸ σχῆμα καὶ ἡ μορφή. τοῦτο γάρ ἐστι τὸ κατὰ τέχνην γινόμενον. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τῶν φυσικῶν. οὐ γὰρ τὸ δυνάμει σὰρξ τοῦτο ἔχει τὴν φύσιν τῆς σαρκὸς, ἀλλὰ τὸ ἐνεργείᾳ γινόμενον σάρξ. εἰ δὲ ἅμα τῷ τὸ εἶδος λαβεῖν, καὶ τὴν ἑαυτοῦ φύσιν ἕκαστον λαμβάνει, τὸ εἶδος ἂν εἴη σάρξ. πρὶν ἂν λάβῃ τὸ εἶδος τὸ κατὰ τὸν λόγον. ἐπειδὴ λέγομεν εἶδος τὸ ἐπὶ τῆς μορφῆς, καθ᾽ ὃ δυσειδεῖς ἢ εὐειδεῖς τινας φαμὲν, διὰ τοῦτο προστέθεικε τὸ κατὰ τὸν λόγον καθ᾽ ὃν ὁριζόμενοι ἀποδίδομεν τὸ τί ἐστιν ἕκαστον.

ΩΣΤΕ ἄλλον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων ἐν ἑαυτοῖς κινήσεως ἀρχὴν, ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωριστὸν ὂν, ἀλλ᾽ ἢ κατὰ τὸν λόγον. τὸ δ᾽ ἐκ τούτων, φύσις μὲν οὐκ ἔστι, φύσει δὲ, οἷον ἄνθρωπος. καὶ μᾶλλον φύσις αὕτη τῆς ὕλης.

Τοῦτο τὸ εἶδός φησι, ὅπερ φαμὲν φύσιν εἶναι, οὐ φαμὲν τὸ χωριστὸν τῇ ὑποστάσει εἶναι, ἀλλὰ μόνον τῷ ὁριστικῷ λόγῳ, καὶ τῇ ἐπινοίᾳ. τὸ δὲ ἐκ τούτων, φύσις μὲν οὐκ ἔστι, φύσει δὲ, οἷον ἄνθρωπος. τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συγκείμενον, οὐκέτι λέγεται φύσις, ὥσπερ ἑκάτερον τῶν ἁπλῶν, ἀλλὰ φύσει. καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης.

ΕΚΑΣΤΟΝ γὰρ τότε λέγεται, ὅταν ἐντελεχείᾳ ᾖ μᾶλλον, ἢ ὅταν δυνάμει.

Τὸ δεύτερον ἐπιχείρημα. ἕκαστον γὰρ τότε λέγεται εἶναι, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος. ἕκαστον τότε λέγεται εἶναι, ὅταν ἀπολάβῃ τὴν ἑαυτοῦ φύσιν. τὸ ἀπειληφὸς ἄρα τὸ ἑαυτοῦ εἶδος ἀπείληφε τὴν ἑαυτοῦ φύσιν. ἔστι δὲ τὸ ῥητὸν τοῦτο, πρὸς τὸ ἀνωτέρω προσεχές. εἰπὼν γὰρ ὅτι ἡ μορφὴ, καὶ τὸ εἶδος φύσις, ἐπήγαγε καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης. τουτέστιν ἡ μορφή. τὰ δὲ ἄλλα διὰ μέσου, τὸ δὲ ἐκ τούτων φύσις μὲν οὐκ ἔστι. φύσει δὲ, οἷον ὁ ἄνθρωπος.

ΕΤΙ γίνεται ἄνθρωπος ἐξ ἀνθρώπου, ἀλλ᾽ οὐ κλίνη ἐκ κλίνης. διὸ καί φασιν, οὐ τὸ σχῆμα εἶναι τὴν φύσιν, ἀλλὰ τὸ ξύλον, ὅτι γένοιτ᾽ ἄν, εἰ βλαστάνοι, οὐ κλίνη ἀλλὰ ξύλον. εἰ δ᾽ ἄρα τοῦτο, καὶ ἡ μορφὴ φύσις. γίνεται γὰρ ἐξ ἀνθρώπου ἄνθρωπος. ἔτι ἡ φύσις ἡ λεγομένη ὡς γένεσις, ὁδός ἐστιν εἰς φύσιν.

Τὸ τρίτον ἐπιχείρημα. δι᾽ ὧν γὰρ κατεσκεύασαν αὐτοὶ, ὅτι ἡ ὕλη φύσις, διὰ τούτων αὐτὸς κατασκευάζει, ὅτι μᾶλλον τὸ εἶδος, ἢ ὕλη, ὥσπερ εἰρήκαμεν. ἔτι ἡ φύσις ἡ λεγομένη ὡς γένεσις, ὁδός ἐστιν εἰς φύσιν. ὅτι καὶ ἐπὶ τοῦ τρίτου σημαινομένου τῆς φύσεως τοῦ ἐπὶ τῆς ἐκφύσεως, δείκνυται μᾶλλον κυριώτερον τὸ εἶδος φύσις ὂν ἢ ἡ ὕλη.

ΟΥ γὰρ ὥσπερ ἡ ἰάτρευσις λέγεται οὐκ εἰς ἰατρικὴν ὁδὸς, ἀλλ᾽ εἰς ὑγίειαν.

Οὐχ ὥσπερ φησὶν ἡ ἰάτρευσις ὁδὸς μέν ἐστιν εἰς ὑγίειαν, καλεῖται δὲ οὐκ ἀπὸ τοῦ τέλους, ἀλλ᾽ ἀπὸ τοῦ ποιοῦντος τῆς ἰατρικῆς, οὕτω καὶ ἐπὶ τῆς γενέσεως τῆς ἐπὶ τὸ εἶδος ἔχει. ἀλλ᾽ ὥσπερ ἡ ὑγίανσις ἐκ τοῦ τέλους ὀνομάζεται, οὕτω δὲ καὶ ἡ φύσις ἀπὸ τοῦ εἰς φύσιν ἄγειν ὠνομάσθη. ἄγει δὲ εἰς τὸ εἶδος. τὸ εἶδος ἄρα φύσις. ἀλλ᾽ οὐδὲ τὴν ὑγίανσιν καλεῖσθαι καὶ ἀπὸ τοῦ ποιοῦντος ἰάτρευσιν, ἐναντίον ἐστὶ τοῖς παρ᾽ αὐτοῦ λεγομένοις, ἀρμόζει δὲ μᾶλλον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τέχνην, ἐπειδὴ ἄλλο ἐστὶ τὸ

διάστασις κίνησίς ἐστιν. ἐπειδὴ δὲ δίδωσι μὲν τὸ εἶδος, οὐκ ἐπ' ἄπειρον δὲ δίδωσιν, ἀλλὰ μέχρι τινός, διὰ τοῦτο καὶ στάσεώς ἐστιν ἀρχή. καὶ τὸ εἶδος δὲ ἀρχή ἐστι κινήσεως, καὶ ἠρεμίας. ἐπεὶ γὰρ οὐ πάντα τὰς αὐτὰς κινεῖται κινήσεις, ἀλλὰ ἄλλα ἄλλας. τὰ μὲν γὰρ πάσας κινεῖται, τὰ δὲ τινάς, καὶ τὰ μὲν ταύτας, τὰ δὲ ἄλλας, τούτου δὲ οὐχ ἡ ὕλη αἰτία, κοινὴ γὰρ πάντων ἡ ὕλη, εὔδηλον δήπου ὅτι τῆς διαφορᾶς τῶν κινήσεων τὸ εἶδός ἐστιν αἴτιον. εἰ δὲ κινήσεως αἴτιον τὸ εἶδος, καὶ στάσεως δηλονότι. οὐκ ἔστι γὰρ κίνησις ἄπειρος μία καὶ ἡ αὐτὴ τῷ ἀριθμῷ. καὶ ἡ ὁδὸς δὲ ἡ ἐπὶ τὸ εἶδος δύναται λέγεσθαι ἀρχὴ κινήσεως, καὶ ἠρεμίας. ἀρχὴ δ' οὐχ ὡς αἰτία κινήσεως. αὐτὸ γὰρ κίνησίς ἐστιν, ἀλλὰ κατὰ μέρη, ὡς ἔχουσα ἐν ἑαυτῇ καὶ τὸ πρῶτον τῆς κινήσεως μόριον. αὐτὴν λέγω τὴν βλάστην τὴν πρώτην, καὶ τὸ τέλος τῆς κινήσεως, ἐν ᾧ τὸ φυτὸν ἀπολαβὸν τὸ τέλειον ἑαυτοῦ εἶδος, ἠρεμήσει λοιπόν, καὶ οὐκέτι ὡς γινόμενον κι-

» νηθῆ. Δοκεῖ δὲ ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἀρρύθμιστον
» καθ' αὑτό.

Τουτέστιν ἡ ὕλη. τοῦτο γάρ ἐστι τὸ κατὰ τὸν ἑαυτοῦ λόγον ἀρρύθμιστον. ἡ γὰρ ὑποκειμένη ἑκάστῳ ὕλη, κἂν προσεχὴς ὕλη καὶ εἰδοπεποιημένη, ἀλλ' οὖν ἀρρύθμιστός ἐστιν, ὡς πρὸς τὸ αὐτῇ γινόμενον εἶδος. οἷον τὰ ξύλα, ὡς πρὸς τὸ τοῦ ἀβακίου καὶ τὸ τῆς κλίνης, ἀρρύθμιστά ἐστιν. Ζητῆσαι δ' ἄξιον πῶς ἀνωτέρω εἰπὼν ὅτι φύσιν ἔχειν ἐκεῖνα λέγεται ὅσα τοιαύτην ἀρχὴν ἔχει, καὶ ἔστι ταῦτα πάντα οὐσία. διὰ γὰρ τούτων οὐσίας μὲν δηλονότι τὰ τῇ φύσει ὑποκείμενα εἶναι λέγει, τὴν δὲ φύσιν οὐκ οὐσίαν, ἀλλ' ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ τὸ εἶναι ἔχειν. νῦν φησί, δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων, ὡς ἐς ταὐτὸν ἄγων τῇ φύσει τὴν οὐσίαν. λέγω οὖν ὅτι ἐκεῖ μὲν οὐσίαν ἐκάλει αὐτὸ τὸ αὐθυπόστατον σῶμα. νυνὶ δὲ τὸ εἶδος, καθ' ὃ ἕκαστον τῶν φυσικῶν οὐσιῶν τὸ εἶναι ἔχει. τὸ γὰρ εἶναι ὕδατι οὐ καθό ἐστι σῶμα ὑπάρχει, ἀλλὰ καθὸ τοιάνδε ἰδέαν ἤγουν φύσιν ἔχει. οἶδε γὰρ αὐτὸς ὁ ἀριστοτέλης πολλαχῶς τὸ τῆς οὐσίας ὄνομα. τριττὴν γὰρ εἶναί φησι. τὴν μὲν, κατὰ τὴν ὕλην, ὡς εἴ τις λέγει οὐσίαν κλίνης τὰ ξύλα, καὶ χαλκὸν τοῦ ἀνδριάντος. τὴν δὲ, κατ' εἶδος, ὡς ὅταν εἴπωμεν οὐσιοῦσθαι τὸ πῦρ κατὰ τὸ θερμὸν καὶ ξηρόν. ἢ τὸ συναμφότερον, ὡς ὅταν εἴπωμεν σύνθετον εἶναι τὴν οὐσίαν τοῦ ἀνθρώπου ἐκ ψυχῆς καὶ σώματος. ἐνταῦθα γοῦν τὴν φύσιν οὐσίαν εἶπε τὴν κατὰ τὸ εἶδος. καθ' ἣν ἕκαστον τὸ εἶναι ἔχει. πρῶτον δὲ τὸ αὐθυπόστατον, τουτέστι τὸ σῶμα τὸ ἁπλῶς ὕλης λόγον ἔχον πρὸς τὰ τῶν στοιχείων εἴδη, ἢ καὶ τὸ εἰδοπεποιημένον σῶμα, καὶ σύνθετον. ἐν τούτῳ γὰρ ἡ φύσις ἵδρυται.

» ΩΣ ΤΟ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν, καὶ τὴν τέχνην. τὴν δ' οὐ-
» σίαν οὖσαν ἐκείνην ἣ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς.

Οὔ φησι τὸ σχῆμα εἶναι φύσιν. κατὰ συμβεβηκὸς γὰρ ὑπάρχειν, τὸ σχῆμα. καὶ πάθος τι εἶναι τῆς ὑποκειμένης καὶ τῆς ὕλης γινομένης, καὶ ἀπογινομένης, καὶ ἄλλοτε ἄλλο ὑπάρχειν. τὴν δ' ὕλην εἶναι τὴν φύσιν διὰ τὸ διαμένειν ἀεὶ ταῦτα πασχούσης, καὶ ἄλλοτε ἄλλο σχῆμα καὶ πάθος δεχομένης. εἰπὼν δὲ ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τί τοῦτο φύσας ἐπήγαγε τὴν κατὰ νόμον διάθεσιν, καὶ τὴν τέχνην, τὸ εἶδος λέγω τῆς κλίνης. ὅτι διατίθεται ὡς ἂν τοῖς τῆς τέχνης νόμοις δοκῇ. γράφεται δὲ καὶ τὴν κατὰ ῥυθμὸν διάθεσιν. κατὰ τάξιν γὰρ συμμετρίαν τῆς τῶν μελῶν πρὸς ἄλληλα ἀναλογίας, τὸ εἶδος ἀποτελεῖται τῆς κλίνης. εἰ δὲ εἴη τὴν κατὰ νόμον, σημαίνει τὴν θέσει, καὶ μὴ φύσει διάθεσιν. ὡς γὰρ δοκεῖ τῷ τεχνίτῃ, διατίθησι τῶν τεχνητῶν τὰ σχήματα οὐ φύσει ὄντα, ἀλλ' αὐτονέα καὶ νόμῳ προαιρέσεως γινόμενα.

» ΕΙ ΔΕ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι, ταυτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ
» χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁποιονοῦν, ἐκεῖνα τὴν φύ-
» σιν εἶναι καὶ τὴν οὐσίαν αὐτῶν. διόπερ οἱ μὲν γῆν, οἱ δὲ πῦρ. οἱ δ' ἀέρα φασίν, οἱ δὲ ὕδωρ, οἱ δ' ἔνια
» τούτων. οἱ δὲ πάντα ταῦτα τὴν φύσιν εἶναι τὴν τῶν ὄντων. ὃ γάρ τις αὐτῶν ὑπέλαβε τοιοῦτον, εἴ-
» τε ἓν εἴτε πλείω, τοῦτο καὶ τοσαῦτά φασιν εἶναι τὴν ἅπασαν οὐσίαν. τὰ δὲ ἄλλα πάντα πάθη τούτων
» καὶ ἕξεις καὶ διαθέσεις.

Ὃ αὖθις ἠπόρησε πρὸς τοὺς λέγοντας τὴν ὕλην εἶναι τὴν φύσιν, τοῦτο καὶ ἀπορεῖ, καὶ αὐτὸ λύεται. εἴπερ γὰρ αὖθις ἂν τοῦτο φατὲ ὕλην τὸ αὐτὸ διαμένον, καὶ διὰ τοῦτο τὰ μὲν ξύλα, ὡς αὐτὸ διαμένοντα, φύσις. τὸ δ' εἶδος, ὡς φθειρόμενον, οὐκ ἔστιν. οὐδὲ τὰ ξύλα φύσις ἂν εἴη τῆς κλίνης, οὐδ' ὁ χαλκὸς τοῦ ἀνδριάντος. καὶ γὰρ τὰ ξύλα φθειρόμενα, εἰς γῆν τυχὸν ἀναλύεται. κἀκεῖνο αὐτὸ διαμένει. τὸ δ' εἶδος τοῦ ξύλου ἀφανίζεται. οἷον ἐν τῇ καύσει. καὶ ὑπολιμπάνεται ἡ τέφρα ἥτις γῆ ἐστιν. ὁμοίως καὶ ὁ χαλκὸς φθειρόμενος, εἰς ὕδωρ ἀναλύεται. ἐπεὶ καὶ τηκόμενος ὑγρὸς γίνεται. ὥστε οὐδ' ὁ χαλκὸς τοῦ ἀνδριάντος ὕλη, οὐδὲ τῆς κλίνης τὰ ξύλα. φησὶν οὖν ὅτι τοῦτο ἀληθές ἐστι. τοῦ μὲν γὰρ ἀνδριάντος, ἢ τῆς κλίνης ὕλη τὸ ξύλον, ἢ ὁ χαλκός. αὐτῶν δὲ πάλιν τούτων, ἑτέρα τίς ἐστιν ὕλη. ὥστε τῆς μὲν κλίνης, καὶ τοῦ ἀνδριάντος φύσις τὸ ξύλον καὶ ὁ χαλκός. αὐτῶν δὲ τούτων πάλιν ἑτέρα τίς ἐστιν ὕλη. ὥστε τῆς μὲν κλίνης, καὶ τοῦ ἀνδριάντος φύσις τὸ ξύλον, καὶ ὁ χαλκός. τούτων δ' αὐτῶν πάλιν ἕτερόν τι ἐστὶ φύσις. διό τι φησὶ τῶν φυσικῶν οἱ μὲν τὴν γῆν ἐνόμισαν εἶναι φύσιν τῶν ὄντων, οἱ δὲ τὸ ὕδωρ, οἱ δὲ ἄλλό τι τῶν στοιχείων, ἢ ἓν ἢ πλείονα, ὅπερ αὖθις ὡς ὕλην ὑποκεῖσθαι τοῖς γινομένοις ἐνόμισαν.

νάμει ἵππος, ἔχοι ἂν τὴν τοῦ ἀνθρώπου ἢ τοῦ ἵππου φύσιν, ἀλλ' ὁ ἐνεργείᾳ ἄνθρωπος, καὶ ἀπειληφὼς τὸ τοῦ ἀνθρώπου εἶδος. ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων. εἰ δὲ τοῦτο, τὸ εἶδος ἂν εἴη ἡ φύσις ἑκάστου. δεύτερον ἐπιχείρημα τίθησι τοιοῦτον. τότε φησὶν ἕκαστον λέγεται εἶναι τοιοῦτον, ὅταν ἀπολάβῃ τὴν ἑαυτοῦ φύσιν. λέγεται δὲ ἄνθρωπος εἶναι ὁ ἀπειληφὼς τὸ τοῦ ἀνθρώπου εἶδος. ἔοικεν ἄρα τὸ εἶδος φύσις εἶναι ἑκάστου. καὶ ἔστιν ὁ συλλογισμὸς ἐν γ' σχήματι οὕτω, τότε λέγεται ἕκαστον εἶναι, ὅταν ἔχῃ τὸ ἑαυτοῦ εἶδος. τότε λέγεται ἕκαστον εἶναι, ὅταν ἔχῃ τὴν ἑαυτοῦ φύσιν. τὶ ἄρα εἶδος φύσις ἐστί. καὶ ἔστιν ἐνταῦθα τὸ μερικὸν οὐ δι' ἑαυτό, ἀλλὰ διὰ τὸ καθόλου ἀληθεῦον. συλλογίσαιο δ' ἂν καὶ οὕτως. οὗ τῇ παρουσίᾳ τὰ φύσει ὄντα ἐστί, τοῦτό ἐστι φύσις. τῇ δὲ τοῦ εἴδους παρουσίᾳ τὰ φύσει ὄντα ἐστί. τὸ εἶδος ἄρα φύσις ἐστί. τοῦτο δὲ τὸ ἐπιχείρημα τῷ πρώτῳ ταυτόν ἐστι. κἀκεῖ γὰρ ἔλεγεν, ὅτι ὥσπερ τὸ τεχνητόν, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος, τότε ἔχει τὴν ἑαυτοῦ τέχνην, οὕτω καὶ τὸ φυσικόν, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος, τότε ἔχει τὴν φύσιν. καὶ ἐνταῦθα δὲ τὸ αὐτὸ λέγεται, ὅτι ἕκαστον λέγεται τοιοῦτον εἶναι, ὅταν ἀπολάβῃ τὸ ἑαυτοῦ εἶδος. ἀλλ' οἱ ἐξηγηταὶ διαιροῦσι τὰ ἐπιχειρήματα. καίτοι οὐδ' αὐτὸς ὁ Ἀριστοτέλης φαίνεται σαφῶς διαιρῶν ταῦτα, ἀλλ' ὡς ἓν προάγων. τὸ δὲ τρίτον ἐπιχείρημα, ὃ τίθησιν, ἀπάντησίς ἐστι τοῦ ἐπιχειρήματος, δι' οὗ τὴν ὕλην φύσιν λέγουσι. δι' ὧν γὰρ κατεσκεύασαν, ὅτι ἡ ὕλη φύσις, διὰ τῶν αὐτῶν καὶ αὐτὸς κατασκευάζει, ὅτι τὸ εἶδος φύσις. ὅσον γάρ φησιν ἐπὶ τῷ ἐπιχειρήματι, δι' οὗ ἐδείξατε τὴν ὕλην φύσιν, δειχθήσεται, καὶ τὸ εἶδος οὐδὲν ἧττον φύσις. εἰ γὰρ διότι ἐκ κλίνης οὐ γέγονε κλίνη, ἀλλὰ ξύλον, ὅπερ ἐστὶν ἡ ὕλη τῆς κλίνης, διὰ τοῦτο ὡς ὑπομένουσαν τὴν ὕλην τῆς κλίνης ἐν τῷ γινομένῳ, τὴν ὕλην φύσιν εἶναί φατε, ἐπειδὴ γίνεται καὶ ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ ἔστι τὸ εἶδος ὁ ἄνθρωπος, τοῦτο ἂν εἴη φύσις. εἰ γὰρ ἐπειδὴ μὴ τὸ γινόμενον ἐκ τῆς κλίνης, κλίνη ἐστίν, ἀλλ' ἡ τῆς κλίνης ὕλη τὸ ξύλον, διὰ τοῦτο ἡ ὕλη φύσις ἐστίν, ἐπειδὴ καὶ τὸ ἐξ ἀνθρώπου γινόμενον ἄνθρωπος, καὶ οὐχ ἡ τοῦ ἀνθρώπου ὕλη, δῆλον ἄρα ὅτι τὸ εἶδός ἐστιν ἡ φύσις. τοῦτο γάρ ἐστι τὸ γινόμενον, ὥσπερ ἐπὶ τῆς κλίνης ἡ ὕλη. συμβαίνει οὖν ὅσον ἐκ τῶν λόγων τούτων, ἢ ἀμφότερα εἶναι φύσιν, καὶ τὸ εἶδος καὶ τὴν ὕλην, ἢ μηδέτερον. ὥστε καὶ ἢ μὲν συγχωρησάτωσαν τὸ εἶδος φύσιν δεικνύουσιν, ἢ μηδὲ αὐτοὶ τὴν ὕλην φύσιν λεγέτωσαν. διὰ τῶν αὐτῶν γὰρ ἀμφοτέροις ἡ ἐπιχείρησις. ἀμφότερα μὲν οὖν φύσιν λέγειν ἀδύνατον. οὐ γὰρ δὴ ἐπ' ἄλλων μὲν ἡ ὕλη φύσις ἂν εἴη, ἐπ' ἄλλων δὲ τὸ εἶδος. δεῖ γὰρ ἓν καὶ τὸ αὐτὸ ἐπὶ πάντων εἶναι τὴν φύσιν. τίς γὰρ ἡ ἀποκλήρωσις, τούτοις μὲν τὴν ὕλην φύσιν εἶναι, ἄλλοις δὲ τὸ εἶδος. ἔοικεν οὖν ὅσον ἐπὶ τούτοις, μηδέτερον εἶναι φύσιν. οὔτε γὰρ ἄμφω δυνατὸν διὰ τὰ νῦν εἰρημένα, οὔτε θάτερον μόνον διὰ τὴν ἐπιχείρησιν. ὅσον γὰρ ἐπ' αὐτῇ, ἀμφότερα ἔσται. τοῦτο δὲ ἀδύνατον. οὐδὲν ἄρα τούτων φύσις. ἀλλ' ἡμεῖς φαμὲν ὅτι τῷ ὄντι οὐκ ἔστι φύσις τὸ τεχνητὸν εἶδος, καὶ διὰ τοῦτο ἐπεὶ μὴ φύσις ἐστίν, οὐδὲ γίνεται ἐκ τῆς κλίνης κλίνη. τὸ μέντοι ξύλον εἶδος ὂν φυσικόν, καὶ οὐχ ὕλη, εἰκότως ξύλον ποιεῖ. ὥστε εἰ ἐκ τούτου στοχάζονται, ὅτι ἡ ὕλη φύσις, ἐκ τοῦ τὸ γινόμενον μὴ τὸ εἶδος εἶναι, ἀλλὰ τὴν ὕλην, ὡς ἐπὶ τῶν τεχνητῶν ἔχει, ἐπειδὴ δέδεικται καὶ ἡμῖν ὅτι τὸ εἶδός ἐστι τὸ γινόμενον ἐξ εἴδους. εἶδος γὰρ καὶ ὁ ἄνθρωπος, καὶ ὁ ἵππος, καὶ οἱ καρποὶ πάντων. γίνεται δὲ ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ σῖτος ἐκ σίτου, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως, τὸ εἶδος ἂν εἴη ἡ φύσις, καὶ οὐχ ἡ ὕλη. τοῦτο γάρ ἐστι τὸ γεννητικόν, καὶ τὸ γεννώμενον. ὥστε τοῦτο μόνον ἂν εἴη φύσις, καὶ ἐξ ὧν ἐκεῖνοι κατασκευάζειν ἐπεχείρησαν, ὅτι ἡ ὕλη φύσις. διὰ τοῦτο γὰρ καὶ ἡ κλίνη οὐ γεννᾷ κλίνην, ἀλλὰ ξύλον, ἐπειδὴ ἡ μὲν κλίνη οὐκ ἔστι φυσικὸν εἶδος, ἀλλὰ τεχνητόν, τὸ δὲ ξύλον τῆς μὲν κλίνης ὕλη ἐστίν, ὡς τεχνητῇ, αὐτὸ δὲ καθ' αὑτὸ φυσικόν ἐστιν εἶδος. ὥσπερ ἄνθρωπος, καὶ σῖτος καὶ τὰ λοιπά. τρίτον τῆς φύσεως ἐστὶ σημαινόμενον τὸ ἐπὶ τῆς γενέσεως, καὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ εἶδος. τὴν γὰρ βλάστην καὶ ἔκφυσιν τῶν καρπῶν, φύσιν καλεῖν εἰώθαμεν. ἐξ οὗ πάλιν δείκνυται, ὅτι τὸ εἶδός ἐστι φύσις, οὐχ ἡ ὕλη. πᾶσα γὰρ γένεσις παρωνύμως ἀπὸ τοῦ εἴδους ἐφ' ὃ κινεῖται τὴν ἐπωνυμίαν ἔχει. λεύκανσιν γὰρ λέγομεν, τὴν ἐπὶ λευκότητα ὁδόν. ἐκ τοῦ τέλους ἐφ' ὃ ἡ κίνησις, ὀνομάζοντες τὴν ὁδόν, καὶ οὐκ ἐξ οὗ κεκίνηται μέλανσιν. ὁμοίως δὲ καὶ τὴν ἐπὶ θερμότητα ὁδόν, θέρμανσιν. καὶ ἐπὶ τῆς γενέσεως οὖν τῶν φυτῶν ἀπὸ τοῦ τέλους ἡ γένεσις κληθήσεται. ἐπεὶ οὖν ἐπὶ φύσιν ὁδεύει, οὐκ ἠδυνήθη δὲ παρωνύμως ὀνομασθῆναι φύσανσις διὰ τὴν κακοφωνίαν, ὁμωνύμως τῷ τέλει φύσις ἐκλήθη. δῆλον οὖν καὶ ἐντεῦθεν, ὅτι τὸ εἶδος φύσις. εἰ γὰρ ἐπὶ εἶδος κινοῦνται, αἱ δὲ κινήσεις ἐκ τῶν τελῶν καλοῦνται, καλεῖται δ' ἡ κίνησις αὕτη φύσις, δῆλον ὅτι ἐπειδὴ εἰς φύσιν ὁδεύει, ὁδεύει δὲ ἐπὶ εἶδος, τὸ εἶδος ἄρα φύσις. καθόλου γὰρ ὡς εἶπον, πᾶν τὸ γινόμενον τοῦτο καλεῖται ἐφ' ὃ τὴν γένεσιν ἔχει, καὶ οὐκ ἀφ' οὗ. βάθρον γὰρ λέγεται ὑπὸ τοῦ τέκτονος γενέσθαι, καὶ οὐ ξύλον, ὅταν σχηματίζηται εἰς βάθρον. καὶ ὅταν τὸ ὕδωρ μεταβάλλῃ εἰς ἀέρα, ἀέρα φαμὲν γίνεσθαι καὶ οὐχ ὕδωρ, καὶ ἐξαέρωσιν τὸ τοιοῦτον παρωνύμως λέγομεν. οὕτω οὖν εἰ τὴν τῶν φυτῶν γένεσιν φύσιν φαμέν, δῆλον δήπου ὅτι τὸ εἶδος φύσις ἐστίν. εἴγε ἐκ τοῦ τέλους πᾶσαι αἱ γενέσεις προσαγορεύονται. τριχῶς οὖν τῆς φύσεως λεγομένης, τῆς μὲν πρώτης καὶ κυριώτατα, τοῦ εἴδους. κατὰ δεύτερον δὲ λόγον, τῆς ὕλης. καὶ τρίτον τῆς γενέσεως τῆς ἐπὶ τὸ εἶδος. δυνατὸν οὖν ἐφ' ἑκάστου τούτων, τὸν ὁρισμὸν τῆς φύσεως ἀποδοῦναι. ἔστι γὰρ καὶ ἡ ὕλη ἀρχὴ κινήσεως, καὶ ἠρεμίας τὸν τρόπον τοῦτον. τοῦ γὰρ εἴδους ἀδιαιρέτου ὄντος κατὰ τὸν ἑαυτοῦ λόγον, ἡ ὕλη διαιρέσεως αὐτῷ καὶ διαστάσεως αἰτία γίνεται. ἡ δὲ

πρᾶγμα δὲ νοεῖν μηδὲν, οὐδέποτε γὰρ ἐφιστήσεται ἡ διάνοια αὐτοῦ τῇ τῶν χρωμάτων φύσει, οὕτω καὶ τοὺς πονηροὺς καὶ διεστραμμένους τὸ κρεῖττον τῆς ψυχῆς ἂν πειραθείημεν διὰ τῶν συλλογισμῶν πείθειν, λόγοις μὲν αὐτοὺς διδάξομεν, πράγματα δὲ οὐδαμῶς. ὥστε ἀκολουθοῦντας ἡμᾶς τῇ φύσει τῶν πραγμάτων, δεῖ θέσθαι τοῦτο ἄνευ λόγου· μᾶλλον δὲ κρεῖττον παντὸς λόγου, ὅτι ἔστιν ἡ φύσις. φανερὸν γὰρ ὅτι τοιαῦτα πολλὰ τῶν ὄντων ἐστί. τοιαῦτα ἃ φύσει ἐστίν. ὅτι δὲ ἐνδέχεται τοῦτο πάσχειν, τουτέστιν ὅτι ἐνδέχεταί τινα διεστραμμένον ἢ τὰς αἰσθήσεις, ἢ τὸν λογισμὸν, μὴ γινώσκειν τινὰ τῶν πραγμάτων ἃ ἐστὶν αὐτόπιστα, καὶ μὴ δεόμενα ἀποδείξεως. τούτου οὖν παράδειγμα ἐκτίθεται τὸν ἐκ γενετῆς τυφλὸν λόγοις ἀποδεικνύειν πειρώμενον, ὅτι ἔστι τὰ χρώματα. ὁ οὖν τοιοῦτος περὶ ὀνομάτων μὲν διαλέξεται, νοήσει δ' οὐδέν. οὐ γὰρ λόγοις γινώσκεσθαι τὰ χρώματα, ἀλλ' αἰσθήσει πέφυκε.

ΔΟΚΕΙ δ' ἡ φύσις καὶ ἡ οὐσία ἡ τῶν φύσει ὄντων, ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' ἑαυτό. οἷον, κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. σημεῖον δέ φησιν Ἀντιφῶν, ὅτι εἴ τις κατορύξειε κλίνην, καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην, ἀλλὰ ξύλον.

Ζητῶν τί ποτέ ἐστιν ἡ φύσις, διαλεχθεὶς δὲ καὶ περὶ τῶν παρωνύμως ἀπὸ τῆς φύσεως λεγομένων, τί τὸ ἔχον φύσιν, τί τὸ φύσει, τί τὸ κατὰ φύσιν, ἐντεῦθεν ζητεῖ πότερον μοναχῶς ἡ φύσις λέγεται, ἢ πλεοναχῶς. καί φησιν, ὅτι διχῶς λέγεται ἡ φύσις. λέγεται γὰρ καὶ τὸ πρῶτον ἑκάστῳ ὑποκείμενον φύσις, ὡς τοῖς περὶ Ἀντιφῶντα δοκεῖ, καὶ τοῖς παλαιοτέροις τῶν φυσικῶν, οἵτινες τὴν ὕλην ἑκάστου φύσιν ἑκάστου εἶναι ἔλεγον. λέγεται καὶ τὸ εἶδος ἑκάστου φύσις, ὡς τῷ Ἀριστοτέλει, καὶ τῷ ὀρθῷ λόγῳ δοκεῖ. λέγεται καὶ τρίτον σημαινόμενον, καὶ ἡ γένεσις καὶ ἡ ὁδὸς ἡ ἐπὶ τὸ εἶδος, φύσις. δοκεῖ οὖν φησιν ἡ ὕλη, τισὶ μᾶλλον εἶναι φύσις. κατεσκεύαζεν οὖν Ἀντιφῶν τοῦτο τοῦτον τὸν τρόπον, ὅτι τὸ ἐν ἑκάστῳ ὑποκείμενον καὶ μὴ ἄλλοτε εἰς ἄλλο μεταβάλλον, τοῦτό ἐστιν ἡ ἑκάστου φύσις. τὰ δὲ ἄλλα καθ' ἃ μεταβάλλει γινόμενα καὶ φθειρόμενα, πάθη τούτου ἐστὶ καὶ οὐ φύσις. οὕτως οὖν τοῦ μὲν ἀνδριάντος φύσις, οὐ τὸ σχῆμα, ἀλλ' ὁ χαλκός, καὶ τῆς κλίνης τὸ ξύλον, διότι τὸ μὲν σχῆμα, πάθος τί ἐστι γινόμενον καὶ ἀπογινόμενον, ὁ δὲ χαλκὸς καὶ τὸ ξύλον, ἀεὶ μένει. σημεῖον δὲ τοῦ τὸ ξύλον φύσιν εἶναι τῆς κλίνης ὃ Ἀντιφῶν ἔλεγεν, ὅτι ἐὰν κατορύξῃς κλίνην καὶ σαπῇ, εἶτα τὴν γεννητικὴν δύναμιν ἡ σηπεδὼν λάβοι, οὐκ ἂν βλαστήσαι κλίνη, ἀλλὰ ξύλον. ὡς δὴ τοῦ μὲν σχήματος πάθους τινὸς ὄντος, φύσεως δὲ τοῦ ξύλου. ὅπερ ἐστὶν ἡ ὕλη τῆς κλίνης. τὸ γὰρ ἐν ἑκάστῳ γεννητικὸν καὶ κινητικόν, τοῦτό ἐστιν ἡ φύσις ἑκάστου. ὃ δὲ ἐπὶ τῶν τεχνητῶν συμβαίνει, τοῦτο καὶ ἐπὶ τῶν φυσικῶν, ἐπειδὴ μιμεῖται τὴν φύσιν ἡ τέχνη. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν εὕρομεν ὅτι φύσις ἑκάστου ἐστίν, οὐ τὸ εἶδος, ἀλλ' ἡ ὕλη, διὰ τὸ τὴν μὲν ὑπομένειν τὴν ὕλην, τὸ δὲ εἶδος οὔ, οὕτω δήπου καὶ ἐπὶ τῶν φυσικῶν ἂν εἴη. ἡ μὲν ἑκάστου ὕλη, φύσις. πάθος δὲ τὸ εἶδος. ὥστε εἰ καὶ ἡ τῆς κλίνης ὕλη, τὸ ξύλον λέγω, μὴ ἔστιν ἁπλοῦν τι πρᾶγμα, ἀλλὰ σύγκειται ἐξ ὑποκειμένου καὶ εἴδους, καὶ πέπονθε τὸν αὐτὸν λόγον ὅνπερ τὸ ξύλον πρὸς τὴν κλίνην, τὸ μὲν ὑποκείμενον καὶ ἡ ὕλη τοῦ ξύλου, φύσις ξύλου ἂν εἴη, εἴτε ὕδωρ εἴη τοῦτο, εἴτε γῆ, εἴτε ὅτι δήποτε ἄλλο. τὸ δὲ τοῦ ξύλου εἶδος, πάθος τι τῶν γινομένων καὶ ἀπογινομένων, διότι μεταβάλλει ἂν τὸ ὑποκείμενον τὸ ξύλον, εἰς ἕτερον εἶδος. οἷον ἡ γῆ. ὥστε εἰ τὸ μὲν ὑπομένει, τὰ δ' ἤδη μεταβάλλουσιν εἰς ἄλληλα, τὸ ὑποκείμενον φύσις ἂν εἴη μᾶλλον, ἢ τὸ μεταβάλλον. ἔοικε δὲ καὶ τῶν φυσικῶν ἡ ὕλη μᾶλλον εἶναι φύσις, ἢ τὸ εἶδος. διὰ τοῦτο γοῦν φησίν, ὅπερ ἑκάστῳ ἔδοξεν ὑλικὸν αἴτιον εἶναι τῶν πραγμάτων, εἴτε ἕν, εἴτε πλείω, τοῦτο τὴν φύσιν εἶναι τῶν ὄντων ἔθετο. καὶ τοῦτο μὲν ὑπομένειν, τὰ δ' εἴδη ἄλλοτε ἄλλο ἐπιγίνεσθαι. εἰ οὖν καθάπερ τοῦ ξύλου ὑπομένει ἡ τέφρα ἥτις ἐστὶ γῆ, ἔοικεν ἡ γῆ φύσις εἶναι τῶν ξύλων. καὶ τῶν τηκτῶν μετάλλων τὸ ὕδωρ, διότι ἐν τῇ τήξει ὑπομένει τὸ ὕδωρ. καὶ τὸ ὕδωρ δὲ εἰ μὴ ἔστιν ἁπλοῦν, ἀλλ' εἰ τύχοι ὑποκείμενον ἔχει τὸν ἀέρα, οὗτος ἂν αὐτοῦ εἴη φύσις, διότι ἐν τῇ φθορᾷ τοῦ ὕδατος οὗτος ὑπομένει. ὥστε ὅσοι μὲν τὸ ὑλικὸν αἴτιον ἓν εἰρήκασιν, εἴτε ἀέρα, εἴτε ὕδωρ, εἴτε ὁτιδήποτε ἄλλο, τοῦτο εἶναι καὶ τὴν φύσιν τῶν ἄλλων ἀπεφήναντο. ὅσοι δὲ πλείω, πλείονα. ὅτι μὲν οὖν ἡ ὕλη φύσις, οὕτω διαλέχθω. ὅτι δὲ τὸ εἶδος φύσις μᾶλλον τῆς ὕλης, διὰ πλειόνων ἐπιχειρημάτων ἀποδείκνυσι, πρῶτον μὲν ἐκ τοῦ κατὰ τὰς τέχνας παραδείγματος. τότε φησὶν ἕκαστον τῶν τεχνητῶν λέγεται εἶναι, καὶ ἔχειν τὴν ἑαυτοῦ τέχνην, ὅταν ἐνεργείᾳ ᾖ τοιοῦτον, οἷον καὶ λέγεται. οὐχ ὅταν δυνάμει. λέγεται γὰρ τὴν τέχνην τοῦ ἀνδριάντος ἔχειν, ἢ τῆς κλίνης, οὐ τὸ δυνάμει ἀνδριὰς, ἢ τὸ δυνάμει κλίνη, οἷον ὁ χαλκὸς ὅς ἐστιν ὕλη τοῦ ἀνδριάντος, ἢ τὸ ξύλον ὅπερ ἐστὶν ὕλη τῆς κλίνης. οὐ γὰρ ἐπειδὴ τὸ ξύλον δυνάμει ἐστὶ κλίνη, τὴν τέχνην φαμὲν αὐτὸ ἔχειν τὴν τῆς κλίνης, ἀλλ' ὅταν ἀπολάβῃ τὸ τῆς κλίνης εἶδος, τότε λέγεται ἔχειν τὴν τῆς κλίνης τέχνην. ὡσαύτως καὶ ὁ χαλκὸς, ὅταν ἀπολάβῃ τὸ εἶδος τοῦ ἀνδριάντος, τότε ἔχει τὴν τέχνην τὴν ἀνδριάντος, οὐχ ὅταν δυνάμει ᾖ ἀνδριάς. καὶ τὴν γραμματικὴν δὲ τέχνην ἀπειληφέναι λέγεται οὐχ ὁ δυνάμει γραμματικὸς ὤν, ἀλλ' ὁ ἐνεργείᾳ. ὥσπερ οὖν ἐπὶ τῶν τεχνητῶν οὐ τῆς ὕλης κατηγορεῖται ἡ τέχνη, τὸ γὰρ δυνάμει ὕλη ἐστὶ τοῦ ἐνεργείᾳ, ἀλλ' οὐ τοῦ εἴδους, οὕτω δήπου καὶ ἐπὶ τῶν φυσικῶν, οὐ τῆς ὕλης κατηγορηθήσεται, ἀλλὰ τοῦ εἴδους. οὐ γὰρ λέγεται ἀνθρώπου φύσις, καὶ ἵππου φύσις, οὐ δήπου τὸ δυνάμει ἄνθρωπος, ἢ τὸ δυ-

E ἰπὼν τί ἐστι φύσει, λέγει τί τὸ φύσιν ἔχον. καί φησιν ὅτι ὅσα ἐν ἑαυτοῖς ἀρχὴν τοιαύτην ἔχει οἵαν εἰρήκαμεν, λέγω δὴ κινήσεως καὶ ἠρεμίας. τινὰ δὲ ταῦτά ἐστιν, ἐπήγαγεν εἰπὼν, ὅτι οὐσίαι. πόθεν δὲ ὅτι οὐσίαι, διὰ τῆς προσθήκης ὑπεμνησεν, εἰπὼν ὅτι ὑποκείμενόν τί ἐστι τούτων ἕκαστον. οὐδὲν δὲ τῶν συμβεβηκότων ἐστὶν ὑποκείμενον, ἀλλὰ μᾶλλον ἡ οὐσία. εἶτα πόθεν τὸ ὑποκείμενον δείκνυσιν, εἰπὼν ὅτι ἐν ὑποκειμένῳ ἡ φύσις ἐστίν. εἰ τοίνυν ἡ φύσις ἐν ὑποκειμένῳ, ὑπόκειται δὲ τὸ ἔχον φύσιν, τὸ δὲ ὑποκείμενον οὐσία ἐστὶ, τὸ ἔχον ἄρα φύσιν οὐσία ἐστίν. ὅτι δὲ ἐν ὑποκειμένῳ ἡ φύσις, ἐκ τοῦ ὁρισμοῦ ἔχει δεδειγμένον. ἀρχὴ γὰρ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως καὶ καθ᾽ αὑτό. ὃ δὲ ἔν τινι πάντως ὑπάρχει, ὅπερ καὶ τῆς κινήσεως ἀρχή ἐστι καὶ τῆς ἠρεμίας, δῆλον ὅτι ἐν ὑποκειμένῳ ἐστίν. οὐχ οὕτω δὲ ὡς τὰ συμβεβηκότα λέγεται ἐν ὑποκειμένῳ εἶναι, ἀλλ᾽ ὡς εἶδος ἐν ὕλῃ συμπληροῦν μίαν οὐσίαν μετὰ τοῦ ὑποκειμένου, κατὰ φύσιν ταῦτά τε, καὶ ὅσα τούτοις ὑπάρχει καθ᾽ αὑτά. λοιπὸν τί τὸ κατὰ φύσιν, ὅτι τά τε ἔχοντα τὴν φύσιν τουτέστιν αἱ οὐσίαι, καὶ ὅσαι αὐτῶν οὐσιῶν εἰσὶ καθ᾽ αὑτὸ ἐνέργειαι. οἷον, τοῦ πυρὸς ἡ ἐπὶ τὰ ἄνω φορὰ, τὸ θερμαίνειν, τὸ φωτίζειν, καὶ ἐπὶ τῶν ὡσαύτως.

» ΤΟΥΤΟ γὰρ φύσις μὲν οὐκ ἔστιν, οὐδ᾽ ἔχει φύσιν, φύσει δὲ καὶ κατὰ φύσιν ἐστί. τί μὲν οὖν ἐστιν ἡ φύσις, εἴρηται. καὶ τί τὸ φύσει, καὶ κατὰ φύσιν.

E ἰπὼν τί ἐστι τὸ κατὰ φύσιν, ἵνα μή τις εἴπῃ, διατί γὰρ μὴ καὶ τοῦτο φύσις ἐστὶ, δείκνυσιν ὅτι οὐκ ἔστι φύσις, οὔτε φύσιν ἔχον. ὅτι μὲν φύσις οὐκ ἔστι, δῆλον ἐντεῦθεν. ἡ φύσις, ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας. ταῦτα δὲ πάντα, κινήσεις τινές εἰσιν, οὐκ ἀρχαὶ κινήσεως οὐδ᾽ ἠρεμίας. οὐκ ἄρα φύσις τὰ τοιαῦτα. ἀλλὰ μὴν οὐδὲ φύσιν ἔχει. τὰ γὰρ φύσιν ἔχοντα, ὑποκείμενά εἰσι καὶ οὐσίαι. ταῦτα δὲ ἐν ὑποκειμένῳ. οὐκ ἄρα οὐδὲ φύσιν ἔχει, ἀλλ᾽ ἔστι κατὰ φύσιν καὶ φύσει. δεικνὺς ὅτι καὶ τὸ φύσει, λέγεται καὶ ἐπὶ τοῦ κατὰ φύσιν. φαμὲν γὰρ φύσει τὸ πῦρ φωτίζειν. ὅτι δὲ καὶ ἐπὶ τῶν ἐχόντων φύσιν λέγεται τὸ φύσει, ἔδειξεν ἐν ἀρχῇ εἰπὼν, τῶν ὄντων, τὰ μέν ἐστι φύσει. περὶ τῶν ἐνυποστάτων πραγμάτων λέγων, ἅπερ ἐστὶ τὰ φύσιν ἔχοντα. καὶ πάλιν, φύσει φαμὲν εἶναι, τά τε ζῶα καὶ τὰ μέρη αὐτῶν. εἴπομεν δ᾽ ὅτι κυρίως τὸ κατὰ φύσιν, ἐπὶ τῶν φυσικῶν ἐνεργειῶν λέγεται. τὸ δὲ φύσει καὶ ἐπὶ τούτων, καὶ ἐπὶ τῶν ἐχόντων φύσιν.

» ΩΣ δ᾽ ἔστιν ἡ φύσις πειρᾶσθαι δεικνύναι, γελοῖον. φανερὸν γὰρ ὅτι τοιαῦτα τῶν ὄντων ἐστὶ πολλά. τὸ δὲ δεικνύναι τὰ φανερὰ διὰ τῶν ἀφανῶν, οὐ δυναμένου κρίνειν ἐστὶ τὸ δι᾽ αὑτὸ, καὶ μὴ δι᾽ αὑτὸ γνώριμον. ὅτι δ᾽ ἐνδέχεται τοῦτο πάσχειν, οὐκ ἄδηλον. συλλογίσαιτο γὰρ ἄν τις ἐκ γενετῆς ὢν τυφλὸς, περὶ χρωμάτων. ὥστε ἀνάγκη τοῖς τοιούτοις, περὶ τῶν ὀνομάτων εἶναι τὸν λόγον, μηδὲν δὲ νοεῖν.

A ὐτὸς εἶπεν ἐν τοῖς ἀποδεικτικοῖς, ὅτι τεττάρων ὄντων προβλημάτων τῶν περὶ ἑκάστου πράγματος ζητεῖσθαι ὀφειλόντων. τοῦ εἰ ἔστι, τοῦ τί ἐστι, τοῦ ὁποῖόν τί ἐστι, τοῦ διατί ἐστι, προηγεῖται πάντων, τὸ, εἰ ἔστιν. ἐπεὶ οὖν ἔδειξε τί ἐστιν ἡ φύσις μὴ πρῶτον δείξας εἰ ἔστιν ὅλως, τοῦτο αὐτὸ ἀπολογεῖται διὰ τούτων, ὅτι τὸ πειρᾶσθαι δεικνύναι, ὅτι ἔστιν ἡ φύσις, γελοῖόν ἐστιν, οὕτως ἐναργοῦς αὐτῆς οὔσης τῆς ὑποστάσεως. ἐν οἷς δὲ τὸ εἶναι φανερὸν, οὐ δεῖ πειρᾶσθαι δεικνύναι ὅτι ἐστὶν, ἀλλὰ περὶ τὸ τί ἐστι καὶ τὰ λοιπὰ κατατείνειν τοὺς λόγους. οὕτω γοῦν καὶ ὅτι ἐστὶν ὁ χρόνος καὶ ὁ τόπος ἐναργὲς πᾶσι. τί ποτε μέντοι ἐστὶ ταῦτα, ἔργον εὑρεῖν. ὥσπερ οὖν ὁ πειρώμενος ἀποδεικνύναι, ὅτι τὸ πῦρ καίει, αἰσθήσεως δεῖται, οὕτως ὁ ἀποδεικνὺς ὅτι ἔστιν ἡ φύσις, λογισμοῦ δεῖται. φανερὸν γὰρ, ὅτι πολλά ἐστι τὰ ὑπὸ φύσεως διοικούμενα ἐν τοῖς οὖσιν. οὐ δεῖ δὲ τὰ φανερὰ ἀποδεικνύειν, οὐδὲ ὅλως πάντων ζητεῖν ἀπόδειξιν, ἀλλὰ μὴ τῶν ἀμφιβόλων. ὡς γὰρ αὐτὸς ἔδειξεν ἐν τοῖς ἀποδεικτικοῖς, ἀδύνατον πάντων εἶναι ἀπόδειξιν. εἰ γὰρ ἦν πάντων ἀπόδειξις, οὐδενὸς ἂν ἦν ἀπόδειξις. ἀεὶ γὰρ τὰς ἀρχὰς δι᾽ ὧν ἀπεδείξαμεν ἀποδεικνύναι σπουδάζοντες, ἐπ᾽ ἄπειρον ἥξομεν. καὶ ἐπεὶ τὸ ἄπειρον ἀδιεξίτητον, οὐδὲν ἀποδειχθήσεται τῶν ἀρχῶν μὴ ἀποδειχθεισῶν τῶν πρώτων. οὐκ ἄρα παντὸς ζητητέον ἀπόδειξιν. εἰσὶ γὰρ πολλὰ, ἅπερ κρείττονα πάσης ἀποδείξεως τὴν πίστιν ἐκ τῆς ἐνεργείας παρέχεται. οἷον, τὰ χρώματα ὅτι ἔστι καὶ τὰ σώματα. τοιοῦτον καὶ τὸ κατὰ φύσιν ἐστί. καὶ ὁ τῶν τοιούτων ἀποδείξεις παρέχειν βουλόμενος, τοῦ ἐσφάλθαι αὐτῷ τὸ κριτήριον τῆς διανοίας ἔλεγχον παρέχεται, μὴ δυνάμενον διακρίνειν τί μέν ἐστιν ἀσαφέστερον, τί δὲ σαφέστερον. καὶ τί μὲν οἴκοθεν ἔχει τὴν πίστιν, τί δ᾽ οὐκ οἴκοθεν, ἀλλ᾽ ἐξ ἑτέρων ἀρχῶν τὰς ἀποδείξεις ἔχει. ἀνάγκη γὰρ τὸν τοιοῦτον διὰ τῶν ἀσαφῶν τὰ σαφῆ κατασκευάζειν. οἷος ἦν Ἀντιφῶν πειραθεὶς δι᾽ ἀποδείξεως δεῖξαι, ὅτι τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα, ὃς καὶ ἐν τῷ τετραγωνισμῷ τοῦ κύκλου ἑαυτὸν παρελογίσατο. τὰ γὰρ τῷ αὐτῷ φησιν ἴσα τὸν αὐτὸν τόπον κατέχει. τὰ τὸν αὐτὸν τόπον κατέχοντα, καὶ ἀλλήλοις ἴσα. τὰ τῷ αὐτῷ ἄρα ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα. οὕτω γὰρ σαφὲς πρᾶγμα διὰ ἀσαφεστέρων πολλῷ ἐπειράθη δεικνύναι. τί ποτε γάρ ἐστιν ὁ τόπος, καὶ ὁ ποίαν σχέσιν ἔχει πρὸς τὰ ἐν τόπῳ, πολλῶν καὶ μακρῶν χρεία ἐστὶν εἰς τὸ μαθεῖν ἀποδείξεων. ἐοίκασιν οὖν οὗτοι τυφλοῖς ἐκ γενετῆς πειρωμένοις ἀποδεικνύναι ὅτι ἔστι τὰ χρώματα. ὥσπερ γὰρ οὗτοι εἰ ἑώρων, οὐκ ἂν ἐδεήθησαν τῆς διὰ λόγων ἀποδείξεως, κρείττονα πάσης ἀποδείξεως τὴν δι᾽ αἰσθήσεως πίστιν ἔχοντες. οὐ γὰρ λόγῳ, ἀλλ᾽ αἰσθήσει τῶν χρωμάτων τὸ εἶναι κρίνεται. οὕτω καὶ οἱ τὰ φανερὰ ἀποδεικνύναι σπουδάζοντες, εἰ τὸ κριτήριον τῆς διανοίας ἐρρωμένον εἶχον, οὐκ ἂν τὰ φανερὰ διὰ τῶν ἀφανῶν κατεσκεύαζον. καὶ ὥσπερ τοῖς τυφλοῖς λόγους μὲν συμβαίνει λέγειν,

πρᾶγμα

ἡρμοσμένην γενέσθαι. καὶ ὥσπερ τὸν ἦχον τὸν γινόμενον ὑπὸ τοῦ κιθαρῳδοῦ ἐκ τῆς ἀνάρμοστου κιθάρας οὐ φαμὲν τέχνῃ γενέσθαι οὐδὲ κατὰ τέχνην, καίτοι ὑπὸ τεχνίτου γινόμενον, οὕτω καὶ τὰ παρὰ τῆς φύσεως οὐ φαμὲν φύσει γενέσθαι, ἐπεὶ μηδὲ κατὰ τοὺς ὡρισμένους τῆς φύσεως λόγους γέγονε. πλὴν μέντοι τὴν τοῦ παντὸς φύσιν, φύσει φαμὲν γενέσθαι, διότι κατὰ φύσιν τῷ παντὶ τὸ ἄλλα φθείρειν ἐν τῷ γεννᾶν ἄλλα. οὕτως οὖν διὰ τὴν τοῦ ὅλου κίνησιν, ἔφθειρε μὲν τὴν ὑποκειμένην ἁρμονίαν τῆς κράσεως τῆς ὕλης τοῦ ζῴου, ἄλλην δὲ ἐποίησεν, ἥτις διὰ τὴν ἀνεπιτηδειότητα αὐτῆς οὐ κατεδέξατο τὸ εἶδος τὸ φυσικὸν, ἀλλ᾽ ἕτερόν τι ἀρρύθμιστον καὶ ἀόριστον, ὡς ἂν ἔτυχεν ἐπιτηδειότητος ἔχουσα ἡ ὕλη. Τῶν ὄντων τὰ μέν ἐστι φύσει τὰ δὲ δι᾽ ἄλλας αἰτίας. Οὐχ ἁπλῶς πάντων τῶν ὄντων, ἀλλ᾽ ἤτοι τῶν γινομένων καὶ φθειρομένων ἢ καὶ πάντως τῶν φυσικῶν τε καὶ περὶ τὰ φυσικὰ γινομένων. καὶ γὰρ τὰ ἀπὸ τέχνης καὶ ἀπὸ ταυτομάτου, περὶ τὰ φυσικὰ συνίσταται. δι᾽ ἄλλας δὲ αἰτίας εἶπεν. οἷον, τέχνην. τύχην. προαίρεσιν. αὐτόματον. λογισμόν. νοῦν.

ΦΥΣΕΙ μὲν τά τε ζῷα, καὶ τὰ μέρη αὐτῶν, καὶ τὰ φυτὰ, καὶ τὰ ἁπλᾶ τῶν σωμάτων, οἷον γῆ καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ. ταῦτα γὰρ εἶναι καὶ τὰ τοιαῦτα φύσει φαμέν. πάντα δὲ τὰ ῥηθέντα φαίνεται διαφέροντα πρὸς τὰ μὴ φύσει συνεστῶτα. τὰ μὲν γὰρ φύσει ὄντα πάντα φαίνεται ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως, καὶ στάσεως.

Τὰ μέρη προσέθηκε, διότι οὐχ ὡς ἔχει ἐπὶ τῶν τεχνητῶν, οὕτως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν. ἐπὶ μὲν γὰρ τῶν φυσικῶν πάντως καὶ τὰ ὅλα, καὶ τὰ μέρη φύσει ἐστὶ, καὶ τὸ ὅλον ζῷον φύσει, καὶ χεῖρες καὶ πόδες ὁμοίως. καὶ οὐ μόνον τὰ ἀνομοιομερῆ, ἀλλὰ καὶ τὰ ὁμοιομερῆ. καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰ στοιχεῖα ἐξ ὧν ταῦτα συνέστηκε. καὶ ἁπλῶς τῶν φύσει, ὅτι ποτέ ἐστιν, εἴτε μέρος, εἴτε στοιχεῖον, πάντως φύσει ἐστίν. ἐπὶ δὲ τῶν τεχνητῶν εἰ καὶ τὰ ὅλα τεχνητά ἐστιν. οἷον, οἰκία κλίνη. ἀβάκιον, ἀλλ᾽ οὐ καὶ τὰ τυχόντα μέρη ἤτοι στοιχεῖα. οὐ γὰρ δὴ ξύλα, καὶ λίθοι μέρη ὄντα τῆς οἰκίας, μᾶλλον δὲ στοιχεῖα, τεχνητά ἐστιν, ἀλλὰ φύσει τούτων γὰρ ἕκαστον ἀρχὴν ἔχει κινήσεως ἐν ἑαυτῷ, καὶ στάσεως, τῶν φυσικῶν δηλονότι. κινήσεως μὲν, τῆς ἐπὶ τὸ εἶδος εἰς ὃ κινεῖται. στάσεως δὲ, τῆς εἰς τὸ εἶδος ἐφ᾽ ὃ ἐκινήθη. καὶ τὰ μὲν ζῷα, φανερῶς πάσης κινήσεως ἐν ἑαυτοῖς τὴν ἀρχὴν ἔχει. καὶ γὰρ γενέσεως, καὶ αὐξήσεως, καὶ τῆς κατὰ τόπον μεταβολῆς. τὰ δὲ φυτὰ τὰς μὲν ἄλλας ἔχει, τῆς δὲ μεταβατικῆς τῆς κατὰ τόπον ἐστέρηται. ὥσπερ τὰ ἁπλᾶ τῶν σωμάτων μόνην ἐξ ἑαυτῶν ἔχει τὴν μεταβατικὴν, οὐ μόνον δὲ κινήσεως αἰτίαν ἐν ἑαυτοῖς ἔχει τὰ φυσικὰ, ἀλλὰ καὶ στάσεως. πλὴν τῶν οὐρανίων. ταῦτα γὰρ κινήσεως μὲν ἐν ἑαυτοῖς ἔχει ἀρχὴν, στάσεως δὲ οὐ. ἢ μὴ τὸν εἰρημένον τρόπον.

ΚΛΙΝΗ δὲ καὶ ἱμάτιον, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ἐστὶν, ᾗ μὲν τετύχηκε τῆς κατηγορίας ἑκάστης, καὶ καθ᾽ ὅσον ἐστὶν ἀπὸ τέχνης, οὐδεμίαν ὁρμὴν ἔχει μεταβολῆς ἔμφυτον.

Γένος φησὶ πάλιν αὐτὴν τὴν οὐσίαν ὡς ὑποκείμενον, οὐχ ὡς κατηγορούμενον κατὰ πλειόνων. τὰ οὖν τεχνητὰ πάντα εἴδη, οἷον οἰκία, ἀβάκιον, καθὸ μὲν ἕκαστον τοιοῦτόν τι λέγεται. οἷον, οἰκία ἢ κλίνη, ὅπερ αὐτῷ συμβέβηκεν ἀπὸ τέχνης οὐκ ἀπὸ φύσεως, οὐδεμίαν ἔμφυτον ὁρμὴν ἔχει μεταβολῆς. ἔχει μὲν γὰρ καὶ αὐτὰ αἰτίαν τῆς μεταβολῆς, ἀλλ᾽ οὐκ ἔμφυτον, ἀλλ᾽ ἔξωθεν τὸν ἐργαζόμενον τεχνίτην. ἐν αὐταῖς δὲ οὐδεμίαν ἔχει τῆς κατὰ τὸ εἶδος κινήσεως αἰτίαν. ἠρεμεῖ γὰρ ἀεὶ τὸ εἶδος τι ἐκ τῆς τέχνης ἐπιτεθέν. ᾗ δὲ τούτων ἕκαστον συμβέβηκε φυσικόν τι ἔχειν τὸ ὑποκείμενον, ἢ λίθους, ἢ ξύλα, ἢ τι τοιοῦτον, κατὰ τοῦτο ἀρχὴν ἔχει κινήσεως ἐν αὐτοῖς. φέροιτο γὰρ ἂν ἐπὶ τὸ κάτω ὑπὸ τῆς ἐν αὐτοῖς φυσικῆς αἰτίας, καὶ σήποιτο.

Η ΔΕ συμβέβηκεν αὐτοῖς λιθίνοις, ἢ γηΐνοις εἶναι, ἢ μικτοῖς ἐκ τούτων, ἔχει κατὰ τοσοῦτον, ὡς οὔσης τῆς φύσεως ἀρχῆς τινὸς καὶ αἰτίας τοῦ κινεῖσθαι καὶ ἠρεμεῖν ἐν ᾧ ὑπάρχει πρώτως, καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. λέγω δὲ τὸ μὴ κατὰ συμβεβηκὸς, ὅτι γένοιτ᾽ ἂν αὐτὸς αὑτῷ τις αἴτιος ὑγιείας ὢν ἰατρός. ἀλλ᾽ ὅμως οὐ καθὸ ὑγιάζεται, τὴν ἰατρικὴν ἔχει. ἀλλὰ συμβέβηκε τὸν αὐτὸν ἰατρὸν εἶναι, καὶ ὑγιαζόμενον. διὸ καὶ χωρίζεταί ποτε ἀπ᾽ ἀλλήλων.

Μικτοῖς φησι, ἐκ τῶν ἁπλῶν. πυρὸς, γῆς, καὶ τῶν λοιπῶν. τῷ δὲ ἔχειν κατὰ τοσοῦτον, προσυπακουστέον κατὰ κοινοῦ τὸ, ὁρμὴν μεταβολῆς ἔμφυτον. διὸ καὶ χωρίζεταί ποτε ἀπ᾽ ἀλλήλων. συντόμως κατεσκεύασεν ὅτι κατὰ συμβεβηκὸς ὁ νοσῶν ἰατρὸς, αἴτιος ἑαυτῷ τῆς ὑγιείας γίνεται. εἰ γὰρ καθ᾽ ἑαυτὸ ὁ νοσῶν ἑαυτὸν ὑγίαζεν, οὐδέποτε ἂν ἐχωρίσθη τοῦ νοσοῦντος τὸ ὑγιάζον. τοιοῦτον γάρ ἐστι τὸ καθ᾽ αὑτό. νῦν δὲ χωρίζεται ταῦτα ἀπ᾽ ἀλλήλων. οὐ γὰρ πᾶς νοσῶν ὑγιάζει ἑαυτόν.

ΟΜΟΙΩΣ δὲ καὶ τῶν ἄλλων ἕκαστον τῶν ποιουμένων. οὐδὲν γὰρ αὐτῶν ἔχει τὴν ἀρχὴν ἐν ἑαυτῷ τῆς ποιήσεως. ἀλλὰ τὰ μὲν ἐν ἄλλοις καὶ ἔξωθεν. οἷον οἰκία καὶ τῶν ἄλλων τῶν χειροκμήτων ἕκαστον. τὰ δὲ ἐν αὐτοῖς μὲν, ἀλλ᾽ οὐ καθ᾽ αὑτὰ ὅσα κατὰ συμβεβηκὸς αἴτια γένοιτ᾽ ἂν αὑτοῖς. φύσις μὲν οὖν ἐστι τὸ ῥηθέν.

Ποιουμένων φησὶν, ἀντὶ τοῦ δημιουργουμένων ἀπὸ τέχνης.

ΦΥΣΙΝ δὲ ἔχει, ὅσα τὴν τοιαύτην ἔχει ἀρχήν. καὶ ἔστι ταῦτα πάντα οὐσία. ὑποκείμενον γάρ τι, καὶ ἐν ὑποκειμένῳ ἐστὶν ἡ φύσις ἀεί. κατὰ φύσιν δὲ, ταῦτά τε καὶ ὅσα τούτοις ὑπάρχει καθ᾽ αὑτά. οἷον, τῷ πυρὶ, τὸ φέρεσθαι ἄνω.

ον, ὑπόκειται τῇ φύσει· ἡ γὰρ φύσις, ἐν ὑποκειμένῳ ἐστί. τὰ δὲ ὑποκείμενα, συμβεβηκότα εἶναι οὐ δύναται· οὐδὲν γὰρ τῶν συμβεβηκότων, ὑποκείμενον. Τὰ δὲ μὴ ὄντα συμβεβηκότα οὐσίαι εἰσίν, ὥστε τὰ ἔχοντα φύσιν, οὐσίαι εἰσί. Κατὰ φύσιν δὲ ἔτι φησί, τό τε ἔχον φύσιν· λέγομεν γὰρ ὅτι τὸ πῦρ κατὰ φύσιν ἐστὶν οὐ κατὰ τέχνην· ὁμοίως καὶ ἄνθρωπος, καὶ ἵππος, καὶ πάντα τὰ φυσικά· λέγονται δέ φησι κατὰ φύσιν, καὶ αἱ καθ' αὑτὸ φυσικαί, καὶ αἱ τελειωτικαὶ τῶν φύσιν ἐχόντων ἐνέργειαι· οἷον τῷ πυρί, ἡ ἐπὶ τὸ ἄνω φορά, καὶ τῇ γῇ, ἡ ἐπὶ τὸ κάτω. ταῦτα γάρ φησιν, οὔτε φύσις ἐστίν, οὔτε φύσιν ἔχει. φύσις μὲν γὰρ οὐκ ἔστι· διότι ἡ φύσις, ἀρχὴ κινήσεως καὶ ἠρεμίας· ταῦτα δέ, κινήσεις μέν εἰσι, κινήσεως δ' αἴτια οὐκ εἰσίν· ἀλλ' οὐδὲ φύσιν ἔχει· εἴγε τὰ μὲν ἔχοντα φύσιν ὑποκείμενά εἰσι, ταῦτα δ' ἐν ὑποκειμένῳ ἐστί, καὶ οὐχ ὑποκείμενα· ὥστε ἐπὶ πλέον τοῦ ἔχοντος φύσιν, τὸ κατὰ φύσιν. τὸ δὲ φύσει, λέγεται φησὶ καὶ ἐπὶ τοῦ κατὰ φύσιν. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἔχοντος φύσιν. ἀρχόμενος γοῦν φησίν, ὅτι φύσει δὲ λέγομεν τά τε ζῶα, καὶ τὰ μέρη αὐτῶν. ὁ μὲν Ἀριστοτέλης οὕτω. ταύτῃ δὲ ἂν ἔχει τὸ φύσει τοῦ κατὰ φύσιν, εἴγε ἀμφότερα ἐπὶ τῶν αὐτῶν λέγεται. ἔστι δὲ ἀκριβέστερον εἰπεῖν, ὅτι τὸ μὲν κατὰ φύσιν, ἐπὶ μόνων τῶν τελειωτικῶν ἐνεργειῶν λέγεται. τὸ δὲ φύσει, καὶ ἐπὶ τῶν τελειωτικῶν, τῶν ἀπὸ φύσεως φημὶ ἐνεργειῶν ἐν αἷς τὸ κατὰ φύσιν, καὶ ἐπὶ τῶν οὐσιῶν, καὶ ἁπλῶς τῶν ἐχόντων φύσιν, καὶ ἀπὸ φύσεως, καὶ μὴ ἔξωθεν γινομένων κἂν παρὰ τὸν σκοπὸν τῆς φύσεως γίνηται· ὡς καὶ φυσικὸν λέγομεν θάνατον, καὶ νοσῶδες φύσει σῶμα, καὶ τὸ γῆρας πάλιν φυσικὸν λέγομεν θάνατον, καὶ φύσει, ἅπερ οὐ κατὰ τὸν σκοπὸν τῆς φύσεως γίνεται, ἀλλὰ δι' ἀσθένειαν τῶν σωμάτων, καὶ παρὰ φύσιν. Ζητοῦμεν δὲ περὶ τοῦ παρὰ φύσιν καθόλου, οἷον ἐπὶ τῶν τεράτων, καὶ ἐπὶ τῶν φερομένων ἐκ τοῦ παντὸς κούφων σωμάτων παρὰ φύσιν ἐπὶ τὸ κάτω, πότερον φύσιν αὐτὰ καλεῖν δεῖ ἢ οὔ. καὶ εἰ μὴ φύσει εἰσὶ τὰ παρὰ φύσιν, πότερον τέχνῃ ἐστίν, ἢ ἄλλῳ τινί, ἢ λογισμῷ, ἢ νῷ, ἢ ἁπλῶς ἄλλα παρὰ τὴν φύσιν. καὶ οἱ πολλοὶ μὲν καὶ πλεῖοι τῶν ἔξω γε τῶν τοῦ φιλοσόφου, φασὶ καὶ τὰ παρὰ φύσιν, φύσει εἶναι. οὐ γὰρ δὴ τὰ τέρατα τέχνη ποιεῖ, ἢ λογισμός, ἢ νοῦς· μόνῃ ἄρα φύσει, καὶ ταῦτα γίνεται. Φαμὲν οὖν ἡμεῖς πρὸς τοῦτο, ὅτι ἐπειδὴ ἡ φύσις τέλος ἔχει τὸ ἀγαθόν, καὶ πρὸς τοῦτο ἀφορᾷ, διὸ καὶ ὡρισμένα ἔχει τὰ ἔργα· ἀεὶ γὰρ δύο ὀφθαλμοὺς ποιῆσαι θέλει τῷ ἀνθρώπῳ, καὶ χεῖρας δύο. καὶ τῶν ἄλλων ἕκαστον, ὡς ἔχει. τὰ δὲ παρὰ φύσιν ἀόριστά ἐστιν, οὐκ ἂν εἴη φύσει τὰ παρὰ φύσιν. εἴγε τὰ μὲν φύσει ὡρισμένα ἐστί, τὰ δὲ παρὰ φύσιν ἀόριστα. Ἔπειτα ἐπειδὴ μιμεῖται ἀεὶ τὴν φύσιν ἡ τέχνη, ἴδωμεν ἐπὶ τῶν τεχνητῶν τὸ τέχνῃ καὶ τὸ παρὰ τέχνην, ὅπως ἔχει· καὶ ὡς ἂν εὕρωμεν ἐπὶ τῶν τεχνητῶν, οὕτως ἀποφαινώμεθα καὶ ἐπὶ τῶν φυσικῶν. Φημὶ οὖν ὅτι τέχνην καλεῖν εἰώθαμεν, τήν τε ἐπιστήμην αὐτήν, οἷον τεκτονικὴν ἢ ἄλλην τινά, καὶ τὸ ἀποτέλεσμα τῆς τέχνης. φαμὲν γὰρ πολλάκις θεασάμενοι καλῶς εἰργασμένην θύραν, ὅτι πολλὴν ἔχει τὴν τέχνην. ἐπεὶ οὖν τὸ κατὰ τέχνην εἰργασμένον τέχνην καλοῦμεν, δῆλον ὅτι τὸ μὴ κατὰ τέχνην ἐργασθέν, ἀλλ' ὡς ἔτυχεν οὐχ ὑπὸ τεχνίτου, παρὰ τέχνην καλοῦμεν. εἰ τοίνυν τὸ παρὰ τέχνην οὐ τέχνῃ γέγονεν, ὡς δ' ἔχει ἐπὶ τῆς τέχνης, οὕτως ἔχει καὶ ἐπὶ τῆς φύσεως, καὶ τὸ παρὰ φύσιν ἄρα οὐ φύσει ἔσται. οὕτω μὲν οὖν δόξει ὁ λόγος τὰ παρὰ φύσιν μὴ εἶναι φύσει. Μήποτε δὲ μηδὲ ταῦτα ἁπλῶς παρὰ φύσιν εἰσίν, ἀλλὰ τῇ μὲν μερικῇ φύσει, οὐ φύσει ἀλλὰ παρὰ φύσιν. τῇ δὲ καθόλου, καὶ φύσει καὶ κατὰ φύσιν. ἡ μὲν γὰρ μερικὴ φύσις, ἑνὸς εἴδους στοχάζεται, καὶ μίαν στέρησιν φεύγει. διὰ τοῦτο τῇ μὲν τοῦ ἀνθρώπου φύσει, τὸ τέρας, οὔτε φύσει ἐστὶν οὔτε κατὰ φύσιν. τῇ δ' ὅλῃ φύσει, ἐπεὶ μηδὲν τῷ παντὶ παρὰ φύσιν, οὐδὲν γὰρ κακὸν ἐν τῷ παντί, οὐκ ἔστι παρὰ φύσιν, ἀλλὰ φύσει καὶ κατὰ φύσιν. γίνεται γὰρ καὶ ταῦτα ὑπὸ τῆς ὁλικῆς φύσεως μεταβαλλούσης τὴν ὑποκειμένην ὕλην, καὶ ἀνεπιτήδειον ποιούσης πρὸς τὸ καταδέξασθαι τῆς φύσεως τῆς μερικῆς τὸ εἶδος. οἷόν τι λέγω. εἰ τὸ περιέχον τοιῶσδε κραθὲν ὑπὸ τῆς κυκλοφορίας τῶν οὐρανίων δράσειέ τι εἰς τὴν ὕλην τοῦ γινομένου ἀνθρώπου, ὥστε ἀνάρμοστον γενέσθαι πρὸς τὸ καταδέξασθαι τὸ εἶδος ὅπερ ἡ φύσις ἐπιτιθέναι πέφυκεν, ἀποτεύξεται μὲν ἡ ἀνθρωπεία φύσις τοῦ σκοποῦ διὰ τὴν τῆς ὕλης ἀνεπιτηδειότητα, ἕτερον δὲ γενήσεται εἶδος· ὅπερ παρὰ φύσιν μέν ἐστι τῇ μερικῇ φύσει, ὡς δὲ πρὸς τὴν ὅλην φύσιν, κατὰ φύσιν καὶ φύσει. οὐδὲν γὰρ αὐτῇ παρὰ φύσιν. ἐπεὶ μηδὲ ἡ φθορὰ παρὰ φύσιν, εἴγε ἡ γένεσις κατὰ φύσιν. τῆς δὲ γενέσεως κατὰ φύσιν οὔσης, καὶ ἡ φθορὰ ἐξ ἀνάγκης κατὰ φύσιν ἔσται. εἴγε ἡ ἄλλου γένεσις, ἄλλου ἐστὶ φθορά. παραδείγματι δέ τινι χρήσεται ἐξ οὗ σαφὲς ἡμῖν ἔσται τὸ συμβαῖνον ἐπὶ τῶν παρὰ φύσιν γινομένων. ὑποκείσθω γάρ τις κιθαρῳδὸς ἁρμόσας λύραν κατά τινα τῶν ἁρμονιῶν, ἵνα ἀνακρούεσθαι τὸ μέλος. ἔξωθεν δέ τις ἐπιχαυνούτω τινάς, ἢ πάσας τὰς χορδάς, ἢ γοῦν ἵνα ἐπὶ τὸ ἕτερον γενώμεθα τοῦ παραδείγματος, ὑγρότητι ἢ ξηρότητι τοῦ περιέχοντος παθοῦσαι, μεθαρμοσθῶσιν αἱ χορδαί. εἶτα ὁ κιθαρῳδὸς κινείτω τὰς χορδὰς τοῖς δακτύλοις οὕτως, ὡς μέλος τι τεχνικὸν ἀποτελέσαι ἄν, εἴγε ἦσαν ἡρμοσμέναι κατὰ λόγον αἱ χορδαί. ὥσπερ οὖν ἐνταῦθα ὁ μὲν κιθαρῳδὸς κρούει ὡς πέφυκε τὴν λύραν, ἡ μέντοι ὑποκειμένη τῶν χορδῶν ὕλη τὸ μὲν μέλος ὃ προὔθετο ὁ κιθαρῳδός, οὐκ ἀποτελεῖ, ἄτεχνον δέ τινα καὶ ἄρρυθμον καὶ ἀόριστον ἦχον, οὕτως ἔχει καὶ ἐπὶ τῆς φύσεως. τῆς γὰρ ὑποκειμένης ὕλης τῷ εἴδει τῷ ἀνθρωπείῳ, ἢ ἄλλῳ τινὶ ζῴῳ ὑπὸ τῆς περιφορᾶς, καὶ συμπλοκῆς τῶν οὐρανίων ἀνεπιτηδείου γινομένης, συμβαίνει τὴν περὶ αὐτὴν γινομένην ὑπὸ τῆς φύσεως ἐνέργειαν,

ἡμαρτημένην

καὶ ἄρα φύσιν εἶναι αὐτὴν, εἰ μὴ μέλλοιμεν οὐ φυσικὰ λέγειν τὰ ἔμψυχα, ᾗ ἔμψυχά ἐστι. ψυχὴν δὲ οὐ τὴν λογικὴν, ἀλλὰ τὴν λοιπὴν πᾶσαν. αὕτη γάρ ἐστιν ἡ προσεχῶς κινοῦσα τὰ φυσικά. καὶ μήποτε δυνατὸν διὰ ταύτην εἰρῆσθαι τὸ πρώτως. κινεῖ γὰρ καὶ ἡ διάνοια ἐν τῷ κινουμένῳ οὖσα. ἀλλ' οὐ πρώτως, ἀλλ' ἐν τῇ λογικῇ ψυχῇ. τὸ δὲ καθ' αὑτὸ, καὶ οὐ κατὰ συμβεβηκὸς προσέθηκε, διότι καὶ ὁ νοσῶν ἰατρὸς, ὑγιάσοι ἂν ἑαυτὸν, ἀλλ' οὐχ ᾗ νοσῶν τὴν ἀρχὴν τῆς κινήσεως τῆς εἰς ὑγίειαν ἐν ἑαυτῷ ἔχει, ἀλλὰ κατὰ συμβεβηκὸς, ᾗ συμβέβηκε τὸν νοσοῦντα καὶ ἰατρὸν εἶναι. ὅτι γὰρ οὐχ ᾗ νοσῶν ἐστὶν, οὐδ' ᾗ ὑγιαζόμενος τὴν ἀρχὴν τῆς ὑγιάνσεως ἐν ἑαυτῷ ἔχει, δῆλον ἐξ ὧν οὐκ ἀεὶ ταῦτα συντρέχουσιν ἀλλήλοις. οὐ γὰρ πᾶς ὑγιαζόμενος ἐν ἑαυτῷ ἔχει τὴν ἀρχὴν τῆς ὑγιάνσεως. ὥστε κατὰ συμβεβηκὸς ὁ ἰατρὸς ὑγιάζει αὐτόν. ὁμοίως κἂν ἕτερός τις τῶν αὐτῷ μόνων κινῇ ἑαυτὸν εὑρίσκων αὐτὸς θεωρήματα. ὁ μὲν οὖν ὅρος τῆς φύσεως οὗτος. ἐπιστάσεως δὲ ἄξιον, ὅτι οὗτος ὁ ὁρισμὸς οὐκ ἔστι τοῦ τί ἐστιν ἡ φύσις σημαντικὸς, ἀλλὰ τῆς ἐνεργείας τῆς φύσεως. οὐ γὰρ τί ἐστιν ἡ φύσις ἐμάθομεν, διὰ τοῦ μαθεῖν, ὅτι ἀρχή ἐστι κινήσεως, καὶ ἠρεμίας. ἀλλὰ τί ποιεῖ. ἵνα οὖν καὶ τῆς οὐσίας αὐτῆς τὸν ὁρισμὸν ἀποδῶμεν, λεκτέον οὕτως. ὅτι ἔστιν ἡ φύσις, ζωὴ ἤτοι δύναμις καταδεδυκυῖα διὰ τῶν σωμάτων, διαπλαστικὴ αὐτῶν καὶ διοικητικὴ, ἀρχὴ κινήσεως καὶ ἠρεμίας οὖσα ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ, καὶ οὐ κατὰ συμβεβηκός. ὅτι δὲ οὐ μόνον τῶν ἐμψύχων ἐστὶ διοικητικὴ ἡ φύσις, ἀλλὰ καὶ τῶν ἀψύχων, δῆλον. ἔχει γὰρ ἕκαστον δύναμιν φυσικὴν συνεκτικὴν τοῦ εἶναι. ἔφθαρτο γὰρ ἂν καὶ εἰς τὸ μὴ ὂν μετέστη μηδενὸς ὄντος τοῦ συνέχοντος. ἀλλὰ δῆλον ὅτι ὥσπερ τὸ εἶδος ἐν τοῖς ἐμψύχοις φανερώτερον, οὕτω καὶ ἡ τῆς φύσεως πρόνοια. δῆλον οὖν καὶ ἐντεῦθεν, ὅτι συμπεριλαμβάνεται ὁ ὅρος καὶ τὴν τῶν ἐμψύχων φύσιν, ἥτις ἐστὶν ἡ ψυχή. ἡ γὰρ τῶν ἐμψύχων ζωὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ ψυχή. Απορήσειε δ' ἄν τις πρὸς τὸν ὁρισμὸν τῆς φύσεως, πῶς φαμὲν αὐτὴν εἶναι ἀρχὴν κινήσεως καὶ ἠρεμίας. εἰ γὰρ καὶ τὰ οὐράνια, φυσικὰ σώματα, ἐκεῖνα δὲ στάσεως ἐν ἑαυτοῖς ἀρχὴν οὐκ ἔχει. ἀεικίνητα γάρ ἐστιν, ἔοικε μὴ κοινὸς εἶναι πάσης φύσεως ὁ ὁρισμὸς οὗτος. ἀλλὰ καὶ αἱ ὁλότητες τῶν στοιχείων ἀκίνητοι. τὸ γὰρ πῦρ ἐν τῷ οἰκείῳ τόπῳ οὐ κινεῖται, ἀλλὰ μόνον ἕστηκεν. ἡ γὰρ ἐγκύκλιος αὐτοῦ κίνησις, καὶ ἔτι τοῦ προσεχοῦς ἀέρος, οὐ φυσική, ἀλλ' ὑπὲρ φύσιν, διὰ τὸ συμπεριάγεσθαι τῇ περιφορᾷ τῶν οὐρανίων. ὅτι δὲ τῷ οἰκείῳ λόγῳ ἀκίνητοί εἰσιν αἱ ὁλότητες, δῆλον ἐκ τῶν λοιπῶν δύο στοιχείων, ὕδατος λέγω καὶ γῆς, ἅπερ ὡς ὅλα ἀκίνητά ἐστιν. ὥστε εἰ αἱ ὁλότητες ἀκίνητοι, πῶς φαμὲν τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως καὶ ἠρεμίας. Φαμὲν οὖν πρὸς τοῦτο, ὅτι μάλιστα μέν ἐστι, καὶ ἐπὶ τῶν οὐρανίων οὐ μόνον κινήσεως ἡ ἐν αὐτοῖς φύσις αἰτία, ἀλλὰ καὶ στάσεως. ἕστηκε γὰρ ἡ ὁλότης, τὰ κέντρα, οἱ πόλοι. τῆς δὲ στάσεως ταύτης, ἡ φύσις τῶν οὐρανίων αἰτία. ἄλλως τε ἐπειδὴ ἡ φύσις εἴς τι τέλος ἀφορῶσα κινεῖ, ἵνα τύχῃ τούτου, καὶ τυχοῦσα ἵστησιν ἐν ἐκείνῳ. τὰ δὲ οὐράνια ἀεὶ ἐν τέλει ἐστὶ, καὶ ἀεὶ ἐν ἀρχῇ. καθ' ἕκαστον γὰρ νῦν καὶ ἀρχή ἐστι καὶ ἀποκατάστασις. ὁ γὰρ ἥλιος ἐν ἑκάστῳ νῦν ὢν, καὶ ἀποκατάστασιν ἔχει τῆς ἐξ αὐτοῦ περιόδου ἐπὶ τὸ αὐτὸ, καὶ ἀρχὴν πάλιν ἑτέρας περιόδου. καὶ οὕτω καθ' ἕκαστον σημεῖον ἔχει. καὶ τοῦτο καὶ ἐπὶ τῶν μερῶν, καὶ ἐπὶ τῶν ὅλων σφαιρῶν ἔστιν εἰπεῖν. ὥστε εἰ ἐκεῖνα ἀεὶ ἐν τέλει ἐστὶ, καὶ οὐκ ἐξίσταται τούτου, ἠρεμεῖ ἂν κατὰ τοῦτο, καθὸ οὐδέποτε τοῦ ἐν τέλει εἶναι ἐξίσταται. ὥστε ἡ ἐν αὐτοῖς φύσις, οὐ μόνον κινήσεως αὐτοῖς ἐστὶν αἰτία, ἀλλὰ καὶ τῆς τοιαύτης ἠρεμίας τοῦ ἀεὶ ἐν τέλει εἶναι, καὶ ἐν τούτῳ ἠρεμεῖν. καὶ ἐπὶ τῶν λοιπῶν δὲ στοιχείων, λέγω δὴ τῆς ὁλότητος τοῦ πυρὸς, καὶ τῆς γῆς, καὶ τῶν λοιπῶν, εἰ καὶ μὴ κινεῖται ὡς ὅλα ὑπὸ τῆς ἐν αὐτοῖς φύσεως κατὰ τόπον, ἀλλ' οὖν τὴν ἀλλοιωτικὴν κίνησιν κινοῦνται θερμαινόμενα, ἢ ψυχόμενα. ἔστι δὲ βλαστάνουσα ἡ γῆ. εἰ γὰρ καὶ μὴ αἱ ὁλότητες μίαν ἀλλοίωσιν ἀλλοιοῦνται ἀθρόον, ἀλλὰ τοῖς μέρεσι πᾶσα μεταβάλλει ἡ ὁλότης, ἄλλου ἄλλως ἀλλοιουμένου. εἰ δέ τις εἴποι, ἀλλὰ τὰ στοιχεῖα ἔξωθεν ἔχει τὸ τῆς ἀλλοιώσεως αἴτιον, τὸν ἥλιον λέγω, ἴστω ὅτι οὐδὲ τὰ ζῷα ἄνευ τοῦ ἡλίου κινηθείη ἂν τὰς φυσικὰς κινήσεις. ἐπεὶ μηδὲ εἶναι δύναται. ἀλλ' ἔστιν ὡς ἐν τοῖς ζῴοις τὸ αἴτιον, εἰ καὶ βοηθεῖται ὑπὸ τῆς ῥοπῆς τῆς ἔξωθεν τοῦ ἡλίου, οὕτω καὶ ἐν τοῖς στοιχείοις. εἰ γὰρ καὶ τὸ ἔμφυτον θερμὸν, καὶ αἱ ἄλλαι φυσικαὶ κινήσεις ἀλλοιότεραι γίνονται κατὰ τὰς τῶν καιρῶν ῥοπὰς, ἀλλ' ὅμως τῶν ἀλλοιωτικῶν τοῦ ζῴου κινήσεων, τὴν φύσιν αἰτιώμεθα. κἂν μὴ συγχωρήσῃ δέ τις τῆς ἀλλοιωτικῆς τῶν στοιχείων κινήσεως ἐν αὐτοῖς εἶναι τὴν αἰτίαν, τῆς γοῦν τοπικῆς ἐν αὐτοῖς προφανῶς ἐστι τὸ αἴτιον. οὐ γὰρ πασῶν τῶν ἐν ἑκάστῳ κινήσεων ἡ φύσις αἰτία. δυνατὸν δὲ τοῦ ὁρισμοῦ καὶ οὕτως ἀκούειν. ὅτι ἔστιν ἀρχὴ κινήσεως, καὶ ἠρεμίας. ἢ ἔμπαλιν. ἀλλ' ὅτι καὶ τῆς κινήσεως καὶ τῆς ἠρεμίας τῆς ἐν τοῖς αὐτοῖς φυσικοῖς, ἡ φύσις ἐστὶν αἰτία, εἴτε ἄμφω ἐστὶν ἐν τῷ αὐτῷ, εἴτε θάτερον. καὶ ἄλλως λέγομεν, καὶ ταῖς ὁλότησι τῶν στοιχείων κατὰ τὰ μέρη τὴν φύσιν ἀρχὴν εἶναι κινήσεως, καὶ ἠρεμίας. πάντα γὰρ τὰ μέρη τῶν στοιχείων πέφυκε κινεῖσθαι καὶ ἠρεμεῖν, ὥσπερ καὶ τὸν οὐρανὸν φαμὲν ὅλον κατὰ τὰ μέρη κινεῖσθαι. τινὲς δέ φασι, τὴν τῶν γεννητῶν καὶ φθαρτῶν φύσιν ὁρίσασθαι τὸν φιλόσοφον, οὐ πᾶσαν ἁπλῶς φύσιν. ὅπερ οὐκ εὔλογον ἔμοιγε φαίνεται. περὶ τῶν κοινῶν γὰρ πᾶσι τοῖς φυσικοῖς παρακολουθούντων τὸ προκείμενόν ἐστι βιβλίον. τί μὲν οὖν ἐστι φύσις, εἴρηται. φύσιν δὲ ἔχει τί ἐστι φησὶν, ὅσα ἐν αὐτοῖς τὴν τοιαύτην ἀρχὴν ἔχει. τουτέστιν, ἀρχὴν κινήσεως καὶ ἠρεμίας. ταῦτα δέ ἐστι φησὶν οὐσίαι, καὶ δηλονότι αἱ σωματικαὶ, καὶ ἔνυλοι. καὶ κατασκευάζει αὐτὸ, τοῦτον τὸν τρόπον. τὰ ἔχοντα φύ-

κὸν ἐστὶν αἴτιον, ἀλλὰ καὶ ποιητικὸν, καὶ τελικὸν, ὡς αὐτὸς προϊὼν ἐρεῖ. ὅτι ἔρχεται πολλάκις τὰ τρία εἰς ταυτὸν, εἶδος, τὸ ποιητικὸν, τὸ τελικὸν, διὰ τοῦτο ἐπανατρέχει εἰς τὴν τῶν ἀρχῶν διαίρεσιν, καὶ διαιρεῖ ποσαχῶς αἱ ἀρχαὶ, καὶ ἀποδίδωσι τρίτην τὴν τῶν ἀρχῶν διαίρεσιν οὖσαν, ὅτι τῶν ἀρχῶν αἱ μέν εἰσι προσεχεῖς, αἱ δὲ διὰ μέσων. καὶ αἱ μὲν καθ' αὑτὸ, αἱ δὲ κατὰ συμβεβηκός. καὶ αἱ μὲν ἁπλαῖ, αἱ δὲ συμπεπλεγμέναι. πᾶσαι δὲ αἱ μὲν δυνάμει, αἱ δὲ ἐνεργείᾳ. ἔνθα καὶ παρασκυκλεῖ πάλιν τὸν περὶ τῆς ὕλης λόγον, καὶ διαλέγεται περὶ αὐτῆς. διαλέγεται δὲ καὶ περὶ τῶν λοιπῶν πάντων αἰτίων ἐνταῦθα, καὶ περὶ τύχης καὶ αὐτομάτου, καὶ ἐρεῖ πῶς ἐστιν αἴτια ἃ λέγεται εἶναι αἴτια. ἐπειδὴ καὶ λέγεταί τινα ἐκ ταυτομάτου γίνεσθαι, καὶ ἀπὸ τύχης. ἔστιν οὖν ὡς συντόμως εἰπεῖν, τῶν δύο βιβλίων ὁ σκοπὸς, περὶ ὕλης καὶ εἴδους. ἀλλὰ τὸ μὲν πρότερον, περὶ ὕλης μᾶλλον, ἢ εἴδους. τὸ δὲ δεύτερον, μᾶλλον περὶ εἴδους, ἢ περὶ ὕλης, καὶ περὶ τῶν λοιπῶν πάντων αἰτίων τῶν φυσικῶν τῶν ἢ καθ' αὑτὸ λεγομένων αἰτίων, ἢ κατὰ συμβεβηκὸς, καὶ τέως ἐν ἀρχῇ περὶ τοῦ εἴδους. καὶ ἐπειδὴ ὡς εἶπον τὸ εἶδος ἐστὶν ἡ φύσις, διαλέγεται πρῶτον τί ἐστι φύσις. ἵνα οὖν εὕρῃ τί ἐστι φύσις, λαμβάνει τίνι διαφέρει τὰ φυσικὰ πράγματα τῶν μὴ φυσικῶν. ἡ γὰρ αὖ διαφορὰ διαφέρει τῶν μὴ φυσικῶν τὰ φυσικὰ, ταύτῃ ἂν εἴη φυσικά. οὕτω καὶ ἐν τῇ περὶ ψυχῆς, θέλων λαβεῖν τί ἐστιν ἡ ψυχὴ, ἐζήτησε τίνι διαφέρει τὰ ἔμψυχα τῶν ἀψύχων, καὶ καθ' ὃ διαφέρουσι, τοῦτο εἶναι ψυχήν. τίνι οὖν διαφέρει τὰ φυσικὰ τῶν μὴ φυσικῶν; ὅτι τὰ μὲν φυσικὰ, φαίνονται τῆς κινήσεως ἑαυτῶν καὶ τῆς ἠρεμίας τὴν ἀρχὴν ἐν ἑαυτοῖς ἔχοντα. πάντα γὰρ ζῶα ὅταν κινῆται, οὐκ ἔξωθεν ὑπό τινος κινεῖται, ἀλλ' ἐν ἑαυτοῖς ἔχει τὸ κινοῦν. καὶ τὰ ἄψυχα δὲ οἱ λίθοι ἀφιέμενοι, οὐχ ὑπὸ τοῦ ἀφιέντος ἐπὶ τὸ κάτω κινοῦνται. ἐκεῖνος γὰρ μόνον ἀφῆκεν, ἀλλ' ἡ ἐν αὐτοῖς φυσικὴ ῥοπὴ κατήνεγκεν αὐτά. οὕτω καὶ τὸ πῦρ ἀφεθὲν κάτωθεν, ὑπὸ τῆς ἐν αὐτῷ φύσεως ἠνέχθη ἐπὶ τὸ ἄνω. εἶτα ἐνεχθέντα εἰς τὰς οἰκείας ὁλότητας, καὶ τοὺς οἰκείους τόπους ὑπὸ τῆς ἐν αὐτοῖς φύσεως, ἠρεμεῖ. οὐ μόνον δὲ τῆς κατὰ τόπον κινήσεως τὰ φυσικὰ ἐν ἑαυτοῖς ἔχουσι τὴν ἀρχὴν, ἀλλὰ καὶ τῆς κατὰ ἀλλοίωσιν, καὶ αὔξησιν. τό, τε γὰρ αὖξον ἔσωθέν ἐστιν ὕλῃ χρώμενον τῇ τροφῇ, καὶ τὸ κατὰ ποιότητα μεταβάλλον, ἐκ μελάνων λευκοὺς ποιοῦν, ἢ ψυχροτέρους, ἢ θερμοτέρους, ἢ ὑγραῖνον, ἢ ξηραῖνον. ὅτι γὰρ οὐχ ὑπό τινος ἔξωθεν αἰτίας, ἀλλ' ὑπὸ τῆς φύσεως ὕλῃ χρωμένης τῇ τροφῇ ἀλλοιούμεθα, καὶ αὐξανόμεθα, πρόδηλον. καὶ δέχεται μὲν τὴν τροφὴν, καὶ μεταβάλλουσα πρὸς ἕκαστον τῶν μορίων, ἀλλοιοῦσα χρῆται. οὕτω μὲν οὖν πάντα τὰ φυσικὰ ἐν ἑαυτοῖς ἔχει τὴν κίνησιν. τὰ δὲ μὴ φυσικὰ, οἷον τὰ ἀπὸ τέχνης, τὸ τῆς κινήσεως αἴτιον ἔξωθεν ἔχει. τῆς γὰρ κλίνης ἔξωθεν τὸ αἴτιον, ὁ τέκτων. οὐ γὰρ ἐν τῷ ξύλῳ ἡ ποιοῦσα τὴν κλίνην αἰτία, ἀλλ' ἔξωθεν. ὁμοίως καὶ τὸ κινῆσαν τὴν οἰκίαν εἰς τὸ τοιόνδε εἶδος, ἔξωθεν ὁ οἰκοδόμος. εἰ τοίνυν ταύτῃ διαφέρει τὰ φυσικὰ τῶν μὴ φυσικῶν τῷ τὰ μὲν ἀρχὴν ἔχειν ἐν ἑαυτοῖς κινήσεως καὶ στάσεως, τὰ δὲ τεχνητὰ ἔξωθεν, ἔοικε τοῦτο εἶναι ἡ φύσις ἀρχὴ κινήσεως καὶ στάσεως. ἀλλ' οὐ μόνον κινήσεως ἐστὶν ἀρχὴ ἡ φύσις, ἀλλὰ καὶ στάσεως. κινεῖ μὲν γὰρ, ἵνα εἰς τὸ εἶδος ἀγάγῃ. ἵστησι δὲ ἵνα φυλάξῃ ἐν τῷ εἴδει. ἀποδίδωσιν οὖν ἔνθεν τὸν ὁρισμὸν τῆς φύσεως, ὅτι ἐστὶν ἡ φύσις ἀρχὴ κινήσεως, καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως, καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. ἠρεμία δέ μοι νοείσθω νῦν, οὐ μόνον ἡ ἀντιδιαιρουμένη τῇ κινήσει, ἀλλὰ καὶ ἡ στάσις. οὐ μόνον γὰρ τῆς μετὰ τὴν κίνησιν ἠρεμίας ἡ φύσις αἰτία, ἀλλὰ καὶ τῶν ὅπερ οὐ πέφυκε κινεῖσθαι ἑστώτων ἀεὶ, ὡς ἐπὶ τῶν κέντρων, καὶ τῆς τῶν πόλων στάσεως ἐροῦμεν. ὁ μὲν οὖν ὁρισμὸς, οὗτος. ἀρχὴ δὲ οὐ μόνον κινήσεως ἡ φύσις, ἀλλὰ καὶ ἠρεμίας, διότι τέλους τινὸς στοχάζεται ἡ φύσις. οὐ γὰρ ἁπλῶς δι' αὐτὸ τοῦτο, ἵνα κινῆται τὰ κινούμενα, διὰ τοῦτο κινεῖ, ἀλλ' ἵνα εἰς τι τέλος καὶ εἶδος ἔλθῃ. ἐπεὶ οὖν τούτου στοχάζεται, εἰκότως ὅταν ἀγάγῃ εἰς τοῦτο, ἵστησι τὸ κινούμενον τετυχηκὸς τοῦ τέλους, ἵνα φυλάξῃ ἐν τούτῳ, δι' ὃ καὶ ἐκίνησε. τὸ δὲ πρώτως προσέθηκε, διότι καὶ ἡ λογικὴ ψυχὴ κινεῖ τὸ ζῶον. καὶ ἔστιν ἡ τοιαύτη ἀρχὴ τῆς κινήσεως, οὐκ ἔξωθεν, ἀλλ' ἐν αὐτῷ τῷ κινουμένῳ. ἀλλ' οὐ πρώτως κινεῖ ἡ λογικὴ ψυχὴ, ἀλλὰ διὰ τῆς ἀλόγου, καὶ οὐδὲ αὐτὴ πρώτως κινεῖ τὸ ζῶον, ἀλλὰ τῷ τὴν φύσιν κινεῖν. αὕτη οὖν ἡ πρώτως κινοῦσα. ἐκίνησε μὲν γὰρ ἡ αἴσθησις ἐπί τι ἤτοι ἡ ὄψις, ἢ ἡ ἀκοὴ, ἢ τῶν ἄλλων τίς. ὁρακότες γάρ τι, κινούμεθα ἐπ' αὐτὸ, ἀλλ' οὐ πρώτως ἡ ὄψις ἐκίνησε τὸ ζῶον. λέγω δὲ πρώτως, τὸ προσεχῶς. ἀλλ' ἡ ὄψις μὲν, τὴν ὄρεξιν κινεῖ. αὐτὴ δὲ τὰς φυσικὰς δυνάμεις. αὗται δὲ τὸ ζῶον. εἰ τοίνυν μηδ' ἡ ἄλογος ψυχὴ πρώτως κινεῖ τὸ ζῶον, πολλῷ μᾶλλον οὐδὲ ἡ λογική. ὥστε κἂν κινῇ ἡ ψυχὴ, καὶ ἡ λογικὴ, καὶ ἡ ἄλογος, καὶ ἔστι τὸ κινητικὸν τοῦτο αἴτιον ἐν τῷ κινουμένῳ, ἀλλ' ἐπειδὴ οὐ πρώτως κινεῖ, τουτέστι προσεχῶς, διὰ τοῦτο οὐκ ἔστι φύσις ἡ ψυχή. καὶ ἡ ναῦς δὲ τὸ κινοῦν ἐν ἑαυτῇ ἔχει τὸν κυβερνήτην, ὃς αὐτὴν κινεῖ, ἀλλὰ διὰ τοῦ πηδαλίου. τὸ δὲ πηδάλιον, ἔξωθεν κινεῖ, καὶ οὐδ' ἡ ἀρχὴ τῆς κινήσεως, καὶ ἡ αἰτία ἐν τῷ πηδαλίῳ, ἀλλ' ἐν τῷ κυβερνήτῃ. καὶ κινεῖ δι' ὀργάνου τοῦ πηδαλίου, τὴν ναῦν. εἰ δὲ καὶ ἡ φύσις δι' ὀργάνου κινεῖ, ἀλλ' ἐνυπάρχει τούτοις ἃ καὶ πρώτως κινεῖ. ὁ δὲ κυβερνήτης, οὐκ ἔστιν ἐν τοῖς πηδαλίοις, ἀλλ' ἔξωθεν αὐτὰ κινεῖ. καὶ τὴν ναῦν δ' ἔξωθεν κινεῖ, εἴ γε διὰ τοῦ πηδαλίου. τοῦτο δ' ἔξωθεν. ἢ μήποτε δυνατὸν λέγειν, ὅτι καὶ ἡ ψυχὴ τῶν ζώων καθό ἐστι ζῶα, φύσις ἐστίν. εἰ γὰρ τῆς τῶν ζώων κινήσεως ᾗ ζῶά ἐστιν, ἡ ψυχὴ αἰτία πρώτως καὶ οὐ κατὰ συμβεβηκὸς, καὶ ἔστιν ἐν αὐτοῖς, καὶ μὴ μόνον τὰ ἄψυχα φυσικὰ, ἀλλὰ καὶ τὰ ζῶα, καὶ ἁπλῶς τὰ ἔμψυχα, ἐαν-

φύσεως ἴσχομεν, πῶς νῦν ὁρισμὸν τῆς ὕλης ἀποδίδωσιν. οἱ γὰρ ὁρισμοὶ κατασκευαστικοί· τῆς δὲ ὕλης, οὐδέν ἐστι κατασκευάσαι. φαμὲν οὖν ὅτι ὁ νῦν ἀποδιδόμενος τῆς ὕλης ὁρισμός, οὐ τῆς οὐσίας αὐτῆς ἐστι δηλωτικός. οὐ γὰρ κατασκευάζει τι αὐτῆς, ἀλλὰ τῆς σχέσεως αὐτῆς ἣν ἔχει πρὸς τὰ εἴδη. καὶ ὥσπερ τῶν γενῶν οἱ ὁρισμοὶ οὐκ ἄλλο τι αὐτῶν κατασκευάζουσιν, ἀλλὰ μόνην τὴν σχέσιν λέγουσιν ἣν ἔχουσι πρὸς τὰ ὑπ' αὐτά. ὅταν γὰρ εἴπω, γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, οὐ τίς ἡ οὐσία τοῦ γένους εἶπον, ἀλλὰ τινὰ σχέσιν πρὸς τὰ ὑπ' αὐτά. καὶ ἔστιν οὐ κύριος οὗτος ὁ ὁρισμός, ὑπογραφὴ δὲ μᾶλλον, οὕτω καὶ ἐπὶ τῆς ὕλης φαμὲν, ὅτι οὐχ ὁρισμός ἐστιν ὁ νῦν αὐτῆς ἀποδιδόμενος, ἀλλὰ μᾶλλον ὑπογραφὴ δηλοῦσα ποίαν σχέσιν ἔχει πρὸς τὰ ὑλικὰ πράγματα. Ὡς δὲ κατὰ δύναμιν οὐ καθ' αὑτό. Τουτέστιν ὡς κατὰ τὴν οἰκείαν δύναμιν καθ' αὑτὴν ἄφθαρτός ἐστιν. ἀεὶ γάρ ἐστι δυνάμει πάντα. τὴν μὲν γὰρ στέρησιν, οὐκ ἀεὶ ἔχει. τὸ μέντοι δυνάμει πάντα εἶναι, ἀεὶ ἔχει. τοῦτο δέ ἐστιν αὐτῆς ἡ φύσις.

ΠΕΡΙ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς πότερον μία, ἢ πολλαί, καὶ τίς ἢ τίνες εἰσί, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσασθαι. ὥστε εἰς ἐκεῖνον τὸν καιρὸν ἀποκείσθω. περὶ δὲ τῶν φυσικῶν καὶ φθαρτῶν εἰδῶν, ἐν τοῖς ὕστερον δεικνυμένοις ἐροῦμεν. ὅτι μὲν οὖν εἰσὶν ἀρχαί, καὶ τίνες, καὶ πόσαι τὸν ἀριθμόν, διωρίσθω ἡμῖν οὕτως. πάλιν δ' ἄλλην ἀρχὴν ἀρξάμενοι λέγωμεν.

Περὶ τῆς ἀρχῆς φησὶ τῆς κατὰ τὸ εἶδος. λέγει δὲ τοῦ χωριστοῦ εἴδους καὶ αἰτίου τοῖς ἐνταῦθα εἴδεσι τοῦ εἶναι, οὐ περὶ τοῦ ἐν τοῖς πολλοῖς. περὶ τούτου γὰρ τοῦ φυσικοῦ διαλαβεῖν ἐστι. πότερον δὲ ἕν, ἢ πλείονα. καὶ εἰ ἕν, τί ποτε τοῦτ' ἔστι, καὶ εἰ πλείονα, τίνα ταῦτα καὶ πόσα, τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσασθαι. διὸ ὑπερτίθεται ἐν ἐκείνοις, τὸν περὶ τούτων λόγον. διαλέγεται δὲ περὶ αὐτῶν ἐν τῷ δωδεκάτῳ τῆς μετὰ τὰ φυσικά, πότερον ἕν ἐστι ταῦτα ἢ πολλά. καὶ εἰ πολλά, πόσα ταῦτα. καὶ ὅπως τὰ πολλὰ πρὸς τὸ ἓν ἔχουσιν, ὅτι πάντα ἐκεῖθεν ἤρτηται. οὐκ ἀγαθὸν γάρ φησι πολυκοιρανίη. ὥστε εἰδὲ καὶ αὐτὸς κατὰ Πλάτωνα, καὶ τὰ χωριστά, καὶ ἐξῃρημένα εἴδη, καὶ αἴτια τῶν ἐνταῦθα. καὶ οὐ μάτην ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ὅτι τὸ τὰς ἀρχὰς ἀεὶ δεῖ μένειν, περὶ τούτων ἔλεγε τῶν εἰδῶν. περὶ δὲ τοῦ φυσικοῦ εἴδους, ὅπερ ἐστὶ γεννητὸν καὶ φθαρτόν, ἐν τῷ ἐφεξῆς λόγῳ διαλέξεται, καὶ ἐν ταῖς ἄλλαις πάσαις φυσικαῖς πραγματείαις, οἷον περὶ τῶν εἰδῶν τῶν ζῴων, ἢ τῶν μετεώρων, καὶ τῶν ἄλλων ἁπλῶς φυσικῶν. Ὅτι μὲν οὖν εἰσὶν ἀρχαί. ἐδείξαμεν τῷ λόγῳ, ὅτι εἰ καὶ τὰ φυσικὰ πράγματα σύνθετα, τῶν δὲ συνθέτων τὰ ἁπλᾶ ἀρχαί, τὰ φυσικὰ ἄρα πράγματα ἀρχὰς ἔχει, καὶ τίνες, καὶ πόσαι τὸν ἀριθμόν, ὅτι ἡ ὕλη καὶ τὸ εἶδος, καὶ ἡ στέρησις. καὶ ὅτι τρεῖς μὲν ἁπλῶς αἱ ἀρχαὶ αἱ ἀπηριθμημέναι, δύο δὲ κυρίως καθ' αὑτὸ ἀρχαί, ἡ ὕλη καὶ τὸ εἶδος. ἡ γὰρ στέρησις, οὐ καθ' αὑτὸ ἀρχή, ἀλλὰ κατὰ συμβεβηκός.

ΦΥΣΙΚΗΣ ΑΚΡΟΑΣΕΩΣ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΤΩΝ ὄντων, τὰ μέν ἐστι φύσει. τὰ δέ, δι' ἄλλας αἰτίας.

Προκείμενον ἦν ἐξ ἀρχῆς τῷ Ἀριστοτέλει ἐκθέσθαι τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων. καὶ ἐν μὲν τῷ πρώτῳ λόγῳ διαλέχθη περὶ τῆς ὕλης, καὶ τοῦ εἴδους. ἀλλὰ περὶ μὲν τῆς ὕλης, πολλοὺς κατατείνας λόγους, τάς τε τῶν παλαιοτέρων περὶ αὐτῆς ψευδεῖς δόξας ἀνακαθαιρόμενος, καὶ τὴν ἑαυτοῦ ἐκθέμενος, καὶ εἰπὼν ὅτι ἐστὶν ὕλη τὸ πρῶτον ὑποκείμενον ταῖς οὐσίαις, καὶ ὅτι μία μέν ἐστι τῷ ἀριθμῷ, λόγῳ δ' οὐ μία, καὶ ὅτι ἐρχόμεθα εἰς ἔννοιαν αὐτῆς τῷ κατ' ἀναλογίαν τρόπῳ χρώμενοι, καὶ ὅτι αὕτη ἐφίεται τοῦ εἴδους ὡς αἰσχρὸν καλοῦ, καὶ θῆλυ ἄρρενος. ἀλλ' αἰσχρόν ἐστι καὶ θῆλυ οὐ κατ' αὐτό, ἀλλὰ κατὰ συμβεβηκός. περὶ δὲ τοῦ εἴδους διαλεχθείς, ὅτι ἐστι θεῖον, καὶ ἐφετόν, καὶ ἀγαθόν, οὐ μέντοι τί ποτέ ἐστι τὸ εἶδος εἰρηκώς, ἐπήγαγε πρὸς τῷ τέλει, ὅτι περὶ μὲν τοῦ χωριστοῦ εἴδους καὶ ἀϊδίου, τῆς πρώτης φιλοσοφίας ἐστὶ διαλαβεῖν, περὶ δὲ τοῦ γεννητοῦ καὶ φθαρτοῦ, ἐν τοῖς ἑξῆς ἐροῦμεν. πρόκειται οὖν αὐτῷ, ἐν τούτῳ τῷ βιβλίῳ περὶ τοῦ εἴδους διαλαβεῖν, ἀλλ' ἐπειδὴ τὸ εἶδος τὸ ἑκάστου ἡ φύσις ἐστὶν ἡ ἑκάστου. ἥ τε γὰρ φύσις ἡ ἑκάστου, οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ ἑκάστου εἶδος, καὶ τὸ εἶδος οὐδέν ἐστιν ἄλλο ἢ ἡ φύσις ἡ ἑκάστου, διὰ τοῦτο βουλόμενος περὶ τοῦ εἴδους διδάξαι, ζητεῖ τί ποτέ ἐστιν ἡ φύσις. ἐὰν γὰρ εὕρωμεν τί ἐστιν ἡ φύσις, εὑρηκότες ἂν εἴημεν τί ἐστι τὸ εἶδος. ζητεῖ οὖν τί ποτέ ἐστιν ἡ φύσις ἐν ἀρχῇ. εἶτα περὶ τῶν παρωνύμως ἀπὸ τῆς φύσεως λεγομένων, τί τὸ ἔχειν φύσιν, τί τὸ φύσει, τί τὸ κατὰ φύσιν. ἀλλ' ἐπειδὴ ἡ φύσις, οὐ μόνον εἰδο·

προϋποκεῖσθαί τι αὐτῇ ἀνάγκη. ταύτην δὲ τὴν ὑπόθεσιν ἀναιρεῖ. τὸ ἅμα κατὰ χρόνον γεννητὸν εἶναι τὴν ὕλην ἀναιρεῖ, οὐ τὸ κατ' αἰτίαν. τῷ δὲ κατὰ χρόνον γεννητῷ, ἀντικείμενον τὸ κατ' αἰτίαν ἐστὶ γεννητόν, κατὰ χρόνον ἅμα γεννητὸν εἶναι βούλεται τὴν ὕλην οὐ κατ' αἰτίαν. ἔστιν οὖν φύσει καὶ ἀγέννητος καὶ ἄφθαρτος. φθείρεσθαι δὲ καὶ γίνεσθαι, λέγοιτο ἂν κατὰ συμβεβηκός. ἐπεὶ γὰρ ἡ στέρησις ἐν τῇ ὕλῃ οὖσα τῇ παρουσίᾳ τοῦ εἴδους φθείρεται καθ' αὑτό, λέγοιτο ἂν καὶ αὐτὴ κατὰ συμβεβηκὸς φθείρεσθαι. εἰ γὰρ ἀνείδεος ἡ ὕλη, τὸ δ' ἀνείδεον τοῦτο στερητικόν ἐστι τῶν εἰδῶν, ἐπειδὴ τῶν εἰδῶν παραγινομένων φθείρεται τὸ ἀνείδεον τῆς ὕλης, εἰδοποιεῖται γὰρ διὰ τοῦτο, καὶ αὐτὴ κατὰ συμβεβηκὸς λέγεται φθείρεσθαι. οὐ γὰρ αὐτὸ τὸ εἶναι αὐτῆς, καὶ ἵνα οὕτως εἴπω, οὐχ ἡ φύσις καὶ ἡ οὐσία αὐτῆς φθείρεται, ἀλλὰ μόνον τὸ ἀνείδεον. ὥσπερ καὶ τοῦ κηροῦ καθ' αὑτὸ ἀσχηματίστου ὄντος, ὅταν σχηματισθῇ, τὸ μὲν ἀσχημάτιστον αὐτοῦ ἔφθαρται καὶ ταύτῃ λέγοιτο ἂν καὶ ὁ κηρὸς ἐφθάρθαι κατὰ συμβεβηκός, οὐ μέντοι ἡ τοῦ κηροῦ αὐτὴ οὐσία ἔφθαρται, καὶ ἐπὶ τῆς ὕλης ἐστὶν εἰπεῖν. ὅτι γὰρ ἡ στέρησις ἐν αὐτῇ οὖσα καθ' αὑτὸ φθείρεται, λέγοιτο ἂν καὶ αὐτὴ κατὰ συμβεβηκὸς φθείρεσθαι. γίνεσθαι δὲ πάλιν, ὅταν ἀποβάλλουσα τὸ εἶδος προσλάβῃ τὴν στέρησιν. τῷ γὰρ τὴν στέρησιν ἐν αὐτῇ γενέσθαι, καὶ αὐτὴ ἂν γίνεσθαι λέγοιτο κατὰ συμβεβηκός. ἐπεὶ καὶ τῷ ἑαυτῆς λόγῳ, ἀνείδεός ἐστιν. ὥσπερ ἂν εἰ τὸν ἀμφορέα φθείρεσθαι λέγοι τις φθαρέντος τοῦ ἐν αὐτῷ οἴνου, ἢ τὸν λευκὸν ἵππον φθαρέντος τοῦ λευκοῦ. γίνεσθαι δὲ πάλιν ἐπιγινομένου. οὕτω μὲν οὖν φθείρεσθαι καὶ γίνεσθαι λέγοιτο ἂν ἡ ὕλη οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. καθ' αὑτὸ δέ φησι, καὶ ἀγέννητόν ἐστι καὶ ἄφθαρτον. καὶ ἵνα τοῦτο δείξῃ, ἀποδίδωσι τὸν τῆς ὕλης ὁρισμὸν ἐξ οὗ δείκνυσιν ἀδύνατον αὐτὴν ἢ γενέσθαι, ἢ φθαρῆναι.

ΛΕΓΩ γὰρ ὕλην τὸ πρῶτον ὑποκείμενον ἑκάστου, ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κατὰ συμβεβηκός. εἴτε φθείρεταί τι, εἰς τοῦτο ἀφίξεται ἔσχατον. ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι.

Τὸ πρῶτον μὲν εἶπε, διὰ τὸ τριχῇ διαστατόν. ἔστι γὰρ καὶ τοῦτο ὑποκείμενον πᾶσι τοῖς λοιποῖς. ἀλλ' οὐ πρώτως. καὶ ἕτερον ἑτέρου μερικώτερόν ἐστιν ὑποκείμενον, ἀλλ' οὐ πρῶτον. πρῶτον δ' ὑποκείμενον πᾶσιν ἡ ὕλη. τὸ δὲ ἐξ οὗ ἐνυπάρχοντος, ὅτι γίνεται καὶ ἐκ τῆς στερήσεως τὰ γινόμενα, ἀλλ' οὐκ ἐνυπάρχοντος, ἀλλὰ κατὰ συμβεβηκός. ἐκ τῆς ὕλης δὲ καθ' αὑτό. ἐνυπάρχοντος γάρ. καὶ ἔχεις ἐντεῦθεν, ἐκ τίνος καθ' αὑτὸ γίνεται τὰ γινόμενα. τοῦ ὅρου οὖν τῆς ὕλης οὕτως ἔχοντος, δείκνυσι πῶς ὅτι ἀγέννητος. εἰ γὰρ γίνεται, ἔκ τινος ὑποκειμένου γεννήσεται. οὐδὲν γὰρ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται. τοῦτο δ' ἐστὶν ἡ τῆς ὕλης φύσις, ὃ πρῶτόν ἐστιν ὑποκείμενον. ὥστε ἔσται ὕλη πρὶν γενέσθαι ὕλην. καὶ πάλιν εἰ φθείρεται, εἴς τι φθαρήσεται. εἰς ὃ δὲ ἔσχατον φθείρονται τὰ φθειρόμενα, ἡ ὕλη ἐστίν. ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι. εἰ γὰρ εἰς ὃ φθείρεται τοῦτο ἡ ὕλη ἐστί, πρὶν δὲ φθαρῆναι ὕλη ἦν, πρὶν φθαρῆναι ἐφθαρμένη ἅμα ἔσται. καὶ μετὰ τὸ φθαρῆναι πάλιν ἔσται. καὶ πάλιν περὶ ἐκείνης τῆς ὕλης ἐξ ἧς γίνεται, καὶ εἰς ἣν φθείρεται, ἐρωτητέον εἰ ἀγέννητος εἴη καὶ ἄφθαρτος, ἢ οὔ. εἰ μὲν γὰρ καὶ αὐτὴ γίνοιτο, καὶ φθείροιτο, καὶ αὐτῇ δεῖ προϋποκεῖσθαι ἑτέραν. καὶ ἢ ἐπ' ἄπειρον οὕτω δεῖ προϊέναι, ὅπερ ἄτοπον, ἢ στῆναι εἴς τι ἀγέννητον καὶ ἄφθαρτον. ἐκεῖνο οὖν ἔσται ἡ πρώτη ὕλη. καὶ διά τι ἐπὶ τῆς πρώτης τοῦτο ἐλέγομεν. περὶ γὰρ τῆς πρώτης ἡμῖν ὁ λόγος. οὕτως οὖν δείκνυται ἡ ὕλη καὶ ἀγέννητος καὶ ἄφθαρτος, ἀξιώματος τούτου κειμένου, ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος. εἰ δέ τις μὴ συγχωρήσειε τῷ ἀξιώματι. καὶ γὰρ κατ' αὐτὸν τὸν Ἀριστοτέλην τὰ εἴδη οὐκ ἐκ τῶν κράσεων ὄντα ἔξωθεν ἐπιγίνεται ταῖς κράσεσιν. οὐ γὰρ ἡ τῶν στοιχείων κρᾶσις ποιεῖ τὴν ἄλογον ψυχήν, ἢ ὅλως τὰς ζωάς. ὁπότε οὐδὲ τὰ λοιπὰ εἴδη, τὸ σαρκὸς λέγω καὶ τὸ ὀστοῦ, καὶ τὰ τοιαῦτα, ἀλλ' ἔξωθεν ἐκ τῆς ὅλης δημιουργίας ἐπιγίνεται ταῖς κράσεσιν, οὐκ ὄντα πρότερον, δῆλον δήπου ὅτι καὶ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται, οὐχ ὡς ἐξ ὑλικοῦ λέγω αἰτίου. οὐ γὰρ προϋποκείμενόν τι ὑλικὸν αἴτιον οὕτω φαμὲν ἐποίησε τὴν ἄλογον ψυχήν. ἡ δὲ κρᾶσις ἐπιτήδειον μόνον ποιεῖ τὸ σῶμα εἰς τὸ δέξασθαι αὐτήν. οὐ μέντοι ἡ κρᾶσις ψυχή ἐστιν. ὥσπερ γὰρ ὁ τὰς χορδὰς τῆς λύρας κατασκευάζων ἐπιτηδείας αὐτὰς ποιεῖ εἰς τὸ καταδέξασθαι τὸ εἶδος τῆς ἁρμονίας, καὶ οὐκ εἰσὶν αἱ χορδαὶ ἁρμονίαι, ἀλλ' ἔξωθεν ὑπὸ τεχνίτου ἡ ἁρμονία ταῖς χορδαῖς ἐπιτίθεται, οὕτω καὶ ἐπὶ τῆς τῶν σωμάτων τῶν ζώων κράσεως ἔχει. τὴν γὰρ ἐπιτηδειότητα τῆς κράσεως, ἔξωθεν αἱ ζωαὶ ἐπιτίθενται ὑπὸ τῆς δημιουργίας. οὐ γὰρ δὴ τὸ χεῖρον τοῦ κρείττονος εἴη ἂν αἴτιον, καὶ τῆς ψυχῆς τὸ ἄψυχον, καὶ τῆς ζωῆς τὸ ἄζωον. ὥστε εἰ τὰ τοιαῦτα μὴ ἀΐδια ὄντα, ἀλλὰ γινόμενα καὶ ἀπογινόμενα, οὐκ ἔκ τινος προϋποκειμένης ὕλης τὴν οὐσίαν καὶ τὴν εἰς τὸ εἶναι ὕπαρξιν δέχεται, πῶς ἄν τις παραδέξαιτο τό, μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι, ἀλλ' ὡς ἐκ προϋποκειμένου ὑλικοῦ αἰτίου. ταῦτα δέ φημι ὡς πρὸς τὴν πρώτην τῆς ὕλης ὑπόστασιν, ὅτι οὐδὲν κωλύει ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος αὐτὴν ὑποστῆναι. εἴ γε καὶ νῦν τὰ εἴδη πάντα αὐτὴν τὴν οὐσίαν αὐτῶν οὐκ ἔκ τινος προϋποκειμένου ἔχουσι. τὸ γὰρ σύνθετόν ἐστι τὸ γινόμενον ἐκ τῆς ὕλης. νῦν μέντοι ἐπὶ τῶν κατὰ μέρος γινομένων, ὅτι ἡ ὕλη ἑκάστου οὔτε γίνεται, οὔτε φθείρεται, σαφές. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον, ὡς πρὸς τὸν παρόντα λόγον, πλειόνων εἰς τὸν τόπον ὄντων ἐπιχειρημάτων. Ζητήσειε δ' ἄν τις ἐν τούτοις εἰκότως, πῶς τῆς ὕλης ὁρισμὸς ἀποδέδοται. εἰ γὰρ μὴ ἔστιν εἰπεῖν ἐπιβλητικῶς τὴν τῆς ὕλης οὐσίαν, καὶ διὰ τοῦτο τὴν γνῶσιν αὐτῆς κατ' ἀναλογίαν, ἡ ἐξ ἀπο-

τὸ εἶναι. θαυμαστὸν δὲ εἰ μὴ ἔστι ποιοῦσα τὸ γίνεσθαι. οὐ γὰρ ἂν γένοιτό τι μὴ φθειρομένου τινός, ἀλλ᾽ ἦν ἅπαντα ἀΐδια.

ΟΝΤΟΣ γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν, ἐναντίον αὐτῷ ἐστί. τὸ δὲ, ὃ πέφυκεν ἐφίεσθαι, καὶ ὀρέγεσθαι αὐτοῦ, κατὰ τὴν αὐτοῦ φύσιν. τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς ἑαυτοῦ φθορᾶς. καίτοι οὔτε αὐτὸ ἑαυτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος, διὰ τὸ μὴ εἶναι ἐνδεές. οὔτε τὸ ἐναντίον, φθαρτικὰ γὰρ ἀλλήλων τἀναντία. ἀλλὰ τοῦτ᾽ ἔστιν ἡ ὕλη. ὥσπερ ἂν εἰ θῆλυ ἄρρενος, καὶ αἰσχρὸν, καλοῦ. πλὴν οὐ καθ᾽ αὑτὸ αἰσχρὸν, ἀλλὰ κατὰ συμβεβηκός. οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός.

ὡς κακοποιὸς ἡ στέρησις διὰ τούτων κατασκευάζει. ὄντος γάρ φησι θείου τινὸς, λέγει δὲ τοῦ εἴδους τοῦ ἐνύλου. οὐχ ὡς ἄν τις γὰρ ὑπολάβοι περὶ τοῦ πρώτου φησὶ τοῦ θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ. τούτῳ γάρ φησιν ἐναντίον εἶναι. τῷ πρώτῳ δὲ οὐδὲν ἐναντίον. θεῖον οὖν φησὶ τὸ ἔνυλον εἶδος. θεῖον δὲ ὡς παρὰ θεοῦ προϊόν. ἀγαθὸν δὲ, διότι τὸ εἶναι ἑκάστῳ ἀγαθόν. τὴν μὲν στέρησιν ἐναντίον φαμὲν τῷ εἴδει, διότι τοῦ μὴ εἶναι αἰτία ἡ στέρησις. εἰ δὲ τῷ ἀγαθῷ ἐναντίον ἡ στέρησις, κακὸν ἄρα ἡ στέρησις. ἡ δὲ ὕλη οὐκ ἐναντία τῷ εἴδει. ἐφίεται γάρ φησιν αὐτοῦ, ὡς αἰσχρὸν καλοῦ, καὶ θῆλυ ἄρρενος. ὡς γὰρ μετέχουσα τῆς αἰσχρότητος, λέγω δὴ τῆς στερήσεως, οὕτως ἐφίεται τοῦ καλοῦ. κοσμεῖται γὰρ ὑπ᾽ αὐτοῦ. εἰ τοίνυν ἐφίεται τοῦ εἴδους ἡ ὕλη, οἱ ἄρα ἐν τὴν ὕλην καὶ τὴν στέρησιν νομίζοντες, τὴν στέρησιν λέγουσι τοῦ εἴδους ἐφίεσθαι. εἴγε ταυτὸν ἡ ὕλη καὶ ἡ στέρησις. τὸ ἐναντίον ἄρα τοῦ ἐναντίου ἐφίεται. τὸ δὲ ἐφιέμενον τοῦ ἐναντίου, τῆς ἑαυτοῦ φθορᾶς ἐφίεται. ὅπερ ἀδύνατον. οὐδὲν γὰρ τῆς ἑαυτοῦ φθορᾶς ἐφίεται. καίτοι εἰ ἐφετὸν τὸ εἶδος, διότι καὶ τοῦ εἶναι αἴτιον, τὸ δὲ εἶναι ἀγαθὸν, ἀνάγκη πᾶσα, ἢ αὐτὸ ἑαυτοῦ ἐφίεσθαι, ἢ τὸ ἐναντίον αὐτοῦ ἐφίεσθαι. τὴν στέρησιν λέγω, τῆς ὕλης. ἀλλ᾽ οὔτε αὐτὸ ἑαυτοῦ ἐφίεται. ἀνενδεὲς γὰρ ἑαυτοῦ. ἐφίεται δέ τις τοῦ ἀπόντος, καὶ ὃ μὴ ἔχει. οὔτε ἡ στέρησις. τῆς ἑαυτῆς γὰρ ἂν φθορᾶς ἐφίετο. λείπεται ἄρα τὴν ὕλην ἐφίεσθαι τοῦ εἴδους. εἰ δὲ ἡ ὕλη ἐφίεται τοῦ εἴδους. ταυτὸν δὲ τῆς στερήσεως ἡ ὕλη, τῆς ἑαυτοῦ φθορᾶς ἐφίετο ἄν, καὶ ἄλλως εἰ μὲν ταυτὸν ἡ ὕλη τῇ στερήσει, πῶς ἂν σώζοιτο τὸ τινὸς εἴδους αὐτὴν μεταλαμβάνειν. εἰ μὲν γὰρ ἡ τοῦ ἀνθρώπου ὕλη ταυτὸν τῇ ἀνθρωπείᾳ στερήσει, καὶ ἁπλῶς εἰ ἡ τὶς ὕλη τῇ τινὶ στερήσει ταυτὸν, φθειρομένης τῆς στερήσεως τοῦ ἀνθρώπου ἐν τῇ γενέσει τοῦ ἀνθρώπου, φθαρείη ἂν καὶ ἡ τοῦ ἀνθρώπου ὕλη. τὸ δὲ φθαρὲν, πῶς ἂν δέξαιτο τὸ εἶδος. οὐκ ἐν ὕλῃ ἄρα τὸ τοῦ ἀνθρώπου εἶδος. καὶ εἰ ἡ τὶς ὕλη τινὶ στερήσει ταυτὸν, καὶ ἡ ἁπλῶς ὕλη τῇ ἁπλῶς στερήσει ταυτόν. καὶ ἔμπαλιν εἰ ἡ ἁπλῶς τῇ ἁπλῶς, καὶ ἡ τὶς τῇ τινί. εἰ τοίνυν ἡ ἁπλῶς ὕλη ταυτὸν τῇ ἁπλῶς στερήσει, δῆλον ὅτι κἂν τινὸς μὲν εἴδους μεταλάβοι, τινὸς δὲ μὴ, φθείροιτ᾽ ἂν καὶ οὐκ ἂν εἴη ἄφθαρτος. ὥστε εἰ ταυτὸν τῇ ὕλῃ ἡ στέρησις, οὔτε ἄφθαρτος ἂν εἴη, οὔτε τὰ εἴδη ἐν ὕλῃ ἕξουσι τὸ εἶναι διὰ τὸ φθαρτὴν αὐτὴν εἶναι. ὡς γὰρ ἡ στέρησις ὑφίσταται τῷ εἴδει, οὕτω καὶ ἡ ὕλη ταυτὸν οὖσα τῇ στερήσει. θεῖον μὲν οὖν τὸ εἶδος, ὡς παρὰ θεοῦ προϊόν. ἀγαθὸν δὲ, ἐπειδὴ τὸ εἶναι ἑκάστῳ ἀγαθόν. δι᾽ αὐτὸ δὲ καὶ ἐφετόν. πᾶσι γὰρ ἐφετὸν τὸ ἀγαθόν. πῶς δέ φησι τὸ εἶδος μὴ εἶναι ἐνδεὲς, ὃ ἐνδεὲς τῆς ὕλης ὑπάρχει. οὐχ ὅτι οὐ δεῖται τῆς ὕλης πρὸς τὸ εἶναι, ἀλλ᾽ ὅτι ἡ μὲν ὕλη αἰσχρὰ οὖσα καὶ ἀόριστος, δεῖται τοῦ ὁρίζοντος, καὶ εἰδοποιοῦντος. τὸ δὲ εἶδος αὐτὸ κάλλος ὂν καὶ ὅρος, οὐ δεῖται τινὸς εἰς τοῦτο. τὸ γὰρ ἐνδεὲς δεῖ πρῶτον εἶναι. εἶτα ἐνδεὲς, ἢ ἀνενδεὲς εἶναι. ἡ μὲν οὖν ὕλη κἂν μὴ δεῖται τοῦ εἴδους εἰς τὸ εἶναι ὅσον ἐπὶ τῷ ἑαυτῆς λόγῳ, ἀλλ᾽ οὖν οὖσα, ἐνδεής ἐστι, καὶ δεῖται τοῦ ὁρισθῆναι καὶ κοσμηθῆναι. τὸ δὲ εἶδος ἐστὶ, καὶ οὐκέτι δεῖταί τινος τοῦ εἰς τάξιν, ἢ εἰς ὅρον ἄγοντος. οὐ καθ᾽ αὑτὸ δέ φησι τὴν ὕλην αἰσχρὰν, ἀλλὰ κατὰ συμβεβηκός. αἰσχρότης μὲν γὰρ, ἡ στέρησις. αἰσχρὸν δὲ ἡ ὕλη διὰ τὸ μετέχειν τῆς στερήσεως. αἰσχρὸν δὲ κατὰ συμβεβηκός. οὐ γὰρ τῷ ἑαυτῆς λόγῳ. ἡ γὰρ στέρησις τῷ ἑαυτῆς λόγῳ αἰσχρὸν, ἀλλ᾽ ὅτι συνέβη ἐν στερήσει τῶν εἰδῶν αὐτὴν εἶναι. καὶ εἰ πέφυκε τὰ εἴδη ἐπιδέχεσθαι, οὐκ ἂν εἴη καθ᾽ αὑτὴν αἰσχρά. οὐ γὰρ ἄν ποτε τὸ ἐναντίον ἐδέξατο. ὡσαύτως δὲ καὶ θῆλυ κατὰ συμβεβηκός, ἐπειδὴ παθητικὸν μὲν τὸ θῆλυ, ποιητικὸν δὲ τὸ ἄρρεν καὶ εἰδοποιόν. ἡ ὕλη δὲ παθητικόν. ποιεῖ δὲ εἰς αὐτὴν τὸ εἶδος.

ΦΘΕΙΡΕΤΑΙ δὲ καὶ γίνεται, ἔστι μὲν ὡς, ἔστι δὲ ὡς οὔ. ὡς μὲν γὰρ τὸ ἐν ᾧ, καθ᾽ αὑτὸ φθείρεται. τὸ γὰρ φθειρόμενον ἐν τούτῳ ἐστὶν ἡ στέρησις. ὡς δὲ κατὰ δύναμιν, οὐ καθ᾽ αὑτὸ, ἀλλ᾽ ἄφθαρτον, καὶ ἀγένητον ἀνάγκη αὐτὴν εἶναι. εἴτε γὰρ ἐγίγνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον τὸ ἐξ οὗ ἐνυπάρχοντος. τοῦτο δ᾽ ἐστὶν ἡ αὐτῆς φύσις. ὥστε ἔσται πρὶν γενέσθαι.

δείκνυσιν ἐντεῦθεν ὅτι καὶ ἀγένητος καὶ ἄφθαρτος ἡ ὕλη. ἀγένητος δὲ, οὐ κατ᾽ αἰτίαν, ἀλλὰ κατὰ χρόνον. καὶ τοῦτο δῆλον μὲν καὶ ἐξ αὐτῶν τῶν ἐπιχειρημάτων ἐξ ὧν δείκνυσιν αὐτὴν καὶ ἀγένητον καὶ ἄφθαρτον. δῆλον δὲ καὶ ἐκ τῶν ἀλλαχοῦ αὐτῷ εἰρημένων. περὶ γὰρ τοῦ πρώτου λέγων φησὶν, ἐκεῖθεν γὰρ τοῖς πᾶσι τὸ εἶναί τε καὶ ζῆν. τοῖς μὲν, σαφέστερον. τοῖς δὲ, ἀμυδρότερον. ὥστε καὶ τῇ ὕλῃ. καὶ πάλιν ἐκ τοιαύτης ἄρα ἀρχῆς ἐξήρτηται ὅ, τι οὐρανὸς καὶ ὁ κόσμος. ὥστε καὶ τὸ τοῦ κόσμου ὑποκείμενον. δῆλον δὲ καὶ ἐκ τῶν ἐπιχειρημάτων αὐτῶν, ὅτι τὴν κατὰ χρόνον γένεσιν ἀναιρεῖ τῆς ὕλης. τί γάρ φησιν; ὅτι εἰ μὴ εἴη ἀγένητος, ἀλλὰ γένοιτο, ὑποκεῖσθαί τι δεῖ πρῶτον ἐξ οὗ γίνεται καθ᾽ αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. καὶ ταύτῃ τῇ ὑποθέσει δείξας ἄτοπόν τι ἑπόμενον, ἀναιρεῖ μὲν ταύτην, εἰσάγει δὲ τὴν ἐναντίαν. εἰ δὲ λέγει ὅτι εἰ εἴη γενητὴ ἡ ὕλη, δεῖ τι αὐτῆς πρότερον ὑποκεῖσθαι, δῆλον ὅτι κατὰ χρόνον γένεσιν ὑποτίθεται. εἴγε καὶ

παρὰ τὸ ὄν, οὐκ ὄν. ὃ γὰρ ἓν τὸ ὂν ἔλεγεν ὁ παρμενίδης, πᾶν δὲ ἔτι παρὰ τοῦτο, μὴ ὂν εἶναι, οὐ τὶ μὴ ὂν, ἀλλ᾽ ἁπλῶς μὴ ὄν, ἀνάγκη πᾶσα τὸν ἀποδεχόμενον τὴν δόξαν ταύτην τὴν λέγουσαν τὸ ὂν ἓν εἶναι καὶ ἀγέννητον, λέγοντα δὲ γένεσιν εἶναι, ἐπειδὴ ἐκ τοῦ ὄντος οὐδὲν δύναται γενέσθαι, ἀμεταβλητον γὰρ τοῦτο, ἐκ τοῦ ἀπηρτημένου αὐτὸ λέγειν γενέσθαι. τοῦτο δέ ἐστι τὸ ἁπλῶς μὴ ὄν, κἂν μὴ διαῤῥήδην τοῦτο λέγῃ. ὥστε, οὐ σώζει πλάτων τὴν τῆς ὕλης φύσιν, ἁπλῶς μὴ ὂν αὐτὴν λέγων ἐξ ἧς γίνεται τὰ γινόμενα. ἥτις πῇ μέν ἐστι, πῇ δ᾽ οὔ. δυνάμει μὲν γάρ ἐστιν, ἐνεργείᾳ δ᾽ οὔ. καὶ καθ᾽ αὑτὸ μὲν ὄν, κατὰ συμβεβηκὸς δὲ οὐκ ὂν διὰ τὸ ἔχειν τὴν στέρησιν, ἥτις ἐστὶ καθ᾽ αὑτὸ οὐκ ὄν. εἴρηται δὲ καὶ περὶ τούτου ἱκανῶς ἐν τοῖς ἔμπροσθεν. ὅτι τὸ ὂν ὁ πλάτων, τὸ νοητὸν ἔλεγε, καὶ ὅτι οὐ τὸ μηδαμῇ μηδαμῶς ὂν εἰσῆγεν, ἀλλὰ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν.

» ΕἸΤΑ φαίνεται αὐτοῖς. εἴπερ ἐστὶν ἀριθμῷ μία, καὶ δυνάμει μίαν μόνον εἶναι.

Οὐ γὰρ φαίνονται διαστελλόμενοι ταῦτα, ὥσπερ ὁ ἀριστοτέλης. καὶ ἄλλως δ᾽ ἔλεγον ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γενέσθαι τὰ γινόμενα ἐκ τῆς ὕλης λέγοντες κατὰ τὸν εἰρημένον τρόπον, δῆλον ὅτι διὰ τὸ ἕν τι λαμβάνειν τὴν ὕλην μετὰ τῆς στερήσεως, ἥτις ἡ στέρησις ἁπλῶς μὴ ὄν ἐστι.

» ΤΟΥΤΟ δὲ διαφέρει πλεῖστον. ἡμεῖς μὲν γὰρ, ὕλην καὶ στέρησιν, ἕτερον εἶναι φαμέν. καὶ τούτων, τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμβεβηκὸς τὴν ὕλην. τὴν δὲ στέρησιν, καθ᾽ αὑτήν. καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν πως τὴν ὕλην. τὴν δὲ στέρησιν, οὐδαμῶς.

Οὐ τὸ τυχὸν διαφέρει τὸ λέγειν καὶ ἀριθμῷ καὶ λόγῳ μίαν εἶναι τοῦ λέγειν μίαν μὲν ἀριθμῷ εἶναι, λόγῳ δὲ δύο διὰ τὴν στέρησιν, ἀλλὰ πολλὴ τούτων ἐστὶν ἡ διαφορά. πόση δ᾽ ἡ διαφορά, ἐπιφέρει. καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν πως, τὴν ὕλην. τὴν δὲ στέρησιν, οὐδαμῶς. ἐγγὺς οὐσίαν τὴν ὕλην φησὶν, ὅτι καὶ μέρος γίνεται τῆς οὐσίας, καὶ ὅτι ὥσπερ ἡ οὐσία ὑπόκειται ταῖς λοιπαῖς κατηγορίαις, οὕτως καὶ ἡ ὕλη ταῖς οὐσίαις. διὰ τοῦτο οὐσία πως ἡ ὕλη. ἡ δὲ στέρησις, οὐδαμῶς ἐξισταμένη καὶ ὑποχωροῦσα τοῖς εἴδεσιν.

» ΟΙ δὲ τὸ μὴ ὄν, τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως. ἢ τὸ συναμφότερον. ἢ τὸ χωρὶς ἑκάτερον. ὥστε παντελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος, κἀκεῖνος.

Ἡμεῖς μὲν φησὶν, οὕτω χωρίζομεν τῆς ὕλης τὴν στέρησιν. ἐκεῖνοι δὲ τὴν ὕλην, τὸ μέγα καὶ τὸ μικρὸν λέγουσιν. εἴτε δ᾽ ἕν τι σημαίνει αὐτοῖς ἀμφότερα τὰ ὀνόματα, εἴτε διάφορα, οὐδὲν πρὸς τὸν λόγον. ὃ γὰρ ὕλης σημαντικὰ αὐτοῖς ἐστὶ τὸ μέγα καὶ τὸ μικρὸν, ὥστε ἑτέρως φησὶν ἡμεῖς τρεῖς ἀρχὰς ὑποτιθέμεθα καὶ ἑτέρως ἐκεῖνοι. ἡμεῖς μὲν γὰρ τρία πράγματα φαμὲν, ὕλην. εἶδος. στέρησιν. ἐκεῖνοι δ᾽ ὀνόματα μὲν, τρία. πράγματα δὲ δύο. τὸ γὰρ μέγα καὶ τὸ μικρὸν τῆς ὕλης αὐτοῖς ἐστι σημαντικόν. εἴτε μία αὐτοῖς ἐστὶν ἡ ὕλη, εἴτε δύο.

» ΜΕΧΡΙ μὲν γὰρ δεῦρο προῆλθον, ὅτι δεῖ τινα ὑποκεῖσθαι φύσιν. ταύτην μέντοι μίαν ποιοῦσι. καὶ γὰρ εἴ τις δυάδα ποιεῖ λέγων μέγα καὶ μικρὸν αὐτὴν, οὐδὲν ἧττον ταὐτὸ ποιεῖ. τὴν γὰρ ἑτέραν παρεῖδεν τὴν στέρησιν.

Μέχρι μέν φησι τοῦ ὑποθέσθαι φύσιν τινὰ ὑποκειμένην τοῖς εἴδεσι πᾶσι, καλῶς αὐτοῖς προῆλθεν ὁ λόγος. τὸ δ᾽ ἑξῆς οὐκέτι. ταύτην γὰρ τὴν φύσιν, οὐ μίαν μόνον ἀριθμῷ φασὶν, ἀλλὰ καὶ λόγῳ, καὶ οὐχ ὡς ἡμεῖς δύο τῷ λόγῳ. ἀναλαμβάνει δὲ τὰς λέξεις ἐφεξῆς, ὅτι ἑτέρα τῆς ὕλης ἡ στέρησις.

» Η ΜΕΝ γὰρ ὑπομένουσα, συναιτία τῇ μορφῇ τῶν γινομένων ἐστὶν, ὥσπερ μήτηρ.

Καλῶς καὶ πλατωνικῶς τὸ συναιτία. τὸ γὰρ κυρίως ὂν, ὃ ἐνηρῆσθαι δεῖ τοῦ ἀποτελέσματος. ὥσπερ τὸ ποιητικὸν καὶ τὸ παραδειγματικόν. συναίτιον δ᾽ ἡ ὕλη, ὡς συντελοῦσα εἰς τὴν γένεσιν, καὶ μέρος γινομένη τοῦ πράγματος. μήτηρ δὲ, διότι ὡς μήτηρ δέχεται τὸ σπέρμα καὶ φυλάττει καὶ τελεσφορεῖ, οὕτω καὶ ἡ ὕλη δέχεται τὰ εἴδη, καὶ φυλάττει, καὶ εἰς τὸ τέλειον ἄγει τῇ ἑαυτῆς χορηγίᾳ, ἀεὶ τῇ παρ᾽ ἑαυτῆς προσθήκῃ ὑποβάθραν τῷ εἴδει ποιοῦσα τῆς τελείας παρουσίας.

» Ἡ Δ᾽ ἑτέρα μοῖρα τῆς ἐναντιώσεως, πολλάκις ἂν φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι τὴν διάνοιαν, οὐδ᾽ εἶναι τὸ παράπαν.

Ὥσπερ ἀπολογίαν ὑπὲρ πλάτωνος προσέθηκε ταῦτα, ἀποδιδοὺς τὴν αἰτίαν διατὶ μὴ διέκρινε τὴν ὕλην τῆς στερήσεως. ὃ γὰρ ἀποβλέψαι τις φησὶν εἰς τὸ κακοποιὸν τῆς στερήσεως, δόξειεν ἂν μηδ᾽ εἶναι τὸ παράπαν. ἣν δὲ δοκεῖ τις μὴ εἶναι, πῶς ἂν διακρίναι τοῦ ὄντος. διακρίσεως γὰρ δεῖ καὶ διαστολῆς ἐν τοῖς οὖσιν, οὐκ ἐν τοῖς μὴ οὖσι. κακοποιὸν δέ φησι τὴν στέρησιν, διότι τῆς φθορᾶς αὕτη ἐστὶν αἰτία. ὥσπερ τὸ εἶδος τῆς γενέσεως καὶ τοῦ εἶναι. ἑκάστου δὲ τὸ εὖ καὶ τὸ ἀγαθὸν κατὰ τὸ εἶναι. ἐπεὶ οὖν ἡ κοινὴ πάντων ἀρχὴ τἀγαθόν ἐστι, δῆλον ὅτι πᾶν ὅπερ ἐστὶν, ἀγαθόν ἐστιν. οὐδὲν γὰρ δύναται εἶναι μὴ μετέχον τοῦ ἀγαθοῦ. τὸ εἶναι ἄρα ἑκάστῳ, ἀγαθόν. ἐπειδὴ τὸ εἶναι, ἐκ τῆς πρωτίστης ἀρχῆς. αὕτη δὲ τἀγαθόν. εἰ δὲ τὸ εἶναι ἀγαθὸν, τὸ μὴ εἶναι κακόν. εἰ δὲ τὸ μὴ εἶναι, κακὸν, τὸ τοῦ μὴ εἶναι αἴτιον, κακοποιὸν ἂν εἴη. ἐπεὶ οὖν οὐδὲν εἶναι δύναται τὸ μὴ μετέχον τοῦ ἀγαθοῦ, κακοποιὸς ἄρα οὖσα ἡ στέρησις, οὐδὲν ἂν εἴη ὅλως, εἴγε πᾶν τὸ ὂν καὶ ἀγαθόν. διὰ τοῦτό φησι δόξειε μηδὲ εἶναι ὅλως ἡ στέρησις. πάλιν δ᾽ αὖ εἶναι καὶ αὐτὴν ἀνάγκη. ἐπειδὴ οὐκ ἄνευ ταύτης ἡ γένεσις. ἔστι γὰρ ὄντι ὡς ὁ θεμίστιός φησι, κακοποιὸν μὲν ὃ ἐστι φθείρουσα

μαγεῖον. ἥψατο μέντοι καὶ ἄλλοι τῶν πρὸ ἡμῶν, οὐχ ἱκανῶς δέ. ὅσοι μὲν γὰρ ἓν τὸ στοιχεῖον ὑποτιθέμενοι, εἶδος πεποιημένοι τοῦτο ἔλεγον, ἢ τῶν τεσσάρων ἕν, ἢ ἕτερόν τι μεταξὺ τούτων, οὐδ' ὅλως εἰς ἔννοιαν ἦλθον τῆς ὕλης. Πλάτων δ' ἦλθεν εἰς τὴν ἔννοιαν τὴν περὶ τῆς ὕλης. ταύτην γάρ φησι τιθήνην αὐτὴν καὶ δεξαμενὴν τῶν εἰδῶν ἑτέραν αὐτὴν πάντων τῶν εἰδῶν ὥς φησι, σαφῶς λέγει αὐτὸ τοῦτο. δέχεται γάρ φησι πάντα, καὶ μορφὴν οὐδενί ποτε τῶν εἰσιόντων τὴν αὐτὴν εἴληχεν οὐδαμῇ οὐδαμῶς. ὥστε ἥψατο τῆς φύσεως τῆς ὕλης, ὅτι τὸ ἀΐδιόν ἐστι καὶ πᾶσιν ὑποκείμενον. οὐχ ἱκανῶς δὲ τὸν περὶ αὐτῆς ἀπεδίδου λόγον. οὐ γὰρ διέκρινεν αὐτὴν τῆς στερήσεως, ὥσπερ ἡμεῖς. ἡμεῖς μὲν γάρ φαμεν, ὅτι εἰ καὶ τῷ ὑποκειμένῳ ταυτόν ἐστι τῇ στερήσει, ἀλλ' οὖν τῷ λόγῳ διακρίνεται. καὶ διεκρίναμεν αὐτὴν καὶ ἐκ τῆς ἡμετέρας χρήσεως. καὶ ὅτι ἡ μὲν ὕλη, ὑπομένει τὸ εἶδος ἐπιόν. ἡ δὲ στέρησις, οὐχ ὑπομένει. ὁ δὲ Πλάτων εἰ καὶ φαίνεται λέγων καὶ αὐτὸς φὰς ἀρχὰς τό, τε μέγα, καὶ τὸ μικρόν, καὶ ἔτι τὸ ἕν, ὅπερ τὸ εἶδος ἔλεγεν. ἀλλ' οὖν τὸ μέγα καὶ τὸ μικρόν, ἐπὶ τῆς ὕλης ἀμφότερα ἔφερεν. ὀνόματα γὰρ δύο καθ' ἑνὸς πράγματος κατηγόρει. τὴν γὰρ ὕλην, μέγα καὶ μικρὸν ἐκάλει. ὥστε, οὐχ ὁμοίως ἡμῖν τὴν τριάδα τῶν ἀρχῶν ἀπέφερεν. ἡμεῖς μὲν γὰρ τὴν ὕλην καὶ τὴν στέρησιν εἰ καὶ τῷ ὑποκειμένῳ τὸ αὐτὸ λέγομεν, ἀλλ' οὖν τῷ λόγῳ διάφορα εἶναι φαμέν. αὐτὸς δὲ τὸ μέγα, καὶ τὸ μικρὸν οὐ μόνον τῷ ὑποκειμένῳ ἔλεγεν ἕν, ἀλλὰ καὶ τῷ λόγῳ. ὀνόματι δὲ μόνον τὴν διαφορὰν εἶναι. ὡς ἔχει ἐπὶ τῶν πολυωνύμων πραγμάτων. εἰ δέ τις εἴποι μὴ ταυτὸν σημαίνειν τῷ Πλάτωνι τὸ μέγα καὶ τὸ μικρόν, ἀλλ' ἐπὶ διαφόρων κατηγορεῖσθαι, οὐ δήπου δείξει ὅτι τὸ μὲν ἕτερον ἐπὶ τῆς ὕλης φέρει, τὸ δὲ λοιπὸν ἐπὶ τῆς στερήσεως. ἀλλ' εἰ καὶ συγχωρήσαιμεν ἕτερον σημαίνειν τῷ Πλάτωνι τὸ μέγα καὶ ἕτερον τὸ μικρόν, ἀλλ' οὖν πάντως δύο ὑλῶν ἂν εἶεν σημαντικά, ὥστε οὐδὲν ἧττον οὐ διακέκριται τῆς ὕλης ἡ στέρησις. τὸ μὲν γὰρ νομίζειν, ὅτι οὐδ' ὅλως εἶναι ἐνόμιζεν ὁ Πλάτων τὴν στέρησιν, εὐηθές. οὗτος οὖν ἐστιν ὁ λέγων εἶναί τι μὴ ὄν, ὃ μὴ παρ' ἔλαττόν ἐστι τοῦ ὄντος, καὶ εἰ μηδὲν εἶδος φησὶν ἔχειν τὴν ὕλην, ἤδη δήπου τὴν στέρησιν τῶν εἰδῶν ἐνοῦσαν αὐτῇ. ὥστε οὐκ ἠγνόει εἰ ἔστιν ἡ στέρησις. πάλιν γοῦν φησὶν αὐτὸς εἶναι μὲν πάντα κατὰ τὸ εἶδος. γίνεσθαι δὲ κατὰ τὴν μετάληψιν. φθείρεσθαι δὲ κατὰ τὴν ἀποβολήν. ὥστε τὸ ἀποβάλλον τὸ εἶδος, στέρησιν ἔχει τοῦ εἴδους. εἰ οὖν ἔστι μὲν ἡ στέρησις, μηδὲν δέ φησι περὶ αὐτῆς, ἤτοι διὰ τὸ νομίζειν τὴν αὐτὴν εἶναι τῷ εἴδει, ἢ τὴν αὐτὴν τῇ ὕλῃ. ἀλλὰ τῷ μὲν εἴδει οὐκ ἂν εἶναι τὴν αὐτὴν ἐνόμισεν. ἦν γὰρ ἂν ἅμα τὰ ἐναντία. ὥστε εὔλογον τῇ ὕλῃ ταυτὴν εἶναι νομίζειν. εἰ δὲ τὴν αὐτὴν τῇ ὕλῃ, ἢ καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ τὴν αὐτήν, ἢ λόγῳ μὲν ἑτέραν, ὑποκειμένῳ δὲ μόνῳ ταυτήν. εἰ μὲν οὖν ἑτέραν τῷ λόγῳ αὐτὴν ὑπελάμβανεν, ὥσπερ καὶ ἡμεῖς, ἔδει αὐτὸ τοῦτο διορίσαι καὶ διαστέλλεσθαι. εἰ δὲ μὴ φαίνεται τοῦτο ποιῶν, δῆλον δήπου ὅτι καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ τὴν αὐτὴν ὑπελάμβανεν εἶναι αὐτὴν τῇ στερήσει. ὁ μὲν οὖν Ἀριστοτέλης, ταῦτα. ὁ δὲ Πλάτων ὅτι μὲν τὴν ὕλην οὐ ταυτὸν εἶναι τῇ στερήσει ὑπετίθετο, σαφῶς οὕτως οὐκ ἔστιν αὐτὸν εὑρεῖν λέγοντα. ὅτι δὲ ἑτέραν ᾔδει οὖσαν τῆς ὕλης τὴν στέρησιν, σαφὲς ἐκ τῶν εἰρημένων. εἰ γὰρ λέγει τὴν ὕλην μητέρα καὶ τιθήνην καὶ δεξαμενὴν τῶν εἰδῶν, καὶ μηδὲν εἶδος ἔχειν τῶν εἰσιόντων, δῆλον ὅτι στέρησιν εἶχε τῶν εἰδῶν. ὅταν οὖν δέχηται τὰ εἴδη, οὐ δήπου ἅμα καὶ τὴν στέρησιν αὐτῶν ἂν δέχεται, ἔχειν δύναιτ' ἄν. συμβήσεται γὰρ τὸ αὐτὸ ἅμα καὶ εἶναι καὶ μὴ εἶναι. ὥστε ἐν τῷ δέχεσθαι τὰ εἴδη, ἀποβάλλει τὴν τούτων στέρησιν. εἰ δὲ τοῦτο, ἑτέρα ἂν εἴη παρὰ τὴν στέρησιν. καὶ εἰ φησὶν εἶναι πάντα κατὰ τὸ εἶδος, γίνεσθαι μὲν κατὰ τὴν μετάληψιν τοῦ εἴδους, φθείρεσθαι δὲ κατὰ τὴν τούτου ἀποβολήν, τὸ δ' ἀποβάλλον τὸ εἶδος ἡ ὕλη, καὶ ἡ ἀποβολὴ τοῦ εἴδους οὐδὲν ἕτερόν ἐστιν ἢ στέρησις εἴδους. πρὶν ἄρα ἀποβάλῃ τὸ εἶδος, ἐκεχώριστο αὐτῆς ἡ στέρησις. ὥστε, ἕτερον εἶναι τῆς στερήσεως τὴν ὕλην ἐνόμιζεν. εἰ δὲ μὴ σαφῶς οὕτως ἐπὶ λέξεως λέγει, ὥσπερ ὁ Ἀριστοτέλης, ὅτι ἕτερόν ἐστι τῷ λόγῳ ἡ ὕλη τῆς στερήσεως, οὐδὲν θαυμαστόν. αὐτὸς γάρ ἐστιν ὁ Ἀριστοτέλης ὁ εἰπών, ὅτι οὐκ ἂν ἡμεῖς οὕτω διηρθρωμένην περὶ τῶν πραγμάτων ἔχειν τὴν γνῶσιν ἠδυνήθημεν, μὴ τῶν παλαιῶν τὰς ἀρχὰς καὶ τὰ σπέρματα τῆς ζητήσεως εἰληφότες. καὶ οὐδέν γε θαυμαστὸν τῶν ἄλλων ἡμῖν τὰς ἀφορμὰς τῆς τῶν πραγμάτων γνώσεως δεδωκότων, αὐτοὺς ἡμᾶς τὰ παρ' ἐκείνων πλατύνειν καὶ διαρθροῦν.

10 σ

ΠΡΩΤΟΝ μὲν γὰρ ὁμολογοῦσιν ἁπλῶς γίνεσθαί τι ἐκ μὴ ὄντος, ᾗ Παρμενίδην ὀρθῶς λέγειν.

τί ἥψατο μὲν τοῦ περὶ τῆς ὕλης λόγου, οὐχ ἱκανῶς δέ, πρῶτον μὲν δείκνυσιν ἐκ τοῦ ἀποδέχεσθαι τοὺς Παρμενίδου λόγους. εἰ γὰρ συνεχώρουν τὸ ὂν ἓν σημαίνειν, τοῦτο δὲ ἀγέννητον εἶναι, ἔλεγον δὲ καὶ γίνεσθαί τινα, ἀνάγκη πᾶσα ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γίνεσθαι. τὸ γὰρ ὁπωσοῦν ὄν, ἓν εἶναι καὶ ἀγέννητον. καὶ πάλιν, εἰ συνεχώρουν τὸ παρὰ τὸ ὂν οὐκ ὂν εἶναι, τὸ ὂν δὲ ἀγέννητον εἶναι, τὸ γινόμενον ἄρα ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ἔλεγον γίνεσθαι. ὥστε διὰ μὲν τοῦ τὸ γινόμενον ἐκ μὴ ὄντος λέγειν γίνεσθαι, ἐπειδὴ τὸ μὴ ὂν τὴν ὕλην ἐκάλουν. ἐκ γὰρ τοῦ μηδαμῇ μηδαμῶς ὄντος κοινὴ δόξα τῶν φυσικῶν μηδὲν ἂν γίνεσθαι, εἰς ἔννοιαν ἦλθον τῆς ὕλης, ἥτις οὐδέν ἐστι τοιοῦτον, οἷον τὰ γινόμενα. διὰ δὲ τὸ ἁπλῶς μὴ ὂν λέγειν τὴν ὕλην, οὐ κατωρθωμένην ἔχον αὐτῆς τὴν ἔννοιαν. οὐ γάρ ἐστιν ἁπλῶς μὴ ὄν, ἀλλὰ πῇ μὴ ὄν. κατὰ συμβεβηκὸς γὰρ μὴ ὄν, διὰ τὸ τὴν στέρησιν ἔχειν. καὶ ἐνεργείᾳ μὲν μὴ ὄν, δυνάμει δ' ὄν. ἁπλῶς δὲ μὴ ὂν ἔλεγεν τὴν ὕλην, οἱ συνεχώρουν ταῖς Παρμενίδου προτάσεσι. τῇ, τε λεγούσῃ τὸ ὂν ἓν σημαίνειν, καὶ τῇ λεγούσῃ τὸ

» ΕΙ δέ τι μέλλει γίνεσθαι ζῶον μὴ κατὰ συμβεβηκός, οὐκ ἐκ ζώου ἔσται. καὶ εἴ τι ὄν, οὐκ ἐξ ὄντος· οὐδ' ἐκ μὴ ὄντος. τὸ γὰρ ἐκ μὴ ὄντος εἴρηται ἡμῖν τί σημαίνει, ὅτι ᾗ μὴ ὄν.

Εἰ γένοιτό φησιν ἔκ τινος ζῶον μὴ κατὰ συμβεβηκὸς ἐξ ἐκείνου, ἀλλὰ καθ' αὑτό, οὐκ ἐκ ζώου ἔσται γινόμενον, ἀλλ' ἐκ μὴ ζώου· οἷον ἐκ τοῦ σπέρματος, ἢ ἐκ τῆς ὕλης. ὥσπερ οὖν φησὶν ἐπὶ τούτων ἔχει, οὕτω καὶ ἐπὶ τοῦ ὄντος. εἰ γένοιτό τι ἁπλῶς ὄν, οὐκ ἐξ ὄντος γενήσεται· ἤδη γάρ ἐστιν· ἀλλ' ἐκ τοῦ πάντη μὴ ὄντος. ἀλλ' οὐδὲ ἐκ μὴ ὄντος ἁπλῶς δυνατὸν γενέσθαι. τὸ γὰρ κυρίως ἐκ μὴ ὄντος, εἴπομεν σημαίνειν τὸ ᾗ μὴ ὄν. τὸ δὲ καθ' αὑτὸ εἴρηται τὸ μέρος γινόμενον τοῦ ὑποκειμένου. ἀδύνατον ἄρα γενέσθαι τὸ ἁπλῶς ὄν. ἀλλὰ τὸ τὶ ὂν γίνεται ἔκ τινος μὴ ὄντος· οὐ καθὸ μὴ ὄν. οὐδὲ γὰρ ὑπομένει τὸ ὂν τὸ μὴ ὄν. ἀλλὰ κατὰ συμβεβηκὸς μόνον. ζητήσεις δ' εἰ καλῶς εἴρηται τὸ ἐκ τοῦ ζώου ζῶον γίνεσθαι. οἷον εἰ ἐξ ἵππου κύων γένοιτο, ἢ σφῆκες, ἢ ἐκ ταύρου μέλισσαι. οὐδὲ γὰρ ζώων ὄντων ταῦτα γίνεται. ἀλλ' ὥσπερ καὶ ἐξ ἄλλης τινὸς ὕλης, φθαρέντος τοῦ ζώου καὶ τῆς ὕλης αὐτοῦ ἀναλυθείσης καὶ οὕτως ἄλλο εἶδος προσλαβούσης ζώου. ὥστε ἐπὶ τούτων πάντων, οὐχ ὡς ἐκ ζώου ζῶον γέγονεν, ἀλλ' ἐκ μὴ ζώου ζῶον. ὥστ' ἐπὶ τούτων περιττὴ ἡ ἐπεξεργασία τοῦ λέγειν ὅτι οὐχ ᾗ ζῶον γέγονεν· ἐνυπῆρχε γάρ. ἀλλ' ᾗ τὶ ζῶον, οἷον ἵππος. καὶ γὰρ ἀληθῶς καὶ ᾗ ζῶον, ἐκ τούτων γέγονεν· οὐ γὰρ ἐκ ζώου γέγονεν. εἰ δὲ λέγοι τις ὅτι ποτὲ ζῶον γέγονε, τί μᾶλλον ἐπὶ τούτου ἐρεῖς, ἢ ἐφ' ἧστινοσοῦν ἄλλης ὕλης· ἕκαστον γὰρ ποτὲ δύναται γεγενῆσθαι ὕλη ζώου. εἰ οὖν δεῖ πρὸς τὰ νῦν οἰκειοτέροις χρήσασθαι παραδείγμασι, χρησόμεθα τοῖς ἐκ σκωλήκων καὶ καμπῶν γινομέναις ψυχαῖς. αἱ κάμπαι γάρ τινες πρότερον οὖσαι καὶ σκώληκες μὴ φθαρεῖσαι ἐξ εἴδους εἰς εἶδος μεταβάλλουσι. καὶ ἔστιν ἐνταῦθα γένεσις ἐκ ζώου εἰς ζῶον. μένοντα γὰρ ζῶον, γέγονεν ἕτερον ζῶον. καὶ δῆλον ὅτι ἐνταῦθα οὐχ ᾗ ζῶον, ἡ γένεσις. ἦν γὰρ ζῶον μηδὲν παραβλάψαν τῆς τοῦ ζώου οὐσίας. τὸν γὰρ αὐτὸν ὁρισμὸν τοῦ ζώου καὶ ὅτε ἦν κάμπη ἢ σκώληξ ἐπεδέχετο. καὶ μετὰ ταῦτα ὅτε γέγονε ψυχή, γέγονεν οὐκ ἐκ ζώου ζῶον, οὐδ' ᾗ ζῶον, ἀλλ' ἔκ τινος ζώου τὶ ζῶον. τινὸς δὲ ὅταν εἴπω, τὸ εἶδος λέγω. οἷον ἐκ τοιοῦδε εἴδους ζώου, τοιόνδε εἶδος ζώου. εἰ δὲ ᾗ ζῶόν ἐστιν ἐγένετο, ἐξ οὐ ζώου ἂν ἐγένετο. οὐδὲ γάρ ἐστι πρὶν γενέσθαι. οἷον ὡς αἱ ἐκ τῶν σπερμάτων γινόμεναι σκώληκες. γίνεται γὰρ ᾗ ζῶα, ἀλλ' οὐκ ἐκ ζώων.

» ΕΤΙ δὲ καὶ τὸ εἶναι ἅπαν, ἢ τὸ μὴ εἶναι, οὐκ ἀναιροῦμεν.

Ἐπειδὴ εἶπεν ὅτι, οὔτε ἐξ ὄντος γίνεται, οὔτε ἐκ μὴ ὄντος, δοκεῖ δὲ τοῦτο τὸ ἀξίωμα τῆς ἀντιφάσεως ἀναιρεῖν, οὐκ ἀναιροῦμεν φησὶ τοῦτο. λέγομεν γὰρ καὶ ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος, καὶ οὐκ ἀντιφάσει περιπίπτομεν. οὐ γὰρ κατὰ ταυτά, ἢ ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος λέγομεν, ἢ μήτε ἐξ ὄντος μήτε δὲ ἐκ μὴ ὄντος. ἐξ ὄντος μὲν γάρ, ὅτι ἕτερόν τι ἐστίν, ἐξ οὗ γίνεται· ἐκ μὴ ὄντος δέ, ἐπειδὴ μὴ ἔστι τοῦτο ὃ γίνεται. καὶ συντόμως εἰπεῖν, διὰ τὴν στέρησιν, οὔτε ἐξ ὄντος ᾗ ὄν, γίνεται, διότι συνυπάρχει τῇ ὕλῃ ἡ στέρησις. καὶ ταύτῃ ἐκ μὴ ὄντος. καθ' αὑτὸ γὰρ μὴ ὂν ἡ στέρησις. οὔτε ἐκ μὴ ὄντος, ᾗ μὴ ὄν, διότι οὐκ ἔστι συνουσιωμένη ἡ στέρησις τῇ ὕλῃ, ἀλλ' ὑποχωρεῖ τὸ εἶδος ἐπιόν.

» ΕΙΣ μὲν δὴ τρόπος οὗτος. ἄλλος δ' ὅτι ἐνδέχεται ταὐτὰ λέγειν κατὰ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν.

Ἐλέγξας ἐκ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς τὰς περὶ τῆς γενέσεως φερομένας ἀπορίας, νῦν ἐλέγχει καὶ ἐκ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. λέγομεν γὰρ ἐξ ὄντος γίνεσθαι τὰ γινόμενα, ἐκ τοῦ δυνάμει ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος. τοιοῦτον δὲ ἡ ὕλη. ὥστε εἰ λέγομεν ἐξ ὄντος γίνεσθαι, οὐ φαμὲν εἶναι τὸ γινόμενον πρὶν γενέσθαι. οὐ γὰρ ἐκ τοῦ ἐνεργείᾳ ὄντος φαμὲν τὸ ἐνεργείᾳ ὂν γίνεσθαι. ἀλλ' ἐκ τοῦ δυνάμει ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος. οὕτως κἂν ἐκ μὴ ὄντος λέγωμεν, οὐκ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος φαμέν, ἀλλ' ἐκ τοῦ ἐνεργείᾳ μὲν μὴ ὄντος δυνάμει δὲ ὄντος. ὥστε διὰ τούτων, οὔτε τὴν γένεσιν ἀναιροῦμεν, καὶ τὰς ἀπορίας δι' ὧν ἀναιρεῖσθαι ἐδόκει ἡ γένεσις, ἐπιλυόμεθα.

» ΤΟΥΤΟ δ' ἐν ἄλλοις διώρισται δι' ἀκριβείας μᾶλλον.

Ἐν τῷ θ' τῆς μετὰ τὰ φυσικά. ὅλον γὰρ τὸ βιβλίον ἐκεῖνο, εἰς τοῦτο ἀνάλωσε, λέγων τί ποτέ ἐστι τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ.

» ΩΣΘ' ὅπερ ἐλέγομεν αἱ ἀπορίαι λύονται δι' ἃς ἀναγκαζόμενοι ἀναιροῦσι τῶν εἰρημένων ἔνια. διὰ γὰρ τοῦτο τοσοῦτον οἱ πρότερον ἐξετράπησαν τῆς ὁδοῦ τῆς ἐπὶ τὴν γένεσιν, καὶ φθοράν, καὶ ὅλως μεταβολήν.

Τῶν εἰρημένων τῶν φυσικῶν πραγμάτων ἔνια ἀναιροῦσι, τὰ γεννητὰ καὶ τὰ φθαρτά.

» ΑΥΤΗ γὰρ ἂν ὀφθεῖσα ἡ φύσις, ἅπασαν ἔλυσεν αὐτῶν τὴν ἄγνοιαν.

Αὕτη ἡ φύσις ἡ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς καὶ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ ἀναφανεῖσα. εἰ γὰρ ἐπέστησαν τῇ διαιρέσει τῶν πραγμάτων ταύτῃ, λελυκότες ἦσαν ἂν τὰς ἀπορίας δι' ἃς τὴν γένεσιν ἀνῄρουν.

» ΗΜΕΝΟΙ μὲν οὖν καὶ ἕτεροί τινές εἰσιν αὐτῆς, ἀλλ' οὐχ ἱκανῶς.

Ἀποδεδωκὼς τὸν περὶ τῆς ὕλης λόγον, καὶ δείξας ὅτι ταύτῃ μόνον λύονται αἱ τῶν ἀρχαίων ἀπορίαι περὶ τῆς τῶν φυσικῶν πραγμάτων γενέσεως, νῦν βούλεται δεῖξαι, ὅτι τῶν πρὸ αὐτοῦ οὐδεὶς διηρθρωμένως οὕτως τὸν περὶ αὐτῆς ἀποδέδωκε λόγον. φησὶν οὖν ὅτι ταύτης τῆς ὕλης ἡμεῖς τὸν λόγον ἀποδεδώκαμεν.

καὶ μᾶλλον, ἕτερόν τι γίνηται. τότε οὖν κυρίως ἐκ μὴ ὄντος γένοιτο ἄν τι, ὅταν ὑπομένοι τὸ μὴ ὄν, οὕτω δέχοιτο τὸ ὄν. ὅπερ ἐστὶν ἀδύνατον. οὐκέτι δὲ κυρίως ἐκ μὴ ὄντος, ἀλλὰ κυρίως συμβεβηκὸς, ὅταν ὑποχωρῇ τὸ μὴ ὂν τῷ ὄντι. οἱ οὖν πρότεροι τὰ διττὰ ταῦτα σημαινόμενα μὴ διελόντες, ἐνόμισαν φησὶν ὅταν λέγηταί τι ἐκ μὴ ὄντος γίνεσθαι, κυρίως ἐκ μὴ ὄντος λέγεσθαι. οὐδὲ γὰρ ἄλλο τι εἶναι σημαινόμενον τοῦ ἐκ μὴ ὄντος, ἢ τὸ κυρίως. διὰ τοῦτο καὶ φησὶν ἀπέστησαν τῆς ὅλης γενέσεως εἶναι ὑποτίθεσθαι, καὶ ἀπεφήναντο μηδὲν γίνεσθαι. δῆλον δὲ ὅτι καὶ τὸ ἐξ ὄντος γίνεσθαι, ἢ τὸ ὄν, ἢ τὸ μὴ ὂν γίνεσθαι, τοῦτο σημαίνει, καὶ κυρίως ἂν λέγοιτο, ὅταν ᾗ ὄν, ἢ ᾗ μὴ ὂν γίνηται. οὐ μόνον γὰρ τὸ κυρίως μὴ ὂν τοῦτο σημαίνει τὸ ᾗ μὴ ὄν, ἀλλὰ καὶ τὸ κυρίως ὂν τὸ ᾗ ὄν [illegible]

Ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες, ἀπέστησαν. καὶ διὰ ταύτην τὴν ἄγνοιαν, τοσοῦτον προσηγνόησαν ὥστε μηδὲν οἴεσθαι γίνεσθαι, μηδ' εἶναί τι τῶν ἄλλων, ἀλλ' ἀνελεῖν πᾶσαν τὴν γένεσιν. ἡμεῖς δὲ καὶ αὐτοί φαμεν, γίνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ μὴ ὄντος, ὅμως μέντοι γίνεσθαι ἐκ μὴ ὄντος. οἷον κατὰ συμβεβηκός. ἐκ γὰρ τῆς στερήσεως, ὅ ἐστι καθ' αὑτὸ μὴ ὄν, οὐκ ἐνυπάρχοντος γίνεται. θαυμάζεται δὲ τοῦτο, καὶ ἀδύνατον οὕτω δοκεῖ, γίνεσθαί τι ἐκ μὴ ὄντος. ὡσαύτως δὲ, οὐδὲ ἐξ ὄντος, οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός. οὕτω δὲ καὶ τοῦτο γίνεσθαι, τὸν αὐτὸν τρόπον οἷον, εἰ ἐκ ζῴου, ζῷον ἂν γίνοιτο. καὶ εἰ ἔκ τινος ζῴου, τὶ ζῷον. οἷον εἰ κύων ἐξ ἵππου γίνοιτο. γίνοιτο μὲν γὰρ ἂν οὐ μόνον ἔκ τινος ζῴου ὁ κύων, ἀλλὰ καὶ ἐκ ζῴου, ἀλλ' οὐχ ᾗ ζῷον. ὑπάρχει γὰρ ἤδη τοῦτο.

Μὴ διελόντες. τὸ ὂν εἰς τὸ κατὰ συμβεβηκὸς καὶ τὸ καθ' αὑτό. Μηδὲν τῶν ἄλλων, τουτέστι μὴ εἶναι πλῆθός τι, ἀλλ' ἓν εἶναι μόνον τὸ ὄν, καὶ μηδὲ εἶναι τῶν ἄλλων τι τῶν παρὰ τὸ ὄν. ταῦτα δὲ εἶεν ἂν τὰ πολλὰ μὴ ὄντα, ἅπερ οὐκ εἶναί φασιν. Ἐκ γὰρ τῆς στερήσεως ὅ ἐστι καθ' αὑτὸ μὴ ὄν, οὐκ ἐνυπάρχοντος γίνεταί τι, λέγομεν φησὶ καὶ ἡμεῖς ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ἀλλ' οὐ καθ' αὑτὸ ἐκ μὴ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός. γίνεται γὰρ ἐκ τῆς στερήσεως, ἥτις ἐστὶ καθ' αὑτὸ μὴ ὄν, ἀλλ' οὐ καθ' αὑτὸ ἐκ τῆς στερήσεως γίνεται. οὐκ ἐνυπάρχον γὰρ ἐν τῷ γινομένῳ ἡ στέρησις. ἀλλὰ κατὰ συμβεβηκός. καθ' αὑτὸ γὰρ μόνως ἐκ τῆς ὕλης. δύναται δὲ καὶ ἐκ μὴ ὄντος ἐκ τῆς ὕλης γίνεσθαι λέγεσθαι. διότι κατὰ συμβεβηκὸς μὴ ὂν ἡ ὕλη διὰ τὸ ἐνυπάρχειν αὐτῇ τὴν στέρησιν. οὕτω δὲ δύναται ὡς ἐνυπάρχον τὸ μὴ ὂν τοῖς γινομένοις, ἀλλ' οὐ τὸ καθ' αὑτὸ μὴ ὄν, ἀλλὰ τὸ κατὰ συμβεβηκὸς μὴ ὂν ἡ ὕλη ᾗ συμβέβηκε τὸ μὴ ὄν. Θαυμάζεται δὲ τοῦτο καὶ ἀδύνατον οὕτω δοκεῖ γίνεσθαι ἐκ μὴ ὄντος. Ἐπειδὴ εἶπεν ὅτι λέγομεν ἐκ μὴ ὄντος καὶ ἡμεῖς γίνεσθαι, ἐκ μὴ ὄντος δὲ οὐ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς, τοῦτό φησιν αὐτὸ θαυμαστὸν δοκεῖ εἶναι καὶ ἀδύνατον τὸ γίνεσθαί τι ἐκ μὴ ὄντος. ἀλλ' οὐκέτι ἀδύνατον δόξειεν εἶναι κατὰ τὰς ἡμετέρας ὑποθέσεις. Ὡσαύτως οὐδὲ ἐξ ὄντος, οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός. τοῦτο συνεχὲς πρὸς τὸ ἄνω. ἡμεῖς δὲ φαμὲν, γίνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ τοῦ μὴ ὄντος. ὅμως μέντοι γίνεσθαι ἐκ μὴ ὄντος κατὰ συμβεβηκός. εἶτα ἐφεξῆς, ὡσαύτως δὲ οὐδ' ἐξ ὄντος, οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός. ὥσπερ φησὶν ἐκ τοῦ μὴ ὄντος λέγομεν γίνεσθαι, ἀλλ' οὐ καθ' αὑτὸ ἐκ τοῦ μὴ ὄντος, ἀλλὰ κατὰ συμβεβηκὸς, οὕτω καὶ ἐκ τοῦ ὄντος κατὰ συμβεβηκὸς γίνεται τὰ γινόμενα. τοῦτο δὲ ἐπὶ τῆς προσεχοῦς γενέσεως. γίνεται γὰρ ἐξ ὄντος τοῦ ἀέρος τὸ πῦρ, ἀλλὰ κατὰ συμβεβηκὸς, ἐξ ὄντος δὲ, διότι συνέβη ἀέρα εἶναι τὸν εἰς πῦρ μεταβάλλοντα. πῶς δὲ κατὰ συμβεβηκὸς, εἴπομεν. διὰ τὸ μηδὲν συντελεῖν τὸ ἀέριον εἶδος εἰς τὴν τοῦ πυρὸς γένεσιν. γίνεται γοῦν καὶ ἐκ τῶν ἄλλων πάντων, καὶ ὅτι οὐ γίνεται μέρος τοῦ πυρὸς ὁ ἀὴρ, ἀλλ' ὑποφθείρεται. Οἷον εἰ ἐκ τοῦ ζῴου ζῷον γένοιτο, καὶ ἔκ τινος ζῴου τὶ ζῷον. Ὅτι ὅταν τὸ ὂν λέγωμεν ἐξ ὄντος γίνεσθαι, οὐ καθὸ ὄν ἐστιν ἐξ οὗ γίνεται, οὕτω λέγομεν ἐξ αὐτοῦ γίνεσθαι αὐτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς ἐξ ὄντος, πιστοῦται νῦν διὰ τῶν παραδειγμάτων. λέγομεν γάρ φησι ζῷον ἐκ ζῴου γίνεσθαι. ἐκ ζῴου δὲ νῦν λέγομεν, ὡς ἐξ ὑλικοῦ αἰτίου. περὶ τούτου γὰρ νῦν ὁ λόγος. οὐδὲ γὰρ ὡς ἐξ ἀνθρώπου ἄνθρωπον, ὡς ἐκ ποιητικοῦ αἰτίου, ἀλλ' ὡς ἐξ ἵππου μὲν σφῆκας, ἐκ ταύρου δὲ μελίσσας. ἵπποι μὲν σφηκῶν γενέσεως, ταῦροι δὲ μελισσῶν. ὅταν μὲν οὖν λέγωμεν ζῷον ἐκ ζῴου γίνεσθαι, οἷον ἐξ ἵππου σφῆκας, οὐ δήπου τοῦτο λέγομεν, ὅτι ᾗ ζῷον ὁ ἵππος, μεταβάλλει εἰς ζῷα τοὺς σφῆκας. οὐδὲ γὰρ ὑπόκειται τοῖς σφηξὶν, ὡς ὕλη ὁ ἵππος. ἀλλὰ τοῦτο λέγομεν, ὅτι ἐκείνῳ ᾧ συμβέβηκε ζῴῳ εἶναι, ἄλλο τι γίνεται, ᾧ καὶ αὐτῷ ζῴῳ εἶναι ὑπάρχει. οὕτως οὖν καὶ εἰ γένοιτο ὕδωρ ἐξ ἀέρος, τὸ ὂν ἐξ ὄντος γίνεσθαι λέγομεν, οὐχ ὅτι τὸ ἤδη ὂν γίνεται, οὐδ' ὅτι τὸ γινόμενον ἐστὶ πρὶν γενέσθαι, ἀλλ' ὅτι ἐκείνου οὗ τὸ ὂν κατηγορεῖται, κατὰ συμβεβηκὸς γίνεται ἕτερόν τι ὃ καὶ αὐτὸ ὂν ὑπάρχει. εἰπὼν δὲ εἰ ἐκ ζῴου ζῷον γένοιτο, ἐπειδὴ οὐδ' ἁπλῶς ὡς ζῷον γίνεται, ἀλλὰ τὸ γινόμενον πάντως τὶ ζῷόν ἐστιν, ἐπήγαγε καὶ ἔκ τινος ζῴου τὶ ζῷον. γένοιτο γὰρ ἂν οὐ μόνον ἔκ τινος ζῴου κύων, ἀλλὰ καὶ ἐκ ζῴου. οὐχ ᾗ γὰρ ζῷον. ὑπάρχει γὰρ ἤδη τοῦτο. ὥσπερ γὰρ ἀληθές ἐστι τὸ εἰπεῖν, ὅτι γίνεται ἐξ ἵππου κύων τυχὸν, ἢ σφὴξ, ἢ ἕτερόν τι, οὕτω καὶ ἐστὶν ἀληθὲς εἰπεῖν, ὅτι καὶ ἐκ ζῴου γέγονε κύων. ἀλλ' εἰ καὶ λέγομεν ἐκ ζῴου ζῷον γινόμενον, οὐχ ᾗ ζῷον λέγομεν τὸ ἐξ οὗ γίνεται, οὕτω γὰρ γενήσεται ἐξ αὐτοῦ τὸ ζῷον. οὐ γὰρ ᾗ ζῷον τὸ ἐξ οὗ ὄντος γίνεται, οὐδ' ἂν ἐγένετο. ἤδη γὰρ ὑπάρχει ἐν τῷ ἐξ οὗ τὸ ζῷον. δῆλον ἄρα ὅτι οὐχ ᾗ ζῷον τὸ ἐξ οὗ, οὕτως ἐξ αὐτοῦ γίνεται ζῷον, ἀλλὰ κατὰ συμβεβηκὸς ἐκ ζῴου, ὥσπερ εἴπομεν.

νεσθαι ὑποκεῖσθαι τῷ ὄντι. ἐν παντὶ γὰρ ἂν εἴη τὸ ὂν καὶ τὸ μὴ ὄν, καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες. Τῷ δοθέντι φησὶν ἀτόπῳ ἀεὶ τὰ ἄλλα συμβαίνοντα αὔξοντες. ἑνὶ γὰρ δοθέντι ἀτόπῳ μυρία ἀκολουθεῖ, καὶ τὸ πλῆθος ἐκ τῶν ὄντων ἀναιροῦσιν, ἓν εἶναι μόνον λέγοντες τὸ ὄν. οἵτινες ἦσαν οἱ περὶ τὸν Παρμενίδην καὶ Μέλισσον. ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν διὰ τὰ εἰρημένα. τὴν δόξαν ταύτην λέγουσαν μὴ εἶναι γένεσιν, καὶ τὴν τὸ πλῆθος ἀναιροῦσαν ἐκ τῶν ὄντων, διὰ τὸ νομίσαι τὸ μὴ ὂν μηδὲ μὴ μηδαμῶς δύνασθαι ὕπαρξιν ἔχειν. διὰ γὰρ τοῦτο, οὔτ' ἂν γενέσθαι τι ἐκ τοῦ μὴ ὄντος, οὔτε πλῆθος εἶναι ἐν τοῖς οὖσι. διὰ τό, τὸ αὐτὸ συμβαίνειν καὶ ὂν εἶναι καὶ μὴ ὄν.

" ΗΜΕΙΣ δὲ λέγομεν, ὅτι τὸ ἐξ ὄντος, ἢ μὴ ὄντος γίνεσθαι, ἢ τὸ μὴ ὄν, ἢ τὸ ὂν ποιεῖν τι, ἢ πάσχειν, ἢ ὁτιοῦν τόδε γίνεσθαι, ἕνα μὲν τρόπον, οὐδὲν διαφέρει, ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι, ἢ πάσχειν, ἢ τὸ ἐξ ἰατροῦ εἶναί τι, ἢ γίνεσθαι. ὥστ' ἐπειδὴ τοῦτο διχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ ἐξ ὄντος, καὶ τὸ ὄν, ἢ ποιεῖν τι, ἢ πάσχειν. οἰκοδομεῖ μὲν οὖν ὁ ἰατρός, οὐχ ᾗ ἰατρός, ἀλλ' ᾗ οἰκοδόμος. καὶ λευκὸς γίνεται, οὐχ ᾗ ἰατρός, ἀλλ' ᾗ μέλας. ἰατρεύει δὲ καὶ ἀνίατρος γίνεται, ᾗ ἰατρός.

Ἡμεῖς φησὶν ἐπιλυόμενοι τὴν ἀπορίαν, φαμὲν ὅτι τὸ ὄν, καὶ μὴ ὄν, διττῶς λέγεται. ἢ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, ἢ δυνάμει καὶ ἐνεργείᾳ. καὶ τίθησι τοῦ πρώτου τρόπου παράδειγμα τοιοῦτον. λέγομέν φησι τὸν ἰατρὸν ἰατρεύειν. λέγομεν δὲ πάλιν τὸν ἰατρὸν οἰκοδομεῖν, ἀλλὰ τὸ μὲν ἰατρεύειν τὸν ἰατρόν, καθ' αὑτὸ φαμέν. καθὸ γὰρ ἰατρός, ἰατρεύει. τὸ δὲ τὸν ἰατρὸν οἰκοδομεῖν, κατὰ συμβεβηκός. διότι συνέβη τῷ ἰατρῷ οἰκοδόμῳ εἶναι. οὐ γὰρ ᾗ ἰατρός, οἰκοδομεῖ, ἀλλ' ᾗ οἰκοδόμος. ὥσπερ δὲ ἐπὶ τοῦ ποιεῖν τι τὸν ἰατρόν, τὸ μὲν ἐστὶ καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ ἐπὶ τοῦ πάσχειν. λέγομεν γὰρ τὸν ἰατρὸν ἀνίατρον γενέσθαι. λέγομεν δὲ πάλιν, λευκαίνεσθαι τὸν ἰατρόν. ἀλλὰ ἀνίατρος μὲν γίνεται, καθ' αὑτό. καθὸ γὰρ ἰατρός ἐστιν, ἀνίατρος γίνεται. λευκαίνεται δέ, οὐ καθὸ ἰατρός, ἀλλὰ καθὸ μέλας. διότι συνέβη τῷ ἰατρῷ μέλανι εἶναι διὰ τοῦτο τοῦ μέλανος λευκαινομένου, ὁ ἰατρὸς κατὰ συμβεβηκὸς λέγεται λευκαίνεσθαι. ὥσπερ οὖν ἐπὶ τοῦ ἰατροῦ ἔχει, οὕτω καὶ ἐπὶ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος. λέγομεν γάρ, ἐξ ὄντος γίνεσθαι καὶ ἐκ μὴ ὄντος, ἀλλ' οὐ καθ' αὑτό, οὔτε ἐξ ὄντος, οὔτε ἐκ μὴ ὄντος. ἀλλὰ κατὰ συμβεβηκὸς οὐδὲν ἄτοπον τὸ γενέσθαι τὸ ὂν ἐξ ὄντος, ἐξ ἄλλου ὄντος ἄλλο ὄν. πολλαχῶς γὰρ τὸ ὄν, ἀλλ' οὐ καθὸ ὄν ἐστιν, ἀλλὰ καθὸ κατὰ συμβεβηκὸς ὄν. ὁμοίως δὲ καὶ ἐκ μὴ ὄντος, οὐχ ᾗ μὴ ὄν, ἀλλ' ᾗ κατὰ συμβεβηκὸς μὴ ὄν. τὸ αὐτὸ μὲν γὰρ ὂν ἐκ τοῦ αὐτοῦ ὄντος, οὐδὲ κατὰ συμβεβηκὸς γένοιτ' ἄν, οἷον, ὕδωρ ἐξ ὕδατος. ἐξ ἄλλου μέντοι ὄντος ἄλλο ὄν, γένοιτ' ἂν κατὰ συμβεβηκός. εἴρηται δὲ ἡμῖν περὶ τούτου ἀκριβέστερον ἤδη. ἡ μὲν οὖν διάνοια τῶν ῥητῶν, αὕτη. τὰ δὲ κατὰ τὴν λέξιν, ἐπειδὴ εἴρηται ἐν τοῖς ἔμπροσθεν ὅτι ἐπὶ μὲν τῆς στερήσεως φέρομεν ἀμφότερα τὰ προσρήματα, καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε. ἐπὶ δὲ τῆς ὕλης ἀμφότερα μέν, ἀλλ' οὐκ ἐπὶ τοῦ αὐτοῦ. ἀλλ' ἐπ' ἄλλου μὲν τὸ ἐκ τοῦδε. ἐκ γὰρ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου φαμὲν τὸν ἄνθρωπον γενέσθαι, οὐ τὸ σπέρμα καὶ τὸ καταμήνιον ἄνθρωπον γενέσθαι. τὸν δὲ χαλκὸν φαμὲν ἀνδριάντα γενέσθαι, καὶ οὐκ ἐκ τοῦ χαλκοῦ τὸν ἀνδριάντα. ἐπεὶ οὖν καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε φέρομεν ἐπὶ τῆς ὕλης, καὶ ἐπὶ τῆς στερήσεως, διὰ τοῦτο νῦν αὐτὸς καὶ ἐπὶ τοῦ ὄντος, καὶ ἐπὶ τοῦ μὴ ὄντος ἀμφοτέροις ἐχρήσατο τοῖς προσρήμασι. νῦν γὰρ λέγομέν φησιν, ὅτι τὸ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος. ἰδοὺ ἐπὶ τοῦ ὄντος, καὶ τοῦ μὴ ὄντος, τὸ ἐκ τοῦδε. πάλιν δὲ καὶ τὸ τόδε ἐπήγαγεν ἐπὶ τῶν αὐτῶν, ἢ τὸ μὴ ὂν γάρ φησιν, ἢ τὸ ὄν, ποιεῖν τι ἢ πάσχειν. εἰπὼν δὲ ὅτι τὸ ἐξ ὄντος, ἢ μὴ ὄντος γίνεσθαι, ἐπί τι καθολικώτερον ἀνάγει τὸν λόγον. ἢ τὸ μὴ ὂν γάρ φησιν, ἢ τὸ ὄν, ποιεῖν τι ἢ πάσχειν. ἐπὶ πλέον γὰρ τοῦ γίνεσθαι, τὸ ποιεῖν καὶ τὸ πάσχειν. καὶ γὰρ τὸ γίνεσθαι, πάσχειν τί ἐστιν. αἱ δὲ κατὰ τὰς ἄλλας κατηγορίας μεταβολαί, γενέσεις μὲν οὐκ εἰσί, ποιήσεις δέ τινες καὶ πειθήσεις μόνον. μόνη γὰρ ἡ κατὰ τὴν οὐσίαν μεταβολὴ γένεσις. ἀλλ' ἐπειδὴ λέγεται καὶ κοινότερον ἡ γένεσις ἐπὶ πάσης μεταβολῆς. λέγομεν γὰρ καὶ λευκὸν γενέσθαι, ἢ ἄνω ἢ κάτω γενέσθαι, διὰ τοῦτο πάλιν προϊὼν ἐπὶ τὸ καθολικώτερον προῆλθεν. εἰπὼν γὰρ ἢ τὸ ὄν, ἢ τὸ μὴ ὂν ποιεῖν τι ἢ πάσχειν, ἐπήγαγεν, ἢ ὁτιοῦν τόδε γίνεσθαι, ἵνα μὴ μόνον ἐπὶ τῆς κατ' οὐσίαν γενέσεως, ἀλλὰ καὶ ἐπὶ τῆς κατὰ ποσὸν καὶ ποιόν, καὶ ἐπὶ τῆς κατὰ τόπον, ἀκούσωμεν τῶν εἰρημένων. ὥστ' ἐπειδὴ τοῦτο διχῶς λέγεται, τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν. λέγεται γὰρ ἢ καθ' αὑτὸ ποιεῖν, ἢ κατὰ συμβεβηκός, ὁμοίως δὲ καὶ τὸ πάσχειν, ἢ καθ' αὑτό, ἢ κατὰ συμβεβηκός. ἀμφότερα γὰρ καὶ τὸ ποιεῖν, καὶ τὸ πάσχειν τοῦ αὐτοῦ ἐστὶ παραδείγματα, τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς λέγω. ὥσπερ οὖν ἐπὶ τοῦ ἰατροῦ τὸ ποιεῖν, ἢ τὸ πάσχειν διχῶς λέγεται, ἢ καθ' αὑτό, ἢ κατὰ συμβεβηκός, οὕτω καὶ τὸ ἐξ ὄντος γίνεσθαι, ἢ ἐκ τοῦ μὴ ὄντος, καὶ τό, τὸ μὴ ὂν γίνεσθαι, ἢ τὸ ὄν, διχῶς ἂν λέγοιτο, ἢ καθ' αὑτό, ἢ κατὰ συμβεβηκός.

" ΕΡΕΙ δὲ λέγομεν κυρίως μάλιστα τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν, ἢ γίνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾗ ἰατρὸς ταῦτα πάσχῃ, ἢ ποιῇ. δῆλον ὅτι καὶ τὸ μὴ ἐξ ὄντος γίνεσθαι, καὶ τοῦτο σημαίνει τὸ ᾗ μὴ ὄν.

Εἰπὼν ὅτι διχῶς λέγεται τὸ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος γίνεσθαι, ὥσπερ καὶ τὸ ἐξ ἰατροῦ γίνεσθαί τι, διαστέλλεται νῦν, ποῖον μάλιστα τῶν δύο σημαινομένων κυριώτατον λέγεται ἐπὶ τοῦ προκειμένου. καί φησιν, ὥσπερ κυρίως μάλιστα λέγεται ὁ ἰατρὸς ποιεῖν τι ἢ πάσχειν, ὅταν ᾗ ἰατρός, ποιῇ τι ἢ πάσχῃ. οἷον ἰατρεύῃ, ἢ ἀνίατρος γίνηται, οὕτω φησὶ καὶ τὸ ἐξ ὄντος, ἢ μὴ ὄντος γίνεσθαί τι ἐστί. τουτέστιν ὅταν ὑπομένον

ἐπειδὴ ἕτερόν τι ἐστὶν, ἐκ μὴ ὄντος δὲ, ἐπειδὴ τοῦτο οὐκ ἔστιν ὃ γίνεται. ἀλλ' ἐπὶ μὲν τῆς ἐκ τῆς ὕλης γενέσεως, ἐκ καθ' αὑτὸ μὲν ὄντος γίνεται, οὐχὶ δὲ ἐκ καθ' αὑτὸ μὴ ὄντος. οὐ γὰρ μέρος γίνεται ἡ στέρησις τοῦ ἀποτελουμένου, ὥσπερ ἡ ὕλη. ἐπὶ δὲ τῆς προσεχοῦς γενέσεως, οἷον ὅταν γίνηται ἐξ ἀέρος πῦρ, οὔτε ἐκ καθ' αὑτὸ ὄντος γίνεται, οὔτε ὡς ἐκ καθ' αὑτὸ μὴ ὄντος. οὔτε γὰρ ὁ ἀὴρ, οὔτε ἡ στέρησις τοῦ πυρὸς μέρος γίνεται τοῦ πυρός. ἀλλὰ καὶ ἐξ ὄντος, καὶ ἐκ μὴ ὄντος, καὶ κατὰ συμβεβηκὸς γίνεται ἐκ τοῦ ἀέρος τὸ πῦρ. ἐξ ἄλλου δέ τινος γίνεται ὄντος καθ' αὑτὸ τῆς ὕλης κατὰ τὸν εἰρημένον τρόπον. καθ' ἕνα μὲν οὖν τρόπον, οὕτως ἐπιλύεται τὰς ἀπορίας, ἐκ τοῦ καθ' αὑτὸ καὶ τοῦ κατὰ συμβεβηκὸς, ἅπερ ἐν τῷ τῶν ἀρχῶν λόγῳ παρείληφεν εἶπε γὰρ τῶν ἀρχῶν τὰς μὲν εἶναι καθ' αὑτὸ, τὴν ὕλην καὶ τὸ εἶδος. τὴν δὲ κατὰ συμβεβηκὸς, τὴν στέρησιν. ὥστε ἐξ οὗ γίνεται, οὐ πάντως ἐκ καθ' αὑτὸ ὄντος γίνεται, ἀλλὰ καὶ ἐκ τοῦ κατὰ συμβεβηκὸς ὄντος. ἐλύθησαν οὖν αἱ ἀπορίαι ἐκ τοῦ περὶ ἀρχῶν ἀποδεδομένου λόγου. ἐπιλύεται δὲ αὐτὰς καὶ ἐκ τοῦ δυνάμει καὶ ἐκ τοῦ ἐνεργείᾳ. ἐπεὶ γάρ ἐστι τῶν πραγμάτων, τὰ μὲν δυνάμει, τὰ δὲ ἐνεργείᾳ, ὅταν λέγωμεν ἐξ ὄντος γίνεσθαι, ἐκ δυνάμει μὲν ὄντος λέγομεν γίνεσθαι, ἐνεργείᾳ δὲ μὴ ὄντος. ὁμοίως καὶ ὅταν ἐκ τοῦ μὴ ὄντος, οὐκ ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος, ἀλλ' ἐκ τοῦ ἐνεργείᾳ μὲν μὴ ὄντος, δυνάμει δ' ὄντος. δυνάμει γάρ ἐστιν ἡ ὕλη πάντα τὰ φυσικὰ εἴδη, ἐνεργείᾳ δ' οὐδέν, διότι οὐδὲ χωρὶς τῶν εἰδῶν ὑπάρξειέ ποτε. οὐκέτι δὲ ταυτὸν τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ, καὶ τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός. ἔστι γὰρ καὶ δυνάμει εἶναι καὶ καθ' αὑτὸ, καὶ δυνάμει καὶ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ ἐνεργείᾳ καὶ καθ' αὑτὸ, καὶ ἐνεργείᾳ καὶ κατὰ συμβεβηκός. ὅταν γὰρ εἴπω, ὅτι ὁ ἰατρὸς ἰατρεύει, ἐνεργείᾳ εἶπον καὶ καθ' αὑτό. ὅταν δὲ ὅτι ὁ ἰατρὸς ἰατρεύσει, δυνάμει εἶπον καὶ καθ' αὑτό. καὶ πάλιν ὅταν μὲν εἴπω, ὅτι ὁ ἰατρὸς οἰκοδομεῖ, ἐνεργείᾳ εἶπον καὶ κατὰ συμβεβηκός. οὐ γὰρ ᾗ ἰατρὸς, οἰκοδομεῖ. ἀλλ' ᾗ συνέβη οἰκοδόμον ὄντα αὐτὸν, καὶ ἰατρὸν εἶναι. τοῦ οἰκοδόμου οὖν καθ' αὑτὸ οἰκοδομοῦντος, λέγεται κατὰ συμβεβηκός ὁ ἰατρὸς οἰκοδομεῖν, διότι ἐν τῷ αὐτῷ ὑποκειμένῳ ὁ ἰατρὸς καὶ ὁ οἰκοδόμος. ὅταν δὲ εἴπω, ὁ ἰατρὸς οἰκοδομήσει, δυνάμει εἶπον καὶ κατὰ συμβεβηκός. ὥστε ἐκ μὲν τῆς ὕλης καθ' αὑτὸ μὲν ὄντος γίνεται τὰ γινόμενα, δυνάμει δ' ὄντος, καὶ οὐκ ἐνεργείᾳ, διότι καθ' ἑαυτὴν, οὐχ ὑφέστηκεν ἡ ὕλη ἐνεργείᾳ ἐκτὸς εἰδῶν ἀλλὰ κατὰ τὸν ἴδιον λόγον δυνάμει ἐστὶ πάντα, ἐνεργείᾳ δ' οὐδέν. ἐπειδὴ ἐνεργείᾳ ὑπάρχειν λέγεται τὸ εἰδοπεποιημένον. πάλιν καὶ ἐκ τῆς στερήσεως ἐξ ἐνεργείᾳ μὲν μὴ ὄντος γίνεται, δυνάμει δ' ὄντος. τίς οὖν ἡ διαφορὰ τῆς ὕλης πρὸς τὴν στέρησιν, εἴγε ἐξ ἀμφοῖν ἐκ δυνάμει μὲν ὄντων γίνεται, ἐνεργείᾳ δὲ μὴ ὄντων. ὅτι περ ἐπὶ μὲν τῆς ὕλης τὸ μὲν ὂν, καθ' αὑτό ἐστι. καθ' αὑτὸ γὰρ ὂν ἡ ὕλη. τὸ δὲ μὴ ὂν κατὰ συμβεβηκὸς, διότι συνέβη τὴν στέρησιν αὐτὴν ἔχειν. ἐπὶ δὲ τῆς στερήσεως ἔμπαλιν. ἐπὶ μὲν τοῦ μὴ ὄντος τὸ καθ' αὑτὸ, ἐπὶ δὲ τοῦ ὄντος, τὸ κατὰ συμβεβηκός. καθ' αὑτὸ γὰρ μὴ ὂν ἡ στέρησις, κατὰ συμβεβηκὸς δὲ ὂν, διότι συνέβη αὐτὴν ἐν τῇ ὕλῃ εἶναι. ὥστε εἰ τὸ γινόμενον γίνεται ἐκ τοῦ δυνάμει μὲν ὄντος ἐνεργείᾳ δὲ μὴ ὄντος, οὐκ ἄρα τὸ γινόμενον ἦν, πρὶν γενέσθαι. οὐ γὰρ ἦν ἐνεργείᾳ. καὶ πάλιν ὅταν ἐκ μὴ ὄντος λέγωμεν γίνεσθαι τὸ ὂν, οὐκ ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος λέγομεν, ἀλλ' ἐκ τοῦ ἐνεργείᾳ μὴ ὄντος, δυνάμει δὲ ὄντος. ὥστε καὶ διὰ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ, ἐπιλύονται αἱ ἀπορίαι καὶ τούτον δὲ τοῦ τρόπου τῆς ἐπιλύσεως οἱ ἀποδεδομένοι περὶ τῶν ἀρχῶν λόγοι αἴτιοι. ἡ γὰρ στέρησις ἐνυπάρχουσα τῇ ὕλῃ, δυνάμει αὐτὴν εἶναι, καὶ οὐκ ἐνεργείᾳ ποιεῖ. ἐπειδὴ γὰρ τὸ δεχόμενον τὸ εἶδος, τοῦτο καὶ τὴν στέρησιν πέφυκε δέχεσθαι, καὶ οὐκ ἂν δέξαιτο τὴν στέρησιν τὸ μηδὲ τὸ εἶδος πεφυκὸς δέχεσθαι, ὡς εἴρηται ἐν κατηγορίαις, διὰ τοῦτο ἐπειδή ἐστιν ἐν τῇ ὕλῃ ἡ στέρησις, πέφυκε δήπου καὶ τὸ εἶδος εἶναι ἐν αὐτῇ. ἐπειδὴ οὖν πέφυκε μὲν εἶναι ἐν αὐτῇ, οὔπω δὲ ἔστιν. ἀδύνατον γὰρ ἅμα εἶναι τὴν στέρησιν, καὶ τὸ εἶδος. διὰ τοῦτο δυνάμει λέγεται καὶ οὐκ ἐνεργείᾳ. πρόδηλον δὲ δήπου ἐκεῖνο, ὅτι καὶ τὴν στέρησιν ἐνταῦθα λαμβάνομεν μεταβάλλουσαν εἰς τὸ εἶδος, καὶ οὐχ ὡς ἐν κατηγορίαις τὴν ἕξιν μόνην εἰς τὴν στέρησιν. οὐκέτι δὲ καὶ ἔμπαλιν. τοῦτο δὲ διότι ἐκεῖ μὲν ἕξιν καὶ στέρησιν ἐν εἰδοπεποιημένῳ πράγματι ἐλαμβάνομεν γινόμενα, ἐνταῦθα δὲ περὶ τὸ ἀνείδεον, καὶ πρῶτον ὑποκείμενον τὸ εἶδος γινόμενον καὶ τὴν στέρησιν θεωροῦμεν.

» ΖΗΤΟΥΝΤΕΣ γὰρ οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν, καὶ τὴν φύσιν τὴν τῶν ὄντων,
» ἐξετράπησαν, οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρίας. καί φασιν, οὔτε γίνεσθαι τῶν ὄντων οὐ-
» δὲν, οὔτε φθείρεσθαι, διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίγνεσθαι τὸ γιγνόμενον ἢ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος, ἐκ
» δὲ τούτων ἀμφοτέρων ἀδύνατον εἶναι. οὔτε γὰρ τὸ ὂν γίγνεσθαι. εἶναι γὰρ ἤδη. ἔκ τε μὴ ὄντος οὐδὲν ἂν
» γενέσθαι. ὑποκεῖσθαι γάρ τι δεῖ. καὶ οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες, οὐδ' εἶναι πολλά φασιν,
» ἀλλὰ μόνον αὐτὸ τὸ ὄν. ἐκεῖνοι μὲν οὖν ταύτην ἔλαβον τὴν δόξαν, διὰ τὰ εἰρημένα.

Πρώτους φησὶ κατὰ φιλοσοφίαν, οὐ τῷ ἀξιώματι πρώτους, ἀλλὰ τῷ χρόνῳ. τὴν δὲ ἀλήθειαν φησὶ καὶ τὴν φύσιν, ἀντὶ τοῦ ἐν τῇ φύσει ἀλήθειαν. ἐξετράπησαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες. ὑπὸ ἀπειρίας φησὶ διαλεκτικῆς, ἐκ τῆς ἐπὶ τὴν ἀλήθειαν ὁδοῦ ἐξετράπησαν. οὐ γὰρ ᾔδεσαν διαστέλλεσθαι τὸ ὂν ποσαχῶς λέγεται καὶ τὸ μὴ ὂν, καὶ ἔτι τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκὸς, καὶ τὸ δυνάμει, καὶ τὸ ἐνεργείᾳ, οὐκ ἂν ἐνόμισαν ἀδύνατον εἶναι γενέσθαί τι καὶ ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος. ἔκ τε μὴ ὄντος οὐδὲν ἂν γενέσθαι. ὑποκεῖσθαι γάρ τι δεῖ. δεῖ ἀεὶ τῷ γινομένῳ ὑποκεῖσθαι ἀεὶ τὸ ἐξ οὗ γίνεται. τὸ δὲ μὴ ὂν, οὐδέ-

εἰ γάρ ἐστιν πλῆθος, ἔστι καὶ ἕτερόν τι. εἰ δὲ τοῦτο, ἔστι καὶ τὸ μὴ ὄν. οὐκ ἔστι γὰρ Σωκράτης ὅπερ Πλάτων. ὥστε ἔστι Σωκράτης μὴ ὄν. οὐ γάρ ἐστι Πλάτων. ἔστι δὲ καὶ ὄν. Σωκράτης γάρ ἐστι. τὸ αὐτὸ ἄρα καὶ μὴ ὄν, καὶ ὂν ἔσται, ὅπερ ἀδύνατον. εἰ δὲ τοῦτο ἀδύνατον, καὶ πλῆθος ἐν τοῖς οὖσιν εἶναι ἀδύνατον. ἓν ἄρα τὸ ὄν, καὶ ἀκίνητον. ἐκεῖνοι μὲν οὖν ἐκ τούτων ἀνῄρουν τὴν γένεσιν δι' ἀπειρίαν τῆς διαλεκτικῆς μεθόδου. καλῶς μὲν γὰρ περὶ γενέσεως ζητοῦντες, ἐκ διαιρέσεως προήγαγον τὸν λόγον, καὶ διαιρέσεως τῆς κατ' ἀντίφασιν λέγοντες ὅτι εἰ γίνεταί τι, ἢ ἐξ ὄντος γίνεται, ἢ ἐκ μὴ ὄντος. ἀντίφασις γὰρ τὸ ὂν καὶ τὸ μὴ ὄν. κακῶς δ' ὅτι ἁπλῶς ἐχρήσαντο τῇ διαιρέσει. οὐδὲ γὰρ τὸ ὂν ἑνός τινος πράγματός ἐστι σημαντικόν. ὁμοίως δὲ οὐδὲ τὸ μὴ ὄν. ἔδει οὖν καὶ τούτων τὴν διαίρεσιν ποιήσασθαι, καὶ οὕτω πάντα τὰ μόρια τῆς διαιρέσεως ἐπισκοπῆσαι, εἰ ἐνδέχεται κατά τι αὐτῶν γενέσθαι τὴν γένεσιν. ὁμώνυμος γὰρ φωνὴ καὶ τὸ ὄν, ὁμοίως δὲ καὶ τὸ μὴ ὄν. ἁπλῶς μὲν γάρ, οὐδέν ἐστι. οὐδὲ γάρ ἐστι κοινή τις φύσις τοῦ ὄντος, ἀλλ' ἔστιν ὁμώνυμος φωνὴ κατὰ πλειόνων γενῶν κατηγορουμένη. ἡ γὰρ οὐσία ἐστὶ τὸ ὄν, ἢ ποσόν, ἢ ποιόν, ἤ τι τῶν ἄλλων. ὁμοίως οὐδὲ τὸ μὴ ὂν ἕν τι καὶ ἁπλοῦν σημαίνει, ἀλλ' ἤτοι τὸ ἁπλῶς μὴ ὄν, ὅπερ μηδὲν τῶν ὄντων ἐστίν, ἢ τὸ τὶ μὴ ὄν. ἡ γὰρ οὐσία τὶ μὴ ὄν. οὐδὲ γάρ ἐστιν, ὅπερ τὸ ποσόν, ἢ τὸ ποιόν. ὁμοίως καὶ τῶν ἄλλων ἕκαστον, καὶ ὄν ἐστι, καὶ μὴ ὄν, κατὰ ἄλλο καὶ ἄλλο. ἄλλο μὲν ὄν τι, ἄλλο δὲ μὴ ὄν. ἐκεῖνοι μὲν οὖν διὰ τὴν ἀπειρίαν τῆς διαλεκτικῆς μεθόδου εἰς ταύτην τὴν ἀπορίαν ἐξέκλιναν, ὥστε τὰ ἐναργῆ ἀνελεῖν, οὕτω βιαζόμενοι ὑπὸ τοῦ λόγου τήν τε γένεσίν φημι, καὶ τὸ πλῆθος. ἐπιλύεται δὲ ὁ Ἀριστοτέλης τὰς ἀπορίας ἐκ τῶν ἀποδεδειγμένων λόγων περὶ τῶν ἀρχῶν. εἴρηται γὰρ ὅτι τῶν ἀρχῶν αἱ μέν εἰσι καθ' αὑτὸ ἀρχαί, ἡ ὕλη καὶ τὸ εἶδος. ἡ δὲ κατὰ συμβεβηκός, ἡ στέρησις. καὶ ἐκ τοῦ καθ' αὑτὸ οὖν, καὶ ἐκ τοῦ κατὰ συμβεβηκὸς ἐπιλύεται τὴν ἀπορίαν, καὶ ἐκ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. εἰ μὲν γὰρ ἁπλῶς ἐγένετό τι, δῆλον ὅτι καὶ ἐξ ἁπλῶς μὴ ὄντος ἐγένετο ἄν. νῦν δὲ τὸ γινόμενον τί ἐστι. δῆλον ἄρα ὅτι καὶ ἔκ τινος μὴ ὄντος γίνεται. ὡς γὰρ τὸ ἁπλῶς ὂν ἐξ ἁπλῶς μὴ ὄντος γίνεται, οὕτω καὶ τὸ τὶ ὄν, ἔκ τινος μὴ ὄντος γίνεται. τὸ μὲν οὖν ἁπλῶς ὄν, ἀδύνατον γενέσθαι. γένοιτο γὰρ ἂν ἐκ τοῦ πάντη μὴ ὄντος, καὶ ἐνταῦθα ὑγιὴς ὁ παρ' αὐτῶν λεγόμενος λόγος. ἐπειδὴ δὲ τὸ γινόμενον οὐχ ἁπλῶς γίνεται ἀλλά τι, καὶ τὸ ἐξ οὗ γίνεταί τι, μὴ ὂν ἔσται. τὸ δέ τι μὴ ὄν, καὶ τὸ τὶ ὄν ἐστι. τοῦτο δὲ σύνθετόν ἐστιν ἐξ ὕλης καὶ εἴδους. πᾶν γὰρ τὸ ἐνεργείᾳ ὄν, τοιοῦτον. ὅταν οὖν λέγωμεν ὅτι γίνεται τὸ γινόμενον ἐξ ὄντος, οἷον τὸ πῦρ ἐξ ἀέρος, ἐκ καθ' αὑτὸ μὴ ὄντος τοῦ ἀέρος δηλονότι λέγομεν γίνεσθαι τὸ πῦρ. καθ' αὑτὸ γὰρ ὂν ὁ ἀήρ. ἀλλ' οὐ καθ' αὑτὸ ὡς ἐξ ὄντος, ἀλλὰ κατὰ συμβεβηκός. καθ' αὑτὸ γὰρ ἣν ἔμπροσθεν ἐλέγομεν εἶναι ἀρχήν, τοῦτο ὁ μέρος γίνεται τοῦ γινομένου, ὡς ἡ ὕλη καὶ τὸ εἶδος. εἰ οὖν ὁ ἀὴρ οὐ γίνεται μέρος τοῦ πυρός, δηλονότι οὐ καθ' αὑτὸ ἐξ ὄντος τοῦ ἀέρος γίνεται τὸ πῦρ, ἀλλ' ὅτι συνέβη τὸ ἐξ οὗ καθ' αὑτὸ γίνεται, λέγω δὴ τὴν ὕλην τὴν τοῦ ἀέρος, εἶδος ἔχειν. οὐδὲν γὰρ συμβάλλεται εἰς τὴν τοῦ πυρὸς γένεσιν τὸ ἀέρειον εἶδος. γίνεται γοῦν οὐδὲν ἧττον καὶ ἐξ ὕδατος καὶ γῆς, καὶ ἐκ πάντων τῶν συνθέτων, πῦρ. εἰ μὲν οὖν ἐκ τῆς ὕλης θεωροῦμεν γινομένην, ἐκ ταύτης ὡς ἐκ καθ' αὑτὸ ὄντος, γίνεται. καθ' αὑτὸ γὰρ ὂν ἡ ὕλη, καὶ καθ' αὑτὸ ὡς ἐξ ὄντος. μέρος γὰρ αὐτοῦ γίνεται ἡ ὕλη. καὶ οὐδέν γε ἄτοπον. οὐ γὰρ ὅπερ ἐστὶν ἡ ὕλη, τοῦτο γίνεται, ἀλλὰ ἄλλο μέν ἐστιν, ἄλλο δὲ γίνεται. ἀλλ' ἐκεῖνοι τὴν ἐκ τῆς ὕλης γένεσιν οὐδ' ἐνόουν, ἀλλ' ἐκ τῶν μερικῶν γενέσεων τὰς ἀπορίας ἔφερον, ὅτι φαίνεται ὁ ἀὴρ γινόμενος πῦρ. εἰ οὖν ἔστιν ὁ ἀήρ, οὗτος δὲ γίνεται πῦρ, τὸ ὂν ἄρα γίνεται. φαμὲν οὖν ἡμεῖς πρὸς τὴν αὐτῶν ἀπορίαν ἀπαντῶντες, ὅτι εἰ καὶ ἐξ ἀέρος γίνεται, ἀλλ' οὐχ ᾗ ἀήρ, οὕτως ἐξ αὐτοῦ γίνεται, ἀλλὰ κατὰ συμβεβηκός. ἐπειδὴ συνέβη τὸ ὑποκείμενον, τὸ ἀέρειον εἶδος ἔχειν. ὥστε εἰ καὶ ἐξ ὄντος γίνεται τὰ γινόμενα, ἀλλ' οὐχ ᾗ ὄν ἐστιν, ἀλλ' ᾗ συμβέβηκε τῷ ἐξ οὗ καθ' αὑτὸ γίνεται, τουτέστι τῇ ὕλῃ, ὂν εἶναι, τουτέστιν εἰδοπεποιῆσθαι. πάλιν καὶ ὅταν ἐκ μὴ ὄντος λέγωμεν γίνεσθαι, οὐχ ᾗ μὴ ὄν ἐστιν, οὕτω γίνεται ἐξ αὐτοῦ τὸ γινόμενον. οὐ γὰρ ἡ στέρησις τοῦ πυρός, μέρος αὐτοῦ γίνεται. λέγομεν οὖν τὸ πῦρ, ἐκ μὴ ὄντος γίνεσθαι. ἀλλ' οὐχ ἁπλῶς ἐκ μὴ ὄντος, ἀλλ' ἔκ τινος μὴ ὄντος. γίνεται γὰρ ἐξ οὐ πυρός. ἀλλ' οὐ καθ' αὑτὸ ἐκ τοῦ οὐ πυρὸς γίνεται, ἀλλὰ καθ' αὑτὸ μὲν ἐκ τοῦ ὑποκειμένου, ἐπειδὴ δὲ τοῦτο ἔχει τὴν στέρησιν τοῦ πυρός, ὅπερ ἐστὶ καθ' αὑτὸ μὴ ὄν, λέγομεν τὸ πῦρ ἐκ μὴ ὄντος γίνεσθαι, κατὰ συμβεβηκὸς δὲ ἐκ τοῦ μὴ ὄντος. κἂν τὴν προσεχῆ δὲ γένεσιν σκοπήσωμεν, ἔτι δηλονότι ἐν τῷ ἀέρι ἡ τοῦ πυρὸς στέρησις. ἔστι γὰρ ὁ ἀὴρ οὐ πῦρ, τουτέστι τὸ μὴ ὄν. γίνεται οὖν ἐκ τοῦ μὴ ὄντος, οὐ καθ' αὑτό, ἀλλὰ κατὰ συμβεβηκός. μόνως δὲ καθ' αὑτὸ ἐκ τοῦ ὑποκειμένου, καὶ τῆς ὕλης γίνεται. ἀλλ' εἰ καὶ ἐκ καθ' αὑτὸ ὄντος τῆς ὕλης γίνεται, καὶ καθ' αὑτὸ ὡς ἐξ ὄντος, συνάγεται ἄτοπον, τὸ γινόμενον ἤδη εἶναι πρὶν γενέσθαι. οὐδὲ γὰρ τοῦτο γίνεται, ὅπερ ἤδη ἐστίν, ἀλλὰ ἄλλο μέν ἐστιν, ἄλλο δὲ γίνεται. ὥσπερ ὁ χαλκὸς γινόμενος ἀνδριάς, οὐ τοῦτο γίνεται ὅπερ ἐστίν, ἀλλὰ ἄλλο μέν ἐστιν, ἄλλο δὲ γίνεται, οὕτω καὶ ἐπὶ πάντων τῶν φύσει γινομένων, ὅταν τὴν ἐκ τῆς ὕλης, καὶ τὴν [illegible] γένεσιν αὐτῶν θεωρήσωμεν, τοῦτο συμβαίνει. ἔστιν οὖν ἐπὶ πάσης γενέσεως, καὶ ἐκ τῆς πρώτης, καὶ ἐκ τῆς προσεχοῦς ὕλης, καὶ τὸ ἐξ ὄντος, καὶ τὸ ἐκ μὴ ὄντος. καὶ τοῦτο οὐκ ἔστιν ἀντίφασις. οὐ γὰρ κατὰ τὸ αὐτὸ ἐξ ὄντος καὶ ἐκ μὴ ὄντος. ἀλλ' ἐξ ὄντος μέν,

ποικίλως ἀλλοιοῦται, καὶ μεταβάλλεται κατὰ τὴν διάφορον ὑποδοχὴν τῶν εἰδῶν. τῷ μὲν οὖν τὸ εἶδος τὸ αὐτὸ μένειν, τὴν δ' ὕλην ποικίλως ἀλλοιοῦσθαι, ταύτῃ μᾶλλον τῆς ὕλης ἐν τὸ εἶδος εἶπεν. αἰσθητέρα δ' ἡμᾶς κατὰ ἄλλον τρόπον μᾶλλον εἶναι τόδε τι τὴν ὕλην τοῦ εἴδους, καθὸ οὐ δεῖται ἡ ὕλη ἑτέρου ὑποκειμένου πρὸς τὸ εἶναι, ὥσπερ τὸ εἶδος τῆς ὕλης, ἀλλ' αὐτάρκης ἐστὶ καθ' ἑαυτὴν ὑποστῆναι. εἴρηται δὲ καὶ ἐν τοῖς ἔμπροσθεν κατὰ τίνα μὲν τρόπον ἡ ὕλη μᾶλλον τόδε τι, κατὰ τίνα δὲ πάλιν τὸ

» εἶδος. Μία δὲ ἡ ὁ λόγος. Τὸ ἡ καὶ τὸ ὁ ἀμφότερα ἄρθρα ἐστί. λόγον δ' ὡς πολλάκις εἴρηται, τὸ εἶδος φησιν. ἀπὼν οὖν τὴν ἀρχὴν τὴν ὑλικὴν, λέγει καὶ τὴν εἰδικήν. καὶ φησὶν ὅτι ἔστι καὶ τὸ εἶδος μία ἀρχή. ἔταξε δὲ τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ. καθότι ὁ λόγος, ὡς μὲν ἀρχὴ, θηλυκόν ἐστιν, ὡς δὲ λόγος ἀρσενικόν. διὰ τοῦτο οὖν τὰ δύο ἄρθρα κατὰ τοῦ αὐτοῦ ἔταξε, τό, τε θηλυκὸν καὶ τὸ ἀρσενικόν. τὸ μὲν θηλυκὸν πρὸς τὴν ἀρχὴν, τὸ δὲ ἀρσενικὸν πρὸς τὸν λόγον, ὡς εἰ ἔλεγεν, ἡ δ' ἑτέρα ἀρχὴ, ὁ λόγος ἐστὶ, τουτέστι τὸ εἶδος.

» ΠΡΩΤΟΝ μὲν οὖν ἐλέχθη, ὅτι ἀρχαὶ τἀναντία μόνον. ὕστερον δ' ὅτι ἀνάγκη καὶ ἄλλο τι ὑποκεῖσθαι, καὶ εἶναι τρία. ἐκ δὲ τῶν νῦν φανερὸν, ἥτις ἡ διαφορὰ τῶν ἐναντίων, καὶ πῶς ἔχουσιν αἱ ἀρχαὶ πρὸς ἀλλήλας. καὶ τί τὸ ὑποκείμενον.

Ἐντεῦθεν ἀνακεφαλαιοῦται πάντα τὰ εἰρημένα, καὶ πῶς ἔχουσιν αἱ ἀρχαὶ πρὸς ἀλλήλας. ὅτι αἱ μὲν αὐτῶν εἰσὶ καθ' αὑτὸ ἀρχαὶ, αἱ δὲ κατὰ συμβεβηκός. καὶ ἡ μὲν ὕλη, καὶ ἡ στέρησις ἀριθμῷ μὲν ἕν. καὶ ἡ μὲν θηλείᾳ ἀναλογεῖ, τὸ δὲ ἄρρενι, καὶ ὅσα ἄλλα περὶ αὐτῶν εἶπε.

» ΠΟΤΕΡΟΝ δ' οὐσία τὸ εἶδος, ἢ τὸ ὑποκείμενον, οὔπω δῆλον.

Τὴν περὶ τούτων θεωρίαν ἐν τῇ μετὰ τὰ φυσικὰ ὑπερτίθεται. ἐκεῖ ζητεῖ, εἴτε οὐσία ἐστὶ τὸ εἶδος, εἴτε μή. καὶ ὅπως τὸ εἶδος ἀρχή. καὶ εἴτε πᾶν ἄφθαρτον, εἴτε ἐστί τι καὶ φθαρτόν. καὶ εἰ μὴ ἅπαν εἶδος ἄφθαρτον, πῶς ἅπαν ἀρχή. καὶ ἵνα συντόμως εἴπωμεν τὰ ἐκεῖσε αὐτῷ περὶ τούτου εἰρημένα, φησὶν ὅτι ἑκάτερον ἔχει τι πλεονέκτημα κατὰ τοῦ λοιποῦ εἰς τὸ εἶναι μᾶλλον οὐσία. μᾶλλον μὲν γὰρ οὐσία τοῦ εἴδους ἡ ὕλη, διότι ἡ μὲν ὕλη αὐθυπόστατόν τι πρᾶγμά ἐστι. τὸ δὲ εἶδος ἄνευ ὕλης εἶναι οὐ δύναται, τῆς ὕλης μηδὲν δεομένης τοῦ εἴδους εἰς τὸ εἶναι. μᾶλλον δὲ πάλιν τὸ εἶδος οὐσία ἤπερ ἡ ὕλη, διότι ἡ μὲν κοσμεῖται, καὶ τελειοῦται, καὶ ὁρίζεται τῇ παρουσίᾳ τοῦ εἴδους. τὸ δ' ὁρίζει καὶ κοσμεῖ. καὶ ὅτι ἕκαστον τῶν ὄντων οὐ κατὰ τὴν ὕλην, ἀλλὰ κατὰ τὸ εἶδος χαρακτηρίζεται. ὥστε κατά τι μὲν μᾶλλον οὐσία ἡ ὕλη, ἤπερ τὸ εἶδος. κατά τι δὲ πάλιν μᾶλλον οὐσία τὸ εἶδος, ἤπερ ἡ ὕλη.

» Ἀλλ' ὅτι αἱ ἀρχαὶ τρεῖς, καὶ πῶς τρεῖς, καὶ τίς ὁ τρόπος αὐτῶν, δῆλον. πόσαι μὲν οὖν καὶ τίνες εἰσὶν αἱ ἀρχαὶ, ἐκ τούτων θεωρείσθω.

Ἀντὶ τοῦ ποῖαι τρεῖς, ὅτι ἡ ὕλη, εἶδος, στέρησις. καὶ τίς ὁ τρόπος αὐτῶν εἴπομεν, ὅτι αἱ μὲν καθ' αὑτὸ ἀρχαὶ, αἱ δὲ κατὰ συμβεβηκός. καὶ ὅτι ἡ μὲν ὕλη τὸ ὑποκείμενον. τὸ δὲ εἶδος τὸ κοσμοῦν καὶ ὁρίζον αὐτήν. ὥσπερ τὸ τοῦ ἀνδριάντος εἶδος τὸν χαλκόν.

» ΟΤΙ δὲ μοναχῶς οὕτως λύεται καὶ ἡ τῶν ἀρχαίων ἀπορία, λέγωμεν μετὰ ταῦτα.

Τεκμήριόν ἐστι τῶν καλῶς καὶ ἐπιστημονικῶς ἀποδεδομένων λόγων, ὅταν τοιοῦτοι ὦσιν οἱ ἀποδοθέντες περὶ τοῦ πράγματος λόγοι, ὡς καὶ τὴν αὐτοῦ τοῦ πράγματος φύσιν ἱκανῶς παραστῆσαι, καὶ τὰς πρὸς αὐτὸ φερομένας ἀπορίας ἐπιλύσασθαι. τοιοῦτοί εἰσι καὶ οἱ ἀποδοθέντες λόγοι περὶ τῶν ἀρχῶν τῶν φυσικῶν πραγμάτων ὑπ' Ἀριστοτέλους. τάς τε γὰρ κοινοτάτας ἀρχὰς τῶν φυσικῶν πραγμάτων ἱκανῶς ἡμῖν παρέστησαν, καὶ τὰς φερομένας ἀπορίας πρὸς αὐτὰς δι' αὐτῶν ἐπιλυσόμεθα. ὅπερ καὶ νῦν ὁ Ἀριστοτέλης ποιεῖ. φέρονται δὲ ἀπορίαι περὶ τῶν φυσικῶν πραγμάτων ὧν ἤδη ἐμνήσθημεν, ἐν τοῖς πρὸς Ἀναξαγόραν λόγοις. εἰσὶ δ' αὗται αἱ τὴν γένεσιν ἀναιροῦσαι. Ζητοῦντες γάρ φησιν οἱ πάλαι τὴν τῶν πραγμάτων ἀλήθειαν, ὑπὸ ἀπειρίας διαλεκτικῆς ἐξετράπησαν τῆς ἀληθείας, καὶ ἐνόμισαν μηδ' ὅλως εἶναι γένεσιν. εἰ γὰρ γίγνοιτό τι φασὶν, ἢ ἐξ ὄντος γίνεται, ἢ ἐκ μὴ ὄντος. ἀλλ' οὔτε ἐξ ὄντος δυνατὸν γενέσθαι. πῶς γὰρ ἂν τὸ ὂν γίνοιτο. ἔστι γὰρ πρὶν γενέσθαι. οὔτε ἐκ μὴ ὄντος. ἀδύνατον γὰρ ἐκ μὴ προϋποκειμένου τινὸς γενέσθαι τι, καὶ κοινὴ δόξα ἐστὶν αὕτη πάντων τῶν φυσικῶν τὸ μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι. δεῖ γὰρ τὸ γενησόμενόν τι, πρὶν γενέσθαι, δύναμίν τινα καὶ ἐπιτηδειότητα ἔχειν εἰς τὸ γενέσθαι. εἰ γὰρ πρὶν γένοιτό τι, μὴ δύναιτο γενέσθαι, οὐδ' ἂν γένοιτο. ἀνάγκη οὖν πρὶν γενέσθαι ἔχειν δύναμιν τοῦ γενέσθαι. τὸ δὲ δυνάμενον γενέσθαι, ὄν τι ἐστὶ, καὶ αὕτη ἡ δύναμις. οὐδὲν ἄρα ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται. ἔοικεν οὖν μηδ' ὅλως εἶναι ἡ γένεσις. διὰ τοῦτο οὖν τὴν γένεσιν ἀναιροῦντες, διακρίσει, καὶ συγκρίσει, καὶ θέσει, τοῖς τοιούτοις τὰ πράγματα ἐποίουν. ἐκ δὲ ταύτης φησὶ τῆς ἀρχῆς ὁρμώμενοι, καὶ τὸ πλῆθος ἀνῄρουν ἐκ τῶν ὄντων. ἑνὸς γὰρ ἀτόπου δοθέντος, ὡς αὐτός φησι, μυρία ἕπεται. ἐξ οὗ γὰρ ἀνῄρουν τὴν γένεσιν τῷ μὴ δύνασθαι τὸ μὴ ὂν ὑποκεῖσθαι τοῖς γινομένοις, ἐξ οὗ γίνοιτο. εἰ γὰρ ὑπέκειτο αὐτοῖς τὸ μὴ ὂν, συμβήσεται τὸ μὴ ὂν εἶναι ἐκ τούτου, καὶ τὸ πλῆθος ἀνῄρουν.

κεῖσθαι, ὥσπερ τὸν χαλκὸν αὐτῶν τῶν τεχνητῶν εἰδῶν. καὶ ὅσον γε αὐτῷ τῷ ἰδίῳ λόγῳ ἡ ὕλη ὑπέστη καθ' αὑτήν. τοῦ γὰρ εἴδους οὐκ εἰς τὸ εἶναι δεῖται, ἀλλ' εἰς τὸ κοσμηθῆναι.

» ΔΙΟ ἔστι μὲν ὡς δύο λεκτέον εἶναι τὰς ἀρχάς, ἔστι δ' ὡς τρεῖς. καὶ ἔστι μὲν, ὡς τἀναντία. οἷον εἴ τις
» λέγοι τὸ μουσικὸν καὶ τὸ ἄμουσον, ἢ τὸ θερμὸν καὶ τὸ ψυχρὸν, ἢ τὸ ἡρμοσμένον καὶ τὸ ἀνάρμοστον. ἔστι δ'
» ὡς οὔ. ὑπ' ἀλλήλων γὰρ πάσχειν τἀναντία ἀδύνατον. λύεται δὲ καὶ τοῦτο, διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκεί-
» μενον. τοῦτο γὰρ οὐκ ἐναντίον.

Δύο μὲν, ἤτοι τὴν ὕλην καὶ τὸ εἶδος ὡς εἴρηται, ἢ τὰ ἐναντία. καὶ εἰ τὰ ἐναντία, δόξει σύμφωνον εἶναι, τὸ ἐπαγόμενον. καὶ ἔστι μὲν ὡς τὰ ἐναντία. ἔστι δὲ ὡς οὔ. διότι μὲν γὰρ ἡ γένεσις καὶ ἡ φθορὰ τῷ ποιεῖν καὶ τῷ πάσχειν γίνεται, δόξει τὰ ἐναντία ἀρχῶν εἶναι. τὰ γὰρ ἐναντία τὰ ποιοῦντα καὶ πάσχοντα. ὥστε δύο ἀρχαὶ τὰ ἐναντία. δόξει δὲ πάλιν μὴ εἶναι τὰ ἐναντία ἀρχάς, διότι αὐταὶ καθ' ἑαυτὰς αἱ ἐναντιότητες, οὐ πεφύκασι ποιεῖν εἰς ἀλλήλας. ἀλλὰ καὶ ταύτην φησὶ τὴν ἀπορίαν ἐλύσαμεν ὑποθέντες τρίτην τινὰ φύσιν τοῖς ἐναντίοις, περὶ ἣν τὰ πάθη, καὶ αἱ γενέσεις, καὶ αἱ φθοραὶ, μὴ οὖσαν αὐτὴν ἐναντίον. ὥστε δῆλον ἐκ τούτων ὅτι κατά τινα μὲν τρόπον, τρεῖς ἀρχαί. τὰ ἐναντία καὶ τὸ ὑποκείμενον. κατά τινα δὲ δύο, τὸ εἶδος, καὶ ἡ ὕλη. ὅπερ εἶδος, τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ ποιήσει τὴν γένεσιν καὶ τὴν φθοράν.

» ΩΣΤΕ οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινὰ, ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ. οὔτε
» αὖ παντελῶς δύο, διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐταῖς, ἀλλὰ τρεῖς. ἕτερον γὰρ τῷ ἀνθρώπῳ, καὶ τῷ
» ἀμούσῳ, τὸ εἶναι. καὶ τῷ ἀσχηματίστῳ, καὶ χαλκῷ.

Οὐ τοῦτό φησιν ὅτι τὰ ἐναντία μόνον ἀρχαὶ, ἀλλ' ὅτι κατὰ τὸν ἀριθμὸν πλείους τῶν ἐναντίων, οὐκ ἔσονται ἀρχαί. κατά τινα τρόπον. τουτέστι κατὰ τὸ ποσόν. πλείους τῶν ἐναντίων αὐτὶ τοῦ πλείους δύο κατά τινα τρόπον οὐκ εἰσί. καὶ ὅτι τοῦτό φησι, δῆλον ἐξ ὧν ἐπήγαγεν, ἀλλὰ μόνον δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ οὔτε παντελῶς δύο. διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐταῖς. εἰ γὰρ καὶ δύο ἀρχαὶ ἡ ὕλη καὶ τὸ εἶδος, ἀλλ' οὖν ἐπειδὴ τὸ εἶναι τῇ ὕλῃ οὐ ταυτόν. κατὰ τὸ ἄλλο γὰρ ἔχει τὸ ὕλη εἶναι, καὶ κατὰ τὸ ἄλλο τὸ ἐστερῆσθαι τοῦ εἴδους. καὶ πάθοι τοῖς παραδείγμασιν. ἄλλο γάρ φησιν ἐστὶ τὸ ἀνθρώπῳ εἶναι, καὶ ἄλλο τὸ ἀμούσῳ. διὸ καὶ μετὰ τὸ δέξασθαι τὴν μουσικὴν, ἄνθρωπος μὲν ἔτι ἐστὶν, ἄμουσος δ' οὐκ ἔτι. ὑπεξίσταται γὰρ τῷ εἴδει ἡ στέρησις.

» ΠΟΣΑΙ μὲν οὖν ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, καὶ πῶς πόσαι, εἴρηται. καὶ δῆλόν ἐστιν, ὅτι
» δεῖ ὑποκεῖσθαί τι τοῖς ἐναντίοις. καὶ τὰ ἐναντία δύο εἶναι. τρόπον δέ τινα ἄλλον οὐκ ἀναγκαῖον. ἱκα-
» νὸν γὰρ ἔσται τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν τῇ ἀπουσίᾳ καὶ παρουσίᾳ τὴν μεταβολήν.

Οὐκ εἶπε φυσικῶν μόνον, ἵνα μὴ καὶ τὰ οὐράνια παραλάβῃ, ἀλλὰ τῶν περὶ γένεσιν φυσικῶν. ἐν γὰρ τοῖς οὐρανίοις οὐκ ἔστιν ἐν ἀρχῆς λόγῳ ἡ στέρησις, ἀλλὰ μόνον τὸ εἶδος καὶ τὸ ὑποκείμενον. τὸ μὲν οὖν τῶν περὶ γένεσιν διὰ τοῦτο εἶπε. τῶν φυσικῶν δὲ διὰ τὰ προαιρετά. οὐ θεωρεῖται γὰρ ἐπ' αὐτῶν, οὔτε ὕλη, οὔτε εἶδος, εἰ μὴ κατὰ ἀναλογίαν, συλλογισμοῦ ὕλη μὲν αἱ προτάσεις, εἶδος δὲ τὸ συμπέρασμα. καὶ τὰ ἐναντία δύο εἶναι. εἰκότως. τὸ γὰρ ἐναντίον τινὶ ἐναντίον, οὐδὲν δ' ἐστὶν αὐτὸ ἑαυτῷ ἐναντίον. τρόπον δέ τινα ἄλλον οὐκ ἀναγκαῖον. τὸ γὰρ εἶδος ἀποπληροῦν τὴν χώραν τῆς στερήσεως, ἀπὸν μὲν ποιήσει τὴν φθοράν, παρὸν δὲ τὴν γένεσιν. ἱκανὸν ἄρα καὶ τὸ ἕτερον τῶν ἐναντίων μετὰ ὕλης εἰς τὸν τῆς ἀρχῆς λόγον παραλαμβανόμενον.

» Η Δ' ὑποκειμένη φύσις, ἐπιστητὴ κατὰ ἀναλογίαν. ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς, ἢ πρὸς κλίνην
» ξύλον, ἢ πρὸς ἄλλο τι τῶν ἐχόντων μορφὴν, ἡ ὕλη, καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφὴν οὕ-
» τως αὕτη πρὸς οὐσίαν ἔχει, καὶ τὸ τόδε τι, καὶ τὸ ὄν.

Ἐντεῦθεν τὶς ὁ τρόπος τῆς γνώσεως τῆς ὕλης ὑποτίθεται, ὅτι κατὰ ἀναλογίαν. εἴπομεν δ' ὅτι ὁ Πλάτων, καὶ τῷ ἐξ ἀφαιρέσεως τρόπῳ κέχρηται. οὕτως αὕτη πρὸς οὐσίαν ἔχει, καὶ τὸ τόδε τι καὶ τὸ ὄν. εἰπὼν πρὸς οὐσίαν, καὶ τόδε τι, ἀνήγαγεν αὐτὴν τὸ καθολικώτερον, εἰπὼν καὶ τὸ ὄν. ὑποκειμένη γὰρ ἡ ὕλη τῇ οὐσίᾳ, δι' αὐτῆς δηλονότι καὶ τοῖς συμβεβηκόσιν ὑπόκειται. καὶ συλλογίσαιο αὐτὸ οὕτως. ἡ ὕλη τῇ οὐσίᾳ ὑπόκειται. ἡ οὐσία τοῖς συμβεβηκόσιν ὑπόκειται. καὶ ἡ ὕλη ἄρα τοῖς συμβεβηκόσιν ὑπόκειται.

» ΜΙΑ μὲν οὖν ἀρχὴ αὕτη οὐχ οὕτω μία οὖσα, οὐδὲ οὕτως ἓν ὂν, ὡς τὸ τόδε τι. μία δὲ ἧς ὁ λόγος.
» ἔτι δὲ τὸ ἐναντίον τούτῳ ἡ στέρησις. ταῦτα δὲ πῶς δύο, καὶ πῶς πλείω, εἴρηται ἐν τοῖς ἄνω.

Ἀπαρίθμησιν ποιεῖται πάλιν τῶν ἀρχῶν. ἔστι οὖν πῶς ἡ ὕλη ἀρχὴ μία. ἀλλ' εἰ καὶ λέγεται μία, οὐχ οὕτως ἔχει τὸ εἶναι ἕν τι καὶ ἀριθμητὸν ὥσπερ τὸ τόδε τι. τοῦτο δ' ἐστὶ τὸ σύνθετον. τοῦτο γάρ ἐστι καὶ τὸ μερικὸν, καὶ τὸ κυρίως ἀριθμητόν. εἰ γὰρ καὶ τῷ συνθέτῳ ὑπάρχειν ἐλέγομεν τὸ τόδε τι ἐκ τῆς ὕλης, ἀλλ' οὖν τόδε τι μᾶλλον καὶ ἀριθμητὸν τὸ σύνθετον. καὶ θαυμαστόν γε οὐδὲν, ἐπειδὴ καὶ τὸ παθητικὰ εἶναι τὰ σώματα, ἐκ τῆς ὕλης ἔχει. διὰ γὰρ τὴν τῆς ὕλης αὐτῆς ποιότητα τοιαῦτά ἐστι τὰ σώματα. ἀλλ' οὖν αὐτὴ καθ' ἑαυτὴν θεωρουμένη ἡ ὕλη, πάντη ἐστὶν ἀπαθής. δυνατὸν δὲ καὶ τὸ οὐχ οὕτω μία οὖσα, οὐδὲ ἓν ὡς τόδε τι, αὐτὴν τοῦ εἴδους λαμβάνειν, ἵνα τόδε λέγῃ τὸ εἶδος. ἑκάστου γὰρ τὸ εἶναι κατὰ τὸ εἶδος. ἵνα τὸ ἓν καὶ τὸ τόδε τι, αὐτὴν τοῦ εἴδους μᾶλλον φέρῃ. τοῦτο δὲ, διότι τὸ μὲν εἶδος ἕν ἐστιν ἀεὶ καὶ τὸ αὐτὸ, οὐδεμίαν ἀλλοίωσιν ἐπιδεχόμενον. ἡ δ' ὕλη

ποικίλως

αἴτιον. οὐδὲ γὰρ ἐπ' αὐτοῦ ἔστι τι καταφῆσαι. ἀλλὰ διὰ ἀφαιρέσεως τῇ γνώσει αὐτοῦ ἐπιβάλλομεν, λέγοντες ὃ μήτε σῶμά ἐστι, μήτε ψυχὴ, μήτε νοῦς, μήτε ἄλλό τι. ἀλλ' ἕτερόν τι παρὰ ταῦτα πάντων ὑπεραναβεβηκός. διὸ καὶ ἀνωμοιῶσθαί φησι τῷ πρώτῳ τὴν ὕλην, καὶ ὡμοιῶσθαι. ὡμοιῶσθαι μὲν, διότι διὰ ἀφαιρέσεως πάντων τῶν ὄντων ἀμφότερα νοοῦνται. ἀνωμοιῶσθαι δὲ διότι ἐπὶ μὲν τῆς ὕλης λέγοντες μηδὲν εἶναι αὐτὴν τῶν ὄντων τι φαμὲν, ἀλλ' ἕτερόν τι χεῖρον πάντων τούτων, καὶ ὑποκείμενον πᾶσι. τὸ δὲ πρῶτον μηδὲν ἓν τῶν ὄντων, κρεῖττόν ἐστι πάντων, καὶ πάντων ὑπεραναβεβηκός. ἀνόμοιος οὖν ἡ ὁμοιότης. τοῦ μὲν γὰρ ἐπὶ τὸ κρεῖττον ἡ ἀφαίρεσις, τοῦ δὲ ἐπὶ τὸ χεῖρον. ἡ ὁμοιότης μὲν κατὰ τὸ ἀΐδιον. ἀνόμοιος δὲ ὅτι τὸ μὲν, ὑπὲρ εἶδος. ἡ δὲ ὕλη χείρων ἢ κατὰ τὸ εἶδος. ὁ μὲν οὖν τῆς γνώσεως τῆς ὕλης ὁ τρόπος οὗτος. Δεύτερος δὲ ὁ κατὰ ἀναλογίαν. ᾧ καὶ Ἀριστοτέλης νῦν ἐχρήσατο. ὅτι ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς πάντα τὰ χαλκᾶ σκεύη, καὶ τὰ ξύλα πρὸς πάντα τὰ ξύλινα σκεύη, τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ὕλη πρὸς πάντα τὰ ὄντα. ὅνπερ γὰρ τρόπον τυφλῷ εἰ βουληθείημεν ὑπογράψαι τίς ἡ τοῦ ξύλου φύσις, ἄγομεν αὐτὸν εἰς τὴν τοῦ ξύλου ἔννοιαν, φάσκοντες ὅτι ἐκεῖνό ἐστι ξύλον, ὃ οὔτε κλίνη ἐστὶν, οὔτε θύρα, οὔτε ἀβάκιον, οὔτε ἕτερόν τι τῶν ξυλίνων σκευῶν. ἀλλ' ὃ πᾶσι τούτοις ὑποβέβληται, καὶ αὐτὸ μηδὲν ἔχον ἐν τῇ οὐσίᾳ τῶν τοιούτων εἶδός τι, πέφυκε πάντα δέχεσθαι, τὸν αὐτὸν τρόπον ἀναγόμεθα καὶ εἰς τὴν τῆς ὕλης ἔννοιαν, λέγοντες μηδὲν εἶναι αὐτὴν τῶν φυσικῶν εἰδῶν. ὃ δὲ πᾶσι τούτοις ὑποβέβληται, καὶ ὑπέστρωται, τοῦτο εἶναι τὴν ὕλην. ὅθεν καὶ Πλάτων καὶ νόθῳ λογισμῷ ληπτὴν αὐτὴν εἶπε, διότι ἐπιβαλεῖν μὲν τῇ οὐσίᾳ αὐτῆς, καὶ γνῶναι τί ποτέ ἐστιν ἀδύνατον. ἐκ τῆς τῶν ἄλλων δι' ἀφαιρέσεως καὶ διὰ ἀναλογίας ἔννοιαν αὐτῆς ἴσχομεν. τῷ αὐτῷ δὲ πάλιν τρόπῳ, καὶ εἰς ἔννοιαν τοῦ πρώτου ἔρχεσθαι. ἐφ' οὗ ἀναγωγὴν μίαν καὶ μόνην φασὶν εἶναι τὸν ἥλιον. τῶν μὲν γὰρ ἄλλων δυνάμεων, ἅτε μερικωτέρας ἐχόντων τὰς ἐνεργείας, καὶ ἀναγωγὰς ἐποίησαν πρὸς ἀναλογίαν τῆς ἑκάστου ἐνεργείας. ἐπὶ μέντοι τοῦ πρώτου καὶ πάντων αἰτιωτάτου μίαν καὶ μόνην εὑρήκασιν ἀναγωγὴν φυσικὴν, τὸν ἥλιον. ὃν τρόπον γὰρ ὁ ἥλιος πάντων ὑπερέχει τῶν ἐγκοσμίων, τὸν αὐτὸν δὴ τρόπον πάντων τῶν ὄντων ἀσυγκρίτῳ ὑπεροχῇ ὑπερέχει τὸ πρῶτον, καὶ ὥσπερ πάντας φωτίζει ὁ ἥλιος, οὕτω κἀκεῖνο πάντα ἀγαθύνει, μιᾷ ἐπιβολῇ ἑκάστου πρὸς τὰ ἑαυτοῦ μέτρα μεταλαμβάνοντες τῆς ἀγαθουργοῦ αὐτοῦ ἐνεργείας. ὥσπερ καὶ τοῦ ἡλιακοῦ φωτὸς τὰ δεκτικὰ κατὰ δύναμιν μεταλαμβάνει ἐκείνου μιᾷ ἐνεργείᾳ πάντα φωτίζοντος. Ἔστι δὲ τὸ μὲν ὑποκείμενον, ἀριθμῷ μὲν ἓν, εἴδει δὲ δύο. Ἐπειδὴ πρόσθεν εἶπεν ὅτι πάντα γίνεται ἐκ τοῦ ὑποκειμένου, καὶ τῆς μορφῆς, καὶ ἀνήγαγεν ἐπὶ τὰς δύο ταύτας ἀρχὰς πάντα τὰ γινόμενα, τοῦτό φησι τὸ ὑποκείμενον, οὐχ ἁπλῶς ἕν ἐστιν, ἀλλ' ἀριθμῷ μὲν ἓν, τῷ δὲ λόγῳ δύο. ἔχει γὰρ ἐν αὐτῷ τὴν στέρησιν. ἥτις ἑτέρα ἐστὶ κατὰ τὸν λόγον, τῆς ὕλης. ἄλλον γὰρ ὁρισμὸν ἀποδώσεις τῆς ὕλης, καὶ ἄλλον τῆς στερήσεως. οἷον, τοῦ ἀνθρώπου καὶ τοῦ ἀμούσου. πρότερον οὖν ὁμοίως ἑκάτερον τῶν συμπληρούντων τὸ ἓν, δείκνυσιν. Ὁ μὲν γὰρ ἄνθρωπος, καὶ ὁ χρυσὸς, καὶ ὅλως ἡ ὕλη ἀριθμητή. τόδε γάρ τι καὶ οὐ κατὰ συμβεβηκὸς γίνεται διὰ αὐτοῦ τὸ γινόμενον. Ἐπειδὴ εἶπεν ὅτι τὸ ὑποκείμενον τῷ μὲν ἀριθμῷ ἕν ἐστι, τῷ δὲ εἴδει δύο, βούλεται τοῦτο αὐτὸ δεῖξαι, καὶ διὰ αὐτοῦ συναγαγεῖν πῶς ἑκάτερον ἔχει πρὸς τὸ ἀρχὴ εἶναι. φησὶν οὖν ὅτι ἡ ὕλη ἀριθμητή ἐστι. τόδε γάρ τι καὶ τῆς μουσικῆς ὕλης ὁ ἄνθρωπος, ὅπερ τόδε τί ἐστι καὶ ἀριθμητὸς καὶ τῆς κλίνης τὸ ξύλον. τὴν μέντοι ἀμουσίαν, ἢ τὴν ἀσχημοσύνην, οὐκ ἔστιν εἰπεῖν τόδε τι, διότι μηδ' ὅρον ἔχει, μηδὲ ὑφίσταται. τὸ μὲν γὰρ τόδε τι, ὄν τί ἐστιν. ὃ δὲ μὴ ἔστι τόδε τι, οὐκ ἂν εἴη κυρίως ὄν. ἡ μὲν οὖν διάκρισις αὐτῶν αὕτη. ἔχεις δὲ ἐντεῦθεν καὶ ὅπως ἑκάτερον ἀρχή. ἡ μὲν γὰρ ὕλη τόδε τι οὖσα, καὶ συμπληροῦσα τὸ σύνθετον, καθ' αὑτὸ ἂν εἴη ἀρχή. ἡ δὲ στέρησις, οὐ καθ' αὑτὸ μέν. οὐ γὰρ ὁρᾶται ἐν τῷ συνθέτῳ. οὐδ' ἔστι τόδε τι τοῦ συνθέτου, ὥσπερ ἡ ὕλη. διότι δὲ τῇ καθ' αὑτὸ ἀρχῇ συμβέβηκε, λέγω δὴ τῇ ὕλῃ, κατὰ συμβεβηκὸς ἂν εἴη ἀρχή. εἰπὼν δὲ ὁ ἄνθρωπος καὶ ὁ χρυσὸς, ἀνῆλθεν ἐπὶ τὸ καθόλου. προσθεὶς καὶ ὅλως ἡ ὕλη. τὸ δὲ εἰπεῖν τόδε γάρ τι μᾶλλον τὸ εἶδος ἢ ἡ ὕλη, ἔστιν ὡς ἤδη εἴπομεν, ἡ σύγκρισις πρὸς τὴν στέρησιν, ὅτι μᾶλλον τῆς στερήσεως ἡ ὕλη τόδε τι. τοῦτο δέ φημι διὰ τὴν πρώτην. ἐκείνη γὰρ οὐκ οὖσα καθ' αὑτὴν ἀριθμητὴ, ὅμως μᾶλλόν ἐστιν ἀριθμητὴ τῆς στερήσεως. διότι γὰρ τῷ συνθέτῳ, ὅπερ ἐστὶ κυρίως τόδε τι, μᾶλλον ἡ ὕλη συνεργεῖ, ὑπομένουσα, καὶ θεωρουμένη πως ἐν αὐτῷ, τῆς στερήσεως τῇ παρουσίᾳ τοῦ εἴδους ἀφανιζομένης, μᾶλλον ἡ ὕλη τῆς στερήσεως ἀριθμητή. Ἡ δὲ στέρησις καὶ ἐναντίωσις συμβεβηκός. οὐχ ὡς ἕτερόν τι σημαίνων παρὰ τὴν στέρησιν, ἐπήγαγε τὸ καὶ ἡ ἐναντίωσις. ἀλλ' ἐπὶ τοῦ αὐτοῦ ἄμφω, ἡ στέρησις ἥτις ἐστὶ καὶ ἐναντίωσις.

ἘΝ δὲ τὸ εἶδος. οἷον, ἡ τάξις, ἢ ἡ μουσική, ἢ τῶν ἄλλων τι τῶν οὕτω κατηγορουμένων.

συνεχὲς τοῦτο τῷ ἀνωτέρῳ. ἔστι δὲ τὸ μὲν ὑποκείμενον, ἀριθμῷ μὲν ἓν, εἴδει δὲ δύο. εἶτα ἐφεξῆς ἓν δὲ τὸ εἶδος. τὰ δὲ μέσα κατασκευαστικά ἐστι τοῦ προτέρου. φησὶν οὖν ὅτι οὐχ ὥσπερ τὸ ὑποκείμενον δύο ἐστὶ τῷ λόγῳ, οὕτω καὶ τὸ εἶδος. ἀλλὰ τοῦτο καὶ τῷ λόγῳ καὶ τῷ ἀριθμῷ ἕν ἐστιν. ἀλλ' εἰ ἓν τὸ εἶδος, δῆλον ὅτι καὶ ἀριθμητὸν, καὶ τόδε τι. ὃ κατὰ ἄλλο μὲν μᾶλλον τόδε τι τῆς ὕλης. κατὰ τοῦτο γὰρ ἕκαστον λέγεται τόδε τι. οἷον ἄνθρωπος. ἵππος. κατὰ ἄλλο δὲ μᾶλλον ἡ ὕλη τοῦ εἴδους. εἴγε πᾶν τὸ τόδε τι αὐθυπόστατον, καὶ οὐκ ἐν ἄλλῳ ὑφεστηκός. τὸ δὲ αὐθυπόστατον τὸ σύνθετον ἐκ τῆς ὕλης μᾶλλον, ἢ ἐκ τοῦ εἴδους. εἴπερ τὸ μὲν εἶδος ἄνευ ὕλης εἶναι οὐ δύναται, τὴν ὕλην δὲ ἄνευ εἴδους ἔστι νοῆσαι δυ-

συμβεβηκός, ἀλλ' ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν. Συγκεῖσθαι γὰρ λέγεται ὁ ἀνδριὰς καὶ ἐκ τοῦ ἐρυθροῦ καὶ ἐκ χαλκοῦ, ἀλλὰ κατὰ συμβεβηκὸς ἐκ τοῦ ἐρυθροῦ. καὶ ὥσπερ ἐπὶ τῆς ὕλης ἐστὶ τὸ κατὰ συμβεβηκός, οὕτω καὶ ἐπὶ τοῦ εἴδους. λέγεται γὰρ τοῦ διπήχεος ἀνδριάντος κατὰ συμβεβηκὸς αἴτιον εἶναι τὸ δίπηχυ. ἀνδριάντα γὰρ καθ' αὑτὸ ποιεῖ χαλκός. δίπηχυ δὲ κατὰ συμβεβηκός. Σύγκειται γὰρ ὁ μουσικὸς ἄνθρωπος ἐξ ἀνθρώπου καὶ μουσικοῦ τρόπον τινά. διαλύσεις γὰρ τοὺς λόγους εἰς τοὺς λόγους ἐκείνων. Ὅτι σύνθετον ἐστὶν ὁ μουσικὸς ἄνθρωπος, πιστοῦται ἐκ τῆς ἀναλύσεως. ἐξ ὧν γὰρ ἕκαστον σύγκειται, εἰς ταῦτα καὶ διαλύεται. τὸν γὰρ λόγον τοῦ μουσικοῦ ἀνθρώπου ἀναλύσεις εἰς τοὺς λόγους ἐξ ὧν συνέστηκε. τοῦ ἀνθρώπου φημὶ καὶ τοῦ μουσικοῦ. ὁ γὰρ ὁρισμὸς τοῦ μουσικοῦ ἀνθρώπου, ἀναλύεται εἰς τὸν τοῦ ἀνθρώπου καὶ τὸν τοῦ μουσικοῦ. γράφεται δὲ, καὶ εἰς τοὺς ὅρους. ἀναλύεται γὰρ ὁ μουσικὸς ἄνθρωπος εἰς τὸν ἄνθρωπον καὶ εἰς τὸν μουσικόν. τὸ δὲ τρόπον τινὰ προσέθηκεν, οὐ μάτην, ἀλλὰ διότι τὰ συντιθέμενα, ἢ σώματά ἐστιν, ἢ αὐθυπόστατα γοῦν πράγματα. τὸ δὲ μουσικὸν, οὔτε σῶμα, οὔτ' αὐθυπόστατον. ἀλλ' ἐν ὑποκειμένῳ.

» ἜΣΤΙ δὲ τὸ ὑποκείμενον ἀριθμῷ μὲν, ἕν. εἴδει δὲ δύο. ὁ μὲν γὰρ ἄνθρωπος καὶ ὁ χρυσὸς, καὶ ὅλως ἡ ὕλη ἀριθμητή. τόδε γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γινόμενον. ἡ δὲ στέρησις, καὶ ἡ ἐναντίωσις, συμβεβηκός.

Δ εῖξας ὅτι ἑτέρα ἐστὶ τῆς ὕλης ἡ στέρησις διχόθεν, ἔκ τε τῆς τῶν ὀνομάτων προφορᾶς, καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως, νῦν προτίθεται δεῖξαι, πῶς ἔχουσι πρὸς τὸ ἀρχαὶ εἶναι. πότερον ὁμοίως εἰσὶν ἀρχαί, ἥ τε ὕλη καὶ ἡ στέρησις, ἢ οὔ. καὶ πῶς ἑκατέρα. ἵνα οὖν τοῦτο εὕρῃ, ζητεῖ πρότερον πῶς ἔχουσι πρὸς τὸ εἶναι. ὡς γὰρ ἂν ἔχωσι πρὸς τὸ εἶναι, οὕτως ἕξουσι δηλονότι καὶ πρὸς τὸ ἀρχαὶ εἶναι. ἔστιν οὖν κυρίως ὂν τὸ τόδε τι καὶ ἀριθμητόν. ὁ δὲ λόγος μοι δῆλος ἐπὶ τῶν φυσικῶν. ἀριθμητὸν δὲ καὶ τόδε τι κυρίως τὸ σύνθετον. δεικτικὸν γὰρ τοῦτο. πόθεν οὖν ἐφήκει τῷ συνθέτῳ τὸ τόδε τι εἶναί φησιν ὅτι ἀπὸ τῆς ὕλης μᾶλλον, ἢ ἀπὸ τοῦ εἴδους. διότι τὸ μὲν εἶδος μετὰ τὸ χωρισθῆναι τῆς ὕλης εὐθὺς ἐφθάρται. ἡ δ' ὕλη μένει, καὶ τὸ μὲν, ἄνευ ὕλης οὐχ ἂν ὑποσταίη. ἡ δ' ὕλη εἰ καὶ μὴ ἔστιν ἄνευ εἴδους ποτὲ, ἀλλ' ὅσον ἐπὶ τῷ ἰδίῳ λόγῳ ὑπάρχοι ἂν καὶ δίχα εἴδους. ὥστε τῷ συνθέτῳ τὸ αὐθυπόστατον ἐφήκοι ἂν ἐκ τῆς ὕλης μᾶλλον, ἢ ἐκ τοῦ εἴδους. τοῦτο δὲ φαμὲν, τὸ τόδε τι καὶ ἀριθμητὸν, τοῦτο εἶναι τὸ ὄν. ἡ ὕλη ἄρα ὂν καὶ κυρίως ὄν. ἡ δὲ στέρησις οὐκ ἀριθμητὴ, οὐδὲ τόδε τι. ἀόριστος γάρ. ὥστε οὐδὲ κυρίως ὂν, ἀλλὰ καθ' αὑτὸ μὲν οὐκ ὄν, εἴγε τὸ ὂν τόδε τι, κατὰ συμβεβηκὸς δὲ ὄν, διότι ἐν τῷ ὄντι, τοῦτο δ' ἐστὶ τῇ ὕλῃ. ὥστε ἡ καθ' αὑτὸ μὲν ὂν ἡ ὕλη καὶ κυρίως ὄν. ἡ δὲ στέρησις καθ' αὑτὸ μὲν μὴ ὄν, κατὰ συμβεβηκὸς δὲ ὄν. ὡς δ' ἂν ἔχωσι ταῦτα πρὸς τὸ ὄν, οὕτως ἔχουσι καὶ πρὸς τὸ ἀρχαὶ εἶναι. δῆλον οὖν ὅτι ἡ μὲν ὕλη κύριον ἂν εἴη καὶ καθ' αὑτὸ ἀρχή, ἡ δὲ στέρησις κατὰ συμβεβηκός. καὶ καθόλου δὲ τῶν ὄντων τὰ μέν ἐστι μόνως μὴ ὄντα. τὰ δὲ μόνως ὄντα. τὰ δὲ, πῇ μὲν ὄντα, πῇ δὲ μὴ ὄντα. μόνως μὲν οὖν μὴ ὄντα τὰ μηδαμῇ μηδαμῶς ὄντα. μόνως δὲ ὄντα τὰ εἴδη, διότι μὴ πεφύκασι ταῖς στερήσεσι συμπλέκεσθαι. οὐ συμπλέκονται γὰρ τὰ ἀντικείμενα. πῇ δὲ ὄντα, πῇ δὲ μὴ ὄντα ἡ ὕλη καὶ ἡ στέρησις, ἀλλ' ἡ μὲν ὕλη καθ' αὑτὸ μὲν ὄν, κατὰ συμβεβηκὸς δὲ μὴ ὄν, διότι ἐστὶν ἐν αὐτῇ τὸ μὴ ὄν. τοῦτο δ' ἐστὶν ἡ στέρησις. ᾧ καὶ δῆλον πῶς μόνως ὂν τὸ εἶδος. ἡ δὲ στέρησις καθ' αὑτὸ μὲν μὴ ὄν, κατὰ συμβεβηκὸς δὲ ὄν. ὡς ἂν οὖν ἔχωσι πρὸς τὸ ὄν, οὕτω σχοῖεν ἂν δήπου καὶ πρὸς τὸ ἀρχαὶ εἶναι. οὐκοῦν ἡ μὲν ὕλη καθ' αὑτὸ ὂν οὖσα, καθ' αὑτὸ ἂν εἴη ἀρχὴ καὶ κυρίως ἀρχή. ἡ δὲ στέρησις ἐπειδὴ κατὰ συμβεβηκὸς ὄν ἐστι, κατὰ συμβεβηκὸς ἂν εἴη ἀρχή. οὐδὲ γὰρ συνεισφέρει τι ἡ στέρησις εἰς τὸ εἶναι καὶ τὴν ὕπαρξιν τοῦ πράγματος, ἀλλὰ μόνον τῇ ἀπουσίᾳ ἑαυτῆς εἰς τὴν τοῦ πράγματος συμβάλλεται γένεσιν. Ταῦτα εἰπὼν συγκεφαλαιοῦται τὰ εἰρημένα, ὅτι δῆλον ἐκ πάντων τῶν εἰρημένων ἐστί, πόσαι τε ἀρχαὶ καὶ τίνες. ὅτι κατά τινα μὲν τρόπον, τρεῖς. κατά τινα δὲ τρόπον, δύο. κυρίως μὲν γὰρ αἱ ἀρχαὶ δύο, ἡ ὕλη καὶ τὸ εἶδος. αὗται γὰρ αἱ συμπληρωτικαὶ τῶν πραγμάτων καὶ εἰς τὸ εἶναι αὐτῶν συμβαλλόμεναι. εἴποις δ' ἂν κατά τινα τρόπον τρεῖς τὰς ἀρχάς, διότι συμβάλλεταί πως εἰς τὴν γένεσιν τοῦ πράγματος καὶ ἡ στέρησις. δεῖ γὰρ τὸ ληψόμενον εἶδός τι, πρότερον ἐστερῆσθαι τούτου. εἶτα τὴν στέρησιν ἀποβάλλον, οὕτω τὸ εἶδος δέχεσθαι. πῶς μὲν οὖν αἱ ἀρχαὶ τρεῖς καὶ πῶς δύο, δῆλον. τῷ δὲ αὐτῷ τρόπῳ εἴποις ἄν, πῇ μὲν ἐναντίας εἶναι τὰς ἀρχάς. πῇ δ' οὐκ ἐναντίας. διότι μὲν γὰρ οὐ πάσχει τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος, ἀλλὰ τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου, οὕτως ἂν εὔλογον τὸ ἐναντίας λέγειν τὰς ἀρχάς. Ἀλλ' ἐπεὶ αὐτὰ καθ' ἑαυτὰ τὰ ἐναντία οὐ πέφυκε ποιεῖν καὶ πάσχειν ὑπ' ἀλλήλων, δόξειεν ἂν μὴ δεῖν μὲν ἐναντίας εἶναι τὰς ἀρχάς, ἀλλ' ἀρκεῖν θάτερον τῶν ἐναντίων τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ γεννᾶν τὰ πράγματα. ἐπελύσατο δὲ τὴν δοκοῦσαν ἐναντίωσιν, εἰπὼν, ὅτι καὶ τῶν ἐναντίων δεῖ, καὶ τοῦ ὑποκειμένου. ἀλλὰ θατέρου μὲν τῶν ἐναντίων μετὰ τοῦ ὑποκειμένου, ὡς συμπληρούντων τὴν οὐσίαν τοῦ πράγματος. θατέρου δὲ, λέγω δὴ τῆς στερήσεως, κατὰ συμβεβηκός. ταῦτα εἰπὼν, ἐφεξῆς τὸν τρόπον καθ' ὃν ἐπιβάλλειν δυνατὸν τῇ γνώσει τῆς ὕλης ὑποτίθεται. Ἰστέον δὲ ὅτι ὁ Πλάτων πρὸ αὐτοῦ δύο τρόπους φησὶν εἶναι, καθ' οὓς δυνατὸν εἰς τὴν τῆς ὕλης γνῶσιν ἐλθεῖν. ἕνα μὲν τὸν ἐξ ἀφαιρέσεως, λεγόντων ἡμῶν ὅτι ὕλη ἐστὶν ὃ μήτε ἵππος ἐστί, μήτε ἄνθρωπος, καὶ καθόλου μήτε σῶμα μηδέν, μηδὲ ἕτερόν τι παρὰ ταῦτα, ὃ πᾶσι τούτοις ὑπόκειται. τούτῳ τῷ τρόπῳ φησὶ καὶ τὸ πρῶτον γινώσκεσθαι αἴτιον.

ὑφίσταται τὸ ὑποκείμενον, περὶ ὃ ἡ μεταβολὴ γίνεται, σωζόμενον. ἐπὶ μὲν τῶν μετασχηματιζομένων ὁ χαλκὸς καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν αὐξομένων, τὸ ζῷον, τὸ φυτόν· ἐπὶ δὲ τῶν κατὰ ἀφαίρεσιν, ὁ λίθος· ἐπὶ δὲ τῶν κατὰ σύνθεσιν, ὡς ἐπὶ οἰκίας, οἱ λίθοι καὶ τὰ ξύλα· ἐπὶ δὲ τῶν μεταβαλλόντων καὶ τρεπομένων κατὰ τὴν οὐσίαν, αὐτὸ τὸ σῶμα, καὶ τὸ τριχῇ διαστατόν. ὥστε ἐκ τῶν εἰρημένων δῆλον ἂν εἴη ὅτι ἐν παντὶ γινομένῳ, ὥσπερ ἐναντίωσίς ἐστι καθ᾽ ἣν γίνεται τὰ γινόμενα, οὕτως ἔστι τι πάντως καὶ ὑποκείμενον περὶ ὃ ποιοῦντα καὶ πάσχοντα τὰ ἐναντία, τὴν γένεσιν καὶ τὴν φθορὰν ποιεῖ. τοῖς πέντε δὲ τρόποις τούτοις τῆς γενέσεως, δυνατὸν καὶ ἐπὶ τῶν κατ᾽ οὐσίαν μεταβαλλόντων θεωρῆσαι. ἡ γὰρ φύσις οὐ μόνον συντίθησιν ἀλλήλοις τὰ στοιχεῖα, ἀλλὰ καὶ ἀλλοιοῖ καὶ τρέπει, καὶ οὕτως ἐξ αὐτῶν ποιεῖ τὸ σπέρμα. καὶ ἐκ τούτου πάλιν ἀλλοιωθέντος, τὸ σαρκίον. εἶτα ἐκεῖ αὔξει. καὶ τέλος σχηματίζει. εἴποις δ᾽ ἂν καὶ ἀφαίρεσιν ἐν τούτοις κατεργάζεσθαι τὴν φύσιν. ἀφαιρεῖται γὰρ πᾶν εἴ τι ἐστὶν ἐν τῷ σπέρματι καὶ τῷ καταμηνίῳ περιττωματικὸν, καὶ μὴ συμβαλλόμενον εἰς τὴν τοῦ ζῴου γένεσιν. ἐκ πάντων οὖν τῶν εἰρημένων δῆλόν φησιν, ὅτι πᾶν τὸ γινόμενον σύνθετόν ἐστιν ἐξ ὑποκειμένου καὶ εἴδους. τὸ δ᾽ ὑποκείμενον διττόν ἐστι. τὸ μὲν τῷ εἴδει ἀντικείμενον, ὃ καὶ ὑπεξίσταται τῷ εἴδει. τοῦτο δέ ἐστιν ἡ στέρησις. τὸ δὲ ὃ ὑπομένει τὸ εἶδος καὶ δέχεται αὐτόν. τοῦτο δ᾽ ἐστὶν ἡ ὕλη, καὶ ἔστι μὲν τὸ γινόμενον ἡ ὕλη, ὃ δὲ γίνεται, τὸ εἶδος. Πολλαχῶς δὲ λεγομένου τοῦ γίνεσθαι καὶ τῶν μὲν, οὐ γίνεσθαι, ἀλλὰ τόδε τι γίνεσθαι· ἁπλῶς δὲ γίνεσθαι τῶν οὐσιῶν μόνον. Εἴρηται πολλάκις ὅτι ἁπλῆν μὲν γένεσιν καλεῖ τὴν τῶν οὐσιῶν. τινὰ δὲ τὴν τῶν συμβεβηκότων. διότι ἐπὶ μὲν τῶν κατ᾽ οὐσίαν γινομένων ἁπλῶς φαμὲν ὅτι γέγονεν ἄνθρωπος. ἐπὶ δὲ τῆς κατὰ συμβεβηκὸς γενέσεως, οὐχ ἁπλῶς γεγονέναι φαμὲν, ἀλλά τι γεγονέναι. λευκὸς γὰρ γέγονεν, ἢ μουσικὸς ἄνθρωπος. ὅτι μὲν οὖν ἐπὶ τῆς τινὸς γενέσεως ἐστί τι τὸ ὑποκείμενον, προφανές. ζητητέον δὲ εἰ καὶ ἐπὶ τῆς κατ᾽ οὐσίαν γενέσεως τοῦτό ἐστι. Καὶ πρός τι ἕτερον. τὰ πρός τι ἐν τῷ εἶναί τι καὶ λέγεσθαι ἑτέρου, τὸ εἶναι ἔχει. διὰ τοῦτο οὖν τὰ πρός τι θέλων εἰπεῖν, οὕτως εἶπε πρός τι ἕτερον. Διὰ τὸ μόνην τὴν οὐσίαν μηδενὸς κατ᾽ ἄλλου λέγεσθαι ὑποκειμένου, τὰ δ᾽ ἄλλα πάντα κατὰ τῆς οὐσίας. ὅτι πρόδηλον τὸ ἐπὶ τῆς τῶν συμβεβηκότων γενέσεως εἶναί τι ὑποκείμενον, πιστοῦται ἐκ τοῦ μηδὲ ὅλως εἶναι αὐτὰ δύνασθαι δίχα ὑποκειμένου τινός. τοῦτο δ᾽ ἡ οὐσία. ἐπειδὴ δὲ ἡ οὐσία κατ᾽ οὐδενὸς λέγεται ὑποκειμένου, ἔδοξεν ἂν ἡ τῆς οὐσίας γένεσις μὴ ἐξ ὑποκειμένου εἶναι.

ὍΤΙ δὲ καὶ αἱ οὐσίαι καὶ ὅσα ἄλλα ἁπλῶς ὄντα, ἐξ ὑποκειμένου γίνεται, ἐπισκοποῦντι γένοιτ᾽ ἂν φανερόν. ἀεὶ γάρ ἐστί τι ὃ ὑπόκειται, ἐξ οὗ γίνεται τὸ γινόμενον. οἷον, τὰ φυτὰ καὶ τὰ ζῷα ἐκ σπέρματος. γίνεται δὲ τὰ γινόμενα ἁπλῶς, τὰ μὲν μετασχηματίσει. οἷον ἀνδριὰς ἐκ χαλκοῦ. τὰ δὲ προσθέσει. οἷον, τὰ αὐξανόμενα. τὰ δ᾽ ἀφαιρέσει. οἷον, ἐκ τοῦ λίθου ὁ Ἑρμῆς. τὰ δὲ συνθέσει. οἷον, οἰκία. τὰ δ᾽ ἀλλοιώσει. οἷον, τὰ τρεπόμενα κατὰ τὴν ὕλην. πάντα δὲ τὰ οὕτω γινόμενα φανερὸν ὅτι ἐξ ὑποκειμένου γίνεται.

Εἰπὼν ἡ οὐσία, ἐπὶ τὸ κοινότερον ἀνῆλθεν ὅτι καὶ ἁπλῶς πάντα τὰ γινόμενα. κοινῶς γὰρ δείξει ἐπὶ πάντων τῶν γινομένων, ὅτι πάντως χρεία ὑποκειμένου τινός. διαιρεῖ δὲ ὃ ἔφθην εἰπὼν, πάντα τὰ γινόμενα εἰς πέντε τρόπους. ἐφ᾽ ὧν πάντων τὸ δεῖσθαι ὑποκειμένου δείκνυσιν. ἐπήλθομεν δὲ πᾶσι κατὰ μέρος.

ὭΣΤΕ δῆλον ἐκ τῶν εἰρημένων. ὅτι τὸ γινόμενον ἅπαν ἀεὶ σύνθετόν ἐστι.

Ἐξ ὑποκειμένου καὶ τοῦ εἴδους. ὧν τὸ μέν ἐστι γινόμενον, τὸ εἶδος. τὸ δὲ ὃ γίνεται, ἡ ὕλη. γίνεσθαι γὰρ ἡ ὕλη λέγεται ὅπερ τὸ εἶδος, τῷ δέχεσθαι αὐτό. ἀνωτέρω δὲ εἰπὼν τὸ γινόμενον εἶναι τὸ ὑποκείμενον, ἐνταῦθα τὸ γινόμενον τὸ εἶδός φησιν. ἔστι γάρ τι φησὶ τὸ γινόμενον, τουτέστι τὸ εἶδος. ἔστι δὲ ὃ τοῦτο γίνεται, τουτέστιν ἡ ὕλη. αὕτη γὰρ γίνεται ὅπερ τὸ εἶδος.

ΚΑΙ ἔστι μέν τι τὸ γινόμενον. ἔστι δέ τι ὃ τοῦτο γίνεται. καὶ τοῦτο διττόν. ἢ γὰρ τὸ ὑποκείμενον, ἢ τὸ ἀντικείμενον. λέγω δὲ ἀντικεῖσθαι μὲν τὸ ἄμουσον, ὑποκεῖσθαι δὲ τὸν ἄνθρωπον, καὶ τὴν μὲν ἀσχημοσύνην, καὶ τὴν ἀμορφίαν, ἢ ἀταξίαν τὸ ἀντικείμενον. τὸν δὲ χαλκὸν, ἢ τὸν λίθον, ἢ τὸν χρυσὸν, τὸ ὑποκείμενον.

Καὶ αὐτό φησι τὸ ὑποκείμενον σύνθετόν ἐστι τῷ λόγῳ. τὸ μὲν γὰρ αὐτῷ τῷ εἴδει ἀντίκειται. τοῦτο δ᾽ ἐστὶν ἡ στέρησις. τὸ δ᾽ ὑπόκειται καὶ ὑπομένει αὐτὸ ἐπ᾽ αὐτὸν, καὶ σὺν αὐτῷ τὸ σύνθετον ἀποτελεῖ.

ΦΑΝΕΡΟΝ οὖν ὡς εἴπερ εἰσὶν, αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων, ἐξ ὧν πρώτων εἰσὶ, καὶ γεγόνασι μὴ κατὰ συμβεβηκὸς, ἀλλ᾽ ἕκαστον ὃ λέγεται κατὰ τὴν οὐσίαν, ὅτι γίνεται ἅπαν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς. σύγκειται γὰρ ὁ μουσικὸς ἄνθρωπος, ἐξ ἀνθρώπου καὶ μουσικοῦ τρόπον τινά. διαλύσεις γὰρ τοὺς λόγους εἰς τοὺς λόγους τοὺς ἐκείνων. δῆλον οὖν ὡς γίνοιτ᾽ ἂν τὰ γινόμενα ἐκ τούτων.

Δῆλόν φησιν ὡς εἴπερ ἀρχαί εἰσι τῶν φύσει ὄντων ταῦτα ἐξ ὧν πρώτων ἐνυπαρχόντων ἕκαστον γίνεται καὶ συμπληροῖ ἕκαστον τὸ εἶναι, ὅτι ταυτά ἐστιν ἐξ ὧν σύγκειται ἕκαστον ἐκ τοῦ ὑποκειμένου καὶ τοῦ εἴδους. ταῦτα γάρ ἐστι τὰ πρώτως συντιθέντα τῶν φυσικῶν ἕκαστον. εἰ οὖν ἀρχαὶ τὰ πρώτως συντιθέντα, συντίθησι δὲ τὸ εἶδος καὶ τὸ ὑποκείμενον, αὗται δήπου ἂν εἶεν ἀρχαὶ πάντων τῶν φυσικῶν ἐξ ὧν πρώτων εἰσὶν ἢ γεγόνασι. καλῶς τὸ εἰσὶν, ἢ γεγόνασι. τὸ μὲν γὰρ εἰσὶν ἐπὶ τῶν στοιχείων τῶν ὁλοτήτων καὶ τῶν οὐρανίων. τὸ δὲ γεγόνασιν ἐπὶ τῶν κατὰ μέρος πάντων τῶν γινομένων καὶ φθειρομένων. Μὴ κατὰ

στερήσεως ἀμφότερα λέγεται. ἐπὶ γὰρ τῆς στερήσεως τῶν κατ' οὐσίαν εἰδῶν, ἐδείξαμεν ὅτι οὐ λέγεται τὸ τόδε, ἀλλὰ μόνον τὸ ἐκ τοῦδε.

» ΠΟΛΛΑΧΩΣ δὲ λεγομένου τοῦ γίνεσθαι, καὶ τῶν μὲν, οὐχ ἁπλῶς γίνεσθαι, ἀλλὰ τόδε τι
» γίνεσθαι, ἁπλῶς δὲ γίνεσθαι τῶν οὐσιῶν μόνον, κατὰ μὲν τἆλλα, φανερὸν ὅτι ἀναγκαῖον ὑποκεῖσθαί
» τι τὸ γινόμενον. καὶ γὰρ ποσὸν καὶ ποιὸν, καὶ πρὸς ἕτερον, καὶ ποτὲ, καὶ ποῦ, γίνεται ὑποκειμένου τι-
» νὸς, διὰ τὸ μόνην τὴν οὐσίαν μηδενὸς κατ' ἄλλου λέγεσθαι ὑποκειμένου, τὰ δ' ἄλλα πάντα κατὰ τῆς οὐσίας.

Ε' Πάλαι δὲ ἔδειξεν, ὅτι οὐ μόνον ἐναντιώσεως χρεία ἐν ταῖς ἀρχαῖς τῶν φυσικῶν πραγμάτων, διὰ τὸ μὴ τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖν καὶ πάσχειν, μόνως δὲ τὸ ἐναντίον εἰς τὸ ἐναντίον. ἀλλὰ δεῖ καὶ ὑποκειμένου, εἰς ὃ ἀνὰ μέρος δράσουσι τὰ ἐναντία. τὰ δὲ παραδείγματα τοῦ δεῖν πάντως εἶναι τὸ ὑποκείμενον οὐκ ἐπὶ τῶν κατ' οὐσίαν μεταβαλλόντων ἐλάμβανεν, ἀλλ' ἐπὶ τῶν κατὰ ἀλλοίωσιν μεταβαλλόντων. ἐξ ἀμούσου γὰρ ἀνθρώπου γίνεσθαι τὸν μουσικὸν ἄνθρωπον, ὑποκειμένου τοῦ ἀνθρώπου καὶ τῷ ἀμούσῳ καὶ τῷ μουσικῷ, καὶ τὸν χαλκὸν δὲ ἀνδριάντα γίνεσθαι. ἐπεὶ οὖν αὗται αἱ μεταβολαὶ οὐ κατ' οὐσίαν εἰσὶν, ἀλλὰ ποιότητα, βούλεται νῦν δεῖξαι ὅτι καὶ ἐπὶ τῶν κατ' οὐσίαν μεταβαλλόντων, ἀνάγκη τὶ εἶναι ὑποκείμενον, περὶ ὃ δρῶντα εἰς ἄλληλα τὰ ἐναντία ποιεῖ τῶν οὐσιῶν τὴν γένεσιν καὶ τὴν φθοράν. ὅτι μὲν γὰρ τὰ κατὰ τὰς ἄλλας κατηγορίας μεταβάλλοντα, περί τι μένον ὑποκείμενον μεταβάλλει, προφανές. εὐθὺς γοῦν τὰ κατὰ ποσὸν μεταβάλλοντα, οἷον τὰ αὐξόμενα, ὄντα τινὰ πρότερον, οὕτως αὔξεται. ἄνθρωπος γάρ ἐστιν ὁ αὐξόμενος, ἢ φυτὸν, ἢ ἕτερόν τι, καὶ τὸ μειούμενον. ὁμοίως δὲ καὶ τὰ κατὰ ποιὸν μεταβάλλοντα. τὸ γὰρ λευκαινόμενον, ἢ θερμαινόμενον, σῶμά τι ἐστὶ πάλιν τὸ κατὰ τόπον μεταβάλλον, ὁμοίως ἔστι γάρ τι πρότερον τὸ ἄνω, ἢ κάτω γινόμενον. ὁμοίως καὶ τὸ γινόμενον πατὴρ, ἢ δεξιὸν ἢ ἀριστερὸν, εἶναί τι δεῖ πρότερον, ἢ ἄνθρωπον, ἢ ζῶον, ἢ σῶμα. ὅτι μὲν οὖν τὰ μεταβάλλοντα κατὰ τὰς κατηγορίας ταύτας ὑποκεῖσθαι δεῖ πρὸ τῆς μεταβολῆς, πρόδηλον. ἐπὶ δὲ τῶν κατ' οὐσίαν μεταβαλλόντων δοκεῖ τοῦτο μὴ εὐσύνοπτον εἶναι, διότι ἡ οὐσία κατ' οὐδενὸς ὑποκειμένου λέγεται, ὥσπερ αἱ ἄλλαι κατηγορίαι. ἔστι δὲ καὶ ἐπὶ ταύτης οὐδὲν ἧττον τὸ τῇ μεταβολῇ ὑποκείμενον. τὰ γὰρ φυτὰ καὶ ζῶα, ἐναργῶς ἐκ τῶν σπερμάτων ἔχει τὴν γένεσιν. καὶ τὰ μέταλλα δὲ χυτὰ ὄντα, ἐναργῶς ὑποκείμενον ἔχει τὸ ὑγρόν. κοινῶς δὲ πάντων τῶν φυσικῶν ὑποκείμενον τὰ τέσσαρα στοιχεῖα. λέγει δὲ τῶν ἐν γενέσει καὶ φθορᾷ, περὶ ἃ κιρνάμενα τοιῶς, ἢ τοιῶς, τὰ φυσικὰ εἴδη ἐγγίνεται. καὶ αὐτῶν δὲ τῶν στοιχείων καὶ ἁπλῶς πάντων ὑποκείμενον, τὸ τριχῇ διαστατὸν τουτέστι τὸ ἄποιον σῶμα. περὶ ὃ ἀμετάβλητον μένον ὡς σῶμα, αἱ μεταβολαὶ γίνονται, ποιουσῶν καὶ πασχουσῶν περὶ αὐτὸ τῶν οὐσιωδῶν ποιοτήτων. ὅτι δ' ὡς σῶμα ἀμετάβλητόν ἐστι τὸ δεύτερον ὑποκείμενον, δέδεικται ἡμῖν ἐν τοῖς συμμίκτοις θεωρήμασι. θεωρεῖ δ' ὁ ἀριστοτέλης πάντα τὰ γινόμενα εἰς πέντε, ἵνα δείξῃ ὅτι ἐπὶ πάντων τῶν τρόπων τῆς γενέσεως, ἔστι πάντως ὑποκείμενόν τι. τὰ οὖν γινόμενά φησι τὰ μὲν μετασχηματίσει γίνεται, τὰ δὲ προσθέσει, τὰ δὲ ἀφαιρέσει, τὰ δὲ συνθέσει, τὰ δὲ ἀλλοιώσει. μετασχηματίσει μὲν οὖν φησι γίνεσθαι, ἤτοι τὰ κατὰ ἀλλοίωσιν μεταβάλλοντα, τουτέστι τὰ κατὰ ποιότητα. τουτέστι τὰ κατὰ τὸ τέταρτον εἶδος τῆς ποιότητος μεταβάλλοντα, τὸ σχῆμα καὶ τὴν μορφὴν ὡς ὁ ἀνδριάς. οὐδὲν γὰρ ἕτερον ἐξαλλάττεται ἐν τῷ χαλκῷ πλὴν τοῦ σχήματος, καὶ τῆς θέσεως τῶν μορίων. κατὰ πρόσθεσιν δὲ γινόμενά φησι τὰ κατὰ ποσὸν μεταβάλλοντα. τὸ γὰρ αὐξόμενον προσθέσει αὔξεται. τῇ τροφῇ γὰρ. προσθέσει δὲ οὐ τοῦ ὁμοίου. οὐ γὰρ κατὰ πρόσθεσιν σαρκὸς ἡ σὰρξ αὔξεται. ἀλλ' ὡς ἐν τῷ περὶ γενέσεως εἴρηται, περιεχομένης τῆς ὑγρότητος τῆς ἐκ τῆς τροφῆς τοῖς μορίοις, οὕτως ἡ μεταβολὴ εἰς τὰ μόρια γίνεται. διὸ καὶ τὰ αὐξανόμενα, πλείονι τροφῇ χρῆται. ἀφαιρέσει δὲ γίνεται, ἢ ὥσπερ αὐτός φησιν ὁ ἑρμῆς ἐκ τοῦ λίθου. τινῶν γὰρ ἀποξεσθέντων τοῦ λίθου μορίων, οὕτω γίνεται. ἢ καὶ ἐπὶ τῶν φύσει, ὡς ἐπὶ τῶν φθινόντων, καὶ μειουμένων διὰ τὴν ἐκδιαφόρησιν. συνθέσει δὲ γίνεται ἐπὶ τῶν τεχνητῶν, ὥσπερ ἡ οἰκία καὶ ἡ κλίνη. ἥτε γὰρ οἰκία, κατὰ μόνην τὴν τῶν ξύλων καὶ λίθων σύνθεσιν ἀπετελέσθη. καὶ ἡ κλίνη κατὰ τὴν σύνθεσιν τῶν μορίων. οὐδὲν γὰρ ἕτερον ἐπὶ τούτων ὁ τεχνίτης, ἢ τὰς ὕλας εὐεργοὺς ποιήσας, συνέθηκεν. ἔστι δὲ καὶ ἐπὶ φυσικῶν τὰ κατὰ σύνθεσιν γινόμενα. συντίθησι γὰρ ἡ φύσις καὶ τὰ στοιχεῖα εἰς γένεσιν τῶν ὁμοιομερῶν, καὶ τὰ ὁμοιομερῆ εἰς γένεσιν τῶν ὀργανικῶν, καὶ ταῦτα εἰς τὴν τοῦ ὅλου ζῴου γένεσιν. ἢ καὶ ἐπακολουθεῖ ἔξωθεν τῇ τοιᾶδε συνθέσει τὸ τοιόνδε εἶδος, ὥσπερ καὶ ἐπὶ τῶν τεχνητῶν. συντίθεσθαι δὲ λέγεται τὰ ὅμοια, οὐ τὰ ἀνόμοια. [illegible] ἅπαξ συγκεῖσθαι ἐν τῷ σώματι τὴν ἐπιφάνειαν. οὐ γὰρ σύγκειται τὸ σῶμα ἐκ σώματος καὶ ἐπιφανείας. οὐδ' ἡ ἐπιφάνεια ἐξ ἐπιφανείας καὶ γραμμῶν, ἀλλὰ γραμμὴ γραμμῇ συντίθεσθαι λέγεται, καὶ ἐπιφάνεια ἐπιφανείᾳ, καὶ σῶμα σώματι. οὕτως οὖν οὐκ ἂν κυρίως εἴποις συντίθεσθαι τὴν ὕλην καὶ τὸ εἶδος, ἀλλὰ γίνεσθαι ἐν τῇ ὕλῃ τὸ εἶδος. ταύτῃ οὖν καὶ ἁπλᾶ λέγομεν τὰ στοιχεῖα. ἐπειδὴ οὐ σύνθεσις ὁμοίων ὁρᾶται ἐν αὐτοῖς, ἀλλὰ σύνοδος ἀνομοίων εἴδους καὶ ὕλης. κατ' ἀλλοίωσιν δὲ γίνεσθαί φησι τὰ κατ' οὐσίαν μεταβάλλοντα, διότι ὅλον τὸ ὑποκείμενον ἀλλοιοῦται καὶ μεταβάλλει, καὶ οὐδὲν αὐτοῦ μένει εἰδοποιημένον. τοῦ γὰρ σπέρματος καὶ τοῦ καταμηνίου, οὐδὲν εἶδος ὑπομένει ἐν τῇ γενέσει τοῦ ζῴου, ἀλλ' ὅλον τρέπεται καὶ μεταβάλλει. κατὰ πέντε οὖν τρόπους γινομένης τῆς γενέσεως, ἐν πᾶσι τούτοις

ἄνθρωπος. ἔστι δὲ καὶ τὸ μὲν ἁπλοῦν λαβεῖν, τὸ δὲ σύνθετον. ὡς ὅταν εἴπω ἐξ ἀμούσου ἀνθρώπου γέγονε μουσικός. ἢ ὅταν, ἐξ ἀμούσου μουσικὸς ἄνθρωπος γέγονεν. ἔλαβον γὰρ ποτὲ μὲν τὸ ἐξ οὗ γίνεται, σύνθετον. ποτὲ δὲ τὸ γινόμενον. θάτερον δ' ἁπλοῦν. Ἁπλοῦν δὲ λέγω τὸ γινόμενον ἄνθρωπον καὶ τὸν μὴ μουσικόν. γινόμενον νῦν λέγει, τὸ ὑποκείμενον. ἐφεξῆς δὲ γινόμενον λέγει, τὸ εἰς ὃ γίνεται ἡ μεταβολή. ὃ δὲ γίνεται, τὸ εἶδος. ὡς δηλοῖ καὶ τὰ παραδείγματα. ὃ δέ φησι, τοῦτό ἐστιν. ἁπλῶς λέγω γένεσιν, ὅταν καὶ τὸ γινόμενον ἁπλοῦν ᾖ καὶ ὃ γίνεται. σύνθετον δὲ, ὅταν ἀμφότερα σύνθετα ᾖ. Τούτων δὲ τὸ μὲν, οὐ μόνον λέγεται. τόδε τι γίνεσθαι. Εἰπὼν πῶς γίνεται τὰ γινόμενα, ὅτι ἢ ὡς ἁπλᾶ ἐξ ἁπλῶν, ἢ ὡς σύνθετα ἐκ συνθέτων, βούλεται νῦν τὰ ἁπλᾶ ταῦτα ἐξ ὧν γίνεται τὰ γινόμενα, ὡς αὐτὸς εἶπε, δεῖξαι τίνα διαφορὰν ἔχουσι πρὸς ἄλληλα. λέγω δὴ ὁ ἄνθρωπος καὶ τὸ ἄμουσον. μήποτε γὰρ ὀνόματα μόνον ἐστὶ δύο, ἓν καὶ ταυτὸ πρᾶγμα σημαίνοντα, καὶ ἐντεῦθεν ἡ διάκρισις γίνεται τῆς ὕλης καὶ τῆς στερήσεως. διακρίνει οὖν ταῦτα πρῶτον ἀπὸ τῆς κοινῆς χρήσεως, ὅτι ἐπὶ μὲν τῆς στερήσεως, οὐ μόνον λέγομεν τὸ τόδε, ὅτι ὁ ἄμουσος γίνεται μουσικός, ἀλλὰ καὶ ἐκ τοῦδε, ὅτι ἐξ ἀμούσου γέγονε μουσικός. ἐπὶ δὲ τῆς ὕλης, ἀνὰ μέρος ἢ τὸ τόδε, ἢ τὸ ἐκ τοῦδε.

ΤΩΝ δὲ γινομένων ὡς τὰ ἁπλᾶ λέγομεν γίνεσθαι, τὸ μὲν, ὑπομένον γίνεται. τὸ δ' οὐχ ὑπομένον. ὁ μὲν γὰρ ἄνθρωπος ὑπομένει μουσικὸς γινόμενος ἄνθρωπος, καὶ ἔστι. τὸ δὲ μὴ μουσικὸν, καὶ τὸ ἄμουσον, οὔτε ἁπλῶς, οὔτε συντιθέμενον ὑπομένει.

Διακρίνας ἀπὸ τῆς κοινῆς χρήσεως τὴν ὕλην καὶ τὴν στέρησιν, διακρίνει νῦν αὐτὰς καὶ ἀπ' αὐτῆς αὐτῶν τῆς φύσεως, ἥπερ ἐστὶ πραγματικὴ διάκρισις, ὅτι ἡ μὲν ὕλη ἐν τῇ γενέσει ὑπομένει, καὶ οὐκ ἐξίσταται τῷ εἴδει. ἡ δὲ στέρησις οὐχ ὑπομένει, ἀλλ' ὑπεξίσταται τοῦ εἴδους ἐπιγινομένου. τὸ δὲ ὡς ἁπλᾶ λέγομεν γίνεσθαι προστέθεικεν, ἐπειδὴ ἡ σύνθετος γένεσις οὐδὲν συμβάλλεται αὐτῷ πρὸς τὸ διακρῖναι τὴν ὕλην τῆς στερήσεως. ὅταν γὰρ συνέλωμεν τὴν ὕλην, καὶ τὴν στέρησιν. λέγοντες τὸν ἄμουσον ἄνθρωπον, πῶς ἂν διακρίναιμεν ἐπὶ τούτου τὴν ὕλην τῆς στερήσεως; ἑνὶ γὰρ ὀνόματι τὸ γινόμενον προσαγορεύομεν, τῷ ἄμουσος ἄνθρωπος. ὥσπερ καὶ τὸ ὃ γίνεται τῷ μουσικὸς ἄνθρωπος. πρόδηλον δὲ ὅτι ἐνταῦθα, οὐδὲν τὸ συμπεπλεγμένον ἐν τῇ γενέσει. οὐχ ὑπομένει γὰρ ὁ μουσικὸς ἄνθρωπος ὡς καὶ αὐτός φησι.

ΔΙΩΡΙΣΜΕΝΩΝ δὲ τούτων, ἐξ ἁπάντων τῶν γιγνομένων, τοῦτό ἐστι λαβεῖν, ἄν τις ἐπιβλέψῃ ὥσπερ λέγομεν, ὅτι δεῖ ὑποκεῖσθαι ἀεί τι τὸ γιγνόμενον. καὶ τοῦτο, εἰ καὶ ἀριθμῷ ἐστιν ἕν, ἀλλ' εἴδει γε οὐχ ἕν.

Δείξας πῶς γίνονται τὰ γινόμενα, καὶ διακρίνας τῆς στερήσεως τὴν ὕλην, δείκνυσι λοιπὸν, ὅπερ ἐξ ἀρχῆς προέθετο, πότερον τρία λέγειν δεῖ εἶναι τὰ στοιχεῖα, ἢ δύο. καί φησιν ὅτι διωρισμένου τοῦ περὶ τῶν γινομένων λόγου, ἔστιν ἐκ πάντων τούτων τῶν γινομένων τοῦτο συλλογίσασθαι. εἰ τὰς πάντα τὰ γινόμενα ἐπεκτείνει τὴν ἑαυτοῦ διαίρεσιν. ὅτι ἀνάγκη εἶναί τι ὃ μέλλει τὴν γένεσιν ἀναδέξασθαι. τοῦτο δ' ἡ ὕλη. τοῦτο δέ φησιν ἀριθμῷ μέν ἐστιν ἕν. τῷ δὲ λόγῳ, οὐχ ἕν, ἀλλὰ δύο. ἄλλο γάρ ἐστι τὸ ἀνθρώπῳ εἶναι καὶ ἄλλο ἀμούσῳ. ὅθεν ἐν τῇ γενέσει ὁ μὲν ἄνθρωπος ὑπομένει, τὸ δ' ἄμουσον οὐχ ὑπομένει. ὥστε εἰ ἀνάγκη ἐπὶ πάσης γενέσεως ὑποκεῖσθαί τι τὸ γινόμενον, ἔστι δέ τι καὶ ὃ γίνεται, τοῦτο δ' ἐστὶ τὸ εἶδος. τὸ δὲ ὑποκείμενον ἀριθμῷ μὲν ἕν ἐστι, τῷ δὲ λόγῳ δύο. ἄλλως μὲν δύο ἔσονται τὰ στοιχεῖα, ἄλλως δὲ τρία. ἀριθμῷ μὲν δύο, τῷ δὲ λόγῳ τρία. καὶ εἰ τὸ ἓν ἐξ αὐτῶν, τουτέστιν ἡ στέρησις, μὴ ὑπομένει, κυρίως δὲ ταῦτα στοιχεῖά ἐστιν ἃ μέρος γίνεται τοῦ πράγματος, δῆλον δήπου ὅτι τὰ κυρίως καὶ καθ' αὑτὸ στοιχεῖα, δύο ἂν εἶεν. τὸ γὰρ ἕτερον οὐ καθ' αὑτὸ, ἀλλὰ κατὰ συμβεβηκὸς τὸ στοιχεῖον.

ΤΟ γὰρ εἴδει λέγω καὶ λόγῳ, ταυτόν. οὐ γὰρ ταυτὸν ἀνθρώπῳ καὶ ἀμούσῳ εἶναι. καὶ τὸ μὲν ὑπομένει. τὸ δ' οὐχ ὑπομένει. τὸ μὲν γὰρ μὴ ἀντικείμενον, ὑπομένει. ὁ γὰρ ἄνθρωπος, ὑπομένει. τὸ δὲ μουσικὸν, καὶ τὸ ἄμουσον οὐχ ὑπομένει. οὐδὲ τὸ ἐξ ἀμφοῖν συγκείμενον. οἷον ἄμουσος ἄνθρωπος.

Ἐπειδὴ τὴν ὕλην καὶ τὴν στέρησιν ἀριθμῷ ἓν εἶπεν, εἴδει δ' οὐχ ἕν, ἵνα μή τις ὑπονοήσῃ τὴν ὕλην καὶ τὴν στέρησιν εἴδει ταῦτα λέγειν, διὰ τοῦτό φησιν ὅτι εἴδει λέγω ἀντὶ τοῦ τῷ ὁριστικῷ λόγῳ. ὅτι δ' οὐχ ἓν τῷ λόγῳ ἡ ὕλη καὶ ἡ στέρησις, πάλιν ἀναλαβὼν τὰς εἰρημένας διακρίσεις, ἐκτίθεται.

ΤΟ δ' ἔκ τινος γίνεσθαί τι, καὶ τὸ μὴ τόδε γίνεσθαι, μᾶλλον μὲν λέγεται ἐπὶ τῶν μὴ ὑπομενόντων. οἷον, ἐξ ἀμούσου μουσικὸν γίγνεσθαι. ἐξ ἀνθρώπου δὲ, οὔ. ἀλλὰ μὴν, καὶ ἐπὶ τῶν ὑπομενόντων ἐνίοτε λέγεται ὡσαύτως. ἐκ γὰρ χαλκοῦ ἀνδριάντα γίνεσθαι φαμέν. οὐ τὸν χαλκὸν, ἀνδριάντα. τὸ μέντοι ἐκ τοῦ ἀντικειμένου, καὶ μὴ ὑπομένοντος, ἀμφοτέρως λέγεται. καὶ ἐκ τοῦδε τόδε, καὶ τόδε τόδε. καὶ γὰρ ἐξ ἀμούσου, καὶ ὁ ἄμουσος γίνεται μουσικός. διὸ καὶ ἐπὶ τοῦ συγκειμένου, ὡσαύτως. καὶ γὰρ ἐξ ἀμούσου ἀνθρώπου, καὶ ἄμουσος ἄνθρωπος γίγνεσθαι λέγεται μουσικός.

Ὅτι εἰ καὶ ἐπὶ τῆς ὕλης καὶ ἐπὶ τῆς στερήσεως λέγεται καὶ τὸ ἐκ τοῦδε, καὶ τὸ τόδε, ἀλλὰ μᾶλλον μὲν τὸ τόδε ἐπὶ τῆς ὕλης, τὸ δ' ἐκ τοῦδε ἐπὶ τῆς στερήσεως. καὶ ἐπὶ μὲν τῆς ὕλης ἀνὰ μέρος, θάτερον, ἐπὶ δὲ τῆς στερήσεως, ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ καὶ τὸ ἐκ τοῦδε, καὶ τὸ τόδε. οὐ δεῖ δὲ νομίζειν ὅτι ὅταν λέγῃ ὅτι ἀμφότερα λέγεται ἐπὶ τῆς στερήσεως, ἐπὶ πάσης στερήσεως λέγει ἀμφότερα λέγεσθαι. ἀλλ' ὅτι ἐπί τινος

ἡ οὐσία. καὶ ἐν τῇ οὐσίᾳ χώρα μία ἂν εἴη ἐναντίωσις ἡ καθολικωτάτη. εἰ γὰρ καὶ πλείους εὑρεθήσονται αἱ ἐναντιώσεις, πᾶσαι ὑπὸ μίαν γενικωτάτην ἀναχθήσονται. ὥσπερ καὶ ἐπὶ ποιότητος, τὸ μέλαν καὶ τὸ λευκὸν, χρώματος ἐστὶ πρῶται ἐναντιώσεις. ὥστε κἂν πλείους ἔσονται αἱ ἐναντιώσεις, καὶ αἱ ἀρχαὶ αἱ προσεχεῖς τῶν ὄντων ἀπλείους ὦσι τῷ γένει, καὶ τὸ πρότερον καὶ ὕστερον. πᾶσαι γὰρ ὑπὸ μίαν τὴν κοινότητα ἀναχθήσονται τὸ γένος οὖσαν τῶν μετὰ ταύτην.

Ὅτι μὲν οὖν οὔτε ἓν τὸ στοιχεῖον, οὔτε πλείω δυοῖν, ἢ τριῶν, φανερόν. τούτων δὲ πότερον καθάπερ εἴπομεν, ἀπορίαν ἔχει πολλήν. ὧδ' οὖν ἡμεῖς γε λέγομεν πρῶτον περὶ πάσης γενέσεως ἐπελθόντες. ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας, οὕτω τὰ περὶ ἕκαστον ἴδια θεωρεῖν.

Δύο μὲν ἤτοι ἵνα λάβωμεν ἓν τὸ ὑποκείμενον καὶ μίαν τὴν ἐναντίωσιν περιεκτικὴν τοῦ εἴδους, καὶ τῆς στερήσεως, ἥ ὅπερ κάλλιον τὴν ὕλην καὶ τὸ εἶδος διὰ τὸ τὴν στέρησιν μὴ κυρίως μηδὲ καθ' αὑτὸ εἶναι ἀρχὴν, ἀλλὰ κατὰ συμβεβηκός. ὥσπερ γὰρ καὶ αὐτὸς ἐν τοῖς ἑξῆς δηλώσει, τῷ ἐν ὑποκειμένῳ τῇ ὕλῃ ὑπάρχειν, καὶ ἐν τῇ γενέσει ἡ στέρησις οὐδὲν συμβάλλεται τὸ καθ' αὑτήν. οὐ γὰρ ἄλλως, ἀλλὰ τῆς ἀπουσίας αὐτῆς δεῖ τὰ γινόμενα. τούτων δὲ πότερον, καθάπερ εἴπομεν, ἀπορίαν ἔχει πολλήν. ἄπορόν φησι πότερον δύο λέγειν τὰς ἀρχὰς δεῖ ἢ τρεῖς. καὶ δῆλον ὅτι οὐ περὶ τῶν ἀρχῶν ἀπορεῖ ἁπλῶς πόσαι τε καὶ ποῖαι εἰσί. τοῦτο γὰρ ἤδη ἔδειξεν ὅτι τρεῖς, δύο μὲν τὰ ἐναντία, ἓν δὲ τὸ ὑποκείμενον, ἀλλὰ πότερον ταύτας τὰς εὑρεθείσας ἀρχὰς τρεῖς δεῖ καλεῖν συναριθμοῦντας τὴν στέρησιν, ἢ δύο τὴν στέρησιν μὴ κυρίως οὖσαν ἀρχὴν διὰ τὰ εἰρημένα. τὸ δὲ καθάπερ εἴπομεν πρότερον δηλονότι εἰπὼν τρεῖς. ὅτι μὲν οὖν οὔτε ἓν τὸ στοιχεῖον, οὔτε πλείω δύο ἢ τριῶν, ὧδε λέγομεν περὶ πάσης γενέσεως ἐπελθόντες. ἐπεὶ βούλεται δεῖξαι πότερον δύο δεῖ λέγειν εἶναι τὰς ἀρχὰς τὰς στοιχειώδεις, ἢ τρεῖς, δεῖ φησὶ πρότερον εἰπεῖν πῶς γίνονται τὰ γινόμενα. ἐφόδιον γὰρ τοῦτο πρὸς τὴν προκειμένην εὕρεσιν ζητημάτων. ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας, οὕτως τὰ περὶ ἕκαστον οἰκεῖα ἴδια θεωρεῖν. ἀεὶ γὰρ τῆς γνώσεως μερικωτέρων προηγεῖται ἡ τῶν καθόλου γνῶσις. οὕτως βουλόμενος τὰς διαφορὰς τῶν συλλογισμῶν διδάξαι, πρότερον ἐδίδαξε τί ποτε ὅλως ἐστὶ συλλογισμός. ὁ γὰρ τί ἐστι συλλογισμὸς ἀγνοῶν οὐδέποτε εἴσεται τί ποτέ ἐστιν ἀποδεικτικός. ἐξ ἀρχῆς δὲ τοῦτο προτίθεται ποιῆσαι, ἐκ τῶν κοινοτέρων ἄρξασθαι τῆς διδασκαλίας. ἔχεις οὖν καὶ ἐντεῦθεν τὸν σκοπὸν τῆς προκειμένης πραγματείας, ὅτι ἐστὶ περὶ τῶν κοινῶς παρακολουθούντων πᾶσι τοῖς γινομένοις καὶ φθειρομένοις. πάσης δὲ γενέσεώς φησιν οὐ μόνον τῆς κατ' οὐσίαν, ἀλλὰ καὶ τῆς κατὰ συμβεβηκός. καὶ δῆλον ὅτι καὶ ἐντεῦθεν σαφές ἐστιν, ὅπως ἔλεγεν ἐν ἀρχῇ ἐκ τῶν καθόλου δεῖν ἄρξασθαι ὡς σαφεστέρων καὶ τῇ αἰσθήσει γνωριμωτέρων, καθόλου λέγων οὐ τὰ κατὰ γένη καὶ ἐξῃρημένα τῶν μερικῶν, ἀλλὰ τὰ μερικὰ μὲν πλείοσι δὲ ἐφαρμόζοντα. οὕτω γὰρ καὶ ἐνταῦθά φησι δεῖν ἁπλῶς περὶ γενέσεως εἰπεῖν διὰ τὸ κατὰ φύσιν εἶναι τὸ ἐκ τῶν κοινοτέρων ἄρχεσθαι. καὶ ἐπέρχεται τῷ λόγῳ τὰς κατὰ μέρος γενέσεις. οὐδὲ γάρ ἐστί τις ἁπλῶς γένεσις. ἐπεὶ μηδὲ ἐστί τι κοινὸν γένος τοῦ ὄντος. ἀλλ' ὥσπερ τὸ ὂν ὁμώνυμός ἐστι φωνὴ, οὕτω δὴ καὶ ἡ γένεσις. ἀπορήσαι δ' ἄν τις ἢ περὶ τῶν παρακολουθούντων πᾶσιν ἁπλῶς τοῖς φυσικοῖς ἐνταῦθα διαλέγεται, καὶ ζητεῖ νῦν πόσαι τούτων αἱ ἀρχαὶ πότερον δύο ἢ τρεῖς, πῶς πρὸς εὕρεσιν τούτου ζητεῖ πῶς γίνονται τὰ γινόμενα πάντα, ἵνα ἐκ τούτων καὶ τὸν τῶν ἀρχῶν ἀριθμὸν εὕρῃ. οὐδὲ γὰρ μόνα τὰ γινόμενα φυσικά. ἀλλ' ἔστι τινὰ τῶν φυσικῶν καὶ ἀγένητα. λέγω δὴ τὰ οὐράνια. φημὶ οὖν ὡς ἐπὶ σαφεστέρων τῶν γινομένων καὶ φθειρομένων ποιεῖται τὸν λόγον. ἐκ τούτων δὲ μετάγει τὸν λόγον καὶ ἐπὶ τὰ μὴ γινόμενα. ἀμέλει γοῦν καὶ συμπερανόμενος τὸν λόγον τοῦτον, ἐπὶ πάντων ἁπλῶς συμπεραίνεται, λέγων. φανερὸν γὰρ τοίνυν φησὶν, ὡς εἴπερ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τῶν φύσει ὄντων ἐξ ὧν πρώτων εἰσὶ καὶ γεγόνασιν, ὅτι γίνεται πάντα ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς. ὥστε καὶ τὴν θεωρίαν τῶν ἀρχῶν διὰ τὸ σαφὲς προεχειρίσατο τὰ γινόμενα καὶ φθειρόμενα. ἀλλ' οὖν τὰς αὐτὰς ἀρχὰς δείκνυσιν εἶναι καὶ ἐπὶ τῶν ἀϊδίων. ὥσπερ γὰρ τῶν γενητῶν εἰσὶ τῆς γενέσεως ἀρχαὶ, οὕτως τῶν ἀϊδίων τοῦ εἶναι.

Φαμὲν γὰρ γίνεσθαι ἐξ ἄλλου ἄλλο, καὶ ἐξ ἑτέρου ἕτερον, ἢ τὰ ἁπλᾶ λέγοντες, ἢ τὰ συγκείμενα. λέγω δὲ τοῦτο ὡδί. ἔστι γάρ που γίνεσθαι ἄνθρωπον μουσικόν. ἔστι δὲ καὶ τὸ μὴ μουσικόν τι γίνεσθαι μουσικόν. ἢ τὸν μὴ μουσικὸν ἄνθρωπον, ἄνθρωπον μουσικόν. ἁπλοῦν μὲν οὖν λέγω τὸ γινόμενον τὸν ἄνθρωπον, καὶ τὸ μὴ μουσικόν. καὶ ὃ γίνεται ἁπλοῦν τὸ μουσικόν. συγκείμενον δὲ, καὶ ὃ γίνεται, καὶ τὸ γινόμενον, ὅταν τὸν μὴ μουσικὸν ἄνθρωπον, φῶμεν γίνεσθαι μουσικὸν ἄνθρωπον. τούτων δὲ, τὸ μὲν, οὐ μόνον λέγεται τόδε τι γίνεσθαι, ἀλλὰ καὶ ἐκ τοῦδε. οἷον, ἐκ μὴ μουσικοῦ, μουσικός. τὸ δ' οὐ λέγεται ἐπὶ πάντων. οὐ γὰρ ἐξ ἀνθρώπου ἐγένετο μουσικὸς, ἀλλ' ὁ ἄνθρωπος ἐγένετο μουσικός.

Ὅταν φησὶν ἔκ τινος λέγωμεν γίνεσθαι, ἢ ἐξ ἁπλοῦ φαμὲν, ἢ ἐκ συνθέτου. καὶ πάλιν τὸ γινόμενον, ἢ ἁπλοῦν λέγομεν γίνεσθαι, ἢ σύνθετον. οἷον ὅταν εἴπω ὅτι ὁ ἄνθρωπος μουσικὸς γέγονεν, ἢ τὸ ἄμουσον μουσικὸν γέγονεν, ἐξ ἁπλοῦ λέγω τοῦ ἀνθρώπου, ἢ τοῦ μουσικοῦ ἁπλοῦν τι γενέσθαι τὸ μουσικόν. ὅταν δ' εἴπω ὅτι ἐξ ἀνθρώπου ἀμούσου, ἄνθρωπος γέγονε μουσικὸς, ἐκ συνθέτου λέγω σύνθετον γεγενῆσθαι. σύνθετον γὰρ καὶ ὁ ἄμουσος ἄνθρωπος συγκείμενος ἐκ τοῦ ἀμούσου καὶ τοῦ ἀνθρώπου. καὶ τὸ γινόμενον, ὁ μουσικὸς

ὀνομάζομεν. λέγομεν γὰρ καὶ ἐξ ἀμούσου μουσικὸν γενέσθαι, καὶ τὸν ἄμουσον γενέσθαι μουσικόν. κἀν ἐπὶ τῆς αἰδεσιμότητος δὲ, ὑπομενούσης μὲν ἡ ὕλη, μὴ λέγηται δὲ ὁ οὐκ αἰδέσιμος γίνεσθαι αἰδέσιμος, ἀλλὰ μόνον ἐξ οὐκ αἰδεσιμότητος γίνεσθαι αἰδεσιμότης, σύμφωνον καὶ τοῦτο τοῖς προειρημένοις λόγοις. διὰ γὰρ τὸ μὴ μένειν ταύτας τὰς γενέσεις τὰς κατ' οὐσίαν γενέσεις ἐν αἷς μηδὲν τῆς προσεχοῦς ὕλης ὑπομένει, διὰ τοῦτο ὥσπερ οὐ λέγεται ὁ οὐκ ἄνθρωπος γίνεσθαι ἄνθρωπος, οὕτως οὐδ' ὁ οὐκ αἰδέσιμος, αἰδέσιμος. συνελὼν οὖν τὰ εἰρημένα φημὶ, ὅτι ἐπὶ μὲν τῆς στερήσεως λέγεται ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ τὰ προσρήματα, καὶ τὸ ἐκ τοῦδε καὶ τὸ τόδε. εἰ γὰρ καὶ μὴ ἐπὶ πάσης στερήσεως, ἐπί τινων γὰρ, ἐπὶ δὲ τῆς ὕλης οὐδέποτε ἀμφότερα λέγεται ἐπὶ τοῦ αὐτοῦ. ἀλλὰ ποτὲ μὲν τὸ ἐκ τοῦδε, ποτὲ δὲ τὸ τόδε. εἰ τοίνυν ἐπὶ τῆς στερήσεως, ποτὲ μὲν ἀμφότερα ἐπὶ τοῦ αὐτοῦ λέγεται, ἐπὶ δὲ τῆς ὕλης οὐδέποτε ἀμφότερα ἐπὶ τῆς αὐτῆς, ἀλλὰ θάτερον, ἔοικεν ἑτέρα εἶναι τῆς ὕλης ἡ στέρησις. ἡ μὲν οὖν ἐκ τῆς χρήσεως τῆς κοινῆς διάκρισις τῆς ὕλης ἀπὸ τῆς στερήσεως, τοιαύτη. διακρίνεται δὲ καὶ ἐξ αὐτῶν τῶν πραγμάτων. ὅτι ἡ μὲν ὕλη ἐν ταῖς μεταβολαῖς ὑπομένει τὸ ἐπιὸν εἶδος, ἡ δὲ στέρησις ἐναντία οὖσα τῷ εἴδει οὐχ ὑπομένει, ἀλλ' ὑπεξίσταται αὐτῷ. ὁ μὲν γὰρ ἄνθρωπος ὑπομένει τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ οὐχ ὑπεξίσταται. τὸ δ' ἄμουσον, οὐχ ὑπομένει τὸ μουσικὸν ἐπιὸν, οὐδὲ τὸ μὴ λευκὸν, τὸ λευκὸν, καὶ ἐπὶ πάντων ὁμοίως. ὥστε εἰ ἡ μὲν ὕλη ὑπομένει τὸ εἶδος, ἡ δὲ στέρησις οὐχ ὑπομένει, ἕτερα εἶεν ἂν ταῦτα ἀλλήλων. εἰ δὲ μὴ πᾶσα ὕλη ὑπομένει, οὐχ ὑπομένει γὰρ τὸ σπέρμα καὶ τὸ καταμήνιον ἐπιὸν τὸ ἀνθρώπειον εἶδος, οὐ θαυμαστόν. πρῶτον μὲν γὰρ εἰ καὶ μὴ πᾶσα ὕλη ὑπομένει, ἀλλ' οὖν ἔστι τις ὑπομένουσα, οὐδεμία δὲ στέρησις οὐχ ὑπομένει. ἱκανὸν δὲ καὶ τοῦτο τὴν διάκρισιν αὐτῶν ἐνδείξασθαι. ἔπειτα καὶ εἰ μὴ ἡ προσεχὴς ὕλη ἐπὶ πάντων ὑπομένει. ἡ γοῦν πρώτη ὕλη καὶ τὸ τριχῆ διαστατὸν, ἐπὶ πάντων τῶν μεταβαλλόντων ἀμετάβλητον ὑπομένει. ἡ δὲ στέρησις οὐδὲ ὑπομένει. ἄλλως τε ἀδύνατόν ἐστι μὴ πάντως τὴν ὕλην τήν τε πρώτην καὶ τὴν προσεχῆ, ὑπομένειν ἐφ' ἧς τὸ εἶδος εὐθὺς ἐπιγίνεται. μέρος γάρ ἐστι τοῦ συνθέτου. πρόδηλος ἄρα καὶ ἐξ αὐτῶν τῶν πραγμάτων ἡ διάκρισις τῆς ὕλης ἀπὸ τῆς στερήσεως.

ΤΟ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα εἶναι, ἔκ τε τούτων, καὶ ἐκ τοιούτων ἄλλων ἐπισκοποῦσι, δόξειεν ἂν ἔχειν τινὰ λόγον ὥσπερ προείπομεν. τὸ δὲ πλείω τριῶν, οὐκ ἔτι.

Σημειωτέον ὅτι οὐκ εἶπε τὸ μὲν οὖν τρεῖς φάναι τὰς ἀρχὰς, ἀλλὰ τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα, σημαίνων ὅπερ κατ' ἀρχὰς ἡμῖν εἴρηται. ὅτι τὰ μὲν στοιχεῖα, καὶ ἀρχαί. αἱ δ' ἀρχαὶ, οὐκ ἔτι στοιχεῖα. ὅτι μὲν οὖν ἀρχὰς καλεῖ τὰ στοιχεῖα τὴν ὕλην καὶ τὸ εἶδος, καὶ ἤδη ἐδείξαμεν, καὶ ἐν τοῖς ἑξῆς αὐτὸς σαφῶς τὴν ὕλην καὶ τὸ εἶδος ἀρχὰς καλέσει. ὅτι δ' οὐ πᾶσα ἀρχὴ στοιχεῖον, σαφῶς ἐδήλωσεν εἰπών. τὸ μὲν οὖν τρία φάναι τὰ στοιχεῖα. ἀρχαὶ γὰρ πλείους τριῶν. ἔστι γὰρ καὶ τὸ ποιητικὸν, καὶ τὸ τελικόν.

ΠΡΟΣ μὲν γὰρ τὸ πάσχειν, ἱκανὸν τὸ ἕν.

Τὸ οὐ δυνατὸν δύο μὲν εἶναι ὑποκείμενα μίαν δ' ἐναντίωσιν. ἱκανὸν γὰρ τὸ ἓν ὑποκείμενον, πάσχον ἀνὰ μέρος ὑφ' ἑκατέρου μορίου τῆς ἐναντιώσεως πάντα γεννῆσαι.

ΕΙ ΔΕ τεσσάρων ὄντων, δύο ἔσονται ἐναντιώσεις, δεήσει χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν.

Τὸ δεῖξας δύο ὑποκείμενα μίαν δ' ἐναντίωσιν, νῦν ὑποτίθεται τὰ λοιπὰ δύο τμήματα τό, τε λέγειν δύο μὲν εἶναι ἐναντιώσεις, ἓν δὲ τὸ ὑποκείμενον. καὶ τὸ λέγειν, δύο τὰς ἐναντιώσεις καὶ τὰ ὑποκείμενα. ἐλλιπέστερον δ' εἴρηται κατὰ τὴν λέξιν. δεῖ οὖν ἔξωθέν τι προσυπακούσαντα, τὸ ἐντελὲς δεῖξαι. εἰ δὲ τεσσάρων ὄντων δύο ἔσονται ἐναντιώσεις, δεήσει ἢ χωρὶς ἑκατέρας ὑπάρχειν ἑτέραν τινὰ μεταξὺ φύσιν, ἢ μίαν καὶ τὴν αὐτὴν ἀμφοτέραις ταῖς ἐναντιώσεσιν. εἰ γὰρ μὴ τοῦτο προσυπακούσομεν, οὐδὲ τὸ ἀναγκαῖον ἔχει ὁ λόγος. οὐ γὰρ ἀνάγκη πλειόνων οὐσῶν ἐναντιώσεων, τὰ ὑποκείμενα αὐταῖς πλείονα εἶναι. ἓν γὰρ καὶ ταυτὸ ὑποκείμενον, πολλῶν ἐναντιώσεων δύναται εἶναι δεκτικόν. τὸ αὐτὸ γὰρ θερμοῦ καὶ ψυχροῦ, καὶ ξηροῦ καὶ ὑγροῦ, καὶ πυκνοῦ καὶ μανοῦ, καὶ μυρίων ἄλλων δεκτικόν. τὸ δὲ εἰ τεττάρων ὄντων ἀντὶ τοῦ μορίων τῶν ἐναντιώσεων. δύο γὰρ οὐσῶν ἐναντιώσεων, τέσσαρά ἐστι τὰ μόρια αὐτῶν. μεταξὺ δ' εἶπε τὴν ὑποκειμένην φύσιν. λέγω δὲ τὴν ὕλην. ἔστι γὰρ οἷον κοινόν τι χωρίον τοῦ πολέμου τῶν ἐναντίων καὶ οἷον μεθόριον.

ΕΙ δ' ἐξ ἀλλήλων δύνανται γεννᾶν, περίεργος ἂν εἴη ἡ ἑτέρα τῶν ἐναντιώσεων.

Τὸ ἐξ ἀλλήλων οὐ τοῦτό φησιν, ὅτι ἥδε μὲν τάδε, ἥδε δὲ τάδε, ἀλλ' οὐδ' ὅτι συμπλεκόμεναι δύνανται ἐξ αὐτῶν πᾶν γεννᾶν, ὥσπερ ἡ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ ἐναντίωσις πάντα τὰ στοιχεῖα. ἀλλ' ὅτι εἰ καὶ ἑκατέρα αὐτῶν δύναται καθ' ἑαυτὴν πάντα γεννῆσαι. καὶ ὅτι τοῦτό φησιν, ἐδήλωσεν εἰπὼν περίεργος ἡ ἑτέρα τῶν ἐναντιώσεων. εἰ γὰρ δυνατὸν μίαν ἐναντίωσιν πάντα γεννῆσαι, περιττὴ ἐξ ἀνάγκης ἡ ἑτέρα.

ἍΜΑ δὲ καὶ ἀδύνατον πλείους εἶναι ἐναντιώσεις τὰς πρώτας. ἡ γὰρ οὐσία, ἕν τι γένος ἐστὶ τοῦ ὄντος. ὥστε τῷ πρότερον, καὶ τῷ ὕστερον, διοίσουσιν ἀλλήλων αἱ ἀρχαὶ μόνον, ἀλλ' οὐ τῷ γένει. ἀεὶ γὰρ ἐν ἑνὶ γένει μία ἐναντίωσίς ἐστιν. ἅπασαι δὲ αἱ ἐναντιώσεις ἀνάγεσθαι δοκοῦσιν εἰς μίαν.

Ἕτερον ἐπιχείρημα ὅπερ καὶ φθάσας ἤδη εἶπεν, ὅτι ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις. ἐν δὲ γένος καὶ

σεως ἀμφοτέροις ἐστὶν ὅτι κεχρήμεθα τοῖς προσρήμασι, καὶ τῷ ἐκ τοῦδε καὶ τῷ τόδε. ἐπὶ δὲ τῶν ἀδήλως θατέρῳ μόνον. φημὶ οὖν ὅτι ἐνίοτε μὲν ἀπὸ τῆς στερήσεως ὀνομάζομεν τὸ ὑποκείμενον, ἐπειδὴ τῇ στερήσει συναναλαμβάνομεν διὰ τῆς φωνῆς καὶ τὴν ὕλην. ὅταν γὰρ εἴπω τὸ ἄμουσον, οὐ τὴν ἀμουσίαν ἁπλῶς φημί, ἀλλὰ τὸ μετέχον τῆς ἀμουσίας. ἐπεὶ οὖν ἡ φωνὴ καὶ τὸ μετεχόμενον σημαίνει, δηλονότι καὶ τὸ τῇ ὕλῃ προσῆκον πρόσρημα φέρομεν ἐπ' αὐτῆς, τὸ τόδε. καὶ τὸ τῇ στερήσει, τὸ ἐκ τοῦδε. ἐπὶ μὲν οὖν τῆς στερήσεως, οὕτως. ἐπὶ δὲ τῆς ὕλης, ἐπειδὴ ἡ φωνὴ οὐκ ἔχει συναναλαμβανομένην τὴν φωνήν, λέγω δὴ τὸ ἄμουσον, καὶ γὰρ ὅταν εἴπω ὅτι Σωκράτης λευκὸς γέγονεν, οὐκ ἔστιν ἐν τῷ Σωκράτει ἐμφαινομένη ἡ τοῦ λευκοῦ στέρησις, τουτέστι τὸ μὴ λευκόν, διὰ τοῦτο τῷ ἑνὶ μόνῳ προσρήματι τὰ τοιαῦτα καλοῦμεν· ὅτι ἄνθρωπος μουσικὸς γέγονε, καὶ ὅτι Σωκράτης λευκὸς ἢ φιλόσοφος. οὐκέτι δὲ καὶ ἐξ ἀνθρώπου μουσικός, ἢ ἐκ Σωκράτους φιλόσοφος. Ἀλλ' εἰ μὴ διὰ τὸ συναναλαμβάνεσθαι τῇ ὕλῃ κατὰ τὴν φωνὴν τὴν στέρησιν, διὰ τοῦτο τῷ ἑνὶ μόνῳ προσρήματι προσαγορεύομεν τὴν ὕλην, διατί μὴ ἐπὶ πάσης ὕλης τῷ αὐτῷ κεχρήμεθα προσρήματι, λέγω δὴ τῷ τόδε, ὅπερ καὶ οἰκεῖον εἶναι αὐτῇ μᾶλλον εἰρήκαμεν. ἀλλ' ἐπί τινος ὕλης μόνον τὸ ἐκ τοῦδε λέγομεν, ὅπερ τῇ στερήσει μᾶλλον προσήκει. καίτοι εἰ μὴ συνεμφαίνεται κατὰ τὴν φωνὴν ἐπὶ τῆς ὕλης ἡ στέρησις, διατί μὴ μᾶλλον ἐκ τοῦ οἰκείου τῇ ὕλῃ προσρήματος ἀεὶ καλοῦμεν τὴν ὕλην, καὶ φαμὲν τὸ σπέρμα ἄνθρωπον γενέσθαι, καὶ τοὺς λίθους οἰκίαν, ἀλλ' ἐκ σπέρματος ἄνθρωπον, καὶ ἐκ λίθων οἰκίαν; φημὶ οὖν πρὸς τοῦτο, ὅτι ὅταν ἐξ ὕλης λέγωμεν γίνεσθαί τι, ἐπειδὴ οὐκ ἐκ τῆς πρώτης, ἀλλ' ἐκ τῆς προσεχοῦς ὕλης λέγομεν γίνεσθαι, ἡ δὲ προσεχὴς ὕλη ἐπὶ τῶν κατ' οὐσίαν οὐχ ὑπομένει, ἀλλ' ὅλη μεταβάλλει. οὐδὲν γὰρ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου ὑπομένει. τὸ δὲ τόδε πρόσρημα, τὸ ὑπομένον ἐμφαίνει. διὰ τοῦτο ἐπὶ τῶν τοιούτων, οὐ τὸ τόδε, ἀλλὰ τὸ ἐκ τοῦδε λέγομεν. ἐπὶ γὰρ τῶν κατ' οὐσίαν γενέσεων, οὐδὲν τῆς προσεχοῦς ὕλης, τοῦ σπέρματος λέγω καὶ τοῦ καταμηνίου, ὑπομένει πλὴν τῆς ὑποκειμένης πρώτης ὕλης, καὶ τοῦ τριχῇ διαστατοῦ. διὰ τοῦτο ἐπὶ πάσης οὐσιώδους γενέσεως οὐ τὸ τόδε, ἀλλὰ τὸ ἐκ τοῦδε λέγομεν. οὐ γὰρ τὸν σῖτον λέγομεν γίνεσθαι σῖτον, ἀλλ' ἐκ τοῦ σίτου σῖτον, καὶ ἐκ κριθῆς κριθήν. διότι ὁ σπέρματος καὶ ὕλης λόγον ἐπέχων σῖτος, οὐχ ὑπομένει ὅταν ἐξ αὐτοῦ ἕτερος γίνηται σῖτος, ἀλλὰ καθ' ὅλην τὴν οὐσίαν μεταβάλλει, οὐδενὸς ὑπομένοντος τοῦ αὐτοῦ πλὴν ὡς εἶπον τῆς ὕλης, καὶ τοῦ τριχῇ διαστατοῦ. ἐπί τε οὖν τῶν κατ' οὐσίαν γενέσεων διὰ τοῦτο μόνως τὸ ἐκ τοῦδε φαμὲν οὐ τὸ τόδε. καὶ ἐπὶ τούτων ὅσαι κατ' οὐσίαν μὲν οὐκ εἰσί, μιμοῦνται δὲ τὰς κατ' οὐσίαν γενέσεις. ἡ γὰρ ἐκ χαλκοῦ τοῦ ἀνδριάντος γένεσις, κατ' οὐσίαν μὲν γένεσις οὐκ ἔστι, μιμεῖται δὲ πως τὴν κατ' οὐσίαν γένεσιν. διὰ τοῦτο οὖν ὅταν μὲν θερμανθῇ ὁ χαλκός, ἢ ἐρυθρὸς γένηται, ἢ κατά τινα τοιαύτην μεταβολὴν μεταβάλλῃ, ἥτις ἔοικε τῇ κατὰ συμβεβηκὸς μεταβολῇ, οὐ φαμὲν ἐκ χαλκοῦ ἐρυθρὸν γενέσθαι, ἀλλὰ τὸν χαλκὸν ἐρυθρόν, καὶ τὸν χαλκὸν θερμὸν γενέσθαι. διότι κατὰ συμβεβηκὸς μεταβολὴ τὸ τοιοῦτον. ὅταν δὲ ἀνδριὰς γένηται, ἢ τρίπους, ἢ λέβης, ἤ τι τοιοῦτον, οὐκέτι τὸν χαλκὸν ἀνδριάντα φαμὲν γενέσθαι, ἢ λέβητα, ἢ τρίποδα. ἀλλ' ἐκ χαλκοῦ ἀνδριάντα, καὶ λέβητα, καὶ τρίποδα, ἐπειδὴ ἀπομιμήματά ἐστι ταῦτα τῆς κατ' οὐσίαν γενέσεως. ὁμοίως καὶ ἐπὶ πάντων τῶν τοιούτων ὅτι ἐκ λίθων καὶ ξύλων οἰκία, καὶ τὸ ἀββάκιον ἐκ ξύλων. οἷον γὰρ εἶδος φυσικὸν δοκεῖ ἐν τοῖς τοιούτοις ἐπιγίνεσθαι. ὅταν μὲν οὖν ἐρυθρόν, ἢ θερμὸν εἴπω, οὐ συνεμφαίνεται ἡ δεκτικὴ τοῦ τοιούτου ὕλη. ὥσπερ δὲ ὅταν εἴπω ἄνθρωπον, ἢ ἵππον, εὐθὺς συνεπινοοῦμεν τὴν ὕλην ἐξ ἧς μετέβαλεν, οἷον τὸ τοιόνδε σπέρμα ἐξ οὗ τὴν γένεσιν ἔχει, οὕτως καὶ ὅταν ἀνδριάντα εἴπω, ἢ οἰκίαν, εὐθὺς τὸν χαλκὸν ἐπινοῶ, ἢ τὰ ξύλα καὶ τοὺς λίθους. καὶ ὥσπερ ἐκεῖ οὐδὲν τοῦ σπέρματος ὑπομένει, πλὴν τοῦ τριχῇ διαστατοῦ, οὕτω δοκεῖ καὶ ἐν τῇ τῆς οἰκίας γενέσει μεταβεβλῆσθαι πάντως τῶν κατὰ μέρος λίθων τὸ εἶδος, καὶ ἄλλό τι ἐκ πάντων γενέσθαι. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἐπεὶ οὖν πολλὴ τῶν τοιούτων πρὸς τὰς κατ' οὐσίαν γενέσεις ὁμοιότης, διὰ τοῦτο καὶ ἡ κοινὴ χρῆσις ὁμοίως τὸ ἐκ τοῦδε ἐπὶ αὐτῶν, ὥσπερ καὶ ἐπὶ τῶν κατ' οὐσίαν γενέσεων ἐπέγνω. καὶ ὥσπερ φαμὲν ἐξ ὕδατος ἀέρα γεγονέναι, οὐ τὸ ὕδωρ ἀέρα, οὕτω καὶ ἐκ χαλκοῦ ἀνδριάντα, οὐ τὸν χαλκὸν ἀνδριάντα. μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν. καὶ πάλιν ὥσπερ τὸ ὕδωρ φαμὲν θερμὸν γενέσθαι, κατὰ ποιότητα γὰρ ἡ μεταβολὴ καὶ τὸ ὑποκείμενον ὑπομένει, καὶ ἐπὶ τῶν ἄλλων πάντων τὸν αὐτὸν τρόπον. Ἰστέον δὲ ὅτι οὐδ' ἐπὶ πάσης στερήσεως ἁπλῶς ἀμφοτέροις κεχρήμεθα τοῖς προσρήμασι, καὶ τῷ ἐκ τοῦδε καὶ τῷ τόδε. οὐ γὰρ ἂν εἴποιμεν, ὥσπερ ἐξ οὐκ ἀνθρώπου ἄνθρωπον γενέσθαι, οὕτω δὲ καὶ τὸν οὐκ ἄνθρωπον γενέσθαι ἄνθρωπον, ἀλλὰ μόνως τὸ ἐξ οὐκ ἀνθρώπου. καὶ ἐξ οὐκ οἰκίας οἰκίαν λέγοντες γενέσθαι, καὶ ἐξ οὐκ ἀνδριάντος ἀνδριάντα, οὐκ ἂν εἴποιμεν τὸν οὐκ ἀνδριάντα γενέσθαι ἀνδριάντα, καὶ τὴν οὐκ οἰκίαν οἰκίαν. τούτου δὲ ἡ αἰτία ἐκ τῶν προειρημένων δήλη. ἐπεὶ γὰρ ὡς εἴπομεν, τὸ τόδε τῇ ὕλῃ μέν ἐστιν οἰκεῖον, οὐ πάντως δὲ ἐπ' αὐτῆς λέγεται ἔνθα μὴ ὑπομένει, οὕτω κἂν συναναλαμβάνηται ἀεὶ τῇ στερήσει ἡ ὕλη, ἐπειδὴ ἡ ὑποκειμένη τῇ στερήσει ὕλη μὴ ἀεὶ ὑπομένει, ἐπὶ τούτων τὸ ἐκ τοῦδε μόνον ἐπὶ τῆς στερήσεως λέγομεν ἐφ' ὧν ἡ ὕλη οὐχ ὑπομένει, οὐκέτι δὲ καὶ τὸ τόδε. λέγομεν γὰρ ἐξ οὐκ ἀνθρώπου ἄνθρωπον γενέσθαι, οὐκέτι δὲ καὶ τὸν οὐκ ἄνθρωπον γενέσθαι ἄνθρωπον, ἐκ τῆς στερήσεως ἐπὶ τούτων τὴν γένεσιν, καὶ οὐκ ἐκ τῆς ὕλης ὀνομάζοντες. ἐφ' ὧν δ' ὑπομένει ἡ ὕλη, τότε καὶ ἐκ τῆς ὕλης, καὶ ἐκ τῆς στερήσεως τὴν γένεσιν

καὶ ἀδόξως οὐκ ἔχει τινὰ λόγον.

Ὅτι μὲν οὖν καὶ ἐναντίας δεῖ εἶναι τὰς ἀρχὰς καὶ πρὸς ταύταις ὑποκείμενόν τι τρίτον, ἱκανῶς διὰ τῶν προλα-
βόντων ἔδειξε. περὶ δὲ τοῦ ἀριθμοῦ τῶν ἀρχῶν, οὐκ αὐτάρκη τὰ εἰρημένα. ἠπόρησε γὰρ ἄν τις ὅτι ἐδείξαμεν δεῖν
ἐναντίας εἶναι τὰς ἀρχὰς καὶ πρὸς ταύταις εἶναι καὶ τὸ ὑποκείμενον. μήποτε δὲ δύο ἢ πλείους εἰσὶν ἐναντιώ-
σεις. ὁμοίως δὲ καὶ τὰ ὑποκείμενα δύο ἢ πλείονα. καὶ διὰ τῶν προλαβόντων μὲν οὖν δέδεικται ὅτι τῶν πρώτω-
στων ἐναντιώσεων μίαν δεῖ εἶναι οὐκ αὐτὰς ἀρχάς. διὰ δὲ τῶν παρόντων δείκνυται ὅτι ἀδύνατον πλείους μιᾶς
ἐναντιώσεως εἶναι καὶ ὑποκειμένου ἑνός. λαμβάνει οὖν ἐκ διαιρέσεως τὰς ἀρχὰς τάς, τε εἰδικὰς καὶ τὰς
ὑλικάς, λέγων οὕτως, ἀνάγκη πάντα, ἢ μίαν ἐναντίωσιν εἶναι ἐν ταῖς ἀρχαῖς, ἢ οὐ μίαν, ἀλλὰ πλείους.
ὁμοίως δὲ καὶ ὑποκείμενον, ἢ ἓν εἶναι, ἢ οὐχ ἕν, ἀλλὰ πλείονα. τεσσάρων οὖν ὄντων τμημάτων τούτων, γίνον-
ται ἐξ συζυγίαι. ὧν αἱ μὲν δύο αἱ ἐναντίαι, ἀσύστατοι. συνίστανται δὲ αἱ λοιπαὶ τέσσαρες αἵ, τε δύο ὑπάλ-
ληλοι, καὶ δύο αἱ λοιπαὶ διαγώνιαι. ἢ γὰρ καὶ αἱ ἐναντιώσεις πλείους καὶ τὰ ὑποκείμενα, ἢ πλείους μὲν αἱ
ἐναντιώσεις, ἓν δὲ τὸ ὑποκείμενον, ἢ ἔμπαλιν, πλείω μὲν τὰ ὑποκείμενα, μία δὲ ἡ ἐναντίωσις, ἢ ἓν τὸ ὑπο-
κείμενον καὶ ἡ ἐναντίωσις μία. ἐπεὶ οὖν δειχθῇ ὅτι ἀδύνατον τὰς τρεῖς τὰς ἄλλας συστῆναι, ὑπολιμπάνε-
ται ἡ λοιπὴ ἡ λέγουσα ἓν εἶναι τὸ ὑποκείμενον, καὶ μίαν τὴν ἐναντίωσιν. προχειρίζεται οὖν τὴν μέσην
συζυγίαν πρότερον τὴν λέγουσαν ἓν εἶναι τὸ ὑποκείμενον, καὶ πλείους τὰς ἐναντιώσεις. λαμβάνει δὲ διὰ
τὸ σαφὲς τοῦ λόγου, ἀντὶ τῶν πλειόνων ἐναντιώσεων δύο. ἂν γὰρ αὐτὸ δειχθῇ ἐπὶ τῶν δύο ἐναντιώσεων,
ταῦτα καὶ ἐπὶ πλειόνων δειχθήσεται. εἰ οὖν ἓν μὲν τὸ ὑποκείμενον, δύο δὲ αἱ ἐναντιώσεις, ἐρησόμεθα τοὺς
τοῦτο ὑποτιθεμένους, πότερον ἑκατέρα τῶν ἐναντιώσεων πάντα δύναται γεννᾶν, ἢ ἡ μὲν ἄλλα, ἡ δὲ ἄλ-
λα. εἰ μὲν οὖν ἑκατέρα πάντα γεννᾶν δύναται, περιττὴ ἡ μία, ἅπαξ τῆς μιᾶς πάντα γεννῆσαι δυνα-
μένης. οὐδὲν δὲ οὔτε μάτην, οὔτε περιττὸν ποιεῖ, οὔτε ὁ θεός, οὔτε ἡ φύσις. εἰ δὲ οὐχ ἑκατέρα πάντα ποιεῖ,
ἀλλ᾽ ἡ μὲν ταῦτα, ἡ δὲ ἐκεῖνα, ἀναιρήσομεν τὴν εἰς ἄλληλα τῶν πραγμάτων μεταβολήν. οὐ γὰρ μεταβάλλει
τὸ τυχὸν εἰς τὸ τυχόν, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον. δέδεικται δὲ ὅτι πάντων ἐστὶν εἰς ἄλληλα ἡ με-
ταβολή. οὕτω μὲν οὖν ἀδύνατον δύο εἶναι τὰς ἐναντιώσεις, ἓν δὲ τὸ ὑποκείμενον. εἰ δὲ δύο μὲν εἴη τὰ
ὑποκείμενα, μία δὲ ἡ ἐναντίωσις, ταυτὰ πάλιν ἀπορήσομεν. εἴτε γὰρ ἐξ ἑκατέρου ὑποκειμένου πάντα
δυνατὸν γενέσθαι περιττὸν τὸ ἕν. εἴτε ἐκ θατέρου μέν τινα γίνεται, ἐκ τοῦ λοιποῦ δὲ ἕτερα, ἀναιρεθήσεται
πάλιν ἡ εἰς ἄλληλα τῶν πραγμάτων μεταβολή. ὥσπερ γὰρ οὐ μεταβάλλει εἰς ἄλληλα τὰ μὴ ἐναντία,
οὕτω πάλιν τὰ μὴ τὸ αὐτὸ ἔχοντα ὑποκείμενον, οὐκ ἄν ποτε μεταβάλλοι εἰς ἄλληλα. διὰ τοῦτο κηρὸς
μὲν ἵππος μεταβάλλει εἰς κηρὸν ἀνδριάντα. χαλκοῦς δὲ ἵππος, οὐκ ἄν ποτε μεταβάλλοι εἰς κήρι-
νον ἀνδριάντα. ὥστε οὐδὲ δύο ὑποκείμενα δυνατὸν εἶναι, μίαν δὲ ἐναντίωσιν. διὰ τοὺς αὐτοὺς δὲ λόγους,
οὔτε δύο ὑποκείμενα καὶ δύο ἐναντιώσεις. ὥστε εἰ ἀνάγκη μίαν τῶν τεσσάρων ὑποθέσεων εἶναι ἀληθῆ.
ἐληλεγμένων τῶν τριῶν, ἡ τετάρτη ὑπολείπεται ἡ ἓν λέγουσα τὸ ὑποκείμενον, καὶ μίαν τὴν ἐναντίωσιν.
κέχρηνται δὲ πολλαχοῦ τῇ τοιαύτῃ δείξει οἱ γεωμέτραι, ὁπηνίκα τῇ κατ᾽ εὐθεῖαν δείξει μὴ δύνανται
χρήσασθαι. ἀναιροῦντες γὰρ τὰ ἀντιδιῃρημένα τῇ ἀληθεῖ, τὸ καταλιμπανόμενον ἔχουσιν ἀληθές. οἷον
ὅτι ἡ διάμετρος τῇ πλευρᾷ ἢ σύμμετρος, ἢ ἀσύμμετρος. ἀνελόντες οὖν τὸ σύμμετρον, τὸ καταλιμπανόμενον
ἀληθὲς ἔχει, ὅτι ἀσύμμετρος. προστίθησι δὲ κἀκεῖνο, ὅπερ ἐν τοῖς ἔμπροσθεν εἴπομεν. ὅτι εἰ ἐν παντὶ γένει
μία ἐστὶν ἐναντίωσις, καὶ ἐν τῇ οὐσίᾳ δηλονότι ἑνὶ ὄντι γένει, μία ἔσται ἡ πρώτιστη ἐναντίωσις. ταῦτα εἰ-
πών, ζητεῖ ἐφεξῆς πόσας δεῖ καλεῖν τῷ ἀριθμῷ τὰς ἀρχὰς ταύτας. πότερον δύο ἢ τρεῖς. δόξει γὰρ κατὰ
ἄλλην καὶ ἄλλην ἔννοιαν, ποτὲ μὲν τρεῖς, ποτὲ δὲ δύο δεόντως αὐτὰς καλεῖν. δυνατὸν μὲν γὰρ τρεῖς αὐτὰς
καλεῖν, δύο μὲν τὰ ἐναντία, τὸ εἶδος καὶ τὴν στέρησιν. ἓν δὲ τὸ ὑποκείμενον τὴν ὕλην. δυνατὸν δὲ μὴ τρεῖς
ἀλλὰ δύο λέγειν τὰς ἀρχάς, συναιροῦντας τὰς τρεῖς εἰς τὰς δύο. τὴν γὰρ ὕλην καὶ τὴν στέρησιν τινὲς εἰς ταυ-
τὸν ἄγουσι, καὶ ἕν τι καὶ ταυτὸν νομίζουσιν εἶναι τὴν ὕλην καὶ τὴν στέρησιν. ἐπεὶ οὖν συμβάλλεται πρὸς
τὸ δεῖξαι πότερον δεῖ δύο λέγειν τὰς ἀρχάς, ἢ τρεῖς. καὶ εἰ ἄμφω, καὶ δύο καὶ τρεῖς, πῶς δεῖ δύο λέγειν,
καὶ πῶς τρεῖς, τὸ διασταλῆναι πρότερον ὅτι ἕτερον ἐστιν ἡ ὕλη τῆς στερήσεως, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ,
ἀλλ᾽ οὖν τῷ λόγῳ. πρῶτον οὖν τοῦτο ποιεῖ καὶ δείκνυσι κατὰ δύο τρόπους, ὅτι ἑτέρα ἐστὶ τῆς ὕλης ἡ στέρησις,
καὶ ἐκ τῆς χρήσεως τῆς κοινῆς, καὶ ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. ἐκ μὲν τῆς κοινῆς χρήσεως,
ὅτι ἐπὶ μὲν τῆς στερήσεως φέρομεν καὶ τὸ ἐκ τοῦδε πρόσρημα, καὶ τὸ τόδε. λέγομεν γὰρ καὶ ἐξ ἀμούσου
μουσικὸν γενέσθαι, καὶ τὸν ἄμουσον γενέσθαι μουσικόν, καὶ ὅτι ὁ ἀφιλόσοφος γέγονε φιλόσοφος, καὶ
ἐξ ἀφιλοσόφου γέγονε φιλόσοφος. ἐπὶ δὲ τῆς ὕλης φέρομεν μὲν ἀμφότερα τὰ προσρήματα, ἀλλ᾽ οὐκ
ἐπὶ τοῦ αὐτοῦ, ἀλλ᾽ ἀνὰ μέρος, ἐπ᾽ ἄλλου μὲν τὸ ἐξ οὗ, ἐπ᾽ ἄλλου δὲ τὸ τόδε. λέγομεν γὰρ ἐκ χαλκοῦ γε-
γενῆσθαι ἀνδριάντα, οὐ τὸν χαλκὸν γενέσθαι ἀνδριάντα, καὶ τὸν ἄνθρωπον ἐκ σπέρματος καὶ τοῦ κατα-
μηνίου λέγομεν γενέσθαι, οὐ τὸ σπέρμα καὶ τὸ καταμήνιον, ἄνθρωπον. ἀλλ᾽ εἰ καὶ ἐπ᾽ ἀμφοτέρων ἀμ-
φότερα λέγεται, ἀλλ᾽ ἔστι τῇ μὲν ὕλῃ οἰκειότερον καὶ προσφυὲς τὸ τόδε, τῇ δὲ στερήσει τὸ ἐκ τοῦδε, διότι
ἡ μὲν ὕλη ὑπομένει τὸ εἶδος λαβόν, ἡ δὲ στέρησις οὐχ ὑπομένει. τῷ οὖν ὑπομένοντι οἰκεῖον τὸ τόδε. τῷ δὲ
μὴ ὑπομένοντι τὸ ἐκ τοῦδε. ἀλλ᾽ εἰ οἰκεῖον τῇ ὕλῃ τὸ τόδε διὰ τὸ ὑπομένειν, τί δήποτε ἐπὶ μὲν τῆς στερή-

Τοσοῦτον χρεία τοῦ ὑποκειμένου εἰς τὸν τῶν ἀρχῶν λόγον, ὥστε καί τινες τῶν πρὸ ἡμῶν καὶ πλείονα τὰ ὑποκείμενα τοῖς ἐναντίοις ὑποτίθεασιν. οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τὰ ἐναντία. τὴν δὲ ἀρχὴν οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαί τινος. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. τοῦτο διχῶς ἔστι καὶ συνημμένως ὡς ἕνα συλλογισμὸν τὸ ὅλον λαβεῖν, καὶ διῃρημένως ἀκοῦσαι ὡς δύο συλλογισμούς. ἵνα ᾖ, τὸ, οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τὰ ἐναντία, ἓν ἐπιχείρημα. καὶ τὸ λοιπὸν, ἕτερον. εἰ μὲν οὖν ὡς ἓν ἐπιχείρημα τὸ ὅλον λάβοιμεν, οὕτως. πρὸς δὲ τούτοις φησὶν ἄπορόν τι ἡμῖν ἐπακολουθήσει, εἰ μὴ ὑποθώμεθα τοῖς ἐναντίοις ὕλην τινά. οὐδενὸς γὰρ ὁρῶμεν οὐσίαν τὰ ἐναντία. τουτέστιν οὐδὲν οὐσιοῦται ἐν τῷ ἐναντίον εἶναι. ἐπειδὴ τὰ ἐναντία συμβεβηκότα ἐστί. τὴν δ' ἀρχὴν τῶν ὄντων οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαι. τουτέστιν οὐκ ἐν ὑποκειμένῳ, ἀντὶ τοῦ συμβεβηκός. ἔστιν οὖν ὁ ὅλος συλλογισμὸς τοιοῦτος. τὰ ἐναντία συμβεβηκότα. αἱ ἀρχαὶ τῶν πραγμάτων οὐ συμβεβηκότα. τὰ ἐναντία ἄρα οὐκ ἀρχαὶ τῶν πραγμάτων. διὰ τί δὲ οὐκ εἰσὶ συμβεβηκότα αἱ ἀρχαὶ τῶν πραγμάτων, τὴν αἰτίαν προσέθηκεν. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. τὸ γὰρ ὑποκείμενον τοῖς συμβεβηκόσιν ἀρχὴ ἂν αὐτῶν εἴη. προϋποκεῖσθαι γὰρ δεῖ κατὰ φύσιν τὸ δεξόμενον. τοῦ κατηγορουμένου δὲ εἶπε, διότι τὸ συμβεβηκὸς τῆς οὐσίας κατηγορεῖται. λέγομεν γὰρ τὸν ἄνθρωπον λευκὸν εἶναι. καὶ ἄλλως εἰ μηδὲν οὐσιοῦται ἐν τῷ ἐναντίον εἶναι διότι τὰ ἐναντία συμβεβηκότα, δῆλον ἄρα ὅτι οὐδὲ ἀρχὰς τῶν οὐσιῶν δυνατὸν εἶναι τὰ ἐναντία. ἔσονται γὰρ αἱ ἀρχαὶ τῶν οὐσιῶν συμβεβηκότα. εἰ δὲ τοῦτο, ἀρχὴ δὲ τῶν συμβεβηκότων τὸ ὑποκείμενον αὐτοῖς, ἔσται τῆς ἀρχῆς ἀρχὴ, ὅπερ ἀδύνατον. εἰ μὲν οὖν συνεχὲς εἴη τὸ ῥητὸν, οὕτως αὐτὸ νοητέον. εἰ δὲ διῃρημένον, οὕτως. πρὸς δὲ τούτοις ἀπορήσειεν ἄν τις, εἰ μὴ τρίτην τινὰ ἀρχὴν τοῖς ἐναντίοις ὑποθήσεται. τίς δ' ἡ ἀπορία ἐπήγαγεν, οὐδενὸς γὰρ ὁρῶμεν οὐσίαν τὰ ἐναντία. οὐδὲ γὰρ ἐν τούτῳ οὐσιοῦται τὸ πῦρ ἐν τῷ ἐναντίον εἶναι τῷ ὕδατι. ἐπεὶ οὐδέποτ' ἂν μετέβαλεν εἰς τὸ ὕδωρ, ἀλλ' ἔστι τι τὸ ὑπομένον ἐν τῇ εἰς ὕδωρ μεταβολῇ ὅπερ οὐκ ἔστι τῷ ὕδατι ἐναντίον. εἰ δὲ μὴ ὑπόκειτο τοῖς ἐναντίοις τρίτη τις ἀρχὴ, τοῦτο ἂν συμβαίνῃ τὸ ἐν τῇ ἐναντιότητι οὐσιοῦσθαι τὰ πράγματα. εἶτα τὸ ἐφεξῆς ἀπ' ἄλλης ἀρχῆς. τὴν δ' ἀρχὴν οὐ καθ' ὑποκειμένου τινὸς δεῖ λέγεσθαι. καὶ τὰ ἑξῆς. ἡ ἀρχὴ οὐ καθ' ὑποκειμένου. τὰ ἐναντία καθ' ὑποκειμένου. τὰ ἐναντία ἄρα οὐκ ἀρχαί. εἰ γὰρ ἡ ἀρχὴ καθ' ὑποκειμένου, ἔσται τῆς ἀρχῆς ἀρχὴ, τὸ γὰρ ὑποκείμενον ἀρχὴ τοῦ ἐν ὑποκειμένῳ.

» ΕΤΙ οὐχ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ. πῶς γὰρ ἂν ἐκ μὴ οὐσιῶν οὐσία ἂν εἴη; ἢ πῶς ἂν
» πρότερον μὴ οὐσία οὐσίας εἴη. διόπερ εἴ τις τόν τε πρότερον ἀληθῆ νομίσειεν εἶναι λόγον, καὶ τοῦτον,
» ἀναγκαῖον εἰ μέλλει διασώσειν ἀμφοτέρους αὐτούς, ὑποτιθέναι τι τρίτον. ὥσπερ φασὶν οἱ μίαν τινὰ φύ-
» σιν εἶναι λέγοντες τὸ πᾶν. οἷον, ὕδωρ. ἢ πῦρ. ἢ τὸ μεταξὺ τούτων.

Τὰ ἐναντία φησὶν οὐκ οὐσίαι. αἱ ἀρχαὶ οὐσίαι τῶν οὐσιῶν οὐσίαι. τὰ ἐναντία ἄρα οὐκ ἀρχαὶ τῶν οὐσιῶν. πόθεν δὲ ὅτι αἱ ἀρχαὶ τῶν οὐσιῶν οὐκ οὐσίαι, ἔδειξε; διὰ τοῦ εἰπεῖν, ἢ πῶς ἂν προτέρα μὴ οὐσία οὐσίας εἴη. δυνάμει λέγων ὅτι αἱ ἀρχαὶ τῶν οὐσιῶν οὐκ οὐσίαι. αἱ δ' οὐκ οὐσίαι τὰ συμβεβηκότα ἐστί. ἔσονται ἄρα ἀρχαὶ οὐσιῶν τὰ συμβεβηκότα. εἰ δὲ ταῦτα ἀρχὴ, ἔσται πρότερα τῇ φύσει τὰ συμβεβηκότα τῆς οὐσίας. ὅπερ ἀδύνατον. τοὐναντίον γὰρ προτέρα τῇ φύσει ἡ οὐσία.

» ΔΟΚΕΙ δὲ τὸ μεταξὺ μᾶλλον. πῦρ γὰρ ἤδη καὶ γῆ, καὶ ἀήρ, καὶ ὕδωρ μετ' ἐναντιοτήτων συμπε-
» πλεγμένα ἐστί. διὸ οὐκ ἀλόγως ποιοῦσιν, οἱ τὸ ὑποκείμενον, ἕτερον τούτων ποιοῦντες. τῶν δ' ἄλλων, οἱ
» ἀέρα. καὶ γὰρ ὁ ἀὴρ ἥκιστα ἔχει τῶν ἄλλων διαφορὰς αἰσθητάς. ἐχόμενον δὲ τὸ ὕδωρ.

Μᾶλλόν φησι κατορθοῦσιν οἱ τὸ μεταξὺ ὡς ὕλην ὑποτιθέντες τῶν ἕν τι τῶν τεσσάρων στοιχείων ὑποτιθεμένων, διότι μετ' ἐναντιώσεών τινων τὰ τέσσαρα στοιχεῖα. δεῖ δὲ τὴν ὕλην, ὥσπερ ἐδείχθη, μὴ ἔχειν τινὰ ἐναντίωσιν.

» ΑΛΛΑ πάντες γε τὸ ἓν τοῦτο τοῖς ἐναντίοις σχηματίζουσιν. οἷον πυκνότητι, καὶ μανότητι. καὶ τῷ
» μᾶλλον, καὶ ἧττον. ταῦτα δ' ἐστὶν ὅλως ὑπεροχὴ δηλονότι καὶ ἔλλειψις. ὥσπερ εἴρηται πρότερον. καὶ ἔοι-
» κε παλαιὰ εἶναι καὶ αὕτη ἡ δόξα, ὅτι τὸ ἓν, καὶ ὑπεροχὴ, καὶ ἔλλειψις ἀρχαὶ τῶν ὄντων εἰσί. πλὴν οὐ
» τὸν αὐτὸν τρόπον. ἀλλ' οἱ μὲν ἀρχαῖοι, τὰ δύο μὲν, ποιεῖν. τὸ δὲ ἓν, πάσχειν. τῶν δὲ ὕστερόν τινες, τοὐναν-
» τίον, τὸ μὲν ἓν, ποιεῖν. τὰ δὲ δύο, πάσχειν μᾶλλόν φασι.

Ὅτι οὐ μόνον τῆς ὕλης εἶχον ἔννοιαν οἱ παλαιοί, εἰ καὶ μὴ κατωρθωμένως, ἀλλὰ καὶ τῶν εἰδοποιῶν ἀρχῶν ἐναντίων οὐσῶν, ἅπερ καὶ ἀνάγει πάσας εἰς τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν, ὥστε αἱ ἀρχαὶ τῶν ὄντων φησὶ τρεῖς. ἡ ὕλη, καὶ ἡ ὑπεροχὴ, καὶ ἡ ἔλλειψις. καὶ ταύτας πάντες ἀρχὰς ἔλεγον εἶναι. διεφώνουν δὲ περὶ τὴν τάξιν αὐτῶν, καὶ τὸ ποιητικὸν, καὶ τὸ παθητικόν. οἱ μὲν γὰρ πυθαγόρειοι, οἷς καὶ ὁ πλάτων ἠκολούθησε, τὰ δύο ὡς ὕλην ὑποτιθέντες, πάσχειν ἔλεγον ταύτην ὑπὸ τοῦ ἑνὸς, τοῦ εἴδους, καὶ οὕτως ποιεῖν τὴν γένεσιν. οἱ δὲ τοῦ πλάτωνος παλαιότεροι φυσικοί, τὸ ἓν ὕλην ποιοῦντες, ἢ τὸ μεταξὺ, ἢ ἕν τι τῶν τεσσάρων, πάσχειν τοῦτο ἔλεγον ὑπὸ τῆς δυάδος. καὶ οὕτω ποιεῖν τὴν γένεσιν καὶ τὴν φθοράν. οἷς καὶ ὁ ἀριστοτέλης κατὰ τὰ πάντα ἠκολούθηκε.

» ΤΟ ΜΕΝ οὖν τρία φάναι τὰ στοιχεῖα εἶναι, ἔκ τε τούτων καὶ ἐκ τοιούτων ἄλλων ἐπισκοποῦ-

σι δόξειεν

κατ' αὐτὸ γὰρ χαρακτηρίζονται τὰ πράγματα. κατὰ δὲ τὴν ὕλην, οὐδὲν ἀλλήλων διαφέρουσιν. ὅτι μὲν οὖν ἀδιάφορον τὸ τῆς οὐσίας παρ' αὐτῷ σημαινόμενον, δῆλον. καὶ τὴν ὕλην γὰρ καὶ τὸ εἶδος, καὶ τὸ συναμφότερον, οὐσίαν καλεῖ. πολλάκις δὲ καὶ ἁπλῶς πᾶν τὸ ὂν οὐσίαν καλεῖ, τὴν ὕπαρξιν μόνην τῶν πραγμάτων τῆς οὐσίας σημαινούσης. ἐνταῦθα οὖν τὴν οὐσίαν τὸ αὐθυπόστατον καλεῖ, καὶ μὴ δεόμενον ὑποκειμένου πρὸς τὸ εἶναι, ὥσπερ καὶ ἐν ταῖς κατηγορίαις. ἐπεὶ οὖν ἀπορητικῶς ἐνταῦθα προάγει τὸν λόγον, ἔστι δὲ ἡ σύνθετος οὐσία αὐθυπόστατος, καὶ μὴ ἐν ἑτέρῳ ἔχουσα τὸ εἶναι, διὰ τοῦτο ἐπειδὴ τὸ αὐθυπόστατον αὐτῇ ἐκ τῆς ὕλης μᾶλλον ἐφήκει, ἢ ἐκ τοῦ εἴδους. τὸ γὰρ εἶδος δεῖται ὑποκειμένου εἰς ὕπαρξιν, ἡ δὲ ὕλη ὑποκειμένου τινὸς οὐ δεῖται. διὰ τοῦτο μᾶλλον ἀρχὴν καὶ αἰτίαν τῆς συνθέτου οὐσίας τὴν ὕλην φησίν. εἰ γὰρ καὶ ἐφίεται ἡ ὕλη τοῦ εἴδους, ἀλλ' οὐχ ἵνα ὑπάρξῃ, ὥσπερ τὸ εἶδος τῆς ὕλης εἰς ὕπαρξιν χρήζει, ἀλλ' ἵνα εἰδωθῇ καὶ κοσμηθῇ. ταύτῃ μὲν οὖν τὴν ὕλην οὐσίαν ἐκάλεσε διὰ τὸ αὐθυπόστατον. καὶ δεῖν φησὶ τὰς ἀρχὰς τῆς συνθέτου οὐσίας αὐθυποστάτου οὔσης, καὶ αὐτὰς αὐθυποστάτους εἶναι. εἰ γὰρ μὴ εἶεν αὐθυπόστατοι αἱ ἀρχαὶ τῆς οὐσίας, τὸ μὴ αὐθυπόστατον τοῦ αὐθυποστάτου αἴτιον ἂν εἴη καὶ πρότερον, ὅπερ ἀδύνατον. τοὐναντίον γὰρ τοῦ μὴ αὐθυποστάτου τὸ αὐθυπόστατον αἴτιόν ἐστι καὶ πρότερον τῇ φύσει, ὡς τῶν συμβεβηκότων ἡ οὐσία. συναναιρεῖ γὰρ καὶ οὐ συναναιρεῖται. κατὰ τοῦτο οὖν μᾶλλον οὐσία τοῦ εἴδους ὕλη. κατ' ἄλλον δὲ τρόπον μᾶλλον τὸ εἶδος τῆς ὕλης οὐσία. διότι αὐτὸ χαρακτηριστικόν ἐστι τῆς ἑκάστου οὐσίας. ἡ γὰρ ὕλη κοινή. Ἔτι ἀπορήσειεν ἄν τις, πῶς φησι μὴ εἶναι τὰς ἀρχὰς τῆς οὐσίας ἐν ὑποκειμένοις, καὶ πῶς πρότερον ἐν τῇ οὐσίᾳ εἶναι τὸ ὑποκείμενον. οὔτε γὰρ τῷ προτέρῳ συγχωρήσει τις. εἶναι γάρ τινας τῶν ἀρχῶν ἐν ὑποκειμένῳ. καὶ τὸ δεύτερον ἐλέγξει. οὐδέποτε γάρ ἐστιν ὕλη ἄνευ εἴδους. φαμὲν ὅτι κἂν μηδέποτε ἐστὶν ἡ ὕλη ἄνευ εἴδους, ἀλλ' οὖν φύσει ἐστὶ προτέρα. συναναιρεῖ γὰρ καὶ οὐ συναναιρεῖται. ἐὰν γὰρ τῇ ἐπινοίᾳ διέλωμεν ἐξ αὐτῆς τὰ εἴδη, αὐτὴν μὲν δυνάμεθα κατ' ἐπίνοιαν ὑποστῆσαι. οὐ δεῖται γὰρ ἑτέρου ὑποκειμένου πρὸς τὸ εἶναι. τὸ μέντοι εἶδος, οὐδὲ κατ' ἐπίνοιαν ὑπάρξαι δύναται χωρὶς τῆς ὕλης. καὶ εἰ κατὰ μέρος προάγει ὁ θεὸς τὰ πράγματα, τί ἂν προϋπέστησε; δῆλον ὅτι τὸ ὑποκείμενον, καὶ δεξόμενον τὰ εἴδη. εἶτα τὸ ἐν ἐκείνῳ ὑπάρξαι ὀφεῖλον. πρότερον ἄρα τῇ φύσει τὸ ὑποκείμενον. καὶ ταύτῃ μᾶλλον ἀρχὴ τῆς συνθέτου οὐσίας. οὐχ ὡς οὐκ ὄντος τοῦ εἴδους ἀρχῆς, ἀλλ' ὡς εἶπον ἀπορητικῶς προάγει τὸν λόγον, ἵνα δείξῃ ὅτι ἀναγκαίως εἰς τὸν τῶν ἀρχῶν λόγον δεῖ τοῦ ὑποκειμένου. οὕτω μὲν οὖν ἐκ τοῦ λόγου κατεσκεύασεν, ὅτι ἐστὶν ἀρχὴ τὸ ὑποκείμενον ἡ ὕλη. εἰ οὖν φησὶ καὶ ὁ πρῶτος δόξει λόγος ἀληθὴς εἶναι ὅτι τὰς ἀρχὰς ἐναντίας δεῖ εἶναι, καὶ ὁ δεύτερος, δεῖ ὁμοίως συνθέτως ἀμφοτέρους εἰπεῖν ὅτι καὶ τὰ ἐναντία ἀρχαὶ διὰ τὸ ποιεῖν καὶ πάσχειν, καὶ τρίτον ἡ ὕλη. ἐπεὶ μὴ αὐτὰ εἰς ἑαυτὰ ποιεῖν πεφύκασι τὰ ἐναντία, ἀλλ' ἐν ἑτέρῳ τινὶ ὑπάρχοντα. οὐδ' αὖ πάλιν δυνατὸν τὴν ὕλην μόνην εἶναι ἀρχήν. οὐδενὸς γὰρ αὕτη ποιητική. δείξας οὖν ἐκ τοῦ λόγου καὶ τρίτην εἶναι ἀρχὴν τὴν ὕλην, πιστοῦται αὐτὸ τοῦτο καὶ ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας. οὕτω γάρ φησι δεῖται τοῦ ὑποκειμένου ὁ τῶν ἀρχῶν κατάλογος, ὥστε τῶν ἀρχαιοτέρων τινὲς οὐδὲ ἓν τοῦτο πεποιήκασιν, ἀλλὰ πολλά. ἐμπεδοκλῆς μὲν τὰ τέσσαρα στοιχεῖα. παρμενίδης δὲ πῦρ καὶ γῆν. ἄλλοι δὲ τρία. ἕτεροι ἕν. καὶ τῶν ἓν εἰρηκότων οἱ μὲν ἕν τι τῶν τεσσάρων, οἱ δ' ἕτερον παρὰ ταῦτα μεταξὺ τούτων. ἀποδέχεται δὲ τοὺς ἓν τὸ ὑποκείμενον ὑποθεμένους τῶν πλειόνων. δείξει γὰρ ἐφεξῆς ὅτι ἀδύνατον δύο εἶναι ὕλας, ὥσπερ καὶ δύο ἐναντιότητας. τῶν δὲ ἓν τὸ ὑποκείμενον εἰρηκότων, μᾶλλον τῶν ἄλλων ἀποδέχεται τὸν ἀναξίμανδρον, τὸ μεταξὺ εἰρηκότα, ὡς ἐλαττόνως πως ὄντος τούτου τῆς ὕλης, διὰ τὸ μηδὲν εἶδος ἔχειν τῶν ἐξ αὐτοῦ γινομένων. μετὰ δὲ τοῦτον μᾶλλον κατορθοῖ ὁ ἀναξιμένης, τὸν ἀέρα ὕλην ὑποτιθέμενος. ἥκιστα γὰρ διαφορὰς αἰσθητὰς ἔχει ὁ ἀήρ. μετὰ τοῦτον θαλῆς τὸ ὕδωρ ὕλην ὑποτιθέμενος. καὶ γὰρ καὶ τοῦτο πρὸς τῷ ἄποιον εἶναι, καὶ τἀναντία ὑπομένει πάθη. θερμαίνεται γὰρ καὶ ψύχεται τὸ αὐτό, καὶ χεῖται καὶ πήγνυται ὑπομένον τὸ αὐτό. ὑγρὸν γὰρ ὂν καὶ δυσόριστον τῷ οἰκείῳ ὅρῳ, εὐόριστον δὲ τῷ ἀλλοτρίῳ. οὕτω γὰρ ὁ τοῦ ὑγροῦ λόγος ἐν τῷ περὶ γενέσεως ἀποδέδοται. καὶ ξηραίνεται τὸ αὐτὸ κρυσταλλούμενον. ξηρὸν γάρ ἐστι τὸ δυσόριστον ἀλλοτρίῳ ὅρῳ, εὐόριστον δὲ τῷ οἰκείῳ. ἥκιστα δὲ οἰκείως τοὺς περὶ ὕλης λόγους ἀποδεδώκασιν οἱ πῦρ εἰρηκότες. ἐναργεστέρα γὰρ ἡ συμπλοκὴ τοῦ πυρὸς πρὸς τὰ ἕτερα μόρια τῶν ἐναντίων. ξηρότητά φημι καὶ θερμότητα. διόπερ καὶ ἀμετάβλητον εἰς τἀναντία, μόνον πῦρ. πάντες δ' οὗτοι ἢ μίαν, ἢ πλείους ὑποτιθέμενοι ὕλην, τοῖς ἐναντίοις ταύτην εἰδοποιοῦσιν. οἱ μὲν μανότητι καὶ πυκνότητι. οἱ δὲ νείκει καὶ φιλίᾳ. οἱ δὲ ἄλλῃ καὶ ἄλλῃ ἐναντιώσει, ὥσπερ εἴρηται.

ΑΛΛ' ἀμφότερα ἕτερόν τι τρίτον.

Κατὰ κοινοῦ τὸ, συνάγει. οὔτε γάρ φησιν ἡ φιλία τὸ νεῖκος συνάγει, οὔτε τὸ νεῖκος τὴν φιλίαν. ἀλλ' ἀμφότερα τὸ νεῖκος καὶ ἡ φιλία ἕτερόν τι τρίτον συνάγουσιν, ἢ διακρίνουσιν.

ΕΝΙΟΙ δὲ καὶ πλείω λαμβάνουσιν, ἐξ ὧν κατασκευάζουσι τὴν τῶν ὄντων φύσιν. ἔτι κἂν τόδε τις ἀπορήσειεν, εἰ μή τις ἑτέραν ὑποθήσει τοῖς ἐναντίοις φύσιν. οὐδενὸς γὰρ ὁρῶμεν τῶν ὄντων οὐσίαν τἀναντία. τὴν δ' ἀρχὴν, οὐ καθ' ὑποκειμένου δεῖ λέγεσθαι τινός. ἔσται γὰρ ἀρχὴ τῆς ἀρχῆς. τὸ γὰρ ὑποκείμενον, ἀρχὴ, καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι.

αὐτοὶ πάντων αἴτια κατ᾽ ἀμφοτέρας τὰς ἐναντιώσεις ἡ μεταβολὴ γίνεται. ὥστε εἰ δεῖ κοινοτάτην τῶν στοιχείων εἶναί τινα διαφορὰν καθ᾽ ἣν πάντα μεταβάλλει, αὕτη ἂν εἴη τυχὸν πυκνότης καὶ μανότης. κατὰ ταύτας γὰρ πάντων γίνεται ἡ μεταβολή. εἰ δὲ τοῦτο, δῆλον ὅτι ἀδύνατον δύο ἐναντιώσεις πάσης μεταβολῆς αἰτίας εἶναι. ὥστε ἀνάγκη τὴν πρωτίστην ἐναντίωσιν καὶ κοινοτάτην καθ᾽ ἣν πᾶσα γίνεται μεταβολή, μίαν εἶναι. αὐτὸς μὲν οὖν τοσοῦτον διὰ τούτων δείκνυσιν, ὅτι πεπερασμέναι εἰσὶν αἱ ἀρχαὶ αἱ εἰδικαί, ἔκ τε τούτων καὶ ὅτι εἰ δυνατὸν τὰ αὐτὰ γεννᾶν ἐκ πεπερασμένων ἀρχῶν ἅπερ καὶ ἐξ ἀπείρων, βέλτιον τὸ ἐκ πεπερασμένων. κάλλιον γὰρ τοῦ ἀορίστου τὸ ὡρισμένον ἐστίν. ἀεὶ δὲ ἡ φύσις τὸ κάλλιον αἱρεῖ λέγεται, ἂν ᾖ δυνατόν. δυνατὸν δὲ ἐκ πεπερασμένων ἀρχῶν τὰς αἰτίας πάντων ἀποδοῦναι, ὥσπερ ποιεῖ Ἐμπεδοκλῆς. τοσοῦτον μὲν οὖν ὅσον προεῖπον νῦν δείκνυσιν ὅτι πεπερασμένα δεῖ εἶναι τὰ ἐναντία τῶν φυσικῶν πραγμάτων εἰδικὰ αἴτια. ὡς συναναφαίνεται ἐκ τῶν εἰρημένων ὅτι δεῖ μίαν μόνην εἶναι ἐναντίωσιν τὴν πρωτίστην καὶ κοινοτάτην, ὥσπερ ἐδείξαμεν. διαλεχθεὶς δὲ ἐφεξῆς περὶ τοῦ ὑλικοῦ αἰτίου, αὐτὸ τοῦτο προχειρίζεται. καὶ δείξει ἀκριβῶς ὅτι καὶ μίαν μόνην ἐναντίωσιν ἀνάγκη εἶναι τὴν πρωτίστην, καὶ ἓν τὸ ὑποκείμενον, καὶ πλέον μιᾶς ἀδύνατον.

» ΜΙΑ τε γὰρ ἐναντίωσις ἐν παντὶ γένει ἐνί. ἡ δ᾽ οὐσία, ἕν τι γένος. καὶ ὅτι ἐνδέχεται ἐκ πεπερασμέ-
» νων. βέλτιον δὲ, ἐκ πεπερασμένων, ὥσπερ Ἐμπεδοκλῆς, ἢ ἐξ ἀπείρων. πάντα γὰρ ἀποδιδόναι οἴεται ὥσ-
» περ Ἀναξαγόρας ἐκ τῶν ἀπείρων. Ἔτι δὲ ἔστιν ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ γίνεται ἕτερα ἐξ
» ἀλλήλων. οἷον γλυκὺ καὶ πικρὸν, καὶ τὸ λευκὸν καὶ τὸ μέλαν. τὰς δ᾽ ἀρχὰς ἀεὶ δεῖ μένειν. ὅτι μὲν οὖν
» οὔτε μία, οὔτε ἄπειροι, δῆλον ἐκ τούτων.

Γ σαφῶς λέγων αὐτὸν ὁ Θεμίστιος ἐξέλαβεν οὖν τὴν διαίρεσιν εἰς εἴδη μόνον καὶ οὐκ εἰς γένη ποιούμεθα. περὶ γοῦν χρώματός φησι μία ἐναντίωσις. τὸ μέλαν καὶ τὸ λευκόν. περὶ χυμὸν, τὸ γλυκὺ καὶ τὸ πικρόν. τοῦτο δ᾽ οὐκ ἔστι σύμφωνον τῇ ἀριστοτελικῇ ἐννοίᾳ. περὶ γὰρ πᾶν τὸ γένος τῆς οὐσίας τὴν μίαν ἐναντίωσιν φησὶν εἶναι. οὐκ ἔστι δὲ τῆς κοινοτάτης οὐσίας ἡ διαίρεσις προσεχῶς εἰς εἴδη ἀλλ᾽ εἰς ὑπάλληλα γένη. ἐναντίωσις δέ ἐστιν ἡ σχέσις τῶν δύο ἐναντίων.

» ΕΠΕΙ δὲ πεπερασμέναι, τὸ μὴ ποιεῖν δύο μόνον, ἔχει τινὰ λόγον. ἀπορήσειε γὰρ ἄν τις, πῶς ἢ ἡ πυκνό-
» της τὴν μανότητα ποιεῖν πέφυκεν. ἢ αὕτη τὴν πυκνότητα. ὁμοίως δὲ καὶ ἄλλη ὁποιαοῦν ἐναντιότης. οὐ
» γὰρ ἡ φιλία, τὸ νεῖκος συνάγει, καὶ ποιεῖ τι ἐξ αὐτοῦ. οὐδὲ τὸ νεῖκος, ἐξ ἐκείνης.

Δ ἀποδείξας διὰ πολλῶν ὅτι τὰ ἐναντία ἀρχαὶ, καὶ ἐναντία τὰ πρώτιστα. καὶ ὅτι οὐκ ἐνδέχεται ἀπείρους εἶναι τὰς ἀρχὰς, διότι τὴν πρωτίστην ἐναντίωσιν καὶ κοινοτάτην δεῖ ἐν τῷ τῶν ἀρχῶν λόγῳ παραλαμβάνειν. ἐξ οὗ ἐδείκνυτο δύο εἶναι τὰς ἀρχὰς, ἐπειδὴ μία ἡ πρωτίστη ἐναντίωσις. βουλόμενος οὖν καὶ τὴν τρίτην ἀρχὴν εἰσαγαγεῖν, λέγω δὴ τὴν ὕλην τὸ ὑποκείμενον τοῖς ἐναντίοις, ἀπορητικῶς εἰσάγει τὸν λόγον, καὶ εἰς τοὐναντίον αὐτοῦ χωρεῖ δεικνὺς ὅτι οὐχ ἱκανὰ τὰ ἐναντία ἐν ἀρχῆς λόγῳ παραλαμβάνεσθαι. ἀλλὰ δεῖ τὴν ἀρχὴν μήτε ἐναντίον τι ἔχειν καὶ εἶναι αὐθυπόστατον, ἵνα ἔκ τε τῶν προτέρων ἐξ ὧν ἐδείκνυτο ὅτι δεῖ τὰς ἀρχὰς ἐναντίας εἶναι διὰ τὸ δεῖν μεταβάλλειν τὰ πράγματα, μεταβάλλουσι δὲ εἰς ἄλληλα τῷ δρᾶν καὶ πάσχειν εἰς ἄλληλα. δρῶσι δὲ καὶ πάσχουσιν οὐ τὰ τυχόντα, ἀλλὰ τὰ ἐναντία. καὶ ἐκ τῶν νῦν ὅτι οὐχ οἷά τέ εἰσι τὰ ἐναντία τὸν τῶν ἀρχῶν ἀποπληροῦν λόγον, ἀλλὰ δεῖ τι εἶναι τὸ τοῖς ἐναντίοις εἴδεσιν ὑποκείμενον, ἀμφότερα συναχθῇ ὅτι καὶ τὸ ὑποκείμενον καὶ τὰ ἐναντία, ἀρχαί. ἐπιχειρεῖ οὖν πολλαχῶς ὅτι οὐκ ἀρχαὶ τὰ ἐναντία. καὶ πρῶτον μὲν οὕτως. οὐδὲν φησι τῶν ἐναντίων αὐτὸ καθ᾽ αὑτὸ εἰς τὸ ἐναντίον πέφυκε δρᾶν. οὔτε γὰρ μανότης εἰς πυκνότητα δρᾷ ἄνευ τινὸς ὑποκειμένου. περὶ τὸ ὑποκείμενον γὰρ ἡ μάχη αὐτῶν, ἑκατέρου καταλαβεῖν αὐτὸ βουλομένου. οὔτε τὸ θερμὸν εἰς τὸ ψυχρόν. ἀλλ᾽ οὐδὲ ἡ φιλία εἰς τὸ νεῖκος ποιεῖ. οὐ γὰρ τὸ νεῖκος συνάγει ἡ φιλία, ἀλλ᾽ οὐδὲ τὴν φιλίαν διακρίνει τὸ νεῖκος. ἀλλ᾽ ἕτερον τί ἐστιν αὐτοῖς ὑποκείμενον εἰς ὃ ἀνὰ μέρος ἥ τε φιλία καὶ τὸ νεῖκος δρᾷ. οὐκ ἄρα αὐτὰ καθ᾽ αὑτὰ ἀρχαὶ τὰ ἐναντία, ἀλλὰ μᾶλλον τὸ ὑποκείμενον. αὐτὸ γάρ ἐστι τὸ μεταβάλλον καὶ τὸ αἴτιον τοῖς ἐναντίοις τοῦ ποιεῖν καὶ πάσχειν. ὥστε τοῦτο ἂν εἴη ἀρχή. καὶ ἄλλως, τὰ ἐναντία φησὶν ἐν ὑποκειμένῳ. τὰς ἀρχὰς δὲ τῆς οὐσίας οὐκ ἐν ὑποκειμένῳ δεῖ εἶναι, ὅτι τὸ ὑποκείμενον τοῦ ἐν ὑποκειμένῳ πρότερον τῇ φύσει καὶ ἀρχή, οὕτω γοῦν καὶ ἡ οὐσία ὑποκείμενον οὖσα ταῖς λοιπαῖς κατηγορίαις πρώτη τῇ φύσει ἐστὶν αὐτῶν καὶ ἀρχοειδεστέρα. ὥστε εἰ ἀρχαὶ τὰ ἐναντία, τὰ δὲ ἐναντία οὐκ ἐν ὑποκειμένῳ, ἔσται ἄρα τῆς ἀρχῆς ἀρχή. πάλιν, τὰ ἐναντία οὐδέν ἐστιν ὑποκείμενον. τὰς ἀρχὰς ὑποκεῖσθαι δεῖ. τὰ ἐναντία ἄρα οὐκ εἰσὶν ἀρχαί. πάλιν, τὰ ἐναντία οὐκ οὐσίαι. αἱ ἀρχαὶ τῆς οὐσίας οὐσίαι. τὰ ἐναντία ἄρα οὐκ ἀρχαί. ὅτι δὲ τὰς ἀρχὰς τῆς οὐσίας οὐσίας δεῖ εἶναι, δείκνυσιν οὕτως. εἰ ἐξ οὐκ οὐσιῶν φησιν ἡ οὐσία, ἔσται πρὸ τῆς οὐσίας ἡ οὐκ οὐσία. ἡ δ᾽ οὐκ οὐσία τὰ συμβεβηκότα ἐστί. τὰ συμβεβηκότα ἄρα πρὸ τῆς οὐσίας ἔσονται, ὅπερ ἀδύνατον. τοὐναντίον γὰρ, τῶν συμβεβηκότων ἡ οὐσία φύσει προτέρα. συναναιρεῖ γὰρ καὶ οὐ συναναιρεῖται. ὥστε εἰ τὰς ἀρχὰς τῆς οὐσίας οὐσίας δεῖ εἶναι, οὐσία δὲ τὸ ὑποκείμενον, αὐθυπόστατον γὰρ, τὰ δ᾽ ἐναντία οὐκ οὐσίαι, τὸ ὑποκείμενον ἄρα καὶ οὐ τὰ ἐναντία ἀρχαὶ τῆς οὐσίας. Ἀπορήσειε δ᾽ ἄν τις πῶς φησι τὰς ἀρχὰς τῆς οὐσίας οὐσίας δεῖν εἶναι. δεῖ γὰρ τὴν ἀρχὴν ἕτερον εἶναι τοῦ οὗ ἐστιν ἀρχή. καὶ εἰ κατ᾽ ἄλλο σημαινόμενον ἡ οὐσία ἀρχὴ εἴη, καὶ κατ᾽ ἄλλο τὸ ἀπὸ τῆς ἀρχῆς, διατί μὴ καὶ τὸ εἶδος οὐσία οὐ κατὰ τὸ αὐτὸ σημαινόμενον καθ᾽ ὃ καὶ τὸ ὑποκείμενον, ἀλλὰ καθ᾽ ἕτερον. πῶς δ᾽ ὅλως τὸ ὑποκείμενον καὶ τὴν ὕλην οὐσίαν φησὶ, τὸ δὲ εἶδος οὐκέτι. καίτοι γε αὐτὸς ἐν τῷ β´ λόγῳ τὸ εἶδός φησι μᾶλλον εἶναι οὐσίαν.

κατ᾽ αὐτὸ

σει καὶ ἐν τῇ οὐσίᾳ, ἡ αὐτὴ αὖ ἀπόδειξις. δεικνύει δὲ τὸ μίαν εἶναι ἐναντίωσιν ἐν ἑκάστῳ γένει καὶ οὕτως. εἰ ἕκαστον φησὶ τῶν ὄντων, εἴτε καθόλου εἴτε μερικὸν, ἕνα ἔχει ὁρισμὸν, καὶ οὐκ ἐνδέχεται τοῦ αὐτοῦ δύο εἶναι ὁρισμοὺς, δῆλον ὅτι ὁ μὲν ὁρισμὸς ποιήσει τὴν γένεσιν ἑκάστου, τὸ δὲ τῷ ὁρισμῷ ἀντικείμενον τὴν φθοράν. ὥστε εἰ ἕν ἐστιν ὅτι τῷ ὁρισμῷ ἕν ἐστι καὶ τὸ ἀντικείμενον, ἀνάγκη μίαν εἶναι ἐναντίωσιν περὶ ἕκαστον τῶν πραγμάτων περὶ ἣν ἡ γένεσις γίνεται καὶ ἡ φθορά. οὐ πάντως δὲ ἑκάστην τῶν ἐναντιώσεων δυνατὸν ὀνόματι σημῆναι. ἀλλ᾽ ἀρκεῖ τῷ κοινῷ τοῦ εἴδους καὶ τῆς στερήσεως ὀνόματι πάσας καλεῖσθαι. ἀλλὰ καὶ τοῦτο, ὅτι ἕκαστον μὲν τῶν πραγμάτων κατὰ μίαν ἐναντίωσιν τὴν γένεσιν ἔχει καὶ τὴν φθορὰν, δείκνυσιν. οὐκέτι μέντοι ὅτι πᾶν ὑπὸ τὸ γένος πάντα εἴδη οἷον τὰ τέσσαρα εἴδη τῆς ποιότητος ὑπὸ μίαν κοινοτάτην ἐναντίωσιν ἀνάγεται, προσήκει ὑπὸ τὴν ποιότητα οὖσαν, ὅπερ βούλεται τὸ ἐν ἑκάστῳ γένει μίαν εἶναι ἐναντίωσιν. τὸ γὰρ εἶδος καὶ ἡ στέρησις ὁμωνύμως πάσης ἐναντιώσεως κατηγοροῦνται. δεύτερον ἦν τῶν ζητουμένων, πῶς εὑρηκὼς τὰς τῆς οὐσίας ἀρχὰς, ἔχει εἰπεῖν πάντων καὶ τὰς ἀρχὰς τῶν λοιπῶν κατηγοριῶν. φασὶν οὖν ἐξηγηταὶ ὅτι τὸ ὂν πρώτως μὲν ἐφήρμοσε τῇ οὐσίᾳ, διὰ δὲ τὴν οὐσίαν καὶ ταῖς λοιπαῖς κατηγορίαις. ἐν αὐτῇ γὰρ τὸ εἶναι ἔχουσιν. οὕτως καὶ τὸ εἶδος καὶ ἡ στέρησις κυρίως μὲν ἐν τῇ οὐσίᾳ ὑπάρχει, δι᾽ αὐτὴν δὲ καὶ ἐν ταῖς λοιπαῖς κατηγορίαις. ὥστε ἀφικνεῖται ἀπὸ τῆς οὐσίας ἐπὶ τὰ λοιπὰ γένη τὸ εἶδος καὶ ἡ στέρησις κατὰ τὰ ἀφ᾽ ἑνὸς καὶ πρὸς ἕν, ὁμοίως εὑρηκὼς τὰς τῆς οὐσίας ἀρχὰς, τὰς πάντων ἂν ἔχοι. ταῦτα δὲ σύμφωνα ἂν εἴη τοῖς ἐν προοιμίοις εἰρημένοις, ὅτι δεῖ ἀπὸ τῶν κοινοτέρων καὶ συγκεχυμένων ἄρξασθαι. τὸ γὰρ δεῖξαι ὅτι τὸ εἶδος καὶ ἡ στέρησις ἤδη καὶ πάντων εἰσὶν ἀρχαὶ, τὰ κοινά ἐστι καὶ συγκεχυμένα δεῖξαι. κοινὰ μὲν, ὡς πᾶσιν ἐφαρμόζοντα. συγκεχυμένα δὲ, ὡς μηδὲν ἴδιον περὶ τῆς ἰδίας ἑκάστου ἀρχῆς σημαίνοντα. ἔστι δὲ καὶ τῇ φύσει ὕστερον ὡς κοινότερον καὶ ἐκ τῶν καθ᾽ ἕκαστα συνειλεγμένον. Ἐπὶ τούτοις δεύτερον τίθησιν ἐπιχείρημα ὁ Ἀριστοτέλης δεικνὺς, ὅτι οὐκ εἰσὶν ἄπειροι αἱ ἀρχαί. ἔστι δὲ τοῦτο. εἰ ἔστι φησὶν ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ τὰς ἀρχὰς ἀεὶ δεῖ μένειν, ἀνάγκη μὴ μόνον πεπερασμένας εἶναι τὰς ἀρχὰς, ἀλλὰ μηδὲ πλείους δυεῖν. ἀλλὰ μίαν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἀρχήν. ζητοῦμεν δὲ ἐν τῷ συλλογισμῷ τούτῳ, πρῶτον μὲν τί ποτέ ἐστι τὸ ἀεὶ μένειν τὰς ἀρχάς. ἔπειτα πῶς ἀληθεύσει τὸ συνημμένον. εἰ μὲν οὖν ἐνόμιζε τὰς ἀρχὰς αὐτὸν λέγειν, τὰ οὐράνια. ταῦτα δὲ ἀΐδια εἶναι. ἀλλ᾽ οὐ περὶ τῆς ποιητικῆς αἰτίας ἐστὶν ὁ λόγος ἐνταῦθα, ἀλλὰ περὶ τῶν ἰδικῶν. ὥστε οὐ περὶ τῶν οὐρανίων φησίν. ἕτεροι δέ φασιν ἀρχὰς αὐτὸν λέγειν, τὰ πρὸ τῶν πολλῶν εἴδη. τούτων γάρ φασιν ἀεὶ μενόντων, οὕτω τὰ ἐνταῦθα γίνονται. ἀλλ᾽ οὐδὲ τοῦτο ἀληθές. πρῶτον μὲν γὰρ οὐδὲ τὰ πρὸ τῶν πολλῶν εἴδη βούλεται εἶναι ὁ Ἀριστοτέλης. ἔπειτα περὶ ἀρχῶν φησιν ἐναντίων καὶ ποιητικῶν καὶ παθητικῶν εἰς ἀλλήλας, καὶ τῇ ἑαυτῶν παρουσίᾳ καὶ ἀπουσίᾳ ποιούντων τὴν γένεσιν καὶ τὴν φθοράν. οὐ τοιαῦτα δέ ἐστι τὰ πρὸ τῶν πολλῶν. ἄλλοι φασὶ τὸ στοιχεῖα διὰ τὸ λέγειν αὐτόν. τοῦτο γὰρ ἀεὶ μένειν διὰ τὸ ἀμετάβλητον εἶναι. ἀλλ᾽ οὐδὲ τοῦτο ἀληθές. περὶ τῶν ἰδικῶν γὰρ ἀρχῶν ὁ λόγος. τοῦτο δὲ ὕλης λόγον ἐπέχει μᾶλλον, οὐκ εἴδους. φαμὲν οὖν ἡμεῖς τὸ ἀεὶ μένειν, τοῦτο σημαίνειν αὐτῷ, τὸ ἐπὶ πάσης μεταβολῆς εὑρίσκεσθαι, καὶ πᾶσαν μεταβολὴν κατὰ ταύτας γίνεσθαι. ὥσπερ καὶ περὶ τοῦ ὑλικοῦ αἰτίου ζητῶν τις ἔλεγεν ὅτι τὰ ξύλα ὕλη τῶν πραγμάτων οὐκ ἔστι, διότι μὴ ἀεὶ εὑρίσκεται. οὐ γὰρ ἐν τοῖς χαλκοῖς τεχνητοῖς ὕλη τὰ ξύλα ὑπόκειται. οὐδ᾽ ἐν τοῖς χρυσοῖς. δεῖ δὲ τὴν ὕλην τὴν κοινὴν πάντων ἀεὶ εὑρίσκεσθαι, τουτέστιν ἐπὶ πάσης μεταβολῆς καὶ πάντων τῶν πραγμάτων. οὕτως ἂν καὶ ἐνταῦθα τὰς κοινοτάτας καὶ ἰδικὰς πάντων ἀρχὰς ζητῶν, φησὶ δεῖν ἀεὶ αὐτὰς εὑρίσκεσθαι. τουτέστιν ἐπὶ πάντων τῶν φυσικῶν πραγμάτων τὰς αὐτὰς εἶναι, καὶ πᾶσαν μεταβολὴν κατ᾽ αὐτὰς γίνεσθαι. πῶς δὲ τὸ συνημμένον ἀληθὲς ἂν εἴη, λοιπὸν δεῖ δεῖξαι. ὅτι εἰ ἔστιν ἄλλα ἄλλων πρότερα ἐναντία, καὶ τὰ μὲν περιέχει, τὰ δὲ περιέχεται, ἐπειδὴ τὰς κοινὰς πάντων ἀρχὰς τῶν ὄντων ζητοῦμεν, δῆλον ὅτι τὰ καθολικώτατα ἐναντία παραληψόμεθα εἰς τὸν τῶν ἀρχῶν λόγον. διότι δὲ τὰς ἀρχὰς ἀεὶ δεῖ μένειν, τὰ αὐτὰ ἀεὶ ἀρχαὶ ἔσονται καὶ οὐκ ἄλλοτε ἄλλα. ἐκ τούτων δι᾽ ἀνάγκη ταύτας πεπερασμένας εἶναι αὐτά. διὰ μὲν γὰρ τὸ πρῶτα λαμβάνειν ἐναντία, πεπερασμένας ἀνάγκη αὐτὰς εἶναι. εἰ γὰρ ἄπειραι εἶεν, πολλαπλασίονα τοῦ ἀπείρου ἔσται τὰ περιεχόμενα ὑπ᾽ αὐτῶν. πλείονα γὰρ τὰ περιεχόμενα τῶν περιεχόντων. ἀλλ᾽ εἰ καὶ πεπερασμέναι ἀνάγκη εἶναι τὰ καθολικώτατα εἰ μὴ ἀνάγκη ταύτας αὐτὰς ἀεὶ εἶναι ἐπὶ πάσης μεταβολῆς. καὶ οὕτω πάλιν, εἰ καὶ μὴ ὡς ὑφεστηκότα ἄπειρα ἦν, ἀλλ᾽ οὖν ὡς γινόμενα. ἀεὶ γὰρ ἄλλοτε ἄλλων παραλαμβανομένων ἐναντίων συνέβαινεν ἐπ᾽ ἄπειρον αὔξεσθαι τὸν τῶν ἀρχῶν ἀριθμόν. ὥστε δι᾽ ἀμφοτέρας τὰς ὑποθέσεις, πεπερασμένας ἀνάγκη εἶναι τὰς ἀρχάς. δι᾽ αὐτὰς δὲ πάλιν ταύτας, καὶ δύο μόνας. εἰ γὰρ μὴ ἦσαν δύο, οὐκέτι κοινοτάτην τινὰ ἐναντίωσιν ἐλάμβομεν καὶ τὴν αὐτὴν ἐπὶ πάντων εὑρισκομένην. ἀνάγκη γὰρ καὶ ταύτας, ἢ ὑπ᾽ ἄλλην ἀνάγεσθαί τινα, ἢ μὴ πάσης μεταβολῆς αἰτίας εἶναι τὰς αὐτάς. ἀλλὰ ἄλλης μὲν ταύτην, ἄλλης δὲ ἐκείνην. ἀμέλει γοῦν δύο ἐναντιώσεων οὐσῶν καθ᾽ ἃς τὰ τέσσαρα στοιχεῖα τὴν γένεσιν ἔχει, τῆς τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τῆς τοῦ ὑγροῦ καὶ ξηροῦ, οὐ κατ᾽ ἀμφοτέρας τὰς ἐναντιώσεις γίνονται ἐπὶ πάντων τῶν στοιχείων αἱ μεταβολαί. τὸ πῦρ γοῦν εἰς ἀέρα κατὰ μὲν τὴν ξηρὰν καὶ ὑγρὰν μεταβάλλει. οὐκέτι δὲ κατὰ τὴν θερμὴν καὶ ψυχράν. ἄμφω γὰρ θερμά. πάλιν ὁ ἀὴρ εἰς ὕδωρ κατὰ τὴν θερμὴν καὶ ψυχράν. οὐκέτι δὲ κατὰ τὴν ξηρὰν καὶ ὑγράν. ἄμφω γὰρ ὑγρά. πάλιν ὕδωρ εἰς γῆν κατὰ ξηρὰν καὶ ὑγρὰν μόνην. ἄμφω γὰρ ψυχρά. ἐπὶ μόνων δὲ τῶν ἐναντίων κατ᾽ ἀμφοτέρας γίνεται ἡ μεταβολή. πυρὸς, καὶ ὕδατος. ἀέρος, καὶ γῆς οὐκ

γένος τῆς οὐσίας τὸ εἰς ταῦτα διαιρούμενον λαμβάνω. φημὶ οὖν πρὸς ταῦτα, ὅτι εἰ καὶ τὴν αὐτὴν οὐσίαν λαμβάνω, λέγω
δὴ τὴν κοινοτάτην, ἀλλ' οὖν ἑτέραν καὶ ἑτέραν ἔχουσι σχέσιν πρὸς τὰς διαφοράς. εἴρηται γὰρ καὶ καλῶς εἴρηται, ὅτι
τὰ γένη καὶ προηγεῖται τῶν διαφορῶν ἐν τῇ γενέσει, καὶ σύνεισιν αὐταῖς μετὰ τὴν γένεσιν. ἐν γὰρ τῇ τοῦ ἀνθρώπου γενέσει,
πρῶτον ἐν τῇ ὕλῃ γίνεται τὸ σῶμα. εἶτα τούτῳ ὑποκειμένῳ ὡς ἐν ὕλῃ δευτέρᾳ ἐπιγίνεται τὸ ζῶον. καὶ τούτῳ πάλιν
ὡς προσεχεστέρᾳ ὕλῃ τὸ ἄτομον εἶδος, ὅθεν καὶ ὕλης λόγον ἐπέχειν τὰ γένη πρὸς τὰς διαφορὰς ὁ πορφύριος
ἔλεγεν. οὕτω μὲν οὖν προηγεῖται. σύνεισι δὲ ταῖς διαφοραῖς ἐν τοῖς ἤδη γεγονόσι πράγμασιν. ὅταν μὲν οὖν ὡς ὕ-
λης λόγον ἐπέχοντα τὰ καθολικώτατα λάβωμεν, τότε οὐ φαμεν ταῦτα διαιρεῖσθαι κατὰ τὰς διαφορὰς εἰς τὰ εἴ-
δη, ἀλλ' ὑποκεῖσθαι αὐταῖς. ὅταν δὲ ὡς συνόντα ταῖς διαφοραῖς, οἷον ἐν τοῖς ἤδη γινομένοις πράγμασι, τότε
οὐκέτι ὑποκεῖσθαι, ἀλλὰ διαιρεῖσθαι κατ' αὐτάς. ὅταν οὖν διαιρῶμεν τὸ γένος, τὸ κατὰ πλειόνων δηλονότι κατηγο-
ρούμενον διαιροῦμεν, καὶ τὸ ἤδη ὑφεστηκὸς καὶ συνὸν ταῖς διαφοραῖς, μόνον οὐχὶ λέγοντες ὅτι ἡ κοινὴ αὕτη φύσις καὶ
τῷδε καὶ τῷδε τῷ εἴδει ὑπάρχει. ἐπεὶ δὲ μὴ ὄντα διαιρεῖν ἡμῖν πρόκειται τὰ πράγματα, ἀλλ' ὡς γινόμενα
θεωρεῖν, τὸ κοινὸν τῆς οὐσίας γένος ὑποκεῖσθαι φαμὲν ταῖς ἐναντιώσεσι καθ' ἃς ἕκαστον τῶν ὄντων γίνεται, τὴν πρώτι-
στην δὲ ἐναντίωσιν εἶναι τὴν κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. διὸ φαμὲν πρωτίστας ἀρχὰς εἶναι τῶν ὄντων ἐξ ὧν τὸ εἶναι ἔχου-
σι τὸ εἶδος καὶ τὴν στέρησιν. δῆλον δὲ καὶ ἐντεῦθεν, ὅτι οὐ τὸ γένος τὸ κατὰ πλειόνων κατηγορούμενον λέγομεν, διότι καὶ τὸ
εἰδικώτατον εἶδος εἴποιμ' ἂν οὕτω γένος. φήσαιμι γὰρ ἐν ἑνὶ τῷ τῶν ἀνθρώπων γένει εἶναι τὴν κατὰ τὴν ἐπιστήμην καὶ τὴν ἀνε-
πιστημοσύνην ἐναντίωσιν, ἢ τὴν κατὰ τὴν γνῶσιν καὶ τὴν ἄγνοιαν, οὐδὲν ἄλλο λέγων, ἢ ὑποκεῖσθαι τὸν ἄνθρωπον γνώσει καὶ ἀ-
γνωσίᾳ. ἣν καὶ πρώτην ἐναντίωσιν εἴποιμ' ἄν, ὡς αὐτῷ λογικῷ ὑπάρχειν. τὸ μὲν οὖν τῶν ἀπόρων πρῶτον οὕτως ἡμῖν
διῃτήσθω. δεύτερον δὲ ἦν, πῶς ἐν παντὶ γένει μία, ὥσπερ ἡ ἐναντίωσις. φημὶ οὖν ὅτι ἐν μὲν τῷ ποσῷ, ἔστι τὸ δια-
ρισμένον καὶ τὸ συνεχές. ληφθείη δὲ πάλιν μὴ ὡς εἰς ταῦτα διαιρούμενον τὸ ποσόν, ἀλλ' ὡς ὑποκείμενον αὐταῖς ἐν ὕλης λό-
γῳ, ἤγουν ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις. δύναται γὰρ ὑπὸ μὲν τὴν ὑπεροχὴν τὸ διωρισμένον ἀνάγεσθαι ποσόν. ὑπὸ δὲ τὴν
ἔλλειψιν τὸ συνεχές. τὸ γὰρ αὐτὸ μέγεθος ἐὰν διωρισμένον γένηται, ὑπὸ μείζονος ὅλον ὡς ὅλον παραλαμβάνεται
τόπου. τοῦ δὲ ποιοῦ εἴη ἂν πρωτίστη ἐναντίωσις ἡ κατὰ τὸ μανὸν καὶ πυκνόν. ὅτι μὲν γὰρ αἱ παθητικαὶ ποιότητες καὶ
τὰ πάθη ὑπὸ τὴν μανότητα καὶ τὴν πυκνότητα ἀναχθήσονται, πρόδηλον. ὑπὸ γὰρ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ, ξηροῦ τε
καὶ ὑγροῦ ἀντίθεσιν, πᾶσαι αἱ ἄλλαι τελοῦσιν. ἐκ γὰρ τῆς τούτων κράσεως αἱ ἄλλαι πᾶσαι ποιότητες γίνονται.
αὗται δὲ προφανῶς ὑπὸ τὴν μανότητα καὶ πυκνότητα τελοῦσιν. ὥστε καὶ αἱ ὑπὸ ταύτας. τὰ γὰρ τέσσαρα στοιχεῖα
ἅπερ ἐκ τῆς συμπλοκῆς τῶν δύο τούτων ἐναντιώσεων γίνονται, προφανῶς μανότητι καὶ πυκνότητι μεταβάλ-
λουσιν εἰς ἄλληλα. δύναμις δὲ καὶ ἀδυναμία, εἰ μὲν ἐπὶ τῶν παθητικῶν ποιοτήτων λέγοιντο, οἷον τὸ δύναμιν ἔ-
χον τοῦ θερμαίνεσθαι, ἢ ψύχεσθαι, ἢ ξηραίνεσθαι, ἢ ὑγραίνεσθαι, ἢ κατ' ἄλλην ποιότητα μεταβάλλειν, ἢ ἀδυναμίαν
τοῦτο ἔχειν, πρόδηλον ὅτι καὶ αὗται ὑπὸ μανότητα καὶ πυκνότητα ἀναχθήσονται, ἐπειδὴ καὶ αἷς ὑπάρχουσι
ποιότησιν ὑπὸ ταύτας ἀνάγονται. εἰ δὲ ἐπὶ τῶν λογικῶν τῆς ψυχῆς δυνάμεων, οἷον δύναμιν μουσικῆς, ἢ ἄλλης
τινὸς ἐπιστήμης, ἢ ἀδυναμίαν τούτου φημί, ἐπειδὴ ἐν σώματι γινομένη ἡ ψυχὴ ἐκ τῆς πρὸς τὸ σῶμα συμπλο-
κῆς διαφόρους ἐπιτηδειότητας ἀναδέχεται. τὸ δὲ σῶμα ἐκ τῆς κράσεως τῶν παθητικῶν ποιοτήτων συνέστηκεν. οὕτως
ἂν καὶ ἡ κατὰ δύναμιν καὶ ἀδυναμίαν ποιότης ὑπὸ τὰς παθητικὰς ἀνάγοιτο ποιότητας. αὗται δὲ ἐδείχθησαν
ὑπὸ μανότητα καὶ πυκνότητα ἀναγόμεναι. εἰ δὲ καὶ ἐπὶ τῶν ἀλόγων λαμβάνομεν τὴν ἀδυναμίαν, λέγομεν γὰρ τὸν
ἵππον ἔχειν ἀδυναμίαν γραμματικῆς, δῆλον ὅτι καὶ ἐνταῦθα οὐκ ἄλλου τῆς τοιαύτης κράσεως τῶν παθητικῶν
ποιοτήτων ἡ τοιαύτη ἀδυναμία γίνεται. οὐ γὰρ ἡ τυχοῦσα ψυχὴ εἰς τὴν τυχοῦσαν ἐπιλάμπει κρᾶσιν τῶν σωμάτων.
διὰ οὖν τὸ μὴ πεφυκέναι εἰς τὴν τοιαύτην κρᾶσιν τῶν σωμάτων τῶν ἀλόγων ἐπιλάμπειν τὴν λογικὴν ψυχήν, ἀδυ-
ναμίαν λέγονται ἔχειν τῶν λογικῶν ἐπιστημῶν. ἕξις δὲ καὶ διάθεσις ὁμοίως τῇ δυνάμει καὶ ἀδυναμίᾳ ἀναχθή-
σονται. καὶ ἡ μὲν ἐπὶ τῶν παθητικῶν ποιοτήτων λεγομένη, πρόδηλος. ἡ δὲ ἐπὶ τῆς ψυχικῆς ἕξεως καὶ διαθέσεως τῆς
κατὰ τὰς ἐπιστήμας, διὰ τὴν ἐκ τῆς δυνάμεως τῆς ψυχῆς ἐπιτηδειότητα μᾶλλον ἢ ἧττον, ἡ ἕξις γίνεται καὶ ἡ διάθεσις.
εἴπομεν δὲ ὅτι τὴν ἐπιτηδειότητα καὶ ἀνεπιτηδειότητα, ἐκ τῆς συμπλοκῆς τῆς πρὸς τὸ σῶμα ἔχει ἡ ψυχή. τὸ δὲ τέ-
ταρτον εἶδος τῆς ποιότητος, τὸ σχῆμα λέγω καὶ ἡ μορφή, οὕτως ἀναχθήσεται ὑπὸ μανότητα καὶ πυκνότητα. τὸ
μὲν σχῆμα ὅτι δέδεικται ὅτι τῶν ἰσοπεριμέτρων σχημάτων τὰ πολυγωνιώτερα πολυχωρητότερα, καὶ διὰ τοῦτο
τοῦ γεγωνιωμένου τὸ ἰσοπερίμετρον σφαιρικὸν πολυχωρητότερον. ἀνάξεις οὖν ὑπὸ μὲν μανότητα τὰ σφαιρικὰ
σχήματα. ὑπὸ δὲ τὴν πυκνότητα, τὸ γεγωνιωμένον. διότι καὶ τὸ αὐτὸ σῶμα μανούμενον μέν, μεῖζον ἔσται, πυκνούμενον δέ, ἔλατ-
τον. ἡ δὲ μορφὴ θέσις τις οὖσα τῶν μορίων καὶ οἱονεὶ διάστασις, μάνωσις ἂν εἴη ἐοικυῖα τῇ τεχνητῇ μανώσει τῇ κα-
τὰ διάστασιν τῶν μορίων γινομένῃ. ὡς ἐπὶ τοῦ ἐκτεινομένου ἱμάντος ἔχει, ἢ ἐπὶ τοῦ ξαινομένου ἐρίου. οὕτω μὲν
οὖν καὶ τὴν μανότητα ὑπὸ μίαν ἐναντίωσιν ἀνάξομεν. ἐπεὶ οὖν αἱ λοιπαὶ κατηγορίαι ἰδίαν ὕπαρξιν οὐκ
ἔχουσιν, ἀλλ' ἐν ταύταις ἔχουσι τὸ εἶναι, δηλονότι τούτων ὑπὸ καθολικωτάτας ἐναντιώσεις ἀναγομένων,
διὰ τούτων κἀκεῖναι ἀνηγμέναι ἂν εἶεν. ταῦτα μὲν οὖν τοῦ πιθανοῦ μᾶλλον, ἢ τοῦ ἀληθινοῦ ἕνεκα λελέ-
χθω. δεῖ δὲ προσεχέστερον μίαν ἐναντίωσιν ἀνευρεῖν καθ' ἕκαστον γένος, τουτέστι καθ' ἑκάστην κατηγορίαν,
καθ' ἣν ἡ ἀποβολὴ καὶ ἡ πρόσληψις τοῦ εἴδους γίνεται. αὕτη δέ ἐστι τὸ εἶδος καὶ ἡ στέρησις. αὕτη δὲ ἂν εἴη
καὶ ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας ἡ ἐναντίωσις. τοῦτο δὲ πάλιν οὐδέν ἐστιν ἄλλο, ἢ τὸ αὐτὸ διὰ τοῦ αὐτοῦ δια-
κρίνειν. καὶ ζητεῖ μὲν δεῖξαι ὅτι ἡ ἐν τῇ οὐσίᾳ πρώτη ἐναντίωσις, τὸ εἶδός ἐστι καὶ ἡ στέρησις. λαμβάνει δὲ πά-
λιν ὁμολογούμενον, ὅτι ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις ἡ κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. καὶ διὰ τοῦ-

το καὶ

νότης καὶ πυκνότης. ὁμοίως καὶ ἐν τοῖς κατὰ τὸν λόγον τὰ μὲν καθολικώτερα τῷ λόγῳ μᾶλλόν ἐστι γνώριμα, ἢ τὰ μερικώτερα· τὰ δὲ μερικώτερα, τῇ αἰσθήσει μᾶλλον ἢ τὰ καθολικώτερα.

ΕΧΟΜΕΝΟΝ δ' ἂν εἴη λέγειν, πότερον δύο, ἢ τρεῖς, ἢ πλείους εἰσί. μίαν μὲν γὰρ οὐχ οἷόν τε. ὅτι οὐχ ἓν τὰ ἐναντία. ἀπείρους δέ, οὔ· ὅτι οὐκ ἐπιστητὸν τὸ ὂν ἔσται.

Ὅτι μὲν τὰ ἐναντία παραληπτέον ἀρχὰς τῶν φυσικῶν πραγμάτων, φθάσας ἤδη ὑπέδειξεν. ἐντεῦθεν δὲ τὸ προκείμενον δεῖξαι ὅτι τὴν πρωτίστην καὶ κοινοτάτην ἐναντίωσιν ἀνάγκη πᾶσαν μίαν εἶναι, τοῦτο οὖν βουλόμενος δεῖξαι ἀναλαμβάνει τὸν περὶ τῶν ἀρχῶν λόγον, καὶ δείκνυσιν, ὅτι οὔτε μίαν ἐνδέχεται εἶναι τὴν ἀρχήν, οὔτε ἀπείρους· ἀλλὰ πλείους μὲν μιᾶς, πεπερασμένας δὲ ταύτας. αὕτη δὲ ἡ διαίρεσις οὐχ ἁπλῶς τῶν εἰδικῶν ἐστιν ἀρχῶν, ἢ ὑλικῶν, ἀλλὰ κοινῶς τῶν ἀρχῶν. ὥσπερ γὰρ καὶ τὴν ὑλικὴν ἀρχήν, ἢ μίαν εἶναι ἀνάγκη, ἢ πλείους, καὶ εἰ πλείους, ἢ πεπερασμένας, ἢ ἀπείρους, οὕτω δὴ καὶ καθόλου τὰς ἀρχὰς τῇ αὐτῇ ὑποπεσεῖν διαιρέσει ἀνάγκη. ἀνάγκη γὰρ ἢ μίαν εἶναι ἢ πολλάς, καὶ πεπερασμένας ἢ ἀπείρους. ἀνελὼν οὖν τὰ ἄκρα, καταλιμπάνει τὸ μέσον καὶ ἀληθές. μίαν μὲν οὖν ἀδύνατον εἶναι τὴν ἀρχήν, διότι ἐδείχθη τὰ ἐναντία δεῖν εἶναι τὰς ἀρχάς. τὸ δὲ ἐναντίον τινὶ ἐναντίον. οὐδὲν γὰρ αὐτὸ ἑαυτῷ ἐστιν ἐναντίον. τῶν πρός τι γάρ. ὥστε ἀδύνατον μίαν εἶναι τὴν τῶν φυσικῶν πραγμάτων ἀρχήν. ἀπείρους δὲ τὰς ἀρχὰς ἀδύνατον εἶναι. πρῶτον μὲν διὰ τὸ ἀναιρεῖσθαι τὴν ἐπιστήμην, ὡς καὶ ἔμπροσθεν ἐλέγετο. μᾶλλον δὲ καὶ αὐτὴν ψιλὴν τὴν τῶν ὄντων γνῶσιν. τῶν γὰρ ἀπείρων γνῶσις οὐκ ἔστι. τῶν δὲ ἀρχῶν μὴ γινωσκομένων, οὐδὲ τὰ ἐξ αὐτῶν γνωσθείη ἄν. ὥστε καθόλου πάντων ἄγνοιαν εἰσάγουσιν οἱ ἀπείρους εἶναι τὰς ἀρχὰς ὑποτιθέμενοι. ἔπειτα δὲ ὅπερ ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς εἴρηκε, συμβήσεται οὕτω διπλασιασθῆναι τὸ ἄπειρον. ἡ γὰρ ἐναντίωσις δύο περιέχει ἐναντία. ὥστε εἰ ἄπειροι αἱ ἐναντιότητες, διπλάσια ἔσονται τὰ ἐναντία. ἔσται οὖν τοῦ ἀπείρου διπλάσιον. ἔπειτά φησι καθ' ἕκαστον γένος μία τις ἡ καθολικωτάτη ἐναντίωσις. καὶ τοῦτο δῆλον ἐκ τῆς ἐπαγωγῆς. ἐν γὰρ τῇ ἐπιφανείᾳ πρωτίστη ἐναντίωσις, ἡ κατὰ τὸ πλατὺ καὶ στενόν. τὸ γὰρ τραχὺ καὶ τὸ λεῖον εἰ καὶ ὑπάρχει πρώτως τῇ ἐπιφανείᾳ, ἀλλ' οὐχ ᾗ ποσόν τί ἐστι συνεχές, ἀλλὰ καθὼς μετέχει τῆς τοῦ ποιοῦ κατηγορίας. κατὰ γὰρ τὴν τοιάνδε θέσιν τῶν μορίων ὑπάρχει αὐτῇ τὸ τραχὺ καὶ τὸ λεῖον. τὸ μέντοι πλατὺ καὶ στενόν, ὡς ἐπιφανείᾳ πρώτως ὑπάρχει. τουτέστιν ὡς ἐνὶ τῶν τοῦ μεγέθους εἰδῶν. ὁμοίως ἐν τῷ γένει τοῦ ἀριθμοῦ πρωτίστη ἐναντίωσις τὸ περιττὸν καὶ τὸ ἄρτιον. ἐν τῷ τοῦ χρώματος γένει, τὸ μέλαν καὶ τὸ λευκόν. ὑπὸ ταῦτα γὰρ τὰ λοιπά. εἰ τοίνυν καὶ ἡ οὐσία ἕν τι γένος ἐστὶν ἧς τὰς ἀρχὰς ζητοῦμεν, ἀνάγκη πᾶσα καὶ ἐν ταύτῃ τὴν πρωτίστην ἐναντίωσιν μίαν εἶναι. ἔστι δὲ ἐν τῇ οὐσίᾳ καθολικωτάτη ἐναντίωσις κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν, ὑφ' ἣν πᾶσαι αἱ ἄλλαι ἀνάγονται. καὶ οὐ μόνον ἐπὶ τῶν γεννητῶν καὶ φθαρτῶν οὐσιῶν θεωρεῖται αὕτη ἡ ἀντίθεσις, ἀλλὰ καὶ ἐπὶ τῶν οὐρανίων καὶ ἐπὶ τῶν ὑπὲρ φύσιν. ἥτε γὰρ ψυχὴ ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβάλλουσα, κατὰ στέρησιν καὶ ἕξιν μεταβάλλει, καὶ ἀπὸ κακίας εἰς ἀρετήν. εἴ γε τελειωτικὸν τῆς οὐσίας τῆς ψυχῆς ἐστιν ἡ ἀρετή. τὸ δὲ τὴν τελειότητα τὴν ἑαυτοῦ ἀπολαμβάνον, τὸ εἶδος τὸ ἑαυτοῦ ἀπολαμβάνει. τὸ δὲ ἀπειληφὸς τὸ εἶδος τὸ ἑαυτοῦ, πρὶν ἀπολάβῃ, ἐν στερήσει τούτου ἦν. διὸ καλῶς ἐν τοῖς περὶ ψυχῆς γενέσει μᾶλλον ἀπεικάζει τὴν τοιαύτην τῆς ψυχῆς μεταβολήν, ἤπερ ἀλλοιώσει. καὶ ἐν τοῖς οὐρανίοις δὲ ἡ τοιαύτη ἀντίθεσις θεωρεῖται. εἰ γὰρ καὶ μὴ ἀνὰ μέρος ποτὲ μὲν τὸ εἶδος, ποτὲ δὲ τὴν στέρησιν δέχεται ὥσπερ τὰ ἐν γενέσει, ἀλλ' οὖν τὴν ἑτέραν ἔχει τοῦ ὑποκειμένου ἐπικράτησιν, λέγω δὴ τὴν κατὰ τὸ εἶδος. ἄλλως τε ἐπὶ τῆς κατὰ τόπον τῶν οὐρανίων μεταβολῆς, εὕροις ἂν ἀνὰ μέρος ἑκάτερον τούτων ἐπικρατοῦν. τὸ γὰρ ἐν τῷ ὑπὲρ γῆν τόπῳ ἡμισφαίριον, ἐστέρηται δηλονότι τοῦ ὑπὸ γῆν. καὶ καθ' ἕκαστον τῶν μορίων ὡσαύτως. ὥστε εἰ μία γε ἐν τῇ οὐσίᾳ πάσῃ ἡ πρωτίστη ἐναντίωσις, ὑπὸ δὲ ταύτην αἱ ἄλλαι πᾶσαι ἀνάγονται, δῆλον δήπου ὅτι οὐκ ἄπειροι αἱ ἀντιθέσεις. οὐ δὲ πεπερασμέναι μέν, πλείους δὲ δύο. Ζητοῦσι δὲ ἐνταῦθα πρῶτον μὲν τί φησι γένος ἐνταῦθα ὁ Ἀριστοτέλης. ἔπειτα πῶς ἐν παντὶ γένει μία ἐστὶν ἐναντίωσις, καὶ τρίτον ὅτι εἰ περὶ πάσης μεταβολῆς ἐνταῦθα ὁ λόγος, μᾶλλον δὲ εἰ περὶ τῶν κοινοτάτων ἀρχῶν πάντων ὁμοῦ τῶν φυσικῶν πραγμάτων. εἰσὶ δὲ φυσικὰ πράγματα, οὐ μόνον ἡ οὐσία, ἀλλὰ καὶ αἱ λοιπαὶ κατηγορίαι, πῶς εὑρηκὼς τὰς τῆς οὐσίας ἀρχάς, οἴεται πάντων τῶν ὄντων τὰς ἀρχὰς εὑρηκέναι. εὗρε γὰρ τοσοῦτον, ὅτι ἐν τῇ οὐσίᾳ ἐν ὅτι γένει, μία ἐστὶν ἡ πρωτίστη ἐναντίωσις ἣν ἔφαμεν εἶναι τὴν κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. γένος μὲν οὖν ἐνταῦθά φασιν αὐτὸν οἱ ἐξηγηταὶ λέγειν οὐ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, ἀλλὰ τὸ ὑποκείμενον. ἓν δὲ καὶ τοῦτό ἐστι τῶν τοῦ γένους σημαινομένων τῷ Ἀριστοτέλει. πολλαχοῦ γὰρ τὸ ὑποκείμενον γένος ἐκάλεσε, καὶ ἐν τοῖς προλαβοῦσιν. ἓν γὰρ ἔλεγεν εἶναι τῷ γένει τὰς ἀτόμους ὑποτίθεσθαι τὸν Δημόκριτον. τουτέστι τῷ ὑποκειμένῳ. λαμβάνει οὖν τὴν οὐσίαν πᾶσαν ἐνταῦθα οὐχ ὡς διῃρημένην εἰς εἶδος καὶ στέρησιν, ἀλλ' ὡς τὴν αὐτὴν ὑποκειμένην εἴδει καὶ στερήσει ἀνὰ μέρος. ὥσπερ ἂν εἰ ποιοῖμεν ὑποκεῖσθαι τὰ ἀνθρώπεια πάντα σώματα τῷ λευκῷ καὶ τῷ μέλανι. οὕτως οὖν φαμὲν καὶ τὴν οὐσίαν πᾶσαν ὑποκεῖσθαι καὶ δεκτικὸν εἶναι πρωτίστης ἐναντιώσεως τῆς κατὰ τὸ εἶδος καὶ τὴν στέρησιν. ὅσας γὰρ ἄλλας δέχεται ἀντιθέσεις, ὑπὸ ταύτην ἀνάγονται, κἄν τε τὴν τοῦ ἀψύχου καὶ τὴν τοῦ ἐμψύχου εἴποις, κἄν τε τὴν τοῦ λογικοῦ καὶ ἀλόγου, κἂν ἡντινοῦν ἄλλην. ὅταν γὰρ γίνηται λογικόν τι, δηλονότι τὸ γινόμενον λογικόν, στέρησιν εἶχε πρὸ τούτου τοῦ εἴδους τοῦ λογικοῦ. οἷον τὸ ἄρτι διαπλασθὲν ἔμβρυον. εἶτα τοῦ εἴδους τούτου ἐπιγινομένου ἐν τῷ ὑποκειμένῳ, ἡ στέρησις ὑπεχώρησε. καὶ ἐπὶ πάντων ὁμοίως. ἀλλ' ἴσως ἐρεῖ τις πρὸς ταῦτα, ὅτι καὶ τί ἄλλο ταῦτα λέγοντες, ἢ τὸ γένος τὸ κατὰ πλειόνων κατηγορούμενον λέγομεν. λέγων γὰρ ἐν τῷ παντὶ γένει τῆς οὐσίας, καὶ περιλαμβάνων πᾶσαν οὐσίαν, τί ἄλλο, ἢ τὸ κοινότατον λέγων γένος. πάλιν δ' αὖ τὴν τοῦ λογικοῦ καὶ ἀλόγου ἀντίθεσιν, ἢ ἐμψύχου καὶ ἀψύχου ὑπὸ τὴν στέρησιν καὶ τὴν ἕξιν ἀνάγων, ἥν φημι τῆς οὐσίας πρωτίστην εἶναι ἐναντίωσιν, τί ἄλλο, ἢ τὸ

μὸν καὶ τὸ ψυχρὸν, οὕτως ἔχει σύγκρισις καὶ διάκρισις καὶ μέγα καὶ μικρὸν, καὶ νεῖκος καὶ φιλία. ὁμοίως γὰρ ἀντίκειται. οὐκοῦν καὶ ἐναλλάξ, ὡς ἔχει τὸ μέγα πρὸς τὴν διάκρισιν, καὶ αὕτη πρὸς τὸ θερμὸν, οὕτω τὸ μικρὸν πρὸς τὴν σύγκρισιν, καὶ αὕτη πρὸς τὸ ψυχρόν. ὁμοίως γὰρ περιεκτικὸν τὸ μέγα τῆς διακρίσεως, καὶ αὕτη τοῦ θερμοῦ, ὡς τὸ μικρὸν τῆς συγκρίσεως, καὶ αὕτη τοῦ ψυχροῦ. τῷ οὖν ἐξ ἑκατέρας συστοιχίας ὁμοίως, ἢ τὰ μερικώτερα λαμβάνειν ἢ τὰ ὁμοίως καθολικώτερα, ταύτῃ λέγονται τὰ αὐτὰ λαμβάνειν. οὐδεὶς γὰρ λαβὲ φέρε εἰπεῖν τὸ μέγα καὶ τὴν σύγκρισιν, ἢ τὴν διάκρισιν καὶ τὸ ψυχρόν. ταῦτα γὰρ οὐχ ὁμοίως τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἀφεστήκασιν. ἀλλὰ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον. ἀλλὰ πάντες τὰ τὴν αὐτὴν ἀπόστασιν ἀφεστηκότα τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ταῦτα λαμβάνουσι. τῷ οὖν πάντας ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνειν τὴν καθ᾽ αὑτὸ ἐναντίωσιν, ταύτῃ πάντες τὰ αὐτὰ λέγουσιν. ἕτερα δὲ τῷ τὰ μὲν, τῷ λόγῳ γνώριμα μᾶλλον. τὰ δὲ, τῇ αἰσθήσει. καὶ τὰ μὲν, καθολικώτερα, τὰ δὲ μερικώτερα. ἐπεὶ οὖν κοινὰς πάντων ἀρχὰς ζητοῦμεν, δῆλον ὅτι κατορθοῦσι μᾶλλον οἱ τὰς καθολικωτέρας ἐναντιώσεις λαμβάνοντες. ὥστε ἡ συνῄσθοντο οἱ τὰ μερικώτερα λαμβάνοντες, ἠγάπησαν ἂν καθολικωτέρας δηλονότι λαβεῖν, ἵνα ἐπὶ πλειόνων ἐκτείνωσι τὰς ἀρχάς. διὰ τοῦτο οὖν δεῖ ἡμᾶς ζητήσαντας τίνες ἂν εἶεν κοινόταται πάντων ἁπλῶς ἀρχαὶ, ταύτας ὑποθέσθαι. Μέχρι μὲν οὖν ἐπὶ τοσοῦτον συνηκολουθήκασι καὶ τῶν ἄλλων οἱ πλεῖστοι. Εἰς τὸ τό φησι πάντες συμφώνως ἠνέχθησαν, ὥστε τὰς ὑπ᾽ αὐτῶν ἀρχὰς τῶν ὄντων καλουμένας ἐναντίας τίθεσθαι.

ΚΑΙΠΕΡ ἄνευ λόγου τιθέντες, ὅμως τἀναντία λέγουσιν, ὥσπερ ὑπ᾽ αὐτῆς τῆς ἀληθείας ἀναγκασθέντες. διαφέρουσι δ᾽ ἀλλήλων, τῷ τοὺς μὲν πρότερα, τοὺς δ᾽ ὕστερα λαμβάνειν. καὶ τοὺς μὲν, γνωριμώτερα κατὰ τὸν λόγον, τοὺς δὲ κατὰ τὴν αἴσθησιν. οἱ μὲν γὰρ, θερμὸν καὶ ψυχρόν. οἱ δὲ ὑγρὸν καὶ ξηρόν.

Οὐχ ὅτι οὐδενὶ λόγῳ ἐχρῶντο εἰς τὸ κατασκευάσαι ἃς ὑπετίθεντο ἀρχὰς, ἀλλ᾽ ὅτι οὐδενὶ πιθανῷ, ὥστε καὶ πείθειν δύνασθαι. ἀλλ᾽ εἰ καὶ ἀπαραμυθήτως ἐτίθεσαν τὰ οἰκεῖα δόγματα, ἀλλ᾽ οὖν συμφώνως πάντες τὰς ἀρχὰς ἐναντίας εἶναι ὑπετίθεντο. ἡ μὲν οὖν κοινωνία, ἐπὶ τοσοῦτον. ἡ δὲ διαφορὰ, ὅτι οἱ μὲν καθολικώτερα καὶ περιεκτικώτερα ἐλάμβανον, οἱ δὲ μερικώτερα. καὶ οἱ μὲν γνωριμώτερα τῇ αἰσθήσει μᾶλλον, ἢ τῷ λόγῳ. οἱ δὲ τῷ λόγῳ μᾶλλον, ἢ τῇ αἰσθήσει. οἱ μὲν γὰρ, θερμὸν καὶ ψυχρόν. ὁ Παρμενίδης. ὧν τὸ μὲν θερμὸν, πῦρ ἐκάλει. τὸ δὲ ψυχρὸν, γῆν. οἱ δὲ ὑγρὸν καὶ ξηρόν. ὁ Πορφύριός φησι τὸν Ξενοφάνην τὸ ξηρὸν καὶ τὸ ὑγρὸν δοξάσαι ἀρχάς. τὴν γῆν λέγω καὶ τὸ ὕδωρ. καὶ ῥῆσιν αὐτοῦ παρατίθεται τοῦτο δηλοῦσαν. γῆ καὶ ὕδωρ πάντ᾽ ἔσθ᾽ ὅσα φύονται ἠδὲ γίνονται. ταύτης δὲ τῆς δόξης δοκεῖ καὶ Ὅμηρος εἶναι ἐν οἷς φησιν, ἀλλ᾽ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε. καὶ οὐδέν γε θαυμαστὸν, καὶ τοῦτον ὥσπερ Παρμενίδην ἐν τοῖς πρὸς δόξαν, δύο λέγειν τὰς ἀρχὰς, ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγοντα.

ΕΤΕΡΟΙ δὲ περιττὸν, καὶ ἄρτιον. οἱ δὲ νεῖκος καὶ φιλίαν, αἰτίας τιθέντες τῆς γενέσεως. ταῦτα δ᾽ ἀλλήλων διαφέρει, κατὰ τὸν εἰρημένον τρόπον. ὥστε ταὐτὰ λέγειν πῶς, καὶ ἕτερα ἀλλήλων. ἕτερα μὲν ὥσπερ καὶ δοκεῖ τοῖς πλείστοις.

Νεῖκος μὲν καὶ φιλίαν Ἐμπεδοκλῆς. περιττὸν δὲ καὶ ἄρτιον οἱ Πυθαγόρειοι. μονάδα γὰρ καὶ δυάδα. οὗτοι δὲ γνωριμώτερα τῷ λόγῳ μᾶλλον, ἢ τῇ αἰσθήσει ἔλεγον. οὐ γὰρ γνώριμον τῇ αἰσθήσει τὸ νεῖκος, καὶ ἡ φιλία, ἢ τὸ περιττὸν καὶ ἄρτιον. ἕτερα μὲν ὥσπερ καὶ δοκεῖ τοῖς πλείστοις. τουτέστι, προφανὲς πᾶσιν, ὅπως ἕτερα λέγουσιν. ἕτερον γὰρ τὸ θερμὸν καὶ ψυχρὸν νείκους καὶ φιλίας. καὶ τὰ λοιπὰ ὁμοίως.

ΤΑ αὐτὰ δὲ, ᾗ ἀνάλογον. λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας. τὰ μὲν γὰρ περιέχει, τὰ δὲ περιέχεται τῶν ἐναντίων. ταύτῃ τε δὴ ὡσαύτως λέγουσι καὶ ἑτέρως, καὶ χεῖρον καὶ βέλτιον. καὶ οἱ μὲν γνωριμώτερα κατὰ τὸν λόγον, ὥσπερ εἴρηται πρότερον. οἱ δὲ, κατὰ τὴν αἴσθησιν.

Πῶς κατὰ τὴν αὐτὴν ἀναλογίαν λαμβάνουσιν, ἑρμηνεύων ἐπήγαγε τὸ, λαμβάνουσι γὰρ ἐκ τῆς αὐτῆς συστοιχίας. εἶπομεν δὲ πῶς ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνουσι. τὰ μὲν γὰρ περιέχει τὰ δὲ περιέχεται τῶν ἐναντίων. πῶς ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνουσι, σημαίνει δι᾽ αὐτῶν. ἐπεὶ γὰρ τῶν ἐναντίων τὰ μὲν ἐστὶ καθολικώτερα, τὰ δὲ μερικώτερα, ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνειν φημὶ αὐτοὺς τὰς ἐναντιώσεις, διότι τὰ σύστοιχα ἐναντία λαμβάνουσι τὰ ὁμοίως ἢ περιέχοντα, ἢ περιεχόμενα. οὐ γὰρ λαμβάνουσι γὰρ φέρε εἰπεῖν θερμὸν καὶ μέλαν. τὸ γὰρ θερμὸν περιέχει, τὸ δὲ μέλαν τῶν περιεχομένων. ἀλλὰ θερμὸν καὶ ψυχρὸν, ἅπερ ὁμοίως περιεκτικά ἐστι. καὶ χεῖρον καὶ βέλτιον. οἱ μὲν γὰρ τὰ περιεκτικώτερα τῶν ἐναντίων λαμβάνοντες, βέλτιον λαμβάνουσιν, ἐπεὶ καὶ κοινοτάτας ἀρχὰς δεῖ λαβεῖν τὰς ἐπὶ πάντα τὰ ὄντα διηκούσας. οἱ δὲ μερικώτερα, χεῖρον. διότι ἐπ᾽ ἐλαττόνων ἁρμοζούσας, καὶ οὐκ ἐπὶ πλειόνων, ἢ ἐπὶ πάντων ἐλάμβανον.

ΤΟ ΜΕΝ γὰρ καθόλου, κατὰ τὸν λόγον γνώριμον. τὸ δὲ καθέκαστον, κατὰ τὴν αἴσθησιν. ὁ μὲν γὰρ λόγος, τοῦ καθόλου. ἡ δ᾽ αἴσθησις, τοῦ κατὰ μέρος. οἷον τὸ μέγα καὶ τὸ μικρὸν, κατὰ τὸν λόγον. τὸ δὲ μανὸν, καὶ τὸ πυκνὸν, κατὰ τὴν αἴσθησιν. ὅτι μὲν οὖν ἐναντίας δεῖ τὰς ἀρχὰς εἶναι, φανερόν.

Οὐ τὸ αὐτὸ λαμβάνει γνώριμον νῦν καὶ ἀνωτέρω. ἐκεῖ μὲν γὰρ διῄρει τὰς ἐναντιώσεις εἴς τε τὰς τῷ λόγῳ γνωρίμους, καὶ εἰς τὰς τῇ αἰσθήσει, καὶ ἐν ἑκάστῳ τούτων διαίρεσιν ἐποιεῖτο τοῦ τε καθολικωτέρου καὶ τοῦ μερικωτέρου. ἦν γὰρ καὶ ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις τά τε καθολικώτερα καὶ τὰ μερικώτερα. ὁμοίως δὲ καὶ ἐν τοῖς κατὰ τὸν λόγον. οὐχ ὅπερ οὖν ἔλεγεν ἐκεῖ τῇ αἰσθήσει γνώριμον, ἢ τῷ λόγῳ, τοῦτο καὶ ἐνταῦθά φησιν. ἀλλ᾽ ἐν ἑκάστῃ σειρᾷ τὰ μὲν καθολικώτερα, γνωριμώτερα τῷ λόγῳ. τὰ δὲ μερικώτερα, μᾶλλον τῇ αἰσθήσει. καὶ γὰρ ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις, τὰ μὲν καθολικώτερα, οἷον μανότης καὶ πυκνότης, τῷ λόγῳ μᾶλλόν ἐστι γνώριμα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ταῦτα δὲ μᾶλλον τῇ αἰσθήσει γνώριμα, ἢ τῷ λόγῳ. ὁμοίως δὲ καὶ ὑπεροχὴ καὶ ἔλλειψις μᾶλλον τῷ λόγῳ γνώριμος, ἢ τῇ αἰσθήσει. καὶ μᾶλλον μανότης

πᾶσαν γένεσιν καὶ φθορὰν ἐξ ἐναντίων εἶναι, καὶ εἰς ἐναντία. εἰ δὲ τοῦτο, ἀρχαὶ ἂν εἶεν ἀδιάπτωτοι τῶν ὄντων, τὰ ἐναντία. τὸ δὲ ἢ ἐξ ἐναντίων, ἢ εἰς ἐναντία, ἐξ ἐναντίων μὲν ἡ γένεσις, εἰς ἐναντία δὲ ἡ φθορά. δῆλον δὲ ὅτι καὶ τὸ λοιπὸν ἐφ' ἑκατέρου. καὶ γὰρ ἐπὶ τῆς γενέσεως τὸ εἰς ἐναντία, καὶ ἐπὶ τῆς φθορᾶς τὸ ἐξ ἐναντίων. ἀλλὰ κυριώτερον ἐπὶ μὲν τῆς γενέσεως τὸ ἐξ. ἐπὶ δὲ τῆς φθορᾶς, τὸ εἰς, ὡς αὐτὸς ἐν τοῖς τελευταίοις δείκνυσι.

ΜΕΧΡΙ μὲν δὴ τούτου, σχεδὸν συνηκολουθήκασι καὶ τῶν ἄλλων οἱ πλεῖστοι, καθάπερ εἴπομεν πρότερον. πάντες γὰρ τὰ στοιχεῖα καὶ τὰς ὑπ' αὐτῶν καλουμένας ἀρχάς.

Δείξας ὅτι ἀνάγκη τὰς φυσικὰς ἀρχὰς ἐναντίας εἶναι ἔκ τε τῆς τῶν παλαιῶν μαρτυρίας καὶ ἐκ τοῦ λόγου ὅτι τοῖς μεταβάλλουσι πᾶσι κατὰ τὰ ἐναντία ἡ μεταβολή, ἐπειδὴ βούλεται ἀρχὰς κοινοτάτας λαβεῖν τῶν ὁπωσοῦν μεταβαλλόντων, οὐ πάντα δὲ τὰ μεταβάλλοντα κατὰ τὰ ἐναντία μεταβάλλει. καὶ γὰρ ἀπὸ κακίας εἰς ἀρετήν, ἀπὸ ἀνεπιστημοσύνης εἰς ἐπιστήμην. ταῦτα δὲ ἐναντία οὐκ ἔστιν. οὔτε γὰρ ἡ ἀρετὴ καὶ ἡ κακία ἐναντία, οὔτε ἡ ἀνεπιστημοσύνη καὶ ἡ ἐπιστήμη, ἀλλὰ στερήσεις καὶ ἕξεις. αἱ γὰρ κακίαι ἀόριστοι, ὥσπερ καὶ αἱ στερήσεις. τὰ δὲ ἐναντία ὥρισται. διότι καὶ ἀδιάπτωτά ἐστιν. ἥτε ἀνεπιστημοσύνη σαφῶς στέρησις μόνον τῆς ἐπιστήμης. εἰλήφθωσαν γὰρ μὴ ἁπλῶς οἱ διαστρόφους δόξας ἔχοντες, εἶτα εἰς ἐπιστήμην ἀγόμενοι. μάλιστα μὲν γὰρ καὶ οὗτοι κατὰ στέρησιν ἀντίκεινται τοῖς ἐπιστήμοσιν. ἀλλ' ἥ γε καὶ ἡ κακία καθόλου στέρησις ἀρετῆς. ἀλλὰ τὸ στερήσεως ἀόριστον οὐκ ἔστι μοναχῶς ἢ τῆς κακίας πρὸς τὴν ἀρετὴν ἀντίθεσις. ὥσπερ γὰρ ἡ καμπυλότης στέρησις οὖσα τῆς εὐθύτητος, οὐκ ἔστιν ἐν ὅρῳ τινί, ἀλλ' ἔστι πᾶσα ἁπλῶς ἡ τῆς εὐθύτητος ἔκστασις, οὕτω καὶ ἐπὶ τῶν κακιῶν ἔχει. ὅμως ἐὰν τοὺς μήπω διαστροφῆς ἐννοίας ἔχοντας λάβωμεν, ἀλλ' ἐκ παίδων εἰς ἐπιστήμην ἀγομένους, πρόδηλον ὡς οὗτος ἐκ στερήσεως, τῆς ἀνεπιστημοσύνης λέγω, εἰς εἶδος ἄγεται τῆς ἐπιστήμης. οὐδεμία γὰρ προϋπόκειται διάστροφος δόξα, ἀλλὰ μόνον ἄγνοια τοῦ ἀληθοῦς. ἐπεὶ οὖν τὰς κοινοτάτας ἀρχὰς πάντων τῶν ὁπωσοῦν μεταβαλλόντων βούλεται λαβεῖν. οὐ πάντα δὲ ὡς εἶπον τὰ μεταβάλλοντα κατὰ τὰ ἐναντία μεταβάλλει, βούλεται ἐπὶ τὰς καθολικωτάτας πάντων τῶν ὄντων ἀρχὰς ἀναγαγεῖν τὰ ἐναντία. τὸ εἶδος λέγω καὶ τὴν στέρησιν. καθὼς οὐ μόνον τὰ φυσικά, ἀλλὰ καὶ τὰ ὑπερφυῆ μεταβάλλει. καὶ δεῖξαι ὅτι αὗται αἱ δύο ἀρχαὶ πάσης μεταβολῆς εἰσὶν αἴτιαι, τῇ ἑαυτῶν ἀνὰ μέρος παρουσίᾳ καὶ ἀπουσίᾳ τὰς μεταβολὰς ποιοῦσαι. βούλεται μὲν οὖν εἰς ταῦτα, ὡς εἰς καθολικώτατα ἀναγαγεῖν τὰς ἀρχάς. ἀλλὰ πρὶν τοῦτο ποιῆσαι, πρότερον ἐκτίθεται τὰς δόξας τὰς περὶ τῶν ἀρχῶν τῶν πρὸ αὐτοῦ. καὶ διδάσκει τί μὲν ἔχουσι κοινόν, τί δὲ διάφορον. φησὶν οὖν ὅτι πάντες οἱ περὶ τῶν ἀρχῶν τῶν ὄντων δοξάσαντες, εἰ καὶ δοκοῦσι μὴ τὰς αὐτὰς ἐναντιώσεις ἐν ταῖς ἀρχαῖς ὑποτίθεσθαι, ἀλλὰ ἄλλος ἄλλην, ἀλλ' οὖν σύμφωνα πάντες εἰρήκασιν ἑαυτοῖς. καὶ κατά τι δοκοῦντες διαφέρειν, κατά τι κοινοί εἰσι. διαφέρουσι μὲν γὰρ ἀλλήλων, τῷ τοὺς μὲν μερικώτερα λαβεῖν ἐναντία, τοὺς δὲ καθολικώτερα. καὶ τοὺς μὲν γνώριμα μᾶλλον τῇ αἰσθήσει, ἤπερ τῷ λόγῳ. τοὺς δὲ τῷ λόγῳ μᾶλλον, ἢ τῇ αἰσθήσει. τῶν γὰρ ἐναντίων τὰ μέν, τῇ αἰσθήσει μᾶλλόν ἐστι γνώριμα, ἢ τῷ λόγῳ. τὰ δὲ τῷ λόγῳ μᾶλλον ἢ τῇ αἰσθήσει. ἐν ἀμφοτέροις δὲ τούτοις, τὰ μέν ἐστι καθολικώτερα, τὰ δὲ μερικώτερα. οἷον γνώριμα τῇ αἰσθήσει μᾶλλον, ἢ τῷ λόγῳ. θερμὸν καὶ ψυχρὸν ξηρὸν καὶ ὑγρόν. μανὸν καὶ πυκνόν. τῷ δὲ λόγῳ μᾶλλον γνώριμα, ἢ τῇ αἰσθήσει, νεῖκος καὶ φιλία. περιττὸν καὶ ἄρτιον. μονὰς καὶ δυάς. ἔστιν οὖν ἐν ἑκατέρῳ καὶ τὸ καθολικώτερον καὶ τὸ μερικώτερον. οἷον ἐν τοῖς κατὰ τὴν αἴσθησιν γνωρίμοις ἐστὶ μερικόν, φέρε εἰπεῖν τὸ λευκὸν καὶ μέλαν. ὑπὲρ τοῦτο δὲ τὸ θερμὸν καὶ ψυχρόν. ὑπὲρ τοῦτο δὲ τὸ μανὸν καὶ πυκνόν. ὑπὲρ τοῦτο δὲ τὸ μέγα καὶ τὸ μικρόν. ὑπὲρ τοῦτο δὲ ὑπεροχὴ καὶ ἔλλειψις. ἐν δὲ τοῖς κατὰ τὸν λόγον γνωρίμοις ὑποκείσθω μερικώτερον μὲν σύγκρισις καὶ διάκρισις. τούτου δὲ ἐπὶ πλέον νεῖκος καὶ φιλία. ὑπὲρ τοῦτο δὲ τὸ περιττὸν καὶ τὸ ἄρτιον. ὑπὲρ δὲ τοῦτο μονὰς καὶ δυάς. ὅσοι μὲν οὖν ἀρχὰς εἰλήφασιν, ἢ τὸ θερμὸν καὶ ψυχρόν, ὡς Παρμενίδης, ἢ τὸ μανὸν καὶ πυκνόν, ὡς Θαλῆς, ἢ τὸ μέγα καὶ μικρόν, ὡς Πλάτων, οὗτοι τῇ αἰσθήσει γνωριμωτέρας λαμβάνουσι τὰς ἀρχάς. ἀλλ' οἱ μὲν καθολικωτέρας, οἱ δὲ μερικωτέρας. ὅσοι δὲ νεῖκος καὶ φιλίαν ὡς Ἐμπεδοκλῆς, ἢ περιττὸν καὶ ἄρτιον, ἢ μονάδα καὶ δυάδα ὡς οἱ Πυθαγόρειοι, οὗτοι τῷ λόγῳ μᾶλλον γνωριμώτερα ἐλάμβανον. καὶ τούτων πάλιν Ἐμπεδοκλῆς μὲν μερικωτέρας ἐλάμβανεν ἀρχάς, οἱ δὲ Πυθαγόρειοι καθολικωτέρας. ταύτῃ μὲν οὖν ἀρχὰς ἑτέρας ἐλάμβανον, λέγω δὴ κατά τε τὸ ὑποκείμενον, ἕτερον γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν τοῦ μανοῦ καὶ τοῦ πυκνοῦ, καὶ κατὰ τὸ καθόλου καὶ τὸ μερικόν. τὰς αὐτὰς δὲ πάντες ἐλάμβανον. τῷ πάντας φησὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας λαμβάνειν, τουτέστι κατὰ τὴν αὐτὴν ἀναλογίαν. ὥσπερ γὰρ τὸ ταυτὸν οὐ μόνον τῷ ὑποκειμένῳ, ἢ τῷ λόγῳ, ἀλλὰ καὶ τῇ ἀναλογίᾳ. λέγομεν γὰρ ὡς τόδε θερμόν, οὕτω τόδε ψυχρόν. ἐνταῦθα γὰρ ἡ ταυτότης ἤγουν ἡ ὁμοιότης, οὔτε τῷ ὑποκειμένῳ ἐστίν, οὔτε τῷ λόγῳ. ἕτερος γὰρ ὁ ἑκατέρου ὁρισμός. ἀλλὰ τῇ ἀναλογίᾳ. λέγομεν γὰρ ὡς ἔχει τὰ δύο πρὸς τὰ τέσσαρα, οὕτω τὰ πεντακόσια πρὸς τὰ χίλια. πάλιν οὖν ἐνταῦθα ἡ ταυτότης κατὰ τὴν ἀναλογίαν. τῷ οὖν λαμβάνειν πάντας καὶ ἐναντία καὶ τὰ ἐκ τῆς αὐτῆς συστοιχίας ἐναντία, ταύτῃ τὰ αὐτὰ πάντες ἔλεγον. ἰστέον γὰρ ὅτι οἱ Πυθαγόρειοι πάντα τὰ ὄντα καὶ πάσας τὰς ἐναντιώσεις εἰς δύο συστοιχίας ἀνῆγον. τήν τε τοῦ ἀγαθοῦ καὶ τὴν τοῦ κακοῦ. ταύταις γὰρ πᾶσαν ἐναντίωσιν ἐμέριζον. τῇ μὲν γὰρ τοῦ ἀγαθοῦ συστοιχίᾳ τὸ κρεῖττον τῶν ἐναντίων ἀπένεμον. τῇ δὲ τοῦ κακοῦ, τὸ χεῖρον. οἷον λευκὸν καὶ μέλαν, λογικὸν καὶ ἄλογον, ψυχρὸν καὶ θερμόν, νεῖκος καὶ φιλίαν. τὸ μὲν λογικὸν καὶ τὸ λευκὸν καὶ τὸ θερμὸν καὶ τὴν φιλίαν, τῆς τοῦ ἀγαθοῦ συστοιχίας εἶναι ἔλεγον. τὰ δὲ τούτοις ἀντικείμενα τῆς τοῦ κακοῦ. καὶ τῶν παραληφθεισῶν οὖν ἐναντιώσεων ὑπὸ τῶν παλαιοτέρων ἐν ταῖς τῶν ὄντων ἀρχαῖς, τὰ μὲν ἕτερα μόρια ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν ἀνάγεται. τὰ δὲ ἕτερα, ὑπὸ τὴν τοῦ κακοῦ. πάλιν τῶν κατὰ τὴν αἴσθησιν γνωρίμων ἐναντιώσεων, τὸ μὲν θερμὸν καὶ ἡ διάκρισις καὶ τὸ μέγα ὑπὸ τὴν ὑπεροχήν. αὕτη δὲ ὑπὸ τὴν τοῦ ἀγαθοῦ συστοιχίαν. τὰ δὲ ἀντικείμενα, ὑπὸ τὴν τοῦ κακοῦ. πάντες οὖν τὰ κατὰ τὴν αὐτὴν συστοιχίαν εἰλήφασιν. ἢ γὰρ θερμὸν καὶ ψυχρόν, ἢ σύγκρισιν καὶ διάκρισιν, ἢ νεῖκος καὶ φιλίαν. ὡς γὰρ ἔχει τὸ θερ-

ἀγαθόν	κακόν.
μονάς	δυάς.
περιττὸν	ἄρτιον.
φιλία	νεῖκος.
ὑπεροχὴ	ἔλλειψις.
μέγα	μικρόν.
διάκρισις	σύγκρισις.
θερμὸν	ψυχρόν.

ὥστε καὶ ταῦτα ἐκ τῶν ἐναντίων γίνεται.

» ΕΠΕΙ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων, ἀλλὰ σύνθετα, κατὰ τὸν αὐτὸν ἔχει λόγον, ἀλλὰ διὰ τὸ μὴ τὰς ἀντικειμένας διαθέσεις ὠνομάσθαι, λανθάνει τοῦτο συμβαῖνον. ἀνάγκη γὰρ πᾶν τὸ ἡρμοσμένον, ἐξ ἀναρμόστου γίνεσθαι. καὶ τὸ ἀνάρμοστον, ἐξ ἡρμοσμένου. καὶ φθείρεσθαι τὸ ἡρμοσμένον, εἰς ἀναρμοστίαν. καὶ ταύτην οὐχὶ τὴν τυχοῦσαν, ἀλλὰ τὴν ἀντικειμένην.

Οὐχ ὡς ἐξειλήφασί τινες, τὰ μὲν ἐπάνω περὶ τῶν κατὰ συμβεβηκὸς μεταβαλλόντων εἴρηται, ταῦτα δὲ περὶ τῶν κατ' οὐσίαν, ἵνα σύνθετον τὴν οὐσίαν ἀκούσωμεν. οὐ γὰρ σύνθετον τὴν οὐσίαν εἶπε διὰ τὸ ἐξ ὑποκειμένου εἶναι καὶ εἴδους ὥς φασιν, οὐδὲ τὰ ἐν ὑποστάσει ποιὰ εἴδη τοῦ ὑποκειμένου θεωροῦνται. καὶ ἄλλως δὲ περὶ ταύτης οὐκ ἔλεγε τό, ἐπεὶ καὶ τὰ μὴ ἁπλᾶ τῶν ὄντων, ἀλλὰ σύνθετα, πῶς φησι μὴ ὠνομάσθαι τὰς ἀντικειμένας διαθέσεις τῶν οὐσιῶν καθ' ἃς γίνεται. ἐπὶ γοῦν τῶν ἁπλῶν πρόδηλοι αἱ ἀντικείμεναι διαθέσεις ἐξ ὧν μεταβάλλουσι, λέγω δὴ περὶ τῶν στοιχείων. ἐκ θερμοῦ γὰρ εἰς ψυχρόν, καὶ ἐκ ξηροῦ εἰς ὑγρόν, καὶ ἔμπαλιν. τί οὖν ἔχω εἰπεῖν; φημὶ ὅτι προθέμενος περὶ τῆς πάντων μεταβολῆς εἰπεῖν, καὶ εἰπὼν πῶς τε τὰ κατὰ συμβεβηκὸς μεταβάλλοντα μεταβάλλει καὶ πῶς τὰ ἁπλᾶ σώματα, ὅτι προφανῶς ἐξ ἐναντίων, ἐπεὶ δοκοῦσιν αἱ σύνθετοι οὐσίαι μὴ ἐξ ἐναντίων ἴσχειν τὰς μεταβολάς, διὰ τοῦτο καὶ περὶ τούτων γυμνάζει τὸν λόγον. φησὶν οὖν ὅτι καὶ περὶ τῶν συνθέτων οὐσιῶν πάντως ἐξ ἐναντίων εἰσὶν αἱ γενέσεις. ἀλλὰ διὰ τὸ μὴ τὰς ἐναντίας διαθέσεις ὠνομάσθαι, οὐκ ἔστιν οὕτω τοῦτο δῆλον. ἐπ' ἐνίων μὲν γὰρ κοινῶς αἱ στερήσεις αὐτῶν ὀνομάζονται. ἐπ' ἐνίων δὲ οὐδὲ αἱ στερήσεις, ἀλλ' αἱ ἀποφάσεις μόναι. τὴν μὲν γὰρ τῶν ὑποκειμένων σύνθεσιν καὶ ἁρμονίαν ἐξ ὧν αἱ γενέσεις, καὶ τὴν τῶν αὐτῶν ἀναρμοστίαν καὶ ἀσυνθεσίαν κοινοῖς ὀνόμασι καλεῖν ἔχομεν αὐτὸ τοῦτο ἁρμονίαν καὶ ἀναρμοστίαν καλοῦντες, καὶ σύνθεσιν καὶ ἀσυνθεσίαν. τὴν μέντοι ἰδίαν ἑκάστου ἁρμονίαν, ἢ τὴν ἀντικειμένην ταύτῃ ἀναρμοστίαν, οὐκέτι ἔχομεν ἰδικοῖς καλέσαι ὀνόμασι. καὶ τὰ μὲν ὑποκείμενα οὕτως ὀνομάζομεν καὶ τὰ τούτοις ἀντικείμενα ἐξ ὧν γίνονται καὶ εἰς ἃ φθείρονται. τῶν μέντοι ἄλλων αὐτῶν οὐκέτι δυνάμεθα τὸ ἀντικείμενον στερητικῶς ὀνομάσαι, ἀλλ' ἀποφατικῶς αὐτὸ καλοῦμεν, οὐκ ἄνθρωπος καὶ οὐχ ἵππος. καίτοι τῶν ἄλλων ὡρισμένοις ὀνόμασιν ὠνομασμένων. οἷον ἀνθρώπου, ἵππου, καὶ περὶ τῶν λοιπῶν ὁμοίως. ἀλλ' εἰ καὶ τὸ οὐκ ἄνθρωπός φησι φέροιτο καὶ περὶ ἵππου καὶ λίθου καὶ πάντων τῶν μετὰ τὸν ἄνθρωπον, δῆλον δήπου ὅτι οὐκ ἐκ τοῦ τυχόντος οὐκ ἀνθρώπου γίνεται ὁ ἄνθρωπος. οὐ γὰρ ἐξ ἵππου, ἢ ἐκ λίθου. ἀλλ' ἔστι τι ὡρισμένως τῷ ἀνθρώπῳ ἀντικείμενον, ἐξ οὗ ὁ μὲν ὁ γίνεται. ὅπερ διὰ τὸ μὴ ὠνομάσθαι ἰδίῳ ὀνόματι πλείω ἐμποιεῖ μήποτε οὐκ ἐξ ἐναντίου ἡ γένεσις. ὃ δὲ περὶ ἀνθρώπου, τοῦτο καὶ περὶ πάντων. καὶ ὅπερ περὶ γενέσεως, τοῦτο καὶ περὶ φθορᾶς.

» ΔΙΑΦΕΡΕΙ δ' οὐθὲν ἐπὶ ἁρμονίας εἰπεῖν ἢ τάξεως, ἢ συνθέσεως. φανερὸν γὰρ ὅτι ὁ αὐτὸς λόγος. ἀλλὰ μὴν καὶ οἰκία, καὶ ἀνδριάς, καὶ ὁτιοῦν ἄλλο γίνεται ὁμοίως. ἥτε γὰρ οἰκία γίνεται ἐκ τοῦ μὴ συγκεῖσθαι, ἀλλὰ διῃρῆσθαι ταδὶ ὡδί. καὶ ὁ ἀνδριὰς καὶ τῶν ἐσχηματισμένων τι, ἐξ ἀσχημοσύνης.

Ἐπειδὴ ὡς ἐπὶ ἁρμονίας ἐγύμνασε τὸν λόγον, διὰ τοῦτο εἶπε μηδὲν διαφέρειν κἂν μὴ κατὰ ἁρμονίαν ὡς ἐπὶ τῆς λύρας, κατὰ σύνθεσιν δὲ ἡ γένεσις ᾖ, ἢ κατὰ τάξιν ὡς ἐπὶ στρατοπέδου. καὶ γὰρ ἡ τῆς οἰκίας σύνθεσις ἐξ ἀσυνθεσίας γίνεται, καὶ ἡ τοῦ στρατοπέδου τάξις ἐξ ἀταξίας. ὁμοίως δὲ καὶ τὸ ἐσχηματισμένον ὡς ἀνδριάς, ἐξ ἀσχηματίστου γίνεται. κἀκ τούτων οὐ τῶν τυχόντων, οὔτε ἀναρμοστίας, οὔτε ἀσυνθεσίας, οὔτε ἀταξίας, οὔτε τοῦ ἀσχηματίστου, ἀλλὰ τῶν προσηκόντως ἑκάστῃ συνθέσει ἢ ἁρμονίᾳ, ἢ τῶν ἄλλων τινὶ ἀντικειμένων. εἴη γὰρ ἂν ἀσυνθεσία ὡς πρὸς τὴν σύνθεσιν τῆς οἰκίας, ἡ τοῦ νεὼς ἢ ἡ τοῦ ἀνδριάντος. ἀλλ' οὐχ οἷόν τε ἐκ ταύτης γενέσθαι οἰκίαν. ὥστε ὡρισμένην τινὰ ἀνάγκη εἶναι ἀσυνθεσίαν, ἐξ ἧς ἡ οἰκία. εἰ καὶ μὴ κατὰ ἄτομόν τι, ἀλλ' ἐν πλάτει. πλὴν οὐδὲ ἐνταῦθα ἁπλῶς ἐκ στερήσεως τῆς τυχούσης, ἀλλ' ἔστι τις ἰδιάζουσα στέρησις, ἤτοι ἐναντίον τι, ἐξ οὗ γίνεται καὶ εἰς ὃ φθείρεται. ὃ δὲ περὶ τούτου εἶπον, τοῦτο καὶ περὶ τῶν λοιπῶν.

» ΚΑΙ ἕκαστον τούτων, τὰ μὲν τάξις, τὰ δὲ σύνθεσίς τις ἐστίν. εἰ τοίνυν τοῦτ' ἔστιν ἀληθές, ἅπαν ἂν γίγνοιτο τὸ γιγνόμενον, καὶ φθείροιτο τὸ φθειρόμενον, ἢ ἐξ ἐναντίων, ἢ εἰς ἐναντία, καὶ τὰ τούτων μεταξύ.

Ἡ μὲν οἰκία, σύνθεσίς τις. ὁ δὲ ἀνδριάς, τάξις μᾶλλον τῶν μορίων. σύνθεσις γὰρ μᾶλλον ἐπὶ τῶν ἀνομογενῶν κυριώτερον λέγεται. οἷον ξύλων. λίθων. καὶ πλίνθων ἐξ ὧν ἡ οἰκία. μᾶλλον δὲ καὶ ἐπὶ οἰκίας ἡ τάξις, καὶ ἐπὶ ἀνδριάντος ἡ σύνθεσις. ἔστι γάρ τι πρῶτον ἐν τῇ οἰκίᾳ οἷον θεμέλιοι. εἶτα δεύτερον, οἱ τοῖχοι. εἶτα ἡ ὀροφή. καὶ ἄλλως ἀδύνατον. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἀνδριάντος οὐ μόνον τάξις μορίων, ἀλλὰ καὶ σύνθεσις.

» ΤΑ δὲ μεταξύ, ἐκ τῶν ἐναντίων ἐστίν. οἷον, χρώματα ἐκ λευκοῦ καὶ μέλανος. ὥστε πάντα ἂν εἴη τὰ φύσει γιγνόμενα ἢ ἐναντία, ἢ ἐξ ἐναντίων.

Μεταξὺ γὰρ τὸ φαιόν, τὸ ὠχρόν, τὸ ἐρυθρόν, καὶ τὰ πάντα παρὰ τὸ λευκὸν καὶ τὸ μέλαν. ἅπερ ἐκ τῆς μίξεώς ἐστι τοῦ λευκοῦ καὶ τοῦ μέλανος. ὥστε εἴ τι γίνεται ἐκ τοῦ μεταξύ, πάλιν ἐξ ἐναντίου γίνεται. καθὸ γὰρ μετέχει τοῦ ἐναντίου τὸ μεταξύ, οὕτως ἐξ αὐτοῦ γίνεται τὰ γινόμενα. ὥστε εἰ ταῦτα οὕτως ἔχει, ἀνάγκη

πᾶσαν

ρικὰς δ' ἔτυχοι. τὰς δὲ πυραμοειδεῖς ὑστέρας. οἷον ἐν τῷ ἀνθρώπῳ τυχὸν, αἱ μὲν σφαιρικαὶ ἄνω, ὅθεν σφαιροειδὴς ἡ κεφαλή. αἱ δὲ πυραμοειδεῖς πρὸς τὴν γένυν. ἐν ἑτέρῳ δὲ ἔμπαλιν. ἐναντίον δὲ τὸ πρῶτον τῷ ὑστέρῳ. ἔτι διαφέρουσι καὶ κατὰ τὴν θέσιν τῶν ἀτόμων. οἷον αἱ πυραμίδες ἐν τούτῳ μὲν τὰς κορυφὰς κάτω ἔχουσι, τὰς δὲ βάσεις ἄνω. οἷον ἐν τῇ γένυι κάτω μὲν αἱ κορυφαὶ, ἄνω δὲ αἱ βάσεις. ἐν ἑτέρῳ δὲ, ἄνω μὲν αἱ κορυφαὶ, κάτω δὲ αἱ βάσεις. ἐναντιότητες δὲ κατὰ τὴν θέσιν, τὸ ἄνω τῷ κάτω. τὸ δεξιὸν τῷ ἀριστερῷ. τὸ ἔμπροσθεν τῷ ὄπισθεν. ὥστε καὶ οὗτος ἀρχὰς τῶν ὄντων τὰ ἐναντία ὑποτίθεται. ἐκάλει δὲ τὸ σχῆμα, τὴν θέσιν, τὴν τάξιν. ἀβδηριτικαῖς φωναῖς. ῥυσμόν. τροπήν. διαθιγήν. ῥυσμὸν μὲν τὸ σχῆμα. τροπὴν τὴν θέσιν. διαθιγὴν τὴν τάξιν.

ΟΤΙ μὲν οὖν τἀναντία πως πάντες ποιοῦσι τὰς ἀρχὰς, δῆλον.

Τὸ πῶς προσέθηκε διότι οὐ κυρίως ἐναντίον ἐστὶ τὸ γεγωνιωμένον τῷ ἀγωνίῳ, ἢ τὸ εὐθύ. στέρησις γὰρ τὸ καμπύλον. τὸ μὲν γὰρ εὐθὺ ὥρισται. τὸ δὲ καμπύλον ἀόριστον. ὁμοίως δὲ καὶ τὸ ἀγώνιον, καὶ τὸ γεγωνιωμένον. τοιαῦται δὲ αἱ ἕξεις, καὶ αἱ στερήσεις. ὥστε ἢ οὐδ' ὅλως ἀντίκειται ταῦτα ἀλλήλοις, ἀλλὰ μόνον ἕτερά ἐστιν. ἢ εἴ τις καὶ βούλοιτο ἀντικεῖσθαι, οὐκ ἄλλως δυνατὸν, ἢ ὡς ἕξιν καὶ στέρησιν.

ΚΑΙ τοῦτο εὐλόγως. δεῖ γὰρ τὰς ἀρχὰς μήτε ἐξ ἀλλήλων εἶναι. μήτε ἐξ ἄλλων. καὶ ἐκ τούτων πάντα. τοῖς δὲ ἐναντίοις τοῖς πρώτοις, ἐνυπάρχει ταῦτα. διὰ μὲν τὸ, πρῶτα εἶναι, μὴ ἐξ ἄλλων. διὰ δὲ τὸ ἐναντία, μὴ ἐξ ἀλλήλων. ἀλλὰ δεῖ τοῦτο καὶ ἐπὶ τοῦ λόγου σκέψασθαι. πῶς συμβαίνει.

Εἰκότως φησὶ τἀναντία ὑπέθεντο. δεῖ γὰρ ταῦτα ὑπάρχειν ταῖς ἀρχαῖς ταῖς πρώταις κατὰ κοινὴν ἔννοιαν. τό τε μὴ εἶναι ἐξ ἄλλων. οὐκέτι γὰρ ἂν εἶεν πρῶται ἀρχαί. καὶ τὸ μὴ ἐξ ἀλλήλων εἶναι. εἴτε γὰρ ἀεὶ ἡ ἑτέρα ἐκ τῆς ἑτέρας, ἡ μὲν ἔσται ἀρχὴ, ἡ δὲ οὐκ ἀρχή. εἴτε ἀμφότεραι ἐξ ἀλλήλων εἰσὶν, οὐδὲν μᾶλλον ἑκατέρα αὐτῶν ἀρχὴ ἔσται, ἢ οὐκ ἀρχή. ὅτι δὲ καὶ ἐξ αὐτῶν τὰ ἄλλα δεῖ εἶναι, πρόδηλον. ἐπεὶ οὖν δεῖ ταῦτα ὑπάρχειν τοῖς πρώτοις ἐναντίοις, διότι μὲν γὰρ πρῶτά ἐστιν, οὐκ ἔστιν ἐξ ἄλλων. διότι δὲ ἐναντία, ἀδύνατον ἐξ ἀλλήλων. οὔτε γὰρ ποιητικὰ ἀλλήλων τὰ ἐναντία. τοὐναντίον γὰρ φθαρτικά ἐστιν ἀλλήλων. οὔτε τὸ ἕτερον τῷ ἑτέρῳ ὑποκεῖσθαι δυνατόν. δεῖ γὰρ τὴν πρώτην ἀρχὴν ἀμετάβλητον εἶναι. ἀμετάβλητον δὲ ὂν εἰ ὑπόκειτο τῷ ἐναντίῳ, τὰ ἐναντία ἔσονται ἐν αὐτῷ ὅπερ ἀδύνατον. πῶς δὲ καὶ ἐκ τούτων πάντα, διότι κατὰ μεταβολὴν πᾶσα γένεσις, ὡς δειχθήσεται. μεταβολὴ δὲ πᾶσα ἐξ ἐναντίου καὶ εἰς ἐναντίον.

ΛΗΠΤΕΟΝ δὴ πρῶτον, ὅτι ἁπάντων τῶν ὄντων, οὐδὲν οὔτε ποιεῖν πέφυκεν, οὔτε πάσχειν τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος. οὐδὲ γίνεται ὁτιοῦν, ἐξ ὁτουοῦν, ἐὰν μή τις λαμβάνῃ κατὰ συμβεβηκός. πῶς γὰρ ἂν γένοιτο τὸ λευκὸν ἐκ μουσικοῦ, πλὴν εἰ μὴ συμβεβηκὸς εἴη τῷ λευκῷ ἢ τῷ μέλανι, τὸ μουσικόν. ἀλλὰ λευκὸν μὲν γίνεται ἐξ οὐ λευκοῦ. καὶ τούτου, οὐκ ἐκ παντός. ἀλλ' ἐκ μέλανος, ἢ τῶν μεταξύ. καὶ μουσικὸν, ἐξ οὐ μουσικοῦ. πλὴν οὐκ ἐκ παντὸς, ἀλλ' ἐξ ἀμούσου. ἢ εἴ τι αὐτῶν ἐστὶ μεταξύ. οὐδὲ δὴ φθείρεται εἰς τὸ τυχὸν πρῶτον. οἷον, τὸ λευκὸν, οὐκ εἰς μουσικόν. πλὴν εἴποτε κατὰ συμβεβηκός. ἀλλ' εἰς τὸ μὴ λευκόν. καὶ εἰς μὴ λευκόν. οὐκ εἰς τὸ τυχόν. ἀλλ' εἰς τὸ μέλαν ἢ τὸ μεταξὺ. εἰς τὸ μὴ μουσικόν. καὶ τὸ μουσικὸν ὡσαύτως καὶ τοῦτο οὐκ εἰς τὸ τυχὸν, ἀλλ' εἰς τὸ ἄμουσον. ἢ εἴ τι αὐτῶν ἐστὶ μεταξύ.

Δείξας ἐκ τῆς τῶν παλαιῶν μαρτυρίας, ὅτι τὰ ἐναντία ἀρχαὶ, βούλεται καὶ ἐκ τοῦ λόγου τοῦτο δεῖξαι. πρότερον δὲ τίθησι τὰ κατὰ κοινὴν ἔννοιαν ὑπάρχοντα τοῖς γινομένοις πᾶσι καὶ φθειρομένοις, ὅτι οὔτε ἐκ τοῦ τυχόντος τυχόν τι γίνεται, οὔτε μὴν φθείρεται εἰς τὸ τυχόν. ἀλλ' ἐξ ἐναντίου καὶ εἰς ἐναντίον, καὶ ἡ γένεσις, καὶ ἡ φθορά. καὶ τοῦτο δῆλον ἐπὶ πάσης τῆς τῶν συμβεβηκότων γενέσεως. ἐκ ψυχροῦ γὰρ τὸ θερμὸν, καὶ φθείρεται πάλιν εἰς τὸ ψυχρόν. καὶ τὸ ἄνω γινόμενον, ἐκ τοῦ κάτω μεταβάλλει. καὶ τὸ κάτω πάλιν ἐκ τοῦ ἄνωθεν. καὶ ἐπὶ πάντων ὁμοίως. εἰ μή τις λαμβάνοι κατὰ συμβεβηκός. ἀδύνατόν φησι μὴ ἐξ ἐναντίου εἰς ἐναντίον εἶναι τὴν γένεσιν, εἰ μή τι κατὰ συμβεβηκός. οἷον εἰ γίνεταί τι λευκὸν ἐκ μέλανος, συμβέβηκε δὲ τὸ μέλαν εἶναι καὶ θερμὸν, λέγοιτο ἂν κατὰ συμβεβηκὸς ἐκ θερμοῦ τὸ λευκὸν γεγονέναι, διότι ἐξ οὗ γέγονε τοῦ μέλανος συνέβη θερμὸν εἶναι. ὁμοίως καὶ ὁ μουσικὸς εἰ θερμαίνοιτο. κατὰ συμβεβηκὸς ἐκ μουσικοῦ θερμὸν λέγεται γεγονέναι, διότι τὸ ψυχρὸν ἐξ οὗ γέγονε τὸ θερμὸν, συνέβη καὶ μουσικὸν εἶναι. δόξει δὲ τὰ ἐναντία ἑαυτῷ λέγειν, ἄνω μὲν λέγων μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία. ἐνταῦθα δὲ μὴ ἂν ἄλλως γίνεσθαι τὸ ἐναντίον, ἢ ἐκ τοῦ ἐναντίου. πῶς μὲν οὖν ἐκεῖ μὴ λέγει γίνεσθαι ἐξ ἀλλήλων, ἱκανῶς ἐδείξαμεν. ἐνταῦθα δὲ τὸ ἐξ ἀλλήλων, τὸ μετ' ἄλληλά φησιν, ὥσπερ καὶ ὁ Πλάτων κυριώτερον αὐτὸ ἐκάλεσε. μετ' ἄλληλα γὰρ ἂν κυριώτερον λεχθείη, ἢ ἐξ ἀλλήλων. διότι ἀνάγκη πᾶσα μὴ ἂν ἄλλως γίνεσθαι μέλαν τι, μὴ λευκὸν πρότερον ὑπάρχον. μηδὲ θερμὸν, ὃ μὴ πρότερον ψυχρὸν ἦν.

ΟΜΟΙΩΣ δὲ τούτοις καὶ ἐπὶ τῶν ἄλλων ἢ τῶν μεταξύ.

Οἷον ἐκ τοῦ φαιοῦ γίνεταί τι λευκὸν, ἢ μέλαν. μεταξὺ δὲ τοῦ λευκοῦ καὶ τοῦ μέλανος τὸ φαιόν. κἂν γὰρ γίνεταί τι ἐκ τοῦ μεταξὺ, οὐχ ᾗ μεταξύ ἐστι γίνεται ἐξ αὐτοῦ, ἀλλ' ᾗ τοῦ ἐναντίου μετέχει. γίνεται γὰρ ἐκ τοῦ φαιοῦ τὸ μέλαν, οὐχ ᾗ μῖγμά ἐστι τὸ φαιὸν τοῦ λευκοῦ, καὶ τοῦ μέλανος, ἀλλ' ᾗ μετέχει τοῦ λευκοῦ

χον τῷ γυναικείῳ καταμηνίῳ τῷ ἐν τῇ ἵππῳ, ἀνθρώπου ὕλη γένηται. ὁμοίως διότι μὴ προσεχὴς ὕλη ἀνθρώπου γίνεται λίθος, ἤ τι τῶν λοιπῶν, ἐμψύχων τε καὶ ἀψύχων. ἐπειδὴ οὐδ' ὅσα ἐκ στερήσεων καὶ οὐκ ἐξ ἐναντίου γίνονται, οὐδὲ ταῦτα ἁπλῶς ἐκ τῆς τυχούσης στερήσεως γίνεται. λέγοιτο δ' ἂν καὶ τὸ ὕδωρ, οὐκ αἷμα, καὶ ὁ ἵππος, οὐκ αἷμα. ἀλλ' ὅμως οὐκ ἂν γένοιτο ἐκ τούτων αἷμα. διότι μὴ δὲ κυρίως ἐπὶ τούτων ἡ στέρησις ἀλλὰ μόνον ἡ ἀπόφασις. στέρησις δὲ ἐπὶ τούτων ἐφ' ὧν καὶ ἡ ἕξις πέφυκε γίνεσθαι ἀλλ' ἐφ' ὧν μὲν ἡ γένεσις σχημάτων ἐστὶ μόνον καὶ μορφῶν, ἐπὶ τούτων οὐκ ἔστιν ἐπὶ τῆς στερήσεως εὑρεῖν ἐναντίωσιν. ἐφ' ὧν δὲ καὶ ποιότητές εἰσι παθητικαὶ, ἐπὶ τούτων ἐξ ἀνάγκης καὶ ἡ ἐναντιότης. ἐπὶ γοῦν τῆς προσεχοῦς ὕλης ἐξ ἧς ὁ ἄνθρωπος, λέγω δὴ τοῦ σπέρματος καὶ τοῦ καταμηνίου, ἃ καὶ καλεῖται ταῦτα οὐκ ἄνθρωπος ὡς ἔχοντα ἐν ἑαυτοῖς τὴν τοῦ ἀνθρώπου στέρησιν ἣν ἀποβαλόντα εὐθὺς τὸ εἶδος δέχονται, ἀλλ' οὖν ἀνάγκη εἶναί τινα ἐν τούτοις καὶ ἐναντίωσιν πρὸς τὸν ἄνθρωπον. ἄνθρωπον δὲ λέγω τὸν σύνθετον. λέγω δὴ τὸ ἡρμοσμένον σῶμα. ᾧ τὸ εἶδος τὸ ζωτικὸν ἐπιγίνεσθαι πέφυκεν. ἃ γὰρ πάσχει τι καὶ μεταβάλλει οὐσιωδῶς. οὔτε δὲ τὸ ὅμοιον εἰς τὸ ὅμοιον μεταβάλλει, οὔτε ἁπλῶς εἰς ἕτερόν τι, ἀλλ' εἰς τὸ ἐναντίον, ἀνάγκη πᾶσα εἶναί τινα ἐναντίωσιν ἐν τῷ σπέρματι καθ' ἣν πάσχον ποιεῖ τὸ σῶμα ἐξ ὑγροτέρου φέρε εἰπεῖν ξηρότερον γινόμενον. ἐκ κεχυμένου πεπηγός, ἐκ θερμοτέρου ψυχρότερον. καὶ οὕτω πάσχον μᾶλλον ἢ ἧττον κατὰ τὰς ἐναντίας ποιότητας, τὰ διάφορα τοῦ ἀνθρώπου ἀποτελεῖ μόρια. ὀστοῦν. σάρκα. νεῦρον καὶ τὰ λοιπά. ὅπερ δὲ ἐπὶ τούτου εἶπον, τοῦτο καὶ ἐπὶ πάντων ἐμψύχων τε καὶ ἀψύχων φημὶ, λέγω δὴ μετάλλων. κἀκεῖ γὰρ ἡ αὐτὴ ἀναλογία. ὥστε εἰ ταῦτα οὕτως ἔχει, πρόδηλον ὅτι πᾶσα γένεσις, ἐξ ἐναντίων καὶ εἰς ἐναντία. ὁμοίως δὲ καὶ ἡ φθορά. δέδεικται ἄρα καὶ ἐκ τοῦ λόγου ὡς ἀνάγκη τὰς εἰδοποιοὺς τῶν ὄντων ἀρχὰς, ἐναντίας εἶναι. μήποτε δὲ καὶ ἐπὶ τῶν τεχνητῶν πάντων ἔστι τὴν ἀναλογίαν φυλάξαι. οὐ γὰρ ἐκ τῆς αὐτῆς ἀναρμοστίας καὶ ἀσυνθεσίας, θρόνος τε ἂν γένοιτο καὶ ἀββάκιον. νῦν γὰρ περὶ ὕλης τῆς προσεχεστάτης ἡμῖν ὁ λόγος. ἥτις μόνου ἐστὶ προσεχὴς τοῦδέ τινος. διὰ τοῦτο γὰρ καὶ φαμὲν μὴ πᾶν ἐκ παντὸς γίνεσθαι. εἰ γὰρ μὴ περὶ τῆς ἁπλῶς ὕλης ἦν ἡμῖν ὁ λόγος, δῆλον ὅτι κατὰ ταύτην πᾶν ἐκ παντὸς γίνεται ἀναλυομένου ἑκάστου εἰς τὴν ὕλην. καὶ οὕτω τῆς ἐκείνῳ ὑποκειμένης ὕλης πᾶσι τοῖς ἄλλοις ὑποκεῖσθαι δυναμένης. καὶ ἢ εὐθὺς καὶ ἀμέσως, ἢ διά τινων μέσων λέγω δὴ πρότον εἰς ἄλλα καὶ ἄλλα μεταβαλλούσης. οἷον φθαρέντος τοῦ λίθου, τὰ ὑποκείμενα αὐτῷ τέσσαρα στοιχεῖα μεταβάλλει εἰς καρπούς. κἀκεῖνο εἰς αἷμα. κἀκεῖνο εἰς σπέρμα, ὅπερ ἐστὶ προσεχὴς ὕλη ἀνθρώπου. ἀλλὰ καὶ ἀμέσως ὡς ὅτε ἵππου σηπομένου σφῆκες γίνονται, ἢ σκώληκες. ἐπεὶ οὖν οὐ περὶ τῆς ἁπλῶς ὕλης καὶ κοινῆς ἡμῖν ὁ λόγος, ἀλλὰ περὶ τῆς προσεχεστάτης, φημὶ ὅτι οὐ μόνον ἐπὶ τῶν φυσικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν τεχνητῶν. οὐκ ἐκ τῆς τυχούσης ἀναρμοστίας, καὶ ἀσυνθεσίας τὸ τυχὸν εἶδος. ὁ γὰρ τέκτων ἄλλως μὲν κατασκευάζει τὴν τοῦ ἀββακίου ὕλην. ἄλλως δὲ τὴν τοῦ θρόνου. ἢ ἑτέρου τινός. εὐτρεπισθείσης οὖν τῆς ὕλης τοῦ τε ἀββακίου, καὶ τῆς τοῦ θρόνου μήπω μέντοι συναρμοσθέντων τῶν ὑλικῶν, ἔστι τις καὶ ἐν τῇ ὕλῃ τοῦ ἀββακίου ἀναρμοστία, καὶ ἀσυνθεσία. ἔστι δὲ καὶ ἐν τῇ τοῦ θρόνου, καὶ οὔτε τὸ ἀβάκιον γένοιτο ἂν ἐκ τῆς ἀναρμοστίας, καὶ ἀσυνθεσίας ἐν τῇ ὕλῃ τοῦ θρόνου. οὔτε ὁ θρόνος ἐκ τῆς τοῦ ἀββακίου. ἰδία ἄρα ἀναρμοστία, καὶ ἀσυνθεσία ἀντίκειται ἑκάστῳ. ἐν ᾗ ἴσως καὶ ἐναντιότης τις ἐνθεωρηθήσεται, κατ' αὐτὸ τοῦτο τὸ ἀνάρμοστον καὶ ἀσύνθετον. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν. καὶ γὰρ ἐπὶ τῆς λυδίου εἰ τύχοι ἁρμονίας ἔστι τις ἑκάστης χορδῆς τάσις, ᾗ τινι γενομένῃ, εὐθὺς ἐπιγίνεται τὸ τῆς ἁρμονίας εἶδος. τῇ οὖν εὐθὺς πρὸ αὐτῆς ἀναρμόστῳ τάσει ὑπάρχοι ἂν ἡ ἀναρμοστία αὐτῆς. ἤγουν κἂν ἑκάστη τῶν χορδῶν τὴν προσήκουσαν τάσιν λάβοι πρὶν οἷον συντεθῶσιν αἱ χορδαὶ καὶ ὁ ἀπ' αὐτῶν ἦχος συγκραθῇ, ἡ προσεχεστάτη ἐστὶν ἀντικειμένη ἀναρμοστία τῇ λυδίῳ ἁρμονίᾳ, καὶ οὐδεμία ἄλλη.

ΟΙ ΤΕ λέγοντες ὅτι ἓν τὸ πᾶν καὶ μὴ κινούμενον. καὶ γὰρ παρμενίδης ψυχρὸν, καὶ θερμὸν ἀρχὰς ποιεῖ. ταῦτα δὲ προσαγορεύει πῦρ καὶ γῆν. καὶ οἱ μανὸν καὶ πυκνόν. καὶ δημόκριτος τὸ στερεὸν, καὶ κενόν. ὧν τὸ μὲν ὡς ὄν. τὸ δ' ὡς οὐκ ὂν εἶναί φησιν. ἔτι θέσει. σχήματι. τάξει. ταῦτα δὲ γένη ἐναντίων. θέσεως ἄνω. κάτω. πρόσθεν. ὄπισθεν. σχήματος, γεγωνιωμένον. ἀγώνιον. τὸ εὐθύ. τὸ περιφερές.

Ὅ τε γὰρ παρμενίδης καὶ τὸ ἓν λέγων τὸ πᾶν, ὅμως ἐν τοῖς πρὸς δόξαν, θερμὸν καὶ ψυχρὸν ἀρχὰς τίθεται τῶν ὄντων. καὶ οἱ μανὸν καὶ πυκνὸν ὧν ἐστὶ θαλῆς. τὸν γὰρ ἀέρα ὡς ὕλην ὑποτιθεὶς, μανότητι καὶ πυκνότητι ἐξ αὐτοῦ εἰδοποιεῖ τὰ λοιπά. καὶ δημόκριτος πλῆρες καὶ κενόν. πλῆρες γὰρ τὰς ἀτόμους ἐκάλει. κενῷ δὲ ταύτας διείργεσθαι. ἐκ τῆς συμπλοκῆς οὖν τοῦ κενοῦ καὶ τοῦ πλήρους, εἰδοποιεῖσθαι πάντα. ἀλλ' ἐπειδὴ πολλὴ διαφορὰ ἐν τοῖς οὖσιν, ἑτέρας ὑποτιθέμενος ἐναντιώσεις, οὕτως ἀπεδίδου τὰς διαφορὰς τῶν ὄντων τοὺς λόγους. ὅσον γὰρ ἐπὶ τῷ κενῷ καὶ τῷ πλήρει, ἐπειδὴ πάντα ἐκ τούτων, οὐδὲν ἂν ἔμελλον ἀλλήλων διοίσειν. διὰ τοῦτο οὖν ἕτερα τρία γένη ἐναντίων ὑποτίθεται. ὧν πρὸς τὰς διαφορὰς, διάφορα εἶναι καὶ τὰ ἀποτελούμενα. εἶναι μὲν γὰρ ἐναντίας ἀλλήλαις τοῖς σχήμασι τὰς ἀτόμους τῷ τὰς μὲν, εἶναι γεγωνιωμένας. τὰς δὲ, ἀγωνίους. ἐναντίον γὰρ εἶναι τὸ γεγωνιωμένον τῷ ἀγωνίῳ. διαφέρειν οὖν τὰ σύνθετα κατά τε ταύτην τὴν ἐναντίωσιν τῷ τὰ μὲν, ἐκ γεγωνιωμένων ἐναντίων εἶναι. τὰ δὲ, ἐξ ἀγωνίων εἶναι. ἔτι δὲ καὶ κατὰ τὴν τάξιν τῶν ἀτόμων. οἷον ἐν τούτῳ πρώτας μὲν εἶναι τὰς σφαι-

τὸ θερμὸν, καὶ ξηρόν· τὸ δὲ, κατὰ τὸ ὑγρὸν, καὶ ψυχρόν. λέγεται δὲ οὐσίᾳ μὴ εἶναι ἐναντία οὐχ ἁπλῶς πᾶσα, ἀλλ' ἡ σύνθετος. τὰ μέντοι ἁπλᾶ εἴδη κατ' ἐναντίωσιν χαρακτηρίζεται. τὸ ξηρὸν λέγω καὶ τὸ ὑγρὸν, καὶ ψυχρὸν, καὶ θερμόν. ἐν δὲ τοῖς συνθέτοις, οὐδέν ἐστι καθάπαξ ἀντικείμενον πρὸς τὸ ἕτερον. πάντων γὰρ τὸ ὑποκείμενον ἓν καὶ ταυτόν. τὰ μὲν οὖν ἁπλᾶ ὅτι ἐξ ἐναντίων γίνεται καὶ εἰς ἐναντία φθείρεται, εἴτε κατ' οὐσίαν εἴη ἡ μεταβολὴ, ὡς ἐπὶ τῶν στοιχείων, εἴτε κατὰ συμβεβηκὸς, πρόδηλον. ἐπὶ δὲ τῶν συνθέτων οὐσιῶν, οὐκέτι πρόφανες τὸ ἐξ ἐναντίων ἔχειν αὐτὰς τὴν γένεσιν, καὶ εἰς ἐναντία φθείρεσθαι. τοῦτο δέ φησι συμβαίνειν διὰ τὸ μὴ ὀνομάζεσθαι τὰς ἀντικειμένας ταῖς γενέσεσι διαθέσεις. ἵνα οὖν δείξῃ, ὅτι καὶ αἱ τῶν συνθέτων γενέσεις ἐξ ἐναντίων εἰσὶν, εὑρίσκει μέθοδον κατὰ τὴν ἀγχίνοιαν τὴν ἑαυτοῦ δι' ἧς ἔδειξεν ὅτι πάντως καὶ αἱ σύνθετοι οὐσίαι ἐξ ἐναντίων γίνονται. φησὶν οὖν ὅτι αἱ κατὰ σύνθεσιν τῶν ἁπλῶν γινόμεναι οὐσίαι, ἔχουσι δηλονότι τῆς συνθέσεως τῶν ἁπλῶν τινὰ λόγον, καὶ ἁρμονίαν. ἡ γὰρ τοιάδε τῶν ἁπλῶν σύνθεσις, καὶ κρᾶσις, τὰ σύνθετα ποιεῖ. καὶ καθόλου τὰ σύνθετα τῶν πραγμάτων, ἢ τάξιν ἔχουσι μόνην καθ' ἣν ἐγένοντο, ἢ σύνθεσιν μόνην, ἢ ἀμφότερα. οἷον αἱ δεκάδες μὲν μόνην τάξιν ἔχει διότι ἕκαστον τῶν μορίων τὴν οἰκείαν δεῖ ἔχειν χώραν. ὁ σωρὸς δὲ τῶν καρπῶν μόνην σύνθεσιν. οὐδὲ γὰρ τάξεως δεῖ τοῖς κόκκοις, ἀλλὰ σωρείας μόνον. ἡ δὲ οἰκία, καὶ τάξιν, καὶ σύνθεσιν. τὰ αὐτὰ δὲ ταῦτα, καὶ ἐπὶ τῶν φυσικῶν ἔστιν ἰδεῖν. σύνθεσις μὲν γὰρ μόνη, ἐπὶ τῶν ὁμοιομερῶν, οἷον λίθων, ἢ σαρκῶν, αἵματος, καὶ τῶν τοιούτων. σύνθεσις δὲ καὶ τάξις, ἐπὶ τῶν ἀνομοιομερῶν ζώων, καὶ φυτῶν, καὶ τῶν τοιούτων. τάξιν δὲ μόνην ἐπὶ τῶν φυσικῶν οὐκ ἔστιν εὑρεῖν. δῆλον δὲ ὅτι διαφέρει ἡ τῶν φυσικῶν σύνθεσις, τῶν τεχνητῶν. διότι ἐπὶ μὲν τῶν τεχνητῶν, σωρεία μόνον ἐστὶ, καὶ παράθεσις τῶν συντιθεμένων. ἐπὶ δὲ τῶν φυσικῶν, καὶ συμπάθειά τις γίνεται πρὸς ἄλληλα τῶν συντιθεμένων, ἣν καλοῦμεν κρᾶσιν. εἰ τοίνυν κατὰ σύνθεσίν τινα, καὶ ἁρμονίαν γίνεται λίθος, καὶ ξύλον, καὶ ἵππος, καὶ ἄνθρωπος, δῆλον ὅτι καὶ ἐγένοντο ἐξ ἀναρμοστίας, καὶ ἀσυνθεσίας, ὥσπερ ἡ οἰκία σύνθεσίς ἐστι τοιάδε, καὶ σχῆμα. τοιγαροῦν γίνεται ἐξ ἀσυνθεσίας, καὶ ἀσχημοσύνης τῆς τοιᾶσδε. ὁμοίως δὲ καὶ ἡ ἁρμονία οἷον ἡ λύδιος, ἢ φρύγιος, ἢ ἰὰς, ἁρμονία τις οὖσα τῆς νήτης πρὸς τὴν ὑπάτην τὸν ἡμιόλιον φέρε εἰπεῖν, ἢ τὸν ἐπίτριτον, ἢ τὸν διπλασίονα ἐχούσης λόγον. καὶ γὰρ δῆλον ὅτι ἐκ τοῦ διπλασίου, ἢ μὴ ἡμιολίου, ἢ μὴ ἐπιτρίτου, ὅπερ ἐστὶν ἀναρμοστία τυχὸν τῆς λυδίου, ἢ τῆς φρυγίου, ἢ τῆς ἰάδος ἁρμονίας, καὶ φθείρεται δὲ πάλιν ἡ ἁρμονία, καὶ σύνθεσις, εἰς τὴν ἀσυνθεσίαν, καὶ ἀναρμοστίαν. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτως ἔχει καὶ ἐπὶ τῆς τῶν οὐσιῶν γενέσεως. ἐπεὶ γὰρ ὁ ἄνθρωπος τοιάδε τίς ἐστι σύνθεσις, καὶ ἁρμονία τῶν ἁπλῶν ᾗ ἐπιγίνεσθαι πέφυκε τὸ εἶδος, δῆλον ὅτι γέγονεν ἐξ ἀσυνθεσίας, καὶ ἀναρμοστίας, καὶ ἁπλῶς πᾶν τὸ γινόμενον, ἐξ οὐ τοιοῦδε γίνεται. ἐξ οὐ τοιοῦδε δὲ οὐ παντὸς, ἀλλὰ τοῦ ἀντικειμένου, ἀλλ' αἱ μὲν ἕξεις καὶ τὰ εἴδη, ἰδίῳ ἑκάστη ὀνόματι κέκληνται. αἱ μέντοι ἀντικείμεναι διαθέσεις τούτων, οὐκ ἔχουσιν ἴδια ὀνόματα, ἀλλὰ τῷ κοινῷ τῆς στερήσεως ὀνόματι κεκλήνται. ὅθεν οὐ δοκεῖ ἐκ τῶν ἐναντίων ταῦτα γίνεσθαι. ὥσπερ τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, καὶ τὸ ὑγρόν. ἐξ ὧν καὶ τοῖς ἁπλοῖς σώμασιν ἡ εἰς ἄλληλα μεταβολή. ὅθεν πρόδηλος καὶ ἐπὶ τούτων ἡ ἐναντιότης καθ' ἣν γίνονται. ἐπὶ δὲ τῆς τῶν συνθέτων γενέσεως διὰ τὸ μὴ ὀνομάζεσθαι τὰς ἀντικειμένας διαθέσεις, ἄδηλον δοκεῖ εἶναι ἐκ τῶν ἐναντίων αὐτοῖς ἡ γένεσις, καὶ μὴ ἁπλῶς ἐκ τῆς στερήσεως ἥτις ἂν ᾖ. ὥσπερ καὶ ἐπὶ τῶν τεχνητῶν ἔχει. ἡ γὰρ λύδιος ἁρμονία γίνεται ἐκ τῆς ἀναρμοστίας τῆς λυδίου. ἀλλ' ἡ λύδιος ἀναρμοστία, δύναται εἶναι φρύγιος ἁρμονία ἢ ἑτέρα τις. δύναται δὲ καὶ ἁπλῶς ἀναρμοστία εἶναι τῶν χορδῶν ὁπωσοῦν ἐχουσῶν, καὶ τοῦτο ποικίλως ἄλλοτε ἄλλως ἐπιτεταμένων μᾶλλον ἢ ἀνειμένων. καὶ ἡ τῆς οἰκίας σύνθεσις ἐξ ἀσυνθεσίας γινομένη, ἐξ ἀορίστου τῆς ἀσυνθεσίας ταύτης γίνεται. δύναται γὰρ ὁ οἰκοδόμος ἄλλοτε ἐξ ἄλλης ἀναρμοστίας, καὶ ἀσυνθεσίας λίθων ποιῆσαι τὴν οἰκίαν συνθεὶς τοὺς λίθους, καὶ ἁρμόζων. ἐπὶ μὲν οὖν τῶν τεχνητῶν, οὐχ ὥρισται τὸ ἀντικείμενον, διότι τοῖς πολλοῖς τῶν τεχνητῶν οὐδὲ ἐξ ἐναντίων ἡ γένεσις, ἀλλ' ἐκ στερήσεων μόνον. τοῦτο δὲ διότι οὐδὲ τῷ σχήματι, καὶ τῇ μορφῇ ἐστί τι ἐναντίον. εἰ μὴ οὕτως ὡς ἀσχημάτιστον ἐσχηματισμένῳ, καὶ ἄμορφον μεμορφωμένῳ. τοῦτο δὲ στέρησίς ἐστι, καὶ ἕξις, οὐκ ἐναντιότης. ὅσαι οὖν τῶν τεχνῶν σχῆμα μόνον ἢ μορφὴν τοῖς ἰδίοις ἔργοις ἐπιτιθέασιν, ἐπειδὴ τῇ μορφῇ καὶ τῷ σχήματι οὐδέν ἐστιν ἐναντίον, διὰ τοῦτο οὐδὲ ἐξ ἐναντίων ποιοῦσι τὰ ἴδια ἔργα, ἀλλ' ἐκ στερήσεων μόνον. ὅσαι δὲ καὶ περὶ τὰ ἄλλα εἴδη τῆς ποιότητος ἐνεργοῦσιν ἐν οἷς ἐστὶ τὸ ἐναντίον, αὗται πάντως ἐκ τῶν ἐναντίων ποιοῦσιν, ἢ πάντως ἐκ τῶν μεταξύ. ἐκ λευκοῦ γὰρ οἱ βαφεῖς μέλαν ποιοῦσιν, ἢ τῶν μεταξὺ, καὶ πεπηγὸς ἐκ κεχυμένου, καὶ σκληρὸν ἐκ μαλακοῦ, καὶ ἔμπαλιν, καὶ ἐπὶ πάντων ὁμοίως. αἱ μὲν οὖν τέχναι οὕτως. ἡ δὲ φύσις ἐπειδὴ μὴ σχῆμα μόνον τοῖς πράγμασιν ἐπιτίθησιν, ἀλλὰ καὶ τὰς λοιπὰς οὐσιώδεις ποιότητας ἐν αἷς ἐστὶν ἡ ἐναντιότης, ἐξ ἀνάγκης πάντως δεῖ τὰ γινόμενα ὑπ' αὐτῆς, ἐξ ἐναντίων τινῶν γίνεσθαι, εἰ καὶ μὴ ἔστιν ὀνομασμέναι αὗται αἱ ἐναντιώσεις. οὐ γὰρ ἁπλῶς ἐκ τῆς στερήσεως ποιεῖ τὸν ἄνθρωπον, λέγω δὴ τοῦ οὐκ ἀνθρώπου. ἐπειδὴ καὶ ὁ ἵππος οὐκ ἄνθρωπός ἐστι, καὶ ὁ λίθος οὐκ ἄνθρωπος, καὶ πάντα τὰ μετ' αὐτόν. διατί μὴ γίνεται προσεχῶς ἐκ λίθου ὁ ἄνθρωπος, ἢ ἐξ ἵππου, ἢ ἐξ ἄλλου τινὸς τῶν παρ' αὐτόν. λέγω δὴ ὡς ὑλικοῦ αἰτίου, ἵνα τὸ σπέρμα τύχοι τὸ ἵππειον τὸ ἀνάλο-

ξηρὸν γῆν. τὸ δὲ θερμὸν, πῦρ. τὸ δὲ θερμὸν καὶ τὸ ψυχρὸν ἐναντία. καὶ ὁ ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα λέγων ἀρχὰς, τὸ μὲν πῦρ θερμὸν ἔλεγε, τὰ δὲ λοιπὰ ψυχρά. καὶ ὅσοι δὲ μανώσει, ἢ πυκνώσει τοῦ κατ' αὐτοὺς στοιχείου τὰ ἄλλα γεννῶσιν, οἷός ἐστιν ὁ θαλῆς, τὰ ἐναντία ἀρχὰς ὑπετίθεντο. μάνωσις γὰρ καὶ πύκνωσις ἐναντία. καὶ δημόκριτος δὲ τὸ κενὸν καὶ τὰς ἀτόμους ὑποτιθέμενος, τὰς ἀτόμους πλῆρες ἐκάλει. τὸ πλῆρες γὰρ καὶ τὸ κενὸν ἀρχὰς εἶναι τῶν ὄντων ἔλεγε. τὸ δὲ πλῆρες καὶ τὸ κενὸν, ἐναντία. ἅπερ ὂν καὶ οὐκ ὂν ἐκάλει. καὶ ἓν καὶ οὐδέν. ἓν μὲν τὸ πλῆρες. τὸ δὲ κενὸν οὐδέν. σύγκρισίν τε καὶ διάκρισιν, ὅ, τε δημόκριτος αἰτίας ἔλεγεν εἶναι γενέσεως καὶ φθορᾶς, καὶ ὁ ἀναξαγόρας, ὁ μὲν, τῶν ὁμοιομερειῶν. ὁ δὲ, τῶν ἀτόμων. ἀλλὰ καὶ ὁ πλάτων τὸ μέγα καὶ τὸ μικρὸν, ἀρχὰς ὑπετίθετο. ταῦτα δὲ πάντα ἐναντία. ἀλλ' ἴσως ἐρεῖ τις ὅτι οὐ πάντες τὰ κατ' αὐτοὺς ἐναντία, ἐξ ἴσης ὑπετίθεντο ἀρχάς. ὅ, τε γὰρ πλάτων τὸ μέγα καὶ τὸ μικρὸν, τὴν ὕλην ἔλεγε. καὶ ὁ ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα. ὁμοίως καὶ ὁ παρμενίδης τὸ πῦρ καὶ τὴν γῆν. οὐ γὰρ δήπου ὡς ἄν τις ὑπολάβοι, τὸ μὲν πῦρ ποιητικὸν, ἢ εἰδικὸν ἔλεγε, τὴν δὲ γῆν ὑλικόν. εἰ γὰρ ἐναντία ἐστὶ ταῦτα, ἀδύνατον τὸ ἕτερον τῷ ἑτέρῳ ὑποκεῖσθαι ὡς ὕλην. φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. ἡ δὲ ὕλη σωστικὴ τοῦ εἴδους ἐστίν. ὥστε ταύτῃ μὲν οὐκ ἂν εἴη τὸ μὲν ὕλη, τὸ δὲ εἶδος. ἀλλ' οὐδὲ ποιητικὸν τὸ πῦρ. ἐναντία γὰρ ἄλλα ὑποτίθεται. τὰ δὲ ἐναντία ἰσοσθενῆ ἐστι, καὶ οὐδὲν μᾶλλον τὸ ἕτερον εἰς τὸ ἕτερον δρᾷ, ἢ τὸ ἕτερον εἰς τὸ ἕτερον. ἀλλ' εἰ καί τινες τούτων τὰ ἐναντία ὡς ὕλην ὑπετίθεντο, ἀλλ' οὐ τοῦτο ἁπλῶς νῦν δεῖξαι προέκειτο, τινὲς μὲν ὡς ὕλην αὐτὰ ἐλάμβανον, τινὲς δὲ ὡς εἶδος. ἀλλ' ὅτι ἁπλῶς ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς φύσεως κινούμενοι, ἐναντιότητα ἐν ταῖς ἀρχαῖς ὑπετίθεντο. καὶ τοῦτο εἰκότως. δεῖ γὰρ ταῖς πρωτίσταις ἀρχαῖς τρία ταῦτα ὑπάρχειν, τὸ μήτε ἐξ ἄλλων εἶναι. οὐ γὰρ ἂν ἦσαν πρῶται ἀρχαί. μήτε ἐξ ἀλλήλων. οὐ γὰρ ἂν εἶεν κυρίως ἀρχαὶ πρῶται. ἔσται γὰρ οὕτως ἕκαστον καὶ ἀρχὴ, καὶ οὐκ ἀρχή. καὶ ἐξ αὐτῶν εἶναι τὰ ἄλλα. τοῦτο γὰρ μάλιστα ἴδιον τῶν ἀρχῶν. ταῦτα δὲ πάντα τοῖς ἐναντίοις ὑπάρχει τοῖς πρώτοις. πρῶτα δὲ ἐναντία λέγω, τὰ γενικώτερα, ὑφ' ἃ τὰ ἄλλα πάντα ἀνάγεται. οὐκ ἐξ ἄλλων μὲν γὰρ, διότι πρώτως ὑπάρχουσι τῇ ὕλῃ. οὐκ ἐξ ἀλλήλων δὲ, διότι οὐδέτερον τοῦ ἑτέρου ποιητικόν. ἐξ αὐτῶν δὲ τὰ ἄλλα, διότι κατὰ τὴν συμπλοκὴν τούτων πρὸς τὴν ὕλην, τὰ ἄλλα γίνονται πάντα. καὶ ὅτι κατὰ μεταβολὴν ἡ γένεσις, ἡ δὲ μεταβολὴ ἐξ ἐναντίων καὶ εἰς ἐναντία ὡς δειχθήσεται. οὕτω μὲν οὖν ἐκ τῆς τῶν παλαιῶν δόξης δεικνῦσιν ὅτι τὰ ἐναντία ἀρχαί. δείκνυσι δὲ καὶ ἐκ τοῦ λόγου αὐτὸ τοῦτο. λαμβάνει δὲ πρότερον δύο τινὰ ἀξιώματα ἐκ τῶν κοινῶν ἐννοιῶν ὁμολογούμενα. ἓν μὲν ὅτι οὐ τὸ τυχὸν πέφυκεν ὑπὸ τοῦ τυχόντος πάσχειν, οὐδὲ ποιεῖν εἰς τὸ τυχόν. οὐ γὰρ ἂν ποιήσειε γραμμὴ εἰς γλυκὺ, οὐδὲ πείσεται ὑπ' αὐτοῦ. οὐδὲ σίδηρος εἰς ἀδάμαντα δράσειεν ἄν. οὐ τοίνυν οὐδὲ γίνεται τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος. καὶ τοῦτο ἂν εἴη τῶν ἀξιωμάτων τὸ δεύτερον. οὐ γὰρ ἂν γένοιτό τι ἐκ μουσικοῦ γλυκὺ, ἢ ἐκ μέλανος μουσικὸν, ἀλλὰ λευκὸν ἐκ μέλανος γίνεται. καὶ θερμὸν, ἐκ ψυχροῦ, καὶ ἐξ ἀγαθοῦ κακὸν, καὶ ἔμπαλιν. ὁμοίως δὲ καὶ τὸ φθειρόμενον οὐκ εἰς τὸ τυχὸν φθείρεται. οὐ γὰρ ἂν φθαρείη μουσικὸν εἰς μέλαν, ἢ μέλαν εἰς γλυκύ. ἀλλὰ τὸ μὲν μουσικὸν, εἰς ἄμουσον φθείρεται, καὶ τὸ μέλαν εἰς τὸ λευκὸν, καὶ τὸ γλυκὺ εἰς πικρόν. ὥστε γίνεται τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου. καὶ φθείρεται τὸ ἐναντίον εἰς τὸ ἐναντίον. καὶ οὐ δεῖ θαυμάζειν εἰ ἔναγχος μὲν ἐλέγομεν μὴ εἶναι ἐξ ἀλλήλων τὰ ἐναντία, νῦν δὲ φαμέν. μᾶλλον δὲ ἐκ τῆς ἐναργείας εἰλήφαμεν ὅτι οὔτε ἐκ τοῦ τυχόντος γίνεταί τι, οὔτε εἰς τὸ τυχὸν φθείρεται, ἀλλὰ γίνεται ἐξ ἐναντίου καὶ φθείρεται εἰς ἐναντίον. ἄνω μὲν γὰρ ἐλέγομεν μὴ γίνεσθαι ἐξ ἀλλήλων τὰ ἐναντία. μήτε ὡς ἐκ ποιητικοῦ αἰτίου, μήτε ὡς ἐξ ὑλικοῦ. οὔτε γὰρ παρακτικόν ἐστι τοῦ θερμοῦ τὸ ψυχρὸν, καὶ δημιουργικόν. οὔτε τὸ θερμὸν τοῦ ψυχροῦ. οὔτε ἁπλῶς τὸ ἐναντίον τοῦ ἐναντίου. τοὐναντίον δὲ καὶ φθαρτικὰ ἀλλήλων ἐστὶ τὰ ἐναντία. ἀλλ' οὐδὲ ὡς λέγομεν ἐκ χαλκοῦ γίνεσθαι τὸν ἀνδριάντα, οὕτως ἐξ ἀλλήλων τὰ ἐναντία. οὐ γὰρ ὑπομένει τὸ ἕτερον ἐπελθόντος τοῦ λοιποῦ, ὥσπερ ὁ χαλκὸς τοῦ τοῦ ἀνδριάντος εἴδους. καὶ ἁπλῶς ἡ ὕλη τοῦ εἴδους. ἅμα γὰρ ἦν οὕτω τὰ ἐναντία. οὕτω μὲν οὖν οὐκ ἐξ ἀλλήλων τὰ ἐναντία. ἐξ ἀλλήλων δὲ πάλιν λέγεται, τῷ μετ' ἄλληλα εἶναι. ὥσπερ ὁ πλάτων ἐν τῷ φαίδωνι κυριώτερον ὠνόμασε. μετ' ἄλληλα αὐτὰ εἰρηκὼς, διότι μετὰ τὸ λευκὸν, τὸ μέλαν εὐθὺς γίνεσθαι πέφυκε. καὶ πάλιν φθαρέντος τοῦ μέλανος, τὸ λευκόν. καὶ ἐπὶ πάντων ὁμοίως. οὕτως οὖν ἐξ ἀλλήλων τὰ ἐναντία ὅτι οὐκ ἂν γένοιτό τι θερμὸν, μὴ πρότερον ψυχρὸν ὄν. καὶ τὸ ὡς θερμὸν φθειρόμενον, εἰς ψυχρὸν πάντως μεταβάλλει. πάντως οὖν ἡ γένεσις ἐξ ἐναντίου εἰς ἐναντίον, καὶ ἡ φθορὰ ὡσαύτως. εἰ δὲ τοῦτο, ἀρχαὶ ἂν εἶεν πάντων τῶν φύσει γινομένων, τὰ ἐναντία. ἐπὶ μὲν οὖν τῆς τῶν συμβεβηκότων γενέσεώς τε καὶ φθορᾶς, πρόδηλον τὸ τοιοῦτον. ἀλλ' ἐπειδὴ κοινῶς πάντων τὰς ἀρχὰς ζητοῦμεν, καὶ αὐτῶν τῶν οὐσιῶν, δεῖ δεῖξαι πῶς καὶ τῶν οὐσιῶν ἀρχαὶ ἂν εἶεν τὰ ἐναντία. δέδεικται γὰρ ὅτι τῇ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. ἡ μὲν οὖν κατ' ἀλλοίωσιν γένεσις πρόδηλον ὅτι ἐξ ἐναντίων, καὶ εἰς ἐναντία. καὶ οὐ μόνον αὕτη, ἀλλὰ καὶ ἡ τῶν ἁπλῶν σωμάτων εἰς ἄλληλα μεταβολή. εἰ γὰρ καὶ μή ἐστιν οὐσία οὐσίας ἐναντία, ἀλλ' οὖν κατ' ἐναντίας ποιότητας ἡ εἰς ἄλληλα τῶν στοιχείων γίνεται μεταβολή. οὐκ ἔστι μὲν γὰρ τὸ πῦρ τῷ ὕδατι, ὡς οὐσία οὐσίᾳ ἐναντίον. κοινὸν γὰρ ἔχουσι τὸ ὑποκείμενον. κατ' εἴδη μέντοι ἐναντία εἰδοποιεῖται ἕκαστον αὐτῶν. τὸ μὲν, κατὰ

ἐναντίον γενέσθαι. οὐ καλῶς δὲ οὐδὲ τὸ ἐκ τοῦ μὴ ὄντος μὴ γενέσθαι τι ἐλάμβανεν ἐκ τοῦ μηδαμῇ μηδαμῶς μὴ ὄντος ὡς ἐξ ὕλης οὐκ ἂν γένοιτό τι. ἐκ τοῦ τὶ δὲ μὴ ὄντος ἀνάγκη τὴν γένεσιν εἶναι. καὶ γὰρ κατὰ τὸ ὑλικὸν αἴτιον ἐκ τοῦ τὶ μὴ ὄντος γίνεται. τὸ γὰρ σπέρμα τὶ μὴ ὄν, οὐκ ἄνθρωπος γάρ. καὶ κατὰ τὸ ποιητικόν. τὸ γὰρ αἴτιον ἐξ ἀνάγκης δεῖ διαφέρειν τοῦ αἰτιατοῦ εἰ καὶ κατ' οὐδὲν ἄλλο, ἀλλ' οὖν πάντως κατ' αὐτὸ τὸ αἴτιον καὶ αἰτιατόν. ὥστε ἔστι τὶ μὴ ὂν τὸ αἴτιον. οὐκ ἔστι γὰρ ὅπερ τὸ αἰτιατόν.

ΚΑΙ οὐχ ὁ αὐτὸς τρόπος ὡς πλίνθοι ἐξ οἰκίας καὶ οἰκία ἐκ πλίνθων.

Οὐχ ὅνπερ τρόπον φησὶν ἐκ πλίνθων ἡ οἰκία, τοῦτον τὸν τρόπον ἐκ τῶν πηλῶν ὁ πηλός. ἡ μὲν γὰρ οἰκία ἐξ ἀνομοιοειδῶν τῶν πλίνθων. ὁ δὲ πηλὸς ἐξ ὁμοιοειδῶν τῶν πηλῶν. εἶπεν δὲ ὅτι οὐ κυρίως λέγεται γίνεσθαι ὁ πηλὸς ἐκ πηλῶν. οὐδὲ γὰρ γένεσις τοῦτό ἐστιν, ἀλλὰ πρόσθεσις. εἰ μὴ γίνεσθαι ἁπλῶς εἴποι τις ἁπλῶς τοσόνδε πηλόν.

ΟΥΤΩ δὲ καὶ ὕδωρ καὶ ἀὴρ ἐξ ἀλλήλων καὶ εἰσὶ καὶ γίνονται. βέλτιον δ' ἐλάττω καὶ πεπερασμένα λαβεῖν. ὅπερ ποιεῖ ἐμπεδοκλῆς.

Τουτέστιν ἐξ ἀνομοιοειδῶν, ὥσπερ καὶ ἡ οἰκία ἐκ πλίνθων, βέλτιόν τε ἐλάττω καὶ πεπερασμένα λαβεῖν, ὅπερ ποιεῖ ἐμπεδοκλῆς. εἰ γὰρ δυνατὸν τὰ αὐτὰ γεννᾶν ἐκ τῶν πεπερασμένων ἅπερ καὶ ἐκ τῶν ἀπείρων, κάλλιον τὸ ἐκ τῶν πεπερασμένων. τὰ γὰρ ἄπειρα, ἄγνωστα. ὅθεν ταύτῃ μᾶλλον ὁ ἐμπεδοκλῆς κατορθοῖ τῷ πεπερασμένας ὑποτίθεσθαι τὰς ἀρχάς.

ΠΑΝΤΕΣ δὲ τἀναντία ἀρχὰς ποιοῦσιν.

Ἀντειπὼν κατ' ἀρχὰς πρὸς τὴν παρμενίδου καὶ μελίσσου δόξαν, καὶ δείξας ὅτι ἀδύνατον ἓν εἶναι τὸ ὄν, οὔτε γὰρ ἀρχὴ δύναται εἶναι, οὔτε ἀπὸ τῆς ἀρχῆς, μετῆλθεν ἐπὶ τὰς τῶν φυσικῶν δόξας. καὶ εἰπὼν ὅτι οἱ μὲν, μίαν ὑποτίθενται τὴν ἀρχήν. οἱ δὲ, πλείους. καὶ οἱ μὲν ἀπείρους, οἱ δὲ πεπερασμένας. εἶτα ἤλεγξε τὴν ἀναξαγόρου δόξαν ἀπείρους τὰς ἀρχὰς ὑποτιθεμένου. ἀκόλουθον ἦν ἐφεξῆς δεῖξαι ὅτι οὐδὲ πλείους ἐνδέχεται εἶναι καὶ πεπερασμένας. τούτου γὰρ δειχθέντος, κατελιμπάνετο τὸ ἀληθὲς ὅτι ἓν εἶναι τὸ στοιχεῖον τὸ ὑλικόν. περὶ γὰρ τούτου αὐτῷ καὶ προέκειτο δεῖξαι. καὶ γὰρ ὅτε τὴν τῶν ἀρχῶν διαίρεσιν ἐποιεῖτο, ὅτι ἀνάγκη τὰς ἀρχὰς ἢ μίαν εἶναι ἢ πλείους, περὶ τῶν ὑλικῶν ἀρχῶν ἔλεγεν. ὅτι μὲν οὖν ἔστι τις ἀρχὴ τῶν φυσικῶν πραγμάτων, ἔδειξεν ἐν ἀρχῇ· μᾶλλον δὲ ἔλαβεν ὡς ὡμολογημένον ὅτι τῶν φυσικῶν πραγμάτων εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. παρεθέμεθα δὲ ἡμεῖς, καὶ τὸν θεοφράστου λόγον δι' οὗ ἐδείκνυ ἀρχὰς εἶναι τῶν φυσικῶν πραγμάτων. ἔδειξε δὲ ὁ ἀριστοτέλης αὐτὸ τοῦτο καὶ ἐν τοῖς πρὸς παρμενίδην καὶ μέλισσον λόγοις. πρῶτον μὲν τῷ ἀνελεῖν τὴν ὑπόθεσιν τὴν μάλιστα ἀναιροῦσαν τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων. αὕτη δέ ἐστιν ἡ λέγουσα ἓν εἶναι τὸ ὄν. ἑνὸς γὰρ ὄντος ὡς ἤδη εἶπον, ἀναιρεῖται καὶ ἡ ἀρχὴ καὶ τὰ ἀπὸ τῆς ἀρχῆς. ἐπειτα εἰ πλείω τὰ ὄντα, αὐτόθεν εἰσάγει ὅτι καὶ ἀπό τινός εἰσιν ἀρχῆς. ἐπεὶ γάρ ἐστι κοινωνία τις ἐν τοῖς πολλοῖς καὶ διαφορά, αὕτη δὲ μήτε ἀπὸ ταυτομάτου αὐτοῖς ἐπεγένετο, μήτε ἐξ ἑνὸς τοῖς λοιποῖς, ἐκεῖνο γὰρ ἂν εἴη ἀρχή, λείπεται τὸ ἔκ τινος ἄλλου ἀρχοειδεστέρου τὴν κοινωνίαν αὐτοῖς ἐφήκειν. ὅτι μὲν οὖν ἐστιν ἀρχὴ τῶν φυσικῶν, δῆλον. ταύτην δὲ ἀνάγκη ἢ μίαν εἶναι ἢ πλείους ἢ πεπερασμένας, ἢ ἀπείρους. ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἀπείρους εἶναι τὰς ἀρχάς, ἔδειξεν ἐν τοῖς πρὸς ἀναξαγόραν λόγοις. καὶ εἰκότως ταύτην πρώτην ἤλεγξε τὴν ὑπόθεσιν, διότι μᾶλλον αὐτῇ τῇ ἀληθείᾳ μάχεται, λέγω δὲ τῇ λεγούσῃ μίαν εἶναι τὴν ὑλικὴν ἀρχήν. εἰ οὖν μία ἐστὶν ἡ ὑλικὴ ἀρχὴ καὶ οὐκ ἐνδέχεται πλείους εἶναι, πολλῷ μᾶλλον οὐδ' ἀπείρους. ἀκόλουθον ἦν δεύτερον ἐλέγξαι ὅτι οὐδὲ πλείους καὶ πεπερασμένας ἐνδέχεται εἶναι, ἵνα οὕτω λοιπὸν τὸ ἀληθὲς καταλείπηται ὅτι μία ἐστὶν ἡ ὑλικὴ ἀρχή. ὁ δὲ, τοῦτο μὲν οὐ ποιεῖ, μεταβαίνει δὲ πρῶτον ἐπὶ τὰς εἰδικὰς ἀρχάς. εἶτα ὕστερον ἀνατρέχει ἐπὶ τὸ λεῖπον. καὶ δείκνυσιν ὅτι οὐδὲ πλείους καὶ πεπερασμένας ἐνδέχεται τὰς ὑλικὰς ἀρχὰς εἶναι. δείξας γὰρ ὅτι τὰς εἰδικὰς ἀρχὰς δεῖ ἐναντίας εἶναι, ἵνα τῷ δρᾶν καὶ πάσχειν εἰς ἀλλήλας τὴν γένεσιν ποιῶσι καὶ τὴν φθορὰν διὰ τὸ μήτε τὸ τυχὸν εἰς τὸ τυχὸν ποιεῖν, μήτε τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος πάσχειν, ἀλλὰ τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου, ἐπαπορεῖ τῷ λόγῳ. καὶ δείξας ὅτι οὐχ οἷόν τε μόνας εἶναι τὰς ἐναντίας ἀρχάς, οὐδὲ γὰρ ἐνδέχεσθαι αὐτὰ εἰς ἑαυτὰ ποιεῖν καὶ πάσχειν, εἴγε μηδὲ συνεῖναι ὅλως αὐτὰ καθ' αὑτὰ δύναται, δεῖ δὲ τὸ ποιοῦν καὶ πάσχον συνελθεῖν εἰς ταυτὸν, ἀναγκαίως εἰσάγει τὸν περὶ τῆς ὕλης λόγον. ὅτι δεῖ τρίτην καὶ ἑτέραν τινὰ ἀρχὴν εἶναι ὑποκειμένην τοῖς ἐναντίοις. ἥτις ἀνὰ μέρος ὑπ' αὐτῶν πάσχουσα, ποιήσει τὴν γένεσιν καὶ τὴν φθοράν. εἶτα τοῦτο λαβὼν, ἐλέγχει τὸ λοιπὸν τμῆμα τῆς διαιρέσεως τῶν ὑλικῶν ἀρχῶν ὅτι οὐκ ἐνδέχεται πολλὰς εἶναι καὶ πεπερασμένας. εἰ γὰρ ἀρκεῖ ἡ μία τοῖς ἐναντίοις ὑποκειμένη εἰς γένεσιν τῶν ὄντων, περιττὴ ἂν εἴη ἡ ἑτέρα. ταῦτα μὲν οὖν ἐν ἐκείνοις ἐξετάσομεν. τῆς γὰρ συνεχείας ἕνεκα τοῦ λόγου καὶ τῆς οἰκονομίας, ταῦτα ἡμῖν εἴρηται. τὸ δ' οὖν προκείμενόν ἐστι, δεῖξαι ὅτι ἀνάγκη τὰς εἰδικὰς ἀρχὰς ἐναντίας εἶναι. ὅτι οὖν ἐναντίαι εἰσὶ, πιστοῦται ἔκ τε τῆς τῶν παλαιῶν μαρτυρίας καὶ ἐκ τοῦ λόγου. καὶ γὰρ πάντες φησὶ τὰς ἀρχὰς ἐναντίας ὑπετίθεντο. καὶ οἱ ἓν καὶ οἱ πλείω λέγοντες τὰ ὄντα. καὶ γὰρ αὐτὸς ὁ παρμενίδης ἐν τοῖς πρὸς ἀλήθειαν ἓν εἶναι λέγων τὸ ὄν, ἐν τοῖς πρὸς δόξαν τὰς ἐναντίας ἀρχὰς ὑπετίθετο τὸ θερμὸν καὶ τὸ ψυχρόν. καλεῖ δὲ τὸ μὲν ψυ-

εἰ μὲν στήσεται ἡ ἔκκρισις, οὐχ ἅπαν ἐν παντὶ ἐνέσται· ἐν γὰρ τῷ λοιπῷ ὕδατι, οὐκ ἐνυπάρξει σάρξ. εἰ δὲ μὴ στήσεται, ἀλλ' ἀεὶ ἕξει ἀφαίρεσιν, ἐν πεπερασμένῳ μεγέθει ἴσα πεπερασμένα ἐνέσται, ἄπειρα τὸ πλῆθος. τοῦτο δ' ἀδύνατον.

Ἵνα μή τις εἴποι ὅτι οὐκ ἀνάγκη ἀεὶ ἀφαιρουμένων σαρκίων ἐκλείπειν τὴν ἐν τῷ ὕδατι σάρκα, εἰ μὴ ἴσα ἀεὶ ἀφῃρεῖτο, τῷ ὄντι ἀναγκαῖα ἦν ὑπολιπεῖν διὰ τὸ μετρεῖσθαι τὸ πεπερασμένον ὑπὸ τοῦ πεπερασμένου. νυνὶ δὲ τὰ ἀφαιρούμενα ἀεὶ ἐλάττονά ἐστιν. ὥστε οὐκ ἀνάγκη ἐκλείπειν, διότι τὸ συνεχὲς ἐπ' ἄπειρον ἐστὶ διαιρετόν. διὰ τοῦτο οὖν φησιν ὁ ἀριστοτέλης, ὅτι εἰ καὶ ἀεὶ ἐλάττονα ἀφαιροῖτο, ἀλλ' οὖν πάντως τινὸς μεγέθους οὐχ ὑπερέξει τὰ ἐκκρινόμενα κατὰ σμικρότητα. ἐπεὶ οὖν ὥρισται τὸ ποσὸν τῆς σαρκὸς, οὐχ ὑπερέξει δηλονότι κατὰ τὸ ἔλαττον τῆς ἐλαχίστης σαρκὸς τὰ ἐκκρινόμενα, ἀλλὰ στήσεται ἡ τομὴ ἐν τῇ ἐλαχίστῃ σαρκί. πᾶσα οὖν ἀνάγκη, ἀεὶ λέγω δὴ τῶν ἐλαχίστων σαρκίων ἐκκρινομένων καταδαπανηθῆναι τὸ ὅλον, ἐπειδὴ τὸ πεπερασμένον ἀναιρεῖται ὑπὸ τοῦ πεπερασμένου. εἰ δὲ μὴ τοῦτο, ἴσα πεπερασμένα ἄπειρα τὸν ἀριθμὸν ἐνέσονται ἐν τῷ πεπερασμένῳ, ὅπερ ἀδύνατον. τὸ δὲ οὐχ ὑπερέξει μέγεθός τι τῇ σμικρότητι, ἀντὶ τοῦ οὐ παντὸς μεγέθους ἔλαττον τὸ ἐκκρινόμενον δυνατὸν ἐκκρίνεσθαι, κἂν ἀεὶ ἔλαττον ἐκκρίνηται. ἔστι γάρ τι τὸ τῆς ἐλαχίστης σαρκὸς μέγεθος οὗ ἔλαττον ἀδύνατον ἐκκριθῆναι.

ΠΡΟΣ δὲ τούτοις, εἰ ἅπαν μὲν σῶμα ἀφαιρεθέντος τινὸς, ἔλαττον ἀνάγκη γίνεσθαι, τῆς δὲ σαρκὸς ὥρισται τὸ ποσὸν καὶ μεγέθει καὶ σμικρότητι, φανερὸν ὅτι ἐκ τῆς ἐλαχίστης σαρκὸς οὐδὲν ἐκκριθήσεται σῶμα. ἔσται γὰρ ἔλαττον τῆς ἐλαχίστης.

Ἕτερον ἐπιχείρημα τὸ τρίτον ἀπὸ τῆς ἀρχῆς. ὅτι εἰ ὥρισται τὸ ποσὸν τῆς σαρκὸς, ἀδύνατον ἐκ τῆς ἐλαχίστης ἐκκριθῆναί τι. εἰ γὰρ ἐκκριθείη ἐξ αὐτῆς τι, γενήσεται ἐλάττων τῆς ἐλαχίστης σαρκὸς, ὅπερ ἀδύνατον. τοῦτο δὲ διότι ἅπαν σῶμα, ἀφαιρεθέντος τινὸς, ἔλαττον γίνεται. τοῦτο δὲ διότι πᾶν πεπερασμένον καταμετρεῖται ὑπὸ παντὸς πεπερασμένου.

ΕΤΙ δ' ἐν τοῖς ἀπείροις σώμασιν, ἐνυπάρχοι ἂν ἤδη σὰρξ ἄπειρος, καὶ αἷμα, καὶ ἐγκέφαλος.

Τέταρτον τοῦτο ὅτι συμβήσεται ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἀπείρων ὄντων, καὶ πάλιν ἐν ἑκάστῃ τῶν ἀπείρων, ἄλλων ἀπείρων ἐνυπαρχόντων, καὶ τοῦτο ἐπ' ἄπειρον, ἀπειράκις τὸ ἄπειρον εἶναι.

ΚΕΧΩΡΙΣΜΕΝΑ μέντοι ἀπ' ἀλλήλων. οὐδὲν δὲ ἧττον ὄντα καὶ ἄπειρον ἕκαστον. τοῦτο δ' ἄλογον.

Κεχωρισμένα εἶπεν ἀντὶ τοῦ κατ' ἐνέργειαν καὶ τοῖς τόποις διαλημμένα. οὐχ ὥσπερ ἐν τῇ ὕλῃ λέγομεν δυνάμει πάντα ἐνυπάρχειν. οὐ γὰρ οὕτως ἔλεγεν ὁ ἀναξαγόρας πάντα ἐν ἀλλήλοις ὑπάρχειν, ὥσπερ ἡ ὕλη λέγεται πάντα δυνάμει, ἀλλ' ὥσπερ ἐν τῇ πανσπερμίᾳ πάντα ἐνυπάρχει, κριθὴ καὶ σῖτος, καὶ τὰ λοιπὰ τῶν σπερμάτων ἐνεργείᾳ ὄντα. καὶ ἐνυπάρχουσιν οὖν φησιν ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἄπειρα σώματα, καὶ οὐδὲν ἧττον ἕκαστον τῶν ἐνυπαρχόντων καὶ αὐτὸ ἄπειρόν ἐστιν. ἔστι γὰρ καὶ ἐν ἐκείνῳ ἄπειρα.

ΤΟ δὲ μηδέποτε διακριθήσεσθαι, οὐκ εἰδότως μὲν λέγεται, ὀρθῶς δὲ λέγεται. τὰ γὰρ πάθη, ἀχώριστα.

Ὅτι καὶ ὄντος ὁ κατὰ ἀναξαγόραν νοῦς τοῖς ἀδυνάτοις ἐπιχειρῶν, εἴπερ θέλει μὲν αὐτὸς διακρῖναι πάντα, τοῦτο δὲ γενέσθαι ἀδύνατον. ἀλλὰ τὸ μηδέποτε διακριθήσεσθαι πάντα εἰ καὶ ἀγνοῶν ἔλεγεν ὁ ἀναξαγόρας, ἀλλ' οὖν ὀρθῶς ἔλεγεν. αὐτὸς μὲν γὰρ τὰ σώματα ἔλεγε μηδέποτε ἀπ' ἀλλήλων διακριθήσεσθαι. ἤτοι κατὰ πάθη καὶ τὰς ἕξεις, οὐ διὰ τὸ μὴ φύσιν ἔχειν καθ' αὑτὰς ὑποστῆναι, ἀλλὰ διὰ τὸ τὴν μῖξιν μὴ δύνασθαι εἰλικρινῶς χωρίσαι τὰ μιχθέντα. ὥσπερ εἴ τις καὶ τοῦ οἰνομέλιτος ἔτι μὴ ἐνδέχεσθαι τὸν οἶνον καὶ τὸ μέλι χωρισθῆναι. εἰ οὖν ἐν πᾶσι καὶ τὰ πάθη καὶ αἱ ἕξεις εἰσὶν ἃ καθ' αὑτὰ ὑποστῆναι οὐ πέφυκε, ζητεῖ δὲ καὶ ταῦτα χωρίσαι νοῦς ἐπειδὴ πάντα βούλεται διακρῖναι, ἀνόητος ἂν εἴη τοῖς ἀδυνάτοις ἐπιχειρῶν.

ΕΙ οὖν μέμικται τὰ χρώματα, καὶ αἱ ἕξεις, ἐὰν διακριθῶσιν, ἔσται τι λευκὸν ἢ ὑγιεινὸν, οὐχ ἕτερόν τι ὄν, οὐδὲ καθ' ὑποκειμένου. ὥστε ἄτοπος τὰ ἀδύνατα ζητῶν ὁ νοῦς, εἴπερ βούλεται μὲν διακρῖναι, τοῦτο δὲ ποιῆσαι ἀδύνατον, καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. καὶ κατὰ μὲν τὸ ποσὸν, ὅτι οὐκ ἔστιν ἐλάχιστον μέγεθος. κατὰ δὲ τὸ ποιὸν, ὅτι οὐκ ἔστιν ἀχώριστα τὰ πάθη.

Οὐ γάρ ἐστιν αὐτὸ καθ' αὑτὸ λευκόν τι. ἀλλὰ δεῖ πρότερόν τι ἕτερον εἶναι, εἶτα λευκὸν ἢ μέλαν εἶναι ἢ τι τοιοῦτον. τὸ γὰρ λευκὸν, ἢ ἄνθρωπός ἐστιν, ἢ ἵππος, ἢ ψιμμύθιον, ἤ τι ἄλλο. ἐὰν οὖν χωρισθῶσι τὰ πάθη, ἔσται τι λευκὸν, ὃ οὔτε ἄνθρωπός ἐστιν οὔτε ἕτερόν τι, οὐδ' ὅλως ἐν ὑποκειμένῳ τινὶ τὸ εἶναι ἔχον. ὅπερ ἀδύνατον. τὸ δὲ καθ' ὑποκειμένου, ἀντὶ τοῦ ἐν ὑποκειμένῳ εἶπε. τοῦτο δὲ πολλαχοῦ εἶπεν.

ΟΥΚ ὀρθῶς δὲ οὐδὲ τὴν γένεσιν λαμβάνει τῶν ὁμοειδῶν. ἔστι γὰρ ὡς ὁ πηλὸς εἰς πηλοὺς διαιρεῖται. ἔστι δ' ὡς οὔ.

Ὅτι κακῶς λαμβάνει, ἐκ τῶν ὁμοίων γίνεσθαι τὰ γινόμενα. γίνεται μὲν γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου. καὶ ἵππος ἐξ ἵππου. γίνεται δὲ καὶ ἐξ ἀνομοειδῶν. ἐξ ἵππου γὰρ σφῆκες σηπομένου, καὶ ἐκ ταύρων μέλισσαι, καὶ ἐξ ὕδατος ἀὴρ, καὶ ἐκ τούτου πῦρ. κακῶς οὖν ἐλάμβανεν, ὅτι ἐξ ὁμοειδῶν πάντως ἡ γένεσις. ἐλάμβανε δὲ τοῦτο, διὰ τὸ μηδὲν οἴεσθαι ἐκ τοῦ μὴ ὄντος γίνεσθαι. ἔκτοτε δὲ γινόμενα, μὴ ὄντος τοῦ

ποσόν εἰσιν. ἀλλ' εἰ καὶ τοῦτο οὕτως ἔχει, πάντως ὥρισται τὸ ποσὸν τῶν ὁμοιομερειῶν ἐξ ὧν ἡ τοῦ ἀνθρώπου σὰρξ σύγκειται. ἔστωσαν οὖν πέντε τινὲς ὁμοιομέρειαι σαρκὸς αὗ, πότερον ἐπ' ἄπειρον μειοῦνται, ἢ οὔ. εἰ μὲν οὖν ἐπ' ἄπειρον μειοῦνται, ἥξουσι πάντως εἴς τι μέγεθος, ἐν ᾧ ἀδύνατον εἶναι τὴν τοῦ ἀνθρώπου σάρκα οἷον ἐν δακτυλιαίῳ, ἢ ἐν κέγχρου μεγέθει. ὥστε εἰ ἀδύνατον τὸν ἄνθρωπον ἐπὶ τοσοῦτον μειωθῆναι, δῆλον ὅτι καὶ τὰς τῆς σαρκὸς ὁμοιομερείας. ὥστε εἰς τὸ αὐτὸ πάλιν περιάγεται ὁ λόγος. εἰ δέ τις εἴποι ὅτι αἱ μὲν ὁμοιομέρειαι πεφύκασιν ἐπ' ἄπειρον μειοῦσθαι, τὸ δὲ σύνθετον οἷον ὁ ἄνθρωπος οὐ πέφυκε σώζεσθαι ἐπὶ πολὺ, μειουμένων τῶν ὁμοιομερειῶν. ἐπεὶ καὶ καθ' ὑμᾶς τῆς σαρκὸς δηλονότι ἐν ἐλάττονι πολὺ μεγέθει δυναμένης συστῆναι, εἴπερ ἡ τοῦ ἀνθρώπου σὰρξ ἔστιν οἵα ἐστὶν ἥ τε τῶν παιδίων καὶ τῶν ἐμβρύων, ὅμως ἐν τῷ τελείῳ ζώῳ, οὐ φθαίνει πολύ τι μειωθῆναι πρὶν φθαρῇ τὸ ζῶον. οὕτως εἰ καὶ ἐπ' ἄπειρον αἱ ὁμοιομέρειαι τέμνονται, ἀλλ' οὐ τὸ ὅλον ζῶον πέφυκεν ἐν τῇ ὁποσηοῦν ἐχούσῃ ὁμοιομερείᾳ συνίστασθαι. ἀλλ' οὗτος ὁ λόγος οὐ σωζόντων ἐστὶ τὰς ἀναξαγορείους ὑποθέσεις, ὃς ἔλεγεν οὐδὲν ἕτερον εἶναι τὸ σύνθετον καὶ τὸ ὅλον, ἢ τὴν συνδρομὴν τῶν ὁμοιομερειῶν. ἡμῖν μὲν γὰρ τοῖς λέγουσιν ὅτι τῇ τοιᾷδε τῶν στοιχείων συνθέσει καὶ κράσει ἔξωθεν ἐπιγίνονται τὰ εἴδη ἕτερα ὄντα παρὰ τὰ ὑποκείμενα, εὐλόγως τοῦτο ἕπεται. οὐ γὰρ ὁποσονοῦν ἐχουσῶν τῶν ὁμοιομερειῶν πέφυκε τὸ εἶδος ἐπιγίνεσθαι. ἀναξαγόρᾳ δὲ μηδὲν ἕτερον ἐπιγίνεσθαι ἔξωθεν λέγοντι παρὰ τὰ ὁμοιομερῆ, ἀλλὰ πάντως ἐν τοῖς ἁπλοῖς εἶναι τὰς ὁμοιομερείας. καὶ γὰρ καὶ ὀφθαλμοῦ φέρε εἰπεῖν τῶν διαφόρων χιτώνων, καὶ τριχῶν, καὶ αὐτὰ τὰ χρώματα καὶ πάσας τὰς ἐν τῷ συνθέτῳ ποιότητας ὑπάρχειν ἐν τοῖς ἁπλοῖς, εὔλογον τὸ ἕπεσθαι, πάντως τῇ τῶν ὁμοιομερειῶν μειώσει καὶ τὸ ὅλον συμμειοῦσθαι. διατί γὰρ οὐχ ὥσπερ πλείοις, ἢ μείζοις ὁμοιομέρειαι συνελθοῦσαι ὀφθαλμοῦ, ποιοῦσι τὸν μέγαν ὀφθαλμὸν, οὕτω καὶ μικρόν; ὥστε ἀναγκαίως ἀληθὲς ἂν εἴη τὸ συνημμένον ὅσον ἐπὶ ταῖς ἀναξαγόρου ὑποθέσεσι. τί ποτε δέ ἐστιν ὅλως τὸ λέγειν τὴν ἀνθρώπου σάρκα ἐκ πλειόνων συνεστάναι σαρκίων. διατί γὰρ καὶ τῶν πλειόνων τούτων σαρκίων ἕκαστον, οὐκ ἐκ πλειόνων συνέστηκεν, εἴγε ἐπ' ἄπειρον τῶν ὁμοιομερειῶν ἡ τομή. ὥστε οὐδὲ ὅλως μία τις ὁμοιομέρεια ἔσται, ἢ καὶ ἡ τοῦ ἀνθρώπου σὰρξ μία. συμβήσεται δὲ κἀκεῖνο γελοῖον ὄν, τὴν μὲν τοῦ ἐλέφαντος σάρκα ἐξ ἐλαττόνων σαρκίων συγκεῖσθαι, τὴν δὲ τοῦ κώνωπος ἐκ πλειόνων. οὐδὲν γὰρ ἔτι διοίσει τὸ ἐκ πλειόνων ἢ ἐλαττόνων λέγειν, ἀορίστου τοῦ μεγέθους τῶν ἀρχῶν ὑπάρχοντος καὶ ἐπὶ τὸ μεῖζον καὶ ἐπὶ τὸ ἔλαττον.

ΛΕΓΩ δὲ τῶν τοιούτων τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. εἰ δ' ἀδύνατον ζῶον ἢ φυτὸν ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα, φανερὸν ὅτι οὐδὲ τῶν μορίων ὁποσονοῦν. ἔσται γὰρ καὶ τὸ ὅλον ὁμοίως. σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα, μόρια ζώου. καὶ οἱ καρποὶ τῶν φυτῶν. δῆλον τοίνυν ὅτι ἀδύνατον σάρκα ἢ ὀστοῦν ἢ ἄλλο τι ὁπηλικονοῦν εἶναι τὸ μέγεθος ἢ ἐπὶ τὸ μεῖζον, ἢ ἐπὶ τὸ ἔλαττον.

Διττῶς τὸ ἐνυπάρχον δυνατὸν ἐκλαβεῖν. ἢ ὡς πρὸς τὸ μέρος, ἢ ὡς πρὸς τὸ ὅλον. πρὸς τὸ μέρος μὲν οὕτως. μόρια δέ φησι ταῦτα λέγω ἅτινα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν ὑφεστήκασι καὶ οὐ φθείρονται. ἀεὶ γὰρ ἀπόρροιαί τινες ἐκ τοῦ σώματος γίνονται. τὰ οὖν ἀπορρέοντα σώματα καὶ μετὰ τὴν ἐκ τοῦ ὅλου διαίρεσιν, δύναται καὶ καθ' ἑαυτὰ ὑποστῆναι. εἰ δὲ τὸ ἐνυπάρχον πρὸς τὸ ὅλον ἀκουσόμεθα, οὕτω. μόρια φησὶ λέγω ταῦτα, ὧν καὶ διαιρεθέντων ἐκ τοῦ ὅλου, οὐδὲν ἧττον σώζεται τὸ ὅλον. τοιαῦτα δέ ἐστιν ὡς εἴπομεν τὰ ἀεὶ ἐξ ἡμῶν ἀπορρέοντα σώματα. ὁ μὲν νοῦς οὗτος. προσέθηκε δὲ τοῦτο, ἐπειδὴ εἶπεν οὐ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι. ἵνα μή τις ὑπολάβῃ μόρια αὐτὸν λέγειν τοῦ ὅλου τὴν ὕλην καὶ τὸ εἶδος, διὰ τοῦτό φησιν ὅτι ταῦτα λέγω τὰ μόρια ἅτινα καὶ μετὰ τὴν διαίρεσιν τὴν ἐκ τοῦ ὅλου, καθ' ἑαυτὰ ὑφέστηκεν, ἤγουν διαιρεθέντα, οὐ φθείρει τὸ ὅλον. ὧν οὐδέτερον τῷ εἴδει καὶ τῇ ὕλῃ ὑπάρχει. χωρισθείσης γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, οὔτε τὸ ὅλον σώζεται ἔτι, οὔτε καθ' ἑαυτὰ ὑποστῆναι δύναται. ταῦτα δὲ οὐδὲ μόρια ἐστὶ τοῦ συνθέτου, ἀλλὰ στοιχεῖα. διὸ οὐδὲ διαιρεῖσθαι λέγοιτο ἂν αὐτοῦ. διαίρεσις μὲν γὰρ ἐπὶ τῶν μορίων λέγεται. ἀνάλυσις δὲ ἐπὶ τῶν στοιχείων. σὰρξ δὲ καὶ τὰ τοιαῦτα μόρια ζώου, καὶ οἱ καρποὶ τῶν φυτῶν. ὥσπερ γὰρ τὸ ζῶον ἀνομοιομερές ἐστιν, οὕτω δὴ καὶ τὰ φυτά. μόρια γὰρ τοῦ φυτοῦ, πρέμνος. κλάδος. φλοιός. φύλλα. καρποί. ἐντεριώνη, καὶ εἴ τι τοιοῦτον. ἅπερ ἑτεροειδῆ ἐστι. πρὸς ἑαυτὸ δὲ ἕκαστον, ὁμοιομερές.

ΕΤΙ εἰ τὰ πάντα μὲν ἐνυπάρχει τὰ τοιαῦτα ἐν ἀλλήλοις, καὶ μὴ γίνεται, ἀλλ' ἐκκρίνεται ἐνόντα. λέγεται δ' ἀπὸ τοῦ πλείονος, γίνεται δὲ ἐξ ὁτουοῦν ὁτιοῦν. οἷον ἐκ σαρκὸς ὕδωρ ἐκκρινόμενον, καὶ σὰρξ ἐξ ὕδατος. ἅπαν δὲ σῶμα πεπερασμένον, ἀναιρεῖται ὑπὸ σώματος πεπερασμένου. φανερὸν ὅτι οὐκ ἐνδέχεται ἐν ἑκάστῳ ἕκαστον ὑπάρχειν.

Τὸ δεύτερον τῶν ἐπιχειρημάτων βούλεται ἐκθέσθαι. εἶτα εἰπὼν τὴν ἀναξαγόρου δόξαν πρὶν συναγαγεῖν τὸ ἑπόμενον, τίθησι τὸ δεύτερον ἀξίωμα ἐπειδὴ δι' ἀμφοτέρων τὸ πρῶτον συμπεραίνει ἐπιχείρημα. ἅπαν δὲ σῶμά φησι πεπερασμένον, ἀναιρεῖται ὑπὸ σώματος πεπερασμένου. τὸ δὲ ἀναιρεῖται, ἀντὶ τοῦ καταμετρεῖται. τὸ γὰρ μειούμενον ἴσῳ ἀεὶ τῷ μέτρῳ ἀφαιρούμενον, ἐπιλείπει καὶ καταδαπανᾶται.

ΑΦΑΙΡΕΘΕΙΣΗΣ γὰρ ἐκ τοῦ ὕδατος σαρκὸς, καὶ πάλιν ἄλλης γινομένης ἐκ τοῦ λοιποῦ ἀποκρίσει, εἰ καὶ ἀεὶ ἐλάττων ἔσται ἡ ἐκκρινομένη, ἀλλ' ὅμως οὐχ ὑπερβάλλει μέγεθός τι τῇ σμικρότητι. ὥστε

σαρκὸς ἐκκριθήσεταί τι, ἔσται ἔλαττον τῆς ἐλαχίστης, ὅπερ ἀδύνατον. οὐκ ἄρα πάντα ἐν πᾶσι. τέταρτον ἐπιχείρημα, εἰ πάντα ἐν παντί φησιν, ἐπ' ἄπειρον δὲ καὶ ἡ ἔκκρισις, ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἔσονται σάρκες ἄπειροι καὶ ὀστᾶ ἄπειρα καὶ πάντα ἁπλῶς. καὶ πάλιν ἐν ἑκάστῃ σαρκὶ τῇ ἐν τῇ ὁμοιομερείᾳ ἢ αἵματι ἢ ἄλλῳ τινὶ πάλιν πάντα ἄπειρα ἔσονται. καὶ πάλιν ἐν ἑκάστῳ ἐκείνων ἄπειρα. ὥστε ἐν ἑκάστῃ ὁμοιομερείᾳ ἀπειράκις ἔσται τὸ ἄπειρον. οὗ τί ἂν γένοιτο καταγελαστότερον, ἐν τῇ ἐλαχίστῃ σαρκὶ ἀπειράκις ἄπειρα εἶναι σώματα καὶ πλήθει καὶ μεγέθει. πλήθει μέν, διότι διῄρηται ἀπ' ἀλλήλων μόνον ἁπτόμενα. μεγέθει δέ, ὅτι τὸ ἐξ ἀπείρων συγκείμενον, ἄπειρόν ἐστιν. οὐ μόνον δὲ ἑκάστη ὁμοιομέρεια ἀπειράκις ἄπειρα περιέξει, ἀλλὰ καὶ οἱ τόποι ἀπειράκις ἄπειροι ἔσονται. διῃρημέναι γάρ εἰσιν ἀπ' ἀλλήλων ὅσαι μὴ συνυπάρχουσιν, ἀλλ' ἔφθησαν διακριθῆναι. καὶ αὗται δὲ ἄπειροί εἰσιν. ὥστε καὶ οἱ περιέχοντες αὐτὰς τόποι ἄπειροι, καὶ μεταξὺ οἷς διείργονται. ἀπειράκις οὖν τὸ ἄπειρον εὑρίσκομεν. ὅπερ ἐστὶ καταγέλαστον. πέμπτον, ὅτι ἀνόητός φησιν ἐστὶν ὁ ἀναξαγόρου νοῦς. εἰ γὰρ βούλεται μὲν πάντα διακρῖναι καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, ἵνα μήτε αἱ διάφοροι ὁμοιομέρειαι ἐν ἀλλήλαις ὦσιν, οἷον σαρκὸς ὀστοῦ καὶ τῶν λοιπῶν. μήτε αἱ τῷ εἴδει μὲν αἱ αὐταὶ ἀριθμῷ δὲ διάφοροι. οἷον αἱ τῆς σαρκὸς ὁμοιομέρειαι. τοῦτο δὲ οὐ δύναται διά τε τὸ ἐπ' ἄπειρον εἶναι τὸ μέγεθος διαιρετόν, καὶ διὰ τὸ μὴ οἷόν τε ποτὲ τὰς διαφόρους ὁμοιομερείας εἰλικρινεῖς εἶναι, ἀνόητος ἂν εἴη ὁ νοῦς τοῖς ἀδυνάτοις ἐπιχειρῶν. τὸ δὲ μήποτέ φησι διακριθήσεσθαι τὰ πράγματα, ὀρθῶς μὲν λέγεται παρὰ ἀναξαγόρου, οὐκ εἰδότος δέ. εἰσὶ γὰρ ἐν τοῖς οὖσι καὶ τὰ συμβεβηκότα καὶ αἱ ἕξεις. ἅτινα οὐδέποτε χωρισθῆναι δύναται τῶν ὑποκειμένων. εἰ τοίνυν πάντα βούλεται χωρίσαι ὁ νοῦς, δηλονότι καὶ τὰ συμβεβηκότα καὶ τὰς ἕξεις. πάντα δὲ ἀδύνατον χωρίσαι. ἀνόητος ἄρα τὰ ἀδύνατα ζητῶν ὁ νοῦς. κακῶς δὲ λαμβάνει φησὶ καὶ τὸ ἐκ τῶν ὁμοειδῶν γίνεσθαι τὰ γινόμενα. ἔστι μὲν γάρ φησιν ὡς ἐκ τῶν ὁμοειδῶν γίνεται τὰ γινόμενα. γίνεται γὰρ πηλὸς ἐκ πηλῶν ὁμοειδῶν, μείζων ἐκ τῶν μικροτέρων. γίνεται δὲ καὶ ἐξ ἀνομοειδῶν, ἐξ ὕδατος καὶ γῆς. καὶ οἰκία δὲ ἐκ πλίνθων καὶ ξύλων ἀνομοειδῶν ὄντων γίνεται. ὥστε κακῶς ἐλάμβανε τὰ γινόμενα ἐξ ὁμοειδῶν πάντως γίνεσθαι. καὶ οὐκ ἐπὶ τεχνητῶν μόνον, ἀλλὰ καὶ ἐπὶ φυσικῶν τοῦτο ὁρῶμεν. ἐκ γὰρ ξύλων πῦρ, καὶ ἐξ ὕδατος ἀήρ, καὶ ἐκ τῶν σηπομένων σωμάτων διάφορα γίνεται ζῶα, οὐ μόνον ἐξ ἐμψύχων, ἀλλὰ καὶ ἐξ ἀψύχων. ταῦτα εἰπών, φησὶν ὅτι εἰ δυνατὸν τὰ αὐτὰ ἐξ ἀπείρων καὶ ἐκ πεπερασμένων γεννῆσαι, κάλλιον τὸ ἐκ πεπερασμένων γεννᾶν ἢ ἐξ ἀπείρων. τὸ γὰρ ἄπειρον ἄγνωστον. ὥστε κρείττων ὁ ἐμπεδοκλῆς τοῦ ἀναξαγόρου ὅσον ἐπὶ τούτῳ, πεπερασμένας ὑποτιθέμενος τὰς ἀρχάς. » Εἰ δὴ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον ἄγνωστον. » Τὸ πρῶτον ἐπιχείρημα τὸ ἐνστατικόν. τὸ ἄπειρον ἢ τῷ ποσῷ ἐστὶν ἄπειρον, ἢ τῷ ποιῷ. καὶ τὸ μὲν κατὰ ποιὸν ἄπειρον, πάντως καὶ κατὰ ποσόν. εἰ γὰρ εἴδη εἶεν ἄπειρα, ἀνάγκη καὶ τὰ ὑποκείμενα αὐτοῖς ἄπειρα εἶναι. εἰ δὲ τῷ ἀριθμῷ εἴη τὸ ἄπειρον, οὐκέτι ἕπεται τὸ καὶ τῷ εἴδει ἄπειρον εἶναι. δυνατὸν γὰρ ὑποτίθεσθαι ἄπειρα μὲν τῷ ἀριθμῷ τὰ ὑποκείμενα, ὁμοειδῆ δὲ πάντα. ὡς ἂν οὖν ἔχῃ τὸ ἄπειρον, οὕτως ἔχει καὶ τὸ ἄγνωστον. εἰ μὲν οὖν ἀπείρους τῷ ἀριθμῷ, τοῖς εἴδεσι δὲ πεπερασμένας ὑπετίθετο, ἐκ ποίων μὲν ἀρχῶν ἐστὶ τὰ πράγματα, δυνατὸν γνῶναι. ἐκ πόσων δ' οὐκέτι. ἐπειδὴ δὲ καὶ κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν ἀπείρους ὑπετίθετο τὰς ἀρχὰς ὁ ἀναξαγόρας, δῆλον ὅτι παντελῶς ἄγνωστοι αἱ ἀρχαί. τῶν δὲ ἀρχῶν οὐσῶν ἀγνώστων, καὶ τὰ ἐξ αὐτῶν ἄγνωστα. τότε γὰρ γινώσκεται τὰ σύνθετα, ὅταν γνῶμεν ἐκ πόσων καὶ ποίων ἀρχῶν σύγκειται.

» ΕΤΙ δ' εἰ ἀνάγκη οὗ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα, καὶ
» αὐτὸ ἐνδέχεσθαι.

Τὸ πρῶτον τῶν λημμάτων ὅτι ὥρισται τῆς σαρκός, καὶ τῶν λοιπῶν ἐστὶ τὸ μέγεθος ἐπί τε τὸ μεῖζον, ἐπί τε τὸ ἔλαττον, καὶ οὔτε ἐπ' ἄπειρον αὔξεται, οὔτε ἐπ' ἄπειρον μειοῦται. κατασκευάζει δὲ τοῦτο ἐκ τῶν ὅλων. λέγω δὲ τῶν συνθέτων, ὧν μόριά ἐστι τὰ ὁμοιομερῆ. κατασκευάζει δὲ διὰ τοῦ δευτέρου τῶν ὑποθετικῶν. ἔστι δὲ ὁ συλλογισμὸς οὗτος. εἰ τὰ μόρια ἐνδέχεται ἐπ' ἄπειρον αὔξεσθαι καὶ μειοῦσθαι, καὶ τὸ ὅλον. ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον σύγκειται. οὐδὲ γὰρ τὸ ὅλον αὔξεσθαι, ἢ μειοῦσθαι δυνατὸν τῶν μερῶν μὴ ηὐξημένων, ἢ μειωθέντων. ἀλλὰ μὴν τὸ ὅλον ἀδύνατον ἐπ' ἄπειρον αὔξεσθαι καὶ μειοῦσθαι. καὶ τὰ μόρια ἄρα. ὥστε ἕστηκε τὸ ποσὸν τῶν μορίων ἐπί τε τὸ μεῖζον, ἐπί τε τὸ ἔλαττον. ἔστιν ἄρα τις ἐλαχίστη σὰρξ καὶ ὀστοῦν, ὥσπερ οὖν καὶ μεγίστη. ἀλλ' ἴσως ἀντιλέγει τις τῷ συνημμένῳ τὸν ὑπὲρ ἀναξαγόρου λόγον ποιούμενος, ὅτι οὐκ ἀνάγκη εἰ ἐπ' ἄπειρον ἡ τῶν ὁμοιομερῶν γίνεται μείωσις, ἤδη καὶ τὰ ζῶα καὶ τὰ φυτὰ ἐπ' ἄπειρον μειοῦσθαι. εἰ μὲν γὰρ ἦν μία ἐν ἑκάστῳ ζώῳ σαρκὸς ὁμοιομέρεια, ἢ ὀστοῦ ἢ αἵματος, εὐλόγως ἄν, εἰ ηὔξει, ἢ ἐμειοῦτο τὸ μόριον, οὕτως αὔξειν καὶ μειοῦσθαι καὶ τὸ ὅλον. νῦν δὲ οὐχ οὕτως ἔχει. ἀλλὰ πλείους ὁμοιομέρειαι συνιοῦσαι σαρκός, ἢ ὀστοῦ, ἢ τῶν λοιπῶν, οὕτω ποιοῦσι τὴν τοῦ ζώου σάρκα, καὶ τὸ ὀστοῦν. οὐκ ἀνάγκη οὖν συμμειοῦσθαι ταῖς ὁμοιομερείαις τὸ ζῶον. δυνατὸν γὰρ πολλὰς ὁμοιομερείας κἂν μικραὶ ὦσι, συνθεῖναι τὸ τοῦ ζώου σῶμα, ὥσπερ φέρε εἰπεῖν τοὺς μὲν λίθους ἐξ ὧν ἡ οἰκία δυνατὸν ἐπ' ἄπειρον μειοῦσθαι, οὐκέτι μέντοι καὶ τὴν οἰκίαν, διότι ἐκ πλειόνων καὶ οὐκ ἐξ ἑνὸς λίθου σύγκειται. συγκέοιτο γοῦν ἡ αὐτὴ ποτὲ μὲν ἐξ ἐλαττόνων, εἰ μείζονες εἶεν. ποτὲ δὲ ἐκ πλειόνων, εἰ ἐλάττο-

τονδε

τὰ μέρη σάρκες ἂν εἶεν. ἔστιν ἄρα πάσης τῆς ληφθείσης σαρκὸς ἐλάττονα λαβεῖν, ἐπειδὴ καὶ πᾶσα σὰρξ ὁμοιομερής. πρὸς ταῦτα φαμέν, ὅτι τὴν σάρκα ἔστι λαβεῖν καὶ ὡς εἶδός τι, ἔστι καὶ ὡς μέγεθος. ὡς μὲν οὖν μέγεθος οὖσα ἡ σὰρξ, ἐπ' ἄπειρόν ἐστι διαιρετή. διὸ οὐδὲ ἔστι λαβεῖν ἐλάχιστον μέγεθος. ὡς μέντοι εἶδός τι οὖσαν, οὐκέτι δυνατὸν ἐπ' ἄπειρον διελεῖν. ἀλλὰ πάντως καταλήξει εἴς τινα ἐλαχίστην σάρκα. ἣν ἐὰν διέλωμεν, εὐθὺς ἅμα τῇ διαιρέσει τὸ τῆς σαρκὸς ἐφθείραμεν εἶδος. ὥσπερ γὰρ τὸν ἄνθρωπον ἔστι λαβεῖν καὶ ὡς ἄνθρωπον καὶ ὡς μέγεθος, καὶ ὡς μὲν μέγεθος, ἐπ' ἄπειρόν ἐστι διαιρετὸν, καὶ ἀεὶ εἰς ὁμοειδῆ μεγέθη, λέγω δὴ ἡ τομή. ἐὰν μέντοι διέλω ὡς ἄνθρωπον εἰς κεφαλὴν, καὶ πόδας, ἅμα τῇ διαιρέσει ἔφθαρται τὸ τοῦ ἀνθρώπου εἶδος, καὶ οὔτε ἐν τῷ ὅλῳ ἐστίν. οὐδὲ γάρ ἐστι τὸ ὅλον. οὔτε ἔν τινι τῶν μερῶν. ἄτομον γὰρ ὁ ἄνθρωπος. οὕτω λέγω καὶ ἐὰν τὴν ἐλαχίστην σάρκα τέμῃς, εὐθὺς τῇ τομῇ τὸ ὅλον ἔφθειρας. ἄτομος γὰρ ἡ ἐλαχίστη σάρξ. καὶ τὰ τμηθέντα μόρια μεγέθη μέν εἰσι, σάρκες δὲ οὔ. καὶ ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου κἂν μυριάκις συνθῇς τὰ μόρια, οὐκέτι ποιεῖς ἄνθρωπον, διότι οὐ μόνης τῆς συνθέσεως δεῖ τῶν μερῶν, ἀλλὰ καὶ τῆς ἐφιστατούσης φύσεως, καὶ ἐπιτιθείσης τὰ εἴδη, οὕτω λέγω καὶ ἐπὶ τῶν ὁμοιομερῶν, ὅτι κἂν μυριάκις συνθῇς τὰ μόρια τῆς τμηθείσης σαρκὸς, οὐκέτι ποιήσεις σάρκα, τῆς φύσεως μὴ συνυπαρχούσης. ὡς γὰρ τῶν ξύλων πάντων σωρευθέντων ἐξ ὧν ἡ ναῦς, οὐκ ἂν γένοιτο ναῦς. καὶ τῶν ξύλων καὶ λίθων πάντων ἐξ ὧν ἡ οἰκία, οὐκ ἂν γένοιτο, μὴ τῆς τέχνης ἐφιστατούσης, οὕτω κἂν τὰ μόρια τῆς σαρκὸς συντεθῇ, οὐκ ἂν γένοιτο σὰρξ μὴ ἐφιστατούσης τῆς φύσεως. ὁμοιομερὴς δὲ καὶ ἡ ἐλαχίστη σὰρξ, ἀλλ' ἐν ὅσῳ σώζει τὴν ὁλότητα. τότε γὰρ καὶ τὸ τῆς σαρκὸς εἶδος σώζει. τότε οὖν τὰ ἐν αὐτῇ ἀναλαμβανόμενα μέρη, σάρκες, ἐπειδὴ καὶ τὸ ὅλον. ἐπὰν δὲ διαιρεθῇ, οὐκέτι. ὥστε διὰ τούτων δέδεικται ὅτι ἔστιν ἐλαχίστη σάρξ. καὶ τοῦτο ἀκολούθως τῇ προόδῳ τῶν πραγμάτων συμβέβηκε. τὰ μὲν γάρ ἐστι τῶν ὄντων γενικώτατα καὶ κοινότατα, ἐπὶ πάντων τῶν ὄντων ἐκτεταμένα. οἷον τὸ ὂν καὶ τὸ ἕν. οὐδὲν γάρ ἐστιν ὃ μὴ τοῦ ἑνὸς, ἢ τοῦ ὄντος μετέχει. τὰ δὲ ἄτομα καλούμενα εἴδη ἐστένωται τοῖς κατηγορίαις διὰ τὸ μερικώτατα ὡς ἐν εἴδεσιν εἶναι, καὶ οὔτε ἐπὶ πλειόνων ἐστὶ κατηγορούμενα, ἀλλ' ὁ ἄνθρωπος ἐπὶ μόνων ἀνθρώπων. ὁ δὲ ἵππος ἐφ' ἵππων, οὔτε ἐφ' ὧν κατηγορεῖται ὡς ἔτυχεν ἐχόντων. οὔτε γὰρ ὁ νεκρὸς ἄνθρωπος, ἄνθρωπος, οὔτε τὸ μόριον τοῦ ἀνθρώπου ἔτι ἄνθρωπος. σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ ὁμοιομερῆ μέσην τάξιν ἔχοντα, ἐπ' ἐλαττόνων μέν ἐστιν ἢ τὸ ὂν καὶ τὸ ἕν. ἐπὶ πλειόνων δὲ ἢ τὰ ἄτομα εἴδη. σὰρξ μὲν γὰρ καὶ ὀστοῦν, καὶ ἐπὶ ἵππου καὶ ἐπὶ τῶν ἄλλων ζώων κατηγορεῖται, καὶ ἐπὶ τῶν μορίων αὐτοῦ. οὐκέτι μέντοι καὶ ἐπὶ τοῦ μορίου τῆς ἐλαχίστης σαρκὸς, ἢ τοῦ ὀστοῦ ὅταν διαιρεθῇ. τότε γὰρ σὰρξ μὲν ἢ ὀστοῦν οὐκέτ' ἂν αὐτῶν κατηγορηθείη. τὸ μέντοι ἓν καὶ τὸ ὂν, οὐδὲν ἧττον. εἰ γὰρ καὶ μὴ σάρκες εἰσὶ τὰ μόρια τῆς ἐλαχίστης σαρκὸς ἀλλ' οὖν ὄντα ἐστί. μεγέθη γάρ εἰσι καὶ σώματα. δεύτερον ἀξίωμα λαμβάνει, ὅτι πᾶν σῶμα πεπερασμένον μετρεῖται ὑπὸ σώματος πεπερασμένου, τὸ μεῖζον ὑπὸ τοῦ ἐλάττονος οἷον τὸ ἑκατονταπηχυαῖον μετρεῖται καὶ τῷ δεκαπηχυαίῳ δεκάκις, καὶ τῷ πηχυαίῳ ἑκατοντάκις. ἀλλὰ μὴν καὶ τῷ δακτυλιαίῳ, καὶ ἁπλῶς εἰπεῖν παντὶ πεπερασμένῳ ἐλάττονι τὸ μεῖζον μετρεῖται. τούτων προειλημμένων, δείκνυσιν ὅτι ἀδύνατον πάντα ἐν πᾶσιν εἶναι, καὶ τὴν ἔκκρισιν ἐπ' ἄπειρον γίνεσθαι. καὶ ἔστι πρῶτον μὲν ἐπιχείρημα πραγματειῶδες. ἀπὸ δὲ τῆς ἀρχῆς δευτέρας τοῦτο. εἰ ἐκ τῆσδέ φησι τῆς ὁμοιομερείας τοῦ ὕδατος ἐξάγοιτο ὁμοιομέρεια σαρκὸς, καὶ πάλιν ἄλλη, καὶ πάλιν ἄλλη καὶ ἄλλη, ἐπειδὴ πεπερασμένη ἐστὶν ἡ ἐν τῷ ὕδατι σὰρξ τῷ μεγέθει. ἐπειδὴ καὶ ἡ ὁμοιομέρεια ἐκείνη τοῦ ὕδατος πεπερασμένη ἐστὶ τῷ μεγέθει. πᾶν δὲ πεπερασμένον πεπερασμένων τινῶν ἀεὶ ἀφαιρουμένων καταδαπανᾶται, ἀνάγκη πᾶσαν ἀεὶ ἀφαιρουμένων ἐκ τῆς σαρκὸς τῆς ἐν τῷ ὕδατι σαρκίων τινῶν καταδαπανηθῆναι αὐτήν. οὐ γὰρ δὴ διὰ τὸ ἐπ' ἄπειρον εἶναι τὰ μεγέθη διαιρετὰ, ἀεὶ διαιρουμένη ἡ ἐν τῷ ὕδατι σὰρξ εἰς ἐλάττονα, καὶ οἷον διχοτομουμένη οὐκ ἐλλείψει. κἂν γὰρ ἀεὶ διχοτομῆται, ἥξει πάντως εἰς τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος. δέδεικται γὰρ ὅτι ἔστι τις ἐλαχίστη σάρξ. εἰ δὲ ἥξει εἰς τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος τεμνομένη ἡ ἐν τῷ ὕδατι σὰρξ, δῆλον ὅτι ἀφαιρεθέντος ἐκείνου, οὐκέτι ἐκκριθήσεται ἐκ τοῦ ὕδατος ἐκείνου σάρξ. εἰ δὲ τοῦτο, οὐκέτι πᾶν ἐν παντὶ ἔνεσται. οὐδὲ ἐπ' ἄπειρον ἡ ἔκκρισις. καὶ οὐδέν μοι διοίσει, κἂν αἱ ἐκκρινόμεναι σάρκες οὐκ εἰσὶ καθαραὶ, ἀλλὰ μεμιγμέναι ἑτέραις ὁμοιομερείαις. κἂν γὰρ μὴ καθαραὶ ἐξίωσιν ἐπειδὴ ἔχει ἡ ὑπόθεσις ἐπ' ἄπειρον γίνεσθαι τὴν ἔκκρισιν, ἀνάγκη πᾶσα κἂν τὰ ἀεὶ ἐκκρινόμενα σαρκία ἐλάχιστα ὦσι, καταδαπανηθῆναι τὴν ὅλην σάρκα τὴν ἐν τῷ ὕδατι διὰ τὸ δεύτερον ἀξίωμα τὸ λέγον μετρεῖσθαι τὸ πεπερασμένον ὑπὸ τοῦ πεπερασμένου. εἰ δὲ τοῦτο, οὐκ ἐπ' ἄπειρον ἡ ἔκκρισις. δυοῖν οὖν ἀνάγκη θάτερον, ἢ ἐπιλείψαι τὴν ἔκκρισιν τῆς σαρκὸς ὡς ὁ λόγος ἀπέδειξεν. ἢ εἰ ἐπ' ἄπειρον ἐκκρίνοιτο ἐκ τοῦ ὕδατος σαρκία, ἐπειδὴ ὥρισται τὸ ἐλάχιστον τῆς σαρκὸς μέγεθος, ἀνάγκη ἴσα ἄπειρα ἐν πεπερασμένῳ μεγέθει ὑπάρχειν. ὅπερ ἀδύνατον. παντὶ γάρ ἐστιν ἰδεῖν ἐν πεπερασμένῳ τὸ ἄπειρον ὑπάρχειν. τὸ γὰρ ἐξ ἀπείρων συνεστηκὸς, ἄπειρόν ἐστι. τρίτον ἐπιχείρημα τίθησι τοιοῦτον. εἰ ὥρισται τὸ ποσὸν τῆς σαρκὸς ἐπί τε τὸ μεῖζον, ἐπί τε τὸ ἔλαττον, ἀδύνατον ἐκ τῆς ἐλαχίστης ἐκκριθῆναι σαρκὸς ἑτέρόν τι. πᾶν γὰρ σῶμα πεπερασμένον ἀφαιρεθέντος τινὸς ἔλαττον γίνεται. ἐπειδὴ πᾶν πεπερασμένον ὑπὸ παντὸς ἐλάττονος πεπερασμένου καταμετρεῖται. ὥστε εἰ ἐκ τῆς ἐλαχίστης

Ἐκθέμενος τὴν ἀναξαγόρου δόξαν καὶ εἰπὼν ἐκ ποίας ἐννοίας εἰς τὴν ὑπόθεσιν ταύτην ἦλθεν, ὅτι ἐκ τοῦ μηδὲν ἐκ τοῦ μὴ ὄντος οἴεσθαι γίνεσθαι, καὶ ἐκ τοῦ τὰ ἐναντία ὁρᾶν ἐξ ἀλλήλων γινόμενα, νῦν τρέπεται ἐπὶ τὸν ἔλεγχον τῆς δόξης αὐτοῦ. καὶ τίθησι πλείονα ἐπιχειρήματα ἀνασκευαστικὰ τῆς ἀναξαγόρου δόξης. ὧν τὸ μὲν πρῶτον ἐντρεπτικόν ἐστιν, οὐκ ἐκ τῆς φύσεως τῶν πραγμάτων. ἀλλ' ὡς πρὸς τὸν ἀναξαγόραν, καὶ ἁπλῶς τὸ τοῦ ἐπιστήμονος πρόσωπον. δείκνυσι γὰρ ὅτι ἡ ὑπόθεσις αὕτη πᾶσαν ἀναιρεῖ τὴν ἐπιστήμην. ἔστι δὲ τὸ ἐπιχείρημα τοιοῦτον. εἰ αἱ ἀρχαὶ τῶν πραγμάτων ὁμοιομέρειαί εἰσιν, αἱ δὲ ὁμοιομέρειαι ἄπειροι, τὸ δὲ ἄπειρον ἄγνωστον τῇ αὐτοῦ φύσει, αἱ ἀρχαὶ ἄρα τῶν ὄντων ἄγνωστοι. εἰ δὲ αἱ ἀρχαὶ ἄγνωστοι, καὶ αὐτὰ ἄγνωστα. ἄγνωστα ἄρα τὰ ὄντα. ὥστε ἀνῄρηται ἐκ τῶν ὄντων ἡ ἐπιστήμη. εἴ γε καὶ ἡ γνῶσις. ἡ γὰρ ἐπιστήμη γνῶσίς τις. ἐπὶ πλέον γὰρ ἡ γνῶσις τῆς ἐπιστήμης. ἡ μὲν γὰρ ἐπιστήμη, περιορίζειν πέφυκε καὶ περιλαμβάνειν λόγῳ τὰ πράγματα. τὸ δὲ ἄπειρον λόγῳ περιορίζεσθαι ἀδύνατον. εὐθὺς γὰρ πεπερασμένον αὐτὸ ποιοῦμεν. εἴ γε ἄπειρόν ἐστιν, ᾧ ἀεὶ ἔξω τι τοῦ ληφθέντος ἔστιν εὑρεῖν. ἀναιρήσομεν ἄρα τῶν ἐπιστημῶν τὰς ἀκριβεστάτας. γεωμετρίαν. ἀστρονομίαν. καὶ αὐτὸς δὲ ὁ ἀναξαγόρας δῆλον ὡς ἐπιστήμην οἰόμενος ἔχειν τῶν ὄντων οὕτως ἡμᾶς διδάσκει περὶ αὐτῶν. ὥστε οὐκ εἰσὶν ἄπειροι αἱ ἀρχαὶ τῶν ὄντων, εἴπερ ἐπιστήμων ὁ ἀναξαγόρας. ἢ εἰ ἄπειροι, οὐκ ἐπιστήμων ἐκεῖνος. εἰ δὲ μὴ ἐπιστήμων, οὐ πεισόμεθα αὐτῷ ἀποφαινομένῳ περὶ ὧν οὐκ ἔγνωκε. πρῶτον μὲν οὖν ἐπιχείρημα τοῦτο ἐντρεπτικὸν ὡς εἶπον οὐ πραγματειῶδες. τοῦ δὲ δευτέρου ἐπιχειρήματος πραγματειωδεστέρου ὄντος, προλαμβάνει ἀξίωμά τι τοιοῦτον. τὰ εἴδη φησὶ πάντα, ἐν ὡρισμένῳ τινὶ ποσῷ πέφυκεν ὑφίστασθαι, καὶ οὔτε κατὰ μέγεθος εἰς ὁποιονοῦν πέφυκεν αὔξεσθαι, οὔτε ἐπὶ σμικρότητα εἰς ὁποιονοῦν μειοῦσθαι πέφυκεν. ἀλλ' ἔστι τις ὅρος ἐπί τε τὸ μεῖζον, καὶ ἐπὶ τὸ ἔλαττον. οὗ ἐπέκεινα ὑπάρξαι τὸ εἶδος οὐ δύναται. ἔστω δὴ πρῶτον ἡμῖν ὁ λόγος ὡς ἐπὶ τῶν τελειοτέρων εἰδῶν. ἐν τούτοις γὰρ ὡς φανερωτέροις, σαφέστερος ὁ λόγος. τὸ τοῦ ἀνθρώπου εἶδος δύναται μὲν πηχυαίῳ μεγέθει συστῆναι. δύναται δὲ καὶ ἐν τετραπήχει, ἢ πενταπήχει. οὐ μέντοι ἐπ' ἄπειρον αὔξεσθαι δύναται. οὐ γὰρ δὴ καὶ ἑκατοντάπηχυς γένοιτο ἂν ὁ ἄνθρωπος, καὶ ἴσος τῷ μεγέθει τῷ κόσμῳ. οὐ γὰρ δὴ τὸν ἐν ἐπινοίᾳ ἄνθρωπον λαμβάνομεν, ἀλλὰ τὸν ἐν ὑπάρξει. τοῦτον οὖν δῆλον ὅτι ἀδύνατον ἐπὶ πολύ τι μέγεθος, καὶ ὑπὲρ τὸ πᾶν αὔξεσθαι. ἀλλ' ἔστι τι ὡρισμένον μέγεθος, οὗ ἐπέκεινα αὐξηθῆναι οὐ δύναται. τὰ γὰρ εἴδη ἐπὶ πολύ τι ὑπεκτεινόμενα διϊστάμενα, ἐξίτηλα γίνεται. ὥσπερ οὖν ἐπὶ τὴν αὔξησιν ἀδύνατον ἐν παντὶ μεγέθει ὑπάρξαι τὰ εἴδη, οὕτω καὶ ἐπὶ τὴν μείωσιν. γένοιτο μὲν γὰρ πυγμαῖος ἄνθρωπος. οὐ μὴν καὶ δακτυλιαῖος, ἢ κεγχραμίδι ἴσος. οὐ γὰρ δύναται τὸ σμικρὸν πάνυ μέγεθος καταδέξασθαι τὸ εἶδος. ὥσπερ ἀμέλει καὶ τέκτων ἐν πηχυαίῳ μὲν ξύλῳ ποιήσει τὸ τῆς πλοίου εἶδος, ἐν δακτυλιαίῳ δὲ οὐκέτι. καὶ κεραμεὺς τὸ τοῦ ἀμφορέως εἶδος, οὐκ ἂν ποιήσειεν ἐν πηλῷ ἴσῳ κεγχραμίδι. ὥσπερ οὖν ἐπὶ τούτων ὡρισμένου τινὸς ποσοῦ χρεία ἐπί τε μέγεθος, καὶ σμικρότητα εἰς τὸ ὑπάρξαι τὰ εἴδη, οὕτω δηλονότι καὶ ἐπὶ τῶν ὁμοιομερῶν. εἴδη γάρ τινα καὶ τὰ ὁμοιομερῆ. ὥστε δηλονότι καὶ τὸ τῆς σαρκὸς εἶδος, καὶ τὸ τοῦ ὀστοῦ, καὶ τὸ τοῦ ὕδατος, οὔτε κατὰ μέγεθος ἐν τῷ τυχόντι συσταίη ἄν. οὐ γὰρ δὴ καὶ ἐν ἴσῳ, καὶ ἐν μείζονι τοῦ παντός. οὐ γὰρ ἂν ὑποσταίη τι τοιοῦτον. περὶ δὲ τῶν ἐν ὑποστάσει ὁ λόγος. οὔτε κατὰ σμικρότητα. ἀλλ' ἔστι τι πάντως μέγεθος οὗ ἐν τῷ ἐλάττονι οὐκ ἂν συσταίη τὸ εἶδος τῆς σαρκός. ἔστιν ἄρα τις ἄτομος καὶ ἐλαχίστη σάρξ. ὁμοίως καὶ ἐπὶ παντὸς ὁμοιομεροῦς. ὅτι δὲ τοῦτο οὕτως ἔχει, μάθοις ἂν καὶ ἐντεῦθεν. πάντα τὰ σώματα σύνθετα οὐχ ὡς ἔτυχε κεκραμένης τῆς ὕλης γίνεται. ἀλλ' ἕκαστον εἶδος δεῖται τοιᾶσδε κεκραμένης ὕλης, ἵν' οὕτως ἐπιτηδεία ἐκείνη πρὸς ὑποδοχὴν αὐτοῦ γενομένη ἐπιγίνηται. οὐ γὰρ ὡς ἔτυχε κεκραμένων τῶν στοιχείων ἐπιγένοιτ' ἂν αὐτοῖς τὸ τῆς σαρκὸς εἶδος, ἢ τὸ τοῦ ὀστοῦ, ἀλλὰ τὸ μὲν τῆς σαρκὸς εἶδος, δεῖται τοιᾶσδε κράσεως ὑποκειμένης. ἑτέρας δὲ τὸ τοῦ ὀστοῦ. καὶ ἄλλο ἄλλης. εἰ τοίνυν τοῦτο οὕτως ἔχει, ἔστι δὲ ὑποκείμενον τοῖς εἴδεσι τῶν συνθέτων σωμάτων, οὐ μόνον ποιότης τις, λέγω δὲ ἡ τοιάδε τῶν στοιχείων κρᾶσις, ἀλλὰ καὶ ποσότης, εὔλογον ὥσπερ ποιὸν οὐ τὸ τυχὸν ἐνδέχεται αὐτοῖς ὑποκεῖσθαι, οὕτω μηδὲ ποσὸν τὸ τυχὸν ὑπάρχειν. τίς γὰρ ἡ ἀποκλήρωσις, ἰσοτίμως καὶ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ ὑποκειμένων, ποιὸν μὲν μὴ τὸ τυχὸν παραλαμβάνεσθαι, ἀλλ' ὡρισμένον τι, ποσὸν δὲ τὸ τυχόν. ὥρισται ἄρα καὶ τὸ ποσὸν τὸ τοῖς εἴδεσιν ὑποκείμενον. ἔστιν ἄρα τις ἐλαχίστη σάρξ, καὶ ἐλάχιστον ὕδωρ, οὗ ἐν ἐλάττονι μεγέθει οὐκ ἂν συσταίη τὰ εἴδη ταῦτα. καὶ τοῦτο εἰκότως. εἰ γὰρ τὸ γενησόμενον σὰρξ πάσχει τι ὑπὸ τοῦ ποιοῦντος, εὔλογον ὥσπερ τὸ διαιρούμενον οὐ κατὰ τὸ τυχὸν ὂν μέγεθος διαιρεθείη ἄν, ἀλλ' ἐκφεύγει τὸ διαιροῦν διὰ σμικρότητα, κἂν τῇ δυνάμει διαιρετὸν ᾖ, οὕτω καὶ τὸ πεισόμενόν τι κατὰ ποιότητα οὐχ ὁπηλικονοῦν ὑπάρχον πάσχειν, ἀλλ' ἐκφεύγειν διὰ σμικρότητα τὸ πάθος. μὴ πάσχον δὲ οὐ δέξεται τὸ εἶδος τοῦ ποιοῦντος δηλονότι. πρὸς ταῦτα ἀποροῦσιν ἡμῖν οἱ ἀπὸ τῶν μαθημάτων. εἰ δέδεται τὴν δοθεῖσαν φασὶν εὐθεῖαν δίχα διελεῖν, ἐπειδὴ πᾶν μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετόν, δῆλον ὅτι κἂν τὴν φατὲ ἐλαχίστην σάρκα, διέλοιμεν ἂν δίχα. τὰ οὖν διαιρεθέντα πότερον, σαρκία ἐστιν, ἢ οὔ. εἰ μὲν οὖν σαρκία, ἔστιν ἄρα λαβεῖν τῆς δοθείσης ἐλάττονα σάρκα καὶ οὐκ ἐκείνη ἦν τὸ ἐλάχιστον. εἰ δὲ τὰ διαιρεθέντα μή ἐστι σαρκία, πῶς συντιθέμενα πάλιν, σάρκα ποιήσουσι. καὶ εἰ ὁμοιομερὴς ἡ σάρξ, δηλονότι καὶ ταύτης τὰ μέρη.

ὅ, τε ἀναξαγόρας καὶ ὁ ἐμπεδοκλῆς. ὅτι ὁ ἀναξαγόρας ἅπαξ τὸν νοῦν φησὶν ἐκ τοῦ μίγματος τοῦ πρώτον ἀρξάμενον διακρίνειν, καὶ ἅπαξ τοῦτο ποιεῖν, καὶ μηκέτι ἐνδέχεσθαι πάλιν ἐν μίγματι πάντα γενέσθαι. ὁ μέντοι ἐμπεδοκλῆς πολλάκις τοῦτο ποιεῖ. ποτὲ μὲν γὰρ ἐκ τοῦ σφαίρου ἐκκρίνεσθαι τὰ στοιχεῖα, ποτὲ δὲ πάλιν τὰ στοιχεῖα συγκρίνεσθαι εἰς τὸν σφαῖρον. καὶ τοῦτο ἐπ' ἄπειρον ἀνακάμπτειν κατά τινα περίοδον. πρώτη μὲν οὖν διαφορὰ ἐμπεδοκλέους καὶ ἀναξαγόρου, αὕτη. ἑτέρα δὲ ὅτι ὁ μὲν ἀναξαγόρας τὰ κατ' αὐτὸν στοιχεῖα, λέγω δὴ τὰς ὁμοιομερείας, ἄπειρα ἔλεγεν. ὁ δὲ ἐμπεδοκλῆς πῦρ, ἀέρα, ὕδωρ, καὶ γῆν. καλούμενα δὲ εἶπεν αὐτά, διότι οὐκ ἔστι κυρίως στοιχεῖα. οὐδὲ γάρ εἰσιν ἁπλᾶ, ἀλλὰ σύνθετα. κυρίως δὲ στοιχεῖα, ἡ ὕλη καὶ τὸ εἶδος.

ΕΟΙΚΕ δὲ ἀναξαγόρας οὕτως ἄπειρα οἰηθῆναι, διὰ τὸ ὑπολαμβάνειν τὴν κοινὴν δόξαν τῶν φυσικῶν εἶναι ἀληθῆ, ὡς οὐ γιγνομένου οὐδενὸς ἐκ τοῦ μὴ ὄντος.

Ἐντεῦθεν βούλεται ἐκθέσθαι ἐκ ποίας ἐννοίας ὁρμηθεὶς ὁ ἀναξαγόρας ἄπειρά τε ὑπέθετο εἶναι τὰ ὁμοιομερῆ καὶ πάντα ἐν πᾶσι μεμῖχθαι. καί φησιν ὅτι διὰ τὸ νομίζειν ἀληθῆ εἶναι τὴν τῶν φυσικῶν δόξαν ὅτι οὐδὲν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος γίνεται. ὥστε δεῖ προϋπάρχειν τὸ γινόμενον. εἰ δὲ τοῦτο, ἐκκρίσεως χρεία ἐστὶν ἡ γένεσις. διὰ τοῦτο μὲν οὖν πάντα ἐν πᾶσι μεμῖχθαι ἔλεγε, διότι ἑώρα πᾶν ἐκ παντὸς γινόμενον. διότι δὲ ὑπελάμβανεν ἀΐδιον εἶναι τὴν γένεσιν καὶ μὴ ἀπολείπειν, ἀπείρους ὑπετίθετο τὰς ὁμοιομερείας ἐν ἑκάστῳ, ἵνα μὴ ὑπολείπῃ ἡ γένεσις. ταυτὸν δὲ εἰπεῖν ἡ ἔκκρισις.

ΔΙΑ τοῦτο γὰρ οὕτω λέγουσιν, ἦν ὁμοῦ τὰ πάντα. καὶ τὸ γίνεσθαι τοιόνδε καθέστηκεν ἀλλοιοῦσθαι. οἱ δὲ σύγκρισιν καὶ διάκρισιν.

Διὰ τὸ ὑπολαμβάνειν φησὶ τοὺς φυσικοὺς μηδὲν ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος γίνεσθαι, λέγουσιν ὅτι ἦν ὁμοῦ πάντα. ὁμοῦ δὲ πάντα λέγει, μάλιστα μὲν ἀναξαγόρας. ἔπειτα δὲ καὶ ἀναξίμανδρος. ἐν τῷ μεταξὺ γὰρ πάντα ὑπάρχειν φησί, γίνεσθαι δὲ ἐξ αὐτοῦ τῇ ἐκκρίσει οὐ μεταβάλλοντος τοῦ μεταξύ, ἀλλ' ἐκκρινομένων ἐξ αὐτοῦ τῶν ἄλλων. καὶ ἐμπεδοκλῆς δὲ συνυπάρχειν φησὶν ἐν ἀλλήλοις τὰ στοιχεῖα, ἅπερ καὶ ἀρχὰς καὶ ῥιζώματα πάντων ἔλεγε. καὶ ὅταν ἐξ ὕδατος δὲ γίνηταί τι τῶν ἄλλων, οὐ μεταβάλλειν τὸ ὕδωρ εἰς ἐκεῖνο, ἀλλ' ἐκκρίνεσθαι ἐξ αὐτοῦ συνυπάρχον, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. καὶ ἐν τῷ σφαίρῳ πάντα φησὶν συνυπάρχειν οὐ μόνον τὰ στοιχεῖα ἅπερ καὶ νῦν ἐν ἀλλήλοις ὑπάρχει, ἀλλὰ καὶ τὰ τῶν συνθέτων εἴδη, ἐν τῷ σφαίρῳ συνυπάρχει. τοῦ νείκους δὲ ἐπικρατήσαντος, ἐξεκρίθησαν ἐκ τοῦ σφαίρου τά, τε στοιχεῖα καὶ τὰ τῶν συνθέτων εἴδη. ὅθεν καὶ τὴν γένεσιν οἱ μὲν ἀλλοίωσιν λέγουσιν, ὅσοι τὸ ὕδωρ, ἢ τὸν ἀέρα ὑποτιθέμενοι, μανότητι καὶ πυκνότητι γεννῶσι τὰ ἄλλα. οἱ δὲ σύγκρισιν καὶ διάκρισιν οἵ, τε περὶ τὸν δημόκριτον καὶ ἐμπεδοκλέα. συγκρίσει γὰρ ὁ μὲν τῶν στοιχείων, ὁ δὲ τῶν ἀτόμων τὰ ἄλλα γίνεσθαί φασι. διακρίσει δὲ φθείρεσθαι. καὶ ὁ ἀναξαγόρας δὲ δηλοῖ ὅτι ἐκκρίνεσθαι λέγων τὰ ὁμοιομερῆ. καὶ ταύτην εἶναι τὴν γένεσιν, καὶ συγκρίνεσθαι ἔλεγε πλείους ὁμοιομερείας εἰς τὴν τοῦ συνθέτου γένεσιν. διακρίνεσθαι δὲ πάλιν αὐτὰς ἀπ' ἀλλήλων ἐν τῇ φθορᾷ. ἀμφοῖν δὲ κοινότερον κατὰ πάντων ἡ ἀλλοίωσις. καὶ γὰρ τὰ ἐκκρινόμενα, ἢ συγκρινόμενα, καὶ διακρινόμενα, ἀλλοίωσίν τινα ὑπομένει, τὰ μὲν κατὰ τὴν θέσιν. τὰ δέ, κατὰ τὴν ἔμφασιν.

ΕΤΙ δ' ἐκ τοῦ γίνεσθαι ἐξ ἀλλήλων, τἀναντία. ἐνυπῆρχεν ἄρα. εἰ γὰρ πᾶν μὲν τὸ γινόμενον ἀνάγκη γίνεσθαι ἢ ἐξ ὄντων, ἢ ἐκ μὴ ὄντων. τούτων δέ, τὸ μὲν ἐκ μὴ ὄντων γίνεσθαι, ἀδύνατον. περὶ γὰρ ταύτης ὁμογνωμονοῦσι τῆς δόξης ἅπαντες οἱ περὶ φύσεως. τὸ λοιπὸν ἤδη συμβαίνειν ἐξ ἀνάγκης ἐνόμισαν. ἐξ ὄντων μὲν καὶ ἐνυπαρχόντων γίνεσθαι, διὰ δὲ σμικρότητα τῶν ὄγκων, ἐξ ἀναισθήτων ἡμῖν. διό φασι πᾶν ἐν παντὶ μεμῖχθαι. διότι πᾶν ἐκ παντὸς ἑώρων γινόμενον. φαίνεσθαι δὲ διαφέροντα, καὶ προσαγορεύεσθαι ἕτερα ἀλλήλων, ἐκ τοῦ μάλιστα ὑπερέχοντος, διὰ τὸ πλῆθος ἐν τῇ μίξει τῶν ἀπείρων. εἰλικρινῶς μὲν γὰρ ὅλον λευκὸν ἢ μέλαν ἢ γλυκὺ ἢ σάρκα ἢ ὀστοῦν οὐκ εἶναι. ὅτου δὲ πλεῖστον ἔχει ἕκαστον, τοῦτο δοκεῖν εἶναι τὴν φύσιν τοῦ πράγματος.

Ὅτι καὶ ἐντεῦθεν ὑπονοεῖ ὁ ἀναξαγόρας πάντα ἐν πᾶσιν εἶναι διὰ τὸ μηδὲν μὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, ὁρᾶσθαι δὲ ἐκ τῶν ἐναντίων γινόμενα, τὸ δὲ τῶν ἐναντίων φθαρτικὸν μᾶλλον ἢ γεννητικὸν εἶναι τῶν ἐναντίων. ἐντεῦθεν οὖν συνῆγεν ὅτι πάντα ἐν ἀλλήλοις ἐστί, μὴ φαίνεσθαι δὲ διὰ σμικρότητα τῶν ὄγκων, ὀνομάζεσθαι δὲ ἕκαστον ἐκ τοῦ πλεονάζοντος, ὥσπερ ἐπὶ τῆς πανσπερμίας. λέγεται γὰρ αὕτη εἰ πλεονάζει τὸ τοῦ σίτου εἶδος, οὕτως ἔνθα πλεονάζει σὰρξ ἢ ὕδωρ, οὕτω καλεῖσθαι. αἴτιον δὲ αὐτῷ γέγονε τῆς ἀπάτης, τὸ λαμβάνειν ὅτι δεῖ πάντως ἢ ἐκ τοῦ μηδαμῆ μηδαμῶς ὄντος γίνεσθαι τὰ γινόμενα, ἢ ἐκ τοῦ ὄντος. γίνεται μὲν γὰρ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' οὐκ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος, ἀλλ' ἐκ τοῦ τὶ μὴ ὄντος. ὅπερ καὶ ἑξῆς ἐγκαλέσει αὐτῷ καὶ ἐπιλύσεται.

ΕΙ ΔΗ τὸ μὲν ἄπειρον ᾗ ἄπειρον, ἄγνωστον. τὸ μὲν κατὰ τὸ πλῆθος ἢ μέγεθος ἄπειρον, ἄγνωστον ποσόν τι. τὸ δὲ κατ' εἶδος ἄπειρον, ἄγνωστον ποιόν τι. τῶν δ' ἀρχῶν ἀπείρων οὐσῶν κατὰ τὸ πλῆθος καὶ κατ' εἶδος, ἀδύνατον εἰδέναι τὰ ἐκ τούτων. οὕτω γὰρ εἰδέναι τὸ σύνθετον λέγομεν, ὅταν εἰδῶμεν ἐκ τίνων καὶ πόσων ἐστί.

τες τὴν γένεσιν τῶν ὄντων ἐκ τῆς κατ' αὐτοὺς ὕλης ἔλεγον γίνεσθαι, φαμὲν ταύτην τὴν ὑπεροχὴν εἶναι καὶ τὴν ἔλλειψιν. κοινοτέρα γὰρ αὕτη τῶν ἐναντίων ἡ ἀντίθεσις, καὶ ἐν ἑαυτῇ τὰς ἄλλας περιέχουσα. τοιχοῦται οὖν ἐστὶ καὶ αἱ πλάτωνος ἀρχαὶ τὸ μέγα καὶ τὸ μικρόν. ὧν τὸ μὲν, ἐστὶν ὑπεροχὴ τὸ μέγα. τὸ δὲ, ἔλλειψις τὸ μικρὸν, ἃ καὶ διαφόρως ὑπετίθεντο τὸ ἓν καὶ τὰ ἐναντία ὅ, τε πλάτων καὶ οἱ ἄλλοι, ὡς ἐφεξῆς ἐρεῖ. ὑπεροχὴν δὲ καὶ ἔλλειψίν φησι τὰ ἐναντία, ἢ κατὰ τὸ κρεῖττον, καὶ χεῖρον τῶν ἐναντίων. ἐρεῖ γὰρ καὶ ἐν τοῖς ἑξῆς ὅτι τὸ μὲν χεῖρον τῶν ἐναντίων, στερήσει ἀναλογεῖ. τὸ δὲ κρεῖττον, εἴδει. καὶ ἐνταῦθα οὖν τὸ χεῖρον οἷον τὸ μέλαν, ἔλλειψις ἂν εἴη. τὸ δὲ κρεῖττον οἷον τὸ λευκὸν, ὑπεροχή. ἢ οὖν οὕτως, ἢ ἵνα τῶν ἰσορρόπων ἐναντίων τὸ μὲν ἐν μείζονι ὄγκῳ ὑποκείμενον, ὑπεροχὴν εἴπωμεν. τὸ δὲ ἐν ἐλάττονι, ἔλλειψιν. οἷον ἐὰν λάβωμεν ἀέρα καὶ γῆν, τοσοῦτον κινουμένους τὸν ἀέρα ἐπὶ τὸ ἄνω ὅσον τὴν γῆν ἐπὶ τὸ κάτω. καὶ συντόμως εἰπεῖν, ἵνα λάβωμεν ἰσοταχεῖς τὰς ἐναντίας κινουμένας κινήσεις. ὁ μὲν ἀὴρ ἐν μείζονι ὢν ὑποκειμένῳ, ὑπεροχὴ ἂν εἴη κατὰ τὸν ὄγκον. ἡ δὲ γῆ ἐν ἐλάττονι οὖσα ὄγκῳ, ἔλλειψις. διότι καὶ τὸ βαρὺ σῶμα μεταβάλλον εἰς τὸ κοῦφον, μανούμενον, ὄγκον πάντως μείζονα λαμβάνει. τὸ δὲ κοῦφον μεταβάλλον εἰς τὸ βαρὺ, ἥττονα. ἐὰν οὖν ἰσόρροπα ὦσι κατὰ τὰς οἰκείας ῥοπὰς, ἐξ ἀνάγκης τὸ κοῦφον, μείζονα ἕξει ὄγκον. τὸ αὐτὸ δὲ ἄν τις εἴποι καὶ ἐπὶ λευκοῦ, καὶ μέλανος, καὶ τῶν λοιπῶν ἐναντίων. τὸ γὰρ ἐκ μέλανος λευκὸν γινόμενον, ἴσως μὲν καὶ μανότερον γίνεται κατὰ τὸ ὑποκείμενον. πλὴν ἐπεὶ τὸ λευκὸν διακριτικὸν, τὸ δὲ μέλαν συγκριτικὸν, εἴη ἂν τὸ μὲν λευκὸν ὑπεροχὴ, ὡς αἴτιον ταύτης. τὸ δὲ μέλαν ἔλλειψις, ὡς συγκριτικόν. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. ἴσως δὲ οὐδὲ ἐπὶ πάντων ἁπλῶς τῶν ἐναντίων, τὸν λόγον, δεῖ ἐκλαβεῖν, ἀλλ' ἐπὶ τούτων ἅπερ ἐστὶν αἴτια γενέσεως καὶ φθορᾶς.

» ΠΛΗΝ ὅτι, ὁ μὲν ταῦτα ποιεῖ ὕλην. τὸ δὲ ἓν, τὸ εἶδος. οἱ δὲ, τὸ μὲν ἓν τὸ ὑποκείμενον, ὕλην. τὰ
» δ' ἐναντία, διαφορὰς καὶ εἴδη.

Ὁμοίως μὲν ὅ, τε πλάτων καὶ ὅσοι ἓν μὲν ὑπέθεντο τὸ στοιχεῖον, πυκνώσει δὲ καὶ μανώσει τὰ ἄλλα γεννῶσιν ἐξ αὐτοῦ, δύο ἀρχὰς τίθενται τά, τε ἐναντία καὶ τὸ ἕν. ὥσπερ καὶ αὐτὸς ὁ ἀριστοτέλης ἐφεξῆς τίθησιν. ἐναντίως μέντοι τοῖς ἄλλοις ὁ πλάτων περὶ τοὺς τρόπους τῶν ἀρχῶν τούτων ἠνέχθη. οἱ μὲν γὰρ ἄλλοι τὴν μὲν ὕλην καὶ τὸ ὑποκείμενον, τὸ ἓν λέγουσι. τὰ δ' ἐναντία, εἰδοποιοὺς διαφορὰς τοῦ ὑποκειμένου. κρατούμενον γὰρ τὸ ὑποκείμενον, ποτὲ μὲν τῇ πυκνώσει ποτὲ δὲ τῇ μανώσει, οὕτω γεννᾷ τὰ σώματα. πλάτων δὲ ἔμπαλιν. τὰ μὲν ἐναντία, λέγω δὲ τὸ μέγα, καὶ τὸ μικρὸν, ὕλην ποιεῖ. τὸ δὲ ἓν, τὸ εἶδος τὸ τῇ ὕλῃ ἐπιγινόμενον, καὶ ποιοῦν τὰ σώματα. ἴσμεν δὲ ὅτι πυθαγόρειος ὁ πλάτων. συμβολικῶς δὲ πάντα οἱ πυθαγόρειοι ἔλεγον. ἐπεὶ κἀκεῖνοι τὴν ἀόριστον δυάδα τὴν ὕλην καλοῦσιν. ἐπειδὴ γὰρ ὁριστικὸν καὶ ἑνοποιοῦν τὸ εἶδος, ἀόριστος δὲ ἡ ὕλη, καὶ σκεδασμοῦ τοῖς εἴδεσιν αἰτία. ἀδιάστατα γὰρ ὄντα φύσει δεξαμένη διΐστησι. τὸν γὰρ τοῦ ἀνθρώπου λόγον ἀμερῆ, καὶ ἀδιάστατον ὄντα καθ' αὑτὸν, δεξαμένη διέστησεν εἰς διάφορα κατατέμνουσα μόρια. τὸ τυχὸν γοῦν τοῦ σπέρματος μόριον, τὸν ὅλον ἄνθρωπον γεννᾷ. ὡς δὴ ἀμερίστως ἐν παντὶ τῷ σπέρματι καὶ τῷ τυχόντι αὐτοῦ μορίῳ τῶν λόγων τοῦ ζῴου ἐνόντων, διὰ τοῦτο διὰ τῆς δυάδος τὴν ὕλην ἐνεδείξατο. εἶτα ἐπειδὴ τῶν ἄλλων ποιοτήτων πρῶτον ἡ ὕλη δέχεται τὸ ποσόν. πρῶτον γὰρ ποσοῦται καὶ γίνεται τριχῇ διαστατὴ, διὰ τοῦτο τὴν δυάδα μέγα καὶ μικρὸν ἐκάλεσεν ὁ πλάτων. ὥστε διὰ μὲν τὸ ἀόριστον τῆς ὕλης, καὶ μηδένα οἰκεῖον ὅρον ἔχειν, δυάδα αὐτὴν ἐκάλεσε. πρώτη γὰρ ἀπὸ τῆς μονάδος ἡ δυὰς τὴν διαίρεσιν ἐδέξατο. διὰ δὲ τὸ πρώτως δέχεσθαι τὸ ποσὸν, καὶ εἰς ἔσχατον εἶναι τοῦτο τῆς ὕλης εἶδος, μέγα καὶ μικρόν. ταῦτα γὰρ τοῦ ποσοῦ.

» ΟΙ δὲ, ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν. ὥσπερ ἀναξίμανδρός φησι.

Τοῦτο συνεχὲς πρὸς τὸ ἄνω. ἓν γὰρ ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον, οἱ μὲν, τὰ ἄλλα γεννῶσι πυκνότητι, καὶ μανότητι. εἶτα ἡ ἀνταπόδοσις ἐνταῦθα. οἱ δὲ, ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν, οἷος ἦν ὁ ἀναξίμανδρος. ἐνυπάρχειν γὰρ ἔλεγεν ἐν τῷ μεταξὺ, ὅπερ ἦν κατ' αὐτὸν στοιχεῖον, τὰ ἐναντία ἐνεργείᾳ.

» ΚΑΙ ὅσοι δὲ ἓν καὶ πολλά φασιν εἶναι τὰ ὄντα. ὥσπερ ἐμπεδοκλῆς καὶ ἀναξαγόρας. ἐκ τοῦ μίγ-
» ματος γὰρ ἐκκρίνουσι τὰ ἄλλα. διαφέρουσι δ' ἀλλήλων, τῷ, τὸν μὲν, περίοδον ποιεῖν τούτων. τὸν δ' ἅ-
» παξ. καὶ τὸν μὲν ἄπειρα, τά τε ὁμοιομερῆ, καὶ τἀναντία. τὸν δὲ, τὰ καλούμενα στοιχεῖα μόνον.

Εἰπὼν ὅτι ὁ ἀναξίμανδρος ἐκ τοῦ ἑνὸς ἐκκρίνει τὰς ἐναντιότητας, ἵνα σαφέστερον παραστήσῃ ἡμῖν πῶς ἔλεγεν ἐκκρίνεσθαι ἐκ τοῦ ἑνὸς τὰ ἐναντία, διὰ τοῦτο ὡς ἐν παραδείγματι μέμνηται τῆς ἐμπεδοκλέους, καὶ ἀναξαγόρου δόξης. καὶ ὅπως οὗτοι ἐξ ἀλλήλων ἐκκρίνεσθαι ἔλεγον τὰ κατ' αὐτοὺς στοιχεῖα. ἐκ τοῦ μίγματος γὰρ ἐκκρίνουσι τὰ ἄλλα. ὁ μὲν ἀναξαγόρας, τὰς πρὶν ἐμμιχθείσας ἅμα τὰς ὁμοιομερείας ἐκ τοῦ μίγματος ἐκείνου ἐκκρῖναι αὐτὰς τὸν νοῦν. καὶ νῦν δ' ἀεὶ ἐκκρίνεσθαι ἐξ ἀλλήλων. ἕκαστον γὰρ μίγμα τι εἶναί φησι πολλῶν ὁμοιομερειῶν. ὅτι δὲ ἐμπεδοκλῆς, καὶ αὐτὸς μετὰ τὴν ἀρχὴν ἐκ τοῦ σφαίρου ἐκκρίνει τὰ στοιχεῖα, καὶ νῦν δὲ ἐμμεμίχθαι φησὶν ἐν ἀλλήλοις τὰ στοιχεῖα τὰ τέσσαρα, οὐ μέντοι πάντα ὡς ἀναξαγόρας ἔλεγεν. εἶτα κατ' ἔκκρισιν γίνεσθαι ἐξ ἀλλήλων ὅνπερ εἴπομεν τρόπον. διαφέρουσι δὲ ἀλλήλων

ὅ, τε

λον ὅτι περὶ τὴν διαίρεσιν αὐτῷ γέγονεν ἡ αἰτία τῆς πλάνης τῷ παραλιπεῖν τι μέλος τῆς διαιρέσεως. τὸ γὰρ γινόμενον πᾶν ἢ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γεννᾶσθαι. ἢ ἐκ τοῦ ἁπλῶς ὄντος. ἢ ἐκ τοῦ πῆ μὲν ὄντος, πῆ δὲ μὴ ὄντος. τὸ τρίτον οὖν τμῆμα παραλελοιπέναι, ὅπερ καὶ ἐστὶν ἀληθὲς, ὃς τὴν πλάνην ταύτην ἐξέπεσεν. εἰ οὖν ἢ ἐξ ὄντων μόνων, ἢ ἐξ οὐκ ὄντων γίνεται τὰ γινόμενα, ἐκ μὴ ὄντων δὲ ἀδύνατον διὰ τὸ κοινὸν ἀξίωμα, ἐξ ὄντων ἄρα. ἀλλ' εἰ ἐξ ὄντων, ἢ ἐξ ὁμοειδῶν, ἢ ἐξ ἑτεροειδῶν. ἐξ ἑτεροειδῶν μὲν, ἀδύνατον. ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ ἵππος ἵππον. ἄνθρωπος δὲ ἵππον, οὐκέτι. εἰ δὲ ἐξ ὁμοειδῶν, ἀνάγκη πάντα, ὅταν ἴδωμεν ὀστοῦν ἐκ σαρκὸς γινόμενον, ἐπεὶ μὴ δυνατὸν τὰ ἑτεροειδῆ γεννᾶν ἄλληλα, ἐνυπάρχειν ἐν τῇ σαρκὶ τὸ ὀστοῦν, ὅπερ ἐξ αὐτῆς γεγένηται, οὕτω καὶ ἐπὶ πάντων. ἐπεὶ οὖν πᾶν ἐκ παντὸς γίνεται ἤτοι κατὰ τὴν πρώτην γένεσιν, ἤτοι διὰ πλειόνων. ἐκ τοῦ ἄρτου γὰρ αἷμα, καὶ ἐξ ἐκείνου σάρξ. εἶτα πολλάκις ἐκ σαρκὸς ὀστοῦν, ἢ ἕτερόν τι. σηπομένης γὰρ γένοιτο ἂν ἐξ αὐτῆς ὕδωρ, ἢ πῦρ, ἢ γῆ, ἢ σκώληξ, ἢ ἄλλο ὁτιοῦν, ἀνάγκη πάσαν πάντα ἐν πᾶσι μεμίχθαι νομίζειν. οὐδὲ γὰρ ἐπίσχει τῷ κοινῷ ὑποκειμένῳ. διόπερ συμβαίνει πᾶν ἐκ παντὸς γίνεσθαι. πρῶτον μὲν οὖν τοῦτο ἔπεισε τὸν ἀναξαγόραν ταύτῃ τῇ δόξῃ συνθέσθαι. δεύτερον δὲ τὸ ὁρᾶν ἐξ ἀλλήλων τὰ ἐναντία γινόμενα. θερμὸν γὰρ ἐκ ψυχροῦ γίνεται, καὶ ξηρὸν ἐξ ὑγροῦ. λευκὸν ἐκ μέλανος, καὶ τὰ λοιπά. ἐπεὶ οὖν τὰ ἐναντία οὐδέποτε γεννητικὰ τῶν ἐναντίων γένοιτο. φθαρτικὸν γὰρ μᾶλλον τὸ ἐναντίον τοῦ ἐναντίου μήτι γεννητικὸν, ἀνάγκη πάσα ἐν τῷ ψυχρῷ σώματι ἐνυπάρχειν θερμὰ σωμάτια. ὧν ἐκκρινομένων τὴν γένεσιν τοῦ θερμοῦ γίνεσθαι. ἀνάγκη οὖν τὰς ἐναντιότητας ἅμα εἶναι ἐν τοῖς αὐτοῖς, λέγεσθαι δὲ ἕκαστον ἐκ τῆς ἐπικρατούσης. θερμὸν γὰρ λέγεται, ἐν ᾧ πλείονα τὰ θερμὰ σώματα. ὁμοίως ψυχρόν. λευκὸν, καὶ τὰ λοιπά. ταῦτα εἰπὼν, οὕτω λοιπὸν εἰς τοὺς ἐλέγχους εἰσβάλλει. Ως δὲ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσί. Δεῖ προσυπακοῦσαι, ὡς οἱ φυσικοὶ λέγουσιν ἓν εἶναι τὸ ὄν. κατὰ κοινοῦ γὰρ ἓν εἶναι τὸ ὄν. Επισημαντέον δὲ ὅτι διαστέλλει τοὺς περὶ μέλισσον καὶ παρμενίδην, τοῖς φυσικοῖς, δηλονότι. μὴ περὶ φυσικῶν πραγμάτων οἰόμενος ἐκείνους διαλέγεσθαι. ἀλλ' ἢ θεολογεῖν, ἢ περὶ ἑτέρων τινῶν διαλέγεσθαι. ἤλεγξε δὲ αὐτὸς τοὺς λόγους διὰ μήτινας ὑπολαβεῖν περὶ τῶν φυσικῶν ἐκείνοις εἶναι τὸν λόγον. εἶτα τῇ ἀξιοπιστίᾳ τῶν προσώπων εἰς ψευδεῖς ὑπονοίας περὶ τῶν πραγμάτων παρασυρῆναι.

ΟΙ ΜΕΝ γὰρ ἓν ποιήσαντες τὸ ὂν σῶμα τὸ ὑποκείμενον, ἢ τῶν τριῶν τι, ἢ ἄλλο, ὅ ἐστι πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον, τ' ἄλλα γεννῶσι πυκνότητι καὶ μανότητι πολλὰ ποιοῦντες. ταῦτα δ' ἐστὶν ἐναντία.

Οἱ μὲν τῶν φυσικῶν ποιήσαντές φησιν ἓν τὸ πᾶν. τουτέστι μίαν ἀρχὴν πάντων καὶ τὸ ὑποκείμενον ποιήσαντες, καὶ τοῦτο οὐκ ἀσώματόν τι, ἀλλὰ σῶμα κατ' ἐνέργειαν. καὶ σῶμα ἢ ἕν τι τῶν τριῶν στοιχείων. πυρὸς. ἀέρος. ὕδατος. ἢ ἄλλο τι παρὰ ταῦτα μεταξὺ τούτων, οἷον ὑπετίθετο ὁ ἀναξίμανδρος, τὰ ἄλλα σώματα γεννῶσιν ἐκ τοῦ κατ' αὐτοὺς στοιχείου πυκνουμένου, ἢ μανουμένου. εἰπὼν δὲ, οἱ μὲν τῶν φυσικῶν ἓν ποιήσαντες τὸ ὂν πυκνότητι καὶ μανότητι τὰ ἄλλα γεννῶσι, τὴν ἀνταπόδοσιν οὐκ εὐθὺς ἐπήγαγεν. ἀλλὰ μετ' ὀλίγον. ἔνθα φησὶν οἱ δὲ ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνουσιν. οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν, οὐ δοκεῖ οἰκείως τῇ ἀνταποδόσει κεχρῆσθαι. εἰπὼν γὰρ οἱ μὲν γὰρ ἓν ποιήσαντες τὸ ὂν, ἀνταποδιδοὺς φησὶ πρὸς τοῦτο. οἱ δὲ, ἐκ τοῦ ἑνὸς ἐνούσας, καὶ τὰ ἑξῆς. ἀκόλουθον δὲ ἦν τῷ εἰπόντι. οἱ μὲν γὰρ ἓν ποιήσαντες, ἀνταποδιδόντι εἰπεῖν. οἱ δὲ πολλὰ ποιήσαντες. δεῖ οὖν μικρὸν μεταρρυθμίσαι τὴν λέξιν, ἵνα τὴν ἀκόλουθον ἀνταπόδοσιν ἴδωμεν. οὕτως οὖν ὑπερβιβαστέον τὴν λέξιν. ὡς δὲ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν. ἓν γὰρ ποιήσαντες τὸ ὂν, σῶμα τὸ ὑποκείμενον καὶ τὰ ἑξῆς, τὰ ἄλλα γεννῶσιν. οἱ μὲν, πυκνότητι καὶ μανότητι. οἱ δὲ, ἐκ τοῦ ἑνὸς ἐνούσας τὰς ἐναντιότητας ἐκκρίνεσθαι λέγουσι. τὸ δὲ ὡς οἱ φυσικοὶ λέγουσιν, οὐκ ἔστι καθόλου κατὰ πάντων τῶν φυσικῶν. δῆλον γὰρ ὅτι ὡς οἱ φυσικοὶ οἱ ἓν εἶναι τὴν ὑποκειμένην ὕλην ὑποτιθέμενοι. καὶ πρὸς τοῦτο δὲ τὴν ἀνταπόδοσιν ἐπάγει λέγων. ὅτι δὲ ἓν καὶ πολλά. ταῦτα δὲ ἐστὶν ἐναντία. εἰπὼν ὅτι μίαν μὲν ὑποτίθενται τὴν ὕλην καὶ τὸ ὑποκείμενον, πυκνότητι δὲ καὶ μανότητι γεννῶσι τὰ ἄλλα, ἐνταῦθα ἐπισημαίνεται. ὅτι ταῦτα δὲ ἡ πυκνότης, καὶ ἡ μανότης, ἐναντία ἐστίν. ἐπειδὴ χρησιμεύει αὐτῷ τοῦτο εἰς τὴν αὐτοῦ δόξαν. μέλλει γὰρ καὶ αὐτὸς ἐφεξῆς, τὰ ἐναντία μετὰ τῆς ὕλης ἀρχὰς ὑποτίθεσθαι. διὰ τοῦτο οὖν ἐπισημαίνεται. ὅτι καὶ οἱ πρὸ αὐτοῦ φυσικοὶ εἰ καὶ μὴ ἀκριβῶς, ὅμως περιεφαντάζοντο τὰς ποιότητας ἀρχὰς τῶν ὄντων τὰ ἐναντία. εἰ γὰρ λέγουσι πυκνότητι καὶ μανότητι γεννᾶσθαι ἐκ τοῦ κατ' αὐτοὺς ὑποκειμένου τὰ ἄλλα. πυκνότης δὲ καὶ μανότης ἐναντία ἐστὶν, ἐκ τῶν ἐναντίων ἄρα τὴν γένεσιν εἶναι ὑπετίθεντο.

ΚΑΘΟΛΟΥ δ' ὑπεροχὴ καὶ ἔλλειψις, ὥσπερ τὸ μέγα φησὶ γ' ὁ πλάτων καὶ τὸ μικρόν.

Ἐπειδὴ εἶπεν ὅτι οἱ φυσικοὶ ὡς ἀρχὰς εἰδοποιοὺς τῆς ὕλης λαμβάνουσι τὰ ἐναντία. εἶτ' ἐπὶ μίαν ἐναντίωσιν καθολικωτέραν ἀνάγει πάντα τὰ ἐναντία περιέχουσαν ἐν ἑαυτῇ πάσας τὰς ἐναντιώσεις τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν. καὶ ἔστιν ὅλος ὁ λόγος τοιοῦτος. οἱ ἓν ποιοῦντες τὸ ὑποκείμενον σῶμα, πυκνότητι καὶ μανότητι ἐξ αὐτοῦ τὰ ἄλλα γεννῶσι. ταῦτα δὲ ἐναντία ἐστὶν, ὥστε ἐναντίας ὑποτίθενται ἀρχὰς εἰδοποιοὺς τῶν ὄντων ἀρχὰς οἱ φυσικοί. καὶ ἵνα καθόλου περιλάβωμεν κατὰ ποίαν ἐναντίωσιν πάν-

ὕδατος δὲ τὸ μεταξὺ πυρὸς καὶ ἀέρος, ἢ ἀέρος καὶ ὕδατος λέγων στοιχεῖον, τὰ ἄλλα ἐκ τούτου ἐκκρίνεσθαι ἔλεγεν. ἐνυπάρχειν γὰρ ἐν τούτῳ ἀπείρῳ ὄντι τὰς ἐναντιότητας. εἶτα ἐκκρινόμενος ἐξ αὐτοῦ ποιεῖν τὰ λοιπά. οἱ μὲν οὖν πυκνώσει καὶ μανώσει λέγοντες, ἀλλοιώσει τοῦ κατ' αὐτοὺς στοιχείου γεννῶσι τὰ ἄλλα, ὥστε συμβαίνειν αὐτοῖς τὴν γένεσιν ἀλλοίωσιν λέγειν. οὕτω γοῦν καὶ λέγουσιν ὅτι τὸ γίνεσθαι τοιόνδε, καθέστηκεν ἀλλοιοῦσθαι. ἀναξίμανδρος δὲ, οὐκ ἀλλοιώσει τοῦ μεταξὺ γεννᾷ τὰ ἄλλα. ἀλλ' ἐκκρίσει ἐνυπαρχόντων ἐν αὐτῷ. εἶτα θέλων σαφέστερον δεῖξαι πῶς ἔλεγεν ἐκκρίσει ὁ ἀναξίμανδρος γίνεσθαι ἐκ τοῦ ἑνὸς τὰ ἄλλα, μέμνηται τῶν περὶ ἀναξαγόραν καὶ ἐμπεδοκλέα. ἔστι δὲ ἡ μὲν τοῦ ἀναξαγόρου δόξα, τοιαύτη, ἀρχὰς εἶναι τῶν ὄντων ὑπετίθετο, ὑλικὰς μὲν τὰς ὁμοιομερείας. ταύτας δὲ ἀπείρους εἶναι τὸν ἀριθμὸν, καὶ τὴν ἐναντίωσιν. πρίν τε τὸ πᾶν γίνεσθαι, πάσας ἅμα μεμίχθαι. τὸν δὲ νοῦν ὃν καὶ ποιητικὸν αἴτιον ὑποτίθεται, ἀπό τινος χρόνου ἀρξάμενον, θελῆσαι μὲν διακρῖναι ἀπ' ἀλλήλων πάντα. μὴ μὴν δυνηθῆναι τελείαν ποιήσασθαι τὴν διάκρισιν. ἀλλὰ τὰ μὲν ἀνομοιομερῆ διέκρινε συγκείμενα καὶ αὐτὰ ἐκ τῶν ὁμοιομερῶν. τὰ μέντοι ὁμοιομερῆ εἰλικρινῶς οὐκ ἴσχυσε διακρῖναι. ἀλλὰ ἐκεῖθεν, ἀρχὴν τῇ ἐκκρίσει δόντα, ἐᾶσαι τοῦτο ποιεῖν. οὕτως οὖν γίνεσθαι πάντα ἐκ πάντων τῷ πάντα ἐν ἀλλήλοις ὑπάρχειν. εἶναι γὰρ ἐν τῷ ξύλῳ, καὶ σάρκα, καὶ ὀστοῦν, καὶ χρυσὸν, καὶ πάντα ἁπλῶς. καλεῖσθαι δὲ ἕκαστον ἐκ τοῦ πλεονάζοντος τοῦ ἐν αὐτῷ. ὥσπερ ἐπὶ σωροῦ πανσπερμίας, ᾧ ἐνυπάρχει πλέον τῶν λοιπῶν σπερμάτων, ὁ σῖτος. καλεῖται ὁ σωρὸς ἐκεῖνος σῖτος ἐκ τοῦ πλεονάζοντος, οὕτως ἔνθα μὲν ἐστὶ πλείων ἡ σὰρξ τῶν ἄλλων, σάρκα τοῦτο καλεῖσθαι, ἔνθα δὲ ὀστοῦν ὁμοίως ὀστοῦν. ὡσαύτως καὶ ἐπὶ ξύλου καὶ χρυσοῦ καὶ τῶν λοιπῶν. ὥσπερ οὖν εἴ τις ἀπὸ τῆς πανσπερμίας κρυπτομένας κριθὰς δι' ὀλιγότητα ἐξαγάγῃ, καὶ ποιήσῃ σωρείαν κριθῶν, οὐ γένεσιν κριθῶν οὗτος ἐποίησεν, ἀλλ' ἔκφανσιν μόνον καὶ ἔκκρισιν, οὕτως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν πραγμάτων. ὅταν γὰρ ἐκ σαρκὸς ὀστοῦν γίνηται, ἤ τι ἕτερον, οὐκ ἔστι τοῦτο γένεσις κυρίως, ἀλλ' ἔκφανσις μόνον καὶ ἔκκρισις τοῦ πρὶν κρυπτομένου. πλὴν ἐπὶ μὲν τοῦ σωροῦ τῆς πανσπερμίας, ἔστιν ἕν τι εἶδος εἰλικρινὲς ἐκκρῖναι, οἷον κριθάς. ἐπὶ δὲ τῶν ὁμοιομερῶν, τοῦτο ἀδύνατον. οὐκ ἐνδέχεται γὰρ οὐδέποτε σάρκα εἰλικρινῶς ἐκκριθῆναι, ἢ λίθον, ἢ χρυσὸν, ἢ ἄλλο τι. ἀλλ' ἀεὶ ἐν παντὶ τῷ ἐκκρινομένῳ ὁπηλίκον ἂν ᾖ, πάντα ἔνεστι. καλεῖται δὲ ἐκ τοῦ πλεονάζοντος. ταῦτα οὖν τὰ μικρὰ σαρκία συναγόμενα, ἢ τὰ λιθάρια, ποιεῖ σάρκα, ἢ λίθον, ἤ τι τοιοῦτον. ἡ δὲ τῶν ὁμοιομερῶν σύνθεσις, ποιεῖ τὰ ἀνομοιομερῆ. οὕτω μὲν οὖν ὁ ἀναξαγόρας. ὁ δὲ ἐμπεδοκλῆς, τέσσαρα ὑπετίθετο τὰ ὑλικὰ αἴτια. ταῦτα δὴ τὰ πολυθρύλλητα στοιχεῖα. διὸ καὶ ῥιζώματα πάντων αὐτὰ ἐκάλει. πρῶτα λέγων τῶν πάντων ῥιζώματα. ποιητικὰ δὲ αἴτια, τὸ νεῖκος καὶ τὴν φιλίαν. ἀλλ' οὐχ ἅμα, ἀλλ' ἀνὰ μέρος. τῆς μὲν γὰρ φιλίας ἐπικρατούσης, συνάγεσθαι καὶ συγκρίνεσθαι τὰ στοιχεῖα καὶ ποιεῖν τὸν νοητὸν κόσμον. ὃν σφαῖρον ἐκάλει. ὅταν δὲ πάλιν κατά τινα περίοδον ἐπικρατήσῃ τὸ νεῖκος, διακρίνεσθαι τὸν σφαῖρον ἐκεῖνον, καὶ ποιεῖν τὰ τέσσαρα στοιχεῖα, καὶ τοῦτον τὸν κόσμον. ἐπεὶ οὖν ἑώρα τά τε ἄλλα πάντα καὶ ἐκ τῶν τεσσάρων στοιχείων γινόμενα καὶ αὐτὰ ἐξ ἀλλήλων, τὰ μὲν σύνθετα σώματα, μόνῃ τῇ συγκρίσει τῶν στοιχείων ἔλεγε γίνεσθαι. ἀμετάβλητα γὰρ ὑπετίθετο. ὅταν δὲ γίνηται ἐξ ὕδατος ἀὴρ, ἢ ἐξ ἀέρος πῦρ. καὶ ἔμπαλιν, οὐ μεταβάλλοντος τοῦ ὕδατος, ἢ τοῦ ἀέρος, γίνεσθαι τὰ λοιπὰ, ἀλλ' ἐνυπάρχειν ἐν ἀλλήλοις κατ' ἐνέργειαν τὰ στοιχεῖα. ἐπειδὰν οὖν μανωθῇ ὁ ἀὴρ, τὸ ἐνυπάρχον πῦρ καὶ συνεχόμενον χώραν εὑρηκὸς, ἐκκρίνεσθαι. πάλιν δὲ ὅταν πυκνωθῇ ὁ ἀὴρ, τὰ ὑδάτια τὰ ἐνυπάρχοντα, καὶ διεσπασμένα ἐν αὐτῷ, τῇ θλίψει τῇ ἐκ τῆς πυκνώσεως ἐξακοντίζεσθαι ἐκπυρρηνιζόμενα. οἷόν τι πάσχουσι καὶ οἱ διὰ τῶν δακτύλων ἐκθλιβόμενοι πυρρῆνες. ἐνυπάρχοντες γὰρ καὶ κεκρυμμένοι ὑπὸ τοὺς δακτύλους, ὅταν πυκνωθῶσιν οἱ δάκτυλοι, τῇ θλίψει ἐξακοντίζονται. οὐ γινόμενοι τότε, ἀλλ' ἐκκρινόμενοι μόνον καὶ ἐκφαινόμενοι. ὃν τρόπον οὖν φασιν οἱ περὶ ἀναξαγόραν καὶ ἐμπεδοκλέα ἐκκρίσει τὴν γένεσιν γίνεσθαι λέγουσιν, οὕτω καὶ ὁ ἀναξίμανδρος ἐκ τοῦ κατ' αὐτὸν στοιχείου ὅπερ ἐστὶ τὸ μεταξὺ πυρὸς καὶ ἀέρος, ἢ ἀέρος καὶ ὕδατος ἀπείρου ὄντος, καὶ πάντα ἐν ἑαυτῷ περιέχοντος, τὰ ἄλλα γίνεσθαι, μᾶλλον δὲ ἐκκρίνεσθαι. τὴν γὰρ γένεσιν οὐδὲν εἶναι ἄλλο, ἢ ἔκκρισιν καὶ ἔκφανσιν. καὶ δῆλον ὅτι ταῦτα λέγων ὁ ἀναξίμανδρος, αὐτὸς τὰς ἑαυτοῦ θέσεις ἀναιρεῖ. οὐ γὰρ ἔτι ἂν εἴη μία καὶ κοινὴ τῶν πάντων ἀρχὴ τὸ μεταξὺ, εἴγε μὴ αὐτὸ ἐκεῖνο ὑπόκειται τοῖς γινομένοις. εἰ μή τις καὶ τὸ ἐν τοῖς τοῦ ἄκρου πάντας ἐξ ἑνὸς στοιχείου εἶναι λέγει τοῦ περιέχοντος ἄκρου. μᾶλλον οὖν εἰς τὴν ἀναξαγόρου δόξαν ἐκπίπτει ταῦτα λέγων. ταῦτα δὲ εἰπὼν ὁ ἀριστοτέλης, τρέπεται ἐπὶ τὸν ἔλεγχον τῆς ἀναξαγόρου δόξης. ἀλλὰ πρὶν εἰς τοὺς ἐλέγχους ἐμβαλεῖν, λέγει πόθεν καὶ ἐκ ποίας αἰτίας κινηθεὶς ὁ ἀναξαγόρας, οὕτως ἐδόξασε πάντα ἐν πᾶσιν εἶναι. καὶ μηδὲν εἶναι εἰλικρινὲς ὅπερ ἐστί. φησὶν οὖν ὅτι διὰ δύο αἰτίας. μίαν μὲν, τὸ νομίζειν τὴν κοινὴν πάντων τῶν φυσικῶν δόξαν ἀληθῆ εἶναι. ὅτι οὐδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται, ἀλλὰ πάντα τὰ γινόμενα ἔκ τινος ὄντος γίνεται. ἐχρήσατο οὖν τοιούτῳ συλλογισμῷ. πάντα τὰ γινόμενα, ἢ ἐξ ὄντων, ἢ ἐξ οὐκ ὄντων γίνεται, καὶ δῆ-

λον ὅτι

τὰ πάντα ἓν διὰ τὸ εἶναι καὶ τὸ μὴ ὄν.

ΤΩ δὲ ἐκ τῆς διχοτομίας, ἄτομα ποιήσαντες μεγέθη.

Ὅτι καὶ τῇ ζήνωνος ἀπορίᾳ δι᾽ ἧς κατεσκεύαζεν ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον ἐκ τῆς ἐπ᾽ ἄπειρον τομῆς τῶν μεγεθῶν, κακῶς ἐνέδοσαν ψιλῶς ὑποθέμενοι μὴ εἶναι ἐπ᾽ ἄπειρον τὰ μεγέθη διαιρετά. ἐνεδέδωκασι γὰρ ὅτι εἰ ἐπ᾽ ἄπειρον τὰ μεγέθη διαιρετὰ εἴη, μήτε κίνησιν εἶναι, μήτε εἶναι κυρίως τι ὄν, καὶ διὰ τοῦτο μήτε πολλά, ἐπειδὴ τὸ πλῆθος ἐκ πολλῶν μονάδων. ὅθεν ὁ ξενοκράτης ἀνῄρει τὴν ἐπ᾽ ἄπειρον τῶν μεγεθῶν τομήν. αὐτὸς γοῦν πολλαχῶς συγχωρήσας τούτῳ ἀληθεῖ ὄντι, ὅμως ἐπελύσατο μοναχῶς τὴν ἀπορίαν. ὡς καὶ τοῦτό φησιν ὅτι τῶν μεγεθῶν ἡ τομὴ δυνάμει μὲν ἐστὶν ἐπ᾽ ἄπειρον, ἐνεργείᾳ δὲ οὔ. ἀδύνατον γὰρ ἐνεργείᾳ γενέσθαι τὸ ἄπειρον. ὥστε καὶ ἡ κίνησις δυνάμει μὲν δι᾽ ἀπείρων ἐλεύσεται, ἐνεργείᾳ δὲ διὰ πεπερασμένων. οὐδὲ γὰρ κατὰ σημεῖον γίνεται ἡ κίνησις, ἀλλὰ κατὰ μέγεθος ὡρισμένον. διχοτομίαν δὲ ἐκάλεσε τὴν ζήνωνος ἐπιχείρησιν. καὶ δῆλον διατί. διότι τὸ ληφθὲν μέγεθος δίχα τέμνων, οὕτως ἐποιεῖτο τὴν κατασκευήν.

ΦΑΝΕΡΟΝ δὲ, καὶ ὅτι οὐκ ἀληθές, ὡς εἰ ἓν σημαίνει τὸ ὄν, καὶ μὴ οἷόν τε ἅμα τὴν ἀντίφασιν εἶναι, οὐκ ἔσται οὐδὲν μὴ ὄν. οὐδὲν γὰρ κωλύει μὴ ἁπλῶς εἶναι, ἀλλὰ μὴ ὄν τι εἶναι τὸ μὴ ὄν.

Οὐκ ἀληθῆ φησιν ὑπονοεῖ ὁ πλάτων ὅτι τῷ συλλογισμῷ τοῦ παρμενίδου ἕπεται τὸ ἀναιρεῖσθαι καθόλου τὸ μὴ ὄν, καὶ μὴ δύνασθαι κατ᾽ οὐδένα τρόπον εἶναι. ἕπεται μὲν γὰρ τῇ ὅλῃ ἀγωγῇ τοῦ συλλογισμοῦ τὸ ἓν εἶναι τὸ ὄν, οὐ μέντοι τὸ μηδαμῶς εἶναι τὸ μὴ ὄν. ἐπειδὴ γὰρ τὴν ὕλην ὁ πλάτων μὴ ὂν ἐκάλει, καὶ ἐξῃρῆσθαι αὐτὴν τῆς τοῦ ὄντος φύσεως, εἵπετο δὲ τοῖς παρμενίδου λόγοις τὸ μηδὲ εἶναι ὅπερ μὴ τῆς τοῦ ὄντος ἐστὶ φύσεως, ὅθεν φησὶ συνῆγεν ὁ πλάτων ὅτι ἕπεται τῷ παρμενιδείῳ λόγῳ τὸ μηδαμῶς εἶναι τὸ μὴ ὄν. τοῦτο δέ φησιν οὐκ ἔστιν ἀληθές. οὐδὲν γὰρ κωλύει καὶ τοῦ συλλογισμοῦ τούτου ἀληθοῦς ὄντος, λέγω δὴ τοῦ κατασκευάζοντος ὅτι ἓν ἐστὶ τὸ ὄν, εἶναι καὶ τὸ μὴ ὄν. ἀλλ᾽ οὐ τοῦτο λέγω τὸ μὴ ὄν, τὸ ἁπλῶς μὴ ὄν, ὅπερ παντελῶς ἐστὶν ἕτερον τοῦ ὄντος. ἀλλὰ τὸ τὶ μὴ ὄν, ὅπερ ἐν τῷ ὄντι ἐστί. τουτέστι τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν. τὸ οὖν οὐκ ἀληθές, ὡς εἰ ἓν σημαίνει τὸ ὂν καὶ μὴ οἷόν τε ἅμα εἶναι τὴν ἀντίφασιν, ἀντὶ τοῦ οὐκ ἀληθές τὸ τῷ ὅλῳ συλλογισμῷ ἕπεσθαι τὸ μὴ εἶναι μηδὲν μὴ ὄν. τὰς γὰρ προτάσεις ἀντὶ τοῦ ὅλου συλλογισμοῦ ἔθηκε. τὸ δὲ ἑξῆς. οὐδὲν γὰρ κωλύει εἶναι τὸ μὴ ὄν, οὐ τὸ ἁπλῶς, ἀλλὰ τὸ τὶ μὴ ὄν.

ΤΟ δὲ δὴ φάναι παρ᾽ αὐτὸ τὸ ὂν ὡς εἰ μή τι ἔσται ἄλλο, ἓν πάντα ἔσεσθαι, ἄτοπον.

Ὅτι οὐκ ἀνάγκη τῷ συλλογισμῷ τῷ παρμενίδου ἕπεσθαι τὸ μὴ εἶναι τὸ μὴ ὄν, διὰ τούτων κατασκευάζει. τὸν οὖν δὲ σύνδεσμον, ἀντὶ τοῦ γὰρ ἐπακούσομεν. τὸ γὰρ λέγειν φησὶν ὅτι εἰ μὴ εἴη ἕτερόν τι παρὰ τὸ ὂν ὅπερ παντελῶς ἕτερον ἐστὶ τῆς τοῦ ὄντος οὐσίας, ἤδη ἀνάγκη πάντα ἓν εἶναι. ὡς γὰρ τούτου ἑπομένου ἠνάγκαζετο ὁ πλάτων ὑποτίθεσθαι τὸ ἁπλῶς μὴ ὄν, ἵν᾽ οὕτω πολλὰ δείξῃ τὰ ὄντα, ἄτοπόν ἐστι.

ΤΙΣ γὰρ μανθάνει αὐτὸ τὸ ὄν, εἰ μὴ τὸ ὅπερ ὄντι εἶναι; εἰ δὲ τοῦτο, οὐδὲν ὅμως κωλύει πολλὰ τὸ ὂν εἶναι, ὥσπερ εἴρηται.

Τουτέστι τίς ἀκούει παρ᾽ αὐτῶν τὸ ὄν, οὐ τὸ ὅπερ ὂν νομίζει αὐτοὺς λέγειν, τουτέστι τὸ κυρίως ὄν. λέγω δὴ τὴν οὐσίαν. εἰ δὲ τοῦτό ἐστι τὸ ὄν, οὐδὲν κωλύει αὐτὸ πολλὰ εἶναι, ὥσπερ εἴπομεν. τῷ γὰρ γένει ἓν εἶναι τὸ ὂν ἀκουσόμεθα, καὶ οὐ τῷ ἀριθμῷ. εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ τὸ τὶ μὴ ὂν ἔστιν ἐν τούτῳ. ἕκαστον γὰρ τῶν ὑπὸ τὸ γένος εἰδῶν καὶ τῶν ὑπὸ τὸ εἶδος ἀτόμων, οὐκ ἔστιν ὅπερ τὸ ἕτερον. οὐκ ἀληθὲς ἄρα τὸ νομίζειν ἕπεσθαι τῷ παρμενίδου συλλογισμῷ, τὸ ἀναιρεῖσθαι τὸ μὴ ὄν. δύναται δὲ καὶ ἴδιον ἐπιχείρημα εἶναι τοῦτο, ὅτι οὐδὲ ἀναγκαῖον ἦν διὰ τῆς ὑποθέσεως τοῦ μὴ ὄντος, ἐλέγξαι τὸν παρμενίδου λόγον. εἰ γὰρ δυνατὸν τὸ ἓν τῷ γένει καὶ οὐ τῷ ἀριθμῷ ἀκούειν, περιττὸν τὸ διὰ τῆς ὑποθέσεως τοῦ μὴ ὄντος δεικνύναι θέλειν πολλὰ εἶναι τὰ ὄντα, ἐξὸν αὐτόθεν δεῖξαι διὰ τῆς διαιρέσεως ὅτι πολλὰ τὰ ὄντα. τῷ γὰρ γένει τὸ ἓν καὶ οὐ τῷ ἀριθμῷ. κατὰ ταύτην δὲ τὴν ἔκδοσιν; οὐ μεταληψόμεθα τὸν δὲ, εἰς τὸν γάρ. ἔστι γὰρ ἀρκτικός.

ΟΤΙ μὲν οὖν οὕτως ἓν εἶναι τὸ ὂν ἀδύνατον, δῆλον. ὡς δ᾽ οἱ φυσικοὶ λέγουσι, δύο τρόποι εἰσίν.

Ἐλέγξας τὴν δόξαν τῶν ἀμφὶ τὸν παρμενίδην καὶ μέλισσον τὴν λέγουσαν ἓν εἶναι τὸ ὄν, μέτεισιν ἤδη τὸν τῶν φυσικῶν ἔλεγχον. καί φησιν, ὅτι μὲν ὡς ἐκεῖνοι ἓν τὸ ὂν λέγουσιν, ἀδύνατον ὑποθέσθαι, δέδεικται. ὡς δὲ οἱ φυσικοὶ λέγουσιν ἓν τὸ ὄν, λέγουσι δὲ οὐ τῷ πάντα ἓν εἶναι, ἀλλὰ τῷ μίαν πάντων ἀρχὴν ὑποτίθεσθαι. μίαν δὲ ἀρχὴν ὑποτίθενται ἡράκλειτος μὲν τὸ πῦρ. ἀναξιμένης δὲ τὸν ἀέρα. θαλῆς δὲ τὸ ὕδωρ. ἀναξίμανδρος δὲ τὸ μεταξύ. τούτων δὲ διττοί εἰσιν οἱ τρόποι. οἱ μὲν γὰρ αὐτῶν, πυκνώσει καὶ μανώσει τοῦ κατ᾽ αὐτοὺς στοιχείου, οὕτω γεννῶσι τὰ ἄλλα. οἷον ὁ θαλῆς τὸν ἀέρα στοιχεῖον ὑποτιθέμενος, τοῦτον μανούμενον μὲν ἔλεγε ποιεῖν τὸ πῦρ. πυκνούμενον δὲ ἠρέμα, ποιεῖν τὸν ἄνεμον. ἔτι δὲ μᾶλλον τὸ ὕδωρ. καὶ ἤδη πλέον, τὰ γῆϊνα πάντα. οἱ μὲν οὖν οὕτως ἔλεγον ἐκ τοῦ ἑνὸς τὴν γένεσιν γίνεσθαι. ἀναξίμανδρος

μὲν λόγοις οὐκ ἐνδιαλύοντες, ἀντικατασκευάζοντες δὲ καὶ ὡς ἑτέραν ἀποδείξαντες τὸν λόγον. ταῦτα δὲ φασὶν αὐτὸν αἰνίττεσθαι ὡς Πλάτωνα καὶ ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος. ὑποτιθέμενος γὰρ ὁ Πλάτων φασὶν ἐν τῷ σοφιστῇ εἶναι τὸ καθόλου μὴ ὄν, ὅπερ τὴν τοῦ ὄντος φύσιν ἐκπέφευγεν, ἀναιρεῖ τὸ τὰ πάντα ἓν εἶναι, λέγων οὕτως. εἰ τὸ ὂν πᾶν ἕν ἐστιν, οὐκ ἔσται τὸ μὴ ὄν. ἀλλὰ μὴν ἔστι τὸ μὴ ὄν. οὐκ ἄρα τὸ ὂν πᾶν, ἕν ἐστι. πόθεν δὲ ὁ Πλάτων συγχωρῶν ἓν σημαίνειν τὸ ὄν, οὐκέτι συγχωρεῖ τὸ ἓν εἶναι τὰ πάντα; διότι φησὶ τοῦτο αὐτοὺς τὸ ὂν τὸ ὄντως λέγειν. λέγω δὴ τὴν ἰδέαν καὶ τὸ νοητόν. ὅπερ καὶ αὐτὸς μόνον ἔλεγεν ὂν εἶναι. καὶ παρὰ τοῦτο πᾶν οὐκ ὄν, καὶ ἓν εἶναι τοῦτο. ἀλλ᾽ εἰ καὶ τοῦτο ἓν εἶναι ἔλεγε καὶ μόνον ὄν, οὐκέτι τὸ παρὰ τοῦτο πᾶν μὴ εἶναι ἔλεγεν. εἶναι γὰρ καὶ τὸ μὴ ὄν, τουτέστι τὴν ἄμορφον ὕλην. ἥτις εἰ καὶ παντελῶς ἑτέρα ἐστὶ τοῦ ὄντος, ἀλλ᾽ οὖν ἔστι καὶ αὕτη. συγκεῖσθαι οὖν ἔλεγε τὸ πᾶν, ἔκ τε τοῦ ὄντος ὃ καὶ ἓν εἶναι ἐδίδου, καὶ ἐκ τοῦ μὴ ὄντος ὅπερ τὴν ὕλην εἶναι ὑπελάμβανεν. ἐνταῦθα τῇ προτάσει συγχωρῶν τῇ λεγούσῃ τὸ ὂν ἓν σημαίνειν, οὐκέτι συνεχώρει τῷ ἁπλῶς πᾶν ὅτι περ ἐστὶ τοῦτο ἓν εἶναι. ὅπερ τὸ τοῦ συλλογισμοῦ συμπέρασμα ἐβούλετο. μέμφεται οὖν αὐτῷ ὁ Ἀριστοτέλης ὡς μαλακῶς πρὸς τὸν συλλογισμὸν τὸν Παρμενίδου ἀπαντήσαντα. τοῦτο δὲ, διότι συγχωρήσας τὸ ὂν ἓν σημαίνειν, οὐκέτι συγχωρεῖ τὸ ὂν πᾶν ἓν εἶναι, διὰ τὸ ἀπάγειν ἑτέραν τινὰ φύσιν, ἣν εἰ καὶ παντελῶς ἑτέραν εἶναι λέγει τοῦ ὄντος, εἶναι μέντοι καὶ ταύτην λέγει. τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ τῇ ἀντιφάσει περιπίπτειν. συγχωρήσας γὰρ τὸ ὂν ἓν εἶναι, λέγει πάλιν ὅτι πολλὰ τὰ ὄντα, διὰ τὸ εἶναι καὶ τὸ μὴ ὄν, ὅπερ τοῦ ὄντος παντελῶς ἐστιν ἕτερον. τοῦτο δὲ τί διαφέρει τοῦ τὸ ὂν ἕν τι εἶναι λέγειν καὶ οὐχ ἕν. οὐδὲ γὰρ διὰ τοῦ τὸ μὲν κυρίως εἶναι λέγειν τὸ δὲ μὴ κυρίως, ἐκφεύγει τὴν ἀντίφασιν, εἰ μὴ καὶ μᾶλλον αὐτῇ περιπίπτει. διαφορὰς γὰρ τῶν ὄντων ποιῶν πλείους φανερῶς ἀριθμὸν αὐτοῖς δίδωσι. διὰ τοῦτο οὖν μέμφεται αὐτῷ ὁ Ἀριστοτέλης, καί φησιν ὅτι δυνατὸν ἦν καὶ συγχωρήσαντα μίαν εἶναι τὴν τοῦ ὄντος φύσιν, δεῖξαι ὅτι οὕτως πολλὰ τὰ ὄντα, οὐ διὰ τὸ ὑποθέσθαι τὸ ἁπλῶς μὴ ὄν, ὅπερ καθόλου τοῦ ὄντος ἐστὶν ἕτερον. τοῦτο γὰρ ὥσπερ εἶπον, οὐδὲν ἕτερόν ἐστιν ἢ ἀντιφάσει περιπεσεῖν. ἀλλὰ διὰ τοῦ ὑποθέσθαι τὸ τὶ μὴ ὄν, ὅπερ οὐχ ἕτερόν ἐστι τοῦ ὄντος, ἀλλ᾽ ἐν αὐτῷ τῷ ὄντι τὸ εἶναι ἔχει. λέγω δὴ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν, ὅπερ καὶ αὐτὸς ὁ Πλάτων φησὶν οὐ περ ἔλαττον εἶναι τοῦ ὄντος. κἂν γὰρ συνάγηται ἐκ τοῦ Παρμενίδου λόγου ἓν εἶναι τὸ ὄν, οὐκ ἀνάγκη τὸ κατ᾽ ἀριθμὸν ἓν συνάγεσθαι. οὐδὲ γὰρ ἕπεται τοῦτο ταῖς προτάσεσι. τὸ γὰρ ἓν σημαίνειν τὸ ὄν, οὐ τῷ ἀριθμῷ ἕν ἐστι σημαίνειν, οὐδὲ τοῦτο συγχωρήσομεν, ἀλλὰ τῷ γένει ἕν. ὥστε καὶ τὸ συμπέρασμα τὸ τῷ γένει ἕν, συνάξει. εἰ δὲ τῷ γένει ἓν τὸ ὄν, οἷον εἰ τύχοι ζῷον, ἢ οὐσία, ἔστιν ἐν τούτῳ δηλονότι καὶ τὸ μὴ ὄν, οὐ τὸ ἁπλῶς μὴ ὄν, ἀλλὰ τὸ τὶ μὴ ὄν. ὅπερ καὶ τὶ ὄν ἐστιν. ὁ γὰρ ἄνθρωπος ὂν καὶ μὴ ὄν ἐστιν. οὐ γάρ ἐστιν ἵππος, ἢ ὄνος. εἰ δὲ ἔστι καὶ τὸ μὴ ὄν, πολλὰ ἄρα τὸ ὄν. καὶ οὐκ ἔστι τοῦτο τῇ ἀντιφάσει περιπεσεῖν. οὐδὲ γὰρ ἓν λέγοντες εἶναι τὸ ὄν, καὶ παρὰ τοῦτο ἕτερον μὴ εἶναι, τὸ μὴ ὂν εἰσάγομεν, τὸ ἐκπεπτωκὸς παντελῶς τοῦ ὄντος. τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ αὐτὸ ὂν καὶ μὴ ὂν λέγειν, ἀλλὰ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν. ὅπερ καὶ ὄν ἐστιν. ὥστε τὸ αὐτὸ ἄλλως μὲν ὂν ἔσται, ἄλλως δὲ οὐκ ὄν, καὶ οὐ τὸ αὐτὸ κατὰ τὸ αὐτὸ, ὂν καὶ μὴ ὄν. οὐ γὰρ ᾗ ἄνθρωπος, οὐκ ὄν, ἀλλ᾽ ᾗ οὐκ ἔστιν ἵππος. τὸ μέντοι λέγειν ὅτι ἔστι τι, ὃ παντελῶς ἕτερόν ἐστι τοῦ ὄντος, εἶτα τοῦτο ἐγκαταριθμεῖν τοῖς οὖσι καὶ λέγειν πολλὰ τὰ ὄντα, ἄντικρυς τὸ αὐτό ἐστι κατὰ τὸ αὐτὸ ὂν καὶ μὴ ὂν ποιεῖν. ἄλλως τε αὐτόθεν ἔδει τῇ προτάσει ἐνστῆναι τῇ λεγούσῃ τὸ ὂν ἓν σημαίνειν, καὶ διελεῖν ποσαχῶς τὸ ἓν λέγεται, ὅτι ἢ ὀνόματι ἢ πράγματι. καὶ εἰ πράγματι, ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ. καὶ εἰ τῷ ἀριθμῷ, ἢ ὡς συνεχὲς, ἢ ὡς ἀδιαίρετον, ἢ ὡς τῷ λόγῳ ταὐτόν. καὶ δεῖξαι ὅτι κατ᾽ οὐδεμίαν ὑπόθεσιν ἔρρωται ὁ τοῦ Παρμενίδου λόγος, ὥσπερ αὐτὸς ἐποίησε. πρὸς μὲν οὖν τοὺς τοῦ Παρμενίδου λόγους οὕτως. πρὸς δὲ τὸν Ζήνωνος, τὸν Ξενοκράτην φασὶν ἀπαντῆσαι ὑποθέμενον μὴ ἐπ᾽ ἄπειρον τὴν τῶν μεγεθῶν γίνεσθαι τομήν. καταλύσειν γὰρ εἰς ἀτόμους γραμμὰς τεμνομένην τὴν γραμμήν. ἠγνόησε δὲ καὶ οὗτος ἀντιφάσει περιπεσὼν διὰ τοῦ δοκεῖν φυγεῖν τὴν ἀντίφασιν. τὸ αὐτὸ μὲν γὰρ ἓν καὶ πολλὰ εἶναι οὐκ ἀδύνατον, οὐδὲ ἀντίφασις τὸ τοιοῦτον, εἰ τὸ μὲν εἴη δυνάμει, τὸ δὲ ἐνεργείᾳ. ταὐτὸν δὲ ποιεῖν γραμμήν τε καὶ ἀδιαίρετον, ἄντικρυς ποιεῖν ἐστι τὴν γραμμὴν οὐ γραμμὴν, καὶ τὸ μέγεθος οὐ μέγεθος, εἴγε ἐπ᾽ ἄπειρον διαιρετόν ἐστι τὸ μέγεθος. ἔνιοι δὲ ἐνέδωσαν τοῖς λόγοις ἀμφοτέροις. ἀμφοτέροις φησὶ τοῖς τε τοῦ Παρμενίδου καὶ τοῖς τοῦ μαθητοῦ αὐτοῦ Ζήνωνος. τοῖς μὲν τοῦ διδασκάλου ὁ διδάσκαλος Πλάτων. τοῖς δὲ τοῦ μαθητοῦ Ζήνωνος ὁ μαθητὴς Πλάτωνος ὁ Ξενοκράτης.

ΤΩ μὲν ὅτι πάντα ἓν εἰ τὸ ὂν ἓν σημαίνει, ὅτι ἔστι τὸ μὴ ὄν.

Τῷ μὲν λόγῳ τοῦ Παρμενίδου τῷ κατασκευάζοντι ὅτι πάντα ἕν ἐστιν ἐκ τοῦ λαμβάνειν τὴν πρότασιν τὴν λέγουσαν, τὸ ὂν ἓν σημαίνειν, ἐνδεδώκασι. δέον εὐθὺς ἐνστῆναι τῇ προτάσει, καὶ ζητῆσαι πῶς λαμβάνουσιν ἓν σημαίνειν τὸ ὄν, καὶ διελεῖν τὸ ἓν ποσαχῶς λέγεται, καὶ δεῖξαι ὅτι κατ᾽ οὐδὲν τῶν σημαινομένων τοῦ ἑνὸς, εὐοδεῖ αὐτοῖς ὁ λόγος. ὅπερ ἡμεῖς ἐποιήσαμεν. οἱ δὲ τούτῳ συγχωρήσαντες τῷ συμπεράσματι ὅπερ ἀναγκαίως συνήγετο, διεμάχοντο διὰ τοῦ ὑποτίθεσθαι εἶναι καὶ τὸ μὴ ὄν. εἴπομεν δὲ τὴν τοῦ Πλάτωνος ἔννοιαν, ὅτι ἐπειδὴ τὸ ὂν ὑπελάμβανεν αὐτοὺς λέγειν τὸ νοητὸν, τὴν δὲ ὕλην εἶναι μὲν ἔλεγεν, ὂν δὲ μὴ εἶναι, μᾶλλον δὲ καὶ αὐτὰ αἰσθητὰ πάντα, διὰ τοῦτο καὶ ἓν εἶναι τὸ ὂν συνεχώρει, καὶ μὴ εἶναι

τὰ πάντα

ἀριθμῷ ἕν, τριχῶς ἐλέγετο, ἢ ὡς συνεχές, ἢ ὡς ἀδιαίρετον, ἢ ὡς τῷ λόγῳ ταυτόν, ἀνελὼν ὅτι οὔτε ὡς τῷ λόγῳ ταυτὸν δυνατὸν εἶναι, οὔτε ὡς συνεχές, κατ' οὐδένα τρόπον, οὔτε ὡς οὐσίας οἷόν τε τοῦ συνεχοῦς, οὔτε ὡς συμβεβηκότος, οὔτε ὡς ἐξ ἀμφοῖν συγκειμένου, καὶ οὐσίας, οὔτε δεκτικῆς τῶν συμβεβηκότων, οὔτε μὴν, ἔχουσί πως τὸν λειπόμενον ἀνάγει τρόπον. εἰ γὰρ τὸ κυρίως ἓν μήτε ὡς συνεχὲς εἴη μήτε ὡς τῷ λόγῳ ταυτὸν, λείπεται ἂν τὸ σημεῖον εἶναι, καὶ ἐκ σημείων. σημεῖον μὲν τῷ μήτε συνεχὲς εἶναι, μήτε τῷ λόγῳ ταυτόν. ἐκ σημείων δὲ τῷ τὸν ὁρισμὸν αὐτοῦ λόγον πλείονα παραλαμβάνειν ἐξ ἀνάγκης ὀνόματα σημαντικὰ τινῶν ἃ μέρη αὐτοῦ γίνεται. ἢ οὖν οὕτως τὸ ἓν ἐξ ἀδιαιρέτων. ἢ ἐξ ἀδιαιρέτων καὶ τὸ ἓν ἐξ οὐσιῶν. ἐπεὶ γὰρ ἔδειξεν ὅτι ἀδύνατον τὸν τοῦ ἀνθρώπου ἤτοι τὸν τοῦ ὄντος λόγον εἰς συμβεβηκότα διαιρεῖσθαι, ἕπεται τὸ εἰς οὐσίας αὐτοῦ εἶναι τὴν διαίρεσιν, ἐπειδὴ ἀνάγκη πολλὰ σημαίνειν τὸν ὁρισμόν. ὥστε συγκεῖσθαι ἂν τὸ ὂν ἐξ ὄντων μόνον. τουτέστιν ἐξ οὐσιῶν μόνον. καὶ οὕτως οὖν πολλὰ τὰ ὄντα, κἂν μὴ διαιρῆται ἐνεργείᾳ τὸ πᾶν. εἰ δὲ ἐξ οὐσιῶν μόνων, οὐδαμῶς μεθέξει τοῦ ποσοῦ. εἰ δὲ τοῦτο, οὔτε πεπερασμένον ἔσται οὔτε ἄπειρον. καὶ αὐτὸς τοίνυν οὕτως εἶπε τὸ πᾶν καὶ οὐ τὸ ὄν, πληκτικώτερον ποιῶν τὸ πᾶν. ἐπειδὴ ἐκ διωρισμένων ἐστὶ πολλῶν. τὸ δὲ πᾶν φησὶν ὅπερ ἔφη ἓν εἶναι, καὶ οὕτως ἐκ πλειόνων οὐσιῶν ἔσται, καὶ οὐκέτι ἓν ἂν εἴη, ἀλλὰ πολλά.

ἜΝΙΟΙ δὲ ἐνέδοσαν τοῖς λόγοις ἀμφοτέροις.

Β ἐλέγξας τὸν Παρμενίδειον λόγον, νῦν φησὶν ὅτι οὐχ ἡμεῖς μόνοι πρὸς αὐτὸν ἀντειρήκαμεν, ἀλλὰ καὶ οἱ πρὸ ἡμῶν. εἰ καὶ μὴ δεόντως ἐποιήσαντο τὴν ἀπάντησιν. εἶτα βουλόμενος ἐλέγξαι αὐτοὺς οὐ καλῶς αὐτὸν λυσαμένους τὸν Παρμενίδειον λόγον, πρότερον αὐτὸν τὸν λόγον αὐτοῦ ἐκτίθεται. ἐν τούτοις δὲ ὂν καὶ πρότερον ἐξέθετο, ἀλλὰ τὸν δεύτερον. ἔστι δὲ ὁ δεύτερος τοῦ Παρμενίδου λόγος, τοιοῦτος. εἰ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ συναληθεύει, ἓν ἄρα τὸ ὄν. εἰσὶ δὲ ἐν τῷ λόγῳ αἱ δύο ὑποθέσεις αὗται ὡς ἐν ἡγουμένῳ λόγῳ παραλαμβανόμεναι. εἰ τὸ ὂν ἓν σημαίνει, καὶ ἡ ἀντίφασις οὐ συναληθεύει. εἶτα ἑπόμενον, ἓν ἄρα τὸ ὄν. καὶ οὐδέν γε θαυμαστόν. πολλάκις γὰρ οὐ μιᾷ μόνῃ ὑποθέσει ἀκολουθεῖ τὸ ἑπόμενον, ἀλλὰ δυσί. οἷον ἐάν εἴπω εἰ ἡ ψυχὴ ἀθάνατος, ἔστι τὰ ὑπὸ γῆν δικαιωτήρια, οὐκ ἀναγκαίως ἕψεται τῷ ἡγουμένῳ τὸ ἑπόμενον. τί γὰρ εἰ καὶ ἡ ψυχὴ ἀθάνατος εἴη, πρόνοια δὲ μὴ εἴη. ἐὰν δὲ ἀμφοτέρας τὰς ὑποθέσεις συμπλέξω, εἰ ἡ ψυχὴ ἀθάνατος καὶ εἰ ἔστι πρόνοια, τότε ἀναγκαίως ἀκολουθήσει ὅτι ἐστὶ τὰ ὑπὸ γῆν δικαιωτήρια. ἀλλ' οὐδὲ τῇ ἑτέρᾳ μόνῃ ἕπεται. κἂν γὰρ πρόνοια μὲν ᾖ, ἡ ψυχὴ δὲ ἀθάνατος μὴ εἴη, οὐκ ἔστι τὰ ὑπὸ γῆν δικαιωτήρια τοῦ κρινομένου μὴ ὄντος. ὥσπερ οὖν ἐνταῦθα ταῖς δυσὶ μὲν ὑποθέσεσιν ἀκολουθεῖ τὸ ἑπόμενον, τῇ δὲ ἑτέρᾳ μόνῃ οὐκέτι, οὕτως καὶ ἐπὶ τοῦ λόγου τοῦ Παρμενίδου. κἄν τε γὰρ συναληθεύῃ ἡ ἀντίφασις, ἓν δὲ σημαίνῃ τὸ ὄν, οὐκέτι ἕπεται ἓν εἶναι τὸ ὄν. εἰ γὰρ συναληθεύει ἡ ἀντίφασις, ἔστι καὶ τὸ μὴ ὂν δηλονότι. εἰ δὲ τοῦτο, οὐκέτι ἓν τὸ ὄν. κἄν τε πάλιν μὴ συναληθεύῃ μὲν ἡ ἀντίφασις τὸ δὲ ὂν μὴ ἓν σημαίνῃ, ἀλλὰ πλείονα, δῆλον ὡς οὐκ ἀκολουθήσει τὸ ἓν εἶναι τὸ ὄν. ἐὰν δὲ ἀμφοτέρας συμπλέξωμεν τήν τε λέγουσαν τὸ ὂν ἓν σημαίνειν, καὶ τὴν λέγουσαν μὴ συναληθεύειν τὴν ἀντίφασιν, εὐλόγως ἀκολουθήσει ἀμφοτέραις τὸ, ἓν εἶναι τὸ ὄν. ὁ μὲν οὖν Παρμενίδου λόγος ἓν κατασκευάζων τὸ ὄν, τοιοῦτος. Ζήνων δὲ ὁ τούτου μαθητὴς συνηγορῶν τῷ διδασκάλῳ κατεσκεύαζεν ὅτι καὶ ἓν τὸ ὂν καὶ ἀκίνητον ἐξ ἀνάγκης. ταῦτα δὲ κατεσκεύαζεν ἐκ τῆς ἐπ' ἄπειρον τῶν συνεχῶν διχοτομίας. εἰ γὰρ μὴ ἓν εἴη τὸ ὂν καὶ ἀδιαίρετον, ἀλλὰ διαιροῖτο εἰς πλείονα, οὐδὲν ἔσται κυρίως ἕν. εἰ γὰρ διαιροῖτο τὸ συνεχές, ἐπ' ἄπειρον ἂν εἴη διαιρετόν. εἰ δὲ μηδὲν ἐστὶ κυρίως ἕν, οὐδὲ πολλά, εἴγε τὰ πολλὰ ἐκ πολλῶν ἑνάδων σύγκειται. ἀδύνατον ἄρα εἰς πολλὰ διαιρεῖσθαι τὸ ὄν. μόνως ἄρα ἕν ἐστιν. ἢ οὕτως, εἰ μὴ τὸ ὂν ἓν εἴη φησὶ καὶ ἀδιαίρετον, οὐδὲ πολλὰ ἔσται. τὰ γὰρ πολλὰ ἐκ πολλῶν ἑνάδων. ἑκάστη οὖν ἑνὰς ἤτοι μία ἐστὶ καὶ ἀδιαίρετος, ἢ καὶ αὐτὴ εἰς πολλὰ διαιρεῖται. εἰ μὲν οὖν μία ἐστὶ καὶ ἀδιαίρετος ἑκάστη μονὰς ἐξ ἀτόμων μεγεθῶν τὸ πᾶν ἔσται. εἰ δὲ καὶ αὗται διαιροῦνται, πάλιν περὶ ἑκάστης τῶν διαιρουμένων μονάδων πευσόμεθα ταῦτα. καὶ τοῦτο ἐπ' ἄπειρον. ὥστε ἀπειράκις ἄπειρον ἔσται τὸ πᾶν, εἰ πολλὰ εἴη τὰ ὄντα. εἰ δὲ τοῦτο ἄτοπον, μόνως ἄρα ἓν τὸ ὄν, καὶ πολλὰ εἶναι τὰ ὄντα οὐχ οἷόν τε. ἑκάστην γὰρ μονάδα ἀπειράκις τεμεῖν ἀνάγκη, ὅπερ ἄτοπον. ὅτι δὲ τὸ ἓν τοῦτο, καὶ ἀκίνητόν ἐστιν, ἐκέχρητο λόγῳ τοιούτῳ. εἰ κινεῖταί τι φησὶ τήνδε τὴν πεπερασμένην γραμμήν, ἀνάγκη πᾶσαν πρὶν τὴν ὅλην κινηθῆναι, τὴν ἡμίσειαν κινηθῆναι, καὶ πρὶν τὸ ἥμισυ τῆς ὅλης κινηθῆναι, ἀνάγκη πρότερον τὸ τέταρτον. καὶ τοῦτο ἐπ' ἄπειρον. τὸ γὰρ συνεχὲς ἐπ' ἄπειρόν ἐστι διαιρετόν. ἀνάγκη ἄρα εἰ κινεῖταί τι πεπερασμένην γραμμήν, ἄπειρά τινα κινηθῆναι μεγέθη πρότερον. εἰ δὲ τοῦτο, πᾶσα δὲ κίνησις ἐν τινὶ χρόνῳ πεπερασμένῳ γίνεται. οὐδὲν γὰρ ἐν τῷ ἀπείρῳ χρόνῳ κινεῖται, ἔσται ἄρα τὰ ἄπειρα μεγέθη κινηθῆναι ἐν πεπερασμένῳ χρόνῳ, ὅπερ ἀδύνατον. ὅλως δὲ τὸ ἄπειρον ἀδιεξίτητον. πρὸς οὖν τοῖς λόγοις τούτοις φησὶν, ἐνέδοσαν οἱ πρὸ ἡμῶν τόν τε τοῦ Παρμενίδου καὶ τὸν τοῦ Ζήνωνος. ἐνδεδωκέναι δὲ αὐτοὺς φησὶ, διὰ τὸ μαλακώτερον ἐνστῆναι αὐτοὺς πρὸς τοὺς λόγους. μαλακώτερον δὲ ἐνέστησαν διότι ταῖς προτάσεσι συγχωρήσαντες, τῷ συμπεράσματι διεμάχοντο, λύσαι μὲν τοὺς λόγους οὐκ ἰσχύοντες, πρὸς τὸ συμπέρασμα δὲ διατεινόμενοι. ὅτι μὲν γὰρ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ συναληθεύει, ἐνεδίδοσαν. τῷ δὲ ἑπομένῳ οὐκέτι συνεχώρουν τῷ ἓν εἶναι τὸ ὄν. τοὺς

» ΕΤΙ ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστιν, ἢ ἐξ ὧν ἐστίν, ἐν τῷ λόγῳ τῷ τούτων, οὐκ ἐνυπάρχει ὁ λόγος ὁ τοῦ
» ὅλου. οἷον, ἐν τῷ δίποδι ὁ τοῦ ἀνθρώπου. ἢ ἐν τῷ λευκῷ, ὁ τοῦ λευκοῦ ἀνθρώπου.

Τὸ τρίτον ἀξίωμα, ὅτι ἐν μὲν τῷ τοῦ ὅλου ὁρισμῷ, τὸ μέρος παραλαμβάνεται. ἐν δὲ τῷ τοῦ μέρους, οὐκέτι τὸ ὅλον. εἰπὼν δὲ ὅσα ἐν τῷ ὁριστικῷ λόγῳ ἔνεστι, προσέθηκεν ἢ ἐξ ὧν ἐστιν. ὡς γὰρ αὐτὸς εἶπεν ἐν τῇ ἀποδεικτικῇ, οὐ παντός ἐστιν ὁρισμὸν ἀποδοῦναι. οὔτε γὰρ τῶν γενικωτάτων γενῶν, οὔτε τῶν ἀτόμων. ὁ γὰρ ὁρισμὸς ἐκ γενῶν ἐστὶ καὶ τῶν συστατικῶν διαφορῶν. οὔτε δὲ τῶν γενικωτάτων γένος ἐστὶ λαβεῖν, οὔτε τῶν ἀτόμων. τὰ γὰρ γένη τῶν ἀδιαφόρων ἐστὶ γένη οὐχὶ τῶν ἀτόμων, δῆλον ὅτι οὐδ' αὖ ὁρισμοί τις τούτων ἀποδοίη. σωκράτους γὰρ καὶ πλάτωνος καὶ ἀλκιβιάδου, οὐδὲν ἂν εἴη κοινὸν γένος, οὐδὲ εἶδος. ἀλλ' εἴπερ ἑκάστου μὲν ἄθροισμά τι ἴδιον συμβεβηκότων ἐστὶ χαρακτηριστικόν. τούτων δὲ τῶν ἀθροισμάτων οὐκ ἔστι τὶ συνωνύμως κατηγορῆσαι. ὅταν γὰρ εἴπω σωκράτης ζῶόν ἐστιν ἢ ἄνθρωπος. οὐ τοῦ ἀθροίσματός τινος τῶν συμβεβηκότων ἃ χαρακτηρίζει τὸν σωκράτην, κατηγόρησα τὸ ζῶον. ἢ μὴ παρὰ φύσιν. παρὰ φύσιν γὰρ λέγεται κατηγορεῖσθαι ὅταν τοῦ συμβεβηκότος τὴν οὐσίαν κατηγορήσωμεν. ὡς ὅταν εἴπω τὸ λευκὸν τοῦτο ἄνθρωπός ἐστι. κατὰ φύσιν γὰρ κατηγορῶ, ὅταν τῆς οὐσίας τὸ συμβεβηκὸς κατηγορήσω. ἀλλὰ τῷ ἀνθρώπῳ τῷ μερικῷ φημὶ ὑπάρχειν τὸ ζῶον. καὶ ζῶον οὐ τὸ τυχόν, ἀλλὰ τὸ μερικὸν τὸ αὐτῷ ἐκείνῳ ὑπάρχον. οὐ γὰρ δὴ ὁ σωκράτης τὸ ζῶόν ἐστι τὸ γενικὸν τὸ κοινῶς πάντων κατηγορούμενον. ὡσαύτως καὶ τὸν ἄνθρωπον αὐτοῦ κατηγορεῖσθαι φαμὲν τὸν αὐτῷ πάλιν ὑπάρχοντα, τὸν συγκείμενον ἐκ τοῦδε τοῦ ζώου, καὶ τοῦδε τοῦ λογικοῦ. ἐπεὶ οὖν ὡς εἶπον, οὐ πάντα ὁρισμῷ σημαίνεται, ἀλλ' ἔστιν ἃ καὶ ὑπογραφικῷ λόγῳ, διὰ τοῦτο εἶπεν ἢ ἐξ ὧν ἐστιν. οὔτε γὰρ τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα, εἰς τὸν ἴδιον ἕκαστον ἑαυτοῦ ὁρισμὸν τὸ ὅλον λαμβάνει. οἷον τὸ ζῶον, τὸν ἄνθρωπον, ἢ τὸν ἵππον, οὐ ἐν τῷ ὁρισμῷ παραλαμβάνεται. οὔτε τὰ ὡσαύτως στοιχεῖα ἐξ ὧν τὸ σύνθετον σῶμα σύγκειται, εἰς τὸν ἴδιον ἕκαστον ἑαυτοῦ ὁρισμόν, τὸ σύνθετον σῶμα παραλαμβάνει. οὔτε μὴν εἰς τὸν ὁρισμὸν τοῦ τῆς κλίνης ποδός, ἡ κλίνη. οὔτε εἰς τὸν τῆς χειρός, ὁ σωκράτης. ἐπιτήρησον δὲ ὅτι οὐκ ἐπήγαγε τὸ τέταρτον ἀξίωμα νῦν. προσθήσει δὲ αὐτὸ ἐφεξῆς.

» ΕΙ τοίνυν ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ τῷ ἀνθρώπῳ συμβέβηκε τὸ δίπουν, ἀνάγκη χωριστὸν
» εἶναι αὐτό. ὥστε ἐνδέχοιτ' ἂν μὴ δίπουν εἶναι τὸν ἄνθρωπον, ἢ ἐν τῷ λόγῳ τῷ τοῦ δίποδος, ἐνέσται ὁ τοῦ
» ἀνθρώπου λόγος. ἀλλ' ἀδύνατον. ἐκεῖνο γάρ, ἐν τῷ ἐκείνου λόγῳ ἔνεστιν.

Εἰ τὰ παρ' ἡμῶν ληφθέντα φησὶν ἀξιώματα οὕτως ἔχει ὥσπερ εἰρήκαμεν. ἔτι δὲ τὰ μέρη τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου συμβεβηκότα τῷ ἀνθρώπῳ, ἢ χωριστὰ ἔσται αὐτοῦ συμβεβηκότα, καὶ ἐνδέχεται ποτὲ τὸν ἄνθρωπον μὴ εἶναι δίποδα, ἢ ζῶον, ἢ λογικόν. ἢ ἀχώριστα, καὶ ἐν τῷ ὁρισμῷ τοῦ δίποδος ἢ τοῦ ζώου ἢ τοῦ λογικοῦ, τὸν ἄνθρωπον παραληψόμεθα. ἀμφότερα δὲ ἀδύνατα. ἀεί τε γὰρ δίπουν ὁ ἄνθρωπος, καὶ οὐκ ἐν τῷ ὁρισμῷ τῶν μερῶν τὰ ὅλα παραλαμβάνεται. ἀλλ' ἔμπαλιν, εἰς τὸν τῶν ὅλων τὰ μέρη. τὸ δὲ ἐξ ἀνάγκης χωριστὸν εἶναι αὐτό, ἢ ἐν τῷ λόγῳ τῷ τοῦ δίποδος ἐνέσται ὁ τοῦ ἀνθρώπου λόγος, τουτέστιν ἀνάγκη ἢ χωριστὸν συμβεβηκὸς εἶναι αὐτὸ τοῦ ἀνθρώπου, ἢ ἀχώριστον.

» ΕΙ δ' ἄλλῳ συμβέβηκε τὸ δίπουν, καὶ τὸ ζῶον, καὶ μὴ ἔστιν ἑκάτερον, ὅπερ ἐστί, καὶ ὁ ἄνθρωπος ἂν
» εἴη τῶν συμβεβηκότων ἑτέρῳ.

Δείξας ὅτι ἀδύνατον τὰ μέρη τοῦ ὁρισμοῦ αὐτῷ ἐκείνῳ συμβεβηκέναι οὗ ὁ ὁρισμός, βούλεται δεῖξαι ὅτι οὐδὲ ἄλλῳ δυνατὸν αὐτὰ συμβεβηκέναι. εἰ γάρ φησι τὰ μέρη τοῦ ὁρισμοῦ μὴ οὐσίαι ὦσι. (τοῦτο γὰρ σημαίνει τὸ καὶ μὴ ἔστιν ἑκάτερον ὅπερ ὄντι), συμβέβηκε δ' ἐν ἄλλῳ τινί, ἐπειδὴ ᾧ τὰ μέρη ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον, καὶ τὸ ὅλον συμβεβηκὸς ἂν εἴη ἑτέρῳ. ὥστε ὁ αὐτὸς καὶ ἁπλῶς ἡ οὐσία, τῶν συμβεβηκότων τινὶ ἔσται. ὅπερ ἄτοπον καὶ ἀδύνατον, τὴν οὐσίαν συμβεβηκὸς εἶναι.

» ΑΛΛΑ τὸ ὅπερ ὄντι ἔστω μηδενὶ συμβεβηκός.

Ἐπειδὴ εἶπε καὶ ὁ ἄνθρωπος ἔσται τῶν συμβεβηκότων ἑτέρῳ, καὶ εἰς τοῦτο ὡς εἰς ἄτοπον ἀπήγαγε τὸν λόγον, διὰ τοῦτό φησιν ὅτι ὑποκείσθω τοῦτο ἡμῖν ὁμολογούμενον. ἐπειδὴ καὶ ὑπὸ τῆς ἐναργείας μαρτυρεῖται ὅτι ἡ οὐσία οὐκ ἔστι τῶν ἑτέρῳ τινὶ συμβεβηκότων, ἀλλὰ τῶν καθ' αὑτὸ ὑφεστηκότων.

» ΚΑΙ καθ' οὗ ἄμφω καὶ ἑκάτερον, καὶ τὸ ἐκ τούτων λεγέσθω.

Ἐπειδὴ ἔλαβεν ὅτι ᾧ τὰ μέρη συμβεβήκασιν, ἀνάγκη καὶ τὸ ὅλον συμβεβηκέναι, καὶ μὴ προϋποθέμενος αὐτό, διὰ τοῦτο νῦν αὐτὸ τίθησι, καί φησι, καὶ τοῦτο κείσθω ἡμῖν ἀξίωμα ἐκ τῆς ἐναργείας ὁμολογούμενον, ὅτι καθ' οὗ ἂν κατηγορηθῇ πάντα τὰ μέρη, καὶ τὸ ἐκ πάντων συγκείμενον κατηγορεῖται. εἰ γὰρ μὴ ἔστι τῶν μερῶν τὸ ὅλον ἕτερον, ἀνάγκη πάσα ᾧ ἂν ὑπάρξῃ πάντα τὰ μέρη, τούτῳ καὶ τὸ ὅλον ὑπάρξαι. ἐπεὶ δὲ ἔχει ἡ γραφὴ τό, καὶ ἑκάτερον, οὕτως ἐξηγητέον. καὶ καθ' οὗ ἄμφω ἅμα τὰ μέρη κατηγορεῖται, καὶ ἑκάτερον ἰδίᾳ, κατηγορηθήσεται καὶ τὸ ὅλον τὸ ἐκ τούτων συγκείμενον. ἐπεὶ δὲ ἡ γραφὴ καὶ καθόλου, οὕτω νοητέον. καὶ καθόλου λόγῳ ἄμφω αὐτοῦ τοῦ αὐτοῦ κατηγορητέον. ἐφ' οὗ τὰ μέρη, αὐτοῦ τούτου καὶ τὸ ὅλον. καὶ ἔμπαλιν.

» ΕΞ ἀδιαιρέτων ἅμα τὸ πᾶν.

Τοῦτο διττῶς ἐξηγητέον. ἢ γὰρ ἐξ ἀδιαιρέτων τουτέστιν ἐκ σημείων. ἐπειδὴ γὰρ τὸ κυρίως ἐν, λέγω δὴ τὸ τῷ

γένωνται, ἀχώριστα εἶναι αὐτὰ τὰ συμβεβηκότα. ἀδύνατον δὲ εἰς τὸν ὁρισμὸν τοῦ ζώου καὶ τοῦ δίποδος παραληφθῆναι τὸν ἄνθρωπον. οὐδέποτε γὰρ εἰς τὸν ὁρισμὸν τοῦ μέρους τὸ ὅλον παραλαμβάνεται. μέρος δὲ τὸ ζῷον καὶ τὸ δίπουν. ὅλον δέ τι ὁ ἄνθρωπος. τοῦτο δὲ ἔκ τε τῆς ἐναργείας δῆλον, καὶ ἐκ τούτου. καθάπερ γὰρ ὁ ὁρισμὸς ὅλον τὸ πρᾶγμα σημαίνει, οὕτω δηλονότι καὶ τὰ μέρη αὐτοῦ, τὰ τοῦ πράγματος μέρη. εἰ δὲ μὴ ἐνδέχεται τὸ ὑποκείμενον εἰς τὸν ὁρισμὸν αὐτῶν παραληφθῆναι, οὐδ' ἄρα ἐνδέχεται τῶν τοιούτων συμβεβηκότων εἶναι τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος παραλαμβανόμενα. εἰ γὰρ εἰς τὸν ἑκάστου ὁρισμὸν παραληφθείη τὸ ὑποκείμενον, ἐπειδὴ τὰ εἰς ὁρισμόν τινος παραλαμβανόμενα, μέρη ἐστὶν αὐτοῦ, ἔσται καὶ τὸ ὅλον τοῦ μέρους μέρος, εἴγε παραλαμβάνεται εἰς τὸν τοῦ μέρους ὁρισμόν. ἀδύνατον ἄρα ἀχώριστα εἶναι συμβεβηκότα τοῦ ὄντος, ὡς αὐτῷ μόνῳ ὑπάρχοντα τὰ ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβανόμενα. τοῦτο δὲ ἐδείχθη διὰ τοῦ δευτέρου καὶ τρίτου λήμματος, ὅτι ἐν τῷ ὁρισμῷ τῶν καθ' αὐτὰ συμβεβηκότων τὸ ὑποκείμενον παραλαμβάνεται. καὶ ὅτι ἐν τῷ ὁρισμῷ τοῦ μέρους, οὐ παραλαμβάνεται τὸ ὅλον. δήλου δὲ ὄντος τοῦ καθ' αὐτὸ, τοῦ τε ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνοντος, καὶ ὃ ἐν τῷ τοῦ ὑποκειμένου ὁρισμῷ παραλαμβάνεται. τοιαῦτα δέ ἐστι τὸ λογικὸν, τὸ δίπουν, καὶ ἁπλῶς τὰ μέρη τῶν οὐσιῶν, ἐκ ὅτως τοῦ προτέρου μόνου ἐμνήσθη. τοῦτο γὰρ μόνον τῶν συμβεβηκότων ἐστί. τὸ δὲ λοιπὸν οὐδ' οὐσιῶν λέγεται. μέρος γάρ ἐστι τῆς οὐσίας. κἂν ὑπόθοιτό τις τοῦτο ὃ βουλόμεθα, δῆλον διαιρετὴν εἶναι τὴν οὐσίαν εἰς οὐσίας ὅτι μὲν οὖν τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος παραλαμβανόμενα οὐ συμβέβηκεν αὐτῷ οὔτε ὡς χωριστὰ, οὔτε ὡς ἀχώριστα, δῆλον ἐκ τῶν εἰρημένων. μήποτε οὖν ἄλλῳ τινὶ συμβέβηκεν. ἀλλ' εἰ τοῦτο, τῷ αὐτῷ καὶ τὸ ὅλον συμβεβηκὸς ἂν εἴη. ᾧ γὰρ τὰ μέρη ὑπάρχει, τούτῳ καὶ τὸ ὅλον. καὶ ἔμπαλιν. ἀλλ' ἀδύνατον τὸ ὂν συμβεβηκὸς εἶναι ἄλλῳ. ὥστε οὐδὲ ἑτέρῳ συμβεβηκέναι δυνατὸν τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα. τοῦτο δὲ ἐδείχθη διὰ τοῦ τετάρτου λήμματος, ὅτι ᾧ τὰ μέρη ὑπάρχει, τοῦτο καὶ τὸ ὅλον. εἰ δέ τις εἴποι, ὅτι εἰ μὴ πάντα τὰ μέρη ἑνὶ συμβεβηκότα εἴη, καλῶς ἂν καὶ τὸ ὅλον τῷ αὐτῷ συμβαίνει. εἰ δὲ ἄλλῳ ἄλλο μέρος, οὐκέτι. οἷον ἄλλῳ τὸ ζῷον, ἄλλῳ τὸ δίπουν. οὐ γὰρ τὸ δίπουν, εὐθὺς καὶ ἄνθρωπος. φημὶ οὖν ὅτι ἐπειδὴ τὸν ἄτομον λαμβάνω ἄνθρωπον δηλονότι, καὶ τὸ ἰδικὸν τούτου ζῷον καὶ τὸ δίπουν παραλήψομαι. εἰ δὲ τοῦτο, μερισθήσεται ὁ ὅλος ἄνθρωπος. ὥστε ᾧ τὸ δίπουν ὑπάρξει, καὶ τὸ τοῦ ὅλου μέρος ὑπάρξει. ᾧ δὲ τὰ μέρη, καὶ τὸ ὅλον. ὥστε ἄλλῳ συμβεβηκέναι δυνατὸν τὰ ἐν ὁρισμῷ παραλαμβανόμενα. ὅλως ἄρα συμβεβηκότα εἶναι οὐ δύνανται. εἰ δὲ οὐσίαι, πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν. μερίζει γὰρ τὸ ὂν εἰς ἕτερα τῷ εἴδει ὄντα. Ὅτι δὲ διαιρεῖται τὸ ὅπερ ὂν, εἰς ὅπερ ὄν τι ἄλλο, καὶ τῷ λόγῳ φανερόν. Εἰπὼν πρότερον ὅτι οὐ τοίνυν οὐδὲ μέγεθος ἕξει τὸ ὄν. εἰ γὰρ ἕν ἐστι τὸ ὂν, τοῦτο δέ ἐστιν ἡ οὐσία, δηλονότι οὐχ ἕξει τὸ μέγεθος. τοῦτο γὰρ τοῦ ποσοῦ. εἰ γὰρ ἕξει, ἐπειδὴ ἕτερος ὁ τοῦ ποσοῦ λόγος, καὶ ἕτερος ὁ τῆς οὐσίας, πλείονα ἔσται τὰ ὄντα. εἰ γάρ τις ὑπόθοιτο τὸ ποσὸν ὑπάρχειν μετὰ τῇ οὐσίᾳ μὴ ὂν δὲ εἶναι, ἅμα τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν εἶναι. ἀνάγκη οὖν ἅπερ ἡ οὐσία τὸ ὂν, μηδὲ μέγεθος αὐτὴν ἔχειν μηδ' ὅλως ἕτερόν τι τῶν συμβεβηκότων. καὶ ἔπεται μὲν καὶ τούτῳ τῷ λόγῳ τὸ ἐναντιοῦσθαι αὐτοὺς ταῖς ἰδίαις ὑποθέσεσιν. ἔσται γὰρ οὔτε ἄπειρον ἔσται, οὔτε πεπερασμένον. πλὴν νῦν δείκνυσιν ὅτι κἂν τοῦτο αὐτοὺς λέγειν ὑποθώμεθα, αὐτὴν καθ' αὑτὴν μόνην εἶναι τὴν οὐσίαν χωρὶς συμβεβηκότων, καὶ οὕτως οὐδὲν ἧττον δείκνυνται πολλὰ τὰ ὄντα. διαιρεῖται γὰρ αὕτη ἡ οὐσία εἰς ἑτέρας οὐσίας τῷ ὁριστικῷ λόγῳ, εἰ καὶ τῷ ὑποκειμένῳ ἀδιαίρετοι εἶεν. ὁ γὰρ ἄνθρωπος εἰ καὶ εἷς ἐστιν αὐτῷ τούτῳ τῷ ἄνθρωπος εἶναι, ἀλλ' οὖν διαιρεῖται εἰς τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ θνητὸν, ἅπερ ἕτερα καὶ ἀλλήλων εἰσὶ κατὰ τὸν ὁριστικὸν λόγον. ἢ οὖν εἰς τὸ καὶ τῷ λόγῳ, ὑποστικτέον, ἵνα ᾖ. ὅτι δὲ ἡ οὐσία διαιρεῖται εἰς οὐσίας ἑτέρας διαφερούσας ἀλλήλων τῷ λόγῳ τῷ ὁριστικῷ, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ. ἢ στικτέον εἰς ὅπερ ὄν τι ἄλλο. εἶτα ἐφεξῆς τὸ, καὶ τῷ λόγῳ φανερὸν, ἀντὶ τοῦ καὶ τῷ λόγῳ δεῖξαι δυνατὸν, ὅτι ἡ οὐσία διαιρεῖται εἰς ἑτέρας οὐσίας, ὡς δὴ τούτου φανεροῦ μὲν ἐκ τῆς ἐναργείας ὄντος, δεικνυμένου δὲ καὶ λόγῳ.

ΕΙ γὰρ μὴ ὅπερ ὄντα, συμβεβηκότα ἔσται. ἢ οὖν τῷ αὐτῷ, ἢ ἄλλῳ τινὶ ὑποκειμένῳ. ἀλλ' ἀδύνατον.

Εἰ γὰρ τὰ εἰς ἃ ὁ ἄνθρωπος διαιρεῖται ὑπὸ τοῦ ὁριστικοῦ λόγου, μή εἰσιν οὐσίαι, ἀνάγκη συμβεβηκότα εἶναι. εἰ δὲ τοῦτο, ἢ αὐτῷ ἑκάστῳ συμβεβηκέναι ἀνάγκη, ἢ ἑτέρῳ. καὶ ἢ χωριστὰ εἶναι ἢ ἀχώριστα. ἀμφότερα δὲ ἀδύνατα.

ΣΥΜβεβηκός τε γὰρ λέγεται τοῦτο, ἢ ὃ ἐνδέχεται ὑπάρχειν, καὶ μὴ ὑπάρχειν.

Τοῦτο τὸ πρῶτον ἀξίωμα. ὅτι τὸ χωριστὸν συμβεβηκὸς οὐκ ἀεὶ, ἀλλ' ἔστιν ὅτε καὶ οὐχ ὑπάρχει.

ΗΟΥ ὑπάρχει ἐν τῷ λόγῳ τὸ ᾧ συμβέβηκεν.

Τὸ δεύτερον ἀξίωμα, ὅτι ἐν τῷ ὁρισμῷ τοῦ ἀχωρίστου συμβεβηκότος τὸ ὑποκείμενον παραλαμβάνεται. οὐ παντὸς δὲ ἀχωρίστου, ἀλλὰ τοῦ καθ' αὑτὸ ὑπάρχοντος. καθ' αὑτὸ γὰρ τῇ ῥινὶ ἡ σιμότης.

ΟΙΟΝ, τὸ μὲν καθῆσθαι, ὡς χωριζόμενον. ἐν δὲ τῷ σιμῷ ὑπάρχει ὁ λόγος ὁ τῆς ῥινὸς, ᾗ φαμὲν συμβεβηκέναι τὸ σιμόν.

Παράδειγμα τοῦ προτέρου. τῷ γὰρ ἀνθρώπῳ ὑπάρχει τὸ καθῆσθαι, οὐκ ἀεὶ ἀλλὰ ποτὲ μὲν, ποτὲ δὲ οὔ. ἐν δὲ τῷ σιμῷ ὑπάρχει ὁ λόγος ὁ τῆς ῥινός. παράδειγμα τοῦ δευτέρου.

ὍΤΙ δὲ διαιρεῖται τὸ ὅπερ ὂν εἰς ὅπερ ὄντι ἄλλο, καὶ τῷ λόγῳ φανερόν. οἷον ὁ ἄνθρωπος εἰ ἔστιν ὅπερ ὄντι, ἀνάγκη καὶ τὸ ζῷον ὅπερ ὄντι εἶναι καὶ τὸ δίπουν.

Διελὼν τὸ κυρίως ἕν, λέγω δὲ τὸ τῷ ἀριθμῷ, εἴς τε τὸ συνεχὲς καὶ τῷ λόγῳ ταυτὸν, καὶ εἰπὼν ὅτι εἰ ὡς συνεχὲς ἓν εἴη τὸ ὄν, ἢ οὐσία ἔσται ἢ συμβεβηκός. εἰ γὰρ σύνθετον ἐξ ἀμφοῖν, ἀναγκαίως πολλὰ τὰ ὄντα. εἶτα δείξας ὅτι οὐδ' εἰ οὐσία μόνον εἴη, ἐπειδὴ ἡ οὐσία δεκτική ἐστι τῶν συμβεβηκότων, καὶ ἔστιν ἀληθὲς εἰπεῖν ὅτι ἡ οὐσία λευκή ἐστι. τὸ δὲ λευκὸν οὐκ ὄν, καὶ ἡ οὐσία οὐκ ὄν ἐστιν, ὑπέκειτο δὲ καὶ ὂν εἶναι. τὸ αὐτὸ ἄρα καὶ ὂν ἔσται καὶ μὴ ὄν, ἐπειδὴ ἐκ τοῦ ὑποτίθεσθαι τὴν οὐσίαν δεκτικὴν εἶναι τῶν συμβεβηκότων συνήχθη τὸ ἄτοπον. εἴποι δ' ἄν τις τό, μήποτε δεῖ ὅλως ὑποτίθεσθαι εἶναι τὰ συμβεβηκότα, ἀλλὰ μόνην τὴν οὐσίαν εἶναι, διὰ τοῦτο νῦν τοῦτο προστίθεται δεῖξαι, ὅτι κἂν τὸ ὂν τὴν οὐσίαν ὑποθώμεθα εἶναι καὶ ταύτην ἀριθμῷ μίαν καὶ μηδ' ὅλως ὑπάρχειν αὐτῇ τὰ συμβεβηκότα, καὶ οὕτως δειχθήσεται οὐδὲν ἧττον πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν. λέγει δὲ δυνάμει ταῦτα. πότερον διδάσκετε ἡμᾶς περὶ τῆς οὐσίας ταύτης ἢ οὔ. εἰ μὲν οὖν οὐδὲν ἡμᾶς διδάσκετε, ἀλλ' ἀξιοῦτε ἡμᾶς ταῖς ἀποφάνσεσιν ὑμῶν ἕπεσθαι, οὐ πεισόμεθα ὑμῖν. εἰ δὲ διδάσκετε, ἢ δι' ὀνόματος πάντως ἡμᾶς διδάσκετε, ἢ διὰ λόγου. εἰ μὲν οὖν δι' ὀνόματος ἡμᾶς διδάσκετε, οὐ πεφύκασι τὰ ὀνόματα τὴν φύσιν τῶν πραγμάτων ἡμῖν παριστᾶν. ὁ γὰρ τὴν τοῦ ἀνθρώπου μαθεῖν θέλων φύσιν, οὐδὲν πλέον εἴσεται διὰ τῆς ἄνθρωπος φωνῆς. καὶ ἄλλως, εἰ τὰ ὀνόματα τῶν πραγμάτων ἱκανὰ ἦν εἰς παράστασιν τῆς οὐσίας αὐτῶν, πάντες ἄνθρωποι ὁμοίως ἡμῖν ἠθισμένοι, ὁμοίως εἰδότες τί ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεται. εἰ δὲ διὰ λόγου, ἢ δι' ὁρισμοῦ πάντως ἢ δι' ὑπογραφῆς. καὶ καθόλου πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις κατὰ φάσιν γίνεται φάσεις. ἢ γὰρ κατὰ ἀπόφασιν ὥσπερ ὁ Πλάτων τὴν περὶ θεοῦ φησὶ καὶ τῆς ὕλης διδασκαλίαν γίνεσθαι. ὅτι οὔτε τόδε ἐστὶν οὔτε τόδε θεός, ἀλλ' ὅτι ὑπὲρ ταῦτα. ὥσπερ καὶ ἐπὶ τῆς ὕλης ὅτι χείρων τούτων. ἢ κατ' ἀναλογίαν. ᾧ τρόπῳ πάλιν ἐπὶ θεοῦ καὶ τῆς ὕλης κέχρηται, λέγων ὅτι ὃν λόγον ἔχει ὁ ἥλιος πρὸς τὰ ἐγκόσμια πάντα, τοῦτον ὁ θεὸς ἁπλῶς πρὸς πάντα τὰ ὄντα. καὶ ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς τὰ χαλκᾶ σκεύη, τοῦτον τὸν λόγον ἡ ὕλη πρὸς τὰ ἔνυλα πάντα. ἢ δι' ὁρισμῶν. πᾶς δ' ὁρισμὸς καὶ ὑπογραφὴ ἐκ πλειόνων ἐστὶν ὀνομάτων. ἢ ὀνομάτων καὶ ῥημάτων. τὰ οὖν πλείονα ταῦτα ὀνόματα, ἤτοι ἓν καὶ ταυτὸν σημαίνουσιν, ἢ πλείονα καὶ διάφορα. ἀλλ' εἰ μὲν ἓν καὶ ταυτὸν σημαίνοιεν, πάλιν δι' ὀνόματός ἐστιν ἡ διδασκαλία. τί γὰρ διαφέρει διὰ τοῦ ξίφους ἢ μαχαίρας ἢ φασγάνου διδάξαι τὸ ὑποκείμενον. καθ' ἕκαστον γὰρ ὄνομα, τὸ αὐτὸ σημαίνομεν ὑποκείμενον. εἰ δὲ πλείονα καὶ διάφορα σημαίνουσιν αἱ ἐν τῷ ὁρισμῷ παραλαμβανόμεναι φωναί, ἤτοι οὐσίας πλείους σημαίνουσιν ἢ συμβεβηκότα. εἰ μὲν οὖν οὐσίας πλείους σημαίνουσιν, αὐτόθεν πολλὰ τὰ ὄντα. πολλαὶ γὰρ οὐσίαι. αἱ δὲ οὐσίαι, ὄντα εἰσίν. εἰ δὲ συμβεβηκότα, ἢ αὐτῷ τῷ ὄντι συμβεβήκασιν ἢ ἑτέρῳ. καὶ ἢ χωριστά εἰσιν ἢ ἀχώριστα. δεικνῦσιν οὖν ὅτι οὐδεμία ὑπόθεσις ἀληθὴς εἶναι δύναται. πρὸς δὲ τὴν δεῖξιν τούτων προλαμβάνει τέσσαρά τινα ἀξιώματα. ἓν μὲν ὅτι τὸ χωριστὸν συμβεβηκὸς δύναται καὶ ἀπογίνεσθαι τοῦ ὑποκειμένου. δεύτερον δὲ ὅτι τῶν ἀχωρίστων συμβεβηκότων, τῶν μὲν μιᾷ τινὶ ὡρισμένῃ φύσει ὑπαρχόντων. ὥσπερ τὸ ἄρτιον καὶ τὸ περιττὸν, ἀριθμῷ. εὐθύτης καὶ καμπυλότης γραμμῇ. τῶν δὲ πλείοσι. τὸ γὰρ μέλαν ἐστὶν ἀχώριστον τοῦ αἰθίοπος. ὑπάρχει δὲ καὶ κόραξι, καὶ ἐβένῳ, καὶ ἄλλοις πλείστοις, εἰς τὸν ὁρισμὸν τοῦ ἀχωρίστου συμβεβηκότος τῇ ὡρισμένῃ φύσει μιᾷ ὑπάρχοντος, τὸ ὑποκείμενον παραλαμβάνεται. ὅπερ καὶ ἓν τι σημαινόμενόν ἐστι τῶν καθ' αὑτό. ὥσπερ εἰς τὸν ὁρισμὸν τῆς σιμότητος, ἡ ῥίς. λέγομεν γὰρ σιμότητα εἶναι, κοιλότητα ἐν ῥινί. καὶ ἄρτιον εἶναι ἀριθμὸν δίχα τεμνόμενον. τρίτον ὅτι εἰς μὲν τὸν τοῦ ὅλου ὁρισμὸν τὰ μέρη παραλαμβάνεται. εἰς δὲ τὸν τῶν μερῶν, οὐκέτι τὸ ὅλον. οἷον ἄνθρωπον ὁριζόμενοι ζῷον λογικὸν θνητὸν παραλαμβάνομεν, ἅτινα μέρη ἐστὶ τοῦ ἀνθρώπου. τὸ ζῷον δ' ὁριζόμενοι ἢ τὸ λογικόν, οὐκέτι εἰς τὸν ὁρισμὸν τούτων τὸν ἄνθρωπον παραλαμβάνομεν. τέταρτον ὅπερ νῦν μὲν οὐ τίθησιν, ἐφεξῆς δὲ αὐτοῦ μεμνήσεται. ὅτι ᾧ ὑπάρχει τὰ μέρη, τούτῳ ἐξ ἀνάγκης καὶ τὸ ὅλον ὑπάρξει. καὶ ἔμπαλιν ᾧ τὸ ὅλον, καὶ τὰ μέρη. τὰ μὲν οὖν ἀξιώματα ταῦτα. δεικνῦσιν οὖν ὅτι ἀδύνατον τὰ ἐν τῷ ὁρισμῷ παραλαμβανόμενα αὐτῷ τῷ ὄντι συμβεβηκέναι οὕτως, ὥστε καὶ χωρίζεσθαι δύνασθαι. ἔστω γὰρ ὡς ἐν ὑποδείγματι εἷς ἄνθρωπος τὸ ὄν, τούτου ὁρισμὸς τὸ ζῷον λογικὸν δίπουν. εἰ οὖν τὸ ζῷον καὶ τὸ λογικὸν καὶ τὸ δίπουν συμβεβηκότα εἰσὶ χωριστὰ τοῦ ἀνθρώπου, ἐπειδὴ συμβεβηκός ἐστι χωριστὸν ὃ δύναται τοῦ ὑποκειμένου χωρίζεσθαι καὶ μὴ ἀεὶ εἶναι ἐν αὐτῷ, δῆλον ὅτι ἔσται ποτὲ ὁ ἄνθρωπος, οὔτε ζῷον οὔτε δίπους, οὔτε λογικόν. ὥστε οὐκ ἂν εἴη ὁριστικὰ ταῦτα τοῦ ἀνθρώπου. τὰ γὰρ ὁριστικὰ αὐτοῦ, χαρακτηριστικά τε αὐτοῦ ἐστὶ καὶ ἀεὶ αὐτῷ ὑπάρχει. ἀδύνατον ἄρα χωριστὰ εἶναι τοῦ ὄντος συμβεβηκότα τὰ ἐν τῷ ὁρισμῷ αὐτοῦ παραλαμβανόμενα. καὶ ἐχρησίμευσεν ἡμῖν εἰς τοῦτο, τὸ πρότερον λῆμμα τὸ λέγον, τὰ χωριστὰ συμβεβηκότα μὴ ἀεὶ παρεῖναι τῷ ὑποκειμένῳ. εἰ δὲ συμβεβηκότα ἐστὶν ἀχώριστα τῷ ἀνθρώπῳ τὸ ζῷον καὶ τὸ δίπουν, ἤτοι αὐτῷ μόνῳ συμβέβηκεν, ὡς τῷ ἀριθμῷ τὸ ἄρτιον. ἢ καὶ ἄλλοις, ὡς τὸ μέλαν οὐ τῷ αἰθίοπι μόνον, ἀλλὰ καὶ τῷ ἐβένῳ. εἰ μὲν οὖν αὐτῷ μόνῳ συμβέβηκε τὰ ἐν τῷ ὁρισμῷ τοῦ ὄντος παραλαμβανόμενα, ἔδει εἰς τὸν ὁρισμὸν ἑνὸς ἑκάστου αὐτῶν τὸ ὑποκείμενον τουτέστι τὸν ἄνθρωπον παραλαμβάνεσθαι. ὑποκείμενος γὰρ αὐτοῖς ὁ ἄνθρωπος διὰ τὴν ὑπόθεσιν τῶν λό-

τῷ τῷ ἀριθμῷ ἕν. οὐ γὰρ δή φησι τὸ συμβεβηκὸς ἂν λέγοιεν τὸ ὄν. τοῦτο δὲ ἐσήμανεν εἰπών. τὸ γὰρ συμβεβηκὸς καθ' ὑποκειμένου τινὸς λέγεται, τουτέστιν ἐν ἄλλῳ τὸ εἶναι ἔχει. ὥστε κυριώτερον ἂν τὴν οὐσίαν λέγοιεν τὸ ὄν. εἶτα τοῦτο εἰπών, φέρεται εἰς τὸ δεῖξαι ὅτι ἀδύνατον τὸ συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι. εἰ γὰρ τοῦτό φησιν εἴη τὸ ὄν, τὸ ᾧ συμβέβηκε τὸ ὄν, οὐκ ἔσται. συμβέβηκε δὲ τῇ οὐσίᾳ. ὥστε εἰ τὸ συμβεβηκὸς μόνον ὄν, ἡ οὐσία οὐκ ὂν ἔσται, ἑτέρα γάρ ἐστι τοῦ ὄντος. εἰ δὲ οὐκ ὄν, ἡ οὐσία, τί ὂν ἄρα οὐκ ὂν ἔσται. ὑπόκειται γὰρ ἡ οὐσία τῷ συμβεβηκότι. ὥστε ἔσται τι οὐσία. ἀλλὰ τὸ συμβεβηκὸς μόνον ὄν. ὥστε ἡ οὐσία οὐκ ὄν. τὸ αὐτὸ ἄρα καὶ ὂν καὶ οὐκ ὄν. ὅπερ ἀδύνατον.

ΟΥ ΔΗ ἔσται ἄλλο ὑπάρχον ἢ τὸ ὅπερ ὄν. οὐ γὰρ ἔσται ὄντι αὐτῷ εἶναι, εἰ μὴ πολλὰ σημαίνει τὸ ὂν οὕτως, ὥστε εἶναί τι ἕκαστον. ἀλλ' ὑπόκειται τὸ ὂν σημαίνειν ἕν.

Εἰ ἀδύνατόν φησι τὸ αὐτὸ ἅμα ὂν καὶ μὴ ὂν εἶναι, τοῦτο δὲ συμβέβηκεν ἐκ τοῦ ὑποθέσθαι ἡμᾶς τὸ ὂν συμβεβηκὸς εἶναι, ἀδύνατον ἄρα ἄλλῳ συμβεβηκέναι τὸ ὄν. οὐ γὰρ ἐνδέχεταί φησιν ὂν εἶναι τὸ συμβεβηκός, εἰ μὴ πολλὰ σημαίνει τὸ ὄν. ὥστε καὶ τὴν οὐσίαν ὄν τι λέγειν εἶναι καὶ τὸ συμβεβηκός. εἰ γὰρ ἓν τι σημαίνει τὸ ὄν, συμβήσεται τὰ εἰρημένα ἄτοπα. ἀλλὰ μὴν ὑπόκειται ἓν τὸ ὂν σημαίνειν. ἀδύνατον ἄρα τὸ ὂν συμβεβηκὸς εἶναι.

Εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλ' ἐκείνῳ, τί μᾶλλον τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ τὸ μὴ ὄν.

Δείξας ὅτι ἀδύνατον τὸ ὂν συμβεβηκὸς αὐτοὺς ὑποτίθεσθαι, ἀναφέρει αὐτὸ τὸ ἐξ ἀρχῆς ὅτι οὐδὲ οὐσίαν μίαν δυνατὸν εἶναι. διχῶς δὲ στικτέον. ἢ οὕτως. εἰ οὖν τὸ ὅπερ ὂν μηδενὶ συμβέβηκεν, ἀλλὰ μᾶλλον ἐκείνῳ ἕτερόν τι συμβέβηκεν. εἶτα ὑποστίξαντας ὧδε ἐπαγαγεῖν τὸ ὅπερ ὂν σημαίνει τὸ ὂν ἢ τὸ μὴ ὄν. ἢ μᾶλλον ἕως τὸ ἀλλ' ἐκείνῳ, στικτέον. εἶτα ἐφεξῆς τί μᾶλλον τὸ ὅπερ ὄν, καὶ τὰ ἑξῆς. ὁ δὲ νοῦς, εἰ οὖν ἀδύνατον τὸ ὅπερ ὂν συμβεβηκέναι τινί, ἀλλ' ἐκείνῳ τῷ ὅπερ ὄντι συμβέβηκεν ἕτερόν τι, τουτέστι τῇ οὐσίᾳ τὸ συμβεβηκός. τί μᾶλλον τὸ ὅπερ ὂν τουτέστιν ἡ οὐσία τὸ ὂν ἢ τὸ μὴ ὂν σημαίνει. τουτέστιν οὐδὲν μᾶλλον ἔσται ὂν ἢ οὐκ ὂν ἡ οὐσία. πῶς δὲ τοῦτο συμβαίνει, ἐπήγαγεν.

ΕΙ γὰρ ἔσται τὸ ὅπερ ὄν, τὸ αὐτὸ καὶ λευκόν, τῷ λευκῷ δ' εἶναι μὴ ἔστιν ὅπερ ὄν. οὐδὲ γὰρ οὐδὲ συμβεβηκέναι αὐτῷ οἷόν τε τὸ ὄν, οὐδὲν γὰρ ὄν, ὃ οὐχ ὅπερ ὄν. οὐκ ἄρα ὂν τὸ λευκόν, οὐχ οὕτως δέ, ὥσπερ τὶ μὴ ὄν, ἀλλ' ὅλως μὴ ὂν ἔσται.

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐπειδήπερ τὸ ὂν τουτέστιν ἡ οὐσία, ἔστι καὶ λευκή. λέγομεν γὰρ τὸν Σωκράτην λευκὸν εἶναι. τὸ δὲ λευκὸν οὐκ ἔστιν ὅπερ ὄν. μόνη γάρ ἐστιν ἡ οὐσία ὅπερ ὄν. ὅπερ ἀδύνατον. εἰ γὰρ ἀληθὲς εἰπεῖν τὴν οὐσίαν λευκήν. τὸ δὲ λευκόν, οὐκ ὄν. ἡ οὐσία ἄρα οὐκ ὄν. οὐδὲ γὰρ συμβεβηκέναι οἷόν τε αὐτῷ τὸ λευκόν. οὐδὲν γὰρ ὂν ὃ οὐχ ὅπερ ὄν, οὐκ ἄρα ὂν τὸ λευκόν. τὸ λευκόν φησιν οὐκ ἔστιν ὄν. οὐκ ἐνδέχεται γὰρ αὐτῷ ὑπάρξαι τὸ ὄν. πᾶν γὰρ ὄν, εὐθὺς καὶ ὅπερ ὄν ἐστιν. ὅπερ ὂν δέ, μόνως ἡ οὐσία. καὶ μόνως ἄρα ὂν ἡ οὐσία. εἰ δὲ τοῦτο, οὐκ ἄρα ὂν τὸ λευκόν. οὐχ οὕτω δὲ ὡς ὅπερ τὶ μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. ἐπειδὴ ἔδειξεν ὅτι τὸ λευκὸν οὐκ ἔστιν ὄν, διότι μόνως ὂν ἡ οὐσία. ἔστι δὲ μὴ ὄν, καὶ τὸ ἁπλῶς μὴ ὂν καὶ τὸ τὶ μὴ ὄν. ὥσπερ ὁ Σωκράτης τὶ μὴ ὄν ἐστιν. οὐκ ἔστι γὰρ Πλάτων ἢ Ἀλκιβιάδης. διὰ τοῦτό φησι τὸ λευκὸν μὴ ὄν ἐστιν, οὐχ ὡς τὶ μὴ ὄν, ἀλλ' ὅλως μὴ ὄν. διότι καὶ τὸ μόνως ὂν ἡ οὐσία, οὐκ ἔστι τὶ ὄν, ἀλλ' ἁπλῶς ὄν. ὥστε εἰ ἁπλῶς ὂν ἡ οὐσία καὶ μόνον ὄν, τὸ συμβεβηκὸς ἄρα ἁπλῶς μὴ ὄν.

ΤΟ ἄρα ὅπερ ὄν, οὐκ ὄν. ἀληθὲς γὰρ εἰπεῖν τὸ ὅπερ ὄν, ὅτι λευκόν. τοῦτο δέ, οὐκ ὂν ἐσήμαινεν.

Τοῦτο συμπέρασμά ἐστι τοῦ λόγου ὅλου. εἰ γὰρ τὸ ὅπερ ὂν ἡ οὐσία ἐστίν. ἡ οὐσία δέ ἐστι καὶ λευκόν. τὸ λευκὸν δὲ οὐκ ὄν, τὸ ὅπερ ὂν ἄρα οὐκ ὄν. διὰ δὲ τῶν ἐφεξῆς αὐτὸ τοῦτο πάλιν ἐπαναλαβὼν κατασκευάζει. ἀληθὲς γὰρ εἰπεῖν ὅτι λευκόν. ἀληθές φησι τὸ ὅπερ ὂν εἰπεῖν ὅτι λευκόν. εἰ γὰρ τὸ ὅπερ ὂν ἡ οὐσία, τὴν δὲ οὐσίαν ἀληθὲς εἰπεῖν ὅτι λευκόν, λέγομεν γὰρ τὸ σῶμα λευκὸν εἶναι, τὸ ὅπερ ὂν ἄρα ἀληθὲς εἰπεῖν ὅτι λευκόν. τὸ δὲ λευκόν, οὐκ ὂν ἐσήμαινε. μόνον γὰρ ὂν ἡ οὐσία. ὥστε καὶ τὸ ὅπερ ὄν, οὐκ ὂν ἔσται.

ΩΣΤ' ΕΙ καὶ τὸ λευκὸν σημαίνει τὸ ὄν, πλείω ἄρα σημαίνει τὸ ὄν.

Εἰ ἄτοπόν φησι τὸ ὅπερ ὂν τὸ αὐτὸ καὶ μὴ ὂν εἶναι, διότι τὸ ὅπερ ὄν, ἔστι καὶ λευκόν, τὸ δὲ λευκὸν μὴ ὄν ἐστι, ψεῦδος ἄρα τὸ λευκὸν μὴ ὂν εἶναι. ὂν ἄρα τὸ λευκόν. πᾶν δὲ ὄν, εὐθὺς καὶ ὅπερ ὄν. ὥστε καὶ τὸ λευκὸν ὅπερ ὄν. εἰ δὲ τοῦτο, ἔστι δὲ καὶ ἡ οὐσία ὅπερ ὄν, πλείω ἄρα σημαίνει τὸ ὂν καὶ οὐχ ἕν.

ΟΥ τοίνυν οὐδὲ μέγεθος ἕξει τὸ ὄν, εἴπερ ὅπερ ὂν τὸ ὄν. ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων.

Εἰς ἕτερον ἀπάγει τὸν λόγον. εἰ μόνως φησὶν ὅπερ ὄν, ἡ οὐσία. ἀνάγκη μηδὲ μέγεθος ἔχειν τὸ ὅπερ ὄν. τὸ γὰρ μέγεθος ποσόν. τὸ δὲ ποσόν, συμβεβηκός. τὸ δὲ συμβεβηκὸς μὴ ὄν. εἰ δὲ τὸ ὅπερ ὄν, οὐχ ἕξει μέγεθος, οὐδὲ πεπερασμένον οὐδὲ ἄπειρον ἔσται. ὥστε καὶ τὰς ἑαυτῶν ἀναιρήσουσιν ὑποθέσεις, ἓν ὑποτιθέμενοι σημαίνειν τὸ ὄν, τὴν οὐσίαν. ἑκατέρῳ γὰρ ἕτερον τὸ εἶναι τῶν μορίων τῆς οὐσίας τῆς μεμεγεθυσμένης. οἷον τοῦ σώματος μόρια καλεῖ τήν τε οὐσίαν αὐτὴν καὶ τὸ ποσόν. ταῦτα οὖν φησιν, εἰ καὶ τῷ ὑποκειμένῳ ἕν εἰσι ταυτόν ἐστιν, ἀλλ' οὖν τὸ εἶναι ἕτερόν ἐστιν ἑκατέρῳ αὐτῶν. ἄλλος γὰρ ὁ τῆς οὐσίας λόγος, καὶ ἄλλος ὁ τοῦ μεγέθους. ὥστε εἰ τὸ ὅπερ ὂν μόνον ἐστὶν ἡ οὐσία, τὸ μέγεθος ἄρα οὐκ ὄν. ὥστε οὐχ ἕξει μέγεθος ἡ οὐσία, ἵνα μὴ τὸ αὐτὸ καὶ ὂν καὶ οὐκ ὂν εἴη. εἰ δὲ μὴ ἕξει μέγεθος, οὔτε ἄπειρος ἔσται, οὔτε πεπερασμένη. ταῦτα γὰρ τοῦ ποσοῦ.

μενίδης, καὶ ψευδῆ λαμβάνουσι καὶ ἀσυλλόγιστοί εἰσι. ψευδεῖς μὲν γὰρ λαμβάνει τὰς προτάσεις ὅτι τὸ ὂν πολλὰ σημαῖνον ὡς ἕν τι σημαῖνον, οὕτω παρείληφεν ἐν τῇ ἐλάττονι προτάσει. τὸ γὰρ ἁπλῶς ἐνταῦθα, ἀντὶ τοῦ, μοναχῶς. καὶ δῆλον ἐκ τοῦ ἀντιδιαστεῖλαι αὐτῷ, τὸ πολλαχῶς. ἢ ἁπλῶς γάρ φησι λαμβάνει τὸ ὂν λέγεσθαι ἀντί τι τοῦ μοναχῶς, λεγόμενον πολλαχῶς. εἴπομεν δὲ ὅτι καὶ ἡ μείζων πρότασις, ψευδής ἐστι. τὸ μὲν ψεῦδος ἐν ταῖς προτάσεσι τοιοῦτον. τὸ δὲ ἀσυμπέραστον οὐκ ἔοικε διὰ τὴν ἀντιστροφὴν λαμβάνειν ὁ ἀριστοτέλης. ἔχει γὰρ ἡ λύσις οὕτως.

» ΑΣΥΜΠΕΡΑΣΤΟΣ δὲ, ὅτι εἰ μόνα τὰ λευκὰ ληφθείη σημαίνοντος ἓν τοῦ λευκοῦ, οὐδὲν ἧττον πολλὰ τὰ λευκὰ καὶ οὐχ ἕν. οὔτε γὰρ τῇ συνεχείᾳ ἓν ἔσται τὸ λευκόν. οὔτε τῷ λόγῳ.

Τουτέστιν, κἂν συγχωρήσωμεν αὐτῷ ἀληθῆ λαβεῖν τὴν ἐλάττονα πρότασιν καὶ τὸ ὂν ἕν τι σημαίνειν οἷον τὸ λευκὸν, ἀληθὲς μὲν τὸ εἰπεῖν ὅτι τὸ παρὰ τὸ ὂν οὐκ ὂν, τουτέστι τὸ παρὰ τὸ λευκὸν οὐ λευκὸν, οὐκέτι δὲ ἕξει χώραν ἡ μείζων πρότασις ἡ λέγουσα τὸ οὐκ ὂν, οὐδέν. τουτέστι τὸ οὐ λευκὸν οὐδέν ἐστιν. οὐκ ὂν μὲν γὰρ τὸ οὐ λευκὸν, διότι τὸ ὂν ἓν μόνον σημαίνει τὸ λευκόν. οὐ μέντοι ἤδη καὶ οὐδὲν ἔσται. ἐπεὶ καὶ ἡμεῖς τὴν ὕλην ἑτέραν τῶν ὄντων πάντων λέγοντες εἶναι, τουτέστι τῶν εἰδοπεποιημένων διὰ τὸ πᾶσαν ὑπεστρῶσθαι, ὅμως οὐ φαμὲν αὐτὴν οὐδὲν εἶναι. ὥστε ἀνῃρημένης τῆς μείζονος προτάσεως, οὐδὲν συμπερανθήσεται. ἐκ μιᾶς γὰρ προτάσεως, οὐδὲν συμπεραίνεται. ἀλλ᾽ ὥστε κἂν δῶμεν τὸ ὂν ἓν εἶναι, τοῦτο δὲ τὸ ἓν λευκόν ἐστιν, οὐδὲν ἧττον καὶ οὕτω πολλὰ ἔσονται τὰ ὄντα. τὰ γὰρ λευκὰ πολλά. τὸ γὰρ λευκὸν, ἓν εἶναι ἢ γένει ἢ εἴδει μόνον δυνατόν. εἰ δὲ οὕτως ἓν τὸ λευκὸν, πολλὰ δηλονότι καὶ οὐχ ἓν τὰ λευκά. πλειόνων γὰρ περιεκτικὸν τὸ γένος καὶ τὸ εἶδος. οὐ γὰρ δὴ τὸ λευκὸν ὡς ἕν τι ἄτομον ληψόμεθα. ἀδύνατον γάρ φησι τοῦτο. ἀνάγκη γὰρ εἰ ἓν εἴη τὸ ἄτομον, ἢ ὡς συνεχὲς εἶναι ἓν, ἢ ὡς τῷ λόγῳ ταυτόν. ἀδύνατον δὲ ἀμφοτέρως. οὔτε γὰρ ἕν τι συνεχές ἐστι τὸ λευκόν. ἐναργῶς γὰρ διακεκριμένα εἰσὶν ἀπ᾽ ἀλλήλων. οὔτε τῷ λόγῳ εἰσὶ ταυτά. ἄλλος γὰρ ὁ τοῦ λευκοῦ λόγος, καὶ ἄλλος ὁ τοῦ ὑποκειμένου τοῦ δεδεγμένου αὐτό. ἴδωμεν δὲ καὶ αὐτῆς λέξεως αὐτῆς πῶς φησίν.

» ΑΛΛΟ γὰρ ἔσται τὸ εἶναι λευκῷ καὶ τῷ δεδεγμένῳ.

Εἰπὼν ὅτι εἰ καὶ ἓν σημαίνει τὸ λευκὸν, οὐδὲν ἧττον πολλὰ τὰ λευκὰ, διότι ἢ γένει ἓν ἔσται ἢ εἴδει, ἐπήγαγεν. οὔτε γὰρ τῇ συνεχείᾳ ἓν ἔσται τὸ λευκὸν, οὔτε τῷ λόγῳ. ταυτὸν δὲ εἰπεῖν οὔτε γὰρ ὡς καθ᾽ ἕκαστον ἓν ἔσται τὸ λευκόν. τὸ δὲ καθ᾽ ἕκαστον, ἢ ὡς συνεχὲς ἐλέγετο ἓν εἶναι, ἢ ὡς ἀδιαίρετον, ἢ ὡς τῷ λόγῳ ταυτόν. ἐπεὶ οὖν οὐδὲν αὐτῷ συντείνει τὸ ἀδιαίρετον, παρῆκεν αὐτὸ νῦν. διχῇ οὖν διελὼν τὸ καθ᾽ ἕκαστον, δείκνυσιν ὅτι κατ᾽ οὐδέτερον, δυνατὸν ἓν λέγειν εἶναι τὸ ὂν τουτέστι τὸ λευκόν. τοῦτο γὰρ ὑπόκειται νῦν τὸ ὂν σημαίνειν. καὶ ὅτι μὲν οὐ δυνατὸν ὡς τῷ λόγῳ ταυτὸν εἶναι, φησίν. ἄλλο γὰρ ἔσται τὸ εἶναι λευκῷ, καὶ τῷ δεδεγμένῳ. τουτέστιν οὐ δυνατὸν ἕνα ὁρισμὸν τοῦ λευκοῦ ἀποδοῦναι. τὸ γὰρ λευκὸν σῶμά ἐστι ποιῶς δὲ κεχρωσμένον. καὶ ὁρισμὸς ἄλλος μὲν ἀποδίδοται τοῦ ὑποκειμένου, ἄλλος δὲ αὐτῆς τῆς λευκότητος. οὐ γάρ ἐστι τῶν καθ᾽ αὐτὸ ὑφεστηκότων τὸ λευκὸν, ἀλλὰ τῶν ἐν σώματι ἐχόντων τὸ εἶναι. εἰ τοίνυν μὴ δυνατὸν ἕνα ὁρισμὸν τοῦ ὑποκειμένου καὶ τῆς λευκότητος ἀποδοῦναι, οὐκ ἄρα ὡς τῷ λόγῳ ταυτὸν, ἓν ἔσται τὸ λευκόν.

» ΚΑΙ οὐκ ἔσται παρὰ τὸ λευκὸν, οὐδὲν χωριστόν. οὐ γὰρ ᾗ χωριστόν. ἀλλὰ τὸ εἶναι ἕτερον τὸ λευκὸν καὶ
» ᾧ ὑπάρχει. ἀλλὰ τοῦτο παρμενίδης οὔπω ἑώρα.

Ἐπειδὴ εἶπεν ὅτι ἕτερόν ἐστι τὸ λευκὸν τοῦ ὑποκειμένου, ἵνα μή τις ὑπονοήσῃ ὅτι τῷ εἶναι ἰδέαν τινὰ τοῦ λευκοῦ χωριστὴν καὶ οὐκ ἐν ὑποκειμένῳ τινὶ, ταύτῃ ἑτερός ἐστιν ὁ τοῦ λευκοῦ λόγος παρὰ τὸ ὑποκείμενον, διὰ τοῦτό φησιν ὅτι οὐκέτι χωριστόν τι εἶδος ἕτερον παρὰ τὸ λευκὸν τὸ ἐν ὑποκειμένῳ τῷ σώματι τὸ εἶναι ἔχον. ὥσπερ τυχὸν ὑποτίθεται πλάτων. οὐ γὰρ τῷ χωριστὸν εἶναί τι λευκὸν, ἕτερόν ἐστι τοῦ ὑποκειμένου, ἀλλὰ τῷ τὴν οὐσίαν ἕτερον ἔχειν, κἂν μυριάκις χωρισθῆναι οὐ πέφυκε, ταύτῃ καὶ τὸν ὁριστικὸν λόγον ἕτερον δέχεται. ὥστε εἰ ἀδύνατον ἓν εἶναι τῷ λόγῳ τὸ λευκὸν, ταυτὸν δὲ εἰπεῖν τὸ ὂν, οὐχ ἓν ἄρα οὐδ᾽ οὕτως τὸ ὄν. κἂν τὴν οὐσίαν δέ τις ὑπόθοιτο, ἀδύνατον πάλιν μίαν εἶναι τῷ λόγῳ. δεκτικὴ γὰρ αὕτη τῶν συμβεβηκότων ἐστίν. ἅτινα πάλιν ἕτερον τὸν τοῦ εἶναι δέχεται λόγον. ὥστε οὐδαμῶς ἓν εἶναι τὸ ὂν δυνατὸν ὡς τῷ λόγῳ ταυτὸν ὄν. ἀλλὰ τοῦτο παρμενίδης οὔπω συνεώρα, ὅτι κἂν ἅμα ὦσι καὶ ἐν τῷ αὐτῷ διάφορα πράγματα, ἕτερον τὸν τοῦ εἶναι λόγον ἐπιδεχόμενα, οὐχ ἕν εἰσι διὰ τὸ ὑποκείμενον μᾶλλον ἢ πολλὰ διὰ τοὺς ὁριστικοὺς λόγους. καὶ τοῦτο τῆς πλάνης αὐτῷ γέγονεν αἴτιον, τὸ ὁρᾶν τὰς κατηγορίας πάσας ἅμα οὔσας. ἐνόμισε γὰρ ὅτι διὰ τοῦτο καὶ τὸ ὂν, ἕν ἐστιν.

» ΑΝΑΓΚΗ δὴ λαβεῖν τοῖς λέγουσιν ἓν τὸ ὂν εἶναι, μὴ μόνον ἓν σημαίνειν τὸ ὂν, καθ᾽ οὗ ἂν κατη-
» γορηθῇ, ἀλλὰ καὶ ὅπερ ὂν, καὶ ὅπερ ἕν. τὸ γὰρ συμβεβηκὸς, καθ᾽ ὑποκειμένου τινὸς λέγεται. ὥστε ᾧ συμ-
» βέβηκε τὸ ὂν οὐκ ἔσται. ἕτερον γὰρ τοῦ ὄντος. ἔσται τί ἄρα οὐκ ὄν.

Δείξας ὅτι οὐκ ἔστιν ὡς τῷ λόγῳ ταυτὸν, ἓν τὸ ὂν, βούλεται νῦν δεῖξαι ὅτι οὐδὲ ὡς συνεχές. εἴρηται δὲ ὅτι εἰ ὡς συνεχὲς ἓν, ἢ ὡς οὐσία μόνον ἔσται, ἢ συμβεβηκὸς μόνον, ἢ μικτὸν ἐξ ἀμφοῖν. τέως οὖν ὅτι οὐ δύναται οὐσία μόνον εἶναι, δείκνυσιν. ἀνάγκη οὖν φησιν εὐγνωμονέστερον ἀκούοντας τῶν λόγων, τὸ ὂν ὅ φασιν, οὐ μόνον ἓν σημαίνειν ἐκδέχεσθαι ὡς αὐτοί φασιν. ἀλλὰ καὶ ὅπερ ἕν. τουτέστι τὸ κυρίως ἕν, ὅπερ ἐστὶ

χώραν ἔχει ἐπὶ τῶν ἀνδρῶν τούτων ἡ ὑπόθεσις αὕτη. εἴγε ὁ μὲν, ἄπειρον ἔλεγε τὸ ὄν· ὁ δὲ πεπερασμένον. τὸ δὲ ἄπειρον καὶ τὸ πεπερασμένον, τοῦ μεγέθους ἐστίν. τὸ δὲ ἀδιαίρετον, οὔτε ἄπειρον οὔτε πεπερασμένον. εἰ μὲν οὖν ὀνόματι μόνῳ ἕν ἐστι τὸ ὂν πραγμάτων ὄντων διαφόρων, αὐτόθι πολλὰ τὰ ὄντα. εἰ δὲ πράγματι εἴτε γένει, εἴτε εἴδει, πάλιν πολλὰ τὰ ὄντα. πολλὰ γὰρ περιέχει τὸ γένος διαφέροντα τοῖς εἴδεσι. καὶ τὸ εἶδος διαφέροντα τοῖς ἀτόμοις. εἰ δὲ τῷ ἀριθμῷ ἓν εἴη τὸ ὄν, εἰ μὲν τῷ λόγῳ ταυτόν· λέγω δὲ ὡς πολυώνυμον, τὸν ἡρακλείτου ἐροῦσι λόγον. ὅπερ ἤδη εἴπομεν. ὥστε τὰ ἐναντία τὰ αὐτὰ ἔσται καὶ ἡ ἀντίφασις. καὶ οὐ μᾶλλον ἔσται τὸ ὂν ἢ οὐκ ἔσται. εἰ δὲ ὡς συνεχὲς ἓν τὸ ὄν, ἀνάγκη τοῦτο φησὶν οὐσίαν εἶναι μόνον ἢ συμβεβηκὸς μόνον, ἢ σύνθετόν τι ἐξ οὐσίας καὶ συμβεβηκότος. εἰ μὲν οὖν σύνθετον ἐξ οὐσίας καὶ συμβεβηκότος, ἐναργῶς πολλὰ τὰ ὄντα. οὐδὲ γὰρ ἐπειδὴ συνυπάρχουσιν ἀλλήλοις ἡ οὐσία καὶ τὰ συμβεβηκότα, ἤδη που ἕν τι καὶ ταυτόν ἐστι πρᾶγμα. τοῦτο γάρ φησιν ἐστὶ καὶ τὸ τῆς πλάνης αἴτιον τῷ παρμενίδῃ. οὐ συνεῖδε γὰρ τὸ, ἄλλο μέν ἐστι τὸ δεκτικὸν τῶν συμβεβηκότων. ἄλλο δὲ αὐτὰ τὰ συμβεβηκότα, οὐ μόνον πρὸς τὸ ὑποκείμενον, ἀλλὰ καὶ πρὸς ἄλληλα. ταῦτα γὰρ πάντα εἰ καὶ ἕν τι ἀποπληροῦσιν, ἀλλ' οὖν ὁ τοῦ εἶναι λόγος ἑκάστου ἕτερός ἐστιν. ἄλλως γὰρ ἀποδώσεις τοῦ ὑποκειμένου, λέγω δὴ τῆς οὐσίας, τὸν ὁρισμόν, καὶ ἄλλως τοῦ ποσοῦ καὶ τοῦ ποιοῦ καὶ τῶν λοιπῶν. ὥστε εἰ οὕτως ὑπόθοιντο τὸ συνεχὲς ἓν εἶναι ὡς σύνθετον ἐξ οὐσίας καὶ συμβεβηκότων, ἐναργῶς πάλιν πολλὰ καὶ οὐχ ἓν τὸ ὄν. εἰ δὲ τὸ ὂν οὐσίαν μόνην ὑπόθοιντο ὅπερ καὶ εὔλογον ὑπονοεῖν. οὐ γὰρ δήπου τὸ ὂν τοῦτο συμβεβηκὸς ἔλεγον εἶναι. εἶτα μνησθεὶς τῆς οὐσίας. καὶ εἰπὼν ὅτι οὐκ εὔλογον τὸ ὑποτίθεσθαι αὐτοὺς συμβεβηκὸς λέγειν τὸ ὄν. πρότερον αὐτὸ τὸ τμῆμα τῆς διαιρέσεως διελέγχει. εἶτα ἀναφέρει ἐπὶ τὴν ὑπόθεσιν τὴν τῆς οὐσίας. εἰ γάρ φησιν εἴποιμεν τὸ ὂν συμβεβηκὸς εἶναι. ἐπειδὴ δὲ τὸ συμβεβηκὸς, τινὶ συμβέβηκε λέγω δὴ τῇ οὐσίᾳ. ἀνάγκη τι εἶναι τοῦτο ᾧ συμβέβηκεν. ἔστιν ἄρα ἡ οὐσία. ἀλλ' ἐπειδὴ μόνον τὸ συμβεβηκὸς, ὄν ἐστι, δῆλον ὅτι ἡ οὐσία, οὐκ ὂν ἔσται. καὶ ἕν τι μὲν ὄν, τὶ δὲ οὐκ ὄν. οὔπω γὰρ ἂν πολλὰ ἦν τὰ ὄντα. ἀλλ' ὅλως μὴ ὄν. ἀλλὰ μὴν ὑπέκειτο εἶναι, ἵνα καὶ συμβεβήκῃ τὸ ὄν, τουτέστι τὸ συμβεβηκός. τὶ ἄρα οὐκ ὂν ἔσται. ὅπερ ἄτοπον. οὐκ ὂν μὲν διότι τὸ συμβεβηκὸς μόνον ἐστὶν ὄν. εἶναι δὲ ἀνάγκη πάλιν τὴν οὐσίαν ᾗ τινι καὶ συμβεβηκέναι λέγεται τὸ ὄν. ἔσται τι ἄρα, ἡ οὐσία λέγω, καὶ ὂν καὶ οὐκ ὄν. καὶ ἄλλως οὐκ ὂν μὲν ἔσται ἐπειδὴ τοῦτο ὑπέκειτο. ἔσται δὲ πάλιν ὂν ἐπειδὴ τοῦ ὄντος μετέχει, λέγω δὴ τοῦ συμβεβηκότος. τὰ δὲ μετέχοντά τινος, παρωνύμως ἀπ' ἐκείνου καὶ ὀνομάζεται. τὸ γὰρ μετέχον τοῦ λευκοῦ, λευκὸν λέγεται. καὶ τὸ μετέχον τῆς μουσικῆς, μουσικόν. μουσικὴ γὰρ καὶ ἡ ἐπιστήμη, καὶ ἡ μουσικὴ γυνή. ὥστε εἰ τὸ μὴ ὄν, τουτέστιν ἡ οὐσία, μετέχει τοῦ συμβεβηκότος. τουτέστι τοῦ ὄντος, ὂν ἂν εἴη καὶ αὐτή. ὥστε τὸ αὐτὸ καὶ ὂν καὶ μὴ ὂν ἔσται. πάλιν δὲ ἐπειδὴ τὸ συμβεβηκὸς ὄν ἐστι, τὸ δὲ ὂν τοῦτο, ἑτέρῳ συμβέβηκε, τοῦτο δὲ οὐκ ὄν ἐστιν, ἔσται τὸ αὐτὸ καὶ οὐκ ὄν. ἔστι γὰρ ἐν τῷ οὐκ ὄντι. τὸ δὲ ἐν τῷ οὐκ ὄντι ὄν, οὐκ ὂν ἔσται. ἀδύνατον ἄρα τὸ ὂν συμβαίνει εἶναι. τοῦτο δείξας, ἀναφέρει ἐπὶ τὸ ἐξ ἀρχῆς προτεθέν. μήποτε οὖν τὸ ὂν οὐσίαν μόνην ὑποτίθενται εἶναι. οἷον ἀέρ' ὂν ἓν ἄρα ἢ ἁπλῶς σῶμά τι. ἀλλ' εἰ τοῦτο, ἐπειδή φησιν ὑπάρχουσι ταῖς οὐσίαις τὰ συμβεβηκότα, καὶ διὰ τοῦτο ἀληθὲς εἰπεῖν ὅτι ὁ σωκράτης λευκός ἐστιν ἢ ὁ ἄνθρωπος ἢ τὸ σῶμα, ἔσται πάλιν τὸ αὐτὸ καὶ ὂν καὶ οὐκ ὄν. εἰ γὰρ ἀληθὲς εἰπεῖν τὴν οὐσίαν λευκὴν εἶναι, τὸ δὲ λευκὸν οὐκ ὄν ἐστιν. ἡ οὐσία ἄρα οὐκ ὂν ἔσται. ἀλλὰ μὴν ἔστι καὶ τὸ ὄν. τὸ αὐτὸ ἄρα καὶ ὂν οὐκ ὂν ἔσται. καὶ πάλιν εἰ τὸ λευκὸν οὐκ ὄν ἐστιν. ἔστι δὲ τοῦτο ἐν τῇ οὐσίᾳ. ἡ δὲ οὐσία ὄν ἐστι, τὰ οὐκ ὄντα ἄρα ἐν τῷ ὄντι ἔσται. τὸ δὲ ἐν τῷ ὄντι ὄν, ὄν ἐστι. τὸ οὐκ ὂν ἄρα ὂν ἔσται. ἀδύνατον ἄρα τὴν οὐσίαν μόνην ὑποτίθεσθαι αὐτοὺς τὸ ὄν. μήποτε οὖν ὅλως τὰ συμβεβηκότα οὐχ ὑποτίθενται εἶναι, ἀλλ' αὐτὴν καθ' αὑτὴν μόνην. καὶ οὕτως οὐδὲν τῶν εἰρημένων ἄτοπον ἕψεται. ἀλλὰ ταύτην τὴν ὑπόθεσιν ἐφεξῆς γυμνάσει. δεῖ δὲ εὐγνωμόνας ἡμᾶς καὶ τῶν παρμενίδου λόγων ἀκούοντας ἐκ τῶν παρ' αὐτοῦ τοῦ παρμενίδου τὴν διάνοιαν αὐτοῦ ἑλεῖν. τί οὖν φησιν ἐν τοῖς ἔπεσιν αὐτὸς περὶ τοῦ ὄντος; οὖλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀγένητον. καὶ πάλιν, οὐκ ἦν, οὐκ ἔσται ὁμοῦ πᾶν. ἔστι δὲ μοῦνον. καὶ πάλιν ἐὸν γὰρ ἐόντι πελάζει. εἰ δὲ φησὶ πᾶν ὁμοῦ, καὶ ἐὸν ἐόντι πελάζει, ἤδη ἄρα τὸ πλῆθος ἐν τοῖς οὖσιν ὑπάρχειν. ἀλλ' ἐπεὶ μὴ περὶ φυσικῶν ἦν αὐτοῖς ὁ λόγος, ἀλλὰ περὶ τῶν νοητῶν, διὰ τοῦτο τὴν ἐν ἐκείνοις ἕνωσιν θεωροῦντες καὶ τὸ ἀμετάβλητον, οὕτως αὐτὰ ἐκάλουν. Καὶ πρὸς παρμενίδην δὲ ὁ αὐτὸς τρόπος τῶν λόγων καὶ εἴ τινες ἄλλοι ἴδιοι. τουτέστι τῷ αὐτῷ τῶν λόγων τρόπῳ καὶ τὸν παρμενίδην ἐλέγξομεν, ἓν λέγοντα τὸ ὂν καὶ ἀκίνητον. ὁμοίως γὰρ καὶ αὐτὸς καὶ ψευδεῖς εἴληφε τὰς προτάσεις, καὶ ἀσυλλογίστως συλλογίζεται. εἰ τοίνυν ὁ αὐτὸς τρόπος τῶν λόγων ἡμῖν καὶ πρὸς τοῦτον, δῆλον ὅτι ἐπιλυσόμεθα καὶ τοὺς τούτου λόγους, τῇ μὲν ἐλέγχοντες ὅτι ψευδεῖς, τῇ δὲ ὅτι ἀσυλλόγιστοι. καὶ τοῖς αὐτοῖς οὖν τρόποις τῶν λόγων τῷ μελίσσῳ ἐλεγχθήσεται, καὶ ἰδίοις ἑτέροις. φασὶ δὲ καὶ γεγράφθαι αὐτῷ ἰδίᾳ βιβλίον πρὸς τὴν παρμενίδου δόξαν, ὃ νῦν αἰνίττεται διὰ τοῦ εἰπεῖν καὶ εἴ τινες ἄλλοι ἕτεροι.

» ΚΑΙ ἡ λύσις τῇ μὲν ὅτι ψευδής. τῇ δὲ ὅτι οὐ συμπεραίνεται. ψευδὴς μὲν ᾗ ἁπλῶς λαμβάνει τὸ
» ὂν λέγεσθαι.

Ἐπιλυσόμεθά φησι τὸν παρμενίδου λόγον διττῶς. καὶ ὅτι ψευδεῖς εἴληφε προτάσεις. καὶ ὅτι οὐδ' οὕτω συμπεραίνει ἐξ αὐτῶν τοῦτο ὃ βούλεται. καὶ γὰρ ἐξ ἀρχῆς ἔλεγεν ὅτι ἀμφότεροι ὅ τε μέλισσος καὶ ὁ παρ-

» ΕΡΕΙΤΑ, καὶ διατί ἀκίνητον, εἰ ἕν. ὥσπερ γὰρ καὶ τὸ μέρος ἓν ὄν, τοδὶ τὸ ὕδωρ, κινεῖται ἐν αὑ-
» τῷ, διατί οὐ καὶ τὸ πᾶν; ἔπειτα ἀλλοίωσις διατί οὐκ ἂν εἴη.

Τί φησιν ἐκώλυεν καὶ ἑνὸς ὄντος κινεῖσθαι αὐτό. ὥσπερ γάρ φησι καὶ τὸ μέρος τοῦ ὕδατος ἓν ὑπάρχει ἐν τῷ ὅλῳ, καίτοι τοῦ ὅλου ἀκινήτου μένοντος, αὐτὸ κινεῖται. ὥσπερ ὅταν χαλάσαντές τις ἐν θαλάσσῃ τὴν χεῖρα, δινήσωμεν τὸ περὶ τὴν χεῖρα ὕδωρ. τοιοῦτοί εἰσι καὶ αἱ ἴλιγγοι αἱ ἐν τοῖς ὕδασι γινόμενοι. τί κωλύει οὖν φησι καὶ τὸ ὂν ἄπειρον ὄν, καὶ ἕν, ἀκίνητον μὲν εἶναι κατὰ τὸ ὅλον, κινεῖσθαι δὲ κατὰ τὰ μέρη. ὥσπερ καὶ ὁ οὐρανὸς τῷ μὲν ὅλῳ ἐστὶν ἀκίνητος, τοῖς δὲ μέρεσι κινούμενος. ἡ μὲν οὖν τὸ, ὥσπερ γὰρ καὶ τὸ μέρος ἓν ὄν, ὑφ' ἓν τὸ ὂν ἀναγνῶμεν, ἀντὶ τοῦ ἓν ὑπάρχει, οὕτως ἡ ἑρμηνεία. εἰ δὲ κατὰ διαστολὴν ἀντὶ τοῦ, ὥσπερ γὰρ καὶ τὸ μέρος τοῦ ὕδατος τοδὶ λέγω τὸ ὕδωρ ἓν καὶ αὐτὸ ὑπάρχον κινεῖται ἐν ἑαυτῷ. καὶ γὰρ τὸ μέρος ἀποσπασθὲν τῆς ὁλότητος οἷον τὸ ἐν τῷ κεράμῳ ὕδωρ ἕν τί ἐστι καὶ αὐτό. ὥσπερ οὖν τοῦτο καὶ ἕν ἐστι καὶ οὐδὲν κωλύει αὐτὸ ἐν ἑαυτῷ κινεῖσθαι, διατί μὴ καὶ τὸ ὄν, εἰ καὶ ἕν ἐστι, κινεῖται ἐν ἑαυτῷ. ἔπειτά φησιν ἔστω μὴ κινεῖσθαι αὐτὸ κατὰ τόπον. τί γὰρ κωλύει κατ' ἀλλοίωσιν αὐτὸ κινεῖσθαι. εἴπομεν δὲ καὶ ἡμεῖς ὅτι ἡ ὑπόθεσις τοῦ ἑνὸς παντελῶς τὴν κίνησιν ἀναιρεῖ.

» ΑΛΛΑ μὴν, οὐδὲ τῷ εἴδει οἷόν τε ἓν εἶναι. πλὴν τῷ ἐξ οὗ. οὕτως δὲ ἕν, καὶ τῶν φυσικῶν τινὲς
» λέγουσιν. ἐκείνως δ' οὔ. ἄνθρωπος γὰρ ἵππου, ἕτερον τῷ εἴδει. καὶ τἀναντία ἀλλήλων.

Ὥσπερ συναγορεύων τῇ μελίσσου δόξῃ φησὶν, ὅτι εἴγε δεῖ τῷ ὄντι ἓν τὸ ὂν λέγειν, οὕτως ἔσται ἓν τὸ ὂν οὐ τῷ εἴδει ἀλλὰ τῷ ὑποκειμένῳ. ὥσπερ φησὶ καὶ τῶν φυσικῶν τινὲς εἰρήκασιν, οἷον οἵ τε τὰ ἄτομα λέγοντες, ἓν γὰρ εἶναι τὸ γένος, σχήματι δὲ διαφέρειν. καὶ ὅσοι ἓν εἶναι τὸ στοιχεῖον ὑπέθεντο. πυκνώσει δὲ καὶ μανώσει τὰ ἄλλα ἐκ τούτου γίνεσθαι ἀλλ' εἰ καὶ τῷ ὑποκειμένῳ ἕν ἐστι τὰ ὄντα, ἀλλ' οὖν τοῖς εἴδεσι διαφέρουσιν. ὥστε οὐ μᾶλλον διὰ τὸ ὑποκείμενον ἓν ἔσται τὰ ὄντα, ἢ πολλὰ διὰ τὰ εἴδη. ἐπεὶ καὶ χαρακτηρίζονται τὰ πράγματα οὐ κατὰ τὴν ὕλην, ἀλλὰ κατὰ τὸ εἶδος.

» ΚΑΙ πρὸς παρμενίδην δὲ, ὁ αὐτὸς τρόπος τῶν λόγων. καὶ εἴ τινες ἄλλοι ἴδιοί εἰσι.

Ἐνστὰς καθόλου πρὸς τὸ πρόβλημα ὅτι ἀδύνατον ἓν εἶναι τὸ ὄν, εἶτα προχειρισάμενος τὸν μελίσσου λόγον δι' οὗ ἐκεῖνος ἓν εἶναι τὸ ὂν κατεσκεύαζε, καὶ διελέγξας αὐτὸν, ἀκολούθως καὶ τοὺς παρμενίδου προχειρίζεται λόγους, καὶ διελέγχει. ὥσπερ δὲ αἱ δόξαι ἥ τε μελίσσου καὶ ἡ παρμενίδου τὰ μέν τινα ἔχουσι κοινά. τὸ λέγειν ἓν εἶναι τὸ ὄν. καὶ ἀκίνητον. τὰ δὲ ἑκάστη ἴδια, τὸ τὸν μὲν, ἄπειρον εἶναι λέγειν τὸ ὄν. τὸν δὲ, πεπερασμένον, οὕτω καὶ οἱ πρὸς τούτους ἔλεγχοι οἱ μέν εἰσι κοινοὶ, οἱ δὲ ἴδιοι πρὸς ἕκαστον. κοινοὶ μὲν γὰρ εἰσὶ δι' ὧν ἐλέγχεται τὸ μὴ εἶναι ἓν καὶ ἀκίνητον τὸ ὄν. ἴδιοι δὲ δι' ὧν ὁ μὲν ἐλέγχεται ὅτι οὐκ ἄπειρον. ὁ δὲ ὅτι οὐδὲ πεπερασμένον. δείξει γὰρ ὅτι τὸ ὂν τοῦτο, ὅπερ καὶ ἓν εἶναι ὑποτίθεται, οὔτε ἄπειρον αὐτὸ ἐνδέχεται εἶναι, οὔτε πεπερασμένον. εἰσὶ δὲ οἱ τοῦ παρμενίδου λόγοι δύο. ὧν τὸν ἕτερον ἐν τούτοις ἐκτίθεται. οὗπερ καὶ ὁ θεόφραστος μέμνηται καὶ πλάτων. τὸν δὲ ἕτερον ἐν τοῖς ἔμπροσθεν. ἔστι δὲ ὁ λόγος τοιοῦτος. τὸ παρὰ τὸ ὄν φησιν, οὐκ ὄν ἐστι. τὸ οὐκ ὄν, οὐδέν. ἓν ἄρα τὸ ὄν, ἤτοι τὸ ὂν ἄρα ἕν. ὁ μὲν οὖν λόγος τοιοῦτος. ἡμάρτηται δὲ καὶ κατὰ τὰς προτάσεις, καὶ κατὰ τὴν ἀντιστροφήν. τὸ γὰρ συμπέρασμα κακῶς ἀπὸ τοῦ ἡγουμένου ἀντιστρέφει. ἔστι δὲ τὸ συμπέρασμα, τοῦτο. τὸ παρὰ τὸ ὂν ἄρα οὐδέν. τῆς οὖν συναντιθέσει ἀντιστροφῆς καθόλου ἀληθευούσης ὅταν λαβόμεν τὸ τῷ ἑπομένῳ ἀντικείμενον καὶ συναγάγωμεν τὸ τῷ ἡγουμένῳ ἀντικείμενον, αὐτὸς κακῶς ἐκ τοῦ ἡγουμένου ἐποιήσατο τὴν ἀντιστροφὴν, λαβὼν τὸ ἀντικείμενον τῷ ἡγουμένῳ, καὶ συναγαγὼν τὸ ἀντικείμενον τῷ ἑπομένῳ. ἔστι δὲ ἡγούμενον μὲν ἐν τῷ συμπεράσματι τὸ παρὰ τὸ ὄν, ἑπόμενον δὲ τὸ οὐδέν. ἀντίκειται δὲ τῷ μὲν παρὰ τὸ ὄν, τὸ ὄν. τῷ δὲ οὐδὲν, τὸ ἕν. εἰ τοίνυν ὑγιῶς ἐποιήσατο τὴν ἀντιστροφὴν, ἐκ τοῦ ἑπομένου συνῆγε τὸ ἓν ἄρα ὄν. καὶ ἀληθὴς ἂν ἦν τοῦτο. ἡ μὲν οὖν κατὰ τὴν ἀντιστροφὴν τοῦ συμπεράσματος, ἁμαρτία τοιαύτη. ἐγκαλεῖ δὲ ὁ ἀριστοτέλης καὶ ταῖς προτάσεσι, πρῶτον δὲ τῇ ἐλάττονι τῇ λεγούσῃ τὸ παρὰ τὸ ὄν, οὐκ ὄν. τῶν γὰρ ὄντων φησὶν ἐναργῶς πολλῶν ὄντων. τοῦτο γὰρ ἐκ τῆς ἐναργείας εἰλήφθω, οὐκ ἔδει ἑνικῶς προσαγαγέσθαι τὸν λόγον. οὐδὲ φωνὴν ὁμώνυμον λαβεῖν ἐν προτάσει ἀντὶ τοῦ ἑνός. ἀλλ' εἰπεῖν τὰ παρὰ τὰ ὄντα, οὐκ ὄντα. ἀλλὰ δὴ κἂν συγχωρήσωμεν αὐτῷ ἕν τι σημαίνειν τὸ ὄν, καὶ ἀληθῆ εἶναι τὴν ἐλάττονα πρότασιν, ἡ μείζων ψευδὴς ἔσται. ἔστω γὰρ ἀληθὲς τὸ παρὰ τὸ ὄν, οὐκ ὂν εἶναι, ἕν τι σημαίνοντες τοῦ ὄντος, οἷον τὴν οὐσίαν, οὐκέτι μέντοι ἀληθὲς τὸ οὐκ ὂν οὐδὲν εἶναι. καὶ γὰρ τὰ συμβεβηκότα οὐκ ὄντα μὲν διότι οὐκ οὐσίαι, οὐ μὴν οὐδέν. ταύτης τῆς προτάσεως καὶ ὁ πλάτων ἐν τῷ σοφιστῇ τῷ διαλόγῳ ἀντιλαμβάνεται. πολλὰ γὰρ ἐγκώμια πρότερον καταχέας τοῦ παρμενίδου, καὶ πατέρα αὐτὸν καλέσας φησὶν ὅτι εἰ καὶ ἀληθὲς εἴη τὸ παρὰ τὸ ὄν, οὐκ ὂν εἶναι, ἴσμεν γὰρ ὅτι ὂν ἐκάλει τὸ νοητόν. ἐπεὶ οὖν ἐστὶ τὸ παρὰ τὸ νοητὸν ὅπερ ὄντως ὄν ἐστι, τοῦτο οὐκ ὂν ἔσται, οὐκέτι μέντοι ἀληθὲς τὸ οὐκ ὄν, οὐδὲν εἶναι. τὰ γὰρ αἰσθητὰ πάντα, οὐκ ὄντα μὲν, διότι μόνα ὄντα τὰ νοητὰ, οὐ μέντοι οὐδέν. ἐστὶ γάρ τι καὶ τὰ αἰσθητά. ὥστε κἂν τὴν ἐλάττονα πρότασιν ὑποθώμεθα ἀληθεύειν, ἡ μείζων ψευδὴς ἔσται. ἐκ μιᾶς δὲ προτάσεως οὐδὲν συνάγεται. ἄλλως τε πῶς λέγει ἓν τὸ ὂν εἶναι. ἢ γὰρ ὀνόματι ἓν ἔσται, ἢ πράγματι. καὶ εἰ τῷ πράγματι, ἢ τῷ γένει ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ. καὶ εἰ τῷ ἀριθμῷ, ἢ ὡς συνεχὲς, ἢ ὡς τῷ λόγῳ ἕν. τὸ γὰρ ὡς ἀδιαίρετον, νῦν παραλιμπάνει. διότι οὐδὲ

οὖν, φησὶ καὶ ὁ μέλισσος καὶ ὁ παρμενίδης τὸν ἐριστικὸν συλλογίζονται τρόπον, προτάσεις τε ψευδεῖς λαμβάνοντες, καὶ ἀσυλλογίστως συλλογιζόμενοι. τὸ μὲν οὖν ἀσυλλόγιστον αὐτῶν ἐγκαλεῖ, διότι ἀμφότεροι κακῶς τῇ ἀντιστροφῇ ἐχρήσαντο, ἐκ τοῦ ἡγουμένου ποιησάμενοι αὐτήν. καὶ γὰρ καὶ ὁ παρμενίδης τῷ αὐτῷ τῆς ἀντιστροφῆς ἐχρήσατο τρόπῳ. τὸ παρὰ τὸ ὂν γάρ φησιν οὐκ ὄν. τὸ οὐκ ὄν, οὐδέν. τὸ ὂν ἄρα ἕν. συνῆγε τὸ μὲν γὰρ ἐκ τῶν προτάσεων, τὸ παρὰ τὸ ὂν ἄρα οὐδέν. ὁ δὲ τὸ συμπέρασμα τοῦτο ἀντιστρέψας, ἐκ τοῦ ἡγουμένου ἀντέστρεψε. δέον ἐκ τοῦ ἑπομένου. εἰ γὰρ τὸ παρὰ τὸ ὄν φησιν, οὐδέν ἐστι, τὸ ὂν ἄρα ἕν ἐστιν. ἀντίκειται γὰρ τῷ μὲν οὐκ ὄντι τὸ ὄν. τῷ δὲ οὐδὲν, τὸ ἕν. ἔδει οὖν ἐκ τοῦ ἑπομένου ἀντιστρέψαι καὶ εἰπεῖν τὸ ἓν ἄρα ὄν. οὕτω μὲν οὖν ἀσυλλόγιστοι αὐτῶν εἰσὶν οἱ λόγοι, κακῶς τῇ ἀντιστροφῇ χρησάμενοι. λαμβάνουσι δὲ καὶ ψευδῆ. καὶ πῶς ὁ μέλισσος ὅτι οἴεται τὸ μὴ γενόμενον ἀρχὴν μὴ ἔχειν. εἰ γὰρ καὶ διὰ τὴν ἀντιστροφὴν ἐλήφθη ἡ τοιαύτη πρότασις, ἀλλ' οὖν ἐπειδὴ δυνατὸν καὶ ἀσυλλογίστως συμπεραίνεσθαι τι ἀληθές. ὡς ὅταν εἴπω ὁ ἄνθρωπος οὐ λίθος, ὁ λίθος οὐχ ἵππος, ὁ ἄνθρωπος ἄρα οὐχ ἵππος, ἐνταῦθα ἀληθὲς μὲν τὸ συμπέρασμα, ἀσυλλογίστως δὲ συνῆκται ἐκ δύο ἀποφατικῶν. ἐπεὶ οὖν οὐ πάντως τῇ ἀσυλλογίστῳ ἀγωγῇ ἕπεται τὸ ψεῦδος, διὰ τοῦτο οὐ μόνον τὸ ἀσυλλογίστως λαβεῖν τὰς προτάσεις αὐτῷ ἐγκαλεῖ, ἀλλ' ὅτι μετὰ τοῦ ἀσυλλογίστου καὶ ψευδεῖς εἴληφε. τὰ αὐτὰ δὲ καὶ ὁ παρμενίδης πέπονθε, διὰ τῆς ἀσυλλογίστου ἀντιστροφῆς ψευδὲς συναγαγὼν ἓν τὸ ὂν εἶναι. φορτικώτερον δέ φησιν εἶναι τὸν μελίσσου λόγον. διότι ὁ μὲν παρμενίδης, δύο λόγους ἐκθέμενος, ἐν μὲν τῷ ἑνὶ οὗπερ καὶ ἀρτίως ἐμνήσθημεν, λαβὼν ἀληθεῖς προτάσεις τὸ παρὰ τὸ ὂν οὐκ ὄν. τὸ οὐκ ὄν, οὐδέν, κακῶς τὸ συμπέρασμα ἀντέστρεψεν. ὁ μέντοι μέλισσος εὐθὺς ἐν ἀρχῇ κακῶς τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ χρησάμενος, ἐκ ταύτης ψευδεῖς εἴληφε τὰς προτάσεις. φορτικὸς οὖν ὡς εὐθὺς ἐξ αὐτῆς τῆς τῶν προτάσεων λήψεως προσιστάμενος τοῖς ἀκροωμένοις, καὶ μηδὲν δεινὸν λέγων, καὶ οἷον κινῶν ἀπορίαν. ὁ μέντοι παρμενίδης καὶ ἐν τῷ δευτέρῳ λόγῳ, δεινότερον προῆλθεν. ἔστι δὲ ὁ λόγος, τοιοῦτος. εἰ τὸ ὂν ἓν σημαίνει καὶ ἡ ἀντίφασις οὐ συναληθεύει, τὸ ὂν ἄρα ἕν ἐστιν. οὔτε γὰρ τὰς προτάσεις πρὸς κοινὸν ὅρον συναπτούσας ἔταξεν, οὔτε τὸ συμπέρασμα ἐκ τῶν ἐκκειμένων ὅρων συνήγαγε, καὶ διὰ τοῦτο μὴ προφανῆ τὸν ἔλεγχον ἔχων, ἀπορίαν κινήσειεν ἄν πως τοῖς ἀκροωμένοις ὅτι τῆς ἀληθείας ἢ ψεύδους ἔχεται τὰ εἰρημένα. διὰ τοῦτο οὖν φορτικώτερον τὸν μελίσσου λόγον εἴρηκε διὰ τὸ μηδεμίαν ἔχειν ἀπορίαν, ἀλλ' εὐθὺς εὐφώρατον εἶναι τοῖς ἀκροωμένοις. τῷ γὰρ ὄντι φορτικοὺς τοὺς τοιούτους ἡγούμεθα λόγους καὶ ἄχθος περιττόν, ὅσοι μετὰ τοῦ ψεύδους, οὐδὲ τὸ δεινὸν καὶ δυσέλεγκτον ἔχουσιν. ἀλλ' ἑνὸς ἀτόπου δοθέντος, τὰ ἄλλα συμβαίνει. λαβὼν γὰρ ὁ μέλισσος εὐθὺς ἐν ἀρχῇ ἓν ἄτοπον τὴν ἀσυλλόγιστον ἀντιστροφὴν καὶ ἐκ ταύτης ψευδῆ πρότασιν τὴν λέγουσαν τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχειν, τὴν πραγματικὴν δηλονότι, οὕτως ἐκ ταύτης τῆς ἀρχῆς τὰ ἑξῆς ἄτοπα συνήγαγε, τὸ καὶ ἓν καὶ ἄπειρον καὶ ἀκίνητον εἶναι τὸ ὄν. τοῦτο δὲ οὐδὲ χαλεπὸν ἀντιστάντα ἓν ψεῦδος, ἐκ τούτου μυρία συναγαγεῖν. εἰ γὰρ δοθείη τὸν ἄνθρωπον πτηνὸν εἶναι, ἀκολουθήσει τὸ καὶ πτέρυγας αὐτὸν ἔχειν, καὶ ἵπτασθαι, καὶ ἄλογον εἶναι, καὶ ᾠοτοκεῖν. καὶ μυρία ἄλλα.

ΕΙΤΑ καὶ τοῦτο ἄτοπον τὸ παντὸς οἴεσθαι εἶναι ἀρχὴν τοῦ πράγματος καὶ μὴ τοῦ χρόνου.

Ἐπειδὴ προδήλως ἔλαβεν ἀρχὴν τὴν πραγματικὴν ὁ μέλισσος, τὸ δὲ τῆς ἀρχῆς ὄνομα ὁμώνυμόν ἐστιν. αὐτὸς δὲ παραδέδωκεν ἡμῖν ἐν τῷ περὶ τῶν ὁμωνύμων τόπῳ ὅτι ὅταν ὁμώνυμος ἡμῖν φωνὴ ἐν προβλήματι προτείνηται, δεῖ διαστέλλεσθαι τὰ σημαινόμενα τῆς ὁμωνύμου φωνῆς, καὶ ἀφορίζειν περὶ ποίου ἐστὶν ὁ λόγος, διὰ τοῦτο ἐγκαλεῖ τῷ μελίσσῳ ὅτι περὶ ὁμωνύμου φωνῆς τῆς ἀρχῆς διαλεγόμενος, οὐ διεστείλατο αὐτῆς τὰ σημαινόμενα. ἀλλ' ὡς ἕν τι σημαινούσης τὴν πραγματικὴν ἀρχήν, οὕτω περὶ αὐτῆς διαλέγεται.

ΚΑΙ γενέσεως μὴ τῆς ἁπλῆς, ἀλλὰ καὶ ἀλλοιώσεως. ὥσπερ οὐκ ἀθρόας γινομένης μεταβολῆς.

Ἐπειδὴ ὑπετίθετο ὁ μέλισσος πᾶν τὸ γινόμενον εὐθὺς καὶ ἀρχὴν ἔχειν πραγματικήν. πραγματικὴν δὲ ἀρχὴν τὴν κατὰ μόριον. οὐδὲ γὰρ ἁπλῶς τὴν ὡς στοιχεῖον. οὕτω γὰρ οὐ συνῆγεν ὃ ἠβούλετο. μάλιστα μὲν γὰρ καὶ ἅτινα μὴ εἴη γενόμενα, σώματά γε ὅμως ὄντα, ἀνάγκη γε πάντως αὐτὰ ἀρχὴν τὴν κατὰ τὸ στοιχεῖον ἔχειν. πᾶν γὰρ σῶμα ἐξ ὕλης καὶ εἴδους καὶ τῶν ἁπλουστάτων. ἔπειτα οὐκ εἰ μὴ ἔχει ἀρχὴν τὴν κατὰ τὸ στοιχεῖον, ἀνάγκη καὶ ἄπειρον τοῦτο εἶναι τῷ μεγέθει. τοὐναντίον γὰρ εἴ τι μὴ ἐκ στοιχείων σύγκειται, τοῦτο οὐδ' ὅλως μέγεθος ἕξει. ὥστε πολλῷ μᾶλλον οὐδ' ἄπειρον ἢ πεπερασμένον ἔσται. τοιαῦτα δέ ἐστι τὰ ἀσώματα πάντα. οἷον ψυχή, νοῦς. καὶ τὸ σημεῖον δὲ τοιοῦτόν ἐστιν. ἀρχὴν οὖν ἐλάμβανε τὴν κατὰ μόριον. οἷον ὅτι παντὸς τοῦ γινομένου γίνεται πρότερον τόδε τὸ μόριον. ἐγκαλεῖ οὖν αὐτῷ ὁ ἀριστοτέλης ὅτι κακῶς οὐ μόνον τῆς ἁπλῆς γενέσεως οἴεται τὴν ἀρχὴν τὴν τοιαύτην εἶναι, ἀλλὰ καὶ πάσης ἁπλῶς. ἁπλῆν δὲ δηλονότι γένεσιν, τὴν τῆς οὐσίας φησίν. ἔστι γάρ φησιν ἀλλοίωσις ἥτις οὐ κατὰ μόριον γίνεται, ἀλλ' ἀθρόον ἀλλοιοῦται τὸ πρᾶγμα. οἷον ἐπὶ τῆς πήξεως τοῦ γάλακτος. οὐδὲ γὰρ ἄλλο μὲν πρότερον ἄλλο δὲ ὕστερον αὐτοῦ μόριον ἀλλοιοῦται, ἀλλ' ὁμοτίμως δι' ὅλου ἡ πῆξις γίνεται. ὁμοίως καὶ ἐπὶ ἡλιοκαΐας τὰ μόρια ὧν πρότερον ἐφάπτεται ὁ ἥλιος, ὁμοτίμως ὅλα δι' ὅλων ἅμα μελαίνονται. καὶ οὐχὶ τοῦτο μὲν πρότερον ὕστερον δὲ ἄλλο. κακῶς οὖν παντὸς τοῦ γινομένου ἀρχὴν τὴν τοιαύτην ὑπετίθετο. ἑτέρως γάρ ἐστιν ἀρχὴ καὶ ἐπὶ τῆς ἀθρόας ἀλλοιώσεως τῷ μὴ τὸ εἶδος ἀθρόον ἅμα παραγίνεσθαι, οἷον τὴν τελείαν πῆξιν, ἀλλ' οἷον πρόδρομά τινα τοῦ τελείου εἴδους ἴχνη παραγίνεσθαι. λέγω δὲ τὰς ὑφειμένας πήξεις.

σεως κοινῆς ἐν τοῖς ὁμωνύμοις, πῶς ἂν λέγοιτο ἢ γίνεσθαι ἢ μή. ὁμοίως οὖν εἰ καὶ τὸ ὂν γένος μὲν οὐκ ἔστι, φωνὴ δὲ μό-
νον ὁμώνυμος, οὐδεμία δηλονότι κοινὴ φύσις ὑπὸ τοῦ ὄντος σημαίνεται. καίτοι φαίνεται γὰρ μόνη ἡ τῶν δέκα κατηγο-
ριῶν ἐστι κοινωνία. οὐκ ἔστι γὰρ ὄν τι ἁπλῶς ἀλλ' ἢ οὐσία ἐστὶν, ἢ ποσὸν, ἢ τῶν ἄλλων τι. ὥστε οὐδ' ὅτι γέγονεν, οὐδ'
ὅτι οὐ γέγονε ζητεῖν περὶ αὐτοῦ εὔλογον. ζητοῦμεν δὲ εἰ γέγονε τὸ σῶμα ἢ οὔ. εἰ γέγονεν ὁ κόσμος ἢ οὔ. καὶ εἰ γέγονε,
πότερον ἐξ ὄντων ἢ ἐξ οὐκ ὄντων, καὶ οὐκ ἀδύνατον ἐπὶ τούτων καὶ ἐξ ὄντων λέγειν εἰ δειχθείη προϋπάρχειν
τὴν ὕλην ἐν ᾗ ὑφίσταται τὸ γινόμενον. καὶ ἐκ μὴ ὄντων, εἰ καὶ αὐτὴ ἡ ὕλη ἅμα τῷ εἴδει εἰς τὸ εἶναι παράγοιτο. περὶ
μὲν οὖν τὸ μὴ γεγονέναι τὸ ὂν, τοσαῦτα καὶ παρ' ἡμῶν ὡς πρὸς τὸ παρὸν ἡγείσθω, ἐν ἄλλοις ἡμῖν γεγυμνασμέ-
νων ἱκανῶς τῶν τοιούτων θεωρημάτων. ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὁμολογεῖ μὴ εἶναι φυσικοὺς τοὺς ἄν-
δρας τούτους, δηλοῦσι δὲ καὶ αὐτὰ τὰ συγγράμματα τῶν ἀνδρῶν. ὁ γὰρ Μέλισσος ἐν τοῖς πρὸς ἀλήθειαν, ἓν εἶναι
λέγων τὸ ὂν, ἐν τοῖς πρὸς δόξαν, δύο φησὶν εἶναι τὰς ἀρχὰς τῶν ὄντων πῦρ καὶ ὕδωρ, διὰ τῶν ἄκρων περιλαμ-
βάνων καὶ τὰ μέσα, ὡς δὴ ἐν τούτοις μὲν περὶ τῶν φυσικῶν διαλεγόμενος, ἃ καὶ δοξαστὰ καλοῦσιν. ἐν δὲ τοῖς πρὸς ἀλή-
θειαν περὶ τῶν νοητῶν, ἄξιον ἐπισκέψασθαι, ὡς πρὸς τὸν σκοπὸν τοῦ ἀνδρὸς τὴν τῶν προτάσεων ἀκολουθίαν. ἴσως οὖν
ὅτι τὸ μὲν νοητὸν πᾶν, ὂν ἐκάλουν. τὸ δὲ αἰσθητὸν, γινόμενον. οὕτω γοῦν καὶ ὁ Πλάτων αὐτὰ καλεῖ. ἐξ αὐτοῦ λαβὼν
τί τὸ ὂν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον, περὶ τοῦ νοητοῦ λέγων. τί δὲ τὸ γινόμενον μὲν ἀεὶ, ὂν δὲ οὐδέποτε, περὶ τοῦ αἰσθητοῦ. τὸ
μὲν δὴ νοήσει μετὰ λόγου περιληπτόν. τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν. ἐπεὶ οὖν ἐκ τῶν νοητῶν ἑώ-
ρων ἐπικρατοῦσαν τὴν ἕνωσιν. ἔστι μὲν γὰρ ἐν πᾶσι καὶ ἕνωσις καὶ διάκρισις. ἀλλ' ἀεὶ τὸ κρεῖττον καὶ ἐγγυτέρω τῆς μιᾶς
τῶν πάντων ἀρχῆς, τῇ ἑνώσει μᾶλλον κεκράτηται. ἔτι γοῦν καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς ἀλόγοις καὶ ἕνωσις καὶ διάκρι-
σις, ἀλλ' ἐπικρατεῖ μᾶλλον ἐκείνων ἐν ἡμῖν ἡ ἕνωσις. ἥμερον γὰρ καὶ κοινωνικὸν ζῷον, ὁ ἄνθρωπος. ἐν ἐκείνοις δὲ μᾶλ-
λον ἡ διάκρισις. πάλιν καὶ ἐν ἡμῖν καὶ ἐν τοῖς οὐρανίοις ὁρᾶται καὶ ἕνωσις καὶ διάκρισις. ἀλλ' ἐν ἐκείνοις μᾶλλον
ἡμῶν ἐπικρατεῖ ἡ ἕνωσις. ὁμοίως καὶ ἐν τοῖς νοητοῖς, πάντων μᾶλλον ἐπικράτηκεν ἡ ἕνωσις. ἐπεὶ οὖν ἑώρων
αὐτὰ κεκρατημένα τῇ ἑνώσει, καὶ οἱονεὶ διὰ πάντων τὴν κοινὴν καὶ μίαν πάντως ἀρχὴν ὁρωμένην διὰ τὴν πρὸς
αὐτὴν ἕνωσιν, ἕν τε ἔλεγον εἶναι τὸ νοητὸν πᾶν καὶ ἄναρχον, μὴ διαστέλλοντες αὐτὰ τῆς ἰδίας ἀρχῆς. μὴ δὲ ἄλλο
μὲν εἶναι τὴν ἀρχὴν, ἄλλο δὲ τὸ ἀπὸ ταύτης, διὰ τὸ αὐτὴν διὰ πάντων ὁρᾶσθαι μίαν οὖσαν καὶ ἄναρχον. διὰ τοῦτο
γοῦν ἀκολούθως μηδὲ πέρας αὐτὸ ἔχειν ἔλεγον διὰ τὸ ἀπεριόδευτον, καὶ ἐπὶ πάντα διήκειν, καὶ μὴ ὑπό τινος
ἀποπερατοῦσθαι. ὥστε εἰ πᾶν τὸ νοητὸν ὂν ἐκάλουν καὶ οὐ γινόμενον, πᾶν δὲ πάλιν ἄναρχον εἶναι διὰ τὴν εἰρημένην αἰ-
τίαν, ἐξισάζει ταῦτα ἄρα ἀλλήλοις τό, τε μὴ γινόμενον καὶ τὸ μὴ ἀρχὴν ἔχον. ἐπὶ τοῦ αὐτοῦ γὰρ ἄμφω. ὁμοίως καὶ
εἰ τὸ γεννητὸν πᾶν τὸ αἰσθητὸν ἔλεγον. τοῦτο δὲ πᾶν ἀρχὴν ἔχει ἢ χρονικὴν ἢ πραγματικήν. καὶ ταῦτα ἄρα ἐξι-
σάζει ἀλλήλοις τό, τε γινόμενον καὶ τὸ ἀρχὴν ἔχον, ὥστε εἴ τι γινόμενόν ἐστι. τοῦτο καὶ ἀρχὴν ἔχει. καὶ εἴ τι ἀρχὴν
ἔχει, τοῦτο καὶ γέγονε. καὶ πάλιν εἴ τι μὴ γινόμενον, τοῦτο ἀρχὴν οὐκ ἔχει. καὶ ἔμπαλιν εἴ τι ἀρχὴν οὐκ ἔχει, τοῦτο μηδὲ
γινόμενον. ὥστε ἐπειδὴ ταῦτα ἐξισάζει ἀλλήλοις, ἐπὶ δὲ τῶν ἐξισαζόντων ἀδιάφορόν ἐστιν ἐκ τοῦ ἡγουμένου ἢ ἐκ τοῦ
ἑπομένου ποιεῖσθαι τὴν ἀντιστροφὴν, οὕτως καὶ ὁ Μέλισσος ὡς ἐπὶ ἐξισαζόντων πραγμάτων ποιούμενος τὴν
ἀντιστροφὴν, ἀδιάφορον ἡγήσατο τὸ ἐκ τοῦ ἡγουμένου ἀντιστρέψαι. οἷον ἐπὶ τοῦ γελαστικοῦ καὶ τοῦ ἀνθρώπου, οὐδὲν
διαφέρει εἰπεῖν εἰ ἄνθρωπος καὶ γελαστικόν. εἰ δὲ μὴ γελαστικόν, οὐδὲ ἄνθρωπος. ἢ εἰ δὲ μὴ ἄνθρωπος οὐδὲ γελαστικόν. καὶ ἀκίνητον
δὲ οὕτως ἔλεγεν ὡς ἑστῶσαν ἐχόντων ἐκείνων τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν καὶ παντελῶς ἀμετάβλητον. οὕτω γοῦν
καὶ Ἀριστοτέλης ἀκίνητα καλεῖ τὰ νοητὰ πάντα, οὐ μόνον τὰ θεῖα, ἀλλὰ καὶ τὰς ψυχὰς, ἐν οἷς δείκνυσιν ὡς ἀ-
νάγκη τὰ πρώτως κινοῦντα αὐτὰ εἶναι ἀκίνητα. καλῶς οὖν καὶ ὁ Ἀριστοτέλης ὡς φυσικὸς, φυσικώτερον τρόπον
ἐπιλαμβάνεται τῶν λόγων, καὶ ὁ Μέλισσος θεολογικώτερον τοῖς τοιούτοις λόγοις ἐχρήσατο.

ΤΟΝ ΤΕ δὴ τρόπον τοῦτον ἐπιοῦσιν, ἀδύνατον φαίνεται τὰ ὄντα ἓν εἶναι. καὶ ἐξ ὧν ἐπιδεικνύουσι, λύειν
οὐ χαλεπόν. ἀμφότεροι γὰρ ἐριστικῶς συλλογίζονται καὶ Μέλισσος καὶ Παρμενίδης. καὶ γὰρ ψευδῆ λαμβάνουσι, καὶ
ἀσυλλόγιστοί εἰσι. μᾶλλον δὲ ὁ Μελίσσου λόγος φορτικὸς, καὶ οὐκ ἔχων ἀπορίαν. ἀλλ' ἑνὸς ἀτόπου δοθέν-
τος, τ' ἄλλα συμβαίνει, τοῦτο δ' οὐδὲν χαλεπόν. ὅτι μὲν οὖν παραλογίζεται Μέλισσος, δῆλον. οἴεται γὰρ εἰ-
ληφέναι, εἰ τὸ γινόμενον ἔχει ἀρχὴν ἅπαν, ὅτι καὶ τὸ μὴ γινόμενον οὐκ ἔχει.

Ἐπειδὴ προθέμενος ἐλέγξαι τὴν δόξαν τῶν ἀμφὶ Παρμενίδην καὶ Μέλισσον, πρότερον κοινότερον αὐτὸ καθ' αὑ-
τὸ τὸ πρόβλημα ἐγύμνασε, μέλλει δὲ νῦν τὸν Μελίσσου λόγον διελέγχειν, διὰ τοῦτό φησιν ὅτι τόν τε εἰρημένον τρόπον
ἐπιοῦσί τις τὴν τοιαύτην δόξαν τὴν περὶ τοῦ ἓν εἶναι τὰ πάντα, εὑρήσει ἀδύνατον οὖσαν καὶ τοὺς λόγους ἐξ ὧν αὐτὴν
οὗτοι πειρῶνται κατασκευάζειν, οὐ χαλεπὸν διελέγξαι. δεῖ γὰρ τὸν ἐπιστήμονα μὴ μόνον αὐτὰ καθ' αὑτὰ τὰ
πράγματα ὅπως ἔχουσι φύσεως ἀποδεικνύναι, ἀλλὰ καὶ τὰς φερομένας ἀπορίας κατὰ τῆς περὶ αὐτῶν ἀλη-
θοῦς δόξης ἐπιλύεσθαι. ὁπότερον γὰρ ἂν ἀπῇ, χωλεύει τὸ ἕτερον. εἴτε γὰρ τοὺς τῶν ἐναντίων ἐλέγξει λόγους,
οὔπω δῆλον ὡς ἔχει φύσεως τὰ πράγματα. δυνατὸν γὰρ ἀληθές μέν τι κατασκευάσαι, μὴ ἐξ ἀναγκαίων
δὲ προτάσεων. οἷον ὅτι ἡ ψυχὴ ἀθάνατος, ἐκ τοῦ τιμᾶσθαι τῇ προγονικῇ τάφους. καὶ οὐχ ὁ ἐλέγξας τοὺς
λόγους τούτους, ἤδη καὶ τὸ δόγμα ἀνεῖλε. πόθεν γὰρ δῆλον ὅτι μὴ εἰσὶν ἕτεροι λόγοι ἐξ ἀνάγκης τοῦτο κατα-
σκευάζοντες. εἴτε αὐτὰ καθ' αὑτὰ τὰ πράγματα δείξομεν ὅπως ἔχει φύσεως, τὰς δὲ ἀπορίας μὴ ἐπιλυσό-
μεθα, μένουσαι αὗται ταράττουσι τοὺς ἁπλουστέρους. διὰ τοῦτο οὖν ὁ Ἀριστοτέλης δείξας ὅτι οὐκ ἐνδέχε-
ται ἓν εἶναι τὸ ὂν, καὶ τοὺς λόγους τοὺς τοῦτο κατασκευάζοντας, νῦν προτίθεται δεῖξαι καὶ ἐλέγξαι. ἀμφότεροι

ἡ συζυγία. ἔπειτα δὲ καὶ συγχωρήσομεν τῇ ἀντιστροφῇ τοῦ Μελίσσου, καὶ οὕτως ἐλεγχθήσεται ὁ λόγος. τὸ γὰρ τῆς ἀρχῆς σημαινόμενον, διττόν ἐστι. λέγεται γὰρ ἀρχή, ἤτοι ἡ χρονική, λέγω δὲ αὐτὸ τὸ νῦν ἐν ᾧ γίνεταί τι. ἢ ἡ πραγματική, οἷον ἡ ὕλη ἢ τὸ εἶδος. ἤγουν ὧν τι ζῷον ὃ ποιεῖ πρῶτον ἡ φύσις φέρε εἰπεῖν τὸ σπέρμα. ἢ πάλιν ἀρχὴ ἡ καρδία ἢ ὁ ἐγκέφαλος. ποίαν οὖν ἀρχὴν ὁ Μέλισσος ἐλάμβανεν. εἰ μὲν γὰρ τὴν χρονικήν, ἴσμεν τι ἐπεὶ ἐφ' ὧν λόγῳ τὸ ὄν, οὐ γέγονε. τὸ μὴ γενόμενον, ἀρχὴν οὐκ ἔχει τὴν χρονικήν, τὸ μὴ ἔχον ἀρχὴν χρονικήν, οὐδὲ πέρας ἔχει χρονικόν, δεῖ γὰρ καὶ τὸ πέρας δηλονότι ἀναλόγως τῇ ἀρχῇ λαμβάνεσθαι. τὸ μὴ ἔχον πέρας χρονικόν, ἀτελεύτητόν ἐστι. τὸ ὂν ἄρα ἀτελεύτητόν ἐστιν. ἀλλὰ μὴν καὶ ἄναρχον ἐστὶ κατὰ χρόνον ἐπεὶ μὴ γέγονε. τὸ δὲ ἄναρχον κατὰ χρόνον καὶ ἀτελεύτητον, ἀΐδιόν ἐστι. τὸ ὂν ἄρα ἀΐδιόν ἐστιν. ἀνελύθη σαν οὖν τῇ ἀντιστροφῇ ἀρχὴν λαμβανόντων ἡμῶν τὴν χρονικήν, τὸ, τὸ ὂν οὐκ ἄπειρον εἶναι ἀλλ' ἀΐδιον. εἰ δὲ τὴν πραγματικὴν ἀρχὴν λάβοιμεν, οὐκέτι χώραν ἕξει ἡ ἀντιστροφή. οὐδὲ γὰρ ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει πραγματικήν, τὸ μὴ γενόμενον οὐχ ἕξει πραγματικήν. τί γὰρ ἐκώλυε καὶ εἰ ἀγένητον ἦν τὸ ὄν, σῶμα δ' οὖν ὅμως ὑπάρχον, ἀρχὴν ἔχειν πραγματικὴν τὴν ὕλην ἑαυτοῦ καὶ τὸ εἶδος καὶ τῆς σφαίρας δὲ ἀρχὴ πραγματικὴ ἂν εἴη τὸ κέντρον, πέρας δὲ ἡ ἐπιφάνεια, καὶ εἰ ἀγένητος εἴη, καὶ τοῦτό τις συγχωρήσειεν. ἔπειτά φησι τί κωλύει καὶ ἄπειρον αὐτὸ ὂν κινεῖσθαι περὶ ἑαυτὸ δινούμενον, καὶ μὴν ἀντιλαμβάνειν τόπον ἕτερον. ὥσπερ τὸ ἐν τῷ κεραμίῳ ὕδωρ. καὶ ὥσπερ τὰ κύκλῳ κινούμενα πάντα. οἷον τὰ οὐράνια. ἔπειτά φησιν εἰ καὶ κατὰ τόπον κινεῖσθαι οὐ δύναται τὸ ἄπειρον, τί κωλύει ὅσον ἐπὶ τοῖς σοῖς ὑποθέσεσι κατ' ἀλλοίωσιν αὐτὸ κινεῖσθαι. αὐτὸς μὲν οὖν ὁ Ἀριστοτέλης δείκνυσιν ὅτι τὸ ἄπειρον ἄπερ γε ὅλως εἴη, πάντη τε καὶ πάντως καὶ δύναμιν ἄπειρον ἕξει καὶ διὰ τοῦτο ἀμετάβλητον ἔσται κατὰ πᾶσαν μεταβολήν. εἰ γὰρ μεταβάλλει, δεῖ μεταβάλλειν αὐτὸ ὑπό τινος μεταβλητικοῦ. τὸ δὲ πάσχον ὑπὸ μείζονος πάσχει δυνάμεως. οὔτε γὰρ ὑπὸ τοῦ ἐλάττονος, οὔτε ὑπὸ τοῦ ἴσου πάθοι τι ἄν. τοῦ δὲ ἀπείρου οὐκ ἔστι μεῖζον. καὶ ἄλλως, ὅτι οὐδὲ ἔσται τὸ δρᾶσον εἰς τὸ ἄπειρον ἄν γε μηδὲ συνυπάρχειν τι αὐτῷ ἕτερον δύναται, τοῦ ἀπείρου τὸ πᾶν καταληφότος. οὐ γὰρ δὴ καθ' ἕτερα μὲν τῶν διαστάσεων ἄπειρον ἂν εἴη, καθ' ἕτερα δὲ οὔ. μυθῶδες γὰρ τοῦτο καὶ ἀπεκληρωτικόν. ἀλλὰ δῆλον ὅτι ἄν γε ὅλως δύναταί τι σῶμα ἄπειρον εἶναι κατὰ τὰς τρεῖς διαστάσεις, ἄπειρον ἂν εἴη. ὁ μὲν οὖν Ἀριστοτέλης ὡς ἔφην δείκνυσιν ὅτι τὸ ἄπειρον πάντως καὶ ἀμετάβλητον, διότι καὶ ἀπειροδύναμον. ἀλλ' ἐπειδὴ ὁ Μέλισσος διὰ τοῦτο μόνον ἔλεγε τὸ ἄπειρον μὴ κινεῖσθαι διότι μὴ ἔχει ποῦ μεταβῇ καταληφὸς τὸν πάντα τόπον, διὰ τοῦτο ὡς πρὸς ταύτην τὴν ὑπόθεσίν φησιν. οὐδὲν κωλύει αὐτὸ καὶ κατὰ τόπον κινεῖσθαι δινούμενον καὶ κατ' ἀλλοίωσιν. εἰ μὲν οὖν διὰ τοῦτο μόνον ὁ Μέλισσος ἀκίνητον ἔλεγε τὸ ὄν, τῷ ὅτι οὐδὲν ἐκώλυεν αὐτὸ καὶ κύκλῳ κινεῖσθαι καὶ ἀλλοιοῦσθαι. εἰ δὲ μὴ μόνον διὰ τοῦτο, ἀλλὰ διότι καὶ ἓν αὐτὸ ὑπετίθετο, οὐκ ἐλέγχοιτ' ἂν ὅσον ἐκ τούτων. τὸ γὰρ τῷ ὄντι ἓν καὶ μόνως ἕν, ἀμετάβλητον ἂν εἴη κατὰ πᾶσαν μεταβολήν. εἰ γὰρ μεταβάλλοι, ἔσται τι καθὸ ἡ μεταβολή, καὶ οὕτως οὐχ ἓν ἔσται πάλιν, ἀλλὰ πλείω. αἱ μὲν οὖν πρὸς τὸν τοῦ Μελίσσου λόγον ἐνστάσεις τοῦ Ἀριστοτέλους αὗται. πρὸς δὲ τὸ μὴ γεγονέναι τὸ ὄν, οὐκ ἀντιλέγει. δοκεῖ γὰρ καὶ αὐτῷ τοῦθ' οὕτως ἔχειν, ἀγένητον τὸ πᾶν ἡγουμένῳ. εὔλογον δὲ ἅμα μὴ ἀνεξέταστον καταλεῖψαι τὴν ἐπιχείρησιν δι' ἧς ὡς οὐχ οἷόν τέ ἐστι γεγονέναι τὸ ὂν κατεσκευάσθη. ὅτι μὲν γὰρ τὸ ἁπλῶς ὂν οὐκ ἂν γένοιτο ἐξ ὄντος, ἐναργὲς ἅμα παντὶ εἶναι. εἰ γὰρ ἦν πρὶν γενέσθαι. πῶς δὲ οὐδὲ ἐκ μὴ ὄντος οἷόν τε αὐτὸ γενέσθαι. οὐδὲ γὰρ ἐπειδὴ τοῖς πολλοῖς τῶν φυσικῶν οὕτως ἔδοξεν, ἤδη καὶ ἀληθὲς εἶναι τοῦτο ἀνάγκη. πολλὰ γὰρ καὶ ἄλλα οὐκ ἀληθῶς αὐτοῖς ἔδοξεν, ὧν πολλὰ καὶ Ἀριστοτέλης ἀπήλεγξεν. ἀλλ' οὐδ' εἰ πρὶν γενέσθαι τὸ ὄν, δύνασθαι φαμὲν αὐτὸ γενέσθαι, ἤδη διὰ τοῦτο ἐκ προϋποκειμένου τινὸς ὄντος τὴν γένεσιν αὐτοῦ ὑποτιθέμεθα ὡς ὑλικοῦ αἰτίου. τί γὰρ κωλύει διὰ τὸ προϋπάρχειν αὐτοῦ τὸ ποιητικὸν αἴτιον, καὶ οὐχὶ διὰ τὸ ὕλην τινὰ προϋποκεῖσθαι τὴν εἰς τὸ γινόμενον μεταβαλοῦσαν, ταύτῃ λέγειν ἡμᾶς ὡς ὅτι πρὶν γένηται, ἠδύνατο γενέσθαι. κατὰ γὰρ τὴν ὑλικὴν αἰτίαν εἰ μὴ δειχθείη αὐτὴ καθ' αὑτὴν οὖσα ἀγένητος, οὐκ εὔλογον κατ' αὐτὴν φέρειν τὸ δύνασθαι. πῶς γὰρ ἡ ὕλη δύνασθαι λέγοιτ' ἂν τόδε τι εἶναι εἰ μὴ αὐτὸ τοῦτο πρότερον δειχθείη ὅτι ὑφέστηκεν, ὡς οὐδὲ τὸ εἶδος δύνασθαι λέγοιτ' ἄν τι, πρὶν ὑποστῇ. ὥστε εἰ μὲν αὐτό τις λέγει ἐξ ὄντος ἀντὶ τοῦ ἐκ ποιητικοῦ αἰτίου, ὁμολογοῦμεν πᾶν τὸ γινόμενον ἐξ ὄντος γενέσθαι. παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν. εἰ δὲ ὡς προϋποκειμένου ὑλικοῦ αἰτίου, οὐκέτι ἀνάγκη ἐκ τοῦ λέγειν τὸ ὂν πρὶν γενέσθαι, ἠδύνατο γενέσθαι, ἐξ ὄντος αὐτὸ γενέσθαι, ἀλλ' ἐκ μὴ ὄντος, εἴπερ μὴ δειχθείη πρότερον ἡ ὕλη αὐτὴ κατὰ τὸν αὐτῆς λόγον ἀγένητος οὖσα καὶ ἄφθαρτος. τίς μέντοι τὸ νῦν δὴ λεχθὲν ἐπιχείρημα οὐκ ἀναγκάζει ἐξ ὄντος γίνεσθαι τὰ γινόμενα κατὰ τὸ ὑλικὸν αἴτιον. ἀλλ' ὅσον ἐπ' αὐτῷ καὶ ἐκ μὴ ὄντος εἰ δεῖ γενέσθαι, συνισταμένης τῆς ὕλης ἅμα τοῖς εἴδεσιν ὑπὸ τῆς δημιουργικῆς αἰτίας. ὥσπερ γὰρ τὰ εἴδη παράγει μὴ ὄντα πρότερον, τί κωλύει καὶ τὴν ὕλην μὴ οὖσαν παράγειν, ἵνα καὶ ἐξ ὁλοκλήρου δημιουργὸς ᾖ. εἰ δὲ καὶ τὴν ὕλην παράγει, δεήσει αὐτὴν ἢ ἐξ ὄντος, ἢ ἐκ μὴ ὄντος. καὶ τοῦτο ἐπ' ἄπειρον. μήποτε δὲ οὐδ' ὅλως ἐπὶ τοῦ ἁπλῶς ὄντος ἔχει χώραν τὸ ζητεῖν εἴτε γέγονεν, εἴτε μή, εἴπερ τὸ ὂν οὐκ ἔστι τῶν δέκα κατηγοριῶν γένος, ἀλλὰ φωνὴ ὁμώνυμος εἰς διαφόρους διαιρουμένη σημαινόμενα. τὰ μὲν γὰρ γένη καὶ ὅλως τὰ καθόλου, φύσεώς τινός ἐστι δηλωτικά. ἡ γὰρ τοῦ ζῴου φύσις, ἄλλο τι ἐστὶ παρὰ τὸν ἄνθρωπον, καὶ παρ' ἕκαστον τῶν λοιπῶν. ὅθεν δὴ καὶ πάντως ἐν τοῖς μερικοῖς θεωρεῖται ζῴοις, ἀλλ' οὐκ ἔχει τινὰ κατὰ τὸν αὐτοῦ λόγον φύσιν, εἴτε γέγονεν, εἴτε μή. αἱ δὲ ὁμώνυμοι φωναί, οὐσίας ἢ ὅλως ὑποστάσεώς τινος κοινῆς οὐκ οὖσαι δηλωτικαί, πῶς ἂν λέγοιντο ἢ γενέσθαι ἢ μὴ γενέσθαι. τὸ γὰρ κύων φέρε, οὐδεμιᾶς κοινῆς φύσεώς δηλωτικόν ἐστι. μηδεμιᾶς οὖν ὑποκειμένης φύ

πλείονα τοῦ αὐτοῦ κατηγορεῖσθαι. καί φησιν ὅτι διὰ ταύτην τὴν κατὰ τὴν φρόνησιν κτῆσιν ταῦτα πάσχουσι, μὴ δυνάμενοι διαστείλασθαι ὅτι τῷ αὐτῷ κατ' ἄλλο μὲν ὑπάρχει τὸ ἓν εἶναι, κατ' ἄλλο δὲ τὸ πολλά.

» [illegible] πολλαχῶς λεγομένου τοῦ ἑνός, ἢ τοῦ ὄντος.

Τ οὐ τοῦτο ὡς διχῶς λαβὼν αὐτούς, ἐν μεταφέρει. ὡς δή φησι τοῦ ἑνὸς μοναχῶς καὶ οὐ πολλαχῶς λεγομένου, ὥσπερ καὶ τοῦ ὄντος. τὸ γὰρ ἓν τοῦ ὄντος, ἐστι τοῦ ὥσπερ καὶ τοῦ ὄντος.

» ΠΟΛΛΑ δὲ τὰ ὄντα, ἢ λόγῳ, οἷον ἄλλο τὸ λευκῷ εἶναι καὶ μουσικῷ. τὸ δ' αὐτὸ, ἀμφω. πολλὰ ἄρα τὸ ἕν.

» ἢ διαιρέσει, ὥσπερ τὸ ὅλον, καὶ τὰ μέρη. ἐνταῦθα δὲ ἠπόρουν, καὶ ὡμολόγουν, τὸ ἓν πολλὰ εἶναι. ὥσπερ οὐκ ἐνδε-

» χόμενον τὸ αὐτό, ἓν εἶναι καὶ πολλά. μὴ τὰ ἀντικείμενα δέ. ἔστι γὰρ τὸ ἕν, καὶ δυνάμει καὶ ἐντελεχείᾳ.

Τ ὁ γὰρ μουσικὸς καὶ τὸ λευκόν, λόγῳ μὲν ἕτερα τῷ ὁριστικῷ, τὰ αὐτὰ δὲ τῷ ὑποκειμένῳ. ἐν ἑνὶ γὰρ καὶ τῷ αὐτῷ τῷ ἀνθρώπῳ. πολλὰ ἄρα τὸ ἕν. τὸ τῷ ὑποκειμένῳ ἕν, πολλὰ τῷ λόγῳ ἐστί. καὶ τοῦτο οὐκ ἄτοπον οὐδὲ ἀδύνατον. ἢ διαιρέσει ὥσπερ τὸ ὅλον καὶ τὰ μέρη. διαιρέσει φησὶν ἀντὶ τοῦ δυνάμει. τὸ γὰρ συνεχὲς ἐνεργείᾳ μὲν ἕν τι ἐστὶν ὡς ὅλον, δυνάμει δὲ πολλά, καὶ τοῦτο οὐκ ἄτοπον. οἱ μέντοι ἀρχαιότεροι φησὶν ἐνταῦθα διηπόρουν, λέγω δὲ ἐπὶ τοῦ συνεχοῦς. καὶ οἷον [illegible] ὑπὸ τῆς ἀπορίας, ὁμόσε τῷ ἀτόπῳ ἐχώρουν, καὶ ὡμολόγουν τὸ αὐτὸ ἓν εἶναι καὶ πολλά. ὡς ἄν φησιν οὐκ ἐνδεχόμενον τὸ αὐτὸ καὶ ἓν καὶ πολλὰ εἶναι. μὴ μέντοι τὰ ἀντικείμενα. τὸ γὰρ αὐτὸ δυνάμει ἓν καὶ πολλὰ εἶναι, ἀδύνατον. ἢ ἐνεργείᾳ ἓν καὶ πολλὰ τὸ αὐτό. ταῦτα γὰρ ἀντικείμενά ἐστι. ἅμα δὲ τὰ ἀντικείμενα εἶναι ἀδύνατον. τὸ αὐτὸ δὲ δυνάμει μὲν πολλὰ εἶναι, ἐνεργείᾳ δὲ ἕν, οὐδὲν

» ἀδύνατον. τοιοῦτον δέ ἐστι τὸ συνεχές. Τόν τε δὴ τρόπον τοῦτον ἰοῦσιν ἀδύνατον φαίνεται τὰ ὄντα ἓν εἶναι,

» [illegible] ἐπιδεικνύουσι λύειν οὐ χαλεπόν. Ἐνστάς πρότερον πρὸς αὐτὸ τὸ δόγμα, νῦν μετάγει ἐπὶ αὐτοὺς τοὺς λόγους τοὺς αὐτῶν τοῦ Παρμενίδου καὶ Μελίσσου, δι' ὧν κατεσκεύαζον ἓν εἶναι τὸ πᾶν, καὶ ἀκίνητον. πρότερον δὲ τὸν Μελίσσου προχειρίζεται λόγον. δεῖ οὖν τὸν ὅλον τοῦ Μελίσσου λόγον πρότερον ἐκθέσθαι, καὶ οὕτως ἐξετάσαι ἑκάστην τῶν προτάσεων ὅπως κατεσκεύαζε τοῦ ὑπὸ τοῦ Μελίσσου, καὶ τελευταῖον ἐπάγειν ὅπως αὐτὰς ὁ Ἀριστοτέλης ἀνασκευάζει. ἔστιν οὖν ὁ τοῦ Μελίσσου λόγος, οὗτος. μᾶλλον δὲ Μελίσσου μὲν οὐκ ἔστιν ὁ συλλογισμός, ἀλλὰ τοσοῦτον ἐκεῖνος ὑποτίθεται ὅτι τὸ ὂν ἀγένητόν ἐστι. τὸ ὂν ἕν ἐστι. τὸ ὂν ἄπειρον ἐστί. τὸ ὂν ἀκίνητόν ἐστι. τούτων οὖν τῶν [illegible] ὑπὸ [illegible] ὑπὸ τοῦ Μελίσσου, πῶς φιλοτιμοῦσιν αὐτὴν ἀπό τινος συλλογισμοῦ τὰ τοιαῦτα συνάγειν, ὃν ἐκτίθεται ὁ [illegible] Ἀλέξανδρος, καὶ τὸν συλλογισμὸν ὁ Μέλισσος ἐξετίθετο, εἴτε ἄλλοι ἐκ τοιούτου συλλογισμοῦ φιλοτιμοῦσι αὐτὸ [illegible] συνάγειν, οὐδὲν διαφερόμεθα. ἁπλῶς γὰρ ὁ συλλογισμὸς ἐξ οὗ τὰ εἰρημένα συνάγεται, ἔστι τοιοῦτος. τὸ ὂν οὐ γέγονε. τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει. τὸ μὴ ἔχον ἀρχήν, οὐδὲ πέρας ἔχει. τὸ μὴ ἔχον πέρας, ἄπειρόν ἐστι. τὸ ὂν ἄρα ἄπειρόν ἐστιν. ὅτι μὲν οὖν ἄπειρον ἐστίν, ἐδείκνυεν. ἑξῆς δέ, ὅτι καὶ ἓν καὶ ἀκίνητον. εἰ γὰρ ἄπειρον ἐστί, δῆλον ὅτι καὶ ἓν ἂν εἴη. τὸ γὰρ ἄπειρον, τὸν πάντα τόπον κατείληφεν. εἰ δὲ τοῦτο, οὐ συγχωρήσει ἄλλο τι εἶναι, ἐπεὶ οὕτως οὐκ ἂν εἴη ἄπειρον. διὰ δὲ τὸ ἓν καὶ ἄπειρον εἶναι, δι' ἀμφότερα ταῦτα καὶ ἀκίνητον ἔσται. εἰ γὰρ τὸν ὅλον κατείληφε τόπον, οὐκ ἔχει ποῦ κινηθῆναι. πάλιν εἰ ἕν ἐστιν, ἀνάγκη καὶ τὸ καὶ ἀκίνητον εἶναι. εἰ γὰρ κινεῖται, ἀνάγκη ἢ τόπον ἢ χρόνον εἶναι ἐν ᾧ κινεῖται ἢ αὐτὸ τὸ τῆς κινήσεως τὸ εἶδος καθ' ὃ κινεῖται. ὥστε πάλιν οὐκ ἔσται ἓν ἀλλὰ πολλά. διὰ τούτων μὲν οὖν ὅτι ἓν τὸ ὂν καὶ ἄπειρον καὶ ἀκίνητον, ὁ Μέλισσος κατεσκεύαζε. δεῖ δὲ ἐπισκέψασθαι ἑκάστην τῶν προτάσεων πόθεν αὐτῷ εἴληπται. ὅτι μὲν γὰρ τὸ ὂν οὐ γέγονε, δείκνυσιν οὕτως. εἰ γὰρ γέγονε τὸ ὄν, ἢ ἐξ ὄντος γέγονεν ἢ ἐξ οὐκ ὄντος. εἰ μὲν οὖν ἐξ ὄντος, ἔσται τὸ ὂν πρὶν γενέσθαι. τὶ μὲν γὰρ ὄν, ἔκ τινος ὄντος γίνεται. τὸ δὲ ἁπλῶς ὄν, οὐκ ἂν ἐξ ὄντος γένοιτο. αὐτὸ γὰρ ἐξ αὐτοῦ γίνοιτο ἄν. ὥστε πρὶν γενέσθαι, ἦν ὅπερ ἄτοπον. εἰ δὲ ἐξ οὐκ ὄντος, ἀνάγκη ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος. τὸ γὰρ ἁπλῶς ὂν εἰ γίνεται, ἐκ τοῦ ἁπλῶς μὴ ὄντος γίνεται. ἀλλὰ τοῦτο κοινὸν ὁμολόγημά ἐστι πάντων τῶν φυσικῶν τό, μηδὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεσθαι. δεῖ γὰρ ὑπομένειν τι ἐν τῇ γενέσει ὃ μεταβάλλει. καὶ τὸ γινόμενον, δεῖ δύνασθαι γενέσθαι τοῦτο ὅπερ γίνεται. δεῖ γὰρ τὸ παιδίον δύνασθαι γενέσθαι γραμματικόν. οὕτως οὖν καὶ τὸ γινόμενον ἅπαν δεῖ ἐς τοῦτο ἐπιτηδειότητα ἔχειν. τὸ δὲ τὴν ἐπιτηδειότητα ἔχον καὶ αὐτὴ ἡ ἐπιτηδειότης ὄν τι ἐστι. πᾶν ἄρα τὸ γινόμενον ἐξ ὄντος γίνεται. εἰ τοίνυν ἀνάγκη τὸ ὂν εἰ γίνοιτο, ἢ ἐξ ὄντος γίνεσθαι ἢ ἐκ μὴ ὄντος. ἑκατέρῳ δὲ τι ἄτοπον ἕπεται. δῆλον ἄρα ὅτι τὸ ὂν οὐ γέγονεν. ὅτι δὲ τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, δείκνυσιν ἐκ τῆς ἀντικειμένου, ἀντιστροφῇ χρησάμενος. λαμβάνει γὰρ ὅτι τὸ γινόμενον πᾶν, ἀρχὴν ἔχει. εἰ τοίνυν τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον ἀρχὴν οὐκ ἔχει. ὅτι δὲ τὸ ἀρχὴν ἔχον καὶ πέρας ἔχει, ἐκ κοινῶν πάλιν ὁμολογημάτων ἔλαβε. καὶ γὰρ αὐτὴ ἡ ἀρχή, πέρας τί ἐστιν. ἡ μὲν οὖν ὅλη ἀγωγὴ τοῦ Μελίσσου λόγου, αὕτη. ἐγκαλεῖ δὲ αὐτῷ ὁ Ἀριστοτέλης πλείονα. καὶ πρῶτον, τὴν ἀντιστροφὴν ὅτι κακῶς ἀπὸ τοῦ ἡγουμένου ἐποιήσατο. ὁ γὰρ νόμος τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς ὀφείλει ἐκ τοῦ ἑπομένου γίνεσθαι. τότε γὰρ ἀληθὴς γίνεται, ὅταν λαβόντες τὸ ἀντικείμενον τῷ ἑπομένῳ καὶ κατασκευάσωμεν τὸ ἀντικείμενον τῷ ἡγουμένῳ. ἐὰν δὲ ἀπὸ τοῦ ἡγουμένου γίνηται ἡ ἀντιστροφή, οὐ πάντως ἀληθεύει, ἂν μὴ ἐξισάζουσιν αἱ ἀντιστρέφοντες ὅροι. εἰ μὲν γὰρ ἄνθρωπος, πάντως καὶ ζῷον, οὐ μὴν εἰ μὴ εἴη τι ἄνθρωπος, διὰ τοῦτο πάντως οὐδὲ ζῷον ἔσται. ὁ γὰρ ἵππος οὐκ ἄνθρωπος μέν, ζῷον δ' ὅμως, ἀλλ' εἴ τι μὴ ζῷον εἴη, τοῦτο οὐδὲ ἄνθρωπος. ἀληθὲς οὖν ἀεὶ τὸ ἐκ τοῦ ἑπομένου ἀντιστρέφειν. ψεῦδος δὲ τὸ ἐκ τοῦ ἡγουμένου. εἰ τοίνυν ἀντιστρέψομεν ἐκ τοῦ ἑπομένου, ὥσπερ νόμος τῇ σὺν ἀντιθέσει ἀντιστροφῇ, ἥτις ἀεὶ τὸ ἀναγκαῖόν τι καὶ ἀληθὲς ἔχει, ποιοῦμεν συλλογισμὸν ἐν δευτέρῳ σχήματι ἐκ δύο ἀποφατικῶν. εἰ γὰρ τὸ γινόμενον ἀρχὴν ἔχει, τὸ μὴ ἀρχὴν ἔχον οὐδὲ γέγονε. τὸ οὖν ὄν, οὐ γέγονε. τὸ μὴ ἀρχὴν ἔχον, οὐ γέγονεν, ἥπερ ἀσυλλόγιστος ἡ συζυγία.

λειότητα εἶδος, ἕτερόν ἐστι. λαμβάνει δ' αὖ πάλιν καὶ ταὐτόν, ἐπεὶ μηδὲν ἄλλο παρὰ τὰ καθέκαστον μέρη καὶ τὰς ἰδίας αὐτῶν ἐνεργείας συνέρχεται εἰς τὸ ἀποτέλεσμα τῆς ὁλότητος τοῦ εἴδους. ἐκ γὰρ τῆς τοῦ καθ' ἕκαστον μέρος ἐνεργείας, κοινὴ τοῦ ζώου ἀποτελεῖται ἐνέργεια. ἴσως δὲ οὐ πρὸς τὸν λόγον, ἀλλ' αὐτὴν καθ' αὑτήν. πῶς δοκεῖ μὴ πρὸς τὸν προκείμενον λόγον ἡ ἀπορία ἡ περὶ τοῦ ὅλου; καὶ εἰ μηδὲν πρὸς τὸν προκείμενον, τί αὐτῆς μέμνηται; δόξει μὲν οὖν μὴ εἶναι πρὸς τὸ προκείμενον, διότι ζητουμένου, πότερον ἓν τὸ ὂν ἢ οὔ. καὶ ὡρισμένου εἰ ὡς συνεχὲς εἴη ἕν, ἐπειδὴ τὸ συνεχὲς ἐπ' ἄπειρον διαιρετόν, πολλὰ ἔσται, οὔτε πρὸς κατασκευὴν τούτου, οὔτε πρὸς ἀνασκευὴν λυσιτελήσει ἡ μικρὴ περὶ τοῦ ὅλου καὶ τῶν μερῶν ἀπορία. εἴτε γὰρ ταὐτὸν εἴη, οὐ παρὰ τοῦτο ἓν τὸ ὄν. δύναται γὰρ καὶ οὕτως ἐπ' ἄπειρα διαιρεθῆναι. εἴτε μὴ εἴη ταὐτὸν ἀλλ' ἕτερον, ἤδη διὰ τοῦτο πολλὰ τὰ ὄντα, κἂν μὴ ὡς διαιρετὸν αὐτὸ εἶναι λαμβάνωμεν. καὶ ὅλως τὸ ἀπορεῖν, εἴτε ταὐτὸν τοῖς μέρεσιν, εἴτε ἕτερον, οὐ δοκεῖ τοῦ παρόντος λόγου οἰκεῖον εἶναι. διατί δὲ αὐτῆς μέμνηται, καὶ πῶς ἔχει σχέσιν τινὰ πρὸς τὴν προκειμένην θεωρίαν, εἴπομεν ἐν τῇ ἀρχῇ. καὶ ὅλως ἐπειδὴ τῆς εἰς τὰ μέρη τοῦ συνεχοῦς διαιρέσεως ἐμνήσθη, οὐκ ἀπηρτημένη τοῦ προκειμένου ἡ τοιαύτη ζήτησις. τὸν γὰρ λέγοντα διαιρεῖσθαί τι εἰς τὰ μέρη, δεῖ ἔννοιαν ἔχειν τῆς τε τοῦ ὅλου φύσεως καὶ τῆς τῶν μερῶν.

» ΠΟΤΕΡΟΝ ἕν, ἢ πλείω τὸ μέρος καὶ τὸ ὅλον. καὶ πῶς ἕν, ἢ πλείω. καὶ εἰ πλείω πῶς πλείω. καὶ περὶ
» τῶν μερῶν τῶν μὴ συνεχῶν.

Τ ὁ μὲν ἓν ἀντὶ τοῦ ταὐτοῦ ἔθηκε. τὸ δὲ πλείω ἀντὶ τοῦ ἕτερον. καὶ πῶς ἓν ἢ πλείω, ἀντὶ τοῦ καὶ πῶς ταὐτὸν ἢ πῶς ἕτερον. καὶ περὶ τῶν μερῶν τῶν μὴ συνεχῶν. λέγει ἢ τῶν κατὰ παράθεσιν ἢ τῶν ἀφεστηκότων. κατὰ παράθεσιν μὲν, ὡς ἐπὶ τῆς οἰκίας. ζητητέον γὰρ καὶ περὶ τούτων εἰ ταὐτὸν ἢ ἕτερον τὸ ὅλον τοῖς μέρεσιν. εἰ μὲν γὰρ ταὐτόν, καὶ ἑκάστῳ ταὐτόν. εἰ δὲ τοῦτο, καὶ αὐτὰ ἑαυτοῖς ταὐτά. ὥστε ὁ ὄροφος τῷ θεμελίῳ ταὐτόν, καὶ αὐτὸς τοῖς τοίχοις, ὅπερ ἄτοπον. ἀφεστηκότα δὲ φημὶ οἷον πόδα, χεῖρα, καὶ τὰ λοιπά. τὸ γὰρ ὅλον εἰ ταὐτὸν ἑκάστῳ τῶν ἀνομοιομερῶν, καὶ ἀλλήλοις ταὐτὰ ἔσται. ὥστε ἡ χεὶρ ταὐτὸν τῷ ποδὶ ἔσται.

» ΚΑΙ εἰ τῷ ὅλῳ ἓν ἑκάτερον ὡς ἀδιαίρετον, ὅτι καὶ αὐτὰ αὑτοῖς.

Ε εἰ ἑκάτερόν φησι τῶν μερῶν ταὐτόν ἐστι τῷ ὅλῳ διότι ἀδιαίρετόν ἐστι, πρόδηλον ὅτι καὶ αὐτὰ ἑαυτοῖς ταὐτά ἐστι. τὸ οὖν ὡς ἀδιαίρετον, αἰτίας ἐστὶν ἀπόδοσις διὰ τί τῷ ὅλῳ τὸ μέρος ταὐτόν. τὸ δὲ ἑκάτερον, ἀντὶ τοῦ ἕκαστον. τουτέστιν, εἰ διὰ τὸ ἀδιαίρετα εἶναι τοῦ ὅλου τὰ μέρη, ἕκαστον τῶν μερῶν τῷ ὅλῳ ἐστὶ ταὐτόν, τὸ γὰρ ἓν πάλιν ἀντὶ τοῦ ταὐτοῦ κεῖται, καὶ τὰ μέρη αὐτὰ ἑαυτοῖς, τουτέστιν ἀλλήλοις ταὐτὰ ἔσται. ὥστε καὶ ἡ κεφαλὴ τῇ χειρὶ ἡ αὐτὴ ἔσται. εἰ μὲν οὖν τὸ ἑκάτερον ἀντὶ τοῦ ἕκαστον ἀκουσόμεθα, τοιαύτη ἐστὶν ἡ τῶν ῥητῶν διάνοια. εἰ δὲ συνήθως τὸ ἑκάτερον ἐπὶ δυοῖν νοοῖτο, λέγοι ἂν τό, τε ὅλον καὶ τὸ μέρος. καὶ ἔστιν ἡ διάνοια τοιαύτη. ἐπειδὴ τὸ ὅλον ἀδιαίρετόν ἐστι καὶ ἓν αὐτῷ θεωρεῖται. καὶ τὸ μέρος, διὰ τὸ ταὐτὸν εἶναι τῷ ὅλῳ τὸ μέρος, καὶ αὐτὰ αὑτοῖς τὰ μέρη τουτέστιν ἀλλήλοις ταὐτὰ ἔσται. διὰ τί δὲ εἰ τῷ ὅλῳ τὸ μέρος ταὐτόν, καὶ ἀλλήλοις ταὐτά ἐστιν. ὅτι εἰ τῶν μερῶν συνακράτους ἕκαστον τῷ ὅλῳ συγκράτει ταὐτόν ἐστι. τὰ δὲ τῷ αὐτῷ ταὐτά, καὶ ἀλλήλοις ἐστὶ ταὐτά. καὶ τὰ μέρη αὐτὰ συγκράτους ἀλλήλοις ἔσται ταὐτά.

» ΑΛΛΑ μὴν εἰ ὡς ἀδιαίρετον, οὐδὲν ἔσται ποσόν, οὐδὲ ποιόν. οὐδὲ δὴ ἄπειρον τὸ ὄν, ὥσπερ φησὶ Μέλισ-
» σος. οὐδὲ πεπερασμένον, ὡς Παρμενίδης. τὸ γὰρ πέρας, ἀδιαίρετον, οὐ τὸ πεπερασμένον.

Ε ἐλέγξας τὴν ὑπόθεσιν τὴν λέγουσαν τὸ ὂν ἓν εἶναι ὡς συνεχές, μεταβαίνει ἐπὶ τὴν ὡς ἀμερὲς ὑποτιθεμένην, καί φησιν ὅπερ ἤδη εἴπομεν. ὅτι καὶ τὰ ποιὰ καὶ τὰ ποσὰ ἀναιρήσουσιν, καὶ οὐκέτι προχωρήσει αὐτοῖς τὸ λέγειν αὐτὸ ἄπειρον ἢ πεπερασμένον.

» ΑΛΛΑ μὴν εἰ τῷ λόγῳ ἓν πάντα τὰ ὄντα, ὡς λώπιον καὶ ἱμάτιον, τὸν Ἡρακλείτου λόγον συμβαίνει
» λέγειν αὐτοῖς. ταὐτὸν γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ, καὶ μὴ ἀγαθῷ εἶναι, καὶ ἀγαθῷ. ὥστε τὸ αὐτὸ ἔσται καὶ ἀγα-
» θόν, καὶ οὐκ ἀγαθόν. καὶ ἄνθρωπος, καὶ ἵππος.

Ε ἐπὶ τὴν τρίτην μετέβη ὑπόθεσιν τὴν ἓν λέγουσαν τῷ ὁριστικῷ λόγῳ οὐ τοῖς ὀνόμασιν, ὡς ἐστὶ τὰ πολυώνυμα. τὸ αὐτὸ γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ, ὅτι τὰ ἐναντία εἰς ταὐτὸν ἄξουσιν ὥσπερ ὁ Ἡράκλειτος. καὶ μὴ ἀγαθῷ, καὶ κακῷ, ὅτι καὶ τὴν ἀντίφασιν εἰς ταὐτὸν ἄξουσιν ὥστε συναληθεύειν ἡ ἀντίφασις. ἄνθρωπος καὶ ἵππος, ὅτι καὶ τὰ ἁπλῶς ἕτερα.

» ΚΑΙ οὐ περὶ τοῦ ἓν εἶναι τὰ ὄντα ὁ λόγος ἔσται, ἀλλὰ περὶ τοῦ μηδέν. καὶ τὸ τοιῳδὶ εἶναι, καὶ τοσῳδὶ ταὐτόν.

Ε εἰ γὰρ συναληθεύει ἡ ἀντίφασις, ὁ τὸ ὂν λέγων ἓν εἶναι, οὗτος λέξει τὸ ὂν οὐδὲν εἶναι. ὥστε κινδυνεύει ἐκ τούτου ὁ λόγος οὐχ ἓν μᾶλλον τὸ ὂν δεῖξαι ἢ οὐδέν.

» ΕΘΟΡΥΒΟΥΝΤΟ δὲ, καὶ οἱ ὕστεροι, καθάπερ καὶ οἱ ἀρχαῖοι, μήποτε συμβαίνῃ αὐτοῖς, ἅμα τὸ
» αὐτὸ ἓν εἶναι, καὶ πολλά. διὸ, οἱ μὲν, τὸ ἔστιν ἀφεῖλον.

Τ οὐ τοῦτο πρὸς τὸ προσεχὲς ἀλλὰ πρὸς τὸ ἀνωτέρω, ἔνθα ἔλεγε τὸ αὐτὸ γὰρ ἔσται ἀγαθῷ καὶ κακῷ εἶναι. οὕτω γὰρ ἄτοπον φησὶ τὰ ἐναντία ταὐτὰ εἶναι, ὥστε καὶ τοὺς πρὸ ἡμῶν αὐτὸ τοῦτο φοβηθῆναι μήποτε τὸ αὐτὸ δόξῃ ἅμα ἓν καὶ πολλὰ εἶναι. οἷον ὁ Σωκράτης καὶ λευκὸς ὢν καὶ φιλόσοφος καὶ Ἀθηναῖος.

» ΟΙ δὲ τὴν λέξιν μετερρύθμιζον, ὅτι ἄνθρωπος οὐ λευκός ἐστιν, ἀλλὰ λελεύκωται, οὐδὲ βαδίζων ἐστίν, ἀλλὰ βαδίζει,
» ἵνα μὴ τὸ ἔστι προσάπτοντες, πολλὰ εἶναι ποιῶσι τὸ ἕν. Ὡς μὲν ἐν δήμῳ σοι ἐρρέθη. καὶ ὁ μὲν Ἀριστοτέλης ἀνωνύμως ἀπεῖπε. τινὲς δὲ ὑπονοοῦσιν εἰς τὸν Πλάτωνα αὐτὸν αἰνίττεσθαι, παντελῶς ἄπειροι ὄντες καὶ αὐτῆς τῆς Πλατωνικῆς λέξεως. πανταχοῦ γὰρ ἀεὶ ταῖς προτάσεσι τὸ ἔστι προσκατηγορεῖται, ἔστι τι τὸ δίκαιον, καὶ ἔστι τι τὸ καλόν, καὶ ἐν τῷ σοφιστῇ αὐτοῦ τούτου τοῦ θεωρήματος μεμνημένος, μέμφεται τοὺς νομίζοντας τὸ αὐτὸ ἓν καὶ πολλὰ εἶναι διὰ τὸ

μόνας ποιεῖ συμπλοκάς. ἢ γὰρ δυνάμει ἕν, ἐνεργείᾳ δὲ πολλά, ὡς τὰ πυρὰ τὰ ἐν πλείοσι λύχνοις, ἢ τὰ ὕδατα τὰ ἐν τοῖς πλείοσιν ἀμφορεῦσιν. ταῦτα γὰρ δυνάμει ἐστὶν ἕν, διότι συνελθόντα ἑνωθῆναι δύνανται, ἐνεργείᾳ δὲ πολλά, διῄρηνται γὰρ ἀπ' ἀλλήλων. ἢ ἐνεργείᾳ μὲν ἓν πολλὰ δὲ δυνάμει, ὡς τὸ συνεχές. τὰ δὲ λοιπὰ πάντα μόρια ἀπίστατα. τὸ αὐτὸ γὰρ ἅμα δυνάμει ἓν εἶναι καὶ ἐνεργείᾳ, ἀδύνατον. ὁμοίως καὶ πολλά. πολλῷ οὖν ἀδυνατώτερον ἅμα καὶ ἓν καὶ πολλὰ δυνάμει τε καὶ ἐνεργείᾳ εἶναι. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι τὸ αὐτὸ μὲν κατὰ τὸ αὐτὸ εἶναι ἓν καὶ πολλὰ τῷ ὄντι τῶν ἀδυνάτων ἐστίν. ἅμα γὰρ καὶ κατὰ τὸ αὐτὸ τὰ ἐναντία εἶναι ἀδύνατον, ἢ ἁπλῶς τὰ ἀντικείμενα. οἷον τὸ αὐτὸ τῷ ὑποκειμένῳ καὶ ἓν εἶναι καὶ πολλὰ ἀδύνατον, ἢ τῷ λόγῳ, ἢ τὸ αὐτὸ καὶ ἓν καὶ πολλὰ εἶναι δυνάμει, ἢ ἐνεργείᾳ καὶ ἓν καὶ πολλά. ταῦτα γὰρ ἐναντία ἐστί. διὸ οὐδὲ συνυφέστηκε. κατ' ἄλλο μέντοι εἶναι πολλά, κατ' ἄλλο δὲ ἕν, οὐδὲν κωλύει. οἷον κατὰ μὲν τὸ ὑποκείμενον ἕν, κατὰ δὲ τὸν λόγον πολλά. ὡς τὸ γλυκὺ καὶ τὸ ξανθὸν ἓν τῷ μέλιτι. ἢ τὸ ἐρυθρὸν καὶ στῦψις ἓν τῷ οἴνῳ. πάλιν ἐνεργείᾳ μὲν εἶναι ἕν, δυνάμει δὲ πολλά, οὐδὲν ἄτοπον, ὡς τὸ συνεχές. ἢ ἔμπαλιν ἐνεργείᾳ μὲν πολλά, δυνάμει δὲ ἕν, ὡς ἐπὶ τῶν πλειόνων ὑδατίων. ἐπεὶ οὖν τὸ ἓν πολλαχῶς λέγεται, ἐπιλυσόμεθα τὴν μὲν προτέραν ἀπορίαν τοῦ ζήνωνος διὰ τῆς προτέρας τοῦ ἑνὸς διαιρέσεως τῆς λεγούσης ἢ τῷ ὑποκειμένῳ ἓν εἶναι ἢ τῷ λόγῳ. τὸ γὰρ λευκὸν τὸ ἐν σωκράτει καὶ φαλακρὸν καὶ τὰ λοιπά, τῷ μὲν ὑποκειμένῳ ἕν ἐστι καὶ ταυτόν, λέγω δὴ τῷ σωκράτει. τῷ δὲ ὁριστικῷ λόγῳ πλείονα. τὴν δὲ δευτέραν ἀπορίαν τὴν ἐπὶ τοῦ συνεχοῦς, διὰ τῆς δευτέρας. λέγω δὴ τῆς δυνάμει καὶ τῆς ἐνεργείᾳ. τὸ γὰρ συνεχὲς ἕν ἐστι καὶ πολλά. ἀλλ' οὐ κατὰ ταυτόν, ἀλλὰ πολλὰ μὲν δυνάμει, ἓν δὲ ἐνεργείᾳ. ὥστε οὐχ ἅμα ἔσονται τὰ ἐναντία. οὐ γὰρ ἐναντίον τῷ δυνάμει πολλὰ τὸ ἐνεργείᾳ ἕν, ἀλλὰ τῷ δυνάμει ἕν, τὸ δυνάμει πολλά, καὶ τὸ ἐνεργείᾳ δὲ ἕν, τῷ ἐνεργείᾳ πολλά. ἄλλως τε καὶ αὐτὸς δι' αὐτοῦ ὁ τοῦ ζήνωνος ἐλεγχθήσεται λόγος. ὥσπερ γὰρ ἐπὶ τοῦ παντὸς φησὶν ὡς εἰ μὴ πολλὰ εἴη ἓν πάντως ἐστὶ διότι τὸ ὂν ἢ ἓν εἶναι ἢ πολλὰ ἀνάγκη, οὕτω καὶ ἐπὶ σωκράτους καὶ πάντων τῶν λοιπῶν. εἰ γὰρ φαλακρός ἐστι καὶ σιμός, καὶ φιλόσοφος, καὶ ὅσα ἄλλα. ἀνάγκη δὲ ὄντος τοῦ σωκράτους ἢ ἓν εἶναι αὐτὸν ἢ πολλά. οὐκ ἔσται δὲ ἕν, πολλὰ ἔσται ἐξ ἀνάγκης. ὥστε φεύγων ἓν ἂν λέγειν εἶναι τῶν κατὰ μέρος ἕκαστον, ἵνα μὴ πολλὰ εἶναι τὸ ἓν ἐκ πολλῶν ἑνάδων συγκείμενον λέγῃ, ἕκαστον τῶν ὄντων πολλὰ λέγειν ἀναγκασθήσεται. οὐκ ἄρα πολλὰ μόνον ἔσται τὸ ὄν, ἀλλὰ πολλάκις πολλά.

» ΛΕΓΕΤΑΙ δ' ἕν, ἢ τὸ συνεχές, ἢ τὸ ἀδιαίρετον, ἢ ὧν ὁ λόγος ὁ αὐτὸς καὶ εἷς, ὁ τοῦ τί ἦν εἶναι. ὥσπερ
» μέθυ καὶ οἶνος. εἰ μὲν τοίνυν συνεχές, πολλὰ τὸ ὄν. εἰς ἄπειρον γὰρ διαιρετὸν τὸ συνεχές.

Τὸ καθ' ἕκαστον ἕν φησι τριχῶς λέγεται. λέγεται γὰρ ὡς συνεχὲς ἕν, ὡς λέγομεν ἓν τὸ ξύλον. καὶ ὡς τὸ ἀδιαίρετον, οἷον τὸ σημεῖον. καὶ ὡς τὰ πολυώνυμα, οἷον ἄορ, ξίφος, μάχαιρα. τούτων οὖν σωκράτην ἓν ὄντα, ἐπὶ τί ἀποδώσομεν. λέγω οὖν ὅτι ἐπὶ τὸ συνεχές. καὶ γὰρ καὶ αἱ σωκράτους ἰδιότητες αἱ συμπληροῦσαι αὐτὸν καὶ αἱ ζωαὶ αὐτοῦ εἰ καὶ μὴ εἰσὶ καθ' αὑτὰς συνεχεῖς, ἀλλ' οὖν ἐν συνεχεῖ τὸ εἶναι ἔχουσι. διὰ τοῦτο οὖν ἐπὶ τὸ συνεχὲς αὐτὸ κινήσομεν.

» ἜΧΕΙ δ' ἀπορίαν περὶ τοῦ μέρους καὶ τοῦ ὅλου, ἴσως δὲ οὐ πρὸς τὸν λόγον, ἀλλ' αὐτὴν καθ' αὑτήν.

Ἐπειδὴ ἔδειξεν ὅτι εἰ ὡς συνεχὲς ἔλεγε τὸ ὂν ἓν εἶναι, ἐπειδὴ τὸ συνεχὲς διαιρετόν ἐστιν, ἔσται τὸ ὂν οὐκέτι ἓν κυρίως ἀλλὰ πολλά, ὑπόρησε δὲ αὐτῷ τις πρὸς αὐτὸν ὅτι κακῶς τὸ συνεχὲς πολλὰ εἴρηκας, ἐπειδὴ δυνάμει διαιρετόν ἐστι. τὸ γὰρ συνεχὲς ταυτόν ἐστι τῷ ὅλῳ. τὸ δὲ ὅλον ταυτόν ἐστι τοῖς μέρεσιν. οὐ γάρ ἐστιν ἕτερον παρὰ τὰ μέρη. ὥστε καὶ τὸ συνεχὲς ταυτόν ἐστι τοῖς μέρεσιν. εἰ δὲ καὶ τὸ συνεχὲς ἐπειδὴ καὶ τὸ ὅλον, δῆλον ὅτι καὶ τὰ μέρη οὐ πλείονα ἔσται ἀλλ' ἕν. οὐδὲ γὰρ κατ' ἐνέργειαν ὑπάρχοντα λαμβάνεται, ἀλλὰ δυνάμει, ἐνεργείᾳ δὲ ἕν. φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι ἡ περὶ τοῦ μέρους ζήτησις καὶ τοῦ ὅλου πότερον ἕτερά ἐστι ταῦτα ἀλλήλων ἢ ταυτά, ἔχει ἀπορίαν οὐ μόνον πρὸς τὸν παρόντα λόγον, ἀλλὰ καὶ αὐτὴ καθ' αὑτὴν ζητηθῆναι ἀξίαν. εἴτε γὰρ ταῦτα ταυτά, τις ὑπόθοιτο εἶναι, εἴτε ἕτερα, δόξει ἑκατέρᾳ ὑποθέσει ἄτοπόν τι ἀκολουθεῖν. εἰ μὲν γὰρ ἕτερον τὸ ὅλον τῶν μερῶν, ἐπειδὴ οὐδὲν ἕτερόν ἐστι τὸ ὅλον ἢ πάντα τὰ μέρη, συμβήσεται καὶ τὸ αὐτὸ ἑαυτῷ ἕτερον εἶναι ὅπερ ἄτοπον. καὶ ἔστιν ὁ συλλογισμὸς τοιοῦτος. τὸ ὅλον οὐδὲν ἕτερόν ἐστιν ἢ πάντα τὰ μέρη. τὰ μέρη τοῦ ὅλου ἕτερά ἐστι. τοῦτο γὰρ ὑπόκειται. τὸ ὅλον ἄρα τοῦ ὅλου ἕτερόν ἐστιν. καὶ αὐτὸ ἑαυτοῦ ἕτερόν ἐστιν. εἰ μὲν οὖν ἕτερον τῶν μερῶν ὑποτιθείη, ταῦτα. εἰ δὲ ταυτὸν τοῖς ὅλοις μέρεσι τὸ ὅλον, καὶ ἐνὶ ἑκάστῳ ταυτὸν ἂν εἴη. εἰ γὰρ μὴ ταυτὸν ἐνὶ ἑκάστῳ, οὐδὲ πᾶσιν ἅμα. εἰ δὲ ἐνὶ ἑκάστῳ ταυτόν, ἔσονται καὶ ἀλλήλοις τὰ μέρη ταυτά. ὅπερ ἄτοπον. τὰ γὰρ τῷ αὐτῷ ταυτά, καὶ ἀλλήλοις ταυτά. ὥστε ὅσον ἐκ τῶν ἀποσχῶν τούτων, δόξει οὔτε ταυτὸν οὔτε ἕτερον εἶναι τοῖς μέρεσι τὸ ὅλον. ἰστέον οὖν ὅτι τὸ ὅλον πῇ μὲν ταυτόν ἐστι τοῖς μέρεσι, πῇ δὲ ἕτερον. ἕτερον μὲν γάρ ἐστι τῶν μερῶν, ὡς ἐπιγινόμενον τῇ πάντων συνθέσει καὶ ἀποτέλεσμα αὐτῶν ὄν. ταυτὸν δὲ πάλιν τοῖς μέρεσι τὸ ὅλον, ὡς μηδενὸς ἐπιγινομένου ἔξωθεν τῶν μερῶν εἰς τὴν τοῦ ὅλου ὕπαρξιν. οἷόν τι λέγω. ἐπὶ τῆς κιθάρας ἑκάστη χορδὴ ἰδίαν ἐντάσεως ποσοῦ τον, ὅσον εἰς τὴν λύδιον τυχὸν ἁρμονίαν συντελέσαι, εἶτα πᾶσαι κεχωρισμέναι ὦσι καὶ μὴ εἰς ἓν συνηρμοσμέναι, ἑκάστη μὲν δηλονότι καθ' αὑτὴν τὸν ἴδιον ἦχον ἀποτελεῖ. ἡ μέντοι ἁρμονία ἡ μετὰ τὴν σύνοδον πασῶν τῶν χορδῶν ἐκ τοῦ ἤχου πασῶν ἀποτελουμένη, ἑτέρα ἐστὶ δηλονότι τοῦ ἤχου πασῶν τοῦ πρὶν συνελθεῖν αὐτάς. ἡ γὰρ συνδρομὴ πασῶν, ἀπετέλεσέ τι εἶδος ὃ μὴ ἦν ἐν πᾶσι τοῖς κατὰ μέρος μήπω συνελθοῦσιν. οὕτω μὲν οὖν ἡ ὁλότης τῆς ἁρμονίας ἑτέρα τῶν ἤχων πάντων τῶν κατὰ μέρος, κἂν ἅμα ἠχῶσι διεστηκότες ἀλλήλων. ἡ αὐτὴ δὲ τῷ μηδὲν ἕτερον παρὰ τὰς κατὰ μέρος ἐπιτηδείας διελθεῖν εἰς τὸ ἀποτελέσαι τὸ εἶδος τῆς ἁρμονίας. οὕτως καὶ ἐπὶ ἀνθρώπου, εἰ νοήσαις τὰ μόρια αὐτοῦ διεσπασμένα, ἕκαστον μέντοι τὴν ἰδίαν ἔχον ἐνέργειαν, οἷον τὸν ὀφθαλμόν, τὴν ὀφθαλμοῦ καὶ χεῖρα ὁμοίως, καὶ τὰ λοιπά. τούτων πάντων διῃρημένων ὄντων τὸ ἐκ τῆς πάντων συνδρομῆς ἀποτε-

ψυχρόν, ξηρὸν καὶ ὑγρόν, ἀγαθὸν καὶ κακόν. ταῦτα ἔσται ὀνόματι μόνον διαφέροντα. ἀπολογούμενοι δέ τινες ὑπὲρ
Ἡρακλείτου φασὶν ὅτι τὰ ἐναντία λέγων ταὐτὰ εἶναι, οὐ τοῦτο ἔλεγεν ὡς οὐδὲν διαφέρει τὸ ἀγαθὸν τοῦ κακοῦ, ἢ τὸ
λευκὸν τοῦ μέλανος. ἀλλὰ πρῶτον μὲν ὅτι ἐν ἑνί ἐστι τῷ ὑποκειμένῳ καὶ τῷ γένει. ἔπειτα, ὅτι ἐνταῦθα ὄντα τὰ ἐναντία οὐκ
ἔστιν εἰλικρινῆ, ἀλλὰ συμμέμικταί πως πρὸς τὰ ἐναντία. οἷον οὐκ ἔστιν εἰλικρινῶς ἀγαθὸν εὑρεῖν, ἢ εἰλικρινῶς κα-
κόν. αὗται μὲν γὰρ αἱ τῶν ἐναντίων ἰδέαι μὴ γινόμεναι ἐν ὕλῃ, εἰλικρινεῖς εἰσὶ καὶ καθαραὶ ὅπερ εἰσίν. ἐν ὕλῃ δὲ γινό-
μεναι, διὰ τὸ τὴν ὕλην δεκτικὴν εἶναι τῶν ἐναντίων, μίγνυνταί πως πρὸς ἀλλήλας, καὶ εἰλικρινεῖς οὐκέτι μένουσιν. οὐ
μόνον δὴ τὰ ἐναντία εἰς ταὐτὸν ἄξουσιν, ἀλλὰ καὶ τὴν ἀντίφασιν. ἐπεὶ γάρ ἐστί τι τὸ οὐ λευκόν, ὅπερ ἀναιρεῖ μὲν τὸ λευ-
κόν, σημαίνει δέ τι ἕτερον, εἰ λέγουσι πάντα τὰ ὄντα, τῇ οὐσίᾳ ἓν εἶναι, τῷ ὀνόματι δὲ μόνον διαφέρειν, ἀνάγκη καὶ τὸ
λευκὸν καὶ οὐ λευκόν, τὸ αὐτὸ εἶναι. ὥστε καὶ συναληθεύσει ἡ ἀντίφασις, καὶ τὸ αὐτὸ ἔσται λευκὸν καὶ οὐ λευκόν, καὶ ἄνθρωπος
καὶ οὐκ ἄνθρωπος. καὶ ὁ λόγος αὐτοῖς φησὶ γενήσεται οὐ περὶ τοῦ ἓν εἶναι τὰ πάντα, ἀλλὰ περὶ τοῦ μηδὲν εἶναι ὅλως. εἰ γὰρ τὸ λευ-
κὸν ταὐτόν ἐστι τῷ οὐ λευκῷ, οὐ μᾶλλον ἔσται τὸ λευκὸν διὰ τὴν κατάφασιν, ἢ οὐκ ἔσται διὰ τὴν ἀπόφασιν. καὶ πρὸς τού-
τοις εἰς ταὐτὸν ἄξουσι ποσόν, ποιόν, καὶ τὰς δέκα κατηγορίας. ὀνόματι γὰρ μόνον διοίσουσιν, οὐ πράγματι. ταῦτα εἰπὼν
ἀφεξῆς ἐπάγει, ὅτι φησὶ καλῶς ἐμέμψαντο αὐτοῖς εἰς ἄτοπον ἀπαγαγόντες ὡς τὰ ἐναντία εἰς ταὐτὸν ἄγουσι, δῆ-
λον δὲ ὡς καὶ οἱ πρὸ ἡμῶν εἰς ταύτην αὐτὴν τὴν ἀπορίαν ἐθορυβήθησαν ἐπὶ τοῦ συνεχοῦς, μήποτε δόξῃ τὸ αὐτὸ ἓν καὶ πολ-
λὰ εἶναι, ὡς ἐκ κοινῆς ἐννοίας ἔχοντες ὁμολογούμενον ὅτι τὰ ἐναντία ἅμα οὐ δύναται. Ζήνων γὰρ ὁ Ἐλεάτης πρὸς
τοὺς διακωμῳδοῦντας τὴν Παρμενίδου τοῦ διδασκάλου αὐτοῦ δόξαν λέγουσαν ἓν τὸ ὂν εἶναι, ἐνιστάμενος καὶ συνηγορῶν τῇ τοῦ
διδασκάλου δόξῃ, ἐπιχειρεῖ δεικνύναι ὅτι ἀδύνατον πλῆθος εἶναι ἐν τοῖς οὖσιν. εἰ γάρ φησι πλῆθός ἐστιν, ἐπειδὴ τὸ
πλῆθος ἐκ πλειόνων ἑνάδων σύγκειται, ἀνάγκη ἑνάδας εἶναι πλείους ἐξ ὧν τὸ πλῆθος συνέστηκεν. εἰ τοίνυν δείξο-
μεν ὅτι ἀδύνατον εἶναι πλείονας ἑνάδας, δῆλον ὅτι ἀδύνατον εἶναι πλῆθος. τὸ γὰρ πλῆθος ἐξ ἑνάδων. εἰ δὲ ἀδύ-
νατον εἶναι πλῆθος, ἀνάγκη δὲ ἢ τὸ ἓν εἶναι ἢ τὸ πλῆθος, πλῆθος δὲ εἶναι οὐ δύναται, λείπεται τὸ ἓν εἶναι. πῶς οὖν
ἐδείκνυεν ὅτι οὐ δυνατὸν εἶναι ἑνάδας πλείους, ἐπειδὴ οἱ τὸ πλῆθος εἰσάγοντες, ἐκ τῆς ἐναργείας τοῦτο ἐπιστοῦντο.
ἔστι γὰρ ἵππος καὶ ἄνθρωπος, καὶ ἕκαστον τῶν κατὰ μέρος, ὧν ἡ ἄθροισις τὸ πλῆθος ἀποτελεῖ. τὴν ἐνάργειαν οὖν στοχαστικῶς αὐτὸς
ἀνασκευάσαι βουλόμενος ὁ Ζήνων ἔλεγεν, ὅτι εἰ ἐκ τούτων τὸ πλῆθος, τὸ δὲ πλῆθος ἐξ ἑνάδων, ταῦτα ἄρα ἑνάδες. ἐὰν οὖν
δείξωμεν ὅτι οὐ δυνατὸν εἶναι ταύτας ἑνάδας, δῆλον ὅτι οὐδὲ ἔσται ἐξ αὐτῶν πλῆθος, εἴγε τὸ πλῆθος ἐξ ἑνάδων. δεί-
κνυσιν οὖν τοῦτο οὕτως. ὁ Σωκράτης φησὶν ὃν λέγετε ἑνάδα εἶναι συντελοῦσαν εἰς τὴν τοῦ πλήθους σύστασιν, οὐ μόνον Σωκρά-
της ἐστίν, ἀλλὰ καὶ λευκὸς καὶ φιλόσοφος καὶ προγάστωρ καὶ σιμός. ὥστε ὁ αὐτὸς καὶ πολλὰ ἔσται. ἀλλὰ μὴν τὸ αὐτὸ ἓν
εἶναι καὶ πολλά, ἀδύνατον. οὐκ ἄρα ἓν ἔσται ὁ Σωκράτης. ὁμοίως οὐδὲ τὰ λοιπὰ ἐξ ὧν τὸ πλῆθος εἶναί φατε. εἰ δὲ μὴ
δυνατὸν εἶναι πλείους ἑνάδας, δῆλον ὅτι οὐδὲ τὸ πλῆθος ἔσται. εἰ δὲ ἀνάγκη μὲν εἶναι τὸ ὂν ἢ ἓν ἢ πολλά, δέδεικται δὲ
ὅτι πολλὰ οὐκ ἔστι τῷ μὴ εἶναι πλείους ἑνάδας, ἀνάγκη ἄρα ἓν εἶναι. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐκ τοῦ συνεχοῦς δείκνυσι. τὸ γὰρ
συνεχὲς εἰ ἔστιν ἕν, ἐπειδὴ τὸ συνεχὲς ἀεὶ διαιρετόν, ἔστιν ἀεὶ τὸ διαιρεθὲν εἰς μέρη διελεῖν πλείονα. εἰ δὲ τοῦτο, πολλὰ
ἄρα τὸ συνεχές. τὸ αὐτὸ ἄρα ἓν ἔσται καὶ πολλά. ὅπερ ἀδύνατον. ὥστε οὐκ ἔσται ἕν. εἰ δὲ μηδὲν τῶν συνεχῶν ἕν, ἀνάγκη
δὲ εἴπερ ἔσται τὸ πλῆθος, ἐξ ἑνάδων συγκεῖσθαι, ἐπεὶ οὐδ᾽ ἑνάδων πλῆθος ἔσται, λείπεται ἄρα ἓν εἶναι τὸ ὄν. πρὸς
ταύτην οὖν τὴν ἀπορίαν φησὶν οἱ παλαιοὶ ἐθορυβοῦντο μήποτε τὸ αὐτὸ καὶ ἓν ἔσται καὶ πολλά. ἐκ κοινῆς γὰρ ἐννοίας ὁμο-
λογούμενον ἐλάμβανον μὴ δύνασθαι ἅμα τὰ ἐναντία εἶναι ἐν ταὐτῷ. καὶ οἱ μέν φησι τὸ εἶναι ἀφεῖλον ἐπιλυόμενοι τὴν
ἀπορίαν ὥσπερ Λυκόφρων ὁ σοφιστής. ἔλεγε γὰρ οὕτως ὅτι οὐ δεῖ λέγειν ὅτι Σωκράτης λευκός ἐστιν, ἀλλ᾽ ὅτι Σωκράτης
λευκός. τὸ γὰρ ἔστι φησὶ προστιθέμενον ὕπαρξιν δίδωσι τῷ λευκῷ. οἱ δέ φησι τὴν λέξιν μετερρύθμιζον λέγοντες ὅτι οὐ δεῖ
λέγειν ὅτι ὁ Σωκράτης λευκός ἐστιν, ἀλλὰ λελεύκωται, ἵνα ῥῆμα εἴη τὸ κατηγορούμενον, ἀλλὰ μὴ ὄνομα. ὅπερ ἐστὶ
γελοῖον. εἰ γὰρ καὶ μὴ προσκέηται ἐν τῷ Σωκράτης λευκὸς τὸ ἔστιν, εἰ μὲν μηδὲν προσυπακούεται ἔξωθεν, ἀδιανόητος γίνε-
ται ὁ λόγος καὶ ἀτελής. ἄνευ γὰρ συμπλοκῆς ὁριστικοῦ ῥήματος οὐκ ἀπαρτίζεται λόγος ἀποφαντικός. τὸ γὰρ Σωκράτης
λευκός, ἄδηλον πότερόν ἐστιν ἢ οὐκ ἔστιν. εἰ δὲ προσυπακούεται, τὴν αὐτὴν πάλιν δύναμιν ἕξει κἂν εἰ ἐξ ἀρχῆς τῇ ὅλῃ
προτάσει συνεπλέκη. καὶ τὸ λέγειν δὲ Σωκράτης λελεύκωται ἢ Σωκράτης περιπατεῖ, ταὐτόν ἐστι τῷ λέγειν Σωκρά-
της λελευκωμένος ἐστὶν ἢ περιπατῶν ἐστι. πᾶν γὰρ ῥῆμα ὁριστικὸν ἀναλύεται εἰς μετοχὴν καὶ τὸ ἔστι ῥῆμα. ταῦτα μὲν οὖν
πρὸς τὰς ἀπορίας τοῦ Ζήνωνος οἱ ἀρχαιότεροι. ὁ δὲ Ἀριστοτέλης φησὶν ὅτι ταῦτα ἔπασχον ἐκεῖνοι καὶ ἐθορυβοῦντο μή-
ποτε τὸ αὐτὸ καὶ ἓν καὶ πολλὰ ἔσται δι᾽ ἀπειρίαν λογικῆς ἐφόδου καὶ τῆς τῶν ὁμωνύμων φωνῶν σημασίας. τὸ γὰρ ἓν φη-
σιν ὁμώνυμόν ἐστιν. ἢ γὰρ τῷ ὑποκειμένῳ ἐστὶν ἢ τῷ λόγῳ. καὶ πάλιν, ἢ δυνάμει ἐστὶν ἢ ἐνεργείᾳ ἕν. καὶ τὰ πολλὰ ὡσαύ-
τως. γίνονται οὖν αἱ πᾶσαι συζυγίαι, ἕξ. τὸ γὰρ ἓν καὶ πολλὰ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ συμπλεκόμενα, ποιεῖ
συζυγίας δ΄. ἢ γὰρ καὶ τῷ ὑποκειμένῳ πολλὰ καὶ τῷ λόγῳ, ἢ οὐδὲ τῷ ὑποκειμένῳ οὐδὲ τῷ λόγῳ, ἢ τῷ μὲν ὑποκειμένῳ
πολλά, τῷ δὲ λόγῳ ἕν, ἢ ἔμπαλιν τῷ μὲν ὑποκειμένῳ ἕν, τῷ δὲ λόγῳ πολλά. οἷον τῷ μὲν ὑποκειμένῳ ἓν τῷ δὲ λόγῳ πολ-
λά, τὸ λευκὸν καὶ τὸ θερμόν. ταῦτα γὰρ τῷ μὲν ὑποκειμένῳ ἓν καὶ ταὐτόν εἰσιν. ἐν τῷ αὐτῷ γὰρ σώματι ἄμφω. οἷον τῷ Σω-
κράτει. τῷ λόγῳ δὲ ἕτερα. ἕτερος γὰρ ὁ τοῦ θερμοῦ λόγος, καὶ ἕτερος ὁ τοῦ λευκοῦ. ἀνάπαλιν δὲ τῷ μὲν λόγῳ ἓν τῷ δὲ ὑπο-
κειμένῳ πολλά. ὡς τὸ λευκὸν τὸ ἐν ψιμμυθίῳ καὶ τὸ ἐν χιόνι. εἷς γὰρ ἀμφοῖν ὁ ὅρος, χρῶμα διακριτικὸν ὄψεως.
πολλὰ δὲ τῷ ὑποκειμένῳ χιόνι καὶ ψιμμυθίῳ. τῷ λόγῳ δὲ ἅμα καὶ τῷ ὑποκειμένῳ ἕν, τὸ λώπιον καὶ τὸ ἱμάτιον.
ὁμοίως χθὼν καὶ γῆ. τῷ ὑποκειμένῳ δὲ καὶ τῷ λόγῳ πολλά, ὡς ὑγρότης καὶ ξηρότης. οὐ δύναται γὰρ ἐν τῷ αὐτῷ
ἅμα εἶναι ὑποκειμένῳ. καὶ ἐπιστήμη καὶ θερμότης, ἡ μὲν ἐν ψυχῇ, ἡ δὲ ἐν σώματι. τοσαύτας μὲν οὖν ποιεῖ συζυγίας τὸ
ἓν καὶ τὰ πολλὰ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ συμπλεκόμενα. εἰ μέντοι τῷ δυνάμει καὶ τῷ ἐνεργείᾳ συμπλακείη, δύο

ρας τῷ σώματι. λευκότητες, μελανίαι, θερμότητες αἱ αὐτῇ γινόμεναι ἔξωθεν, καὶ ψύξεις. οὕτως ἐστί τι καὶ οὐσιῶδες ποσόν· ὅπερ πρώτως εἰδοποιεῖ τὴν ὕλην· ὅπερ ἐστὶ καὶ τοῦ σώματος χαρακτηριστικόν. ἰδίας μὲν οὖν ἐστὶ θεωρίας τὸ περὶ τούτων ἀκριβέστερον διεξιέναι, εἴτε τῷ ὄντι οὐσιῶδές ἐστι τὸ τριχῇ τοῦ σώματος διαστατὸν καὶ αὐτὸ οὐσία τίς ἐστιν οὐ διαστάσει καὶ μεγέθει χαρακτηριζομένη, εἴτε μή. Ἐπιλυόμενοι δ' ὅμως τὴν ἀπορίαν φαμὲν ὅτι εἰ κατ' Ἀριστοτέλην πρῶτον μὲν μὴ ἁπλοῦν τί ἐστι τὸ σῶμα ἀλλὰ καὶ αὐτὸ ἐξ ὕλης τῆς πρώτης καὶ τοῦ ποσοῦ τουτέστι τοῦ τριχῇ διαστατοῦ συνέστηκε, δῆλον ὅτι οὐκ ἔστιν ἁπλῶς ποσὸν τὸ σῶμα. καὶ ἄλλως ἡ οὐσία οὐκ ἔστι φωνὴ ὁμώνυμος· γένος γάρ ἐστιν. ἀλλ' ὥσπερ τὸ ζῶον σημαίνει κοινήν τινα φύσιν ἑκάστῳ τῶν μερικῶν ὑπάρχουσαν ζώων. λέγω δὴ τὸ ἔμψυχον αἰσθητικόν, οὕτω καὶ ἡ οὐσία δηλοῖ τὸ αὐθυπόστατον. αὐθυπόστατοι γὰρ αἱ σωματικαὶ οὐσίαι καὶ αἱ ἀσώματοι. κοινὸν δὲ ἡ οὐσία ἐστὶ τὸ αὐθυπόστατον. τὸ δὲ αὐθυπόστατον οὐ ποσόν. τὸ δὲ ἄπειρον τοῦ ποσοῦ. τὸ ἄρα αὐθυπόστατον τουτέστιν ἡ οὐσία οὐκ ἄπειρον. κἂν ἐπὶ τῆς σωματικῆς δὲ μόνης οὐσίας γυμνάζηται ὁ λόγος, ᾗ τινι ὡς διαφορά τις τὸ τριχῇ διαστατὸν ἐπιγίνεται, οὐδ' οὕτω τῇ σωματικῇ οὐσίᾳ καθ' αὑτὸ ὑπάρξει ἢ τὸ ἄπειρον ἢ τὸ πεπερασμένον. τὸ γὰρ πεπεράνθαι, ἢ ἄπειρα εἶναι τὰ συνεχῆ, κατὰ τὴν ἔκτασιν λέγεται. οὐ κατὰ τὸ τριχῇ διεστάναι. τὸ δὲ κατὰ τὴν ἔκτασιν ποσὸν συμβέβηκε τοῖς σώμασι, καὶ οὐ συμπληρωτικόν ἐστι τῆς τῶν σωμάτων οὐσίας. οὐδὲ γὰρ τὸ εἶναι τὸ ξύλον τρίπηχυ ἢ δακτυλιαῖον ἢ χιλίων πηχῶν, τοῦτο ποιεῖ αὐτὸ εἶναι ξύλον. εἰ γὰρ ὡρισμένον οἷον φέρε τὸ πηχυαῖον εἰς τὸ εἶναι τὴν τοῦ ξύλου οὐσίαν συνετέλει, ἀδύνατον εἶναι ξύλον τὸ τὴν πηχυαίαν διάστασιν ὑπερβαῖνον ἢ ἐλλεῖπον. οὐκοῦν καὶ εἴ τις ἐπινοήσει τὴν ἔκτασιν τοῦ ξύλου ἐπ' ἄπειρον γινομένην, τὸ ποσὸν τοῦτο οὐ καθ' αὑτὸ ὄν, ἀλλὰ κατὰ συμβεβηκὸς ὑπάρχει τῷ ξύλῳ. ὥστε εἰ τὸ μὲν πεπερασμένον καὶ ἄπειρον ἐν τοῖς συνεχέσι τῷ ποσῷ κατὰ τὴν ἔκτασιν ὑπάρχει. τοῦτο δὲ συμβέβηκε τῷ σώματι, τὸ ἄρα πεπερασμένον καὶ τὸ ἄπειρον κατὰ συμβεβηκὸς ὑπάρχει τοῖς σώμασιν.

» Εἰ μὲν τοίνυν καὶ οὐσία ἐστὶ καὶ ποσόν, δύο καὶ οὐχ ἓν τὸ ὄν. εἰ δ' οὐσία μόνον, οὐκ ἄπειρον. οὐδὲ
» μέγεθος ἕξει οὐδέν. ποσὸν γάρ τι ἔσται.

Ὑποθέμενος τὸ ποσὸν τὸ καθόλου μεταβαίνει ἐπὶ τὴν οὐσίαν καὶ κοινότερον ἁπλῶς ὡς οὐσίαν ὑποτιθέμενος, οὕτως ἐξετάζει τὸν λόγον. εἰ οὖν τὸ ἓν τοῦτό φησιν οὐσίαν ὑπόθοιντο, οὐκέτι δυνηθήσονται ἄπειρον αὐτὸ ἢ πεπερασμένον ὑποτίθεσθαι. ταῦτα γὰρ τοῦ ποσοῦ. οὐσίας δὲ μόνης οὔσης, ποσὸν οὐκ ἔσται. ὥστε εἰ πεπερασμένον Παρμενίδης ὑπετίθετο τὸ ὂν εἶναι. Μέλισσος δὲ ἄπειρον, οὐκ ἂν οὐσίαν αὐτὸ ὑποτίθεσθαι δύνανται.

» Ἔτι ἐπεὶ καὶ αὐτὸ τὸ ἓν πολλαχῶς λέγεται ὥσπερ καὶ τὸ ὄν, σκεπτέον τίνα τρόπον λέγουσιν ἓν
» εἶναι τὸ πᾶν.

Προθέμενος ἀντειπεῖν τοῖς περὶ τὸν Παρμενίδην καὶ Μέλισσον, ἀναγκαῖον ᾠήθη πρότερον πρὸς αὐτὸ τὸ πρόβλημα ἐνστῆναι. εἶτα διαιρέσει χρησάμενος τοῦ ἑνός. τὸ γὰρ ἕν φησιν ἢ ὀνόματί ἐστιν ἢ πράγματι. καὶ εἰ τῷ πράγματι, ἢ τῷ καθόλου ἢ τῷ μερικῷ, πρότερον ἔδειξεν ὅτι οὐ δύναται τῷ ὀνόματι ἓν εἶναι τὸ ὄν. εἶτα μετελθὼν ἐπὶ τὸ τῷ πράγματι ἓν καὶ τοῦτο τῷ καθόλου, ἔδειξεν ὅτι οὔτε ὡς συμβεβηκὸς δύναται ἓν εἶναι τὸ ὄν. εἶτα ἐφεξῆς ἔδειξεν ὅτι ἐξ ὧν ἔλεγον οἱ περὶ τὸν Παρμενίδην καὶ Μέλισσον, ποσόν τι ὑπετίθεντο τὸ ὄν. ἔλεγον γὰρ αὐτό, Παρμενίδης μὲν πεπερασμένον, Μέλισσος δὲ ἄπειρον. ὥστε οὐ μάτην ὑπεθέμεθα ποσὸν αὐτοὺς λέγειν τὸ ὄν. εἶτα τελευταῖον, ὅτι οὐδὲ οὐσίαν δυνατὸν αὐτοὺς ὑποτίθεσθαι ἔδειξε. λείπεται οὖν τὸ μερικὸν ἐξετάσαι. τοῦτο δὲ τριχῇ διαιρεῖ. τὸ γὰρ μερικὸν ἢ συνεχές ἐστιν ἢ ἀδιαίρετον, ἢ τῷ λόγῳ ἕν, ὡς τὰ πολυώνυμα. ταῦτα γὰρ τῷ μὲν λόγῳ τῆς οὐσίας τὰ αὐτά ἐστιν, ὀνόματι δὲ μόνον διαφέρουσιν. εἰ μὲν οὖν ὡς συνεχὲς ἓν εἴη τὸ ὄν, ἐπειδὴ συνεχές ἐστιν ὡς αὐτὸς ἐν τῷ πέμπτῳ τῆς προκειμένης πραγματείας ὁρίζεται, οὗ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, δῆλον ὅτι πλείονα μόρια ἔχει τὸ συνεχές. ὥστε εἰ καὶ ἕν ἐστιν ἐνεργείᾳ, ἀλλὰ πολλὰ δυνάμει. εἰ τοίνυν δυνάμει πολλά ἐστι τὸ συνεχές, οὐχ ἓν τὸ ὂν ἀλλὰ πολλά. παντελῶς δὲ ἀναιροῦσιν ἐκεῖνοι τὸ πλῆθος, οὐδαμῇ οὐδαμῶς πλῆθος εἶναι λέγοντες. εἰ δὲ τοῦτο, οὐ δύνανται λέγειν συνεχὲς εἶναι τὸ ὄν. τὸ γὰρ συνεχές, δυνάμει πολλά ἐστιν. εἰ δὲ ἀδιαίρετον, οἷον ὡς τὸ σημεῖον ἢ μονὰς ἢ τὸ νῦν ἢ τὸ κίνημα. ταῦτα γὰρ ἐν τοῖς φυσικοῖς ἀδιαίρετα, πῶς τοῦτο ἢ πεπερασμένον ἔσται, ὥς φησι Παρμενίδης. ἢ ἄπειρον, ὥς φησι Μέλισσος. τὸ γὰρ ἀμερές, πέρας μὲν εἶναι δύναται ὡς τὸ νῦν ἢ τὸ σημεῖον. πεπερασμένον δὲ ἢ ἄπειρον, οὐδαμῶς. ταῦτα γὰρ ποσοῦ πάθη ἐστίν. ἄλλοθεν οὖν τὸ οὕτως λέγειν τὸ ἕν, τὰς ὑποθέσεις ἀμφοτέρων ἀναιρήσει. ἔπειτα εἰ ἀμερὲς εἴη τὸ ὄν, ἀναιρεθήσεται καὶ τὸ ποσὸν καὶ τὸ ποιόν. καὶ ὅτι μὲν τὸ ποσὸν ἀναιρεθήσεται, πρόδηλον. μεριστὸν γὰρ τὸ ποσόν. διττὸν γὰρ εἶδος τοῦ ποσοῦ, τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ἀμφότερα δὲ μεριστά. ἀλλὰ δὴ καὶ τὸ ποιὸν ἀναιρήσει· πρῶτον μὲν ὅτι ἐν μεγέθει τὸ εἶναι ἔχει τὸ ποιόν. ἔπειτα τὸ σχῆμα καὶ ἡ μορφή, τοῦ ποιοῦ εἶδός ἐστι. τοῦτο δὲ μεριστόν. ὥστε καὶ τὸ ποιὸν ἀναιρεθήσεται εἰ ἀμερὲς τὸ ὄν. εἰ δὲ τῷ λόγῳ ἕν, ὥσπερ μέροψ καὶ βροτός. τῷ γὰρ τῆς οὐσίας λόγῳ ἓν ταῦτα, ὀνόματι δὲ μόνῳ ἡ διαφορὰ τοῦ ὑποκειμένου τοῦ αὐτοῦ ὄντος. τὸν Ἡρακλείτου φησὶ λόγον συμβαίνει λέγειν αὐτοῖς. ἔλεγε γὰρ Ἡράκλειτος τὰ ἐναντία τὰ αὐτὰ εἶναι. τὸ λευκὸν καὶ τὸ μέλαν. τὸ ἀγαθὸν καὶ κακόν. γλυκὺ καὶ πικρόν. εἰ τοίνυν καὶ οὗτοι οὕτως ἔλεγον ἓν τὸ ὄν, τῷ ἕνα καὶ τὸν αὐτὸν λόγον ἔχειν, κἂν πλείοσιν ὀνόμασι καλῆται, δῆλον ὅτι εἰς ταὐτὸν ἄγουσι τὰ ἐναντία. θερμὸν ἢ καὶ

ψυχρόν.

Τινὲς ὑπέλαβον διὰ τούτων τὸ καθόλου μόριον τῆς διαιρέσεως αὐτὸν ἐκτίθεσθαι. καὶ διὰ μὲν τοῦ εἰπεῖν πότερον ὡς οὐσίαν ἅπαντα, ἢ ποσὰ ἅπλα ἢ ποιά, τὸ κατὰ γένος ἓν λέγειν. διὰ δὲ τοῦ καὶ πάλιν πότερον οὐσίαν, μίαν δὲ πάντα οἷον ἄνθρωπον εἶναι ἢ ἵππον εἶναι, τὸ κατὰ τὸ εἶδος ἕν. τὸ γὰρ μερικὸν μετ' ὀλίγα ἐκτίθεσθαι εὖ δὲ λέγει. λέγεται δὲ ἓν ἢ τὸ συνεχές, ἢ τὸ ἀδιαίρετον. ἢ οὗ ὁ λόγος ὁ αὐτός. ἡμεῖς δὲ φαμὲν ὅτι ἐπειδὴ ὅταν ἀκούσωμεν ἄνθρωπον εἶναι, ἢ ἵππον εἶναι εὐθὺς ἡ διάνοια ἡμῶν εἰς τὸ μερικὸν ἀναφέρεται, διὰ τοῦτο φαμὲν ὅτι διὰ μὲν τοῦ πότερον ὡς οὐσίαν πάντα, ἢ ποσὰ ἅπλα, ἢ ποιὰ τὸ καθόλου αὐτὸν ἐκτίθεσθαι κοινῶς. τό, τε κατὰ τὸ γένος καὶ τὸ κατὰ τὸ εἶδος. διὰ δὲ τοῦ τὸ οἷον ἄνθρωπον εἶναι, ἢ ἵππον εἶναι, τὸ μερικόν. ἐφεξῆς δὲ ὥσπερ ἤδη εἴπομεν, αὐτὸ τὸ μερικὸν διαιρεῖ.

» ΤΑΥΤΑ γὰρ πάντα διαφέρει τι πολύ, καὶ ἀδύνατα λέγειν. εἰ μὲν γὰρ ἔσται καὶ οὐσία, καὶ ποιόν. καὶ
» ποσόν. καὶ ταῦτα εἴτ' ἀπολελυμένα ἀπ' ἀλλήλων, εἴτε μὴ πολλὰ τὰ ὄντα, εἰ δὲ ἅπαντα ποιόν, ἢ ποσόν. εἴ-
» τε οὔσης οὐσίας, εἴτε μὴ οὔσης. ἄτοπον. εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον.

Τὰ ἀπηριθμημένα φησὶ καὶ τὸ συμβεβηκός, καὶ ἡ οὐσίας ἥ τε καθόλου καὶ ἡ μερική. ὁ μέντοι δὲ τὸ ποσὸν καὶ ποιὸν καὶ τὰ λοιπὰ συμβεβηκότα, πλεῖστόν τι διαφέρουσιν ἀλλήλων καὶ ἕκαστον αὐτῶν λέγειν ὑποτιθεμένων τῶν περὶ Παρμενίδην, ἀδύνατα πάντως ἕπεται τῇ ὑποθέσει. εἰ μὲν γὰρ ἔσται καὶ οὐσία καὶ ποιὸν καὶ ποσόν. ἐντεῦθεν ὅπερ ἤδη εἴπομεν μεταξὺ παρεμβάλλει τὴν ὑπόθεσιν τῶν λεγόντων, ὀνόματι ἓν εἶναι τὸ ὄν. ὥσπερ αἱ δέκα κατηγορίαι καθ' αὑτὸ τὸ ὄν, ἕν εἰσιν. ὀνόματι μόνῳ τὸ ἓν ἔχουσαι. φησὶν οὖν ὅτι εἰ τὸ ὄν, ὅπερ καὶ ἓν ὑποτίθενται, λέγουσιν αὐτὸ καὶ οὐσίαν καὶ ποσὸν εἶναι καὶ τὰς ἄλλας κατηγορίας. εἴτε ἀπολελυμένα ταῦτα καὶ χωριστὰ εἶναι ἀλλήλων ὑποτίθενται. εἴτε καὶ ἐν ἀλλήλοις εἶναι. ὥσπερ οὖν καὶ τὸ ἀληθὲς ἔχει τὰς ἄλλας ἐν τῇ οὐσίᾳ τὸ εἶναι ἔχειν, ἀμφοτέρως συμβαίνει πολλὰ εἶναι τῇ φύσει τὰ ὄντα. μόνου δὲ τοῦ ὀνόματος κοινωνεῖ ἀλλήλοις καθὸ πάντα ὄντα λέγονται. ὥστε καὶ ὀνόματι μόνον τὸ ἓν οὐ πράγματι. εἰ δὲ πάντα ποιὸν ἢ ποσόν, ἀναβέχει αὖθις τὸ ἕτερον τῆς διαιρέσεως μόριον τὸ ὑποτιθέμενον τῷ πράγματι ἕν, ἢ ὡς συμβεβηκὸς ἕν, ἢ ὡς οὐσίαν. ἀλλὰ νῦν ὡς εἶπον τὸν μὲν τῆς οὐσίας ὑπερτίθεται λόγον. τὸν δὲ τοῦ συμβεβηκότος γυμνάζει. εἰ οὖν ἕν τι εἴη τῶν συμβεβηκότων. φησὶ τὸ ὂν τοῦτο οἷον ποσόν. κἄν τε ὑπόθωνται συνυφεστάναι αὐτῷ τὴν οὐσίαν. κἄν τε μή, ἄτοπος ὁ λόγος. εἰ μὲν γὰρ συνυφέστηκεν, οὐκέτι ἓν τὸ ὄν, ἀλλὰ πολλά. εἰ δὲ μὴ συνυφέστηκεν, ἀλλὰ καθ' αὑτὸ ὑπάρχει τὸ ποσόν, ἔσται χωριστὸν τῆς οὐσίας τὸ συμβεβηκός. ὅπερ οὐ μόνον ἄτοπόν ἐστιν ἀλλὰ καὶ ἀδύνατον. διὸ καὶ αὐτὸς εἰπὼν ἄτοπον, ἐπήγαγεν εἰ δεῖ ἄτοπον λέγειν τὸ ἀδύνατον, ἐπίτασις γάρ ἐστι τοῦ ἀτόπου τὸ ἀδύνατον. τῷ μὲν γὰρ ἀτόπῳ τὸ εὔλογον ἀντίκειται. ἄτοπον γάρ ἐστιν ὃ μὴ αὐτῆς τόπον ἔχει διὰ τὸ μὴ ἔχεσθαι λόγου καὶ ἀκολουθίας τινός. τῷ οὖν ἀτόπῳ τὸ εὔλογον ἀντίκειται. τῷ δὲ ἀδυνάτῳ τὸ ἀναγκαῖον. ἐπίτασις δέ ἐστι τοῦ ἀτόπου τὸ ἀδύνατον. τὸ μὲν γὰρ ἄτοπον, ἴσως ἄν ποτε καὶ γένοιτο. οἷον οὐδεὶς ὑπονοήσει πάντας ἀνθρώπους λούεσθαι. τὸ οὖν τοῦτο ὑπονοεῖν, ἔστι μὲν ψεῦδος. οὐκ ἀδύνατον δέ. τὸ δὲ ἀδύνατον καὶ ψεῦδός ἐστι καὶ ἀδύνατον. οἷον εἴ τις εἴποι τὸν ἄνθρωπον πτερωτὸν εἶναι. τοῦτο γὰρ ἐπιτεταμένον ἐστὶ ψεῦδος, διότι πρὸς τῷ ψεύδει καὶ τὸ ἀδύνατον ἔχει.

» ΟΥΔΕΝ γὰρ τῶν ἄλλων χωριστόν ἐστι παρὰ τὴν οὐσίαν. πάντα γὰρ καθ' ὑποκειμένου λέγεται τῆς οὐσίας.

Τοῦτο τὸ ἄτοπον ὡς τῇ ὑστέρᾳ ὑποθέσει ἀκολουθοῦν ἐπήγαγε τῇ ὑποτιθεμένῃ εἶναι ἓν τὸ ποσὸν μὴ οὔσης οὐσίας. τὸ δὲ τῇ ἄλλῃ ὑποθέσει ἀκολουθοῦν, οὐκέτι ἐπήγαγε. λέγω δὴ τῇ ὑποτιθεμένῃ συνυπάρχειν τῷ ποσῷ τὴν οὐσίαν. λέγει μὲν οὖν καὶ ἐφεξῆς. ἤδη δὲ καὶ ἔφθη αὐτὸ εἰρηκώς. πρόσεχε ὡς. εἰ μὲν γὰρ ἔσται φησὶ καὶ οὐσία καὶ ποσὸν καὶ ποιὸν καὶ ταῦτα, εἴτε ἀπολελυμένα ἀλλήλων εἴτε καὶ μή, πολλὰ τὰ ὄντα. κἀνταῦθα γὰρ εἰ συνυπάρχει ἡ οὐσία τῷ ποσῷ, πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν. καὶ τὰς ἑαυτῶν ἀναιροῦσιν ὑποθέσεις, πάντα γὰρ καθ' ὑποκειμένου λέγεται τῆς οὐσίας. τὸ καθ' ὑποκειμένου ὃ νῦν εἶπεν, ἀντὶ τοῦ ἐν ὑποκειμένῳ εἴρηκε.

» ΜΕΛΙΣΣΟΣ δὲ τὸ ὂν ἄπειρον εἶναί φησι. ποσὸν ἄρα τι τὸ ὄν. τὸ γὰρ ἄπειρον, ἐν τῷ ποσῷ. οὐ-
» σίαν δὲ ἄπειρον. ἢ ποιότητα. ἢ πάθος εἶναι οὐκ ἐνδέχεται, εἰ μὴ κατὰ συμβεβηκός. εἰ ἄρα οὐσία ἐστὶ πε-
» ποσωμένη, καὶ ποιότης καὶ ποσὰ ἅπλα εἶεν. ὁ γὰρ τοῦ ἀπείρου λόγος τῷ ποσῷ προσχρῆται, ἀλλ' οὐκ οὐ-
» σίᾳ. οὐδὲ τῷ ποιῷ.

Ἐπειδὴ ὑπέθετο μήποτε. πάντα οὐσίαν μὲν οὐ λέγουσιν εἶναι, ποιὸν δὲ ἴσως ἢ ποσόν, βούλεται διὰ τούτων δεῖξαι ὅτι τὸ ὂν ὅπερ ἔλεγον, ποσὸν αὐτὸ ὑπετίθεντο. ἄπειρον γὰρ αὐτὸ ἔλεγον. τὸ δὲ ἄπειρον τῷ ποσῷ καθ' αὑτὸν ὑπάρχει. οὐσίαν δέ φησιν, ἢ ποιότητα, ἢ ἄλλό τι, ἄπειρον εἶναι καθ' αὑτό, ἀδύνατον. εἰ μὴ κατὰ συμβεβηκὸς τῷ μετέχειν τοῦ ποσοῦ. ὥσπερ καὶ τὸ λευκὸν πολὺ λέγομεν οὐ καθ' αὑτό. ἀλλὰ κατὰ συμβεβηκὸς τῷ ἐν πολλῇ ἐπιφανείᾳ εἶναι. ζητητέον δὲ πῶς φησι μὴ ὑπάρχειν ἐν τῇ οὐσίᾳ τὸ ἄπειρον εἰ μὴ κατὰ συμβεβηκὸς τῷ μετέχειν τοῦ ποσοῦ, οὐ πάθος ἐστὶ καθ' αὑτὸ τὸ ἄπειρον. εἰ γὰρ τὸ σῶμα οὐσία ἐστίν. ὅρος δὲ τούτου τὸ τριχῇ διαστατόν, μέγεθός τι ἄρα καὶ ποσὸν τὸ σῶμα. εἰ δὲ τοῦτο, καὶ τὸ ἄπειρον ἄρα καὶ πεπερασμένον καθ' αὑτὸ αὐτῷ ὑπάρξει. καὶ ἄλλως εἰ τρία εἴδη τοῦ μεγέθους τὸ μοναχῇ. τὸ διχῇ τὸ τριχῇ διαστατόν. τουτέστι γραμμή. ἐπιφάνεια. σῶμα. τὸ δὲ σῶμα οὐσία ἐστίν, ἔστιν ἄρα τὸ μέγεθος οὐσία. ὥσπερ αὖθις τῶν ποιοτήτων εἰσὶ μέν τινες οὐσιώδεις. ὁποῖαί εἰσιν αἱ ἐν τοῖς στοιχείοις. εἰσὶ δέ, καὶ ἐπουσιώδεις καὶ κατὰ συμβεβηκὸς ὑπάρχουσαι οἷαί εἰσιν ἐν τοῖς ἡμετέ-

ματι, ἢ τῷ καθόλου ἢ τῷ μερικῷ· καὶ τὸ καθόλου, ἢ γένει ἢ εἴδει· γένει μὲν ὥσπερ ἂν εἴποι τις πάσας τὰς τῶν μερικῶν οὐσίας ἓν εἶναι διότι κοινὸν ἔχουσι γένος τὴν οὐσίαν· εἴδει δέ, ὡς εἴ τις τὴν λεύκανσιν καὶ τὴν μέλανσιν ἓν λέγοι διότι κοινὸν ἔχουσι τὸ τῆς ἀλλοιώσεως ὄνομα· μᾶλλον δὲ τὴν ἐν ψιμμυθίῳ λεύκανσιν καὶ τὴν ἐν ἱματίῳ διότι κοινὸν ἔχουσιν εἶδος τὴν ἁπλῶς λεύκανσιν· ἢ τὰ λογικὰ πάντα ἓν εἶναι λέγοι διότι εἶδος τοῦ ζῴου ἐστὶ τὸ λογικόν· εἰ δὲ τῷ μερικῷ πράγματι ἓν εἴη, ἤτοι ὡς συνεχὲς ἓν ἔσται, ὡς λέγομεν τὸ ξύλον ἓν εἶναι· ἢ ὡς ἀδιαίρετον, ὡς τὸ σημεῖον καὶ ἡ μονάς· ἢ ὡς τῷ λόγῳ ἕν, ὡς τὰ πολυώνυμα· οἷον λώπιον καὶ ἱμάτιον· καὶ ἄορ καὶ ξίφος· ταῦτα γὰρ τῷ λόγῳ ἕν ἐστι· λαμβάνει οὖν τὸ ἕτερον μόριον τῆς διαιρέσεως τὸ τῷ πράγματι ἕν· καὶ τούτῳ ὡς καθόλου· καί φησιν ὅτι ταῦτα ἃ τῷ καθόλου λέγεται ἓν εἶναι, ἤτοι οὐσία ἐστὶ δηλονότι, ἤ τι τῶν συμβεβηκότων· ἢ ποσόν, ἢ ποιόν, ἢ ἄλλο τι· εἶτα τὴν μὲν οὐσίαν ὑπερτίθεται ἐν τοῖς ἑξῆς· δείξει γὰρ ὅτι ὡς οὐδὲ οὐσία ἕν τι ἐστὶ τὸ ὄν· οὕτω γὰρ τὴν τῶν συμβεβηκότων ἀναιρήσομεν φύσιν· νῦν δὲ γυμνάζει μήποτε ὡς καθόλου τι τῶν συμβεβηκότων τὸ ὂν ἕν τί ἐστιν οἷον ποσόν· τῷ γὰρ ποσὰ εἶναι πάντα, οὕτω καὶ τὸ καθόλου ἕν τι εἶναι ποσὸν λέγεται τὸ ὄν· πρὶν δὲ τοῦτο ἐλέγξαι, ἐν μέσῳ παρεμβάλλει ὅτι οὐδὲ ὀνόματι δυνατὸν ἓν εἶναι λέγειν τὸ ὄν· οἷον, πολλὰ μὲν εἶναι οὐσίαν τε καὶ συμβεβηκότα· τῷ δὲ πάντα ὄντα λέγεσθαι, οὕτως ἓν λέγεσθαι εἶναι τὸ ὄν· ἀλλ' ὃ τοῦτό φησιν, ἐναργῶς πολλὰ τὰ ὄντα καὶ οὐχ ἕν· οὐδὲ γὰρ ἄν φησιν εἴποι τις τὰ τῷ πράγματι πολλὰ διὰ τὸ ὀνόματος κοινοῦ μετέχειν, ἓν εἶναι· τοῦτο οὖν ζητεῖ εἰ δυνατὸν ποσὰ εἶναι πάντα, καὶ οὕτω διὰ τὸ γένος ἓν λέγεσθαι πάντα· τούτῳ γάρ φησι τῷ ποσῷ ἤτοι συνυφέστηκεν ἡ οὐσία ἢ οὔ· καὶ εἰ μὲν οὐ συνυφέστηκεν, ἔσται αὐθυπόστατον τὸ ποσόν, ὅπερ ἀδύνατον· ἐν γὰρ τῇ οὐσίᾳ τὰ συμβεβηκότα τὸ εἶναι ἔχουσιν· εἰ δὲ συνυφέστηκεν, ἤτοι τῆς αὐτῆς οὔσης ἐννοίας τοῦ ποσοῦ καὶ τῆς οὐσίας, καὶ ἕν τι πρᾶγμα σημαινόντων διαφόροις ὀνόμασιν· ἢ ἑτέρας μὲν οὔσης τῆς οὐσίας, ἑτέρας δὲ τοῦ ποσοῦ· εἰ μὲν οὖν ἡ αὐτὴ οὐσία ποσοῦ καὶ οὐσίας, τὰ ἀσύγκλωστα συγκλώθουσιν, εἰς ταὐτὸν ἄγοντες τῷ συμβεβηκότι τὴν οὐσίαν· εἰ δὲ ἕτερον ἡ οὐσία παρὰ τὸ ποσόν, πάλιν πολλὰ τὰ ὄντα· ταῦτα εἰπών, ἐφεξῆς δείκνυσιν ὅτι οὐ μάτην ὑπέθετο αὐτὸ ποσόν τι λέγειν τὸ ὄν· ὁ γάρ τοι Μέλισσος φησὶ τὸ ὂν τοῦτο καὶ ἄπειρον εἶναί φησι· τὸ δὲ ἄπειρον τοῦ ποσοῦ ἐστιν ἢ εἶδος ἢ μέρος· ἢ ὅπερ καὶ μᾶλλον, πάθος τὸ καθ' αὑτό· δύναται μὲν γάρ τις ὡς εἶδός τι τοῦ ποσοῦ αὐτὸ εἰπεῖν· λέγων τοῦ ποσοῦ τὸ μὲν, ἄπειρον ἐστί· τὸ δὲ πεπερασμένον· πάθος δ' ἂν εἴη μᾶλλον τῶν καθ' αὑτό· οὐ γάρ ἐστιν ἁπλῶς τὸ ἄπειρον ποσόν· ἀλλὰ τῷ ποσῷ ὑπάρχει· τὸ δὲ καθ' αὑτὸ διττὸν ὡς αὐτὸς ἐν τοῖς ἀποδεικτικοῖς φησιν· ἢ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται· ὥσπερ ἐν τῷ ὅρῳ τῆς σιμότητος ἡ ῥίς· σιμότης γάρ ἐστι κοιλότης ἐν ῥινί· καὶ ἔστι καθ' αὑτὸ πάθος τῆς ῥινὸς ἡ σιμότης· ὁμοίως δὲ καὶ ἐν τῷ ὅρῳ τοῦ ἀρτίου ἢ τοῦ περιττοῦ παραλαμβάνομεν τὸ ὑποκείμενον· λέγομεν γὰρ ὅτι ἄρτιόν ἐστιν ἀριθμὸς δίχα τεμνόμενος· πάλιν τὸ χρεμετιστικὸν καθ' αὑτὸ τῷ ἵππῳ ὑπάρχει· παραλαμβάνεται γὰρ ἐν τῷ τοῦ ὑποκειμένου ὅρῳ· ἵππος γάρ ἐστι φαμὲν ζῷον ἄλογον χρεμετιστικόν· καὶ τοῦ κύκλου πάθος τὸ ἴσας εἶναι τὰς ἀπὸ τοῦ κέντρου· εἴπερ ἐν τῷ ὅρῳ τοῦ κύκλου παραλαμβάνεται· σχῆμα γάρ ἐστιν ἐπίπεδον τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον· πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς, πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι, ἴσαι ἀλλήλαις εἰσί· καὶ τὸ ἄπειρον οὖν καθ' αὑτὸ τῷ ποσῷ ὑπάρχει· διότι ἐν τῷ ὅρῳ αὐτοῦ τὸ ὑποκείμενον παραλαμβάνεται, λέγω δὴ τὸ ποσόν· φαμὲν γὰρ ἄπειρον εἶναι ποσὸν ἀδιεξίτητον· εἰ τοίνυν καὶ τὸ ὂν ἄπειρον ἔλεγεν εἶναι ὁ Μέλισσος, τὸ δὲ ἄπειρον καθ' αὑτό ἐστι τοῦ ποσοῦ, τὸ ὂν ἄρα ποσόν τι ἔλεγε· κἂν γὰρ λέγηται ἄλλο τι εἶναι ἄπειρον, κατὰ συμβεβηκὸς λέγεται εἶναι τῷ μετέχειν τοῦ ποσοῦ· ὥσπερ κἂν τὸ λευκὸν ἢ τὸ μέλαν λέγηται πολύ, οὐ καθ' αὑτὸ λέγεται ἀλλὰ κατὰ συμβεβηκὸς τῷ πολλὴν εἶναι τὴν ἐπιφάνειαν· ἐν ᾗ ἐστὶ τὸ χρῶμα ὡς αὐτὸς ἐν κατηγορίαις εἶπεν· οὕτως οὖν κἂν οὐσία λέγηται ἄπειρος, οὐ καθ' αὑτήν ἐστιν ἄπειρος· οὐδενὶ γὰρ τῶν τοῦ καθ' αὑτὸ ὅρων ὑποπίπτει· οὔτε γὰρ ἐν τῷ ὁρισμῷ τοῦ ἀπείρου ἡ οὐσία παραλαμβάνεται, οὔτε ἐν τῷ αὐτῆς ὁρισμῷ τὸ ἄπειρον παραλαμβάνεται· ὥστε οὐ καθ' αὑτὸ ἄπειρος ἡ οὐσία· ἀλλὰ κατὰ συμβεβηκὸς τῷ μετέχειν ποσοῦ· ᾧ καθ' αὑτὸ τὸ ἄπειρον ὑπάρχει· εἰ τοίνυν ἔλεγεν ὁ Μέλισσος τὸ ὂν ἄπειρον εἶναι, ἄπειρον δὲ καθ' αὑτὸ καὶ οὐ κατὰ συμβεβηκός· οὕτω γὰρ οὐχ ἓν ἔτι τὸ ὂν εἰ συμβέβηκέ τινι, δῆλον ὅτι
» ποσὸν αὐτὸ ὑπετίθετο εἶναι· ὥστε οὐ μάτην ὑπεθέμεθα ποσὸν αὐτοὺς λέγειν τὸ ὄν. Ἀρχὴ δὲ οἰκειοτάτη πασῶν·
Ἐπειδὴ τὸ ὄν φησι πολλαχῶς λέγεται, οἰκειοτάτη ἂν εἴη ἀρχὴ ἐκθέσθαι τὰ σημαινόμενα τοῦ ὄντος· καὶ ἐρέσθαι αὐτοὺς ποῖον τῶν σημαινομένων τοῦ ὄντος φασί· πάλιν δὲ ἐπεὶ τὸ ἓν πολλαχῶς λέγεται, πῶς φασὶ τὸ ὂν τοῦτο ἓν εἶναι· τῷ γὰρ ὄντι οἰκειοτάτη ἀρχή ἐστι, παντὸς οὑτινοσοῦν προβλήματος τὰς κυρίας εὑρίσκειν τῶν σημαινομένων σημασίας· καὶ διαστέλλειν τὸ προκείμενον ἀπὸ τῶν ὁμωνύμως αὐτῷ λεγομένων, αἰτία γὰρ πλείστης πλάνης τοῖς ἀνθρώποις ἡ ὁμωνυμία γίνεται· συνέπλεξε δὲ ὁ Ἀριστοτέλης ἀμφοτέρας τὰς διαιρέσεις τήν, τε τοῦ ἑνὸς καὶ τὴν τοῦ ὄντος· διαιρῶν γὰρ εἰς τὴν οὐσίαν καὶ τὰ συμβεβηκότα τὸ ὄν, εὐθὺς διαιρεῖ καὶ εἰς τὰ εἴδη καὶ τὰ γένη καὶ τὰ ἄτομα· τὸ δὲ ἐφεξῆς τὸ, ἔτι ἐπεὶ καὶ αὐτὸ τὸ ἓν πολλαχῶς λέγεται, οὐκ ἔστιν ἁπλῶς τοῦ ἑνὸς καθόλου διαίρεσις ἀλλὰ τοῦ μάλιστα κυρίως ἑνὸς τουτέστι τοῦ ἀτόμου· καὶ τοῦτο γὰρ διαιρεῖ εἰς τὸ συνεχὲς καὶ τὸ ἀδιαίρετον καὶ τὸ τῷ λόγῳ ἕν.

» ΡΟΤΕΡΟΝ οὐσίαν τὰ πάντα, ἢ ποσά, ἢ ποιά· καὶ πάλιν πότερον οὐσίαν μίαν τὰ πάντα, οἷον ἄνθρω-
» πον ἕνα· ἢ ἵππον ἕνα· ἢ ψυχὴν μίαν· ἢ ποιὸν ἓν δὲ τοῦτο οἷον λευκόν· ἢ θερμόν· ἢ τῶν ἄλλων τι τῶν τοιούτων·

ἐξ ἐπαγωγῆς καὶ αἰσθήσεως τὴν πίστιν ἔχομεν τοῦ, ἢ πάντα κινεῖσθαι ἢ ἔνια. προστίθησι δὲ τὸ ἔνια διὰ τὰς δυνάμεις τὰς ἐν ὑποκειμένῳ καὶ τὰς ἀλόγους ψυχάς· ἅτινα φυσικὰ μέν ἐστιν, ἀκίνητα δέ. οὔτε γὰρ ἀλλοιοῦνται, οὔτε αὔξει, οὔτε κατὰ τόπον κινεῖται.

» ἍΜΑ δ' οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἢ ὅσα ἐκ τῶν ἀρχῶν τις ἐπιδεικνὺς ψεύδεται· ὅσα δὲ μή, οὔ.

Ἐπειδὴ πρὶν ἐλέγξαι τὰ παρ' ἐκείνων ὑπέθετο κινεῖσθαι τὰ φυσικὰ πράγματα, ὑπὲρ τούτου ἀπολογούμενος προστέθεικε τό, ὅτι οὐδὲ λύειν ἅπαντα προσήκει, ἀλλ' ἐκεῖνα ὅσα τῶν ἀρχῶν σωζομένων, ἐξ αὐτῶν ψευδῆ τις κατασκευάζει. πρὸς δὲ τὸν ἀναιροῦντα τὰς ἀρχὰς καὶ πρὸς αὐτὰς φέροντα ἀπορίας ἀνασκευαστικὰς αὐτῶν, οὐ χρὴ διαλέγεσθαι, οὐδὲ τὰ παρὰ τούτου φερόμενα ἄπορα ἐπιλύεσθαι. τὸ δὲ ἅμα δὲ οὐδὲ λύειν, ἀντὶ τοῦ οὐδὲ γὰρ λύειν.

» ΟΙΟΝ, τὸν τετραγωνισμὸν τοῦ κύκλου τὸν μὲν διὰ τῶν τμημάτων, γεωμετρικοῦ διαλῦσαι. τὸν δὲ
» Ἀντιφῶντος, οὐ γεωμετρικοῦ. οὐ μὴν ἀλλ' ἐπειδὴ περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ ἀπορίας συμβαίνει
» λέγειν αὐτοῖς, ἴσως ἔχει καλῶς, ἐπὶ μικρὸν διαλεχθῆναι περὶ αὐτῶν.

Ἱπποκράτης Χῖός τις ὢν ἔμπορος λῃστρικῇ νηὶ περιπεσὼν καὶ πάντα ἀπολέσας, ἦλθεν Ἀθήναζε γραψόμενος τοὺς λῃστάς, καὶ πολὺν παραμείνας ἐν Ἀθήναις διὰ τὴν γραφὴν χρόνον, ἐφοίτησεν εἰς φιλοσόφους. καὶ εἰς τοσοῦτον ἕξεως γεωμετρικῆς ἦλθεν, ὡς ἐπιχειρῆσαι εὑρεῖν τὸν κύκλου τετραγωνισμόν. καὶ αὐτὸν μὲν οὐχ εὗρε. τετραγωνίσας δὲ τὸν μηνίσκον, ᾠήθη ψευδῶς ἐκ τούτου καὶ τὸν κύκλον τετραγωνίζειν. ἐκ γὰρ τοῦ τετραγωνισμοῦ τοῦ μηνίσκου, καὶ τὸν τοῦ κύκλου τετραγωνισμὸν ᾠήθη συλλογίζεσθαι. ὁ δὲ Ἀντιφῶν καὶ αὐτὸς ἐπεχείρησε τετραγωνίσαι τὸν κύκλον. ἀλλ' οὐ σώζων τὰς γεωμετρικὰς ἀρχάς. ἐπεχείρησε δὲ οὕτως. ἐάν φησι ποιήσω κύκλον καὶ γράψω ἐν αὐτῷ τετράγωνον, τέμω δὲ τὰ τμήματα τοῦ κύκλου τὰ γενόμενα ἐκ τοῦ τετραγώνου δίχα. εἶτα ἀγάγω εὐθείας ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἐπὶ τὰ τοῦ τμήματος πέρατα, ποιῶ ὀκτάγωνον σχῆμα. ἐὰν δὲ πάλιν τὰ περιέχοντα τὰς γωνίας τμήματα τέμωμεν δίχα, καὶ πάλιν ἀγάγωμεν ἀπὸ τῶν τομῶν εὐθείας ἑκατέρωθεν ἐπὶ τὰ πέρατα τῶν τμημάτων, ποιοῦμεν πολύγωνον σχῆμα. ἐὰν οὖν ἐπὶ πολὺ τοῦτο ποιῶμεν, τὸ πολυγωνότατον σχῆμα, μικρὰς πάνυ ἔχον τὰς γωνίας, ἃς αἱ περιέχουσαι εὐθεῖαι διὰ τὸ μικρὰς πάνυ εἶναι, ἐφαρμόσουσι τῷ κύκλῳ. ἐπεὶ οὖν δέδοται πᾶν τὸ δοθὲν εὐθύγραμμον σχῆμα τετραγωνίσαι, ἐὰν τετραγωνίσω τὸ πολύγωνον τοῦτο, ἐπειδὴ ἐφαρμόζει τῷ κύκλῳ, τετραγωνισμένος ἔσομαι καὶ τὸν κύκλον. οὗτος οὖν ἀναιρεῖ τὰς γεωμετρικὰς ἀρχάς. ἀρχὴ γάρ ἐστι γεωμετρικὴ μηδέποτε ἐφαρμόζειν εὐθεῖαν περιφερείᾳ. ὁ μὲν οὖν Ἱπποκράτης ἐκ γεωμετρικῶν ἀρχῶν ὁρμηθείς, καὶ τετραγωνίσας μηνοειδές τι τοῦ κύκλου τμῆμα, κακῶς τὸ ἑξῆς συνεπέρανε. φησὶν οὖν ὅτι τὸν τετραγωνισμὸν τοῦ κύκλου ἐλέγξαι ψευδῆ ὄντα τὸν μὲν Ἱπποκράτους, γεωμετρικοῦ ἐστι διαλῦσαι, ὡς φυλάττοντος τοῦ Ἱπποκράτους τὰς γεωμετρικὰς ἀρχάς. τὸν δὲ Ἀντιφῶντος οὐκέτι διαλύσει ὁ γεωμέτρης, ἐπεὶ ἀνῃρημένων τῶν γεωμετρικῶν ἀρχῶν οὕτω συνῆκται. οὐ μὴν ἀλλ' ἐπεὶ περὶ φύσεως μὲν οὔ, φυσικὰς δὲ ἀπορίας συμβαίνει λέγειν αὐτούς. τῷ γὰρ ἓν εἶναι τὸ ὂν ὑποτίθεσθαι καὶ ἀκίνητον, ἀναιροῦσι τὴν φύσιν. τῷ δὲ ἀναιρεῖν τὴν φύσιν, συμβαίνει φυσικὰς αὐτοὺς ἀπορίας λέγειν, ἀναγκαῖόν φησιν ἐπὶ μικρὸν πρὸς αὐτοὺς διαλεχθῆναι. οὐχ ὡς τοῦ δόγματος δεομένου τινὸς λόγου καὶ ἀγῶνος, ἀλλὰ διὰ τὸ τῶν προσώπων, καὶ τὰ πάνυ σαφῆ ἀμφίβολα δοκεῖ τοῖς πολλοῖς.

» ΕΧΕΙ δὲ καὶ ἄλλως αὐτὴ καθ' αὑτὴν ἡ περὶ τούτων σκέψις, τινὰ φιλοσοφίαν.

Τουτέστι καὶ αὐτὸ καθ' αὑτὸ ζητῆσαι περὶ τῶν ὄντων, πότερον ἕν ἐστιν ἢ πολλά, ἁρμόζει τῇ πρώτῃ καὶ ἀνυποθέτῳ φιλοσοφίᾳ.

» ΑΡΧΗ δ' οἰκειοτάτη πασῶν. ἐπειδὴ πολλαχῶς λέγεται τὸ ὄν, πῶς λέγουσιν οἱ λέγοντες ἓν εἶναι τὰ πάντα.

Διαστειλάμενος ἐν τοῖς προλαβοῦσι πρὸς τίνας ἐστὶ τοῦ φυσικοῦ διαλεχθῆναι, πρὸς τίνας δὲ οὔ, καὶ εἰπὼν ὅτι πρὸς τοὺς περὶ Παρμενίδην καὶ Μέλισσον οὐκ ἔστι φυσικοῦ τὸ διαλέγεσθαι, διότι ἀναιροῦσιν οὗτοι τὰς φυσικὰς ἀρχὰς λέγοντες ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον. εἶτα εἰπὼν ὅτι εἰ καὶ μὴ φυσικοῦ τὸ πρὸς τούτοις διαλέγεσθαι, ἀλλ' οὖν ἔχει τινὰ ἀπορίαν καὶ φιλοσοφίαν ἡ σκέψις, οὐ χεῖρον ἐπὶ μικρὸν διαλεχθῆναι πρὸς αὐτούς. καὶ ἄλλως κἂν μὴ περὶ φύσεώς τι λέγωσιν, ἀλλ' οὖν ἐπειδὴ φυσικὰς ἀπορίας κινοῦσι τῷ ἀναιρεῖν τὰς φυσικὰς ἀρχάς. ταῦτα οὖν καὶ ἐν ἐκείνοις εἰπών, ἐμβάλλει λοιπὸν ἐντεῦθεν εἰς τοὺς λόγους τοὺς πρὸς αὐτούς. πρὶν δὲ πρὸς τὰ παρὰ τούτων λεγόμενα ὑπαντῆσαι, κοινῶς αὐτὸ καθ' αὑτὸ τὸ πρόβλημα γυμνάζει. ἴδιον μὲν γάρ ἐστι τῆς πρὸς αὐτοὺς ἀντιλογίας, πρὸς αὐτοὺς τοὺς παρ' ἐκείνων λόγους ἀπαντῆσαι, δι' ὧν ἐκεῖνοι τὸ δόγμα κατασκευάζειν ἐπιχειροῦσι. κοινῆς δέ ἐστι τῆς περὶ τοῦ προβλήματος σκέψεως, τὸ κοινῶς αὐτὸ καθ' αὑτὸ γυμνάσαι καὶ δεῖξαι εἴτε δυνατὸν οὕτως ἔχειν εἴτε καὶ μή. εἶτα δείξας τοῦτο ἰδίως, καὶ πρὸς τοὺς αὐτῶν ἀπαντῆσαι λόγους. δεῖ γὰρ τὰ προβλήματα καὶ αὐτὰ καθ' αὑτὰ γυμνάζειν, καὶ τὰς ἀπορίας τὰς πρὸς αὐτὰ φερομένας ἐλέγχειν, ἵνα μὴ μένωσι παραπείθουσαι τοῖς ἁπλουστέροις. διαιρέσει γὰρ κέχρηται λέγων ποσαχῶς τὸ ἓν λέγεται. εἶτα δείκνυσιν ὅτι κατ' οὐδὲν σημαινόμενον τοῦ ἑνός, δυνατὸν λέγειν ἓν τὸ ὄν. τὸ οὖν ἕν φησιν ἤτοι ὀνόματί ἐστιν ἓν ἢ πράγματι. λέγω δὲ ὀνόματι ἕν, ὥσπερ εἴ τις τὸν ἀληθινὸν καὶ τὸν γεγραμμένον αἰετόν, ἓν λέγει εἶναι, διότι ἓν ἔχουσι τὸ αἰετοῦ ὄνομα. ἢ καὶ πάσας τὰς κατηγορίας ἕν, διότι κοινὸν τὸ τοῦ ὄντος ἔχουσιν ὄνομα. τὸ οὖν ἓν ἤτοι ὀνόματί ἐστιν ἓν ἢ πράγματι. καὶ τὸ πράγ-

καθόλου τίς ἐστιν ὁ τοῦ διπλασίου λόγος ἐξετάζει καὶ τῶν λοιπῶν εἴτε ἐν χορδαῖς εἴη εἴτε ὁπουδήποτε· καὶ αὐτῆς δὲ τῆς γεωμετρίας, δῆλον δὲ ὅτι καὶ πάσης τῆς μαθηματικῆς ἐπιστήμης φασὶ προηγεῖσθαι τὴν ἀριθμητικήν. λαμβάνει γὰρ καὶ ὁ γεωμέτρης πλευρὰν πλευρᾶς διπλασίονα ἢ ἐπίτριτον. καὶ τοσοῦτον μὲν τὸ ἐν μεγέθει διπλασίονα λαμβάνει, ἢ ὁποσονοῦν. ὁ μέντοι ἀριθμητικὸς καθόλου τοῦτο λαμβάνει καὶ ἀποδείκνυσι τίς ἐστιν ὁ τοῦ διπλασίου λόγος καὶ τῶν ἄλλων. τὰς δὲ πάντων ἀρχὰς ὁ πρῶτος φιλόσοφος ἀποδείκνυσι. διὰ ταῦτα οὐκ ἔστι φυσικοῦ ἀνδρὸς πρὸς Παρμενίδην καὶ Μέλισσον διαλέγεσθαι ἀναιροῦντας τὰς φυσικὰς ἀρχάς. λέγοντες γὰρ ἓν τὸ ὂν εἶναι καὶ ἀκίνητον, τῷ μὲν ὑποτίθεσθαι ἓν τὸ ὂν εἶναι, τὰς ἀρχὰς ἀναιροῦσι· τῷ δὲ ἀκίνητον, καὶ ὡς φυσικὰς ἀρχάς. ἓν γὰρ λέγοντες εἶναι τὸ ὄν, ἀνάγκη πᾶσα ἢ ἀρχὴν αὐτὸ ὑποτίθεναι ἢ ἀπὸ τῆς ἀρχῆς. ἀλλ' εἰ μὲν ἀρχὴν αὐτὸ ὑπόθοιντο, ἀνάγκη πᾶσα εἶναι καὶ τὰ ἀπὸ τῆς ἀρχῆς. ταῦτα γὰρ τῶν πρός τι ἐστίν. ἡ γὰρ ἀρχὴ τινός ἐστιν ἀρχὴ ἢ τινῶν. ὡς αὐτὸς εἶπεν. ὥστε οὐχ ἓν τὸ ὄν, ἀλλὰ πολλά, ἥ, τε ἀρχὴ καὶ τὰ ἀπ' αὐτῆς. οὐκ ἄρα ἀρχὴν δύναιντο λέγειν τὸ ἕν. πάλιν δ' αὖ ἀπὸ τῆς ἀρχῆς ὑποτιθεμένους αὐτὸ εἶναι, ἀνάγκη πᾶσα καὶ τὴν ἀρχὴν αὐτοῦ ὑποτίθεσθαι. ὥστε πάλιν οὐκέτι ἓν τὸ ὄν. νῦν δὲ ἓν ὑποτίθενται. ἀναιροῦσιν ἄρα ἑκατέρωθεν τὴν ἀρχήν. ἀρχῆς γὰρ οὔσης, ἀδύνατον ἓν εἶναι τὸ ὄν. ταύτῃ μὲν οὖν τὴν ἀρχὴν ἀναιροῦσιν. ὡς φυσικὴν δὲ ἀρχὴν ἀναιροῦσι, τῷ ἀκίνητον αὐτὸ ὑποτίθεσθαι. κίνησις γὰρ ἐναργῶς τοῖς φυσικοῖς ὑπάρχει πράγμασι. γένεσις γὰρ καὶ φθορά. αὔξησις. μείωσις. ἀλλοίωσις, καὶ ἡ κατὰ τόπον μεταβολή, τοῖς φυσικοῖς ὑπάρχει πράγμασι. καὶ αὐτὸς δὲ ὁριζόμενος τὴν φύσιν, ἀρχὴν εἶναι κινήσεώς φησι, καὶ ἠρεμίας. ὥστε ὁ τὴν κίνησιν ἀναιρῶν, τὰς φυσικὰς ἀρχὰς ἀναιρεῖ. διὰ τοῦτο οὖν φησιν. οὐ φυσικοῦ τὸ πρὸς τούτους διαλέγεσθαι. ὡς φυσικοὶ δὲ ταύτην μετερχόμεθα τὴν πραγματείαν. ὅμως δέ φησιν ἐπειδὴ ἔχει τινὰ φιλοσοφίαν ἡ σκέψις. περὶ τῶν ὄντων γὰρ ζητοῦσιν, εἰ καὶ μὴ ὡς φυσικοί, ἀλλ' οὖν ὡς φιλόσοφοι. πρὸς αὐτοὺς ἀπαντήσομεν. ἄλλως τε ἐπειδὴ δοκοῦσι τινὰς φυσικὰς ἀπορίας λέγειν, εὔλογος οὕτως ἡ μόνη πρὸς αὐτοὺς ἀπάντησις. τῷ γὰρ ἀναιρεῖν τὴν φύσιν ἓν εἶναι τὸ ὂν καὶ ἀκίνητον ὑποτιθέμενοι. περὶ φύσεως ἀποροῖεν ἄν, οὐ γὰρ ἔτι ἀρχή ἐστιν εἰ ἓν μόνον καὶ οὕτως ἕν ἐστιν. ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν. ὅτι δὲ οἱ τὸ ὂν ἓν ὑποτιθέμενοι ἀναιροῦσι τὰς ἀρχάς, κατασκευάζει ἐν δευτέρῳ σχήματι, οὕτως. εἰ ἓν τὸ ὄν, οὐκ ἔστι πλῆθος. εἰ ἀρχή ἐστι, πλῆθός ἐστιν. εἰ ἓν ἄρα τὸ ὄν, οὐκ ἔστιν ἀρχή. ἀρχῆς γὰρ οὔσης, ἀνάγκη καὶ τὰ ἀπὸ τῆς ἀρχῆς εἶναι, τούτου δὲ ὄντος, πλῆθος ἀνάγκη εἶναι. τὸ δὲ εἰ οὕτως ἕν, ἀντὶ τοῦ, ἀκίνητον. ἀκινήτου γὰρ ὄντος οὔτε ἐξ αὐτοῦ τι ἔσται, οὔτε αὐτὸ ἐξ ἄλλου. ἀρχῆς δὲ οὔσης, κίνησιν ἀνάγκη εἶναι. εἰ γὰρ πάντῃ ἀμετάβλητος εἴη καὶ ἀκίνητος, οὐδ' αὖ τι ἐξ αὐτῆς γένοιτο.

» ΟΜΟΙΟΝ δὴ τὸ σκοπεῖν εἰ οὕτως ἕν, καὶ πρὸς ἄλλην θέσιν ὁποιανοῦν διαλέγεσθαι τῶν λό-
» γου ἕνεκα λεγομένων. οἷον, τὴν Ἡρακλείτειον. ἢ εἴ τις φαίη ἄνθρωπον ἓν τὸ ὂν εἶναι.

Θέσις ἐστὶν ὡς αὐτὸς ἐν τοῖς τοπικοῖς εἴρηκε, παράδοξος ὑπόληψις τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν. οἷον ὁ Ἡράκλειτος ταὐτὸν εἶναι ἔλεγε τὰ ἐναντία. ὁμοίως δὲ οὗτοι ἓν τὸ πᾶν λέγοντες καὶ ἀκίνητον. ἢ ὡς Ζήνων ἔλεγε μὴ εἶναι κίνησιν. ἢ ὡς Ἀναξαγόρας πάντα κινεῖσθαι. τὸ οὖν σκοπεῖν φησὶν εἰ τὸ ὂν ἕν ἐστι καὶ ἀκίνητον, ὅμοιόν ἐστι τῷ πρὸς ἄλλην ὁποιανοῦν διαλέγεσθαι θέσιν. οἷον τὴν Ἡρακλείτου. ὃς ἔλεγε τὰ ἐναντία τὰ αὐτὰ εἶναι. ὡς γὰρ πρὸς ταύτην τὴν θέσιν ἀντιλέγειν μάταιον, τῆς ἐναργείας κρείττονος οὔσης πάσης ἀποδείξεως. ἢ πρὸς τὸν λέγοντα ὅτι τὸ πᾶν, εἷς ἄτομός ἐστιν ἄνθρωπος. οὕτω καὶ πρὸς τὸν Παρμενίδου καὶ Μελίσσου λόγον. λόγου δὲ ἕνεκα λέγει, ἀντὶ τοῦ ἕνεκα τοῦ τι ἁπλῶς λέγειν ἀποφαινομένοις, καὶ οὐδὲ συλλογιστικῶς. ὡς εἴ τις λέγει ὁ ἄνθρωπος, ῥίπους ἐστίν.

» Η ΛΥΕΙΝ λόγον ἐριστικόν.

Κατὰ κοινοῦ τό, ὅμοιον δὴ σκοπεῖν καὶ τὰ ἑξῆς, ἢ λύειν τὸν λόγον ἐριστικόν. διαφέρει δὲ ὁ ἐριστικὸς λόγος τοῦ σοφιστικοῦ ταύτῃ. ὅτι ὁ μὲν σοφιστικὸς ὕλῃ μὲν ἀληθεῖ κέχρηται, τὸ δὲ σχῆμα ἀσυλλόγιστον ἔχει, ὁ δ' ἐριστικὸς κατ' ἀμφότερα ἔπταισται καὶ κατὰ τὴν ὕλην καὶ κατὰ τὸ σχῆμα.

» ὍΠΕΡ ἀμφότεροι μὲν ἔχουσιν οἱ λόγοι καὶ ὁ Μελίσσου καὶ ὁ Παρμενίδου. καὶ γὰρ ψευδῆ λαμβάνουσι,
» καὶ ἀσυλλόγιστοί εἰσι. μᾶλλον δὲ ὁ Μελίσσου φορτικός, καὶ οὐκ ἔχων ἀπορίαν. ἀλλ' ἑνὸς ἀτόπου δοθέν-
» τος, τὰ ἄλλα συμβαίνει. τοῦτο δὲ οὐδὲν χαλεπόν.

Καὶ ὁ Παρμενίδου φησὶ λόγος καὶ ὁ Μελίσσου ἐριστικός ἐστιν. ἑκάτερος γὰρ αὐτῶν καὶ ψευδέσι κέχρηται προτάσεσι καὶ ἀσυλλογίστως προέρχεται. τίνας δὲ προτάσεις ψευδεῖς λαμβάνουσι καὶ ὅπως ταύτας ἀσυλλογίστως συμπλέκουσιν, ἐπιόντες αὐτοὺς τοὺς λόγους δείξομεν. ἀλλ' εἰ καὶ ἀμφότεροί φησιν ἐριστικοὶ οἱ λόγοι, ἀλλὰ μᾶλλον ὁ Μελίσσου φορτικὸς καὶ οὐκ ἔχων ἀπορίαν. ὁ μὲν γὰρ Παρμενίδου εἰ καὶ ψευδεῖς λαμβάνει καὶ ἀσυλλόγιστός ἐστιν, ἀλλ' οὖν ἔχει δυσφώρατον καὶ δριμύ. ὁ δὲ Μελίσσου ἐπιπόλαιος ὤν, φορτικός ἐστι καὶ οὐδεμίαν κινῶν τοῖς ἀκροωμένοις ἀπορίαν. ἀλλ' ἑνὸς ἀτόπου δοθέντος οὕτω τὰ ἐφεξῆς συμπεραίνει. τοῦτο δέ φησιν οὐδὲ χαλεπόν. τουτέστιν ἢ, τὸ συγχωρήσαντα ἑνὶ ἀτόπῳ τὰ ἑπόμενα κατασκευάσαι. διδομένου γὰρ τοῦ, ὅτι ἡ γῆ ἵπταται, συμβήσεται μετεώρους ἡμᾶς εἶναι. τὰ βαρέα ἐκτὸς τοῦ μέσου ἵστασθαι, καὶ ἄλλα μυρία. ἢ οὐδὲν χαλεπὸν ἐπιλύειν καὶ ἐλέγχειν τὰ οὕτως ἐπιπολῆς εἰρημένα.

» ΗΜΙΝ δὲ ὑποκείσθω τὰ φύσει, ἢ πάντα ἢ ἔνια, κινούμενα εἶναι. δῆλον δὲ ἐκ τῆς ἐπαγωγῆς.

Τὸ περὶ τῶν ἀρχῶν ἀποδεικνύωμεν ὅτι τὰ φυσικὰ πράγματα ἢ πάντα κινοῦνται ἢ ἔνια. ἄλλως τε καὶ

τὸ μὴ εἶναι, ἀλλὰ διὰ τὴν σμικρότητα. πολλὰς δὲ τὰς ἀρχὰς καὶ ἀπείρους καὶ ἀκινήτους οὐδεὶς ὑπέθετο.

» ΚΑΙ εἰ ἀπείρους. ἢ οὕτως ὥσπερ Δημόκριτος τὸ γένος ἕν, σχήματι δὲ ἢ εἴδει διαφερούσας.

Γ εἶδος φησὶ τὸ ὑποκείμενον καὶ τὴν οὐσίαν τῶν ἀτόμων. ἔλεγε γὰρ μιᾶς μὲν οὐσίας εἶναι πάσας τὰς ἀτόμους. διαφέρειν δὲ ἀλλήλων τοῖς σχήμασι. τὰς μὲν γὰρ εἶναι σφαιρικάς. τὰς δὲ κυβικάς. ἢ πυραμοειδεῖς. ἢ ἕτερόν τι τῶν σχημάτων ἔχειν. οὕτω δὲ πολλάκις καὶ ἐν τοῖς ἀποδεικτικοῖς τὸ ὑποκείμενον γένος ὠνόμασε. σχήματι δὲ ἢ εἴδει, ἐκ παραλλήλου τὸ αὐτό φησιν. εἶδος γὰρ λόγον ἐν ταῖς ἀτόμοις τὸ σχῆμα ἔλεγεν ἔχειν ὁ Δημόκριτος.

» Η ΚΑΙ ἐναντίας.

Η τοιοῦτό φησιν ὅτι ὁ Δημόκριτος ἓν τὸ γένος ὑπετίθετο τῶν ἀτόμων. διαφέρειν δὲ αὐτὰς κατὰ τὰ σχήματα. οὐ μόνον δὲ διαφέρειν, ἀλλὰ καὶ ἐναντίας εἶναι. ἐπειδὴ γὰρ θερμότητα καὶ ψύξιν καὶ λευκότητα καὶ μελανίαν οὐκ ἔλεγεν εἶναι ἐν ταῖς ἀτόμοις ὁ Δημόκριτος, ἀλλ' ἐκ τῶν σχημάτων ἀπεγέννα τὰ πάθη καὶ τῆς πρὸς ἡμᾶς τῶν ἀτόμων σχέσεως. τὰς μὲν γὰρ σφαιρικὰς ὡς εὐκινήτους, θερμότητος καὶ τοῦ πυρὸς εἶναι αἰτίας. ὡς γὰρ εὐκίνητοι, διαιροῦσι θᾶττον καὶ διασπῶσι. τοῦτο δὲ ἴδιον πυρὸς τὸ τμητικὸν καὶ εὐκίνητον. τὰς κυβικὰς δὲ φέρε εἰπεῖν ὡς ὠθούσας μᾶλλον καὶ πιλούσας, ψύξιν ἐργάζεσθαι. πιλητικὸν γὰρ τὸ ψυχρόν. ὁμοίως καὶ ἐπὶ τῶν χρωμάτων γίνεσθαι ἔλεγεν. ὅταν μὲν τῶν πυραμίδων φέρε εἰπεῖν αἱ κορυφαὶ προσβάλλωσι τῇ ὄψει, τοιάνδε ποιεῖν χρώματος φαντασίαν. οἷον λευκοῦ. διακριτικὸν γὰρ τῆς ὄψεως τὸ λευκόν. διαιρετικὸν δὲ καὶ τὸ ὀξύ. ὀξεῖα ἐστὶ καὶ ἡ κορυφὴ τῆς πυραμίδος. ὅταν δὲ αἱ βάσεις μέλαν δοῦναι, συγκριτικὸν τὸ μέλαν. τοιοῦτον δὲ τὸ ἀμβλύ. πιλεῖ γὰρ καὶ εἰς ταὐτὸν τῇ πλήσει συνάγει τὰ διεστῶτα. ἐπεὶ οὖν τοῖς διαφόροις σχήμασι τῶν ἐναντίων παθῶν ποιητικαί εἰσιν αἱ ἄτομοι, οὐ μόνον διαφέρειν αὐτὰς τοῖς σχήμασιν εἶπεν, ἀλλὰ καὶ ἐναντίας εἶναι. ἢ μᾶλλον πρὸς τὸν Ἀναξαγόραν αὐτῷ τείνει ὁ λόγος ὃς καὶ ἐναντίας εἶναι ὁμοιομερείας ἔλεγεν. οἷον πυρὸς καὶ ὕδατος. καὶ μᾶλλον τοῦτο ἀληθές. ἵνα καὶ ἡ ἀντιδιαίρεσις σωθῇ. εἰπὼν γὰρ καὶ εἰ ἀπείρους, ἢ οὕτως ὥσπερ Δημόκριτος τὸ γένος ἓν σχήματι ἢ εἴδει διαφερούσας, ἀνταπέδωκε τὸ ἕτερον τῆς διαιρέσεως μόριον εἰπὼν ἢ ἐναντίας. ὁποῖα ἔλεγεν, ἢ ὡς Ἀναξαγόρας λέγει ἐναντίας.

» ΟΜΟΙΩΣ δὲ ζητοῦσι καὶ οἱ τὰ ὄντα ζητοῦντες, πόσα. ἐξ ὧν γὰρ τὰ ὄντα ἐστὶ, ζητοῦσι πρῶτον. ταῦ-
» τα πότερον ἕν, ἢ πολλά. καὶ εἰ πολλὰ πεπερασμένα, ἢ ἄπειρα. ὥστε τὴν ἀρχὴν καὶ τὸ στοιχεῖον ζητοῦσι,
» πότερον ἓν ἢ πολλά. τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον τὸ ὂν σκοπεῖν, οὐ περὶ φύσεώς ἐστι σκοπεῖν. ὥσπερ γὰρ
» καὶ τῷ γεωμέτρῃ οὐκ ἔτι λόγος ἐστὶ πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχάς, ἀλλ' ἤτοι ἑτέρας ἐπιστήμης, ἢ πασῶν
» κοινῆς, οὕτως οὐδὲ τῷ περὶ ἀρχῶν. οὐ γὰρ ἔτι ἀρχή ἐστιν, εἰ ἓν μόνον. καὶ οὕτως ἓν ἐστιν. ἡ γὰρ ἀρχὴ τινὸς ἢ τινῶν.

Ε ἐκθέμενος τὴν διαίρεσιν, νῦν βούλεται δεῖξαι ὅτι οὐ περιέργως οὐδὲ καινοτέρως αὐτὸς ταύτῃ τῇ περὶ τῶν ἀρχῶν διαιρέσει ἐχρήσατο. ἀλλὰ πάντες οἱ πρὸ αὐτοῦ φυσικοὶ τῇ αὐτῇ διαιρέσει ἐν τῷ περὶ τῶν ἀρχῶν λόγῳ ἐχρήσαντο. ζητοῦντες πότερον ἕν τι ἐστὶ τὸ στοιχεῖον ἐξ οὗ τὰ πράγματα ἢ πλείονα, καὶ πότερον κινούμενα, ἢ ἀκίνητα. τὸ μὲν οὖν εἰ ἓν καὶ ἀκίνητον σκοπεῖν τὸ ὄν, οὐ περὶ φύσεως ἐστὶ σκοπεῖν. ἐκθέμενος ἐκ διαιρέσεως τὰς περὶ τῶν ἀρχῶν τῶν φυσικῶν δόξας καὶ εἰπὼν ποῖον μόριον τῆς διαιρέσεως τίς τῶν ἀρχαιοτέρων προέστη. καὶ ἐπισκέπτεται πρὸς ποίας μὲν τῶν δοξῶν, φυσιολόγου ἐστὶ διαλεχθῆναι. πρὸς ποίας δὲ οὔ. καὶ γὰρ ἐπιστήμονος ἔργον ἐστὶ τὴν φύσιν τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων ἐπισκέπτεσθαι καὶ διακρίνειν τίνα μὲν αὐτῷ προσήκει. τίνα δὲ μή. ὥσπερ ἀμέλει καὶ τέκτων ξύλων ὑποκειμένων πολλῶν, τὰ μὲν, ἐκλέξεται ὡς ἐπιτήδεια τῇ αὐτοῦ τέχνῃ. τὰ δὲ, ἀπορρίψει. διὰ τοῦτο καὶ νῦν ὁ Ἀριστοτέλης εἰπὼν τῆς διαιρέσεως μόριον ἀποκρίνας τὸ λέγον μίαν εἶναι τὴν ἀρχὴν καὶ ἀκίνητον, οὗ προΐσταντο οἱ περὶ Παρμενίδην καὶ Μέλισσον, φησὶν ὅτι οὐκέτι φυσικοῦ τὸ πρὸς τούτοις διαλέγεσθαι. ἀναιροῦντες τὰς φυσικὰς ἀρχάς. οὐδεμιᾶς γάρ ἐστι τῶν κατὰ μέρος ἐπιστημῶν, πρὸς τὸν ἀναιροῦντα τὰς οἰκείας ἀρχὰς αὐτῆς διαλέγεσθαι. διότι οὐδὲ τὸ ἀποδεικνύναι τὰς οἰκείας ἀρχὰς τῶν κατὰ μέρος ἐπιστημῶν. ἀλλὰ μόνης τῆς πρώτης καὶ ἀνυποθέτου φιλοσοφίας. αὕτη γὰρ τὰς πασῶν ἀρχὰς ἀποδείκνυσιν. αἱ δὲ κατὰ τὸ μέρος ἐπιστῆμαι ἐξ ὑποθέσεως τὰς οἰκείας ἀρχὰς λαμβάνουσι. διὰ τοῦτο οὖν πρὸς τὸν ἀναιροῦντα τὰς ἀρχὰς ἑκάστης ἐπιστήμης, οὐκ ἔστιν αὐτῆς ἐκείνης διαλέγεσθαι. ἀλλ' ἢ τῆς προσεχῶς ὑπὲρ αὐτὴν τεταγμένης ἐπιστήμης. ἢ τῆς πασῶν κοινῆς. κοινὴν δὲ πασῶν ἐπιστήμην λέγει ἢ τὴν πρώτην καὶ ἀνυπόθετον φιλοσοφίαν. ἢ τὴν διαλεκτικήν. καὶ γὰρ αὕτη τὰς πάντων ἀρχὰς ἀποδείκνυσιν. οὕτω γὰρ αὐτὴν ἐν τοῖς Τοπικοῖς ὡρίσατο. ὁ μὲν σκοπός φησι τῆς πραγματείας μέθοδον εὑρεῖν ἀφ' ἧς δυνησόμεθα συλλογίζεσθαι περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἐνδόξων. ταύτῃ οὖν ἡ διαλεκτικὴ διαφέρει τῆς πρώτης φιλοσοφίας. ὅτι ἡ μὲν, ἐξ ἀρχῶν αὐτοπίστων. καὶ κοινῶν ἐννοιῶν ποιεῖται τὰς ἀποδείξεις. ἡ δὲ διαλεκτική, ἐξ ἐνδόξων. πρὸς γὰρ τὸν ἀναιροῦντα ὅτι σημεῖον ἀμερές ἐστιν. ἡ γραμμὴ μῆκος ἀπλατές, οὐ διαλέξεται ὁ γεωμέτρης. ἀλλὰ παραπέμψει τῷ πρώτῳ φιλοσόφῳ ταῦτα ἀποδεικνύναι. προτίθεται γὰρ τοῦ ἰατροῦ ὁ ἰατρός. πάλιν τὰς ἀρχὰς τῆς ὀπτικῆς, γεωμετρία ἀποδείξει. καὶ γραμματικῆς μὲν μουσική. ταύτης δὲ ἀριθμητική. λαμβάνει μὲν γὰρ ὁ γραμματικὸς τάδε μὲν τὰ στοιχεῖα μακρά. τάδε δὲ βραχέα. καὶ τὰ αὐτὰ νῦν μὲν βραχέα. ἄλλοτε μακρά. τὴν αἰτίαν δὲ αὐτὸς μὲν ἀγνοεῖ. ὁ μουσικὸς δὲ ἀποδείκνυσι. πάλιν ὁ μουσικὸς λαμβάνει ὅτι ἥδε πρὸς τήνδε ἡ χορδὴ τὸν ἡμιόλιον ἢ τὸν διπλάσιον ἢ τὸν ἐπίτριτον ἔχει λόγον. τὴν ἐν χορδαῖς μόνον τῶν ἀριθμῶν σχέσιν λαμβάνων. ὁ μέντοι ἀριθμητικὸς

τῶν ἀρχῶν τούτοις ὁ λόγος, ἀλλὰ περὶ τῶν ὄντων ἁπλῶς. Ἀλλ' εἰ μὴ περὶ τῶν ἀρχῶν τούτοις ὁ λόγος, τί δήποτε ὁ ἀριστοτέλης ἐλέγχει τοὺς ἄνδρας τούτους ὡς κακῶς μίαν τὴν ἀρχὴν ὑποτιθεμένους. Λέγω οὖν ὅτι εἰ καὶ μὴ περὶ τῶν ἀρχῶν ἔλεγον, ἀλλ' οὖν ὁ ἀριστοτέλης ὡς εἰ καί τις ὑπετίθετο μίαν εἶναι τὴν τῶν φυσικῶν πραγμάτων ἀρχήν, οὕτως ἐλέγχει τὸν λόγον, ἀνασκευάσαι τὸ τοιοῦτον δόγμα βουλόμενος. μίαν τὴν ἀρχὴν ἔλεγον καὶ ἀκίνητον οἱ εἰρημένοι. τῶν δὲ μίαν καὶ κινουμένην λεγόντων, οἱ μὲν, πεπερασμένην ἔλεγον. οἱ δὲ, ἄπειρον. μίαν μὲν καὶ κινουμένην καὶ πεπερασμένην, ἔλεγεν ἵππασος. ἡράκλειτος. θαλῆς. ἵππων ὁ ἐπικληθεὶς ἄθεος. ἡράκλειτος μὲν καὶ ἵππασος τὸ πῦρ ἔλεγον ἀρχὴν τῶν ὄντων εἶναι, διὰ τὸ λεπτομερέστερον αὐτὸ εἶναι τῶν ἄλλων καὶ οὐ πλασον. οὐ γὰρ δὴ νομιστέον διὰ τὸ εἴδους αὐτὸ λόγον ἔχειν πρὸς τὰ ἄλλα, ὡς πελεκτικὸν τῶν ἄλλων. νῦν γὰρ περὶ τῆς ὑλικῆς ὁ λόγος. θαλῆς δὲ καὶ ἵππων, τὸ ὕδωρ διὰ τὸ γόνιμον, καὶ ὅτι τὴν γονὴν, ὑγρὰν ἑώρων. καὶ τὰ σπέρματα δὲ εἰ καὶ ξηρὰ εἴη, ἀλλ' οὖν οὐ φύει μὴ ὑγρανθέντα τε, καὶ ἤδη λοιπὸν διαρρέοντα. μίαν δὲ καὶ κινουμένην καὶ ἄπειρον ὑπετίθεντο οἵ, τε τὸν ἀέρα ὑποτιθέμενοι. καὶ οἱ τὸ μεταξὺ ἢ ἀέρος καὶ ὕδατος, ἢ πυρὸς καὶ ἀέρος. διογένης μὲν οὖν ὁ ἀπολλωνιάτης καὶ ἀναξιμένης τὸν ἀέρα ὑπέθεντο ἀρχὴν εἶναι διά, τε τὸ εὔπλαστον καὶ ὡς ἐν σώμασιν ἀσώματον καὶ ἀναίσθητον μᾶλλον. ἀναξίμανδρος δὲ τὸ μεταξὺ ἢ ἀέρος καὶ ὕδατος ἢ πυρὸς καὶ ἀέρος. ἐπεὶ γὰρ ἐν τῇ μεταβολῇ τῇ ἐξ ὕδατος εἰς ἀέρα, οὐκ ἀμέσως γίνεται ἡ μετάβασις ἀλλ' οἷον ἐξατμίζεται πρότερον τὸ ὕδωρ. εἶτα ἡ ἀτμὶς ἔτι λεπτυνθεῖσα ἐξαεροῦται, ὁμοίως καὶ ἐπὶ τῆς τοῦ ἀέρος εἰς τὸ πῦρ μεταβολῆς, τὸ μεταξὺ τοῦτο ἔλεγεν εἶναι τὴν ἀρχήν. ὅπερ ἀέρος μὲν ἐστὶ πυκνότερον, ὕδατος δὲ μανότερον. ἢ πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ μανότερον. οὗτος δὲ τῶν μὲν ἄλλων μᾶλλον κατώρθου. διότι μὴ ἕν τι τῶν στοιχείων τὴν ὕλην ἔλεγεν ἀλλ' ἕτερόν τι παρὰ ταῦτα. ἔπταιε δὲ διότι εἰδοπεποιημένον ὑπετίθετο. ἀέρος μὲν πυκνότερον λέγων ὕδατος δὲ μανότερον. οὗτοι δὲ καὶ ἄπειρον ἔλεγον εἶναι τὸν ἀέρα ἢ τὸ μεταξύ. ἐπειδὴ ὑπενόησαν, ὡς εἰ γίνοιτο μὲν ἀεὶ ἐξ αὐτῶν τὰ γινόμενα, μὴ εἴη δὲ ἄπειρα, ἐπιλείπειν τὴν γένεσιν ἀνάγκη. οὐ προσεῖχον γὰρ τῇ ἀνταποδόσει καὶ τῇ εἰς ἄλληλα τῶν πραγμάτων μεταβολῇ. οἱ μὲν οὖν μίαν τὴν ἀρχὴν ὑποθέμενοι, οὗτοι καὶ τοσοῦτοι εἰσί. οὐδεὶς δὲ τῶν μίαν ὑποθεμένων μόνην, τὴν γῆν ὑπέθετο εἶναι ἀρχήν, διὰ τὸ δυσκίνητον αὐτῆς καὶ δυσμετάβλητον. τῶν δὲ πολλὰς ὑποθεμένων τὰς ἀρχάς, οἱ μὲν, ἀπείρους ὑπέθεντο. οἱ δὲ, πεπερασμένας. καὶ τούτων ἀμφοτέρων οἱ μὲν, ἀκινήτους. οἱ δὲ, κινουμένας. πλείους μὲν καὶ πεπερασμένας καὶ ἀκινήτους, ὁ τίμαιος ὑπετίθετο. θεόν, ἰδέαν, καὶ ὕλην. πλείους δὲ καὶ πεπερασμένας καὶ κινουμένας ὅ, τε ἐμπεδοκλῆς τὰ τέσσαρα στοιχεῖα. καὶ τὸ νεῖκος καὶ τὴν φιλίαν. καὶ ὁ ἱπποκράτης ὁ ἰατρὸς ὁμοίως τὰ τέσσαρα στοιχεῖα. ὁ δὲ ἐμπεδοκλῆς δύο τοὺς κόσμους εἶναι ὑπέθετο. τόν, τε ἐκ τεσσάρων στοιχείων, τὸν αἰσθητὸν καὶ τὸν σφαῖρον. τουτέστι τὸν νοητὸν ὃν σφαῖρον ἐκάλει διὰ τὸ πρέπειν αὐτὸν ἐπιγράφεσθαι καὶ πρὸς τῷ ἑνὶ εἶναι μᾶλλον. οὓς καὶ μεταβάλλειν ἔλεγεν εἰς ἀλλήλους. ἐπικρατούσης μὲν γὰρ τῆς φιλίας, μεταβάλλειν τὰ στοιχεῖα εἰς τὸν σφαῖρον. ἐπικρατοῦντος δὲ τοῦ νείκους, τὸν σφαῖρον εἰς τὰ στοιχεῖα μεταβάλλειν. οὐ τοῦτο λέγων ὅτι οἱ κόσμοι εἰς ἀλλήλους μεταβάλλουσιν, ἀλλὰ τὴν τῆς ψυχῆς τῆς ἡμετέρας εἰς τοὺς κόσμους τούτους σημαίνων μεταβολήν. ἐπειδὴ γάρ ἐστιν ἐν τῇ ἡμετέρᾳ ψυχῇ καὶ ἑτεροποιὸς καὶ ταυτοποιὸς δύναμις, ὅταν μὲν κατὰ τὴν ταυτοποιὸν δύναμιν ἐνεργήσῃ ὃν ταυτοῦ κύκλον ὁ πλάτων ἐκάλεσε, πρὸς τοῖς νοητοῖς γίνεται μᾶλλον. ταύτην δὲ τὴν δύναμιν, φιλίαν ὁ ἐμπεδοκλῆς ἐκάλεσεν ὅτι ἡ φιλία ἑνοποιός ἐστιν. ὅταν δὲ κατὰ τὴν ἑτεροποιὸν δύναμιν ἐνεργήσῃ ἣν πλάτων θατέρου μὲν κύκλον ἐκάλεσεν, ἐμπεδοκλῆς δὲ νεῖκος, πρὸς τοῖς αἰσθητοῖς γίνεται. τὴν μὲν οὖν μεταβολὴν τῆς ψυχῆς κατὰ τὸν αἰσθητόν τε καὶ νοητὸν κόσμον, μεταβολὴν τῶν κόσμων ὁ ἐμπεδοκλῆς ἐκάλεσεν. ὅθεν καὶ τὸ πολυθρύλλητον ἐκεῖνο περὶ ψυχῆς ἔφη, ὡς καὶ ἐγὼ νῦν εἰμι φυγὰς θεόθεν καὶ ἀλήτης, νείκει μαινομένῳ πίσυνος. τουτέστι πεπεισμένος τῇ ἑτεροποιῷ τῆς ψυχῆς δυνάμει. πλείους δὲ καὶ ἀπείρους καὶ κινουμένας ἔλεγον, ἀναξαγόρας. δημόκριτος. ἐπίκουρος. λεύκιππος. ἀναξαγόρας μὲν τὰς ὁμοιομερείας, ἀρχὰς τῶν ὄντων ὑπετίθετο. ὁμοιομερὲς δέ ἐστιν ἧς τὸ μέρος τῷ ὅλῳ ὅμοιον. ὑπάρχειν οὖν ἐν ἀλλήλαις τὰς ὁμοιομερείας. οἷον ἐν τῷ ξύλῳ ὁμοιομερεῖ ὄντι, ὑπάρχειν καὶ σάρκα καὶ ὀστοῦν καὶ ὕδωρ καὶ πῦρ καὶ χρυσὸν καὶ πάντα ἁπλῶς. καὶ ἐν ἑκάστῳ καὶ τῷ τυχόντι, ἀπείρους ἐνυπάρχειν ὁμοιομερείας. τοῦτο δὲ ὑπετίθετο, διότι ἑώρα πάντα ἐξ ἀλλήλων γινόμενα. εἰ καὶ μὴ κατὰ πρώτην γένεσιν, ἀλλ' οὖν διὰ πλειόνων μέσων. περιφανταζόμενος οὖν τὴν ὕλην τὴν εἰς πάντα ἐπιτηδείαν μεταβληθῆναι, μὴ ἐξισχύων δὲ αὐτὴν τελέως θεωρῆσαι, ὑπέθετο ὁμοῦ πάντα εἶναι χρήματα. καὶ οὕτω τὴν ἐξ ἀλλήλων γένεσιν, κατ' ἔκκρισιν γίνεσθαι καὶ οὐ κατὰ μεταβολὴν τῆς οὐσίας. καλῶς δὲ καὶ τὰς ὁμοιομερείας μὲν ἐν ἀλλήλαις εἶναι ὑπέθετο. οὐκέτι δὲ καὶ τὰς ἀνομοιομερείας. οὐδεὶς γὰρ ἂν ὑπολάβοι ἐν προσώπῳ χεῖρα εἶναι ἢ ἐν χειρὶ πόδα. δημόκριτος δὲ καὶ λεύκιππος καὶ ἐπίκουρος τὰς ἀτόμους καὶ τὸ κενὸν ὑπετίθεντο. τό, τε κενὸν ἄπειρον εἶναι καὶ τὰς ἀτόμους τὰς ἐν αὐτῷ. ἀτόμους δὲ ἔλεγον σώματά τινα διὰ σμικρότητα ἀφανῆ καὶ ἀδιαίρετα διὰ σκληρότητα. οἷα ἐστὶ τὰ διὰ τῶν θυρίδων ἐν ταῖς ἀκτῖσι κονιορτώδη φαινόμενα ψήγματα. ἅπερ ἀφανῆ γίνεται μὴ ἐπιλαμπούσης ἀκτῖνος. οὐ διὰ

τὴν, πολλὰ ἐν ἑαυτῇ περιλαμβάνουσαν πράγματα. ὁ μέντοι ὁρισμὸς εἰκότως τμηθεὶς εἰς τὰ μόρια διαιρεῖται.
ζῶον γάρ φησι λογικὸν θνητὸν, τὴν ὑποκειμένην ἡμῖν οὐσίαν ἀσυγχύτως ἐσήμαινε. καλῶς δὲ τὸ, φησί ποτε
τὰ προτίθησι. διότι οὐχ ὥσπερ τὸ ὅλον αὐτὸ διαιρεῖται εἰς τὰ μέρη, οὕτω δὴ καὶ τὸ ὄνομά ἐστι καὶ ὑπὸ τοῦ
ὁρισμοῦ διαιρούμενον, ἀλλὰ τὸ ὑπὸ τοῦ ὀνόματος σημαινόμενον διαιρεῖ ὁ ὁρισμὸς, καὶ οὐχ ὥσπερ φασὶ τὸ
καθέκαστα μέρος τυγχάνει τοῦ καθόλου, ὀνόματος μέρη ἐστὶ τὰ μέρη τοῦ ὁρισμοῦ. οὐ γάρ ἡ ἄν μὲν ἀτυχὴς
συλλαβὴ τοῦ ἀνθρώπου, δηλοῖ τὸ ζῶον, ἄλλη δὲ τὸ λογικὸν, εἰ μὴ ἄρα κατὰ τὸ σημαινόμενον. τοῦτο γὰρ ση-
μαίνεται ὑπὸ τοῦ ὀνόματος. νῦν δὲ περὶ τῆς φωνῆς αὐτῆς, ὁ λόγος. τοῦ μέντοι καθόλου ζώου τὰ καθέ-
καστον ζῶα μέρη ἐστίν.

ΑΝΑΓΚΗ δ' ἤτοι μίαν εἶναι τὴν ἀρχὴν, ἢ πλείους. καὶ εἰ μίαν, ἤτοι ἀκίνητον, ὥς φασι Παρμενί-
δης καὶ Μέλισσος, ἢ κινουμένην. ὥσπερ οἱ φυσικοί. οἱ μὲν ἀέρα φάσκοντες εἶναι, οἱ δὲ ὕδωρ τὴν πρώτην
ἀρχήν. εἰ δὲ πλείους, ἢ πεπερασμένας, ἢ ἀπείρους. καὶ εἰ πεπερασμένας, πλείους δὲ μιᾶς, ἢ δύο, ἢ τρεῖς, ἢ τέτ-
ταρας, ἢ ἄλλον τινὰ ἀριθμόν.

Ἐντεῦθεν ἄρχεται εἰς τὸν περὶ τῶν ἀρχῶν λόγον. ὅπερ δὲ εἴωθεν ποιεῖν ἀεὶ, τοῦτο καὶ νῦν ποιεῖ, πρότερον
τὰς τῶν παλαιοτέρων περὶ τῶν ἀρχῶν ψευδεῖς διελέγχει δόξας. λαμβάνει δὲ τὰς τῶν παλαιοτέρων δό-
ξας, ἐκ διαιρέσεως ἐπιστημονικῆς τε ἅμα καὶ ἐναργοῦς. ἐπιστημονικῆς μὲν ὅτι κατ' ἀντίφασιν. αἱ γὰρ ἐπι-
στημονικαὶ διαιρέσεις κατ' ἀντίφασίν εἰσιν. ἐπιστημονικαὶ δὲ διότι ἄφυκτοι. οὐδὲν γὰρ ἐκφεύγει τὴν ἀν-
τίφασιν. ἐναργοῦς δὲ, διότι ἐκ τῶν πᾶσι γνωρίμων. γνώριμον γὰρ πᾶσι τὸ ἓν καὶ τὸ πλῆθος. ἀνάγκη γάρ
φησι τὰς ἀρχὰς, ἢ μίαν εἶναι ἢ πλείους. εἰ δὲ καὶ μὴ αὐτόθεν ἀντίφασίς ἐστι τὸ τοιοῦτον, ἀλλ' οὖν ἰσοδυνα-
μεῖ τῇ ἀντιφάσει. τὸ γὰρ οὐχ ἓν ἐξ ἀνάγκης πλείονα ἐστίν. ἀνάγκη οὖν φησι τὴν ἀρχὴν ἢ μίαν εἶναι ἢ πλείους.
καὶ εἰ μίαν, ἢ ἀκίνητον ἢ κινουμένην. εἰ δὲ πλείους ἢ πεπερασμένας ἢ ἀπείρους. καὶ αὐτὸς μὲν μέχρι τῶν ἐνταῦθα
προήγαγε τὴν διαίρεσιν. ἐπειδὴ δὲ φαίνεται καὶ ἐν τοῖς ἑξῆς καὶ ἕτερα μόρια προστιθεὶς τῇ διαιρέσει, εὔλογον
ἡμᾶς ἐξ ἀρχῆς τελείαν τὴν διαίρεσιν παραδοῦναι. ἀνάγκη οὖν τὰς ἀρχὰς ἢ μίαν εἶναι ἢ πλείους. καὶ εἰ
μίαν, ἢ ἀκίνητον ἢ κινουμένην. καὶ εἰ ἀκίνητον ἢ πεπερασμένην ἢ ἄπειρον. καὶ εἰ κινουμένην, ἢ πεπερασμένην
ἢ ἄπειρον. καὶ εἰ πλείους, ἢ πεπερασμένας ἢ ἀπείρους. καὶ εἰ πεπερασμένας, ἢ κινουμένας ἢ ἀκινήτους. καὶ εἰ
ἀπείρους, ἢ κινουμένας ἢ ἀκινήτους. καὶ ἡ μὲν διαίρεσις τῶν ἀρχῶν, αὕτη. Εἰ δέ τις ζητοίη, τί δήποτε
τὴν μίαν ἀρχὴν εὐθὺς εἰς τὸ ἀκίνητον καὶ κινούμενον διείλομεν. εἶτα εἰς τὸ πεπερασμένον καὶ ἄπειρον. τὰς
δὲ πλείους πρῶτον εἰς τὸ ἄπειρον καὶ πεπερασμένον. εἶτα εἰς τὸ κινούμενον καὶ ἀκίνητον, ἐροῦμεν ὅτι δυ-
νατὸν μὲν ἦν καὶ τῷ αὐτῷ τρόπῳ τῆς διαιρέσεως ἀμφότερα τὰ μόρια διελεῖν. πλὴν ἐπειδὴ τῷ μὲν ἑνὶ
οἰκειοτέρα ἡ κίνησις ἢ τὸ ἄπειρον. τῷ δὲ πλήθει τὸ ἄπειρον μᾶλλον ἤπερ ἡ κίνησις. διὰ τοῦτο τὴν μὲν
μίαν ἀρχὴν εὐθὺς εἰς τὸ κινούμενον καὶ ἀκίνητον διείλομεν. τὰς δὲ πλείους εἰς τὸ πεπερασμένον καὶ ἄ-
πειρον. μίαν μὲν οὖν ἀρχὴν εἶναι καὶ ἀκίνητον καὶ πεπερασμένην ἐδόξασε Παρμενίδης καὶ Ξενοφά-
νης. δῆλον δέ που πάντως, ὅτι οὐ περὶ τῶν φυσικῶν πραγμάτων ἦν τούτοις ὁ λόγος. ὡς γὰρ καὶ αὐτὸς ὁ
Ἀριστοτέλης ἐν τοῖς μετὰ τὰ φυσικὰ εἶπεν, οὐχ οὕτω καὶ τῶν μαινομένων χειρόνως διέκειντο οἱ ἄνδρες
οὗτοι, ὡς νομίζειν τὸ πῦρ καὶ τὸ ὕδωρ μὴ εἶναι διάφορον. καὶ ἐξ αὐτῆς δὲ τῆς Ἀριστοτελικῆς ῥήσεως, πρό-
δηλον ὡς οὐ φυσικοὶ οἱ ἄνδρες οὗτοι. εἰπὼν γὰρ καὶ εἰ μίαν, ἢ ἀκίνητον ὥσπερ φησὶ Παρμενίδης καὶ Μέ-
λισσος, ἐπήγαγεν ἢ κινουμένην ὥσπερ οἱ φυσικοί, ὡς δὴ μὴ φυσικῶν ὄντων τῶν περὶ Παρμενίδην. ἔτι δὲ
δῆλον ὅτι οὐ περὶ τῶν φυσικῶν ἔλεγον ἐξ ὧν ὡς καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῇ περὶ γενέσεώς φησι καὶ ἐν
τοῖς ὑπομνηματικοῖς. ὅτι ὁ Παρμενίδης ἐν τοῖς πρὸς δόξαν, πῦρ καὶ γῆν ἔλεγεν εἶναι τὴν ἀρχὴν τῶν
πάντων. ἐν δὲ τοῖς πρὸς ἀλήθειαν, ἓν εἶναι τὸ πᾶν, καὶ πεπερασμένον καὶ ἀκίνητον. οὐ νομιστέον δὲ ὅτι
ἐν τοῖς πρὸς δόξαν οὐ τὰ αὐτῷ δοκοῦντα ἔλεγεν, ἀλλὰ τοῖς πολλοῖς. ἐν δὲ τοῖς πρὸς ἀλήθειαν τὰ αὐτῷ
δοκοῦντα. καὶ γὰρ καὶ ἐν τοῖς πρὸς δόξαν τὰ αὐτῷ δοκοῦντα ἔγραφεν. ἀλλ' ἐπειδὴ περὶ τῶν νοητῶν ἦν
αὐτῷ ἐν τοῖς πρὸς ἀλήθειαν ὁ λόγος, ταῦτα δεόντως ἐπέγραψε τὸ βιβλίον. ἐν δὲ τοῖς πρὸς δόξαν περὶ
τῶν αἰσθητῶν ὁ λόγος. ὥσπερ καὶ ὁ Τίμαιος ἐδόξασε προσηγόρευσε. τὰ μὲν γὰρ ἀεὶ ὄντα, νοήσει φησὶ μετὰ
λόγου περιληπτά. τὰ δὲ αἰσθητὰ ἅπερ γινόμενα καὶ ἀπολλύμενα καλεῖ, δόξῃ φησὶ μετ' αἰσθήσεως ἀ-
λόγου δοξαστά. ὥστε περὶ τῶν νοητῶν ἔλεγε τὸ ἓν εἶναι αὐτὰ καὶ ἀκίνητα καὶ πεπερασμένα. ἐπειδὴ γὰρ
τὰ νοητὰ πρὸς τῷ ἑνὶ μᾶλλόν εἰσιν ὡς ἐγγυτέρω ὄντα τῆς μιᾶς τῶν πάντων ἀρχῆς, διὰ τοῦτο ἓν ἐκεῖνα
ἐκάλεσε. μίαν μὲν οὖν καὶ πεπερασμένην καὶ ἀκίνητον Παρμενίδης ἔλεγε καὶ Ξενοφάνης. μίαν δὲ καὶ
ἀκίνητον καὶ ἄπειρον, ὁ Μέλισσος, περὶ τῶν αὐτῶν καὶ αὐτὸς ὡς εἰκὸς ἤδη εἰπεῖν διαλεγόμενος. πλὴν ὅτι οὗ-
τος μὲν ἄπειρον ἔλεγε τὸ ἕν. οἱ δὲ περὶ Παρμενίδην, πεπερασμένον. τοῦτο δὲ διὰ τὸ, ἐκείνους μὲν εἰς τὴν
ὁριστικὴν καὶ εἰδοποιὸν τοῦ νοητοῦ δύναμιν ἀπιδεῖν. τοῦτον δὲ εἰς τὴν ἀπειρίαν τῆς δυνάμεως. καλῶς δὲ ὅσοι ἓν
τὸ ὂν εἰρήκασιν, εὐθὺς καὶ ἀκίνητον ἐδόξασαν. εἰ γὰρ ἐκινεῖτο, οὐκέτι ἓν ἂν ἦν. ἦν γὰρ καὶ αὐτὴ ἡ κίνησις. καὶ τό-
πος τίς. ἢ χρόνος. ἢ τί τοιοῦτον, ἐν ᾧ ἡ κίνησις. ἰστέον δὲ ὅτι ἓν τὸ πᾶν λέγοντες οὗτοι, οὐ περὶ τῆς ἀρχῆς ἐποιοῦν-
το τὸν λόγον. εἰ γὰρ μίαν ἔλεγον εἶναι τὴν ἀρχὴν τῶν ὄντων, οὐκέτι ἡ δι' αὐτὸ λύειν ἓν τὸ ὂν εἶναι. οὔσης γὰρ τῆς ἀρ-
χῆς, ἀνάγκη εἶναι καὶ τὸ ἀπὸ τῆς ἀρχῆς. ταῦτα γὰρ τῶν πρός τι εἰσίν. ἡ γὰρ ἀρχὴ τινῶν ἐστιν ἀρχή. ὥστε οὐ περὶ

καστα χαρακτῆρας ἀπὸ τῶν λοιπῶν οὐκ ἐξισχύουσα. ὅθεν δὴ αὐτὸ τοῦτο τὸ καθόλου τῆς τοιαύτης τῆς αἰσθήσεως γνῶσιν προσηγόρευσεν. ἐν δὲ τῇ ἀποδεικτικῇ τὸ κυρίως καθόλου λαμβάνει. ὥστε σύμφωνα καὶ οὐκ ἐναντία ταῦτα. Ἀλλὰ πῶς τὰ καθ᾽ ἕκαστα καὶ διηρθρωμένα πρῶτα εἶναι τῇ φύσει ἐνταῦθα λέγεται, ἐκεῖ δὲ τὰ καθόλου. Φημὶ τοίνυν ὅτι ὥσπερ ἐπὶ τῶν καθ᾽ ἕκαστα ζώων, οὐ μόνον ἐν ἑκάστῳ τοῦ ζώου μέρει φυσική τίς ἐστι δύναμις ἡ τὴν τοιαύτην διοίκησιν ἐμπιστευθεῖσα, ἀλλ᾽ ἔστι τις καὶ ἡ τὸ ὅλον ἐπιτροπεύουσα, καὶ μίαν ζωὴν καὶ ἁρμονίαν ἐκ πάντων τῶν μερῶν ἀποτελοῦσα, εἴπερ ὕλης ἔχει πρὸς τὸ ὅλον τὰ μέρη λόγον, οὕτως ἀνάγκη καὶ ἐν τῷ παντὶ ὥσπερ ἐστὶν ἡ ἐν ἑκάστῳ μερικὴ φύσις ἡ δημιουργικὴ τούτου καὶ σωστική, οὕτως ἐξ ἀνάγκης καὶ τὴν εἰς μίαν ὁλότητα τὰ καθ᾽ ἕκαστα ἁρμόζουσαν εἶναι δεῖ. ἐπεὶ πόθεν αἱ ἐν τοῖς γένεσί τε καὶ τοῖς εἴδεσι κοινότητες, εἰ μὴ ἦν τι τὸ τῆς κοινωνίας ταύτης αἴτιον. οὐδὲ γὰρ ἐκ ταὐτομάτου, οὐδὲ κατὰ συμβεβηκὸς ἡ κοινωνία. οὐκοῦν ἔστι τις καὶ ἡ τούτου φυσικὴ αἰτία, εἰ καὶ μὴ καθ᾽ αὑτό τι τῶν τοιούτων ὑφέστηκεν, ἀλλ᾽ ἐν τῇ τῶν καθ᾽ ἕκαστα συνυφίσταται γενέσει, ὡς καὶ ἡ ἐπὶ ἑκάστου ἀτόμου ὁλότης οὐκ οὖσα τῶν μερῶν χωρίς, τῇ τούτων ἅμα πάντων συνυφίσταται γενέσει. ὥστε κἂν λέγωμεν μηδὲν τῶν ὅλων ἁπλῶς γίνεσθαι, ἀληθές. οὐδὲ γὰρ ὡς ὅλον ἁπλῶς αὐτὸ καθ᾽ αὑτὸ γίνεται. ἀλλὰ τῇ γενέσει τῶν μερῶν συναναφαίνεται. οὕτως οὖν οὔτε γίνεται καθ᾽ αὑτὸ τῶν καθόλου τι, καὶ τοῖς ὧν ἐστι καθόλου γινομένοις συναναφαίνεται. ἐπεὶ οὖν ἑκάστη φύσις τοῦτο γινώσκει πρῶτον οὗπερ καὶ ἔστιν αἰτία, οὐκοῦν ὥσπερ ἡ τὸ καθ᾽ ἕκαστα δημιουργοῦσα, τοῦτο πρῶτον καὶ οἶδε, κἂν τοῦτο ὑστέρως ἐπὶ τὰ καθόλου πρόεισιν, οὕτως ἐκ τοῦ ἐναντίου ἡ τῶν καθόλου αἰτία, ταῦτά τε γινώσκει πρῶτον καὶ σαφέστερα αὐτῇ ταῦτα τυγχάνει. ἐν μὲν οὖν τῇ φυσικῇ πραγματείᾳ ἐπειδὴ μὴ μόνον σκοπὸς ὡς φυσικὰ ἁπλῶς ἰδέσθαι, ἀλλὰ καὶ ὡς τοιάδε φυσικὰ ζῷα, καὶ τοιάδε ζῷα, καὶ ὡς τοιάδε μέταλλα, κἂν τοῖς μετεώροις ὡς βροντήν, ὡς ἀστραπήν, καὶ ἐπὶ τῶν ἄλλων πάντων ὁμοίως, εἰκότως ὕστερα ἡμῖν τὴν τῶν καθ᾽ ἕκαστα φησὶ γίνεσθαι γνῶσιν. πρὸ ταύτην δὲ τὴν τῶν καθολικωτέρων καὶ συγκεχυμένων, καθ᾽ ὃν ἤδη τρόπον ἔφθημεν εἰπόντες. ἐν δὲ τῇ ἀποδεικτικῇ ἐπειδὴ περὶ ἐπιστήμης ὁ λόγος ἥτις τῶν καθόλου ἐστὶ γνῶσις, πρῶτα λέγει εἶναι τῇ φύσει τὰ καθόλου, καὶ γνωριμώτερα καὶ ὕστερα ἡμῖν τοῦτα παραγίνεσθαι, τὴν αἰτίαν δηλονότι τῶν καθόλου φύσιν ἐκεῖ λέγων. ὥστε σύμφωνα ταῦτα, οὐκ ἐναντία.

» ΠΕΦΥΚΕ δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς, καὶ σαφεστέρων ἐπὶ τὰ σαφέστερα τῇ φύσει,
» καὶ γνωριμώτερα. οὐ γὰρ ταὐτὰ ἡμῖν τε γνώριμα, καὶ ἁπλῶς. διόπερ ἀνάγκη τὸν τρόπον τοῦτον προάγειν ἐκ τῶν ἀσαφεστέρων μὲν τῇ φύσει, ἡμῖν δὲ σαφεστέρων, ἐπὶ τὰ σαφέστερα τῇ φύσει, καὶ γνωριμώτερα. ἔστι δ᾽ ἡμῖν τὸ πρῶτον δῆλα καὶ σαφῆ τὰ συγκεχυμένα μᾶλλον.

Ἐκ τῶν ἡμῖν σαφεστέρων ἀρξάμενοί φησι τῇ δὲ φύσει ἀσαφεστέρων, τελευτῶμεν ἐπὶ τὰ ἡμῖν ἀσαφῆ τῇ δὲ φύσει σαφῆ. ἐπεὶ οὖν φησιν ἡ ὁδὸς ἡ ἐπὶ γνῶσιν τῶν πραγμάτων καθόλου οὕτω πέφυκεν, ἀνάγκη καὶ νῦν ἡμᾶς τὴν τῶν φυσικῶν γνῶσιν ἑλεῖν βουλομένοις, τούτῳ τῷ τρόπῳ τῆς διδασκαλίας χρήσασθαι.

» ΥΣΤΕΡΟΝ δὲ γνώριμα ἐκ τούτων γίνονται αἱ ἀρχαί, καὶ τὰ στοιχεῖα διαιροῦσι ταῦτα. διὸ
» ἐκ τῶν καθόλου ἐπὶ τὰ καθ᾽ ἕκαστα δεῖ προϊέναι. τὸ γὰρ ὅλον κατὰ τὴν αἴσθησιν γνωριμώτερον. τὸ δὲ
» καθόλου ὅλον τί ἐστι. πολλὰ γὰρ περιλαμβάνει ὡς μέρη, τὸ καθόλου.

Τὰ γὰρ κοινότερα καὶ συγκεχυμένα διαιροῦντες, καταντῶμεν εἰς τὰ ἰδικώτερά τε καὶ διηρθρωμένα. τὸ γὰρ ὅλον, κατὰ τὴν αἴσθησιν γνωριμώτερον. τὸ δὲ καθόλου, ὅλον τί ἐστι. πολλὰ γὰρ περιλαμβάνει ὡς μέρη. ὥσπερ γὰρ ἐν τοῖς αἰσθητοῖς εἰ προσιοι τι ζῷον, θᾶττον ἡ ὄψις ὅλον τοῦ σώματος ἀντιλαμβάνεται ἢ κεφαλῆς τε καὶ χειρὸς ὅθεν τάχιον ἂν εἴποι ὅτι ζῷον τὸ προσιὸν ἢ ὅτι ἄνθρωπος, οὕτως ἐν τοῖς ὑπὸ λόγου θεωρουμένοις τὰ καθόλου τε καὶ κοινὰ σαφέστερα ἡμῖν ἐστι τῶν προσεχῶν τε καὶ κοινῶν. καὶ γὰρ ἀεί τινα ἀναλογίαν τὸ καθόλου πρὸς τὸ ὅλον. ὅνπερ γὰρ τρόπον τὸ ὅλον περιεκτικὸν τῶν οἰκείων ὑπάρχει μερῶν, τὸν αὐτὸν τρόπον καὶ τὸ καθόλου περιεκτικόν ἐστι τῶν μερικῶν. διενήνοχασι δὲ ἀλλήλων, ὅτι τὸ μὲν καθόλου μεταδίδωσι τοῦ οἰκείου ὀνόματος τοῖς ὑφ᾽ ἑαυτὸ τεταγμένοις. τὸ μέντοι ὅλον, οὐ πάντως. οὐ γὰρ ὁ δάκτυλος χεὶρ καλεῖται. οὐδὲ ὁ ὄνυξ δάκτυλος. ἐπεὶ οὖν ὡς τὸ ὅλον τῇ αἰσθήσει γνωριμώτερον, οὕτω τὸ καθόλου τῷ λόγῳ. ἐκ δὲ τῶν σαφεστέρων ἄρχεσθαι δεῖ καὶ γνωριμωτέρων. ἐκ τούτων κἀνταῦθα τῆς διδασκαλίας ἀρκτέον. οὕτω γοῦν ῥήτορες, ποιοῦσι περὶ τῶν κοινῶν κεφαλαίων πρῶτον, εἶθ᾽ οὕτως περὶ τῶν ἰδίων εἰδῶν ἑκάστου διδάσκοντες. οὕτω καὶ αὐτὸς ἐν τοῖς ἀναλυτικοῖς τὸν περὶ τοῦ ἁπλῶς συλλογισμοῦ προτάττει λόγον τοῦ διαλεκτικοῦ καὶ ἀποδεικτικοῦ καὶ σοφιστικοῦ. ῥᾷον γὰρ ἀπὸ τῶν κοινῶν τὰ ἴδια κατοπτεύομεν.

» ΠΕΠΟΝΘΕ δὲ ταὐτὸ τοῦτο τρόπον τινὰ καὶ τὰ ὀνόματα πρὸς τὸν λόγον. ὅλον γάρ τι καὶ ἀδιορίστως
» σημαίνει. οἷον, ὁ κύκλος. ὁ δὲ ὁρισμὸς αὐτοῦ διαιρεῖ εἰς τὰ καθ᾽ ἕκαστα. καὶ τὰ παιδία δὲ τὸ μὲν
» πρῶτον πάντας τοὺς ἄνδρας, πατέρας προσαγορεύει. καὶ μητέρας τὰς γυναῖκας. ὕστερον δὲ διορίζει
» τούτων ἑκάτερον.

Τὸ μὲν γὰρ ὄνομα ὁλοσχερῶς καὶ συγκεχυμένως τὴν οὐσίαν σημαίνει τοῦ πράγματος. οἷον, τὸ ἄνθρωπος. τὸ ζῷον. τὸ κύκλος. ὁ μέντοι λόγος τουτέστιν ὁ ὁρισμὸς ἀναλελυμένως ἕκαστον τῶν ὑπαρχόντων τῷ πράγματι σημαίνει, καὶ οἷον διαιρεῖ αὐτὸ εἰς τὰ οἰκεῖα μέρη. ὅταν γὰρ εἴπω ἄνθρωπος, ὁλικήν τινα καὶ συγκεχυμένην εἴρηκα φω-

νήν,

τῶν ἀρχῶν ζητεῖν πότερον μία ἢ πλείους. αὕτη δὲ ἡ διδασκαλία τῶν κοινοτέρων ἐστὶ καὶ συγκεχυμένη. τὸ γὰρ ζητεῖν εἰ μία ἢ πλείους τῶν φυσικῶν αἱ ἀρχαί, οὐδέν ἐστι περὶ τῆς ἰδιότητος ἑκάστου τῆς φυσικῆς ἀρχῆς εἰπεῖν, ἀλλὰ κοινότερον διδάξαι, πόσαι εἰσὶν αἱ φυσικαὶ ἑκάστου ἀρχαί. ὅπερ καὶ ὕστερόν ἐστι τῇ φύσει συνειλεγμένον ἐκ τῶν κατὰ μέρος καὶ συγκεχυμένον. ἐπεὶ γὰρ ἡ φύσις ἕκαστον τῶν κατὰ μέρος ποιοῦσα. οὐδὲν γὰρ τῶν καθόλου ποιεῖ ὥσπερ εἴπομεν, παρέλαβε τοσάσδε τινὰς ἀρχὰς εἰς τὴν ἑκάστου γένεσιν. καὶ ἐπὶ πάντων τὰς αὐτὰς ἀρχὰς ὁμοίως παρέλαβε, τὸ κοινὸν δηλονότι τοῦτο καὶ καθόλου, ὕστερόν ἐστι καὶ ἐκ τῆς τῶν κατὰ μέρος πραγμάτων γενέσεως ὑπέστη. καὶ συγκεχυμένον δὲ διὰ τὸ μὴ διαρθροῦν τίς ποτέ ἐστιν ἡ ἰδιότης ἑκάστης ἀρχῆς. εἶτα ἐφεξῆς ἐπὶ τὸ μὲν διηρθρωμένον μᾶλλον προβαίνει ὁ λόγος. ἔτι μέντοι ὡς πρὸς τὰς ἰδικὰς ἑκάστου ἀρχάς, ἀδιάρθρωτόν τι καὶ συγκεχυμένον. ὅταν γὰρ μάθωμεν ὅτι ἡ μέν τις ἐστὶ τῶν ἀρχῶν ὕλη. ἡ δέ, εἶδος. ἡ δέ, στέρησις, κοινόν τινα καὶ συγκεχυμένον λόγον ἐμάθομεν. ἄλλη γὰρ ἡ τοῖς οὐρανίοις καὶ ἀϊδίοις ὑποκειμένη ὕλη, καὶ ἄλλη τοῖς ἐν γενέσει. καὶ ἐν τούτοις, ἄλλη μὲν ἡ τοῖς μετεώροις. ἄλλη δὲ ἡ τοῖς ἐν τῇ γῇ. καὶ ἄλλη μὲν φυτῶν. ἄλλη δὲ ζώων. ὥστε κἂν περὶ τῆς ὕλης ἡμᾶς διδάσκῃ ἐν τούτοις, ἀλλὰ περὶ τῆς κοινότερον καλουμένης ὕλης. ἥτις ἐπὶ πάσης ὕλης κατηγορεῖσθαι δύναται. οὐ μία δὲ ἡ τῆς ὕλης φύσις οὐδὲ τῆς πρώτης. ἄλλη μὲν γὰρ ἡ τῶν οὐρανίων. ἄλλη δὲ ἡ τῶν ἐν γενέσει. ῥᾴδιον δὲ ἐπιβλέψαι αὐτῆς, ὅτι ἐν τοῖς πράγμασιν ἄλλο μέν τι ἐστὶ τὸ ὑποκείμενον καὶ ὥσπερ ὕλη ἐπεστρωμένον. ἄλλο δὲ τὸ εἶδος καὶ ἡ μορφὴ ἡ ἐπιγινομένη ἐν αὐτῇ. ὥσπερ ἐπὶ τῶν ξυλίνων τε καὶ χαλκῶν σκευῶν καὶ πάντων τῶν τοιούτων ἔχει. καὶ ὅτι ἡ αὐτή ἐστιν ἐπὶ πάντων ἀναλογία, εἰ τῇ ἰδίᾳ ἑκάστου ἀρχῇ τις ἐπιστήσειεν. ὅτι τοῖς μὲν μετεώροις, ἡ ξηρὰ καὶ ὑγρὰ ἀναθυμίασις ὑπόκειται. τοῖς δὲ οὐρανίοις πέμπτη τις οὐσία. τῷ γὰρ ὄντι πολλῆς ἐπιβλέψεως χρεία εἰς τὸ τὰς ἰδικὰς ἑλεῖν ἀρχὰς τῶν πραγμάτων. Ἴσως δὲ ἀπορήσαι τις, ὅτι εἰ περὶ τῆς ἀνειδέου καὶ πρώτης ὕλης ἐνταῦθα αὐτῷ ἐστιν ὁ λόγος, πῶς φαμὲν ὅτι ἐκ τῶν ὑστέρων τῇ φύσει ποιεῖται τὴν διδασκαλίαν. πρώτη γὰρ πάντων ἀρχὴ αὕτη. Φημὶ δὲ ἐγὼ ὅτι πρῶτον μὲν ἡ πρωτίστη ὕλη ὡς μὲν σωμάτων τῷ ὄντι ἐστὶ πρώτη ἀρχή. ὡς μέντοι ζώων ἢ φυτῶν ἢ μετάλλων ἢ τῶν ἐν τοῖς μετεώροις συνισταμένων ἢ τῶν οὐρανίων, ἄλλη τίς ἐστιν ἰδικωτέρα ἀρχή. ὅταν οὖν ὡς μετεώρων πρώτην ἀρχὴν ζητῶμεν, οὐ δυνάμεθα λέγειν τὴν ἀνείδεον ὕλην. αὕτη γὰρ οὐδὲν μᾶλλόν ἐστι τῶν μετεώρων ἀρχὴ ἢ πάντων ἁπλῶς τῶν σωμάτων. ἀλλὰ δεῖ ζητεῖν τὴν ἰδίως αὐτοῖς ὑποκειμένην, καὶ ὡς μετεώρων πρωτίστην ἀρχήν. ἄλλως τε κἂν διδάσκῃ περὶ τῆς ἀνειδέου ὕλης, οὐδὲν ἧττόν ἐστι κοινοτέρα καὶ συγκεχυμένη ἡ διδασκαλία. συγκεχυμένη μὲν διότι οὐδὲν ἧττον ἡ τῶν οὐρανίων ἀνείδεός ἐστιν, ἢ ἡ τῶν ἐν γενέσει. καὶ ταύτῃ οὐδὲν ἴδιον περὶ τῆς ἰδίας ἢ τούτων ἢ ἐκείνων ὕλης εἴρηκεν. ἀλλὰ κοινόν τινα λόγον ἀποδέδωκε περὶ αὐτῶν. τὸ δὲ κοινὸν τοῦτο, δηλονότι ὕστερόν ἐστι τῇ φύσει, ἐπειδὴ ἡ φύσις ὡς εἴπομεν τῶν κοινῶν οὐδὲν ποιεῖ. ἀλλὰ τὰ καθέκαστα ἐξ ὧν συλλέγεται τὸ κοινόν. ἀλλ' οὐδὲ ὅλως τὴν πρώτην ὕλην ἡ φύσις ποιεῖ. γίνεται μὲν γὰρ ὡς πολλάκις εἶπον τὰ καθέκαστα. τούτων δὲ ἑκάστου προσεχὴς ἡ ὕλη καὶ ἡ δημιουργὸς ἑκάστου φύσις ποιεῖ. τὴν οὖν πρώτην ὕλην οὐδεμία φύσις ποιεῖ. ἐκ τοῦ πρώτου γὰρ παρῆκται οὐχ ὑπὸ φύσεως. εἰ οὖν ἔγνωσται τῇ φύσει τὰ πρῶτα λεγόμενα, τὴν δὲ ἀνείδεον ὕλην ἡ φύσις οὐ ποιεῖ, οὐκ ἄρα περὶ τῆς ἀνειδέου διδάσκων ὕλης, περὶ τῶν τῇ φύσει πρώτων διδάσκει καὶ γνωριμωτέρων. εἰ μὴ ἁπλῶς τῇ καθόλου καὶ περιεκτικῇ τῶν ὅλων φύσει, λέγοι τις γνωριμωτέραν εἶναι τὴν ἀνείδεον ὕλην. Ἐπιστάσεως δὲ ἄξιον, πῶς οὐκ ἐναντία ἐστὶ τὰ ἐνταῦθα λεγόμενα τοῖς ἐν τῷ πρώτῳ τῆς ἀποδεικτικῆς. ἐνταῦθα μὲν γὰρ εἰπών, ὅτι πέφυκε δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς καὶ σαφεστέρων, ἐπὶ τὰ σαφέστερα τῇ φύσει καὶ γνωριμώτερα, τὰ καθόλου φησὶν ἡμῖν εἶναι γνωριμώτερα. τὰ δὲ καθέκαστα, σαφέστερα μὲν ἡμῖν, τῇ δὲ φύσει γνωριμώτερα. διὸ φησὶν ἐκ τῶν καθόλου ἐπὶ τὰ καθέκαστα δεῖ προϊέναι. τὸ γὰρ ὅλον φησὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερον. τὸ δὲ καθόλου ὅλον τί ἐστι. ταῦτα οὖν εἰπὼν ἐνταῦθα, τἀναντία λέγει ἐν τῷ πρώτῳ τῆς ἀποδεικτικῆς. τὴν γὰρ τῶν καθόλου γνῶσιν ὑστέραν ἡμῖν φησι περιγίνεσθαι. λέγω γάρ φησι πρὸς ἡμᾶς πρότερα καὶ γνωριμώτερα, τὰ ἐγγυτέρω τῆς αἰσθήσεως. ἔστι δὲ πορρωτάτω μὲν τὰ καθόλου μάλιστα. ἐγγυτάτω δὲ τὰ καθέκαστα. τὰ οὖν ζητούμενά ἐστι δύο, πῶς ἐνταῦθα μὲν τὰ καθόλου γνωριμώτερά φησι τῇ αἰσθήσει. καὶ διὰ τοῦτο δεῖν ἐκ τῶν καθόλου ἀρξαμένους ἐπὶ τὰ καθέκαστα προϊέναι. ἐν δὲ τῇ ἀποδεικτικῇ ἐγγυτέρω φησὶ τῆς αἰσθήσεως εἶναι τὰ καθέκαστα. πορρωτέρω δὲ τὰ καθόλου. καὶ πῶς, ἐν μὲν τῇ ἀποδεικτικῇ πρῶτά φησιν εἶναι τῇ φύσει τὰ καθόλου. ἐνταῦθα δὲ τὰ καθέκαστα τῇ φύσει πρῶτα. εἰ γὰρ καὶ μὴ ἐπὶ λέξεως οὕτω κεῖται:, ἀλλ' οὖν ἕπεται ἐξ ἀνάγκης. εἰ γὰρ σαφέστερα τῇ φύσει τὰ καθέκαστα, καὶ πρῶτα δηλονότι. καὶ ἡμεῖς δὲ ἀρτίως ἐλέγομεν, ὅτι ὃ ποιεῖ ἡ φύσις, τοῦτο καὶ γινώσκει μάλιστα. ποιεῖ δὲ τὰ καθέκαστα. τὸ μὲν οὖν πρῶτον τῶν εἰρημένων ἤδη σχεδὸν διελυσάμεθα, ὅτι καθόλου ἐνταῦθα λέγει οὐ τὸ καθόλου κυρίως ἀλλὰ τὸ μερικὸν καὶ συγκεχυμένον, διὰ τὸ πλείοσιν ἐφαρμόζειν. οὐκ ἐναντία οὖν ταῦτα ἐκείνοις. ἀληθὲς μὲν γὰρ ὅτι τὸ καθέκαστα τῇ αἰσθήσει γνωριμώτερον. ὅλως γὰρ τοῦ καθόλου ἡ αἴσθησις οὐκ ἀντιλαμβάνεται. ἀλλ' ἐπειδὴ πᾶσα φυσικὴ γνῶσις ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισι, διὰ τοῦτο πρότερον συγκεχυμένως καὶ ἀδιαρθρώτως ἐπιβάλλει τῷ καθέκαστα ἡ αἴσθησις, διακρίνειν εὐθὺς τὴν ἰδικότητα τοῦ καθ-

καὶ τὰ μέρος τῇ αἰσθήσει ἐγνωσμένα, τὸ πάντων ἄθροισμα ἢ ἁπλῶς τὸ ἐν πᾶσι κοινὸν, γένος ἐκάλεσεν· ὥστε καὶ ἡμῖν ὑστέρα ἡ τοῦ γένους τῶν ἐν τοῖς πολλοῖς γνῶσις καὶ διὰ τοῦτο ἀσαφεστέρα. προχειρότεροι γὰρ τοῖς καθέκαστα ἐπιβάλλομεν ἢ τοῖς καθόλου. ἄλλως τε οὐδὲ τοῖς ἀριστοτελικοῖς ἡ ἐξήγησις αὕτη συνᾴδει παραδείγμασι. ὁ γὰρ παῖς ὃ καὶ πάντας ἀνθρώπους ὡς πατέρας γινώσκει, ἀλλ' οὖν τὴν καθόλου ἔννοιαν οὐκ ἔχει. ἀλλὰ τοῦ μερικοῦ, τοῦ ἀορίστου. μὴ ἔχων γὰρ διηρθρωμένους τοὺς καθέκαστα τοῖς τύποις οὓς ἐξ ἀρχῆς ἔχει τοῦ αὐτοῦ τύποις, πᾶσιν ἐφαρμόζει. καὶ ἡμεῖς δὲ ὡς ἔφθην εἰπὼν ὅταν τὸ προσιὸν ὡς ζῷον γινώσκομεν, οὐχ ὡς γένος αὐτὸ γινώσκομεν· ἴσμεν γὰρ ὅτι ἕν τι ἐστίν. ἀλλ' ὡς ἀόριστον καθέκαστα. τοῦτο δέ ἐστι τὸ μερικόν. παντελῶς ἄρα ἀνάρμοστος ἡ δευτέρα ἐξήγησις. καθόλου οὖν ἀκούσομεν κατὰ τὴν προτέραν ἐξήγησιν τὸ μερικόν. ὅπερ φησὶν ἀόριστον εἶναι, καὶ συγκεχυμένον ἐστὶ καὶ καθόλου. τὸ γὰρ γένος οὐκέτι συγκεχυμένον. ὅταν γὰρ εἴπω ζῷον, ὥρισα τὴν οὐσίαν. κἂν ἐπὶ μυρίων ἢ εἰδῶν λέγηται, οὐδὲν μᾶλλον ἢ ἧττον γνωσθήσεται ἡ τοῦ ζῴου οὐσία. ὅταν δὲ εἴπω τί ζῷον. ἐπειδὴ δίδωσι μὲν ἡ ἔννοια μὴ μόνον τὸ ζῷον νομίζειν, ἀλλὰ καί τινας διαφορὰς ὑπαρχούσας αὐτῷ, καὶ χωριζούσας αὐτὸ τῶν ἄλλων. οὐκέτι μέντοι τίς ἡ διαφορὰ προστίθησι. τοῦτο γὰρ τῶν καθέκαστα ἴδιον. διὰ τοῦτο συγκεχυμένον ἐστὶ καὶ ἀδιάρθρωτον. ἔστι δὲ ὡς εἶπον, καὶ ὕστερον τῇ φύσει. ἐκ γὰρ τῶν καθέκαστα τοῦτο τὸ ἀόριστον συνῆκται. κοινὴ γάρ τις ἐστὶ φωνὴ δυναμένη ἐπὶ πάντων τῶν καθέκαστα ἰδίᾳ καθέκαστον ἐφαρμόζειν. ἐπεὶ οὖν τὰ οὕτως καθόλου καὶ συγκεχυμένα σαφέστερα ἡμῖν καὶ πρότερα, ἀναγκαῖον καὶ ἐν τῷ περὶ τῶν ἀρχῶν λόγῳ ἐκ τῶν συγκεχυμένων τε καὶ κοινοτέρων, ἡμῖν δὲ σαφεστέρων ἄρξασθαι. εἰ δέ τις εἴποι ὅτι οὐ μόνον ἡμῖν τὰ κοινότερα καὶ συγκεχυμένα πρότερά ἐστι καὶ σαφέστερα, ἀλλὰ καὶ τῇ φύσει. ἀεὶ γὰρ καὶ αὕτη τῆς δημιουργίας ἐκ τῶν κοινοτέρων καὶ ἀδιαρθρώτων ἄρχεται. οἷον βουλομένη ποιῆσαι τὸν σωκράτην, πρότερον σώματος ἁπλῶς καταβάλλεται λόγους. ὅπερ ἐστὶ κοινόν τι οὐ μόνον ἐπὶ ἐμψύχων ἐφαρμόζον, ἀλλὰ καὶ ἐπὶ ἀψύχων. καὶ διὰ τοῦτο συγκεχυμένον. ὅσον γὰρ ἐπὶ τῇ τοῦ σώματος δημιουργίᾳ, ἄδηλον ποῖόν τι σῶμα τὸ προβληθέν. εἶτα προϊοῦσα διαρθροῖ μᾶλλον τοῦτο καὶ ποιεῖ ζῷον. ἀλλ' ἔτι μέντοι καὶ τοῦτο ἀόριστον καὶ κοινότερον. ὁμοίως κατὰ τὸν αὐτὸν λόγον ἐκ τούτου ἄνθρωπον. εἶτα τέλος τὰς ἰδικωτέρας ἐπιθεῖσα διαφορὰς, ποιεῖ τὰ καθέκαστα. οἷον σωκράτην. ἀλκιβιάδην. καὶ τῇ φύσει ἄρα πρότερά ἐστι τὰ κοινότερα καὶ συγκεχυμένα, καὶ διὰ τοῦτο σαφέστερα αὐτῇ ταῦτα ὡς προσεχέστερα καὶ ἐνδότερα. καὶ οὐκ εὔλογον πρὸς τοῦτο ἀπολογουμένους λέγειν. ὅτι σκοπὸν ἔχει ἡ φύσις τὸ καθέκαστα ποιεῖν καὶ ὡς πρὸς τοῦτο πρῶτον, διὰ τῶν κοινοτέρων προβάλλεται λόγους. καὶ γὰρ καὶ ἡ ἡμετέρα γνῶσις σκοπὸν ἔχει τὸ καθέκαστα γνῶναι. καὶ ὡς πρὸς τοῦτο ὁδῷ τινὶ κέχρηται τῇ ἐκ τῶν κοινοτέρων ἀρχῇ. φαμὲν οὖν ἡμεῖς τὴν ἀπορίαν ταύτην ἐπιλυόμενοι, ὅτι οὐδέποτε ἡ φύσις τὰ κοινὰ καὶ συγκεχυμένα ποιεῖ. ἀλλ' ἀεὶ τὰ καθέκαστα καὶ διηρθρωμένα. οὐ γὰρ ὥσπερ ἡμεῖς τὸ προσιὸν ἀποφαινόμενοι τί σῶμα εἶναι, δυνάμεθα τὸ τί σῶμα τοῦτο φέρειν καὶ κατὰ ἀψύχου καὶ ἐμψύχου. καὶ ἵππου καὶ ἀνθρώπου. τῆς φαντασίας τοῦ τινὸς σώματος οὐδαμῶς κωλυομένης ἐπί τι τούτων φέρεσθαι, οὕτω καὶ ἡ φύσις ὅταν ποιοῦσα τὸν σωκράτην πρῶτον προβάλληται, σῶμα τοιοῦτον προβάλλεται. ὡς δύνασθαι τὸ αὐτὸ καὶ λίθῳ ἐφαρμόζειν ἢ ἵππῳ, οὐδαμῶς. ἀλλ' οὐδὲ τῷ τυχόντι ἀνθρώπῳ. ἀλλὰ μόνως σωκράτους δυνάμενον ἐστὶ σῶμα, οὕτω προβάλλεται. ὁμοίως καὶ τὸ σωκράτους ζῷον ποιεῖ καὶ τὸν ἄνθρωπον. ὥστε μόνως τὰ μερικὰ ἡ φύσις ποιεῖ. ἃ γὰρ καὶ πρῶτα προβάλλεται τὰ ὕλης λόγον ἐπέχοντα πρὸς τὰ μετὰ ταῦτα καὶ κατὰ τοῦτο αὐτῇ κοινωνοῦμεν καθὸ ἀπὸ τῶν ὑλικωτέρων ἀρχόμεθα. ἀλλὰ διαφέρομεν καθὸ ἡ μὲν, ἀπὸ τῶν μερικωτέρων ἄρχεται. εἶτα ἐκ τῆς τῶν καθέκαστα συναγωγῆς, ποιεῖ τὰ καθόλου. ἡμεῖς δὲ ἀπὸ τῶν καθολικωτέρων ἀρχόμενοι, ἐπὶ τὰ μερικώτερα προβαίνομεν. καὶ ἡ μὲν ἀεὶ τὰ διηρθρωμένα ποιεῖ. ὕστερον δὲ ἐκ τούτων τὰ συγκεχυμένα γίνεται κατὰ τὸν εἰρημένον τρόπον. ἡμεῖς δὲ ἐκ τούτων ἀρξάμενοι, ἐπὶ τὰ διηρθρωμένα προβαίνομεν. ἀλλὰ γὰρ αὖθις ἐπὶ τὸν σκοπὸν τῶν προκειμένων εἴπωμεν. καὶ τοῦ ὅλου λόγου τὴν ἀγωγήν. πρόκειταί φησιν ἡμῖν τὰ φυσικὰ πράγματα γνῶναι. φυσικὰ δὲ δηλονότι τὰ ἐν ὑπάρξει ὄντα καὶ ὑφεστηκότα. ταῦτα δέ ἐστι τὰ καθέκαστα. οὐδὲν γὰρ τῶν κοινοτέρων τε καὶ καθόλου ὑφέστηκε καθ' αὑτό. οὐδὲ γάρ ἐστιν ἁπλῶς σῶμα ὃ μὴ πάντως ὅδε ὁ λίθος ἐστὶν ἢ τόδε τὸ ξύλον. οὐδὲ ἁπλῶς ζῷον ὃ μὴ ὅδε ὁ ἵππος ἐστὶν οἷον ξάνθος ἢ βέλιος. ἢ ὅδε ὁ ἄνθρωπος. οὐδὲ γὰρ γίνεται ὅλως τὸ καθόλου οὐδὲ γινώσκει αὐτὸ ἡ φύσις. ὃ γὰρ οἶδε, τοῦτο καὶ δημιουργεῖ. καὶ ὃ δημιουργεῖ τοῦτο καὶ γινώσκει. δημιουργεῖ δὲ μόνον τὸ μερικόν. τοῦτο ἄρα καὶ γινώσκει μόνον. εἰ γὰρ ᾔδει τὸ καθόλου, καὶ ἐποίησεν αὐτὸ δηλονότι. ἐπεὶ οὖν πρόκειται ἡμῖν τὰ ἐν ὑποστάσει φυσικὰ πράγματα γνῶναι. γινώσκεται δὲ πᾶν ἐγνωσμένων τῶν ἀρχῶν, καὶ τὰ ἐν ὑποστάσει ἄρα φυσικὰ πράγματα γνωσόμεθα, τὰς ἰδίας ἑκάστου αὐτῶν ἀρχὰς ἐγνωκότες. ἀλλ' ἐπεὶ μὴ ἔστιν ἑκάστου τῶν πρώτων ἀρχῶν ἑτέρας εὑρεῖν ἀρχὰς, δεῖ φησιν ἐκ τῶν δευτέρων τῇ φύσει ἡμῖν δὲ προτέρων καὶ σαφεστέρων ἀναδραμεῖν ἐπὶ τὴν τῶν ἀρχῶν γνῶσιν. δεύτερα δέ ἐστι τῇ φύσει. ἡμῖν δὲ πρότερα καὶ σαφέστερα τὰ κοινότερα μὲν καὶ πλείοσιν ἐφαρμόζοντα. συγκεχυμένα δὲ τῶν ἰδικωτέρων τε καὶ διηρθρωμένων ἑκάστου ἀρχῶν. πρῶται γὰρ ἀεὶ παραγίνονται ἡμῖν αἱ κοινότεραί τε καὶ ἀδιάρθρωτοι φαντασίαι. ὕστερον δὲ ἐκ τούτων ἐπὶ τὰς ἰδικωτέρας τε καὶ διηρθρωμένας ὁδεύομεν. ὡς δηλοῖ ἥ τε κατὰ τοὺς παῖδας γνῶσις καὶ ὅταν τινὰ προσιόντα, πόρρωθεν ὁρῶμεν. μᾶλλον δὲ παντὸς πράγματος ἡ γνῶσις κατὰ τὴν πρώτην προσβολὴν ἐκ τῶν κοινοτέρων πέφυκε γίνεσθαι. διὰ τοῦτο οὖν καὶ ἡμᾶς φησι δεῖ ἐκ τῶν κοινοτέρων τε καὶ συγκεχυμένων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιήσασθαι. ἄρχεται γοῦν ἐντεῦθεν κοινῶς περὶ

διδούς. ἢ ὅταν περὶ τῆς ὕλης κατ' ἀφαίρεσιν διδάσκῃ. διὰ τὸ μὴ ἔχειν ἀρχοειδέστερα αὐτῆς, ἀνάγκη ἐκ τῶν ὑστέρων τῇ φύσει τὴν περὶ αὐτῆς ποιεῖσθαι διδασκαλίαν. ἐπεὶ οὖν καὶ νῦν πρόκειται τὰς ἀρχὰς τῶν φυσικῶν πραγμάτων γνῶναι, ἀνάγκη θατέρῳ τῶν τρόπων τούτων, αὐτὰς γνῶναι. τῷ μὲν οὖν προτέρῳ, ἀδύνατον. εἰ γὰρ βουληθείημεν δεῖξαι ἀρχῶν ἀεὶ τὰς ἀρχὰς κατασκευάζειν, ἐπ' ἄπειρον οὕτως ἥξομεν. ἀεὶ τῶν ληφθεισῶν ἀρχῶν ἑτέρας ζητοῦντες. λείπεται οὖν τῷ δευτέρῳ τρόπῳ, εἰς τὴν τῶν ἀρχῶν διδασκαλίαν χρήσασθαι. καὶ ἐκ τῶν δευτέρων τῇ φύσει, ἐπὶ τὴν τούτων γνῶσιν ἀνελθεῖν. καὶ γὰρ ἀεί φησι τὰ μὲν τῇ φύσει πρότερα καὶ σαφέστερα, ἡμῖν ὕστερα ἐστὶ καὶ ἀσαφέστερα. καὶ τὰ ἡμῖν πρότερά τε καὶ σαφέστερα, τῇ φύσει ὕστερά ἐστι καὶ ἀσαφέστερα. διὰ τοῦτο οὖν δεῖ ἡμᾶς ἐκ τῶν σαφεστέρων καὶ προτέρων ἡμῖν, τῇ φύσει δὲ ὑστέρων καὶ ἀσαφεστέρων, ἄρξασθαι τῆς διδασκαλίας. ταῦτα δέ ἐστι φησὶ τὰ συγκεχυμένα. ταῦτα γὰρ ἡμῖν ἐστὶ γνωριμώτερα καὶ σαφέστερα, τῇ φύσει δὲ ἀγνωστότερα. συγκεχυμένα δέ ἐστι τὰ καθόλου. ὥστε ἐκ τῶν καθόλου ἀρκτέον τῆς διδασκαλίας. ταῦτα μὲν οὖν ὁ ἀριστοτέλης. Ζητοῦσι δὲ ἐνταῦθα, πῶς φησι τὰ καθόλου ὕστερα εἶναι τῇ φύσει, καὶ ἀσαφέστερα. ἡμῖν δὲ, πρότερα καὶ γνωριμώτερα. καίτοι ἀλλαχοῦ τὸ ἐναντίον δείκνυται. ὅτι τῶν καθόλου ἡ γνῶσις, ἀσαφέστερά τέ ἐστιν ἡμῖν καὶ ὑστέρα παραγίνεσθαι πέφυκεν. ἐπιστήμης γὰρ μόνης, τὸ καθόλου ἑλεῖν. ἡ δὲ ἐπιστήμη, ὑστέρα ἡμῖν παραγίνεται. καὶ τίνα λέγει καθόλου ἐνταῦθα. Λέγομεν οὖν ὅτι καθόλου ἐνταῦθά φησιν ἤτοι τὸ μερικόν. ὅπερ τοῦ καθέκαστα διενήνοχεν, ὡς αὐτὸς ἐν τῷ περὶ ἑρμηνείας φησί. τῷ, τὸ μὲν καθέκαστον ὡρισμένον εἶναι, αὐτὸ δὲ ἀόριστον. οὐδὲν γάρ ἐστι τὸ μερικὸν, ἢ καθέκαστα ἀόριστον, δυνάμενον πλείοσιν ἐφαρμόζειν. τοῦτο οὖν διὰ τὸ ἀόριστον εἶναι, καὶ συγκεχυμένον, εἰκότως ἐκάλεσε καὶ καθόλου. καθόλου μὲν, διὰ τὸ δύνασθαι πλείοσιν ἐφαρμόζειν. τοῦ καθέκαστα, ἐνὶ μόνῳ ἐφαρμόζοντος. συγκεχυμένον δὲ, διότι ἀορίστως καὶ ἀδιαρθρώτως ἐφαρμόζει οἷς ἂν ἐφαρμόζῃ. τὰ γὰρ καθέκαστα καὶ τὸ καθόλου μὲν γινώσκοντες, σαφῆ καὶ διηρθρωμένην αὐτῶν ἔχομεν τὴν γνῶσιν. ὅταν γὰρ εἴπωμεν, ὅτι ὁ σωκράτης ζῶόν ἐστιν, ἢ ἄνθρωπος ἐστιν, ὡρισμένην ἔχω καὶ διηρθρωμένην τὴν τοῦ ἀνθρώπου καὶ τὴν τοῦ ζώου φύσιν. κατὰ τὸ μερικὸν δὲ, γινώσκοντες τὰ καθέκαστα. ὡς ὅταν λέγωμεν ὅτι τὶ ζῶόν ἐστι. καὶ τὶς ἄνθρωπος. οἷον ὅτι τὸ προσιὸν τὶ ζῶόν ἐστιν ἢ τὶς ἄνθρωπος ἐστιν, ἀδιαρθρώτως καὶ συγκεχυμένως αὐτὸ γινώσκομεν. τὸ γὰρ τὶ ζῶον, δύναται εἶναι καὶ ἄνθρωπος καὶ ἵππος καὶ τῶν λοιπῶν ἕκαστον. ὁμοίως καὶ ὁ τὶς ἄνθρωπος, πλάτων εἶναι ἢ ἀλκιβιάδης ἢ ἕτερός τις. πρώτη οὖν ἡ τῶν συγκεχυμένων ἡμῖν γίνεται γνῶσις. τὸν γὰρ σωκράτην ἰδὼν πόρρωθεν, πρότερον γινώσκω ὅτι ἐστὶ τὶ ζῶον. καὶ ταύτῃ συγκεχυμένη αὐτοῦ ὡς ζώου ἐστὶν ἡ γνῶσις. δύναται γὰρ τὸ τὶ ζῶον, τῶν ἄλλων ὁτιοῦν εἶναι. εἶτα ὁ τὶς ἄνθρωπος. καὶ ταύτῃ πάλιν ὡς καὶ τῶν ἄλλων ζώων διακέκριται, συγκεχυμένη καὶ οὕτως οὐδὲν ἧττον ἔχομεν αὐτοῦ τὴν γνῶσιν. δύναται γὰρ εἶναι τῶν ἄλλων ἀνθρώπων ὁστισοῦν. τῇ δὲ συγκεχυμένῃ ταύτῃ γνώσει προσθεὶς τὰς ἰδίας τοῦ σωκράτους ἰδιότητας, οὕτως ἀκριβεστάτην αὐτοῦ ποιοῦμαι τὴν γνῶσιν. οὕτω γοῦν φησὶ καὶ τὰ παιδία τὸ μὲν πρῶτον συγκεχυμένην τὴν τῶν πατέρων ἔχοντα γνῶσιν, οὐχ ὡς πατέρας ἀλλ' ὡς ἄνδρας γινώσκουσι. διὸ καὶ πάντας ἄνδρας πατέρας νομίζει. ὕστερον δὲ ὅταν λοιπὸν δυνηθῶσι ταῖς ἰδιότησι τῶν πατέρων ἐπιστῆσαι, τότε διηρθρωμένην αὐτῶν τὴν γνῶσιν ἔχοντα, τῶν ἄλλων ἀφορίζει αὐτῶν. Καὶ ἑτέραν δὲ ἐξήγησιν τούτων τινὲς φέρουσιν. ἵνα γάρ φασι κυρίως τὴν τοῦ καθόλου ἔννοιαν σώσωμεν, ῥητέον καθόλου λέγειν αὐτὸν τὸ ἐν τοῖς πολλοῖς. τό, τε γὰρ πρὸ τῶν πολλῶν σαφὲς ἡμῖν ἀλλ' οὐδὲ γινωσκόμενον. τό, τε ἐπὶ τοῖς πολλοῖς καὶ ὑστέροις, μετὰ τὴν τελείωσιν τοῦ λόγου παραγίνεται ὅταν λοιπὸν οἷοί τε ὦμεν ἐκ τῶν κατὰ μέρος τὴν κοινῶς ὑπάρχουσαν αὐτοῖς φύσιν ἀπομάξασθαι. ἄλλως τε τὸ μὲν περὶ τοῦ πρὸ τῶν πολλῶν διαλέγεσθαι, θεολόγου μᾶλλον. τὸ δὲ περὶ τοῦ ὑστέρου γένους, διαλεκτικοῦ. φυσιολόγῳ δὲ προσήκει περὶ τοῦ ἐν τοῖς πολλοῖς διαλέγεσθαι. τοῦτο οὖν φησι πρότερον ἡμῖν εἶναι λέγεται καὶ σαφέστερον καὶ συγκεχυμένον. ὅταν γὰρ προσιόντα τινὰ ἴδωμεν, κατὰ τὰ καθόλου καὶ συγκεχυμένα πρῶτον αὐτὸν γινώσκομεν. πρότερον γὰρ ἁπλῶς ὅτι σῶμά ἐστι νοοῦμεν. εἶτα ὅτι ζῶον. εἶτα, ὅτι ἄνθρωπος. ποῖον μέντοι σῶμα ἢ ποῖον ζῶον ἢ ποῖος ἄνθρωπος, οὐκέτι. φημὶ δὲ ἐγὼ τὴν δευτέραν ἐξήγησιν οὔτε τῇ ἀριστοτελικῇ διδασκαλίᾳ συνᾴδειν, οὔτε τῇ φύσει αὐτῇ τῶν πραγμάτων. πρῶτον μὲν γὰρ τὰ παραδείγματα ἃ προφέρουσιν, οὔτε γένους ἐστὶ τοῦ ἐν τοῖς πολλοῖς, ἀλλὰ τοῦ μερικοῦ καὶ ἀορίστου. τί γάρ ἐστιν ἄλλο τὸ ἐν τοῖς πολλοῖς γένος, εἰ μὴ ἡ ἄθροισις πάντων τῶν κατὰ μέρος. ἤγουν τὸ κοινῶς πάντων τῶν κατὰ μέρος κατηγορούμενον. ὅταν δὲ τὸ προσιὸν εἴπω ζῶον εἶναι ἢ ἄνθρωπον εἶναι, οὐ τοῦτο νομίζω ὅτι ὁ προσιὼν, τὸ ἄθροισμά ἐστι τῶν ζώων. ἢ τὸ ζῶόν ἐστι, τὸ πάντων τῶν κατὰ μέρος κατηγορούμενον. ἀλλὰ τὸ καθέκαστον ζῶον ὑπολαμβάνω τὸ προσεχῶς ὑπὸ τὸ εἶδος τεταγμένον. ἀόριστον δὲ τοῦτό ἐστι, διότι μὴ ἔχω ἐρεῖσαι τὴν διάνοιαν ποῖον τί ἐστι τῶν καθέκαστα τῶν ὑπὸ τὸ εἶδος τεταγμένων. διὰ τοῦτο καὶ μερικόν φημι τὸ τὶ ζῶον καὶ οὐ καθέκαστα. διότι ἀόριστον ὂν, δύναται ἐπὶ πλειόνων καθέκαστα ἐφαρμόζειν, καὶ ταύτῃ καθολικώτερον αὐτὸ εἶναι. τὸ μὲν γὰρ καθέκαστα ὡρισμένον ὂν, οὐδαμῶς ἄλλῳ τινὶ ἐφαρμόζειν δύναται. τοῦτο δὲ διὰ τὸ ἀόριστον εἶναι, δύναται πλείοσιν ἐφαρμόζειν. πρῶτον μὲν οὖν ὅπερ εἶπον, οὐδὲ τὰ παραδείγματα τὸ ἐν τοῖς πολλοῖς γένος σημαίνει. ἔπειτα τὸ ἐν τοῖς πολλοῖς γένος εἰ καὶ τῷ ὄντι τῇ μερικῇ φύσει καὶ ὕστερόν ἐστι καὶ ἀσαφέστερον. τοῦτο γὰρ οἶδεν ἡ φύσις ὃ καὶ ποιεῖ. ποιεῖ δὲ τὸ καθόλου οὐδὲν, ἀλλὰ μόνως τὰ καθέκαστα. εἶτα ὕστερον ἐκ τοῦ ἀθροίσματος τούτων τὰ καθόλου συνίσταται; ἀλλ' οὐδὲν ἧττον καὶ ἡμῖν ὕστερα ἐστὶ κατὰ τὴν γνῶσιν. διὸ καὶ ἀσαφέστερα. πρώτως γὰρ τὰ καθέκαστα γινώσκομεν. τούτων γὰρ καὶ ἡ αἴσθησις ἀντιλαμβάνεται. πρώτως δὲ κατὰ τὴν αἴσθησιν ἐνεργοῦμεν. εἶτα ὕστερον ὁ λόγος συλλέξας τὰ

χεῖα γὰρ μόνων ἐστὶ τῶν συνθέτων πραγμάτων. ταὐτὸν δὲ εἰπεῖν τῶν φυσικῶν. στοιχεῖον γάρ ἐστι τὸ συγκατατεταγμένον τῷ πράγματι ὃ καὶ μέρος τοῦ συνθέτου γίνεται. μέρος δὲ οὐχ οἷα ἐστὶ τὰ κυρίως μέρη ὁμοιομερῆ τε καὶ ὀργανικά. ταῦτα μὲν γὰρ ἰδίαν ἔχει περιγραφήν τε καὶ ἐνέργειαν. καὶ ἕκαστον αὐτῶν μέρος τι τοῦ συνθέτου ἀπείληφε. τὰ δὲ στοιχεῖα ὅλα δι᾽ ὅλων αὐτῶν καὶ διὰ τοῦ συνθέτου κεχώρηκεν ὡς μηδὲν αὐτοῦ εἶναι σημεῖον ὃ μὴ τῶν στοιχείων μετείληφεν. ἔστι δὲ τὸ μὲν τῆς ἀρχῆς ὄνομα καθολικώτερον. φέρεται γὰρ καὶ ἐπὶ τοῦ εἴδους καὶ ἐπὶ τῆς ὕλης καὶ ἐπὶ τοῦ ποιητικοῦ καὶ τελικοῦ καὶ τῶν λοιπῶν. τὸ δὲ αἴτιον καὶ τὸ στοιχεῖον μερικώτερά ἐστι. τὸ μὲν αἴτιον ἐπὶ τῶν κεχωρισμένων τοῦ ἀποτελέσματος ἀρχῶν τῆς τε ποιητικῆς καὶ τῆς τελικῆς. καὶ ἐπὶ τῆς παραδειγματικῆς τε καὶ ὀργανικῆς. τὸ δὲ στοιχεῖον ἐπὶ τῶν συγκατατεταγμένων φέρεται ἀρχῶν. τοῦ εἴδους λέγω καὶ τῆς ὕλης. ἃ καὶ μέρος τοῦ ἀποτελέσματος γίνεται. οὐχ οὕτω δὲ μέρος ὡς τὰ ἀνομοιομερῆ λεγόμενα ἢ τὰ ὁμοιομερῆ. ἀλλ᾽ ὡς συμπληρωτικὸν τῆς οὐσίας τοῦ πράγματος. τίνι δὲ διαφέρει μέρος στοιχείου εἴπομεν.

» ΤΟΤΕ γὰρ οἰόμεθα γινώσκειν ἕκαστον ὅταν τὰ αἴτια γνωρίσωμεν τὰ πρῶτα καὶ τὰς ἀρχὰς τὰς
» πρώτας καὶ μέχρι τῶν στοιχείων.

Ἀρχὰς πρώτας φησὶ καὶ αἴτια, ἤτοι ἵνα ἀπὸ τῶν πρωτίστων ἀρχῶν ἀρξώμεθα. καὶ οὕτω μέχρι τῶν προσεχεστάτων καταντήσωμεν. τῷ γὰρ ὄντι, τότε ἀκριβῶς ἕκαστον γνωσόμεθα ὅταν καὶ τὰς πρωτίστας αὐτοῦ ἀρχὰς γνῶμεν καὶ τὰς μέσας καὶ τὰς προσεχεῖς καὶ συγκατατεταγμένας. ὅπερ ἐδήλωσε διὰ τοῦ εἰπεῖν καὶ μέχρι τῶν στοιχείων. καὶ γὰρ τὸ προσεχὲς ποιητικὸν αἴτιον τῶν φυσικῶν πραγμάτων, αὐτὴν λέγω ἡ φύσις, συγκατατέτακται τῷ πράγματι καὶ στοιχεῖον αὐτοῦ ἐστι δι᾽ ὅλου αὐτοῦ διήκουσα. ἢ ἀρχὰς πρώτας τὰς ἑκάστου πρώτας ἀκουστέον. τοῦτο γὰρ καὶ αὐτὸς ἐδήλωσεν εἰπών, τότε γὰρ γνωσόμεθα ἕκαστον. γνωσόμεθα γὰρ τὰ ἐν μετεώροις συνιστάμενα ὅταν τὰς αὐτῶν πρωτίστας ἀρχὰς ὡς μετεώρων γνῶμεν, ὅτι ὕλην μὲν ἔχει τήνδε, εἶδος δὲ τόδε. ποιητικὸν δὲ αἴτιον τόδε, καὶ τελικὸν ὁμοίως. τὸ γὰρ τὴν πρωτίστην ὕλην γνῶναι οὐκ ἔστιν ἁπλῶς ὡς μετεώρων ἀρχὰς γνῶναι, ἀλλ᾽ ἁπλῶς ὡς σωμάτων. ὅταν οὖν τὰς ἑκάστου ἰδιαζούσας ἀρχὰς γνῶμεν ποιητικάς τε καὶ τελικάς, ἀφικώμεθα δὲ καὶ μέχρι τῆς τῶν στοιχείων αὐτῶν γνώσεως τῆς, τε ἰδίας αὐτῶν φημὶ ὕλης καὶ τοῦ εἴδους, τότε τῷ ὄντι τὴν ἀκριβῆ ἑκάστου γνῶσιν ἔχομεν.

» ΔΗΛΟΝ ὅτι καὶ τῆς περὶ φύσεως ἐπιστήμης, πειρατέον διορίσασθαι πρῶτον τὰ περὶ τὰς ἀρχάς.

Εἴπομεν ὅτι ὁ Ἀριστοτέλης τὸ συμπέρασμα τοῦ συλλογισμοῦ προεῖπεν ὅπερ ἦν, τὰ φυσικὰ ἄρα πράγματα γινώσκεται ἐγνωσμένων τῶν ἀρχῶν, τὸ ἀκόλουθον τῷ συμπεράσματι τίθησι. τοῦτο δέ ἐστιν ὅτι εἰ τὰ φυσικὰ γινώσκεται τῶν ἀρχῶν ἐγνωσμένων, πειρατέον δηλονότι διορίσασθαι περὶ τῶν φυσικῶν ἀρχῶν τοῖς γε ταῦτα γνῶναι βουλομένοις.

» ΠΕΦΥΚΕ δὲ ἐκ τῶν γνωριμωτέρων ἡμῖν ἡ ὁδὸς, καὶ σαφεστέρων ἐπὶ τὰ σαφέστερα τῇ φύσει,
» καὶ γνωριμώτερα. οὐ γὰρ ταὐτὰ ἡμῖν τε γνώριμα, καὶ ἁπλῶς. διόπερ ἀνάγκη τὸν τρόπον τοῦτον προάγειν ἐκ τῶν ἀσαφεστέρων μὲν τῇ φύσει, ἡμῖν δὲ σαφεστέρων, ἐπὶ τὰ σαφέστερα τῇ φύσει, καὶ γνωριμώ-
» τερα. ἔστι δ᾽ ἡμῖν τὸ πρῶτον δῆλα καὶ σαφῆ τὰ συγκεχυμένα μᾶλλον.

Εἰρηκὼς ἐν τῷ προτέρῳ προοιμίῳ, ὅτι τὴν περὶ φύσεως ἐπιστήμην οὐκ ἄλλως ἕξομεν ἢ τὰς ἀρχὰς αὐτῆς ἐγνωκότες. τὰ γὰρ φυσικά φησι πράγματα ἔχουσιν ἀρχὰς ἢ αἴτια ἢ στοιχεῖα. πᾶσα δὲ μέθοδος ἀρχὰς ἔχουσα ἢ αἴτια ἢ στοιχεῖα γινώσκεται τῶν ἀρχῶν ἐγνωσμένων, νῦν βούλεται εἰπεῖν τίς ἐστιν ὁ τρόπος τῆς τῶν ἀρχῶν γνώσεως. ἰστέον οὖν ὅτι αὐτὸς εἶπεν ἐν τῇ ἀποδεικτικῇ ὅτι δύο τρόποι εἰσὶ τῆς ἐπιστημονικῆς γνώσεως. πρῶτος μὲν ὁ ἀποδεικτικός. δεύτερος δὲ ὁ διδασκαλικός. οὗτοι δὲ ἐναντίως ἔχουσι πρὸς ἀλλήλους. ὁ μὲν γὰρ ἀποδεικτικὸς ἐκ τῶν πρώτων τῇ φύσει καὶ ἀρχικωτέρων ἀποδείκνυσι τὰ δεύτερα. ὁ δὲ διδασκαλικὸς ἀποδεικτικός τις ὢν καὶ αὐτὸς, κατὰ δευτέραν μοῖραν ἀποδείξεως, ἐκ τῶν ὑστέρων τῇ φύσει, τὰ πρότερα ἀποδείκνυσιν. ὃν καὶ τεκμηριώδη καλεῖ. οἷον εἴ τις ἰδὼν καπνὸν, εἴποι πῦρ εἶναι ἐνταῦθα. ἐκ γὰρ τοῦ τῇ φύσει ὑστέρου, τὸ πρότερον κατεσκεύασε. κεχρήμεθα δὲ τούτῳ τῷ διδασκαλίας τρόπῳ ἐπὶ πολλῶν, τῷ μὴ δύνασθαι τῷ ἀποδεικτικωτέρῳ τε καὶ προτέρῳ χρήσασθαι, διὰ τὸ, τὴν φύσιν τῶν πραγμάτων πολλάκις οὕτω ἔχειν. ἢ διὰ τὸ μὴ ἔχειν ἀρχικώτερα. ἢ διὰ τὸ ἔχειν μὲν, ἀσαφέστερα δὲ ἡμῖν εἶναι καὶ ἀγνωστότερα. οὕτω γοῦν καὶ αὐτὸς ἐν τῇ περὶ οὐρανοῦ βουλόμενος ἀποδεῖξαι ὁποῖον τί ἐστι τὸ τῆς σελήνης σχῆμα, ἐκ τῶν φωτισμῶν αὐτῆς κατεσκεύασεν ὅτι σφαιρικόν. φαίνεται γὰρ γινομένη δὶς μηνοειδής. δὶς διχότομος. δὶς ἀμφίκυρτος. ἅπαξ πανσέληνος. τούτους δὲ τοὺς φωτισμούς, ἀδύνατον ἄλλῳ τινὶ σχήματι ἢ τῷ σφαιρικῷ ὑπάρξαι. ἐνταῦθα οὖν τεκμηριωδῶς ἐκ τῶν ὑστέρων τῇ φύσει, τῶν φωτισμῶν λέγω, τὸ τῇ φύσει πρότερον τὸ σχῆμα ἀπέδειξε. δέον ἐκ τοῦ δεῖξαι, ὅτι ἐκ τῆς πέμπτης ἐστὶν οὐσίας, διὰ τοῦτο ἀνάγκη σφαιρικὴν εἶναι. ἀδύνατον γὰρ ἀΐδιόν τι σῶμα εἶναι, μὴ σφαιρικὸν ὄν. εἶτα ἐκ τοῦ σφαιρικὸν σῶμα εἶναι τῆς σελήνης, διὰ τοῦτον δεῖξαι, ὅτι ἀνάγκη πᾶσα οὕτω φωτίζεσθαι. τοῦτο γὰρ ἦν ἀκολουθότερον. τὸ ἐκ τῶν ἀρχικωτέρων κατασκευάζειν τὰ ὕστερα. ἀλλ᾽ ἐπειδὴ γνωριμώτεροι ἡμῖν εἰσιν οἱ τῆς σελήνης φωτισμοί, τοῦ σχήματος αὐτῆς καὶ τῆς οὐσίας, εἰκότως ἐκ σαφεστέρων τὰ ἀσαφέστερα κατασκευάζει. ἀλλὰ καὶ ὅταν περὶ τῶν καθολικωτέρων γενῶν διδάσκῃ, ἐκ τῶν ὑστέρων τῇ φύσει διδάσκει περὶ αὐτῶν, ὑπογραφὰς καὶ οὐχ ὁρισμοὺς αὐτῶν ἀποδιδούς.

σκευάσαι τὴν πρότασιν. ἢ προσθεὶς τὴν μείζονα, ὅτι πᾶν ὃ ἔχει ἀρχὰς ἢ αἴτια ἢ στοιχεῖα, γινώσκεται τούτων ἐγνωσμένων, οὕτω συνάγει, ὅτι τὰ φυσικὰ ἄρα πράγματα γινώσκεται, τῶν ἀρχῶν ἐγνωσμένων. ἀρχὰς δὲ τῶν πραγμάτων τούτων, πλάτων μὲν ἓξ φησὶν εἶναι. ὕλην. εἶδος. ποιητικὸν αἴτιον. παραδειγματικόν. ὀργανικόν. τελικόν. καὶ καλεῖ τὴν μὲν ὕλην ἐν τιμαίῳ. μητέρα γὰρ αὐτὴν καλεῖ καὶ δεξαμενὴν καὶ τιθήνην. τὸ δὲ εἶδος, ὅτι τοῦτο γάρ ἐστι τὸ ἑκάστου τῶν πραγμάτων χαρακτηριστικόν, οὐχ ἡ ὕλη, μία καὶ ἡ αὐτὴ οὖσα πάντων. τὸ δὲ ποιητικόν, ὑφ' οὗ. τὸ ὀργανικόν, δι' οὗ. τὸ παραδειγματικόν, πρὸς ὅ. τὸ τελικόν, δι' ὅ. τούτων δὲ τῶν ἓξ τὰ μὲν τρία, συναίτια καλεῖ. τὰ δὲ τρία αἴτια. τὸ μὲν γὰρ ποιητικὸν καὶ τὸ τελικὸν καὶ τὸ παραδειγματικὸν αἴτια καλεῖ ὡς ἐξῃρημένα καὶ κύρια ὄντα τῆς ἑαυτῶν ἐνεργείας. τὴν δὲ ὕλην καὶ τὸ εἶδος καὶ τὸ ὄργανον συναίτια. διότι μὴ ἐπικύρια τῆς ἑαυτῶν ἐνεργείας. ὁ μὲν οὖν πλάτων ὡς εἴπομεν ἓξ φησὶν εἶναι τὰς τῶν ὄντων ἀρχάς. ὁ δὲ ἀριστοτέλης τέσσαρας. ὕλην. εἶδος. ποιητικὸν αἴτιον. τελικόν. τὸ γὰρ ὀργανικὸν καὶ παραδειγματικὸν ὡς φυσιολόγος παρῆκεν. οὐ γὰρ πρὸς παράδειγμα ἡ φύσις ποιεῖ. ζωὴ γάρ τις οὖσα, οὕτω ποιεῖ, οὐχὶ δὲ γνῶσίς τις, ὡς ὁ νοῦς. ὁ οὖν τοιοῦτος φυσικός, τοῦ παραδειγματικοῦ καὶ τοῦ ὀργανικοῦ αἰτίου οὐ μεμνήσεται. ἔστι γὰρ καὶ φυσιολογεῖν θεολογικῶς, ὡς ὁ πλάτων ἐν τῷ τιμαίῳ περὶ τῶν ἐξῃρημένων αἰτίων τῶν φυσικῶν πραγμάτων διαλεγόμενος. καὶ θεολογεῖν φυσικῶς, ὥσπερ ὁ ἀριστοτέλης ἐν τῇ μετὰ τὰ φυσικὰ ἐκ τῶν φυσικῶν πραγμάτων τὴν διδασκαλίαν τῶν θείων ποιούμενος. ὁ οὖν τοιοῦτος φυσιολόγος, λέγω δὴ ὁ περὶ τῶν συντεταγμένων αἰτίων τοῖς φυσικοῖς πράγμασι διαλεγόμενος, οὔτε τοῦ παραδειγματικοῦ αἰτίου δεήσεται διὰ τὴν εἰρημένην αἰτίαν, οὔτε τοῦ ὀργανικοῦ διὰ τὸ κοινῶς περὶ πάντων τῶν φυσικῶν αἰτίων καὶ τῶν πρωτίστων ποιεῖσθαι τοὺς λόγους. εἰ μὲν γὰρ περί τινος φυσικοῦ ἦν αὐτῷ ὁ λόγος, ὥσπερ τυχὸν τοῖς ἰατροῖς περὶ τῶν ἀνθρωπίνων σωμάτων ἠδύνατο λέγειν ὄργανον εἶναι τῆς φύσεως, τὰς κράσεις τυχὸν ἢ τὸ ἔμφυτον θερμὸν ἤ τι τοιοῦτον. δι' αὐτῶν γὰρ ποιεῖ ἡ φύσις τὰ ἴδια ἔργα. ἐπειδὴ δὲ καὶ αὐτῶν τῶν κρατίστων καὶ τῶν πρωτίστων στοιχείων, λέγω δὴ τῶν τεσσάρων τὰ αἴτια ζητεῖ, εἰκότως οὐ παραλήψεται ὀργανικὸν αἴτιον. οὐ γὰρ διά τινος ὀργάνου ἡ φύσις συνίστησι τὰ πρώτιστα στοιχεῖα. ἀλλ' ἀμέσως, ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους αὐτὰ δημιουργεῖ. καλεῖ δὲ ὁ ἀριστοτέλης τὴν μὲν ὕλην ἐξ οὗ. τὸ δὲ εἶδος, καθ' ὅ. κατ' αὐτὸ γὰρ καὶ χαρακτηρίζονται τὰ πράγματα καὶ λέγονται. τὸ δὲ ποιητικόν, ὅτι ἐστὶν ἡ ἀρχὴ τῆς κινήσεως. τὸ δὲ τελικόν, ὁμοίως τῷ πλάτωνι, δι' ὅ. ἀρχὰς δὲ καὶ αἴτια ἤτοι ἐκ παραλλήλου τὸ αὐτὸ λέγει. ἢ ἀρχὰς μὲν καὶ αἴτια τὸ ποιητικὸν εἶπε καὶ τὸ τελικόν. στοιχεῖα δὲ τὰ λοιπὰ δύο, τὸ ὑλικὸν καὶ τὸ εἰδικόν. ἢ τὴν μὲν ἀρχὴν κοινῶς ἐπὶ πάντων κατηγορεῖ. φαίνεται γοῦν ἕκαστον αὐτῶν ἀρχὴν καλῶν πανταχοῦ. ἀνάγκη δέ φησιν ἤτοι μίαν τὴν ἀρχὴν εἶναι ἢ πλείους. περὶ τῶν φυσικῶν ἀρχῶν λέγων. καὶ πάλιν, ὅτι μὲν οὖν ἐναντίας γε δεῖ εἶναι τὰς ἀρχάς, δῆλον. περὶ ὕλης καὶ εἴδους λέγων. καὶ πάλιν περὶ τῆς αὐτῆς, μία μὲν οὖν ἀρχή, αὐτὴν τὴν ὕλην λέγων. ἑτέρα δὲ ἧς ὁ λόγος τὸ εἶδος. αἴτια δέ ἐστι τὸ ποιητικὸν καὶ τὸ τελικόν. στοιχεῖα δὲ ἐπὶ τῶν λοιπῶν δύο τῆς ὕλης καὶ τοῦ εἴδους. τὸ δὲ ὧν εἰσιν ἀρχαὶ προσέθηκε, διότι οὐ πᾶσα ἐπιστήμη ἢ μέθοδος οἰκείαις ἀρχαῖς χρῆται. ἀλλ' εἰσί τινες ταῖς τῶν ἑτέρων ἐπιστημῶν ἀρχαῖς χρώμεναι. οἵα ἐστὶν ἡ διαλεκτική. ἥτις πάσας ὑποδύεται τὰς ἐπιστήμας. πειρᾶται γὰρ καὶ ἰατρικὰ ἀποδεικνύναι θεωρήματα ταῖς ἰατρικαῖς ἀρχαῖς χρωμένη. καὶ μαθηματικὰ ταῖς μαθηματικαῖς. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. αὕτη οὖν ἡ μέθοδος ἡ διαλεκτικὴ οὐκ οἰκείας ἀρχὰς ἔχουσα ἀλλὰ ταῖς ἀλλοτρίαις χρωμένη, οὕτω ἐνεργεῖ περὶ τὰ ὑποκείμενα. τοιαύτη ἐστὶ καὶ ἡ ῥητορική. ἀεὶ ταῖς τῶν ἄλλων ἐπιστημῶν ἀρχαῖς χρωμένη, καὶ οὕτω κατασκευάζουσα τὸ προκείμενον. διὸ καὶ ἀντίστροφος εἶναι λέγεται τῇ διαλεκτικῇ. διότι ὁμοίως ἀμφότεραι στρέφονται περὶ τὰ αὐτά. μέθοδος δέ ἐστιν, ἕξις ὁδοποιητικὴ μετὰ λόγου. ἐπειδὴ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους. εἴπομεν ὡς ὅτι τοῦ συλλογισμοῦ τὴν μείζονα θεὶς πρότασιν, παρῆκε τὴν ἐλάττονα, καὶ τὸ συμπέρασμα. ἔστιν οὖν εὐθὺς ἐν προοιμίοις ἡ μείζων πρότασις. διόπερ ἵνα σαφέστερον ἐπιστήσωμεν τῷ λεγομένῳ, δεῖ τὸν ἐπειδὴ σύνδεσμον ἀφελεῖν. καὶ οὕτως, τὸ ῥητὸν ἀναγνῶναι, τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα, ἐκ τοῦ ταῦτα γνωρίζειν. οὕτω γὰρ σαφεστέρα ἡ καθόλου πρότασις. ἢ οὕτως. περὶ πάσας τὰς μεθόδους ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει ἐκ τοῦ ταῦτα γνωρίζειν. εἶτα λαβόντας τὸν ἐπειδὴ σύνδεσμον προσθεῖναι ἔξωθεν τῇ ἐλάττονι προτάσει. ἐπειδὴ οὖν καὶ τῶν φυσικῶν πραγμάτων εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, καὶ τὰ φυσικὰ ἄρα γνωσόμεθα, ἐγνωκότες τὰς ἀρχὰς αὐτῶν καὶ τὰ αἴτια καὶ τὰ στοιχεῖα. εἶτα λοιπὸν τὸ ἀκολουθοῦν τῷ συμπεράσματι ἀναγνῶναι, τό, δῆλον οὖν ὅτι καὶ τῆς περὶ φύσεως ἐπιστήμης καὶ τὰ ἑξῆς. ταῦτα μὲν οὖν περὶ τῆς τοῦ ῥητοῦ συντάξεως. τὸ μέντοι εἰδέναι καὶ τὸ ἐπίστασθαί τινες οὐκ ἐκλαμβάνουσιν ὡς ταυτὸν δηλοῦν, ἀλλὰ τὸ μὲν εἰδέναι ἐπὶ τῆς ἁπλῆς γνώσεως τῆς ἄνευ ἀποδείξεως. τὸ δὲ ἐπίστασθαι, ἐπὶ τῆς μετὰ ἀποδείξεως. οἱ δέ, ἐκ παραλλήλου ἄμφω λαμβάνουσι ταυτὸν σημαίνοντα. καὶ ὁ πλάτων δὲ τὸ εἰδέναι ἐπὶ τῆς ἀκριβεστάτης καὶ ἐπιστημονικῆς γνώσεως ἄγει. ἐν γὰρ τῷ φαίδωνί φησι. τὸ γὰρ εἰδέναι τοῦτό ἐστι λαμβάνοντα τὸ ἐπιστήμην ἔχειν καὶ μὴ ἀποβεβληκέναι. ὧν εἰσιν ἀρχαὶ ἢ αἴτια ἢ στοιχεῖα. εἰ μὲν τὸν ἢ σύνδεσμον διαζευκτικὸν λάβωμεν, καθολικωτέρα καὶ ἐπὶ πλειόνων γίνεται ἡ πρότασις. τὰ γὰρ μὴ φυσικὰ ἀλλὰ λογικὰ καὶ νοερά, ἀρχὰς μὲν ἔχει καὶ αἴτια. στοιχεῖα δὲ οὐκ ἔχει. ἐὰν δὲ παραδιαζευκτικὸν λάβωμεν τὸν ἢ ἀντὶ τοῦ καί, ἐπὶ τῶν φυσικῶν μόνων χωρήσει ὁ λόγος. ὧν εἰσιν αἱ ἀρχαί, καὶ αἴτια καὶ στοιχεῖα. στοι-

ρη συνεστάναι. ἔστι γὰρ τοιαῦτά τινα ἐν τῷ παντί, ἃ καθόλου μὲν συστῆναι οὐ δύναται, κατὰ μέρη δὲ ὑφέστηκεν· ὥσπερ λέγομεν ὑφεστάναι τὴν ἡμετέραν, οὐ τῷ ὅλην ἅμα εἶναι, ἀλλὰ τῷ κατὰ μέρη. ὁμοίως δὲ καὶ τὸν ἀγῶνα ὑφεστηκέναι λέγομεν οὐ τῷ ὅλον ἅμα συνεστάναι, ἀλλὰ τῷ κατὰ μέρος πυγμὴν φέρε εἰπεῖν ἢ πάλην ἢ τῶν ἄλλων τι. οὕτως δὲ καὶ τὸ ἄπειρον δείκνυσι· πῇ μὲν, ὄν· πῇ δὲ, οὐκ ὄν. καθόλου μὲν γὰρ οὐκ ἔστι δείκνυσι· κατὰ μέρη δὲ τῷ γίνεσθαι ἀεὶ τὰ πράγματα καὶ ἐπ' ἄπειρον. ἡ δὲ στέρησις παρακολουθεῖ μὲν, καὶ αὐτὴ τοῖς φυσικοῖς· οὐ πᾶσι δέ· ἀλλὰ τοῖς ἐν γενέσει καὶ φθορᾷ μόνοις· ταῦτα γὰρ πέφυκε παρὰ μέρος πῇ μὲν τοῦ εἴδους· πῇ δὲ τῆς στερήσεως μετέχειν. περὶ μὲν οὖν τῶν παρακολουθούντων τοῖς φυσικοῖς, τοσαῦτα. ἐν δὲ τῷ πρώτῳ βιβλίῳ ἀνασκευάζει καὶ τὰς τῶν παλαιοτέρων περί των φυσικῶν ἀρχῶν δόξας· καὶ διδάσκει περὶ τοῦ εἴδους καὶ τῆς ὕλης, ἐν δὲ τῷ δευτέρῳ περὶ τοῦ εἴδους· διαλέγεται δὲ καὶ περὶ τῆς ὕλης· ὥσπερ καὶ ἐν τῷ πρώτῳ περὶ τοῦ εἴδους· ἀλλὰ μᾶλλον ἐν τῷ πρώτῳ περὶ τῆς ὕλης, ἤπερ τοῦ εἴδους. ὡς καὶ ἐν τῷ δευτέρῳ περὶ τοῦ εἴδους μᾶλλον ἤπερ τῆς ὕλης. ἐν δὲ τῷ τρίτῳ διδάσκει περὶ κινήσεως καὶ ἀπείρου. ἐν δὲ τῷ τετάρτῳ περὶ τόπου· χρόνου· κενοῦ· ἐν δὲ τοῖς λοιποῖς τέτρασι περὶ κινήσεως καὶ πάντων καὶ τῶν παρακολουθούντων αὐτῇ. ἀμέλει καὶ αὐτὸς ὁ Ἀριστοτέλης ὁπηνίκα βούλεται ταῦτα τὰ βιβλία σημᾶναι, οὕτω φησίν, ὅτι εἴρηται ὑμῖν ἐν τοῖς περὶ κινήσεως.

ΕΠΕΙΔΗ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι συμβαίνει περὶ πάσας τὰς μεθόδους ὧν εἰσιν ἀρχαί, ἢ αἴτια, ἢ στοιχεῖα ἐκ τοῦ ταῦτα γνωρίζειν.

Ἔθος τῷ Ἀριστοτέλει ἀπὸ κοινῶν τινῶν ἀξιωμάτων ἄρχεσθαι τῶν πραγματειῶν. οὕτω γοῦν καὶ ἐν τῇ μετὰ τὰ φυσικά, ἀπό τινος κοινοῦ ὁμολογήματος ἤρξατο· πάντες γάρ φησιν ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει· σημεῖον δὲ ἡ τῶν αἰσθήσεων ἀγάπησις. καὶ ἐν τῇ ἀποδεικτικῇ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις ἐκ προϋπαρχούσης γίνεται γνώσεως. καὶ ἐν ἠθικοῖς πᾶσα τέχνη καὶ πᾶσα μέθοδος· ὁμοίως δὲ πρᾶξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ. οὕτως οὖν καὶ ἐνταῦθα ἀπὸ κοινοῦ τινὸς ἀξιώματος, τὴν ἀρχὴν ποιεῖται. ἔστι δὲ τὸ ἀξίωμα τοιοῦτον· πᾶσα ἐπιστήμη ἔχουσα ἀρχάς· ἢ αἴτια· ἢ στοιχεῖα, γινώσκεται τῶν ἀρχῶν γνωσθεισῶν καὶ αἰτίων καὶ στοιχείων. ἐπεὶ οὖν καὶ τῶν φυσικῶν πραγμάτων εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα, τότε γνωσόμεθα αὐτὰ ὅταν τὰς ἀρχὰς αὐτῶν καὶ τὰ αἴτια καὶ τὰ στοιχεῖα γνῶμεν. ἔστι δὲ ὁ ὅλος συλλογισμὸς τοιοῦτος. τῆς περὶ φύσεως ἐπιστήμης εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. πᾶσα ἐπιστήμη ἧσπερ εἰσὶν ἀρχαὶ ἢ αἴτια, ἢ στοιχεῖα, γινώσκεται τῶν ἀρχῶν καὶ αἰτίων καὶ στοιχείων ἐγνωσμένων· καὶ ἡ περὶ φύσεως ἄρα ἐπιστήμη γνωσθήσεται, ἐγνωσμένων τῶν ἀρχῶν καὶ αἰτίων καὶ στοιχείων. καὶ μένει πᾶς ὁ συλλογισμὸς τοιοῦτος. αὐτὸς δὲ διὰ συντομίαν, τὴν μείζονα θεὶς πρότασιν· τὴν λέγουσαν ὅτι πᾶσα μέθοδος ἧσπερ εἰσὶν ἀρχαὶ ἢ αἴτια, ἢ στοιχεῖα· γινώσκεται ἐγνωσμένων τῶν ἀρχῶν καὶ αἰτίων καὶ στοιχείων, τὴν ἐλάττονα παραλιμπάνει· ὅτι τῆς φυσιολογίας εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. παραλιμπάνει δέ, καὶ τὸ συμπέρασμα. τίθησι δὲ μόνον τὸ ἀκολουθοῦν τῷ συμπεράσματι. τὸ μὲν γὰρ συμπέρασμα ἦν· καὶ ἡ φυσιολογία ἄρα γνωσθήσεται τῶν ἀρχῶν γνωσθεισῶν, τούτῳ οὖν ἀκόλουθον τίθησι. τοῦτο δέ ἐστιν ὅτι ἐπειδὴ ἡ φυσιολογία γινώσκεται, τῶν ἀρχῶν γνωσθεισῶν ὅπερ ἐκ τοῦ συλλογισμοῦ συνεπεράνθη, πειρατέον διορίσαι τὰς ἀρχὰς τῆς φυσιολογίας. ὁ μὲν οὖν Ἀριστοτέλης οὕτως. Θεόφραστος δὲ καὶ ὅλον τὸν συλλογισμὸν ἔθηκεν ἐν τῇ ἰδίᾳ περὶ φύσεως πραγματείᾳ· παραμυθίας τινὸς ἀξιώσας καὶ τὴν ἐλάττονα πρότασιν· τήν, ὅτι περ τῆς φυσιολογίας εἰσὶν ἀρχαὶ καὶ αἴτια καὶ στοιχεῖα. τοῦτο γὰρ οὐ πρόδηλον. κατασκευάζει οὖν αὐτὴν τοῦτον τὸν τρόπον. τὰ φυσικά φησι πράγματα, ἢ σώματά ἐστιν ἢ ἐν σώματι τὸ εἶναι ἔχει. οἷον αἱ ῥοπαὶ καὶ αἱ δυνάμεις καὶ τὰ ὅμοια. πάντα δὲ τὰ σώματα, καὶ τὰ ἐν σώματι τὸ εἶναι ἔχοντα, σύνθετά ἐστι. καὶ ὅτι μὲν τὰ σώματα σύνθετα, πρόδηλον. συνθέτους δέ φησι καὶ τὰς δυνάμεις τὰς ἐν ὑποκειμένοις τοῖς σώμασι τὸ εἶναι ἐχούσας. καὶ ἁπλῶς πάντα τὰ ἐν ὑποκειμένῳ εἴδη. πρῶτον μὲν τῷ ἐκ γενῶν εἶναι καὶ διαφορῶν. ἔπειτα δὲ καὶ κατὰ τὸν ὁριστικὸν λόγον θεωρούμενα ἁπλᾶ ἐστιν, ἀλλ' ὁ ὁριστικὸς λόγος οὐκ ἐνυπάρχει, ἀλλ' ἐν μόνῃ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει. ὡς μέντοι ἐνυπόστατα ὄντα μετὰ τοῦ ὑποκειμένου θεωρεῖται. ἡ γὰρ ἐνεργείᾳ οὖσα ὄψις, οὐκ ἔστιν αὐτὴ ἡ δύναμις μόνον· ἀλλὰ μετὰ τοῦ ὀπτικοῦ πνεύματος. ἄλλως τε καὶ οἱ φυσικοὶ ὡς φυσικὰ καὶ ἐν ὑπάρξει πράγματα αὐτὰ θεωροῦντες, μετὰ τοῦ ὑποκειμένου, αὐτὰ θεωροῦσιν. ὁ γὰρ ὁριστικὸς αὐτῶν ὡς εἶπον λόγος, ἐν μόνῃ τῇ ἐπινοίᾳ τὸ εἶναι ἔχει. ταύτῃ οὐδὲ ἰδέας αὐτῶν εἶναι βούλεται ὁ Ἀριστοτέλης, τῷ τὰ φυσικὰ εἴδη μὴ ὑφίστασθαι ἐξῃρημένα σωμάτων. ἀλλ' ἐν ψιλῇ μόνον εἶναι ἐπινοίᾳ. ἄλλως τε οὐδὲν διοίσει ταῦτα τοῦ εἴδους τοῦ σώματος. ὥσπερ οὖν καὶ τοῦτο κατὰ μὲν τὸν ἴδιον λόγον ἁπλοῦν ἐστι· τὸ τριχῇ λέγω διαστατόν. πρὸς μέντοι τὴν ὕπαρξιν, αὐτοῦ χρεία. καὶ οὕτω λοιπὸν τὸ ἐν ὑπάρξει σῶμα οὐκ ἔστιν ἁπλοῦν ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ εἴδους. οὕτω κἀπὶ τούτων ἔχει. κατὰ μὲν γὰρ τὸν ἴδιον αὐτῶν λόγον θεωρούμενα, ἁπλᾶ ἐστιν. ὅταν μέντοι ὡς ὑπάρχοντα καὶ ἐνεργείᾳ αὐτὰ ὄντα θεωρήσωμεν, μετὰ τοῦ ὑποκειμένου σώματος αὐτὰ θεωροῦμεν. καὶ οὕτως οὐχ ἁπλᾶ ἐστιν, ἀλλὰ σύνθετα. εἰ τοίνυν τὰ φυσικὰ πράγματα ἢ σώματά ἐστιν, ἢ ἐν σώματι τὸ εἶναι ἔχει, ταῦτα δὲ σύνθετα· τὰ φυσικὰ ἄρα πάντα πράγματα, σύνθετά ἐστι. πάντα δὲ τὰ σύνθετα, στοιχεῖα καὶ αἴτια καὶ ἀρχὰς ἔχει. οὕτω μὲν οὖν τὴν ἐλάττονα κατε

σκεύασε

IC.

ΙΩΑΝΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΟΥ φιλοπόνου εἰς τὸ περὶ φυσικῆς ἀκροάσεως τοῦ Ἀριστοτέλους ἀποσημειώσεις, ἐκ τῶν συνουσιῶν τοῦ Ἀμμωνίου τοῦ Ἑρμείου μετά τινων ἰδίων ἐπιστάσεων.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΔΥΟ ΜΕΡΩΝ ὄντων τῆς φιλοσοφίας κατὰ ἀριστοτέλην, τοῦ τε θεωρητικοῦ καὶ πρακτικοῦ, περὶ τὸ θεωρητικὸν μάλιστα τὴν πᾶσαν σπουδὴν κατεβάλετο ἀριστοτέλης. τούτῳ γὰρ τὴν τῶν ὄντων φύσιν, ᾗ ὄντα, γινώσκομεν. τοῦ δὲ θεωρητικοῦ εἰς τρία μέρη διῃρημένου, τὸ φυσιολογικὸν, τὸ θεολογικὸν, καὶ τὸ μαθηματικὸν, περὶ τὸ φυσιολογικὸν μάλιστα κατεγένετο, ὡς σύστοιχον μᾶλλον τῇ φύσει τῇ ἡμετέρᾳ. καὶ ὅτι τὸ μὲν θεολογικὸν καὶ μαθηματικὸν, παρὰ πολλοῖς λίαν καὶ πρὸ ἀριστοτέλους ἐξειργασμένα· τὸ δὲ φυσιολογικὸν οὐχ οὕτως. ὅθεν καὶ πλείστας ὁ ἀριστοτέλης φυσικὰς πραγματείας συνέγραψε. καὶ συνδιεῖλε τοῖς φυσικοῖς πᾶσιν ὡς εἰπεῖν πράγμασι, τὸ τῶν ἑαυτοῦ συγγραμμάτων πλῆθος. ἵνα δὲ τοῦτο δείξωμεν, εὔλογον ἂν εἴη τῶν παρακολουθούντων τοῖς φυσικοῖς πράγμασι, διαίρεσιν ποιήσασθαι. μαθησόμεθα γὰρ οὕτως ὅτι καὶ αἱ τοῦ ἀριστοτέλους πραγματεῖαι ἀκολούθως τοῖς φυσικοῖς συνδιῃρέθησαν πράγμασι. Τὰ μὲν, κοινῶς ἅπασι παρακολουθεῖ, τὰ δὲ, ἰδίᾳ τισί. καὶ τῶν ἰδίᾳ τισὶ παρακολουθούντων, τὰ μὲν, τοῖς ἀϊδίοις ἰδίᾳ ὑπάρχει. τὰ δὲ, τοῖς ἐν γενέσει καὶ φθορᾷ. καὶ τῶν ἐν γενέσει καὶ φθορᾷ ὑπαρχόντων, τὰ μὲν, τοῖς ὑπὲρ τὴν γῆν ἰδίᾳ ὑπάρχει. τὰ δὲ, τοῖς ἐν τῇ γῇ. καὶ τῶν τοῖς ἐν τῇ γῇ ὑπαρχόντων, τὰ μὲν, ἰδίᾳ τοῖς ἀψύχοις ὑπάρχει. τὰ δὲ, τοῖς ἐμψύχοις. καὶ τῶν τοῖς ἐμψύχοις ὑπαρχόντων, τὰ μὲν, τοῖς αἰσθητοῖς ἰδίᾳ ὑπάρχει. τὰ δὲ, τοῖς ἀναισθήτοις. γέγραπται οὖν αὐτῷ περὶ τῶν κοινῶς πᾶσι τοῖς φυσικοῖς ὑπαρχόντων, ἥτις ἐστὶν ἡ προκειμένη πραγματεία. καὶ περὶ τῶν ἰδίᾳ τοῖς ἀϊδίοις ὑπαρχόντων, ἐν τοῖς περὶ οὐρανοῦ. καὶ περὶ τῶν κοινῇ πᾶσι τοῖς ἐν γενέσει καὶ φθορᾷ παρακολουθούντων, ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς. ἐν δὲ τοῖς μετεώροις περὶ τῶν ἰδίᾳ τούτοις ὑπαρχόντων γέγραπται αὐτῷ, καὶ περὶ μετάλλων. τοιοῦτο δὲ, ἔστι καὶ ὁ τῶν μετεώρων τέταρτος. ἐν οἷς περὶ τῶν τοῖς ἀψύχοις παρεπομένων ἐδίδαξεν. αἱ δὲ περὶ ζώων καὶ φυτῶν πᾶσαι πραγματεῖαι, αἱ μὲν εἰσι περὶ τῶν ὡς ἐμψύχοις καὶ ἀναισθήτοις παρακολουθούντων, ὡς αἱ περὶ φυτῶν. αἱ δὲ, περὶ τῶν ὡς ἐμψύχοις καὶ αἰσθητικοῖς, ὡς αἱ περὶ τῶν ζώων πᾶσαι πραγματεῖαι καὶ ἱστορίαι. τούτοις δὲ αὐτοῖς τοῖς ζώοις, τὰ μὲν, ὡς ὅλοις παρακολουθεῖ. τὰ δὲ, τοῖς μέρεσιν αὐτῶν. περὶ μὲν οὖν τῶν ὡς ὅλοις ζώοις παρακολουθούντων, ἐν τῇ περὶ ζώων διείλεκται. περὶ δὲ τῶν τοῖς μέρεσιν αὐτῶν παρακολουθούντων, ἔν, τε τοῖς περὶ μορίων ζώων, καὶ ἐν τοῖς περὶ κινήσεως ζώων. καὶ τὰ περὶ ὕπνου δὲ καὶ ἐγρηγόρσεως, περὶ ζωῆς τε καὶ θανάτου καὶ τὰ παραπλήσια τούτοις, εἰς τὴν περὶ ζώων συντείνει θεωρίαν. καὶ προσέτι τὰ περὶ ψυχῆς. τοιαύτη μὲν οὖν ἡ πᾶσα περὶ φύσεως τοῦ ἀριστοτέλους πραγματεία. τὸ δὲ προκείμενον βιβλίον ἐστὶν ὡς εἴρηται, περὶ τῶν κοινῇ πᾶσι τοῖς φυσικοῖς πράγμασι παρακολουθούντων. διὸ καὶ ἰδίως φυσικὴν τὴν πραγματείαν ὀνόμασε. ταῦτα δέ ἐστι πέντε. ὕλη. εἶδος. τόπος. χρόνος. κίνησις. καὶ ἐν μὲν τοῖς πρώτοις τέτρασι βιβλίοις, διδάσκει περὶ τῶν τεσσάρων. ἐν δὲ τοῖς τελευταίοις τέτρασι, περὶ κινήσεως. ποικίλος γάρ ἐστιν ὁ περὶ κινήσεως λόγος. καὶ πολλὰ τούτῳ ἐστὶ τὰ παρακολουθήματα. ὅθεν καὶ τὴν ὅλην πολλάκις πραγματείαν περὶ κινήσεως ὀνομάζει, εἴρηται λέγων ἡμῖν ἐν τοῖς περὶ κινήσεως. τουτέστιν ἐν τῇ φυσικῇ, ἐκ τοῦ μέρους ὅλην πραγματείαν ὀνομάζων. κατά τινας δὲ τῶν φυσικῶν καὶ τὸ κενὸν καὶ τὸ ἄπειρον πᾶσι παρακολουθεῖ τοῖς φυσικοῖς πράγμασι. δημόκριτος τε γὰρ πάντα τὰ φυσικὰ πράγματα συνεστάναι ἔλεγεν ἐκ τῶν ἀτόμων τε καὶ τοῦ κενοῦ. καὶ ἀναξαγόρας πάλιν ἀπείρους ἐν ἑκάστῳ ἔλεγεν εἶναι τὰς ὁμοιομερείας. ἀλλὰ καὶ τὰς ἀτόμους ὁ δημόκριτος ἀπείρους εἶναι ὑπετίθετο. ἀλλ' ὅτι μὲν οὐδαμοῦ δυνατὸν εἶναι τὸ κενὸν, δείκνυσιν ἐν τῷ τετάρτῳ τῆς προκειμένης πραγματείας ὁ ἀριστοτέλης. Τὸ δὲ ἄπειρον ὅτι μὲν κατ' ἐνέργειαν εἶναι οὐ δύναται οὐδ' ὅλον ἅμα, ὁμοίως δείκνυσι. δυνάμει δὲ μόνον καὶ κατὰ μέ-

Ex Suda.

Iωάννης γραμματικὸς ἀλεξανδρεὺς, ὁ ἐπικληθεὶς φιλόπονος. τούτου συγγράμματα πάμπολλα, γραμματικὰ, φιλόσοφα, ἀριθμητικὰ, ῥητορικὰ, τῆς τε θείας γραφῆς, καὶ κατὰ τῶν δεκαοκτὼ προκλείων ἐπιχειρημάτων, καὶ κατὰ σευήρου. hoc est, Ioannes Grammaticus Alexandrinus cognomẽto Philoponus. Huius quam plurima in grammaticis, in philosophia, in Arithmetica, in rhetoricis, in diuinis opera. tum contra duodeuiginti Procli argumenta, & contra Seuerum.

Idem in dictione πρόκλος sic.

Oὗτός ἐστι πρόκλος, ὁ δεύτερος μετὰ πορφύριον κατὰ χριστιανῶν τὴν μιαρὰν, καὶ ἐφύβριστον αὐτοῦ γλῶτταν κινήσας, πρὸς ὃν ἔγραψεν ἰωάννης ὁ ἐπικληθεὶς φιλόπονος πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν δεκαοκτὼ ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ, καὶ ἀνόητον. Id est. hic is est Proclus, qui post Porphyrium in Christianos scelestam & contumeliosam suam linguam secundus mouit, aduersus quem Ioannes cognomento Philoponus scripsit, atq; egregie admodum duodeuiginti illius argumentis occurrit, ostenditq; eum in græcis quoq;, in quibus sibi maxime arrogabat, imperitum fuisse, ac fatuum.

GASPARI CONTARENO CARDINALI REVERENDISSIMO
VICTOR TRINCAVELVS, FELICITATEM.

m Aximo quidẽ gaudio & supra ferè q̃ dici possit Gaspar Reuerendissime nuncius ille me affecit, quo intellexere omnes te ad cardineam dignitatem fuisse electum à Paulo maximo illo uere inquã maximo Pontifice. quibus.n. aliis euidentioribus argumentis potuisset animum, aut maiorem, aut melius erga christianã remp. affectum ostẽdere, q̃ statim inter primos sui põtificatus annos eos uiros ea dignitate honestatos in successores sibi præparare, qui deinde suis & ipsi tẽporibus possent, quasi euãgelica illa lucerna super candelabrũ reposita pietatis, sapientiæ ac omniũ deniq; uirtutum exẽplis uniuersæ christianæ familiæ splendidissime illucere. uerũ id ego ingenue fateor, nõ fuisse in me tantã excitatam lætitiam cum te, præter expectationẽ, ad summũ ferè gradum in christiana ecclesia euectũ audiuissem, quantã ipsius rei magnitudo uidebatur postulare. Quoniã & si nomen tuũ pro tuis præclaris uirtutibus proq; innumeris officiis, quibus me arctissime deuinxisti, semper coluerim & ueneratus sim. semperq; mihi q̃gratissimus fuerit tuarũ re℞ felix successus. tamen cõstans adeo, & à qua nulla unquã ratione depelli poteram, animo meo insederat opinio, ut ubi fuisses, & quicquid etiã egisses, in uirũ maximum euasurũ semper iudicauerim, nec temere profecto. huiusce.n. rei nõ dixerim spem aliquã, sed arrham certissimã à iuuenilibus iam tum annis, ut patriã, genus, & familiã prætercam. externa.n. hæc sunt, uirtutũ tuarũ splendor, pietatis & religionis decor, ingenii acumen, iudicii maturitas, sapientia rara, prudentia singularis, eloquentiæ uis admirabilis nobis præstitere. quo deinde factũ est, ut quicquid magni de te animus meus præsagiret, id tanq̃ præsens oculis obuersaretur. ut siquid deinde quis eximiũ felixq; tibi contigisset, & si nõ mediocrem mihi uoluptatẽ afferrebat, tamen quia nõ quasi noua res offerebatur, non magnã admodũ uim haberet animi concitandi. Ve℞ id me uehementer cõmouebat ac incredibili quodã gaudio efferebat, ꝗ uidebamur tãdẽ ad ea peruenisse tẽpora, in quibus reperirentur optimi principes, & ueri Põtifices nobis (ut credo) diuinitus dati, qui aliqua uirtutũ, studiorum, & religiõis habita ratione, optimos quosq; uiros essent amplexuri, & pro meritis eorũ ornaturi. uidebamus ea præterea iaci semina, quæ si ad frugem, quã desideramus, peruenerint, sperandũ tandẽ erit, xp̃ianum gregẽ pastorũ institutis, doctrina & bonis morũ exemplis reformatum, ac explosa hædina lasciuia & procacitate, ex simplicibus tm̃ agnis constitutum, uerã xp̃iani uictus normã cõsecuturũ. Cum igitur his ipsis diebus, quibus te Cardinali honorificẽtissime. creato summopere gaudebã, Comentaria Ioãnis Grãmatici in quatuor primos Arist. naturalis auscultatiõis libros impressoribus excudẽda tradidissem, cõmittendum nõ putaui, ut ea tuo sub nomine in publicũ non prodirẽt. ita.n. bonarũ literarũ studiosi oẽs, quibus dũtaxat placere, & prodesse studeo, me tibi summopere gratulari, & q̃tũ in me est, eniti, ut nomen tuũ q̃ celeberrimũ reddam, intelligent, simulq; q̃tã tui causa utilitatẽ & cõmodũ hac de re perceperint, apertissime cognoscent. illud etiã accedit, qđ ut in huius te authoris patronũ optarem, me maxime impellebat, ꝗ cum tu summus philosophus, summusq; theologus, ac xp̃ianæ pietatis assertor eximius sis, & ab oĩbus habearis, iure ipso Ioãnes petere uidebatur, ut tibi cõmendarẽ. is.n. præterq̃ ꝗ philosophiæ ac cæteris liberalibus disciplinis nõ mediocrẽ operã nauauerit, ac in his egregie profecerit, adeo tamẽ rerum diuinarũ contẽplatione delectatus est, & in xp̃ianã pietatẽ bene affectus, ut contra Porphyrium, mox & Proclum pro ea editis elegãtissimis libellis, acerrime pugnauerit, ac nonnullis antiquioribus reiectis, qui noĩe potius q̃ re philosophi, cauillamẽtis quibusdã in christianã religionẽ oblatrare ausi sunt, sacrarũ litera℞ studia, si Sudæ credimus, optimis comẽtariis, quæ adhuc tẽporũ iniuria desiderãtur, felicissime cõplexus sit. atq; ita uir ille sanctissimus, talentũ illud à cõmuni omniũ patrefamilias cõmissum honestissimo fœnore, multiplicatũ in eius ærariũ retulit. Quamobrẽ tuũ est Gaspar Reuereñ. tam doctũ, tam piũ authorẽ, qui cũ tãdiu in tenebris delituerit, tanq̃ nouus in lucẽ prodit, tua & doctrina, & pietate protegere & fouere, præsertim cum tu ipse in causa fueris, cur horũ librorũ mihi facta sit copia. atq; utinã & reliqui quatuor libri ad manus meas perueniant. polliceor.n. non minori opere studio & diligentia, q̃ in his usus fuerim, effecturũ ut candidi & q̃tũ in me erit, à mendis expurgati excudãtur. Interim autẽ philosophiæ studiosi oẽs, qui per te sua studia hac in parte nõ mediocriter aucta & illustrata esse intelligũt, infinitas iam tibi habent gratias. & ipse ut iis, quos tua gratia nõ indignos cẽses annumerer, summopere cupio. Vale.

ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑ-

ΤΙΚΟΥ ΥΡΟΜΝΗΜΑ ΕΙΣ ΤΑ ΡΕΡΙ ΦΥΣΙΚΗΣ ΤΕΣΣΑ-
ΡΑ ΡΡΩΤΑ ΒΙΒΛΙΑ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

IOANNIS GRAMMA-

TICI IN PRIMOS QVATVOR ARISTOTELIS DE NATV-
RALI AVSCVLTATIONE LIBROS COMENTARIA.

σὺν θεῷ

οὐ μεταπτῶν



ἀλλ' ἱδρυμένος.

Ἀρχὴ τὸ ἥμισυ παντός.

Priuilegio Senatus Veneti cautum est, nequis hosce libros per decennium impune, aut imprimat, aut alibi impressos in hac ciuitate, uel aliis ueneto imperio subditis uendat.

M D X X X V.

σὺν Θεῷ

Cὺ μετὰ παλ



καὶ χεῖρα κίνει

Ἀρχὴ τὸ ἥμισυ παντός.